ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ

ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΑΠΑΝΤΑ,

τὰ μέχρι νῦν μὲν εὑρισκόμενα, ὧν σχέσιν σελὶς ἡ δευτέρα περιέχει.

ΤΟΥ ΑΥΤΟΥ ΒΙΟΣ, ΣΥΓΓΡΑΦΕΙΣ ΥΠΟ

Σουΐδα, Σωφρονίου, καὶ Γρηγορίου τοῦ πρεσβυτέρου.

[illegible], ἀναλώμασι [illegible]

[illegible]

Io. Hervagium

ΠΕΡΙ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ὁ ΣΟΥΙΔΑ.

Γρηγόριος Ναζιανζοῦ ἐπίσκοπος, σταθμὸς δὲ ἐστὶν οὗτος Καππαδοκίας, ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος φίλος Βασιλείου τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς, καὶ τὰ εἰς τὴν κρίσιν δεξιὸς, ἀλλὰ πολλῶν πλεῖον, καὶ εἰς φιλοσοφίαν ἐξήσκητο, καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλὰ· εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνίστηκεν, ἀφ' ὧν εἰσὶ τάδε· περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου, ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, περὶ φιλοπτωχίας, ἐπαίνεσις τῶν Μακκαβαίων, ἐπαίνεσις Κυπριανοῦ, ἐπαίνεσις Ἀθανασίου, ἐπαίνεσις Ἥρωνος φιλοσόφου, κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι δύο, περὶ τοῦ ἁγίου πνεύματος λόγος εἷς, πανηγυρικοὶ λόγοι δέκα, καὶ ἕτεροι πλεῖστοι, καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ Λαοδικέως τοῦ σοφιστεύοντος ἐν Σμύρνῃ, ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἔγραψε δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἐξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτὸν διαλεγόμενος, καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅ τινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίου τούτου καὶ Φιλοστόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ, μνήμην πεποίηται, καὶ φησί· Γρηγόριος γε ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Ναζιανζῷ, σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας. καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Ἀπολινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὲ οὗτοι τότε ἄνδρες τοῦ ὁμοουσίου προὐμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρεληλυθότες τοὺς πρότερον καὶ ὕστερον, ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα πρὸς αὐτοὺς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεσαν, καὶ τῶν ἱερῶν γραφῶν ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἔτεινε, πολλὴν εἶχον τὴν ἐμπειρίαν. καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος, καὶ μὴν καὶ συγγράφειν ἱκανὸς αὐτῶν εἰς τὸ αὐτὸ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως, μακρῷ ἄριστα εἶχε, Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν. τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ, μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος, καὶ ἦν ἐπ' ἂν Ἀπολιναρίου μὲν ἀσθενέστερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐκ ἔλαττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν δίκην ἐπαγωγότατον. ὥστε καὶ οἷς ἑωρῶντο, καὶ οἷς ἔλεγον, καὶ ὁπόσα γράφοντες διεδίδοσαν, ἀλλὰ πάντων ἥρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁπουοῦν αὐτῶν ἐμπίστους ἀλίσκεσθαι δυναμένους. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος, καὶ ταῦτα Ἀρειανὸς ὤν, ἔγραψεν. ἐπιγενομένων δὲ εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος, ἐπίσκοπον καταστήσας ἐν τῇ Ναζιανζῷ αὐτὸν ἐκκλησίᾳ, αὖθις ἐν ἀγρῷ τινι βίον μοναδικὸν ἀπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ς ἔτη καὶ ἐπέκεινα, Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος καταλύει τὸν βίον, ἀνάξιον ἑαυτὸν τῆς αὐτοῦ παθὼν ἀρετῆς, καὶ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκεῖσθαι μᾶλλον τοὺς φαυλοτέρους, ἢ τὸν ἐπ' ἀρετῇ καὶ λαμπρότητι βίου πάντων μᾶλλον ὑπερέχοντα.

ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΣΩΦΡΟΝΙΟΣ ΕΚ ΤΗΣ ΒΙΒΛΟΥ τοῦ ἁγίου Ἱερωνύμου πρεσβυτέρου περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων.

Γρηγόριος Σασίμων πρότερον, εἶτα Ναζιανζοῦ ἐπίσκοπος, ἀνὴρ ἐλλογιμώτατος, ὁ ἐμὸς διδάσκαλος, οὗ ἐξηγουμένου, τὰς θείας ἔγνων γραφὰς, εἰς τρεῖς μυριάδας στίχων πάντα τὰ συντάγματα αὐτοῦ συνέθηκεν, ἀφ' ὧν εἰσὶ τάδε· περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου, περὶ φιλοπτωχίας, ἐπαίνεσις τῶν Μακκαβαίων, ἐπαίνεσις Κυπριανοῦ, ἐπαίνεσις Ἀθανασίου, ἐπαίνεσις Μαξίμου φιλοσόφου, μετὰ τὴν ἐξορίαν ἀναζεύξαντος, ὅν τινα ψευδῶς τινὲς Ἥρωνος ἐπέγραψαν. ἔστι γὰρ καὶ ἄλλη βίβλος κατὰ τοῦ αὐτοῦ Μαξίμου περιέχουσα. ὡς μὴ ἐξὸν εἶναι, τὸν αὐτὸν καὶ ἐπαινέσαι καὶ ψέξαι ἐν καιρῷ. καὶ βίβλος δι' ἐξαμέτρων, παρθενίας καὶ γάμου, καθ' ἑαυτῶν διαλεγομένων. κατὰ Εὐνομίου λόγος εἷς, περὶ πνεύματος ἁγίου λόγος εἷς, κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγος εἷς. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι. καὶ περιὼν, εἰς τὸν οἰκεῖον τόπον ἐπίσκοπον καταστήσας, ἐν ἀγρῷ βίον μοναδικὸν ἀπηνέγκατο, καὶ ἐτελεύτησε πρὸ τριῶν χρόνων, βασιλεύοντος Θεοδοσίου.

EADEM LATINE.

GREGORIUS primùm Sasimorum, deinde Nazianzenus episcopus, uir eloquentissimus, præceptor meus, à quo scripturas explanante didici: ad triginta millia uersuum, omnia opera sua composuit, è quibus illa sunt: De morte fratris Cæsarij, περὶ φιλοπτωχίας, Laudes Machabæorum, Laudes Athanasij, Laudes Maximi philosophi post exilium reuersi, quem falso nomine quidam Heronis superscripserunt: quia est & alius liber, uituperationem eiusdem Maximi continens, quasi non licuerit eundem & laudare & uituperare pro tẽpore. Et liber hexametro uersu, uirginitatis & nuptiarum contra se differentium. Aduersum Eunomium liber unus, De spiritu sancto liber unus, Contra Iulianum Imperatorem liber unus. Sequutus est autem Polemonem dicendi charactere: uiuoq; se, episcopum in loco suo ordinans, ruri uitam monachi exercuit. Decessitq; ante hoc fermè triennium, sub Theodosio principe. D. Hieronymus.

DE EODEM, EX VOLATERRANO.

GREGORIUS & Basilius uiri sanctissimi, pariterq; doctissimi, Cappadocesq; genere, uterq; Athenis simul profecit Rhetorum Philosophorumq; studijs. Deinde simul tredecim annis in cœnobio quodã Deo mancipati, tantùm sacris literis operam dedere. Post hæc alter alteram ingressus uiam, Gregorius apud Nazianzum oppidũ Cappadociæ, in patris locum præsul subrogatur, ubi maximè Arrianorum turbini restitit. Mox quoque reddita pace orthodoxis, accersitus Constantinopolim, ad emendandum eum populum, recentibus hæreticorum infectum uenenis, tam breui tempore eidem præsidendo profuit, ut tunc primùm illi in fide renasci uiderentur. Sed statim inuidia gloriam subsequuta est. Obtrectare quidam cœperunt, palamq; uociferari, Gregorium Constantinopolitanam sedem occupasse, ipsum priorem repetere, ac alium subrogari oportere. Quod ipse animaduertens, cum iam superare posset, cedere maluit, quàm ut eius gratia cædis aliquid aut tumultus oriretur. Atq; hoc pacto pristinam repetens sedem, quod reliquum fuit æui, sacris lectionibus ac scriptionibus tradidit. Quibus ut quietius uacaret, successorem sibi, ac coadiutorem, qui populo præesset, elegit, ætate iam ingrauescente. Extant & Basilij præclara ingenij monumenta. Nos fermè decem eius orationculas conuertimus in latinum. Basilij etiam instituta monachorum. Hæc Rufinus XI. historiæ. Hieronymus autem eius opera commemorat. Gregorius, inquit, Nazianzenus, uir eloquentissimus, præceptor meus, à quo scripturam explanante didici, ad triginta millia uersuum omnia opera sua composuit, ex quibus illa sunt: De morte fratris, Cæsaris laudes, Cypriani, Athanasij, Maximi philosophi post exilium reuersi, quem falso nomine quidam Heroni inscripserunt: quia est alius liber, uituperationem eiusdem Maximi continens, quasi non licuerit eundem & laudare & uituperare pro tempore. Præterea librum hexametro carmine, uirginitatis & nuptiarum contra se dissidentium. Aduersus Eunomium libros duos, de sancta Trinitate librum unum, contra Iulianum librum unum. Secutus est autem Polemonem in dicendi stylo; uiuentiq; sibi præsulem successorem ordinans, ipse ruri uitam monachi uixit. Decessit sub Theodosio principe.

D. [illegible] DE GREGOrio Nazianzeno iudicium.

IN Gregorio Nazianzeno pietas propemodum ex æquo certat cum facundia, sed amat significantes argutias: quas eo difficilius est latinè reddere, quòd pleræque sunt in uerbis sitæ. Tota uerò phrasis nonnihil accedit ad structuram Isocraticam. Adde quòd de rebus diuinis, quæ uix ullis uerbis humanis explicari possunt, libenter ac frequenter philosophatur. Frater hu-

sus Basilius, suaui quodam & inaffectato dictionis fluxu, & pietatem, & eruditionem, & acumen, sicubi res postulat, & perspicuitatem, & iucunditatem, & si quam aliam uirtutem in oratore Christiano quisquam desiderare possit, complectitur. Ioannes Chrysostomus Basilij quemadmodum in literis, sic etiam in professione syncerioris uitæ socius, atq; (ut ita loquar) Achates, quicquid ferè scripsit, ad popularem captum accomodauit, eoq; fusior est, ac simplicior: & in locis communibus spaciari maluit, quàm in difficillimis uersari quæstionibus. Hos triumuiros una tulit ætas apud Græcos, pietate pares, nec dispares eruditione, sed dictionis charactere dissimiles. quos si cum nostris conferre uelis, Chrysostomus non dissimilis est Augustino, Gregorius Ambrosio: qui si græcè scripsisset, plurimum negocij fuisset exhibiturus interpreti. Quem Basilio conferam, nondum inuenio, nisi si quis scripturarum cognitionem, quam habuit Hieronymus, cum Lactantij felici facilitate copulet. Me certè à uertendo Gregorio semper deterruit dictionis argutia, & rerum sublimitas, & allusiones subobscuræ. Eam prouinciam eximio quodam pietatis ardore sibi sumpsit Bilibaldus noster, cui & immortuus est.

ΤΩΝ ΛΟΓΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟ-
λόγου τοῦ Ναζιανζηνοῦ ἁπαξ τῶν ἔλεγχος.

1 Βίος τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ θεολόγου, συγγραφεὶς ὑπὸ Γρηγορίου πρεσβυτέρου 1
2 Ἀπολογητικὸς τῆς εἰς πόντον φυγῆς αὐτοῦ 14
3 Πρὸς τοὺς καλέσαντας ἐν τῇ ἀρχῇ, καὶ μὴ ἀπαντήσαντας 33
4 Ἀπολογητικὸς εἰς τοὺς αὐτοὺς, μετὰ τὴν ἐπάνοδον τῆς φυγῆς 34
5 Εἰς τὸν ἅγιον γρηγόριον τὸν τοῦ μεγάλου βασιλείου ἀδελφὸν 35
6 Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα Γρηγόριον, συμπαρόντος αὐτῷ βασιλείου 37
7 Εἰς τὸν πατέρα ἑαυτοῦ, ἡνίκ' ἐπέτρεψεν αὐτὸν φροντίζειν τῆς Ναζιανζοῦ ἐκκλησίας 39
8 Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισώτην ἰουλιανὸν 40
9 Εἰς Καισάριον τὸν ἀδελφὸν ἐπιτάφιος 45
10 Εἰς τὴν ἑαυτοῦ ἀδελφὴν Γοργονίαν ἐπιτάφιος 52
11 Εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης 57
12 Ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα 64
13 Ἐπιτάφιος εἰς τὸν μέγαν Βασίλειον 76
14 Εἰς τὸν ἅγιον ἀθανάσιον 99
15 Εἰς τὸν ἱερομάρτυρα κυπριανὸν 108
16 Εἰρηνικὸς α. 113
17 Εἰρηνικὸς β. 119
18 Εἰρηνικὸς γ. 123
19 Πρὸς τοὺς πολιτευομένους Ναζιανζοῦ ἀγωνιῶντας 127
20 Περὶ φιλοπτωχίας 131
21 Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων 142
22 Εἰς τοὺς μακκαβαίους 145
23 Περὶ τῆς εὐταξίας ἐν ταῖς διαλέξεσιν 149
24 Εἰς ἥρωνα τὸν φιλόσοφον 157
25 Εἰς τὸν κατάπλουν τῶν αἰγυπτίων 163
26 Πρὸς ἀρειανοὺς, καὶ εἰς ἑαυτὸν 166
27 Πρὸς τοὺς λέγοντας, ἐπιθυμεῖν αὐτὸν τῆς καθέδρας κωνσταντίνου πόλεως 170
28 Εἰς ἑαυτὸν ἐξ ἀγροῦ ἐπανήκοντα, μετὰ τὰ κατὰ μάξιμον 173
29 Εἰς τὴν τῶν ρν ἐπισκόπων παρουσίαν 179
30 Εἰς τὴν χειροτονίαν δοθεῖσαν 186
31 Πρὸς παρθένον παραινετικός 187
32 Εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου, ὅτε ἐτέλεσεν ὁ ἰησοῦς τοὺς λόγους τούτους, καὶ τὰ ἑξῆς 188
33 Πρὸς εὐάγριον, περὶ θεότητος 193
34 Πρὸς εὐνομιανοὺς προδιάλεξις 195
35 Περὶ θεολογίας 198
36 Περὶ υἱοῦ λόγος α. 207
37 Περὶ υἱοῦ λόγος β. 213
38 Περὶ τοῦ ἁγίου πνεύματος 219
39 Πρὸς Νεκτάριον ἐπίσκοπον κωνσταντίνου πόλεως 227
40 Εἰς τὰ θεοφάνια, εἴτ' οὖν γενέθλια τοῦ σωτῆρος 228
41 Εἰς τὰ ἅγια φῶτα τῶν ἐπιφανίων 232
42 Εἰς τὸ ἅγιον βάπτισμα 238
43 Εἰς τὸ ἅγιον πάσχα 252
44 Εἰς τὸ πάσχα, καὶ εἰς τὴν βραδύτητα 260
45 Εἰς τὴν ἁγίαν πεντηκοστὴν 262
46 Εἰς τὴν καινὴν κυριακὴν 267
47 Σημασία εἰς τὸν ἰεζεκιὴλ 269
48 Μετάφρασις εἰς τὸν ἐκκλησιαστὴν 270
49 Κατὰ ἰουλιανοῦ στηλιτευτικὸς α. 277
50 Στηλιτευτικὸς β. 301
51 Κατὰ ἀπολιναρίου, πρὸς κληδόνιον ἐπιστολὴ α. 311
52 Πρὸς κληδόνιον β. 314
53 ΕΠΙΣΤΟΛΑΙ 317
54 ἱερὰ ἔπη, καὶ τραγῳδία ΧΡΙΣΤΟΣ ΠΑΣΧΩΝ.

ΤΕΛΟΣ.

ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΝΑ-ζιανζηνοῦ, συγγραφεὶς ὑπὸ Γρηγορίου πρεσβυτέρου.

ΥΓΚΑΛΕΙ μὲν ὑμᾶς, ὦ ἄνδρες, Γρηγόριος ὁ πανὺ ὁ τῆς θεολογίας ἐπώνυμος, εἰς τὴν πνευματικὴν πανδαισίαν τῶν λόγων. πρόκειται δὲ αὐτοῖς ξύλον καρυκεία, καὶ τρυφή, φθορᾶς ἁπάσης ὑψηλοτέρα. μὴ θαυμάσῃ τις δέ, εἰ πρὸς τοσοῦτον θράσους ἐξῆλθον, ὡς καὶ τῆς οἰκείας ἀσθενείας, καὶ τῆς ἐκείνου μεγαλοφυΐας ἐπιλελῆσθαι, ὃς διὰ τὸ τῆς ἀρετῆς ἀπρόσιτον, μέχρι τῆς σήμερον ὀλίγου δεῖν, σιωπῇ παρ' ἅπασι τετίμηται· καὶ οὐδεὶς ἀφῄρηται τῆς αὐτοῦ πολιτείας ὑφηγητὴς καὶ διδάσκαλος, ἀκολουθίᾳ τινὶ καὶ τάξει τὰ περὶ αὐτὸν κατορθωμένα παραπέμψας ἡμῖν τοῖς μετέπειτα, ὥσπερ αὐτὸς τὰ ποίκιλα, ἐπί τε βασιλείῳ τῷ μεγάλῳ, καὶ ἑτέροις μακαρίοις ἐπισκόποις, καὶ μάρτυσιν ἄλλοις ὑπόθεσιν εἰς βίον αὐτῶν ἐσχηματισμένοις. ἀλλὰ πρῶτα μὲν οὐχ οἷόν τε ἦν ἀεὶ παραλέγειν τι μίᾳ γεννήτορι, τούτῳ δὴ περὶ σοῦ ὑμῖν ἐνθάδε καθιδρυμένῳ, ὥσπερ δῆλόν τι χρέος ἀπαιτοῦντι τοὺς λόγους, καὶ πρὸς τὴν τοῦ θείου Γρηγορίου εὐφημίαν, λίαν προορμῶντι πατρικῶς τε καὶ δεσποτικῶς, τὴν ὑπακοὴν ἐγκελευομένῳ, καὶ ἢν μὴ πείσειν ἐπαπειλοῦντι, καὶ τῆς εἰς ἐμὲ γεννήσεώς τε καὶ τροφῆς ταύτην ἀντίδοσιν εἰσπραττομένῳ. ἔπειτα καὶ τὴν ὁσίαν δοκεῖ μοι τοσαύτης ἡμᾶς ἀρετῆς ἀλογῆσαι, ἢ περὶ βίῳ προτιθεμένη, πολλοὺς ἂν προτρέψειεν εἰς τὴν μίμησιν, καὶ οὐκ ἐάσει τὸ καλὸν ἐξίτηλον γενέσθαι, λόγοις τοῖς καθ' ἡμέραν καινοτομουμένων. φέρε δὴ οὖν τῆς ἀναβολῆς ἀφεθέμενος, ἀπαρχὴν τῶν ἐμῶν λόγων οἷόν τισι νεοδρέπτοις γεννήμασι, στεφανώσω τὸν θεολόγον, εἰ καὶ τῆς ἀξίας καταδεέστερον. ἀλλὰ τῆς προθυμίας οὐδὲν ἐλλεῖπον. οἶμαι δὲ ὡς ὁ πᾶσι τέλειος ὁ ἀνήρ, καὶ τοῦτο μετελεύσεται τῶν ἐμῶν ἐπαίνων, ἐπειδὴ καὶ φίλα πατράσι, τὰ τῶν νηπίων ψελλίσματα, οὐχ ἀπέχθη μάλιστα προϊόντα τῆς διανοίας, ἢ τῶν τελείων οἱ ἐμβριθέστεροι λόγοι καὶ τὰ σοβαρὰ λαρυγγίσματα. ἔσται δὲ αὐτῷ καὶ οἰκειοτάτη, ἡ διὰ τῶν λόγων τιμή. εἰ γὰρ τὸ οἰκεῖον πέζει πας, κατὰ τὸν Πίνδαρον, οἷς ἕκαστος ἥδεται, τούτοις δήπου καὶ τιμώμενος γαίνυται. καὶ ἔζων ἔτι σωματικῶς πάντας χρημάτων τοὺς λόγους ἠλλάξατο, καὶ τὴν σοφίαν πολὺ λαβὼν καὶ ἐρασθεὶς αὐτῆς, καὶ περιθεὶς ὑπ' αὐτοῦ προοιμιακῶς εἰπεῖν, πῶς οὐχὶ καὶ τῆς τῇδε ἀπαλλαγεὶς, καὶ πρὸς τὴν καθαρὰν καὶ φρονίσει πλησιάζουσαν ζωὴν μεταθέμενος τὰ παρόντα, τούτοις γαυροῦται πλεῖον καὶ ἀγάλλεται. ὑμᾶς δὲ αἰτοῦμαι, ὦ ἱερὰ πανήγυρις, μὴ πρὸς ἀκρίβειαν τὸ πλῆθος τῶν ἐκείνου κατορθωμένων διερευνᾶσθαι. πρῶτον μέν, ὅτι μὴ καθ' ἐμὴν δύναμιν ἢ ὑποσχέσθαι τοῦτο, ἢ ἀπαιτεῖσθαι· ἔπειτα, ὅτι μηδέ τις τὰ κατ' αὐτὸν ἡμῖν γεγραφὼς καταλέλοιπεν· ἀλλὰ σποράδην ἐκ τῶν αὐτοῦ συλλέξας λόγων τὰ κατ' αὐτόν, μιμοῦμαι τοὺς λιθολόγους· οἳ κατὰ μικρὸν τὰς ψηφίδας συνηθροικότες, εἰς μίαν οἶκον συμπληροῦσιν ἅπαντα συναρμόζοντες. ἀρχὴ δὲ τῷ λόγῳ, ὅθεν ἄρχεσθαι πρεπωδέστερον. πατρὶς μὲν αὐτῷ, ἡ δευτέρα τῶν καππαδοκῶν. πόλις δὲ Ναζιανζός, ἥ τις τοσούτῳ περιφανεστέρα γέγονεν ἐξ ἐκείνου, ὡς μέχρι τέρματος τῆς οἰκουμένης δι' ἐκεῖνον γνωρίζεσθαι. οὐ γὰρ μᾶλλον δι' Ἀλέξανδρον εὐκλεεστάτη Πέλλη, ἢ Πέρσαι διὰ Κῦρον πρὸς δόξαν τοσοῦτον ἤρθησαν, ὅσον αὕτη διὰ τὸν μέγαν Γρηγόριον. ὥστε μοι δοκεῖν καὶ ἀπέχειν αὐτὴν τὰ τροφεῖα, διὰ τὴν ἀρετὴν τοῦ ὁσίου, ἐνδοξοτέροις τε καὶ βελτίοσι τοῖς ἐκ δογμάτων ἀφεστηκόσιν, ἐξίσου γεγονυῖαν ἐπίσημον. πατέρες δὲ αὐτῷ, εὐπατρίδαι τε καὶ δίκαιοι, καὶ πλείω τῶν σωμάτων καθαρότητι ψυχῶν ἀδιαίρετοι. ὧν ὁ μὲν πατὴρ οἷόν τις Ἀβραάμ, καταλιπὼν γῆν τε πατρῴαν καὶ εἴδωλα, γίνεται μεταστάσης πρὸς εὐσέβειαν. καὶ τὴν τῶν ὑψιστερίων ἀπωσάμενος δεισιδαιμονίαν καὶ πλάνην, γνήσιος μύστης ἀνεφάνη τοῦ Χριστοῦ, πρόβατον μὲν ἐν πρώτοις, ἔπειτα δὲ καὶ ποιμὴν ἐπίσημον τῆς Ναζιανζοῦ κατὰ τὰς ἐκκλησίας. ἡ δὲ μήτηρ, ἱερά τε, καὶ ἐξ ἱερῶν τῶν προγόνων. καὶ τοῦτο μὲν τῶν λοιπῶν κληρονομήσασα τὴν εὐσέβειαν, αὕτη παιδὸς ἄρρενος ὀρεγομένη, ἱκεσίαν προσάγει τῷ δοτῆρι τῶν τηλικούτων θεῷ τυχεῖν τοῦ ἐφέσεως. ὦ τῆς πίστεως, ὦ τῆς θερμότητος, πρὸ συλλήψεως ὑπισχομένη αὐτῷ τὸν ἐσόμενον προσοίσειν, καθάπερ Ἄννα τὸν Σαμουήλ. τίς οὖν, ὁ τὸ βούλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, δι' νυκτερινῆς ὄψεως προδείκνυσι αὐτῇ παῖδα τὸν ἔτι γεννᾶσθαι μέλλοντα, εἶδός τε σὺν κλήσει τοῦ παιδὸς ἐμφανίσας. ἡ δὲ τεχθέντα, μετ' οὐ πολὺ ὑφ' θεῷ καθιέρωσε, προθυμίᾳ πίστεως, μετὰ τὰς ὠδῖνας, καὶ γυναικῶν ὀλιγωρίαν τῇ τοῦ ἱπποδάσεως με-

Συνεπόμενος

Η πατρὶς

Pella Alexandri Magni patria

Parentes.

αὐτῇ

γεννᾶσθαι

γαλοψυχίᾳ νικήσασα. ὁ δὲ παῖς ἐν τοῖς ἤθεσι τὴν πατρῴαν περιφερόμενος, εὐκλεείᾳ φύσεως ἐκράτει τὴν ὁμηλίκων ἐπὶ τοσοῦτον, ὥστε τὴν ἀωρίαν τῆς ἡλικίας ἐμποδὼν αὐτῷ μὴ γενέσθαι πρὸς τὰ τῶν τελείων ἤθη τε καὶ μαθήματα. παιδείας μὲν οὖν καὶ παιδαγωγοὺς μεγαλειώδεις, ἄλλην τε καὶ φέρεσθαι δρόμοις, ταύτῃ διέπνευσεν, ὡς ἄχρηστά τε καὶ ἀσχολίαν ἐμποιοῦντα τῇ σπουδῇ τῶν ἀμεινόνων. ἀρετῆς δὲ κτῆσιν, ἐπιπόνῳ κακίᾳ, ἐπεὶ καὶ μύρον ἡμαύρωσε δυσωδία τι οὖσα. ἔφηβος δὲ ἤδη γενόμενος, καὶ λόγων κατηχηθεὶς ἔρωτι, εἰς τὴν Καισαρέων ἥκει. καὶ ταῦθα τοῖς ἀρίστοις τῶν παιδευμάτων ὁμιλήσας, καὶ παιδείας οὐ βραχὺ συναθροίσας, ἐνθένδε τὴν Παλαιστίνην ἔπλει, ῥητορικῆς ἐφιέμενος, κάλλος φράσεως καὶ ἦθος ταύτης ἐκπαιδευθῆναι. κἀκεῖθεν ἐπὶ τὴν Ἀλεξάνδρου ἀφικνεῖται, τὴν πρὸς τῷ Φάρῳ, πολλάς τε πόλεις καὶ πολλῶν ἀνδρῶν καταμαθεῖν φρόνησιν, εἰς συναγερμὸν σοφίας, ὥς τις ἔφη σοφός. πλείστην δὲ κἀντεῦθεν καρπωσάμενος τὴν ὠφέλειαν, τὴν μητρόπολιν τῶν λόγων τὰς Ἀθήνας μεταδιώκει πρὸς αὐτὰς ἀναχθεὶς Αἰγιναίας. πλέοντι δ' οὖν τὸ Παρθένιον πέλαγος ἐν χειμῶνι ταραχώδει τε, καὶ οὐκ ἔχοντι εὔπλοιαν, ἐξαίφνης ὑπελθὸν τὸ κῦμα ἐξαίσιον, τὸν περὶ ψυχῆς ἔφερε κίνδυνον. σκότος δὲ πόντον αἰθέρα τε καὶ οὐρανὸν συνεκάλυπτεν, οὐδὲν τῆς ἀνάγκης τῶν Αἰγυπτίων πληγῶν ἀνεκτότερον. πάντων δὲ τὸν σωματικὸν ὀδυρομένων θάνατον, αὐτὸς τὴν τῆς ψυχῆς ἐδεδίει πανωλεθρίαν. οὐδέπω γὰρ ἦν σφραγισθεὶς τῷ βαπτίσματι, καὶ ἔφθανε τῆς ἐξ ὕδατος σωτηρίας, ὁ ἐν ὕδασι θάνατος. τί οὖν ποιεῖ ὁ μέγας ἐκεῖνος, καὶ πρὸ τῆς ἀναγεννήσεως ἑαυτὸν μορφώσας τῇ ἀληθείᾳ; τὴν ἐσθῆτα περιρρηξάμενος, κατὰ πλῆθος βοαῖς τε καὶ ὀδυρμοῖς τοὺς συμπλέοντας, ὡς πάντων τῶν καθ' ἑαυτὸν ἀλογισάντων, τὸν τότε θρῆνον συνδράξασθαι. ὁ δὲ ὑπομνήσας θεὸν τῶν αὐτοῦ θαυμασίων, ὅσα τε ἐν Αἰγύπτῳ καὶ ὅσα κατὰ τὴν ἔρημον ἢ ἀλλαχοῦ γῆς, ἢ θαλάσσης ἔδρασεν· ὡς, ἐρυθρᾶς διέστησιν, καὶ αὖθις ἐπήλεσε· ὅπως τε ἐκ πέτρας ὕδωρ ἐπήγασε, ὡς μορφαὶ ἐκλίνασιν Ἀμαλὴκ ἐθανάτωσε χερσὶν ἀόπλοις τῆς σαμορὸν μνημονεύσεις· τείχη καθεῖλεν Ἱεριχοῦντα, καὶ αὐτὰ μηχανημάτων προφήτην ἔσωσεν ἐκ σπλάγχνων κήτους· καὶ τἄλλα ὅσα πρὸ ἱεραὶ βίβλοι φέρουσιν, ὑποσχόμενος ἅμα, εἰ περισωθείη τοῦ πελάγους, καὶ τύχοι τῆς ἐφέσεως τοῦ βαπτίσματος, τῷ σώσαντι αὐτὸν ἀναθήσειν, κάμπτει ταῖς ἱκεσίαις αὐτὸν, ἵλεών τε ὄντα, καὶ τὰς αἰτήσεις φθάνοντα τῷ μειλιχίῳ τῆς φύσεως. καὶ ὁ μὲν κλύδων αὐτίκα ἐκόπασεν κατὰ γῆς, εἰς αὔραν μετεποιήθη, καὶ ἡ τέως ἀγρία κατεστορέσθη θάλασσα. ὁ μὲν ἐν τούτοις ἦν, οἱ δὲ αὐτοῦ γονεῖς δι' ὀνείρου κατεμηνύοντο τὰ συμβαίνοντα τῷ παιδί. καὶ οἷα πατέρες· τί γὰρ δεῖ πλέον εἰπεῖν; εὐχαῖς τε καὶ δάκρυσι τὸν θεὸν ἐλιπάρουν, βοηθῆσαι τῷ παιδὶ θαλάσσῃ κινδυνεύοντι. εὐθὺς οὖν μετὰ τὴν ἱκεσίαν, καθ' ὕπνον ἑώρων τὸν υἱὸν δεινόν τινα δαίμονα κολαστήριον χειρωσάμενον, ὅστις αὐτῷ ἐπανετείνετο ὄλεθρον, ταῦτα δὲ μετὰ τὴν πρὸς αὐτοὺς ἐπιστροφὴν αὐτῷ διηγουμένων τῶν γονέων ἀκούσας, ἀνθωμολογεῖτο τῷ σώζοντι. καὶ ταῦτα μὲν ὕστερον. τῶν δὲ συμπλεόντων τις νεανίας, ὃς ἦν αὐτῷ θυμηρέστατος, ἑώρα νυκτὸς ἐν ἀκμῇ τοῦ κινδύνου, τὴν μητέρα τοῦ μακαρίου τῆς θαλάσσης ἐμβαίνειν, καὶ τὴν ναῦν λαβομένην, ἐξέλκειν πρὸς τὴν ἤπειρον. ταύτης δὲ διαχυθείσης καὶ ἐξηγηθείσης τῆς ὄψεως, εὐθὺς γαλήνην τε ἀκολουθῆσαι, καὶ πάντας τοὺς συμπλωτῆρας, τῇ πίστει προσδραμεῖν τῷ τοῦ Γρηγορίου θεῷ, καὶ ἑαυτῶν εἶναι ὁμολογοῦντας ἐπίκουρον. τί τοῦτο τοῦ κατὰ τὸν μέγαν Ἠλίαν θαύματος ἀτιμότερον, ὃς τῇ εἰδωλομανίᾳ τῆς Σιδωνίας ἀντιταξάμενος, ξένῳ πυρὶ καὶ οὐρανίῳ τὴν θυσίαν ἐκδαπανήσας εἰς πίστιν τοῦ ἀληθινοῦ θεοῦ ἐνῆγε τὸν Ἰσραήλ, ὥστε θαυμάζοντα τὸν λαὸν εἰπεῖν· ἀληθῶς κύριος ὁ θεὸς οὗτός ἐστι θεός. τοιοῦτός τις ἦν ὁ Γρηγόριος, τῇ ἐκ τρικυμίας ἀδοκήτῳ σωτηρίᾳ, τοὺς πολυσχεδεῖ πλάνῃ κατεχομένους εἰς μίαν ἄγων τρίβον καὶ ὁδηγίαν τῆς πίστεως. ἐπεὶ δὲ αὐτὸν ἡ Ἑλλὰς εἶχε καὶ τὸ εὐκλεὲς Ἀθηνῶν ὄνομα, τί δεῖ λέγειν μεθ' ὅσης προσεδέχθη τῆς ἀθυμίας; κράτιστος εὐθὺς ἐν λόγοις, παιδευταῖς τε καὶ φοιτηταῖς ἅμα κρινόμενος. χρόνου δὲ οὐ πολλοῦ παρῳχηκότος, ἐκ τοῦ Βυζαντίου Βασίλειος ὁ μέγας Ἀθήναζε παραγίνεται, τῆς ἴσης χάριν παιδεύσεως, συνοικοῦσί τε ὁμοῦ καὶ ὁμοτρόφοι καθίστανται ἀλλήλοις. ἦν γὰρ δὴ ἀμφοτέρων συζυγία καὶ συμφυΐα, οὐδὲ περιστῆσαι ῥᾴδιον ὁποτέρου ἑκάτερον ὤνησεν. ὁ μὲν γὰρ μόνος κἄν τι νοήσῃ μὴ κατὰ τὰ πιστεύοντα ἑαυτῷ, προσέρχεται ζητῶν μετ' ἐκείνου βεβαιώσονται. ὅτ' αὖ δὲ συγκραθῶσιν ἄμφω πρὸς μίαν ἐπιθυμίαν παιδεύσεως, ἀλλήλων ἀποδείκνυνται στήριγμα, τόν τε εὑρίσκοντα ἐν μέρει, καὶ τὸν βεβαιοῦντα τὴν ἀλήθειαν συνειληφότες ἐν ἑαυτοῖς. καὶ ἵνα συντέμω τὰ πλείονα, ζηλωτὴ γίνεται ξυνωρίς. πίστει τε γὰρ ἦσαν μιᾷ πεφωτισμένοι, καὶ ἀρετῆς ὁμότιμοι ἐρασταὶ, σύνδρομα θέοντες, καὶ καθάπερ ἀμφότεροι γεωπόνοι, ἰσοσθενεῖ τῇ προθυμίᾳ τὴν ἄρουραν τῆς σοφίας τέμνοντές τε, καὶ σπείροντες, ὡς πολύχουν ἀμώμενοι τὸν καρπόν. αἰδοῖοι μὲν οὖν, καὶ τῇ πρὸς τὰ δεινὰ καρτερίᾳ, μικροῦ πάντων ὁμηλίκων ἐκράτιζεν. φιλεῖ γὰρ ἡ νεότης ὡς ἀπῶλοι τῶν ἵππων πρὸς τοὺς ψόφους, καὶ τὰς σκιὰς, οὕτω τοῖς ἐπιγινομένοις αὐτῇ διαχραίνειν,

φαίνειν, ἢ ἀκοῦσαι. αὐτοὶ δὲ τὴν ἐναντίαν ἦσαν παγιοὶ καὶ δυσκίνητοι, πρὸς τὰ ἀθρόως πολλάκις καινοτομούμενα, ὡς καὶ σεισμοῦ τὴν Ἑλλάδα καταλαβόντος, μεγαλοψύχως αὐτοὺς παρὰ πᾶσιν ἀποδειχθῆναι, καὶ τῆς προφητικῆς ἀξίους φανῆναι. διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. ἐγκράτειαν δὲ ἐκ νέου τοῦ σώματος ἤσκησαν τοῖς ἀναγκαίοις ἀρκούμενοι, κατὰ Ἠλίαν τε καὶ Ἰωάννην τὸν ἐξ ἀκροδρύων βιοῦντα, τὰ δὲ ὅσα πρὸς τρυφήν τε καὶ κολακείαν γαστρὸς, πάντα ἐξαπτύοντες καὶ χαίρειν ταῖς ἡδοναῖς φράζοντες. τί δ' ἂν λέγοιμι σωφροσύνην, ἣ μέχρι παντὸς αὐτοὺς τοῦ βίου ἁγνοὺς καὶ καθαροὺς τῷ θεῷ συνετήρησεν, ὡς μικροῦ τούτων ἐλάττω τὸν Ξενοκράτην ἐκεῖνον καὶ τὸν Πολέμωνα· ὧν ὁ μὲν ἑταιρίδος συγκαθευδούσης, ἀκίνητος ἦν· ὁ δὲ μικροῦ καὶ ἀπρόσιτος τοῖς ἐκ τῶν χαμαιτυπείων ὑπῆρχε, λίαν ἐνδεικνύμενος τὴν αὐστηρίαν τοῦ φιλοσόφου. ἆρα οὖν ταῦτα μὲν οἱ αὐστηροὶ ἤδη τοσοῦτον κατώρθωσαν, δικαιοσύνης δὲ καὶ ἀκτησίας ἧττον ἐφρόντισαν; οὐ μὲν οὖν. ἀλλὰ κἀνταῦθα τὸν Ἀριστείδην μιμούμενοι, οὐκ ἀρετὴν ἐξωνούμενοι χρήμασιν, οὐδὲ μισθαρνίαν τὴν φιλοσοφίαν κρινόμενοι, πρὸς οἷα κοινοὶ τοῖς πᾶσιν ἦσαν ἐξ ἴσου, μειονεξίαν τε καὶ πλεονεξίαν ἀποδιδράσκοντες, καὶ ἐν ὅροις τοῦ καλοῦ μένοντες. ἀκτησίας δὲ τοσοῦτον αὐτοῖς τὸ πλέον, καὶ οὕτω τῶν Ἀντισθένους καὶ Διογένους καὶ Κράτητος ὑπερέσχον, ὡς παιδιὰν ἀποφῆναι τὰ ἐκείνων σεμνολογήματα. ἦσαν γὰρ ἐξ ἴσου τῶν ἐκείνοις κτημάτων ὑπερφρονοῦντες, ἀλαζονείαν δὲ καὶ κενοδοξίαν ἀποσειόμενοι, οἷς οἱ θαυμαστοὶ κυνικοὶ ἐκέχρηντο δημοσίοις κηρύγμασι, καὶ τῇ τῶν λοιπῶν ἀνθρώπων ὑπεροψίᾳ τὸ τῆς φιλοσοφίας σεμνὸν λυμηνάμενοι. φρονήσεως δὲ ἕνεκα, τί χρὴ καὶ λέγειν; οἷς μία μελέτη ἅπας ὁ βίος, καὶ ἔφεσις ἀληθὴς ἦν τὴν αὐτῆς κτῆσιν ἐπὶ τοῦτο, καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν, ὥσπερ θησαυρὸν ἀνορύττουσι, καθά φησιν Ἰὼβ ὁ μακάριος. οὐ γὰρ ᾔδεσαν οἱ γενναῖοι, ὅτι ὁ ἐν τῇ μελέτῃ προδανεισθεὶς πόνος, ἐν τῇ διαμονῇ, καὶ περιουσίᾳ τῆς γνώσεως τὴν ἰσχὺν ἀποδίδωσιν. οὕτω μὲν οὖν ὑπῆρχεν αὐτοῖς τῶν τε καθ' ἑαυτοὺς καὶ πλείστων ἀρχαιοτέρων ἐλλογιμωτέρων γενέσθαι, πόνῳ τε καὶ εὐκλείᾳ φύσεως, καὶ περὶ πολλὰ τὰ καλὰ μόνα ἐσπουδακέναι. γραμματικῆς μὲν οὖν αὐτοῖς, οὐδὲ ποιητικὸν τὸ ἔλαθον, οὐ μέτρων ἐπιστήμη, οὐ κριτικοὶ σκοποὶ καὶ τρόποι, οὐχ ἱστορίας πλῆθος, οὐ πολιτικῆς λέξεως καθαρότης. ῥητορικῆς δὲ τὸ τῆς φράσεως κάλλος ἅπαν ἀποσυλώμενοι, τὸ ψεῦδος ἐξέκλεισαν. φιλοσοφίας δὲ ἠθικῆς, καὶ ὅση ἐν δόγμασι καὶ ἰατρικῆς ἐνδείξει, καὶ ἀναλογισμῶν, οὐ μέχρις ἐλευθέρου μετέσχον παιδεύσεως, ὡς ἂν μὴ ἰδιώτην μόνον τὸ πλέον ἔχοιεν, ἀλλὰ καθάπερ τινὲς παιδευταὶ καὶ διδάσκαλοι ἄριστοι. τῆς δ' αὖ μουσικῆς, ὅσον μὲν ἀρχαῖον καὶ ἐναρμόνιον ἐκμαθόντες, τὸ τῆς ψυχῆς θυμοειδές τε καὶ δυσκάθεκτον ἐξημάλασσον. τὸ δ' ὅσον πρὸς ἡδονὴν φέρει, ταῖς σκηναῖς ἀπεπέμψαντο· ἀριθμῶν δὲ λογισμοὺς, καὶ γεωμετρίας ἰσότητα, καὶ ἄστρων θέσιν καὶ κίνησιν, καθάπερ νέοι Μωυσῆς τε καὶ Δανιὴλ ἐκπαιδεύονται, οὐ πρὸς ἐκείνων μᾶλλον ἀγόμενοι, ἀλλ' αἰχμαλωτίζοντες κατὰ τὸ γεγραμμένον πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ. κάλλος τι καὶ σκέπην τῆς πρώτης σοφίας ταύτην τιθέμενοι, καὶ διὰ πάντων, ὡς ἔπος εἰπεῖν, ἐβάδιζον, βελτιόνων τε καὶ χειρόνων, ὥστε τὰ μὲν ἔχειν φυγεῖν, τὰ δὲ ἑλέσθαι μετὰ συνέσεως. ἐπαινῶ γὰρ τὸν εἰπόντα καὶ θύραθεν ἑστηκότα τῆς ἡμετέρας αὐλῆς. οὐ γάρ τοι γνῶναί τι τῶν μὴ καλῶν, ἄπημον· ἀλλ' ἴασιν ἐξ αὐτοῦ συμβαίνεσθαι τοῖς μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένοις. ἀλλὰ τί ἔπαθον, ὦ φίλοι; μεταξὺ γὰρ προϊὼν ὁ λόγος συναρπάσας τὸν λέγοντα, καθάπερ ἵππος τὸν ἐπιβάτην, εἰς τοὺς ἐπαίνους κατέστησε Βασιλείου τοῦ μακαρίου. μικρὸν οὖν ἐπισχὼν, οἷον ἐκ σπουδῆς, ἀναστέλλω τὸν λόγον, καὶ τὴν τόλμαν ἐφέξω, μὴ πρόσω φέρεσθαι. οἱ γὰρ τῆς ὑπὲρ δύναμιν ἐφιέμενοι, καὶ τῆς μετρίου ἀποτυγχάνουσιν. ἀλλὰ Βασίλειος μὲν τὴν καλὴν πραγματείαν ἐμπρεσβευσάμενος, οἴκαδε ἵκετο. Γρηγόριος δὲ ἀπρὶξ κατείχετο τοῖς Ἀθηναίων φοιτηταῖς, μήτε τὴν ἔξοδον αὐτῷ συγχωροῦσι, καὶ παιδεύειν αὐτοὺς ἐκλιπαροῦσι, τόν τε σοφιστικὸν θρόνον παρακαλοῦσι δέχεσθαι. ὁ δὲ πρὸς μὲν ὀλίγον τὴν πρὸς αὐτοὺς χάριν ἀφοσιούμενος, ἔμεινε. μικρὸν δὲ ὕστερον ἅπαντας τοὺς ἐκεῖσε φίλους ἀντιβολήσας, καὶ πείσας ὡς ἀναγκαία εἴη αὐτῷ ἡ πρὸς τοὺς τεκόντας ἄφιξις, τριακοστὸν ἤδη πληρώσας ἔτος ἐν τοῖς μαθήμασιν, οὕτω τῇ πατρίδι ἑαυτὸν ἀποδίδωσι. καὶ πρότερον μὲν, τὸ θεῖον λαμβάνει βάπτισμα. ὁ καὶ πρώην τῇ δυνάμει πεφωτισμένος. καὶ τίθησιν ὅρον ἑαυτῷ μήποτε ὀμόσειν, μέχρις ἂν τῷ βίῳ τούτῳ ἐμπολιτεύηται, ὃν καὶ εἰς τέλος ἐφύλαξεν. ἔπειτα πόθον γονέων καὶ φίλων ἀποπληροῖ, τῶν αὐτοῦ λόγων ἐφιεμένων ἀκοῦσαι. οὐ γὰρ αὐτὸς εἶχε τὴν τοιαύτην φιλοτιμίαν. συμβουλευόντων δὲ δημοσίοις τε καὶ οἰκείοις ἐγκαλλωπίσασθαι καλοῖς (οὕτω γὰρ ὀνομάζω τὴν ἐν τοῖς ὑλικοῖς περιφάνειαν) αὐτὸς ἑαυτῷ συνεβούλευε δοῦναι ἑαυτὸν, καθάπερ ὑπέσχετο κινδυνεύων θεῷ, κόσμου τε χωρισθῆναι, καὶ μόνῳ τῷ καθαρωτάτῳ συνεῖναι· καὶ ταῖς ἱεραῖς βίβλοις καθομιλοῦντα, ἐκεῖθεν ἕλκειν τῆς ἀληθείας τὴν ἔλλαμψιν, ὃ δὴ καὶ ποιῶν διετέλει, μονάσας μὲν αὐτῷ κοσμικοῦ, καὶ ἀντίμεμον

Xenocratis et Polemonis continentia.

Aristides.

Antisthenes. Diogenes. Crates.

συμβαίνει γίνεσθαι

Gregorius ad suos redit.

Triginta natus annos baptizatur.

ιστον

αὐτῇ χρήματος οὐκ εἶν ἐλλόμενος. πολλάκις γοῦν καὶ χρυσὸν ἑώρα ἐν ἀφανῶς ἐν ὕπνοις καὶ ἐν μελέτῃ νυκτερινῇ, καθώς φησιν ἡ βίβλος ἡ ἱερά, ταύτην τῆς καθαρότητος λαμβάνων ἀντίδοσιν. μακάριοι γάρ φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. καθαρὸν γὰρ ἔσοπτρον φησὶν ὁ κύριος, ὅπερ ἦν ὁ μέγας Γρηγόριος, καταλιπὼν πόλεις, ἀγοράς. θέατρα, σοφιστῶν

κλύπον

τύπον, ἀρχόντων ἀπονοίας, δικαστῶν μεταλλάξεις, δικαζομένων ἔριδας, ῥητόρων φωνήν, κλεπτῶν ἐπιβουλάς, ἐμπόρων ἀπληστίαν, καπήλων ὅρκους, πλουσίων τῦφον, ἐνδεῶν κακεργίας, κόρον, μέθην, δόξαν τὴν ἀπατῶσαν, ἐσθῆτα πολυτελῆ, κειμήλια ἐκ χρυσοῦ τε καὶ ἀργύρου πεποιημένα, οἴκων γραφάς τε καὶ πλάκας μαρμάρων διαπρεπεῖς, καὶ ψηφῖσι διηνθισμένας. ἀλλὰ τί ὅσα τῆς διανοίας καθαρὸν ἐπιθολοῦντα, τῷ καθαρωτάτῳ φωτὶ οὐκ ἐπιβλέπει τὴν εἴσοδον. ταῦτα ἡμῖν ὁ Γρηγόριος, ἐν νέᾳ τῇ ἡλικίᾳ. ἐπειδὴ δὲ ὁ πατὴρ εἰς ἱερέα προβάλλεται

Pater Gregorij ipsum presbyterum ordinavit.

τὸν υἱόν, χειροτονήσας πρεσβύτερον βίᾳ τε, καὶ μόλις εἴξαντα, τί ποιεῖ; τῆς ἐκκλησίας ἐπιξέσι, τὰς καταπασσούσας αὐτὸν μερίμνας ἀποδιδράσκων. ἐρχόμενος ἐν πόντῳ μετὰ Βασιλείου τοῦ πάνυ φιλοσοφεῖ ἅμα τοῦ παιδευθέντος, καὶ πρὸς ὀλίγον διαιρεθέντος, πάλιν ἀλλήλοις προσέδραμον, τόπων τε κοινωνίᾳ, καὶ τῇ πρὸς ἑαυτοὺς ἀποσχίσει συνελαυνόμενοι. ὡς ἐν αὐτοῖς πληρωθῆναι τὸ εἰρημένον, ὅπου δ᾽ ἂν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. διέτριβον οὖν τήν τε ἀρετὴν τῇ παιδείᾳ συναυξάνοντες, καὶ θεσμοὺς ἀσκήσεως τοῖς φιλοθέοις ἀσκηταῖς, καὶ κόσμον χωρισθεῖσι τιθέμενοι, τῶν λυκούργου μὲν ἐρωτικωτέρους, τῶν δὲ σόλωνος σεμνοτέρους, καὶ δικαιοτέρους τῶν μίνω. μᾶλλον δὲ ἵνα τι λέξω περὶ τὴν αἰθέρος ὑψηλότερον, μοναστικὰ μιμοῦνται, νέφη τε καταλιπόμενοι καὶ ὄρεσιν ἀναχωρήσει τοῦ ταραχώδους βίου, πόρρω ἑαυτοὺς καθιστῶντες ἐν ἀμαθήτῳ. ὁ δὲ πατὴρ γήρᾳ τε βαρυνόμενος, καὶ φροντίσιν, ἔτι δὲ καὶ πάθει τοῦ υἱοῦ καισαρίου πιεσθείς, οὐ φέρων τὴν μόνωσιν, ἐπιστολαῖς δυσωπητικαῖς τὸν Γρηγόριον πείθει πρὸς τὴν ἐπάνοδον. ὁ δὲ φοβερὸν κρίνας τὴν ἀπειλὴν πατρός, καὶ ἱερέως. καὶ πρεσβύτου, ἐπάνεισι, τῇ μὲν ἄκων, τῇ δὲ καὶ βουλόμενος. ἡσυχίας μὲν γὰρ πόθος ἐν τῷ πόντῳ μένειν ἀνέπειθεν. ἀλλ᾽ ἀνθεῖλκεν ὁ σκοπὸς εὐσεβὴς πατρικῆς θεραπείας. ἐπεὶ δὴ καισάριος ἀρχὴν μεγίστην πεπιστευμένος, ἐπιμελητὴς τῶν θησαυρῶν κατασταθείς, καὶ ταμίας τῶν δημοσίων χρημάτων, ἐν τῷ καιρῷ τῆς ἀρχῆς ἐτελεύτα τὸν βίον. ἔδει δὲ κατὰ νόμους τήν τε οὐσίαν τοῦ παιδὸς τὸν πατέρα κληρονόμον

ἀπ

ἀναδέχεσθαι, καὶ τὰς ἀνάγκας τῶν κινούντων κατὰ τοῦ οἰχομένου ἐφ᾽ ἑαυτὸν μεταστήσασθαι, συνέβη πολλῷ ταράχῳ τὸν μέγαν ἐνειληθῆναι Γρηγόριον, πολλῶν κεμάδι οἷα κυνῶν ἐπιδραμόντων τῇ θήρᾳ, ἐρήμην οἰομένων λήψεσθαι τὴν οὐσίαν τοῦ πλουτίζοντος. καὶ ὁ μὲν πατὴρ γήρᾳ τε καὶ νόσῳ καμφθείς, ἐνενήκοντα ἤδη διηνυκὼς ἔτη, τὴν ἐκ τῶν δυναστειῶν συμβολὴν φέρειν οὐκ ἔσθενε. εἰς ἑαυτὸν δὴ οὖν πᾶσα ἡ φροντὶς περιΐστατο, πολλή γε δὴ ἡ πρὸς γονεῖς θεραπεία, καὶ τῇ ἀνδρείᾳ καθυμνάζων ἐλπίδι, ἐπὶ τῶν ἀποκειμένων μισθῶν, οἳ τοῖς εἰς γονέας εὐσεβοῦσιν ἐπηγγέλθησαν. ἐγένετο δέ καί τι τοιοῦτον τῆς ἀρειανικῆς αἱρέσεως διὰ τῶν πνευμάτων τῆς πονηρίας ἐπικλυζούσης τὴν ἐκκλησίαν. πολλοὶ τῶν ἀρχιερέων, τῶν παλαιῶν ὑπεξωσθέντων, αἰκίαις τε καὶ ἀπηνοτρόποις καὶ συκοφαντίαις ἐκδιδόμενοι, ἱερεῖς τε καὶ λαοῦ παμπληθῆ συστήματα, ἐν ὑπαίθρῳ ἐταλαιπώρουν, ὅτι τῆς ἐκ τῶν νόμων δι-

... ὅλη οἶκον προσευχῆς ἔχοντες

καιοσύνης τοῖς ἀσεβέσι ἐξῆν μεταλαμβάνοντες, ταῦτα σχεδὸν τῆς αἱρέσεως ἐπιλαβούσης τὰ πέρατα, βασιλικῇ τε χειρὶ καὶ ἀσεβείᾳ θρασυνομένης. ἰδόντες δ᾽ οὖν παρρησίᾳ τοῖς ὀλεθρίοις ποιμέσι, καὶ τῷ ἡμέρῳ ποιμνίῳ τὸν λύκον περικαλύπτουσι, ἔξωθεν τοὺς πιστοὺς ἀρχιερέας, καὶ τὸν πρῶτον ποιμένα ἀξίως χριστοῦ. ταύτῃ γ᾽ οὖν ἔνιοι μὲν φόβῳ καταπλαγέντες, οἱ δὲ κολακείαις μαλακισθέντες ἢ χρήμασιν ἡττηθέντες, ἕτεροι δὲ ἁπλότητι τρόπων φενακισθέντες, τὸ δέλεαρ τῆς αἱρέσεως καταδέχονται, γραφῇ τε χειρὸς καὶ κοινωνίᾳ συναφθέντες τοῖς ὑπεναντίοις. ὧν εἷς ἦν καὶ ὁ τοῦ μακαρίου πατήρ, ἀκεραιότητι γνώμης τῷ

Pater Gregorij ad Arianos deficit.

ἀγκίστρῳ περιπεσών. ἔσχον οἱ τῆς χώρας μοναστοὶ μὴ ἀναχόμενοι, τῆς κοινωνίας αὐτοῦ ἀποτέμνονται. συναπέστη δὲ αὐτοῖς καὶ τοῦ λαοῦ μέρος οὐ τὸ βραχύτατον τῇ ἀξιοπιστίᾳ τῶν ἀσκητῶν, ἀτεχνῶς ἐξακολουθήσαντες. τί οὖν ὁ τοῦ θεοῦ θεράπων; τὰ μὲν πρῶτα λιταῖς τε καὶ παννυχίσι τὸν θεὸν ἐξευμενίζετο, δοθῆναι λύσιν τοῦ κακοῦ, ἐπὶ τῆς διαιρέσεως γενέσθαι συνέλευσιν, σιωπήν τε τοῦ λέγειν ἑαυτῷ ἐπιτάξας, καὶ οὕτω τὸ σκυθρωπὸν ἐνδεικνύμενος, εἶτα νουθετήσας τὸν πατέρα συγγνώμην αἰτῆσαι τοῦ πταίσματος. καὶ ὁμολογῆσαι καθαρῶς τε καὶ εἰλικρινῶς τὴν ἀλήθειαν, τούς τε ἀποστάντας συμβιβάσαι πρὸς συγκατάβασιν, καὶ ὁμόνοιαν, ἀπέδωκε τὸν κόσμον τῇ ἐκκλησίᾳ, αἰδέσιμος ἀμφοτέροις φανείς, πατρί τε καὶ ποιμνίῳ θεοσεβεῖ. φαιδρύνει δὲ λόγοις εἰρηνικοῖς τὴν πανήγυριν, συνάψας τὰ διεστῶτα, καὶ τῷ τάχει τοῦ ἰάματος λήθην ἐμποιήσας τοῦ ἀρρωστήματος. κράτης μὲν οὖν

Crates.

λέγεται ὁ θηβαῖος τοῖς στασιάζουσιν οἴκοις ἐπιφοιτῶν, λόγοις εἰρηνικοῖς διακρίνειν τὰς ἔριδας,

ἀλλ᾽

ἀλλ' ἐν τούτῳ τὸ μεῖζον πρόσεστιν. οὐ γὰρ ἰδίᾳ τισὶν, ὥσπερ ἐκεῖνος, ἀλλὰ κοινῇ τῇ πατρίδι, τὴν ὁμόνοιαν ἐπανήγαγε· καὶ τό γε μέγιστον, ὅτι οὐ περὶ χρημάτων, ἢ ὕβρεων ἀμφισβητοῦσιν ἐβράβευσεν, ὅπου πολλάκις καὶ οἱ τυχόντες φαίνονται, ῥαδίως ὤνησαν, ἀλλὰ περὶ πίστεως στασιάζουσιν. ἔνθα φιλεῖ τῷ μεγέθει τοῦ πράγματος συνεξιοῦσθαι καὶ τὸ φιλόνεικον, ὡς καὶ τοὺς ἄγαν σοφοὺς λόγων μικρὸν καὶ μόλις ἀνύειν δύνασθαι πρὸς τὸ συνάψαι τὰ διεστῶτα. ἐπεὶ δὴ δὲ ἡ χριστιανῶν κακία καὶ ἔκλυσις, καταφρόνησιν θεοῦ καὶ τῆς αὐτοῦ ἐντολῶν, νοσήσασά τε καὶ μελετήσασα, ἐπήγειρεν ἡμῖν τὸν μισόχριστον αὐτοκράτορα, Ἰουλιανὸν δὲ λέγω τὸν τύραννον, ὃς τὴν προγονικὴν πίστιν καὶ ἀφ' ἣν Κωνσταντίνου τοῦ μεγάλου, τοῖς ἐναντίοις ὑπερνικῆσαι ἐφιλονείκησε. καὶ διὰ τοῦτο πάντων δικαίων ἀπεστέρει χριστιανοὺς, εἰ καὶ μὴ δημοσίῳ προστάγματι τὸν τῶν χριστιανῶν διωγμὸν προεκήρυξεν, ἀλλ' ἐν τῷ βουλήματι, καὶ οἷς τι σιωπῶν κατ' αὐτὴν εἰργάσατο, καὶ οἷς ἐνομοθέτησεν ἑλληνικῶν λόγων καὶ παιδευμάτων ἀμοίρους εἶναι χριστιανούς. ἡ δὲ αὐτοχειρὶ τοῦ θεοῦ καὶ πολὺ τὸ ἀλιτήριον ὑψωθῆναι παραχωρήσασα, ὡς ἑώρα παντελῶς αὐτοῦ τὴν πονηρίαν ἀμεταμέλητον, στιλβώσασα τὴν ῥομφαίαν, ἀξίαν τῆς ἀσεβείας δίκην εἰσπράττεται, ἐν ὅροις βαρβάρων τὴν βάρβαρον αὐτοῦ καὶ θηριώδη ζωὴν διαρρήξασα, αὐτίκα ὁ μέγας Γρηγόριος, στηλιτεύει μὲν αὐτοῦ τὴν κακίαν, καὶ τὴν ἀσέβειαν, τὰς δὲ συβαριτικὰς Ἑλλήνων αἰσχρολογίας, καὶ τοὺς παλαιοὺς μύθους, καὶ τὴν πολύθεον πλάνην ἐν ταῖς ἁπάντων ἀπογυμνώσας ὄψεσι, κοινὸν τοῖς εὖ φρονοῦσι προὔθηκε γέλωτα· ἀλλὰ τί δὴ τὰ μεγάλα τοῦ ἀνδρὸς, καὶ ὑπέρογκα βραχεῖ λόγῳ ἐγχειρῶ καταδεικνύειν· καὶ εἰς τὸ ἐναντίον ἰέναι τοῦ ἐνεστῶτος σκοποῦ, καὶ ἐν καιρῷ ἐγκωμίων, ὅτε δεῖ μάλιστα τὸν ἐπαινούμενον τῇ ἐξόδῳ τῶν πεπραγμένων, ἐπιδεξιώτερον γίνεσθαι, ἐξὸν ἐντυχόντα τοῖς στηλιτευτικοῖς λόγοις θαυμάσαι πότε πλῆθος τῆς ἱστορίας, καὶ τὴν ἁρμονίαν, ὅσην τε εἶχε τοῦ λέγειν δύναμιν. πρὸς δὲ τὴν θαυμασίαν τοῦ τυράννου νομοθεσίαν τὴν προστάττουσαν μηδένα χριστιανὸν τὰ Ἑλλήνων μυεῖσθαι μαθήματα· ὁρᾶτε τοῦ μακαρίου τὴν σύνεσιν. χρησάμενος ἡρωϊκοῖς μέτροις τε καὶ ἰαμβικοῖς, καὶ ἐλεγείοις, καὶ τριμέτροις, καὶ ἑτέροις πολλοῖς, χαρακτῆρσί τε τραγῳδίας καὶ κωμῳδίας, καὶ ἁπάσης συγγραφικῆς ἰδέας, ὀλίγου δεῖν πᾶν εἶδος παιδεύσεως τοῖς ἰδίοις λόγοις ἀπετυπώσατο, ὑποθέσεις θεοσεβεῖς πανταχοῦ ἐνστησάμενος, ἢ ἀρετῆς ἔπαινον, ἢ ψυχῆς τε καὶ σώματος κάθαρσιν, ἢ θεολογίαν, ἢ προσευχὰς, ἢ τὰ τοιαῦτα ἄλλα λογογραφήσας ἐμμέτρως· φυγὼν μὲν παντάπασιν ἀσέλγειάν τε καὶ λήρους μύθων, καὶ θεῶν τερατείας, ὥσπερ εἰκὸς, πάνσοφον δὲ διδασκαλίαν χριστιανοῖς ἐνστησάμενος, ὥστε μηδὲν ὄφελος διαχθῆναι τῆς τοῦ ἀσεβοῦς ἀθέσμου νομοθεσίας, χριστιανοῖς ἐπὶ τῇ παιδείᾳ βασκαίνοντος, ἀλλὰ καὶ τοὐναντίον ἀποχρῆναι καὶ προσζημιωθῆναι. τοιοῦτον γὰρ ὁ φθόνος. μικρὰ ἢ οὐδὲν ἀδικήσας τοὺς φθονηθέντας, μεγάλως τοὺς αὐτὸν γεννήσαντας ἐλυμήνατο. ἤδη δὲ καὶ ἐν Ἀθήναις αὐτός τε διατρίβων, συνέβαλλε τῷ Ἰουλιανῷ κομιδῇ νέῳ ὄντι, καὶ οὔπω τῆς βασιλείας ἐπειλημμένῳ, ἀλλ' εἰς διδασκάλων φοιτῶντι, καὶ τοῖς φίλοις προκατεμήνυεν, ὕπουλόν τε καὶ ἄπιστον, καὶ ἀσεβῆ, καὶ πρὸς κακίαν παντελῶς ἄκολον, προλέγων ἔσεσθαι τὸ μειράκιον· τεκμήρια μὲν λαμβάνων χαρακτῆρος μὲν ταραχώδους κατάστημα, καὶ γέλωτα προπετῆ, βλέμμα τε θηριῶδες, καὶ ἅπαν τὸ σῶμα ἄστατόν τε καὶ φερόμενον· καὶ τὰ ἤρη ἀνοίας ὁρμήματα, διαλέξεις τε ἀσεβείας μεστὰς, καὶ ῥήματι γυμνασίας ἦθος προεκάλυπτον. καὶ ὅτι ἦσαν αὐτῷ πονηροί τε στεργόμενοι, καὶ οἱ τῆς ἀρετῆς ἐπαινέται καταφρονούμενοι. ταῦτα ἐνορῶν, προὔλεγεν ἅπασι τὴν νέαν κακίστην ἐσομένην ἔκρηξιν καὶ φανέρωσιν. δειναὶ γὰρ αἱ καθαραὶ φύσεις τεκμαίρεσθαι τὸ μέλλον, καὶ τοῖς ἀμυδρῶς δεικνυμένοις, εὐστοχίᾳ καὶ συνέσει τοῦ ἐσομένου καταστοχάσασθαι. ἀλλ' ὁ μὲν κακῶς ἀπελέγχθη, ἀνομήσας διακενῆς, καὶ οὐδὲν ἕτερον ἢ ὕλην κολάσεως ἑαυτῷ θησαυρίσας. Γρηγόριος δὲ μετ' οὐ πολὺν χρόνον στάσεων αἱρετικῶν καταδραμόντος τὴν Καισαρείαν, Εὐσεβίου μὲν τοῦ ὁσίου ἐπὶ πολὺ λαχόντος τὴν μητρόπολιν, πρὸς δὲ τὸν μέγαν Βασίλειον πρεσβύτερον ὄντα, καὶ ἐν τῷ πάντων φιλοσοφοῦντα, ἔχθραν ἀνῃρημένου, δείσας τὴν αἱρετικῶν τὸν συνασπισμὸν, καὶ τὴν ἔφοδον τοῦ προεστῶτος μὴ ἀθρόον παραλύεσθαι (ἦν δ' οὗτος εἰ καὶ τὸν βίον σεμνὸς, ἀλλ' οὖν πρὸς θεολογίαν ἀγύμναστος) ἐπιστέλλει Βασιλείῳ τῷ φωστῆρι τὴν ἔχθραν μετ' αὐτοῦ ἀλογῆσαι, τὸν κίνδυνον δὲ τῆς ψυχῶν ἐννοήσαντα τὰς χεῖρας ἐπιδοῦναι ἑαυτὸν κομίσαι τῇ ἐκκλησίᾳ τῆς μητροπόλεως· ἅμα δὲ καὶ τὴν ἑαυτοῦ παρουσίαν καὶ συμμαχίαν ὑπισχνούμενος. ταῦτα εἰπὼν, πείθει τὸν ἄριστον στρατηγὸν, ἐκλύσασθαι τὸν πόλεμον. ἐλθὼν δὲ καὶ αὐτὸς, καὶ συνεκστρατεύσας αὐτῷ, εἰς τὸ ὀχύρωμα τῶν αἱρετικῶν παραδύεται, καὶ τὰ τῶν ἀσεβῶν δόγματα κατατέμνων καὶ διαλύων, συνεγείρει τὸ τρόπαιον, φυγάδας ἀπελέγξας τοὺς πολεμίους, τῆς αὐτῶν ἀνανδρίας λαβόντας συναίσθησιν. τοιαῦτα διὰ τῶν ἑαυτοῦ θεραπόντων θεὸς κατεργάζεται· ὃς ὅταν ἴδῃ πολλὴν ἐπιπλάζουσαν τῶν ἀνθρώπων παρανομίαν,

Julianus tyrannus.

Julian mors.

Poëmata scribit Gregorius.

Juliani ingenium multo ante praesagivit.

Eusebius Caesariensis in theologia non satis exercitatus.

οἰκτῷ τοῦ τιμιωτάτου πλάσματος, ἐξεγείρει πλέον αὐτὸν ἐπικουρίαν τινὰ καὶ παραμυθίαν τοῖς κινδυνεύουσι προμηθούμενος, ἵνα μὴ τοῦ στηρίζοντος ἡ ἀχρεία τὸ γένος λυμαίνηται. καθὰ δή ποτε πεποίηκε, τοὺς διαστασιάσαντας, οἷόν τινα ὀπὸν τὸν ἐμβαλλόμενον γάλακτι τούτους εἰς μέσον τιθεὶς σὺν τῇ πολυειδεῖ ἐμπειρίᾳ καὶ ἀσκήσει, πλεῖστον ἀλλήλων ἀφεστηκότας, εἰς μίαν συνδεῖ φιλίαν καὶ ἁρμονίαν. οὐ πολὺ τὸ ἐν μέσῳ. καὶ ὁ μὲν εἰρημένος πρόεδρος τῆς ἐκκλησίας, πρὸς τὴν ἀμείνω μεθίσταται ζωήν. πολὺς δὲ οὗτος τῷ Γρηγορίῳ καθίσταται γράφοντι πρὸς τὴν πόλιν, καὶ ἰδίᾳ τισί, καὶ κοινῇ πᾶσι, καὶ πείθειν, τὰ μὲν διὰ τοῦ πατρός, τὰ δὲ δι' ἑαυτοῦ τῷ θρόνῳ τῆς ἀρχιερωσύνης ἐγκαθιδρῦσαι Βασίλειον· λίαν ἐσπούδαζε πλέον. οὐ γὰρ ὡς φίλῳ χαριζόμενος, ἔπραττεν, ἀλλὰ τοῦ κοινοῦ προνοῶν. ᾔδει γάρ, ᾔδει σαφῶς, τὸν τοῦ πνεύματος ἄξιον προστασίαν. δι' ὅπερ οὐκ ἀνῆκε, πρὶν εἰς τέλος ἀγαγεῖν τὸ προσηκόντως βεβουλευμένον, καὶ μέντοι καὶ ἤγαγεν. ὁ μὲν δὴ Βασίλειος εἶχε τῆς Καισαρέων τοὺς οἴακας. φθόνου δὲ καὶ φιλαρχίας ἐπαυξηθέντων, διαιρεῖται εἰς δύο ἡ Καππαδοκῶν, μέχρι τότε μία γνωριζομένη. καὶ ἀποδιαιρεῖται τῆς Καισαρέων Τυάνα, ὡς λοιπὸν ἐκδημεῖσθαι παρ' ἀμφοτέρων, τὰς πολίχνας ἀμφισβητουμένων ὁποίαν ἑκατέρας εἶναι χρεών. πολλὴ γοῦν ἐντεῦθεν ἐξήχθη φιλονεικία, πρόφασιν μὲν ἔχουσα, καὶ τὴν ψυχῶν δῆθεν κηδεμονίαν· σπουδὴν δέ, πλεονεξίαν καὶ φιλαρχίαν, σεμναῖς κλήσεσι πειρωμένων κατακρύπτειν τὰ αἴσχη. καινοτομούμενος δέ, καὶ τὴν οἰκείαν ἀποστερούμενος ὁ μέγας Βασίλειος, εὖ ποιεῖ καθιστᾶσι τοῖς Σασίμοις ἐπίσκοπον, ἵνα κοινοποιήσας τὸ σχίσμα, τὴν ἄλλοθεν αὐτῷ παραγινομένην ζημίαν, ἐντεῦθεν ἰάσηται. καὶ ἅμα τὴν χώραν ἐπισκόποις καταπυκνώσας, ἐπιμέλειαν ταῖς ἐκκλησίαις μᾶλλον χαρίσηται. οὐδεὶς δὴ ἐδόκει Βασιλείῳ χρησιμώτερος τοῦ Γρηγορίου, καὶ ἱκανώτερος ἐπισκοπῆς καλῶς ἐνεργηθείσης ἀναπλάσθαι. ὅπερ βουλευσάμενος μετὰ τοῦ πατρὸς Γρηγορίου τοῦ θαυμασίου, προσάγει βιασάμενος τῇ χειροτονίᾳ τὸν ἄνδρα. καὶ τὸ μὲν ἔργον, εἶχε τέλος. ὁ δέ, καθὰ πολλάκις εἰρήκαμεν, σκοπόν, ἔχων ἡσυχίας τε καὶ πραγμάτων ἐλευθερίας, ἠνιᾶτο, ἐδυσφόρει ἑαυτῷ προσέχειν καὶ ἰδιάζειν ἀναγκαῖον οἰόμενος. πρὸς δὲ καὶ τὸ χωρίον τὰ Σάσιμα λέγων ἦν αὐτῷ ἀνεπιτήδειον, οἷα ζάλης τε καὶ ἀστικῶν θορύβων ἀναπεπληρωμένον. λεωφόρου γὰρ βασιλικῆς μέσον κείμενον, καὶ τοὺς δημοσίους δρόμους ἔχον τὰ ἱπποστάσια, δονεῖται τοῖς ἔθνεσι, πολλὴν μὲν αἰτίαν φόβου τοῖς ἡσυχίοις, ἀπόλαυσιν δὲ ἢ ὠφέλειαν, οὐδὲ τὴν τυχοῦσαν σχεδὸν παρεχόμενον. ταῦτα οἰκιδών, εἰς φροντιστήριον ἀσθενῶν καταφεύγει, διακονίᾳ τε καὶ λόγοις παρακλητικοῖς τὴν δυσαλθῆ τῆς νόσου καταπραΰνων, καὶ φιλοσοφίας τὸν καιρὸν ἐγγυμνάσιον τίθεται. λέγεται δὲ μηδὲ προσφορὰν ἢ χειροτονίαν, ἢ ἕτερόν τι τῶν συνήθων τοῖς ἐπισκόποις, ἐν τοῖς Σασίμοις ἐπιτελέσαι, ἀλλ' ἅμα τῇ χειροτονίᾳ τὸν δρασμὸν ἐννοῆσαι. ὁ δὲ πατήρ, πολὺς μὲν ἦν ἀναβολῶν αὐτὸν τὰ Σάσιμα δέχεσθαι· ἀλλ' ἐπειδὴ τοῦ σκοποῦ ἀπετύγχανε, δεύτερον ποιεῖται ἀνθ' ἑαυτοῦ ἐκείνους τῆς ἐκκλησίας Ναζιανζοῦ, ἀντιλαβέσθαι τὴν ἐπιμέλειαν. καὶ ὅπερ ἔπραττεν οὐ νουθεσίᾳ μόνον, ἀλλ' ἤδη καὶ ἀράν τινα προσμιγνὺς ἐκ πρεσβυτικῆς ὁρμωμένην ὀλιγωρίας. ὁ δὲ τότε ἀποδείσας τὴν ἑαυτοῦ διοικούμενος, καὶ τῷ πατρὶ πειθαρχεῖν μέγα κρίνων, φησὶ πρὸς αὐτόν· ὦ πάτερ, καίτοι δυσχερῆ μοι τὰ προστατόμενα, ὅμως δὲ σὴν χάριν οὐκ ἀναίνομαι. δέχομαι τὴν φροντίδα Ναζιανζοῦ· γινωσκέτω δέ σου ἡ ἱερὰ καὶ θεοφιλὴς σύνεσις, ὡς οὐχ οἷόν τέ με σοῦ τὸν τῇδε βίον χωριζομένου, τῆς ἐκκλησίας ἀνέχεσθαι. συμφωνήσας δὴ ὁ πατήρ, ἐμοὶ μὲν ἔφη ὦ παῖ, ζῶντι βοήθεια γενοῦ· τὸ γῆρας ὑποστηρίζων, καὶ ταῖς πατρικαῖς εὐχαῖς στηριζόμενος. τελευτήσαντος δέ, ὡς ἂν ᾖ σοι φίλον, διατίθεσο τὰ πράγματα. τούτων ἀκούσας, προσίεται γηροκομεῖν ἄριστα. αὐτόν τε ἤδη ἐκατὸν ἔτεσι πλησιάζοντα, καὶ τὴν μητέρα τούτων βραχύ τι ἀποδέουσαν, πολλῆς ὡς εἰκὸς θεραπείας καὶ ἀναπαύσεως χρῄζοντας, καὶ μάλιστα ἤδη καὶ Καισαρίου τὸν βίον μεταλλαχότος, καὶ Γοργονίας τῆς ὁσιωτάτης ἐν γυναιξὶν ἀδελφῆς, ἀμφοτέρων μεταστάντων πρὸς τὴν ἀγήρω ζωήν, καὶ ἄληκτον εὐδαιμονίαν, οὓς καὶ λόγοις ἐπιταφίοις ἐτίμησε, μόνος ἀπολειφθεὶς γήρως παραμυθία, ἀσθενείας ἰατρεία, γονέων εὐσεβῶν εἰ μὴ μέγα εἰπεῖν, ἀμείνων διαδοχή, καὶ ἀρκοῦσα τοῖς προγόνοις εὔκλεια, ὥστε καὶ τὴν δολιχὴν ἐκείνην τὴν μνήμην, καὶ τῇ συστάσει τοῦ κόσμου συμπαρεκτείνεσθαι. τίς μὲν οὖν θεοσεβέστερον οἰκείων προέστη; ἐπιστήμῃ οἰκονομῶν, καὶ φιλοθεΐᾳ τὸν οἶκον, ὥσπερ τις ἄριστος οἰκονόμος, ἑκάστῳ νέμων τὰ πρόσφορα, συγγενέσι, φίλοις, οἰκέταις, ξένοις. τὰ δὲ τῆς ἐκκλησίας, οὕτως ὡς κανόνα προκεῖσθαι δίκαιον ἅπασι τὴν ἐκείνου ποιμαντικήν, προσηκόντως δὲ εἴρηται τῷ θείῳ Παύλῳ· εἰ δέ τις τοῦ οἰκείου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; ὁ γὰρ ἕνα παιδαγωγήσας μετὰ συνέσεως, οὗτος δήπου καὶ οἶκον, καὶ ἐκκλησίαν, καὶ πόλιν. οἶκός τε γάρ ἐστι πολιτεία συνεσταλμένη, καὶ πόλις αὖ εἴη, οἴκου τελεωτέρα περιγραφή, τῆς δὲ αὐτῆς ἐπιστήμης πολλούς τε σώζειν, καὶ ὀλίγους, ἢ οἷα, καὶ οὐ τοῦ

ὅλῳ

Eusebius moritur.

Basilius ad ecclesiam Caesariensem promovetur.

Sasima.

λόγ ιϛ

ἢ ὁ τὴν ἐκκλησίαν

ὅλῳ καὶ παντί. ὅπερ οὖν πρὸς τῷ τέλει διαφθείρει, τά γε τοιαῦτα· τοῦ δὲ πατρὸς αὐτῷ Γρηγο-
ρίου (οὕτως γὰρ καὶ αὐτὸς ὠνομάζετο) τὸν βίον μεταλλάξαντος, τιμήσας τὸν πατέρα λόγοις
ἐπιταφίοις, τήν τε φιλοθεΐαν αὐτοῦ καὶ τὰ πόνοις ἐγκωμιάσας ἔπιζώσεν, ὅσα γε ποιεῖν ἦ οἷα
εἰδὼς τὸν φιλοπάτορά τε καὶ φιλομήτορα, καὶ φιλόχριστον, ἀντιλαμβανόμενος αὐτοῦ
ἐν χρείᾳ καὶ πολιᾷ βαθείᾳ δεομένης ἐπικουρίας τε καὶ ἀνέσεως, μηδὲ τὴν αὐτοῦ τελευτὴν, τῆς
ἐκκλησίας ὑπανεχώρησε. καὶ καταλαβὼν τὴν σελεύκειαν, ἐπὶ τῷ θεσπεσίῳ τῆς παναγίας θέ-
κλης ἐνδιαιτᾶται, καιρὸν ἐνδιδοὺς ἐπίσκοπόν τινα καταστῆναι ναζιανζοῦ. ὡς δὲ ἀποστρέψας
ἐν τοῖς ὁμοίοις ἦν μὲν ἀπρεμὴς προσελθόντος, καὶ τοῦ λαοῦ μηδὲ δακρύων αὐτὸν ἱκετευόν-
των, οὐ κατεμαλάχθη πρὸς τὴν αἴτησιν, ἀλλ' ἔμεινεν ἀκλινὴς, οὐχ ἧττον ἢ δρῦς, πρὸς ἐμβολὰς ἀνέ-
μων ἀπτώτως. ὃ δ' αὖ μικροῦ παρέδραμε τῇ ἐμῇ μνήμῃ, μέγιστον ὂν, τοῦτο ὑμῖν διηγήσομαι,
ἐκείνῳ γε εἰς εὐφημίαν οὐκ ἔλαττον, ἢ ὑμῖν εἰς εὐεργεσίαν. ποιεῖ δὲ καλὸν, ἦ ζηλωτὸν ὃ δὴ που τὸ
ζηλωτὸν, ὁ κρεῖσσον ἀρετῆς, ἢ δὲ πρὸς θεὸν φέρει τοὺς ἑπομένους. ὁρῶν ὁ μέγας βασίλειος
τοὺς λεγομένους ἀδελφοὺς, λίαν ἐλεεινοὺς καὶ συμπαθείας ἀξίους, ἥκιστα δὲ οἰκτειρομένους,
καὶ ὡς ἄγος τι, καὶ μίασμα, καὶ ἀποτρόπαιον τοῖς πολλοῖς ὄντας δι' ἀμαθίαν ἢ μισανθρω-
πίαν, καὶ εἰς ἔννοιαν τῆς φύσεως ἐλθὼν, βελτίω πρὸς τὴν εὐσέβειαν, καὶ τῆς ἐκείνου φιλαδελφίας
ἀξίαν, οἶκον παμμεγέθη ἀνῳκοδόμησε, καὶ προσόδους ἀποχρώσας τάξας, ὡς ἐκ τῶν εὐπό-
ρων πολυπραγμονησάμενος, προτρέψας συνέσεως λόγοις πρὸς τὴν ἐπίδοσιν, ἅπαντας τοὺς ἀσθενεῖς
εἰς ταυτὸν ἤθροισε, φροντιστήρια ταῦτα καλέσας πτωχῶν. τούτων συνεργὸς καὶ συναγωνιστὴς
ὑπῆρχε γρηγόριος, καὶ τοῦτο δηλοῖ ὁ περὶ φιλοπτωχείας λόγος, ὅσην περὶ τὸ πρᾶγμα σπου-
δὴν βασιλείῳ τῷ μεγάλῳ συγκατεβάλετο, μεγίστην δείξας τὴν ἐν τοσούτῳ παρρησίαν,
καὶ τῆς τοῦ θεοῦ μεγαλότητος καὶ φιλανθρωπίας ἀξίαν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον, ὅσον
τοῦ μὴ δόξαι παραλελεῖφθαι τοσοῦτον κατόρθωμα. τῆς δὲ ἀρειανικῆς αἱρέσεως ἐκ πολλῶν χρό-
νων πιεζούσης τὴν ἐκκλησίαν, καὶ βασιλικῇ χειρὶ καταστρεφομένης τὰ τοῦ θεοῦ ὀχυρώματα,
τὸ πρὸς ἀσέβειαν ἀποσπάσασθαι τοὺς ἁπλουστέρους, μέγαν τι θεῖον τὸν πατέρα καὶ μι-
κρὸν τὸν υἱὸν, καὶ κτίσμα τὸ ἅγιον πνεῦμα δογματιζούσης, ἐπεφύη δὲ ὥσπερ ὕδρας τινὸς, πολυθα-
λὴς κεφαλὴ, τῶν πνευματομάχων ἡ αἵρεσις, περὶ μὲν τὸν υἱὸν εὐγνωμονοῦσα, καὶ ἴσον τῷ
πατρὶ τιθεμένη τὸν λόγον, τὸ δὲ πνεῦμα τὸ ἅγιον βλασφημοῦσα, καὶ τοῦτο διχῶς. οἱ μὲν γὰρ
κτίσμα φανερῶς ἐδογμάτιζον, οἱ δὲ οὔτε κτίσμα, οὔτε θεὸν, ἀλλ' ἐλεύθερον. οὓς ἡμιαρειανοὺς ἐ-
κείνους ὠνόμαζε, περὶ πολὺ τῇ δόξῃ αὐτῶν τὴν προσηγορίαν ἐπιτεινών. ὡς τιμῶσι μὲν τὸν
υἱὸν, τὸ δὲ πνεῦμα τὸ ἅγιον ἀτιμάζουσι. τῆς δὲ τοιαύτης ἔριδος πάσαν ἀπολαβούσης τὴν τῶν
ῥωμαίων ἀρχὴν, πλέον δὲ τοῦ βυζαντίου κατακρατούσης, ἐξεγείρει ὁ θεὸς τὸ πνεῦμα τὸ ἅ-
γιον γρηγορίου τοῦ θεολόγου, ἐλεήσας τοὺς ἀπολλυμένους ὑπὸ τῆς φθοροποιοῦ τῆσδε διδασκα-
λίας. καὶ δὴ πρὸς μωυσέα φησίν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν αἰγύπτῳ (σκότος
δὲ ἡ αἴγυπτος λέγεται τῇ φωνῇ τῶν ἑβραίων. δηλοῖ δὲ νῦν τῆς αἱρέσεως τὸν καταχθόντα ζόφον), καὶ
τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. καὶ νῦν δεῦρο ἀποστελῶ σε
εἰς αἴγυπτον καὶ τοιαῦτα παρακελεύσει κινήσας τὸν ἄνδρα, εἰς τὸ βυζάντιον ἀποστέλλει πολε-
μήσοντα πνευματικῶς, ἵνα ὑπερμαχήσῃ τοῦ πνεύματος. ὁ δὲ αὐτίκα βασιλέως τοῦ μεγάλου φω-
στῆρος τὴν ὁρμὴν αὐτῷ συνεπιτείνοντος, καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀλείφοντος,
ἄλλων τε πλείστων ἀρχιερέων, καὶ τῶν πιστῶν τῆς βασιλίδος αἰτησαμένων, αὐτοῖς ἀλεξί-
κακον γενέσθαι, χωρίζουσι τὴν ἐπικουρίας, τῇ βασιλίδι παραβάλλει· ὕλης μὲν ἀπάσης, καὶ τρυφῆς καὶ
πλούτου ἄπορος, ἀλλὰ πνεύματος πλήρης. ὑποδέχεται δὲ παρὰ συγγενῶν καὶ τὸ σῶμα, καὶ
τὴν εὐσέβειαν. εὗρε δὲ τὴν ἐκκλησίαν, ὡς ἱστὸν ἐπ' ὄρους, ἢ ὡς σημαίαν ἐπὶ βουνοῦ, προφητι-
κῶς εἰπεῖν βραχεῖαν, καὶ εὐαρίθμητον, καὶ λανθάνουσαν διὰ τὸ πάσης παρρησίας ἀπὸ
τοῦ κράτους ἀποστερεῖσθαι· οἴκους δὲ ἱεροὺς ἅπαντας διηρπασμένους, καὶ βίᾳ κατεχομένους. μό-
νη δὲ ἡ ἁγία ἀναστασία. τοῖς ὀρθοδόξοις ἀνεῖτο· τάχα μὲν καὶ αὕτη καταφρονηθεῖσα, διὰ σμι-
κρότητα περιγραφῆς, οἴκους δὲ ἱεροὺς ἅπαντας διηρπασμένους, ὡς εἴδεν ἂν οἱ θεασάμε-
νοι τὸ παλαιὸν αὐτοῦ τίμιον. εὐθὺς οὖν αὐτὸς, ὥσπερ τις δαβὶδ, παρατάττεται· καὶ σφενδο-
νᾷ τὰ ἀλλόφυλα δόγματα λόγων στερρότητι, καὶ τοῖς πιστοῖς πιστῶς ἐπανάγει τὴν παρρη-
σίαν, καθ' ἡμέραν προσλαμβάνων, καὶ αἰχμαλωτίζων τῷ θεῷ τοὺς κακῶς ἐπαναστάντας
τῇ ἀληθείᾳ. ὀλίγου τοίνυν χρόνου διαδραμόντος, τοσαύτην τοῦ πλήθους τὴν ἐπίδοσιν ἐποιή-
σατο, ὥστε μὴ ἔτι ταῦτα συγχωρεῖν τοῖς πρότερον. κἀνταῦθα τὸ ἱερὸν πληροῦσθαι γράμμα, ὁ
οἶκος δαβὶδ ἐπορεύετο, καὶ ἐμεγαλύνετο· ὁ δὲ οἶκος σαοὺλ ἐπορεύετο, καὶ ἠσθένει. ἦν ὁρᾶν
τὸ ποικίλον τὰ τῶν σωζομένων τὴν εὐταξίαν. οἱ μὲν γὰρ ἤδη ἰσαγγελικοὶ ἦσαν, οἱ δὲ ἔμελλον·
οἱ δὲ ἤδη πληρωθέντες, ἄλλων ἦσαν θεραπευταὶ καὶ διδάσκαλοι. ἐπὶ τούτοις, τίς ἂν ἱστορίᾳ λόγον
τῶν μὲν ἀρειανῶν τὴν ὀργὴν, τῶν δὲ πολλῶν τὴν βασκανίαν, οἳ πρὸς δίον ἐπικρατεῖν, καὶ
ἀγωνίζο-

ἀγωνιζομένῳ συναγωνίζεσθαι, τοῖς κατορθώμασιν αὐτοῦ, ἰδυσχέραινον, ἔξαμμα τοῦ φθόνου, τῆς ἐκκλησίας ποιούμενοι τὴν ἐπίδοσιν, καὶ τοῖς ἴσοις κρατεῖν οὐκ ἰσχύοντες, ἀ οὐ βουλόμενοι κακίᾳ τὴν ἀρετὴν ὑπερβαλεῖν ἠμιλλῶντο. οὔπω δὲ τούτου χωρισθέντος τοῦ κακοῦ, ἕτερον φύεται ὁ σύρος ἀπολλινάριος, ἰδίαν τινὰ καινίζων κακοδοξίαν. τὴν γὰρ ἐνανθρώπησιν ἀληθῆ μὴ δοξάζων, σαρκὸς πρόσληψιν, καὶ ψυχῆς ἀλόγου μόνην ἐδίδασκε, ψυχῆς νοερᾶς τὴν οἰκονομίαν ἀποτεμνόμενος. ἐλλόγιμος δὲ ὢν τὴν τῶν ἑλλήνων παίδευσιν, κλέπτει πολλοὺς τῇ ποικιλίᾳ τῶν λόγων. πίπτουσι δὲ ἅπανταχοῦ γῆς μαθηταὶ τῆς αἱρέσεως, ἕλκοντες τοὺς ἀμαθεῖς, ὥσπερ ἀγκίστροις εἰς τὴν ἀπώλειαν. αὖθις δὲ ἀγῶνι δισμάχῳ συνείχετο, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, τοὺς μὲν ἐν τῇ πίστει διαφυλάττων, τοὺς δὲ ἐπανάγων, ὅθεν ἐξέπεσον. οἷα δ' οὖν πέφυκε συμπίπτειν ἐν τοῖς τοιούτοις, ἡ τῆς πλείστης ὁμολογία συγκέχυται, εἰς δύο υἱοὺς ἐνομίσθη τοῖς ἀπαιδεύτοις διαίρεσις. ἀεὶ οὖν περὶ δίμοιρον προσκαθιζομένων τῆς φοιτητῶν ἀπολλιναρίου, καὶ ταῦτα τοῦ ὁσίου κατηγορούντων, ἰσχυρὸν ἡ ἐπήρεια. ῥανὶς γὰρ ἐνδελεχοῦσα, κοιλαίνει πέτραν· καὶ ἐπειδὴ τὰ τοιαῦτα τῆς τῶν πολλῶν ἀκοῆς ὑψηλότερα, μὴ δυνάμενοι συνιέναι τῆς οἰκονομίας τὸ βάθος, λύκοι μὲν ἐπιστεύοντο. ὁ δὲ ποιμὴν, ὑπῆρχεν ἐν εὐσεβείᾳ, τὴν ἀλήθειαν ἐκπαιδεύων. οἱ δὲ τῆς ἀρείου δόξης ὑποδεῖ μαχοι, ὥσπερ οὐδὲν ἄγριοι κατὰ τοῦ ὁσίου πάλαι τὴν ὀργὴν τρέφοντες, προσλαβόντες δὲ καὶ τὴν ἐπανάστασιν αὐτῷ ταραχὴν καὶ συκοφαντίαν ἐκ τῶν δοξαζόντων τὰ ἀπολλιναρίου, ὑφάψαντες τὸν δῆμον ψευδέσι λόγοις, λίθοις μὲν τὸν ἄνδρα κατέλευσαν, ὡς ποτὲ ἰουδαῖοι τὸν στέφανον. πολὺ γε ἄστοχοι αὐτῶν γεγόνασιν αἱ βολαί, θεοῦ σκέποντος τὸν ἑαυτοῦ πρόμαχον. συλλαβόμενοι δὲ αὐτὸν, περὶ τοῦ ὑπαρχικοῦ παρίστανται βήματος, ὥς τινα ταραχῆς καὶ στάσεως αἴτιον. ὦ τῆς ἀναλγησίας, ὦ ἰσχύος τοῦ ψεύδους, εἰ γρηγόριος περὶ τοιούτων ἐκρίνετο, ὁ καὶ τῆς τῶν ἄλλων ὀργῆς τε καὶ ἀταξίας ἠπιώτατος ἰατρός, ὁ τῆς εἰρήνης βραβευτής, ὁ χριστοῦ μαθητὴς τοῦ πρᾳοῦ καὶ ταπεινοῦ, καὶ νομοθετοῦντος τὴν ἐπιείκειαν. αὐτὸς δὲ καίπερ τηλικούτοις χαλεποῖς συνεχόμενος, ἐκεῖνα ἐφρόνει τε καὶ ἐφθέγγετο, ἕνεκα τοῦ ὀνόματός σου χριστὲ ἐὰν καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. κἀντεῦθεν γοῦν μαστίγων καὶ αἰκίας χωρίς, ἀπελύετο, μάρτυς ἄνευ κινδύνων, καὶ δίχα μόχθων στεφανηφόρος, τοσοῦτον μόνον ἀγωνισάμενος, ὅσον ἀποθανεῖν τῇ προαιρέσει, ἃ μὴ παθεῖν χριστὸς συνεχώρησε. τούτοις δὲ διαλάμψας ἀγῶσιν, ἤδη πᾶσιν ὑπῆρχε καταφανὴς ζηλωτὴς μὲν τῇ παρρησίᾳ, τῆς ἀληθείας· ζηλωτὸς δὲ τῇ ἀρετῇ, καὶ τοῖς τοσούτοις πόνοις ἀποβλεπτός δὲ, τῷ πλήθει τῆς ἐκκλησίας. ὥστε καὶ πέτρον ἐπίσκοπον ὄντα τῆς ἀλεξανδρέων μεγαλοπόλεως, ἀθανασίου τοῦ πάνυ τὴν ποιμαντικὴν ἐκδεξάμενον, ἐπιστεῖλαι γρηγορίῳ τῷ μεγάλῳ τὸν κωνσταντίνου πόλεως ἀρχὴν βεβαιοῦντα. καὶ λίαν γε ὀρθῶς καὶ δικαίως. τίνα γὰρ ἐπίσκοπον εἶναι, ἢ τὸν τοὺς πόνους προσενεγκόντα τῆς ἀξιώματος, καὶ μισθὸν ἰδρώτων τὸν θρόνον, ἀλλὰ μὴ χάριν ἀνθρωπίνην ἀπενεγκάμενον. τὸ μὲν δὴ πλῆθος τῶν πεπραγμένων αὐτῷ ἀθρόως, ἐπεισιόν μου τῇ διανοίᾳ, συγχεῖ τὴν ἀκολουθίαν, καὶ καθάπερ ἐν κυμάτων ἐπαναστάσει τῶν δευτέρων ἡ φορὰ καλύπτει τὰ φθάσαντα. ἀλλ' οὖν ἅπαξ καταστὰς εἰς τὸν λόγον, οὐ προαποστήσομαι τοῦ πλέονος, τὸν γρηγορίου θεὸν λαμβάνων τῆς ἀσθενείας ἐπίκουρον, καὶ εἰς τὴν σύγγνωμον ἀφορῶν τῆς ὑμετέρας ἐπιεικείας. ἐγένετό τις ἐν τῇ βασιλίδι μάξιμος, τὸ γένος αἰγύπτιος, τὸν τρόπον βάρβαρος, ἰταμός τις νέος, διὰ κατὰ τοῦ μεγάλου γρηγορίῳ παρατεταγμένος· οὗτος φιλόσοφος ὢν κυνικὸς τῇ βακτηρίᾳ, καὶ τῇ κόμῃ, καὶ τῷ τρίβωνι σεμνυνόμενος, καὶ μέχρι τούτου ἔχων τὸ φιλοσοφεῖν. τῇ δὲ γαστριμαργίᾳ, καὶ τὴν πλεονεξίαν, καὶ τὴν ἀναίδειαν, κύων μᾶλλον, ἢ κυνικὸς, καὶ τῶν αἰσθητῶν γνωρίσμασιν αὐτίκα ἔτος. καὶ δι' ὃν ἄρτι καὶ ἀκούομεν, προσελθὼν περὶ ἱερῶν ποιμένι, καὶ παρ' αὐτοῦ κατηχηθεὶς, μεταμαθὼν τὴν ἀλήθειαν, μέρος τῆς ἐκκλησίας καθίσταται, ἀναγεννηθεὶς περὶ βαπτίσματι. εὐλάβειαν δὲ ὑποκρινόμενος, ὁμωρόφιος ἦν ὁμοτράπεζος τοῦ ἀρχιερέως καθίσταται, πάντα αὐτῷ εἶναι νομιζόμενος, γνήσιος ὑπηρέτης, λόγων ἐπαινέτης, εὔνους χριστιανοῖς, οὐ φαῦλος. ὡς δὲ πεῖραν τῷ χρόνῳ διδοὺς, ἄξιος ἐνομίσθη τοῦ βήματος, τηνικαῦτα τῷ κλήρῳ ἐγκαταλέγεται, καὶ τὸν ἰσάγγελον ζηλώσας, ἀποστασιν ἐννοεῖ κατὰ τοῦ διδασκάλου ἐπιστρατεύσας, συνεργῷ χρώμενός τινι πρεσβυτέρῳ τῆς ἐκκλησίας, ὃς μηδὲ ἐπιτιμηθεὶς πώποτε, ἀλλὰ καὶ λίαν ἐν τοῖς τιμίοις ὑπάρχων, τῷ μαξίμῳ τὸ δρᾶμα συνεσκαιώρει. τὸ δὲ ἦν, ἐπίσκοπον καταστῆσαι τῆς βυζαντίου τὸν μάξιμον. ἐπεὶ δὲ καὶ χρυσίου ἔδει πρὸς τὰ τοιαῦτα, πόθεν ὁ πέτρος, ἀκούσατε. πρεσβύτερός τις νησιώτης ἐκ θάσου τῷ βυζαντίῳ προσορμισθεὶς, ἐκόμιζε χρήματα, πλάκας μαρμάρου προνοησίας ἐμπορευσόμενος. τοῦτον ἑλόντες, καὶ ὑποσχέσεσι δελεάσαντες (ἄπιστον γὰρ ἡ κουφότης, πρὸς ἀπάτην καθίσταται) λαμβάνουσι τὸ χρυσίον τῆς κακουργίας συνέμπορον, καὶ πέμψαντες εἰς ἀλεξάνδρειαν, πείθουσι τὸν πέτρον ἀποστεῖλαι ἄνδρας χειροτονῆσαι τὸν μάξιμον. καὶ δὴ θαυμαστὸν

λόγου

Apolinarii Syri haeresis.

λέξαν κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχής.

Maximus Aegyptius, cynicus.

ὅρ.

λόγου, ταῦτα ἐπράττετο. ἧκον γὰρ ἀπ' Αἰγύπτου οἱ τὴν ἐπισκοπὴν δώσοντες. ἔστω δ' ὁ τρόπος ἐκεῖνος, ὃ πρὶν μὲν Γρηγόριον ἐνθρονίσαι, νῦν δὲ χειροτονῶν Μάξιμον, καὶ οὐδὲ τὸ ἴχνος τοῦ γράμμα δυσωπηθεὶς, εἰ μή τι τὴν ἀρετὴν τοῦ ἀνδρὸς καὶ τὸ κλέος. ὡς δ' οὖν ἧκον οἱ περὶ αὐτὸν σταλέντες, ὄρθρος ἦν, καὶ αὐτοὶ ἧκον εἴσω τῆς ἐκκλησίας, οὐ περὶ ποιμένι ταῦτα γνωρίσαντες, οὐ πρεσβυτέροις, οὐ κλήρῳ, οὐ τῶν ἐν τέλει τινί, οὐ λαῷ πιστῷ, ἀλλ' αὐτίκα τῆς χειροτονίας ἤρχοντο. ἀκοῆς δὲ γενομένης ἀθρόως, ἧκον ἱερεῖς, κλῆρος, λαὸς ἔκκριτος, αἱρετικῶν ἑσμὸς. πάντες γὰρ ἐχθροί τε ὁμοίως καὶ φίλοι ὑπὸ μανίας ἀνήφθησαν τὴν ἀταξίαν καταπλαγέντες. κακία γὰρ ἄμαχος, καὶ τοὺς ἐχθροὺς πολλάκις τοῦ πάσχοντος, πρὸς ἄμυναν διανίστησιν. ὡς δ' ὑπ' ἀνάγκης ἀνήνυτα ἦν αὐτῶν τὰ βουλεύματα (ἡ γὰρ προτέρα τὸν δῆμον αὐτοῖς ἐπετείχισε) τί δρῶσιν; ἐξελαθέντες τῆς ἐκκλησίας, εἰς οἶκον ἀφικνοῦνται χοραύλου τινὸς καὶ κακῶς χειροτονοῦσι τὸν Μάξιμον, συνεργοὺς ἔχοντες τινὰς τοῦ λαοῦ καὶ συλλήπτορας, ἐπ' αἰτίαις ἀταξίας τῆς ἐκκλησίας ἐκβεβλημένους. χαίρουσι γὰρ οἱ τοιοῦτοι ταῖς αἰφνιδίοις μεταβολαῖς, πρὸς μὲν τὰ καθεστηκότα τῶν πραγμάτων ἀπεχθανόμενοι, ἀεὶ δὲ καινοτομίας ἐρῶντες. ἡ δ' οὖν πόλις θυμῷ ζέουσα, τί ἄν τις λέγοι, ὁπόσας λοιδορίας τοῦ Μαξίμου κατέχεεν, μεμφόμενοι καὶ αὐτὸν Γρηγόριον, ὁπόσας εὐνοίας καὶ παρρησίας τὸν Μάξιμον ἠξίου. πρόεισι γοῦν αὐτὸς καὶ ἐνταῦθα, εἰς ἀπολογίας ἄγουσα τὸ δρᾶμα. τοιγαροῦν τοῦ δήμου τὸ φλεγμαῖνον τῇ φαρμακείᾳ τῶν λόγων καταπραΰνων, φησὶ πρὸς αὐτούς· μή μοι, ὦ ἄνδρες, τῷ πατρὶ χαλεπαίνετε. εἰ γὰρ ἐγὼ χρηστὸς ἐκείνῳ φανείς, αἴτιος ἐγὼ μὴ προγνοὺς τὴν κακίαν, τί ποτ' ἂν εἴη ὁ τῆς χρηστότητος ἀπολαύσας, καὶ ἐπιβουλαῖς ἀμειψάμενος. οὐ γὰρ τὸ μὴ προειδέναι τὴν κακίαν ὑπεύθυνον. τοῦτο γὰρ μόνου θεοῦ. πρὸς δὲ καὶ νόμος ἡμῖν ἐστιν, ἅπασιν ἀνοίγειν τὰ σπλάγχνα, καὶ στοργῇ πατρικῇ τῶν προσιόντων ἀντιλαμβάνεσθαι. τὸν γὰρ ἐρχόμενον πρός με, Χριστός φησιν, οὐ μὴ ἐκβάλω ἔξω. μέγα μοι ἦν ἐξ Ἑλλήνων Μάξιμος βαπτιζόμενος, καὶ τριάδα λατρεύων ἀνθ' Ἡρακλέους. μέγα μοι ἦν ἀνὴρ μεταποιούμενος ἀρετῆς. εἰ καὶ ἐν τοῖς τελευταίοις ἔδειξε τὴν ἐν τοῖς πρώτοις ὑπόκρισιν· ἀλλ' οὐχ ἡμῶν, δοκιμάζειν ταῦτα. οὐ γὰρ ἐνθυμήμασιν ἐμβατεύομεν, οὐδὲ τὸ μέλλον ἴσμεν. πολλῆς δὲ σωφροσύνης θεῷ τοῦτο χαρίζεσθαι. ἡμεῖς μὲν οὖν ὁρῶμεν εἰς πρόσωπον, θεὸς δὲ ὁρᾷ εἰς καρδίαν, ὅπερ ἐκεῖσέ τι. τούτοις τοιγαροῦν καταστέλλει τὸ πλῆθος, καὶ τῇ εὐνοίᾳ μᾶλλον τοῦ ἀρχιερέως προσετίθεντο. τοῦ δὲ βασιλέως Θεοδοσίου, ὃς ὑπῆρχεν ἐκ τῆς Ἱσπανίας τὸ γένος, ἐν τῇ Μακεδονίᾳ στρατοπεδεύοντος, καί πως τὴν Ἰσαυρίαν πολεμοῦντος βαρβάρων, λαβὼν Μάξιμος τὸν στόλον τῶν Αἰγυπτίων ἐπισκόπων, ὧν προχειρισαμένων αὐτὸν εἰς ἱερέα, ἐλθὼν εἰς Θεσσαλονίκην, περὶ αὐτοκράτορα πρόσεισιν, αἰτῶν τὴν τῆς βασιλίδος τὴν ἐπισκοπήν. ἐκ γὰρ θεσμῶν ἐκκλησιαστικῶν τὸ ἰσχύειν οὐκ ἔχων, προστάγματι βασιλικῷ ἱδρυνθῆναι διενοήθη, ὥσπερ οὐχ ἱδρυνθῆναι, ἀλλὰ τυραννεῖν προῃρημένος. ἀπελαύνονται δὲ ἐκεῖθεν τοῦ βασιλέως αὐτὸν, ὀργῇ τε καὶ ἀπειλαῖς σφοδραῖς ἐκδιώξαντος. τί οὖν ὁ Μάξιμος; δύσμαχον γὰρ ἡ φιλαρχία, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἔπλει, καὶ τοῖς αὐτοῖς ἐγχειρήμασί τινας τῶν οἰκείων τοῦ πατρὸς ὑπαλείψας χρυσίῳ, καὶ κενῷ ἐκ τῆς ἴσης μοχθηρίας προσφθέγγεται. ἢ γάρ μοι, φησί, τῆς βασιλίδος τὴν ἐπισκοπὴν παράσχετε, ἢ τῆς σῆς οὐκ ἀφέξομαι. καὶ δὴ οὐδὲ πρόσω τι κακὸν, ἐπελθεῖν τοσοῦτον ἡ τόλμα. εἰ μὴ ὁ τῆς Ἀλεξανδρείας ὕπαρχος, δίχα στάσεως καὶ φόνων, τὸν Μάξιμον τῆς πόλεως ἤλασεν. ὁ μὲν οὖν ἄξια τοῦ θράσους ἐδέξατο τὰ ἐπίχειρα. Γρηγόριος δὲ τῷ πλήθει τῶν πόνων ἀπαθὴς, καὶ ἀπειρηκὼς πρὸς τὰς ποικίλας φροντίδας, οἷα δὴ ἔχω, τὰ ἐξιτήρια τῷ λαῷ προσφθεγξάμενος, νουθετήσας αὐτοὺς τηρεῖν τὴν πίστιν, ἣν παρειλήφασιν, ἐργάζεσθαι τὴν ἀρετὴν, ἣν αὐτοῖς ἔργῳ τε καὶ λόγῳ ὑπέδειξεν. ἐπειδὴ τούτων ἤκουσεν κλῆρός τε καὶ λαὸς, μία βοὴ παρὰ πάντων ἤρθη, τὴν ἐκδημίαν τοῦ ποιμένος ὀδυρομένων· ἦν τε ἰδεῖν ἐλεεινὸν θέαμα, νέους, γέροντας, ἐλλογίμους καὶ ἀμαθεῖς, ἄρχοντας, ἰδιώτας, ἅπαντας οἰμωγῇ συμφώνῳ κοπτομένους, καὶ τὴν ὀρφανίαν οὐ φέροντας· ὥστε τινὰ τὴν φωνὴν ἄραντα, τολμῆσαι εἰπεῖν· ὦ πάτερ, συνεκβάλλεις ἑαυτῷ τὴν τριάδα. ταύτης ἀκούσας τῆς φωνῆς ὁ γενναῖος, ἐπέσχε φησὶ τῆς ὁρμῆς, καὶ ὑπέσχετο συμπαραμένειν αὐτοῖς, μέχρις ἂν ἐπισκόπων παρουσία (ἣ δὲ ἦν ἐλπιζομένη) προβάληται ἕνα τῆς ἐπισκοπῆς ἄξιον, ὃς αὐτὸν φροντίδων ἐλευθερώσοι, ἐπιτρέψοι τε ἅμα τὴν ἔξοδον. οὕτως οὖν διελύθησαν, τῇ ὑποσχέσει θαρρήσαντες, ἐρρωμένως μὲν οὐ βεβαιωθέντες, περὶ δὲ παγίῳ τοῦ τρόπου καταπιστεύσαντες. τῶν οὖν δεινῶν ἐξαίτων, καὶ γαλήνης ἐνδοθείσης τοῖς πράγμασιν, αὖθις ἀνέλαμπε τῆς τριάδος τὸ δόγμα, διδασκαλίᾳ καὶ πόνοις τοῦ μακαρίου πλατυνομένης εἰς πάντα τῆς πίστεως, ἣν ἐγεώργησε κάλλιστά τε καὶ τῆς νῦν γεωργίας τιμιωτέραν. γειτονῶν γὰρ τῆς ἐκκλησίας τὴν ἄρουραν, τὰς μὲν ψυχὰς δι' ἱερουργίας τῶν ἀκανθῶν ἀπαλλάττων τῆς ἀσεβείας, τὰς δὲ ὡμάλιζε προφητικῶς εἰπεῖν, ὅπως ἂν ὑποδέξωνται τὸν θεῖον λόγον, αἱ δὲ ἀρτίως ἐφύοντό τε, καὶ ἐρριζοῦντο. αἱ δὲ ἤδη ἐπόα-

ζόν τι, καὶ δὴ γόνασι διεζώννυντο, ἄλλαι πρὸς στάχυν ἀπετυποῦντο· ἕτεραι δὲ, ἐπεποίηντο, καὶ πρὸς ἄμητον ἦσαν ἑτοιμότεραι. τὰς δὲ ἅλως εἶχε, τὰς δὲ θημών τις. ἄλλαι τῇ λικμήσει τῶν ἀχυρωδῶν καὶ ἀλογίστων ἄξιον τῶν δογμάτων ἀπέβαλον, χριστῷ καθαιρόμεναι, ἕτεραι δὲ ἦσαν εἴδους τῶν ἀποθηκῶν ἀξίαι· αἱ δὲ ἄρτος ἤδη κατειργασμένος. τοῦτο γὰρ τὸ ἔργον τῆς γεωργίας, σκοπὸν ἐχούσης τῆς τροφῆς τὴν μετάληψιν, καὶ διὰ τοῦτο πονούσης τε καὶ τὸν ἄμητον εὐθύμως κομιζομένης. ἀλλ' ὁ μὲν ἴδιος τῶν ἀνθρώπων τοῦ θεοῦ, τοσοῦτος, καὶ εἰς τοσοῦτον εὐσεβείας ἐσπουδασμένος. ἡ δὲ ἀπόλαυσις, οὐχ ὁμοία. οὐ γὰρ ὡς γεωργὸς, μετεῖχε τῶν γεννημάτων, ἀλλὰ πρὸς ἱκανὰ χρηστὸς ἦν, τὸν μὲν πόνον καταβαλλόμενος, ἀδάπανον δὲ τὸ εὐαγγέλιον ἐκ τῶν τιθείς. ὅθεν συνέβαινεν αὐτῷ πλείονας εὑρίσκεσθαι, πλεῖον δὲ εὑρισκομένῳ μᾶλλον ἀνύεσθαι, καὶ περὶ θεῷ προσάγειν πλείονας, οὐ θυμῷ πλεονάζοντι, ἀλλ' ἐπιεικείᾳ τὴν ἀμαθίαν ἐκμοχλεύοντι, καὶ εὐεξίαν ταῖς ψυχαῖς ἐμποιοῦντι διὰ τοῦ λόγου. οἱ μὲν γὰρ τῇ γλυκύτητι τοῦ λόγου ἡλίσκοντο, οἱ δὲ ἠσπάζοντο τὴν δογμάτων ἀκρίβειαν. ἄλλοι τοῖς πόνοις τῆς αἰδοῦς, καὶ τῇ καρτερίᾳ ὑπέκυπτον· ἕτεροι δὲ τὸ πρᾶον αὐτοῦ δι' αἰδοῦς εἶχον. τὸ δὲ τὸ ἀνεπιτήδευτον τῆς αἰδοῦς καὶ φιλόσοφον, συνῆπτε πλείους· οἱ δὲ, ὡς καλλίστου, καὶ κατέχοντες τὸ θέραμα, ἔθαλπον τὴν ἑαυτῶν πολιτεύοντες ψῆφον. καὶ οὐδὲ μεῖζον αὐτοῦ τῆς ἀγχινοίας, οὐ πᾶσιν ἅπαντα κατεπίστευεν· ἀλλὰ τῆς δυνάμεως ἑκάστου κατεστοχάζετο, ὡς ἄριστος ἰατρὸς τῆς τῶν καμνόντων ἕξεως, κατάλληλον τὴν φαρμακείαν διανέμων ἑκάστῳ. καὶ μήτε βεβήλοις ἢ ἀθωνίστων ἀκοαῖς, καταπιστεύειν τοῦ μυστηρίου τὰ τέλεια, μήτε τῶν τελείως αἰδεσθέντων ἀποκρύπτων τι, διὰ βασκαίνων αὐτοῖς τῆς ὠφελείας, τοὺς μὲν ἤλεγχε δημοσίᾳ, ὅσους ἀλγοῦντας πρὸς μεταμέλειαν ἦγε· τοῖς δὲ ἰδίᾳ τὰ πταίσματα ἀνεφαίνετο· τοῖς δὲ ἐπετίμα, οἷς τοῦτο λυσιτελὲς εἶναι ᾤετο· τοὺς δὲ, κατορθοῦντας ἐπῄνει παραινετικῶς τε καὶ κηδεμονικῶς. οὐ γὰρ πρὸς θωπείαν ἐσκόπει, ἀλλ' ὠθώρει τῇ ἀρετῇ διὰ τῆς ἀποδοχῆς ἄγων εἰς προκοπήν. ταύτῃ γὰρ ἡ ῥητορικὴ διαφέρει φιλοσοφίας. ἡ μὲν γὰρ κολακείᾳ ὡς καὶ ποικίλη, ἐφ' ἑαυτὴν τοῖς ἐγκωμίοις κλέπτει τὴν τῶν πολλῶν εὔνοιαν· ἡ δὲ τὴν ὠφέλειαν τῶν ἀνθρώπων περισκοποῦσα, διὰ μάλιστα τοῖς ἐπαίνοις τὴν λύπην καταλεαίνουσα, τῇ ἡδονῇ τῶν ἐπαίνων πρὸς ἀρετὴν ἕλκει τοὺς ἐντυγχάνοντας. οἱ δὲ δογμάτων ὕψει, καὶ θεολογίᾳ, τοσοῦτον αὐτῷ τὸ περιὸν τῆς δυνάμεως, ὥστε πολλῶν μετὰ πολλοὺς χρόνους θεολογησάντων ἀνδρῶν ἐπὶ σοφίᾳ γνωρίμων μόνον τοῦτον μετὰ τὸν εὐαγγελιστὴν Ἰωάννην θεολόγον ἀναφανῆναι. καὶ δὴ ἐξαίρετον αὐτοῦ, ταύτην ἀποκληρωθῆναι προσηγορίαν, ἅπαν τὸ καλὸν ἐν τῇ ἑαυτοῦ καρδίᾳ συνειληφώς, οὐδὲ τοῦ προφητεύειν ἀπελιμπάνετο. καὶ τοῦτο λόγοι, οὓς οἶδα, πιστοῦσθε, ὅσοι τῷ αἰδοῖ τῆς σοφίας κατατρυφᾶτε. καλὸν δὲ τοῖς αὐτοῦ ῥητοῖς, καὶ τῇ συγγραφῇ τῶν αὐτοῦ πεπραγμένων, τὴν δὴ κατακοσμεῖσθαι. ἔχει δὲ ἡ λέξις οὕτως ἐκ τοῦ λόγου τοῦ εἰς τὴν παρουσίαν τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων. τοιοῦτον ποτὲ τοῦτο τὸ ποίμνιον καὶ τοιοῦτον νῦν οὕτως εὐεκτοῦν τε καὶ πλατυνόμενον, εἰ δὲ μήπω τελείως, ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος ὁδεῦον προσθήκαις. προφητεύω δὲ, ὅ καὶ ὁδεῦον, τάδε μοι προλέγει τὸ πνεῦμα τὸ ἅγιον· εἴ τι προφητικὸς ἐγὼ, καὶ βλέπων τὰ ἔμπροσθεν, οὐκ εἰς μακρὰν δὲ καὶ τὸ προφητευόμενον ἐπληροῦτο, μικροῦ θαλάσσης ψάμμον τῷ πλήθει τῆς ἐκκλησίας μιμησαμένης, καὶ τὸ παράδοξον τῆς προφητείας, οὐ θαῦμα τῆς ἐκβάσεως ἐπιστοῦτο. ἐπεὶ δὲ βασιλέως εὐσεβοῦς ἀνακηρυχθέντος τοῦ ἤδη εἰρημένου θεοδοσίου, φῶς ἐλεύθερον τῇ ἐκκλησίᾳ ἐπέλαμψε, τί δεῖ λέγειν, ὅσοις πανηγύρεσι λόγοις ἐφαίδρυνεν· ὅσον ὀρθοδόξων θυμὸν κατεπράϋνεν· ἀντιμετρῆσαι τοῖς αἱρετικοῖς τὴν ἐπὶ κακίαν ἁμιλλωμένων, καὶ τοὺς ἐν καιρῷ δυναστείας διώξαντάς τε καὶ αἰκισαμένους, ἐν καιρῷ μεταβολῆς, τοῖς ἴσοις ἀντιλυπῆσαι. τί οὖν ὁ μακάριος ἔλεγεν; οὐ ταῦτα ὦ ποίμνιον ἐμὸν χρηστὸς ἀπαιτεῖ, οὐδ' οὕτως ἡμᾶς διδάσκει τὸ εὐαγγέλιον, καιρὸς οὗτος ἐπιστρέψαι τοὺς πλανωμένους. γνώτωσαν διδαχθέντες τὰ ἁμαρτήματα. προσαπαιτείτωσαν τῷ κυρίῳ ἐξαγγελλέτωσαν τὴν ἀσέβειαν. καὶ τῇ ποίμνῃ μιχθήτωσαν τοῦτο, ἐμοὶ ἐκδίκησις, ἐάσωμεν τοὺς ἐκδικήσαντας, καὶ ὁμολογήσωσι καλὰ εἶναι ἃ πρότερον ἐδίωκον. μακροθυμήσατε τέκνα. ἀνὴρ μακρόθυμος, πολὺς ἐν φρονήσει· καλῶς ποιήσατε τοῖς μισοῦσιν ὑμᾶς, καὶ ἄφετε αὐτοῖς τελείως τὰ παραπτώματα. εἰ δὲ λίαν ὁ θυμὸς παφλάζει, καὶ δυσκάθεκτος ἡ ὀργὴ, γενέσθω παρ' ὑμῶν καὶ τὸ δεύτερον. ἐάσατε ταῦτα χριστῷ, καὶ τῷ ἐκεῖσε δικαστηρίῳ παραπέμψατε. ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. τούτοις δὴ λόγοις ἄγαν πείθει τῆς ἐκκλησίας. τοῦ δὲ πολέμου κορυφώσαντος, ὃς πρὸς τοὺς ἑσπερίους βαρβάρους συνέστη, καὶ κατὰ νῶτον ἐκβεβηκότος τῷ αὐτοκράτορι. δίκην τε αὐτοὺς ἀποπεξαμένῳ τοῦ θράσους ἀξίαν, αἰχμαλώτους τε λαβόντι καὶ φόρους τάξαντι τοῖς ἡττημένοις, συνέβη παρεῖναι τῇ βασιλίδι, τοῖς θριάμβοις ἐπηρμένῳ καὶ γαυρουμένῳ. καὶ τηνικαῦτα προσδέξασθαι τὸν ἀρχιερέα γρηγόριον ἐν τιμῇ τε καὶ τὴν αὐτοῦ πόνων ἐπαξίως, καὶ διαλέξασθαι πλατυτέρα τὸ πολὺ αὐτὸν ἐνδέξασθαι

πρόθυμον

προσῆλθομεν καὶ τέλος εἰπεῖν ὦ πάτερ, σοί τε καὶ τοῖς ἱδρῶσι τοῖς σοῖς δι' ἡμῶν ὁ θεὸς ἐγχειρίζει τὴν ἐκκλησίαν. ἰδοὺ δίδωμί σοι τὸν οἶκον τὸν ἱερόν, καὶ τὸν θρόνον. ὁ δὲ μακάριος περιχαρείας πληρωθείς, ἀσπασάμενος τὸν αὐτοκράτορα, καὶ εὐχαῖς ἀμειψάμενος, ἐξῄει τῶν βασιλείων. οἱ δὲ αἱρετικοὶ (μέχρι γὰρ τοῦ χρόνου τοῦδε τὸν ἱερὸν κατεῖχον οἶκον) παρετάττοντο ξίφεσιν, ὑπὲρ αὐτοῦ πολεμεῖν ὡρμημένοι πρὸς τὸν μακάριον. καὶ τὸν μὲν βασιλέα ἱκέτευον, μὴ ἀφεθῆναι τὸν οἶκον, δεδοικότες ἀντιβαίνειν τῷ κράτει. τῷ δὲ ὁσίῳ καὶ τοῖς μετ' αὐτοῦ, θάνατον ἐπηπείλουν δημοσίᾳ τε ἀποιθοῦντες, καὶ ἰδίᾳ τινὶ ὑποθέμενοι, λάθρα προσελθόντι διὰ τῶν σπλάγχνων τοῦ ἀρχιερέως ὠθεῖν τὸ ξίφος. καὶ ἡ μὲν σύστασις τῶν πολεμίων, τοσαύτη. πρωΐας δὲ γενομένης, ὁ λαὸς τοῦ θεοῦ ἅμα τῷ ποιμένι ἤγετο, τὸν ἱερὸν οἶκον ἀπολαψόμενοι. ἦν οὖν θροῦς τε πολύς, καὶ τάραχος, οὐχ ἧττον ἢ τῆς πόλεως πορθουμένης ἐκ πολεμίων ἐφόδου, πολλῶν ὁπλοφόρων ἐν πλατείαις τε καὶ διωρόφοις καὶ τριωρόφοις ὄντων, πολλῆς τε οἰμωγῆς γυναικῶν καὶ παίδων συμμιγνυμένης. εἵπετο δ' οὖν καὶ ὁ βασιλεὺς ἅμα τῷ μακαρίῳ, εἰς τὸν ναόν. οἷα δὲ πολλὰ συμβαίνει ἐν ἀνθρωπίνοις πράγμασι, πρωΐας οὔσης [illegible]ται σκότος, νεφέλης τὸν ἡλιακὸν κύκλον περιδραμούσης, καὶ τὸ συμβὰν ἑορτῇ τε καὶ φαιδρότητι τοιαύτῃ ὑπάρχον ἀλλότριον, τοὺς δὲ αἱρετικοὺς ἐποίει φαιδροτέρους, ὡς τοῦ θεοῦ μὴ εὐδοκοῦντος τῇ μεταθέσει τοῦ οἴκου. ψυχαῖς δὲ πιστῶν, ἀθυμίαν ἐπῆγεν ὑποσμύχειν. ὡς δὲ τῆς ἱερᾶς κιγκλίδος ὅ, τε ποιμὴν, καὶ ὁ βασιλεὺς εἴσω παρέδυσαν. ἤγετο τε φωνὴ μία παρὰ πάντων αἰτήσεως, δάκρυά τε, καὶ χειρῶν ἐκτάσεις. ἀθρόως τοῦ νέφους ὑπεξελθόντος προνοίᾳ θεοῦ ἐλλάμψαι ἡλιακὸν σέλας τὸν ἱερὸν οἶκον κατηύγασε, καὶ τῷ ἀέρι φαιδρυνθεῖσί τε αἱ τῶν ἀνθρώπων διάνοιαι τὴν δυσθυμίαν εἰς φαιδρότητα συμμετέβαλον, τόν τε βασιλέα ἱκέτευον ἐγκαθιδρῦσαι τὸν ἀρχιερέα τῷ θρόνῳ. ὁ δὲ μακάριος μὴ βουλόμενος κἂν καθιδρυθῆναι, αὐτὸς ἐν τοσούτοις ἐκφωνεῖν, ὑπὸ τῆς ἐγκρατείας καὶ τῆς ἀσθενείας οὐχ οἷός τε ὤν, προσφωνεῖ τῷ πλήθει διά τινος λέγων αὐτοῖς· ὦ τέκνα, νῦν καιρὸς εὐγνωμονοῦντας τὴν χάριν ὁμολογεῖν, ἐφ' οἷς ἐχαρίσατο ἡμῖν ἡ τριάς, περὶ δὲ τοῦ θρόνου ἐσαῦθις ἀναλαβώμεθα. ταῦτα ὁ μὲν λαὸς δεξάμενος, πρᾳΰνετο. ὁ αὐτοκράτωρ δὲ τὴν μετριότητα τοῦ ἀνδρὸς κατεπλήττετο. καὶ οὕτως μὲν ἡ πανήγυρις διελύθη, εὐφροσύνην τε πλείστην παρεχομένη χριστοῦ καὶ ἀσφάλειαν, ὥστε κατευνασθῆναι τῶν τε ὅπλων τὴν παρασκευὴν, καὶ τῆς μανίας τὸ ζέον. ἓν δὲ μόνον γυμνωθὲν ξίφος, ἀναιμωτὶ πάλιν ἐμβληθῆναι τῇ ξιφοθήκῃ. πλὴν οὐκ εἰς τέλος συνεχωρήθη μὴ ἐνιδρυνθῆναι τῷ θρόνῳ. καίπερ γὰρ οὐκ ἐθέλοντα, καὶ ἰσχυρῶς ἀναινόμενον, ὅμως ἐνιδρύουσι τῆς ἀρχιερωσύνης τοῖς θώκοις ἀρχιερέων πλῆθος. ταῦτα δὲ μικρὸν ὕστερον. ὁ μὲν οὖν βασιλεὺς τῷ αἰδεῖ ἐγεγήθει, παρέχων αὐτῷ τιμὴν καὶ αἰδῶ ἀπονέμων. ἦν γὰρ δὴ καὶ παιδεύσεως ἄμοιρος. ἀλλ' ὅτι εὐσεβὴς ὁ ἀνὴρ καὶ πρᾶος, ἐπεγνώκει δῆλος. αὐτὸς δὲ θεῷ σχολάζειν μᾶλλον, ἢ βασιλεῖ τῶν καλῶν εἶναι οἰόμενος, οὐ συχνῶς ὡμίλει τοῖς βασιλείοις. φιλαργυρίαν δὲ τῶν περισταμένων τῷ βασιλεῖ νοσοῦντας ὁρῶν, καὶ τὰ δῶρα χαριζομένους ἀποδεχομένων· τῶν δὲ, οἷος ἦν οὗτος μάλα καταφρονοῦντας, διά τοι ταῦτα ταῖς προσευχαῖς καὶ ἀγρυπνίαις καὶ διδασκαλίαις προσεῖχε, καὶ ἀσθενῶν θεραπείαις, καὶ ἐπισκέψει, θεῷ τούτοις καθαίρων ἑαυτὸν, καὶ τὸ ποίμνιον. ποτὲ δὲ καὶ πρὸς ἀγρὸν ὑπανεχώρει, τὴν ἡσυχίαν ποθῶν, καὶ τὸ συνεχὲς τῶν πόνων ταύτῃ ἰώμενος, ὡς ἂν αὐτῷ τὸ σῶμα πρὸς τοὺς ἐφεξῆς πόνους μὴ ἀπαγορεύοι. αὐλαῖς δὲ βασιλέως, χρονίως ἐνέβαλε, τὸ τῆς παροιμίας εὖ καὶ περιττῶς ἐμμελετήσας, σπάνιον εἴσαγε σὸν πόδα πρὸς σὸν φίλον, ἵνα μὴ πλησθεὶς μισήσῃ σε. τοσαύτης δὲ ποίμνης ἐκκλησίας ἀποδειχθεὶς, καὶ παραλαβὼν προσόδων τε καὶ παντοδαπῶν κειμηλίων πλῆθος, μίαν δραχμὴν ἐντεῦθεν οὐ προσεκτήσατο. καί τοι γε βουλομένῳ καὶ τὰ λαίτων αὐτῷ ἀφθονίαν περιποιεῖσθαι ἐξεχεῖτο, οὐ λογισμοὺς προσόδων καὶ διοικήσεως περὶ τῶν οἰκονομικῶν τὰ τῆς ἐκκλησίας ἐπεζήτησεν. οὐκ ἀναγραφὴν σκευῶν ἱερῶν, καὶ τιμαλφῶν μᾶλλον ἢ ἐκκλησιαστικῶν ἀνδρῶν τὸ ἔργον τοῦτο ὑπολαβών, καὶ ἀρχόντων οὐκ ἐπισκόπων, τούτοις ἅπαντας ἐκ παιδείας θεῷ καθαρότητα προσφέρειν τῆς συνειδήσεως, καὶ μὴ ἀνθρώπων πειρᾶσθαι λογοθετοῦντας παιδεύσας. συνεχείᾳ δὲ πόνων, γήρᾳ τε καὶ ἀσθενείᾳ ἤδη καμπτόμενος, ἀῤῥωστήσας ἐπὶ τοῦ σκίμποδος ἦν. καὶ δὴ τοῦ δήμου πλῆθος ἀθρόως ἐπεισῆλθε τῷ δωματίῳ, ἔνθα κατέκειτο. ὁ δὲ οἷα φιλεῖ συμβαίνειν τοῖς νοσοῦσιν, ἐπιστρέψας ἐπὶ τοῦ σκίμποδος τοὺς πόδας, εἰς τοὔδαφος οὕτω καθεῖτο, τί βούλεται πυνθανόμενος ἡ αὐτῶν παρουσία. οἱ δὲ χάριν ὁμολογήσαντες τῷ θεῷ ἐπὶ τοῖς γεγενημένοις, καὶ ὑπὸ τοῦ βασιλέως ὑποδεξάμενοι, εἴ που καὶ τὸν ναὸν, καὶ τὸν ἄλλον ἱερῶν οἶκον, καὶ τῆς ἐκκλησίας τῶν ὀρθοδόξων. πάντων δὲ τούτων αὖ προσεπιτεῖς τὸν ποιμένα, γεγηθότες ἀπῄεσαν. νεανίας δέ τις ὑπολαφθεὶς, καὶ τοῖς ἑαυτοῦ χερσὶ συμπίσας αὐτοῦ τοὺς πόδας, ὀδυρμοῖς καὶ δάκρυσιν ἱκέτευε τὸν μακάριον, συγγνῶναι αὐτῷ

τὸ πλημμέλημα. τοῦ δὲ πυνθανομένου τί τὸ λεγόμενον εἴη, οὐδὲν ἀπεκρίνατο, πλὴν τοῦ θρηνεῖν, καὶ συγγνώμην αἰτεῖν. τῶν δὲ παρεστώτων τις ἔφη· οὗτός ἐστιν ὁ σὸς φονεὺς, ὦ πάτερ, ὃς ἔμελλεν ἐκ σκαιωρίας τινῶν κατὰ τῶν σῶν ἐγκάτων ἐλαύνειν ξίφος, καὶ ὁ Χριστός σου σαφῶς αὐτὸν παρέλαβε. γνώμης δὲ τῆς αὐτοῦ οὔσης, τὸ δρᾶμα ἐξεπλέσθη, ταύτῃ τοι προσπίπτων βοᾷ ὁ ἐπὶ τῇ τόλμῃ μεταμελόμενος. αὐτίκα γοῦν ὁ πατὴρ, οἷα πατὴρ, τάδε φησί· γένοιτό σοι Χριστὸς εὐμενὴς, ὦ φίλτατε, καὶ δῴη σοι συγγνώμην αὐτὸς, ὁ κἀμὲ περισώσας, μόνον εἰς ἀπολογίαν τῆς τόλμης ἐμὸς γενοῦ, τὴν αἵρεσιν ἀπολυσάμενος, θεῷ τε πρόσελθε, καὶ δούλευε αὐτῷ δουλείαν εἰλικρινῆ ἑκούσιον. ἡ δὲ πόλις ἀκούσασα τοῦ ἀρχιερέως τὸ μακρόθυμον, πλέον ἐπ' αὐτὸν ἐξῆφθη φιλοστοργίᾳ. κατὰ δὲ τὸν καιρὸν τοῦτον ἐκ πάσης τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς, πλὴν Αἰγύπτου καὶ τῆς Ἑσπερίας, συνῆλθον ἡ τῶν ἑκατὸν πεντήκοντα ἁγία σύνοδος, ἀρχιερεῖς κατὰ σύνθημα τῇ βασιλίδι πιστὸν, καὶ τὰς αἱρέσεις τὰς ἐν τῷ μεταξὺ τῶν ἀρειανικῶν χρόνων ἀναφυείσας, ἐξωθοῦσαι τῆς ἐκκλησίας, ψήφῳ οἰκουμενικῆς συνελεύσεως. τὰ μὲν οὖν κατὰ τῶν αἱρέσεων προωδοποίησεν ὁ μέγας Γρηγόριος ἐκ πολλῶν τῶν χρόνων, ὥσπερ θῆρας ἐκ ποιμνίου τῆς ἐκκλησίας ἀποδιώκων. καὶ αὐτῆς δὲ πρὸ τῆς ἁγίας συνόδου, ὁμοίως συνηγωνίσατο. ἡ δὲ ἁγία σύνοδος, αὐτὸν ἐν θρόνοις ἡγεμόνα, ἔχουσα τὸν μέγαν ποιμένα τῶν ἀντιοχέων, Μελέτιον, αἰδοῖα εὐσεβῆ ἅμα τῇ πίστει, ὡς ἐν τοῖς χρόνοις τοῦ ἀρειανικοῦ κράτους ἐξελαθέντα τῆς ἐκκλησίας. πλεῖστα τὰ κακοπαθήσαντα, συνέβη ἐξορίᾳ πολυχρονίῳ παραδοθῆναι. τὸν δὲ τρόπον τί δεῖ λέγειν, ὁποῖός τις ὑπῆρχεν; ὁ γὰρ αὐτὸς, πρᾶός τε ἦν καὶ δραστήριος, σώφρων, δίκαιος, αἰδοῖος, σοφὸς, καὶ πρὸς πᾶν ἀρετῆς κάλλος ἀπεξεσμένος. τούτου δὲ εἰσηγήσει καὶ συμβουλίᾳ, συνοδικὴ ψῆφος ἐκύρωσε τὴν προεδρείαν τῆς βασιλίδος τῷ Γρηγορίῳ. ὁ δὲ καίπερ τὰ ἄλλα δυσχεραίνων πρὸς τὴν ἐπισκοπὴν, πόθῳ μέντοι τῆς ποίμνης, καὶ τὸ νομίζειν ἐν τῇ βασιλίδι κρατήσειν, δυνατὸς ἔσεσθαι τὰς ἐν κύκλῳ τῆς οἰκουμένης ἔριδας, ὥσπερ ἀπὸ σκοπιᾶς τινος καταμανθάνων, διαλύειν, καὶ πρὸς εἰρήνην ἀμφοῖν ταῖν χεροῖν ἄγειν διεστώσας τὰς ἐκκλησίας, εἵλετο δέξασθαι τὴν ἐπισκοπήν. τοῦ δὲ ὁσίου Μελετίου τελευτήσαντος τὸν βίον ἐν τῇ βασιλίδι, γίνεται αὐτῷ τιμὴ προπεμπτήριος, ὥστε πᾶσαν ἐπ' αὐτῷ ἐκχυθῆναι τὴν βασιλίδα, πολλὰ δὲ καταχεῖν δάκρυα. καὶ τηνικαῦτα ἐν πρώτοις ὅσον εἶναι πλῆθος, ἐπιγραφθῆναι τοῦ ἄστεος, αὖθις φιλονεικία περὶ τοῦ θρόνου, καὶ πρὸς ἀλλήλους, ἐζυγομάχουν ἐπίσκοποι. καὶ οἱ μὲν τὰ ψηφισθέντα δίκαια εἶναι κρίνοντες, βέβαια μένειν ταῦτα ἐβούλοντο. οἱ δὲ ἀντέπιπτον πρὸς τὰ ἤδη δεδογμένα καλῶς. ὁ δὲ Γρηγόριος ὡς ἅπαξ τὴν καθέδραν δεξάμενος, μετεποιεῖτο αὐτῶν, χρώμενος τοιοῖσδε λόγοις· ἐγὼ ποιμένες ἱεροὶ καὶ τίμιοι, τὴν ἀρχὴν οὐκ ἤθελον τῆς βασιλίδος ἡγήσασθαι, ἀλλὰ καὶ ἐν πόνοις τε καὶ ἱδρῶσιν ὑμεῖς ἐπάγετε καὶ αὐξήθη τῶν τῇδε ἡ ἐκκλησία, ἤρκει μοι ταῦτα τῷ θεῷ θησαυρίζειν παρ' αὐτῷ τὴν ἀντίδοσιν ἀναμένοντι. ἐπεὶ δὲ πόθῳ τε τῆς ποίμνης καὶ ὑμῶν κοινῇ ψήφῳ δέξασθαι τὴν καθέδραν ἐξεβιάσθην, οὔ μοι δοκεῖτε τοῦτο ὀρθῶς νῦν πράττειν, ἀντιπίπτοντες τὰ οἰκεῖα πρὸς τὸ μηδὲ ἅπαντας συμφωνεῖν· ἀλλὰ τοῖς μὲν δοκεῖν κρατῆσαι τὰ ἤδη δόξαντα, τοῖς δὲ οὐ δοκεῖν. ἐγὼ δὲ οὐ πλούτου, οὐδὲ ὑψηλῆς ἐφιέμενος καθέδρας, τάδε φημί. οὐδὲ βασιλίδος χρηματίζειν ἐπίσκοπος, ἀλλὰ πρῶτον μὲν ὀρφανίαν τέκνων φέρειν ἀπαθῶς δυσχερέστατον, καὶ ἐλεεινὸν τὸ πάθος. ἔπειτα μὴ δόξῃ τε ὑμᾶς φθόνῳ τινὶ ἢ κουφότητι, ἕτερα πράττειν τῶν πρώην ἐγνωσμένων· εἰ δὲ νικᾷ παρ' ὑμῖν τὰ νῦν, καὶ τὰ πρώην ὡς ἕωλα καταφρονεῖται, ἀλύπως τῆς ἐπισκοπῆς ἐξίσταμαι. βουλεύεσθε, πράττετε τὰ καθ' ἑαυτοὺς, τὰ παριστάμενα· ἐμοὶ δὲ ἀγαπητὸν ἡ ἠρεμία καὶ πάλαι καὶ νῦν. οὐ γὰρ καὶ θεοῦ ἄρξουσιν οἱ τὸν θρόνον ἀποστερήσοντες. ταῦτα εἰπὼν, καὶ αἰσθόμενος τοὺς πολλοὺς προβολὴν ἄλλων σπουδάζοντας, αὐτὸς ἀπολιπὼν τὸν οἶκον, ἔνθα κατέμενεν, ἄλλον περισκοπεῖ, πόρρω τῆς ἐκκλησίας τούς τε θορύβους ἀποδιδράσκων, καὶ τὰς ὀχλήσεις τῶν συνελθόντων. πολλοὶ γοῦν τοῦ λαοῦ ἐκεῖσε συνέρρεον, δακρύοντες, ἱκετεύοντες, ἀντιβολοῦντες ἐλεῆσαι τὸ ποίμνιον, ὃ πόνοις τε καὶ ἱδρῶσι τοσούτοις ἐξέθρεψέ τε, καὶ ηὔξησε· δὸς τὴν χάριν, ἔλεγον, τοῖς σοῖς φιλτάτοις, καὶ οἷς τὸ ἀκμαιότερον τῆς ζωῆς προανάλωσας ἡμῖν, δώρησαι καὶ τὸ λειπόμενον, ἵν' ἔχοιμεν λείψανον τὸ σὸν σῶμα, οἱ τῇ σῇ διδασκαλίᾳ πεφωτισμένοι. τούτοις οἷα φιλότεκνος πατὴρ, ἐμαλάσσετο μὲν, ἠπόρει δὲ ὅ,τι δράσειε, καὶ τὸν θεὸν ἐξελιπάρει τὸ αὐτῷ πρέπον οἰκονομῆσαι. τούτων ἐχόντων τὸν τρόπον τοῦτον, παρῆσαν ἐπίσκοποι κεκλημένοι ἔκ τε Αἰγύπτου καὶ Μακεδονίας εἰς τὸ Βυζάντιον, ἔτι τῆς εἰρημένης ἐνδημούσης συνόδου. καὶ δὴ οὗτοι ὡς χωρὶς τῆς αὐτῶν γνώμης καθιδρυθέντος τοῦ μακαρίου Γρηγορίου, πάθει ἀνθρωπίνῳ κατασχεθέντες, ἀντέλεγον τῇ ψήφῳ. οὐχὶ Γρηγόριον μισοῦντες, ὡς αὐτοὶ συνέπειθον κρυφίοις διηγήμασιν, ἀλλὰ τοὺς καθιδρύσαντας ἀμυνόμενοι, ὡς δίχα γνώμης αὐτῶν δεδωκότας τὸν θρόνον. ὁ δὲ μακάριος ἐπὶ τούτῳ πάντων συναθροισθέντων τῶν ἐπισκόπων, καταστὰς ἐν μέσῳ τῷ συλλόγῳ τάδε φησί· αἰδέσιμοι συμποι-

συμποιμένες τῆς ἱερᾶς ποίμνης Χριστοῦ, αἰσχρὸν μὲν ἦν καὶ παντελῶς οὐχ ὑμῶν, εἰ τοὺς ἄλλους εἰρήνην παιδεύοντες, αὐτοὶ πρὸς ἀλλήλους πόλεμον ἤρασθε. πῶς δ᾽ ἂν ὁμονοεῖν ἑτέρους πείσητε, αὐτοὶ ὄντες περὶ τὰ δοκοῦντα ἀσύμφωνοι; ἀλλ᾽ ἱκετεύω ὑμᾶς πρὸς τῆς τριάδος αὐτῆς, καλῶς τε καὶ εἰρηνικῶς διαθέσθαι τὰ πρὸς ἀλλήλους. εἰ δέ τι ὑμῖν ἐγὼ τῆς διαστάσεως αἴτιος, οὐκ εἰμὶ σεμνότερος Ἰωνᾶ τοῦ προφήτου. βάλετέ με εἰς τὴν θάλασσαν, καὶ παύσεται ἀφ᾽ ὑμῶν ὁ κλύδων τῶν ταραχῶν. αἱρήσομαι παθεῖν ὅ,τι ἂν βούλησθε. καίπερ ἀθῷος ὢν τῆς ὑμῶν ἕνεκεν ὁμονοίας, θρόνου ἐξώσατε, πόλεως ἀπελάσατε. μόνον τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην, ὥς ὁ Ζαχαρίας φησίν, ἀγαπήσατε. ἔρρωσθε ἱεροὶ ποιμένες, καὶ τῶν ἐμῶν πόνων μνημονεύοντες, μὴ ἐπιλήσησθε. ταῦτα εἰπόντος, αἰδώς τις αὐτοὺς εἶχε τοῖς εἰρημένοις κατανυγέντας. ὁ μὲν οὖν ἤδη τὴν καταπαυσῶν βαδιούμενος, ἐξῄει τοῦ συλλόγου, συμμιγὲς χαρᾷ τι καὶ κατηφείᾳ· τὸ μὲν, ὅτι τῶν πόνων ἀνάπαυλαν εὕρατο· τὸ δὲ, τοῦ ποιμνίου χάριν, ὅπως αὐτὸ καταλείψειεν. ἐλθὼν δὲ εἰς τὰ βασίλεια, ἤτει χαίρειν τὸν αὐτοκράτορα, τοιάδε εἰπών· πρότερον σὺ δὲ ὦ βασιλεῦ, ὧν τὴν ἐκκλησίαν εὐηργέτησας, ἀντιμετρήσοι σοι Χριστὸς ἐν ἡμέρᾳ ἀνταποδόσεως. νῦν δὲ καὶ αἰτῶ χαίρειν, ὦ κράτιστε, δοῦναι μὴ ἀπαρνήσῃ. οὐ περὶ χρημάτων ἱκετεύω, οὐδὲ τῶν θεοῦ πολυτελῶν θυσιαστηρίων σκεπάσματα, οὐ συγγενῶν ἀρχάς· ἀλλ᾽ ἱκετεύω τῶν πόνων ἀνεθῆναι. λεγέτω δὲ καὶ φθόνος, εἰρηνευέτωσαν οἱ ἐπίσκοποι, σοῦ μάλιστα τοῦτο σπουδάζοντος. παῦσον τὴν ἱερὰν τὸν πόλεμον, ὁ στήσας βαρβάρων θράσος τὰ μέγιστα τρόπαια τοῦ σοῦ κράτους. ἐγκόσμησον τὴν συμφωνίαν τῶν ἐπισκόπων. ταύτην ἐγὼ δωρεὰν αἰτοῦμαι, ταύτην τελευταίαν παρέχεις χάριν. θαυμάσας δὲ τὰ εἰρημένα αὐτοκράτωρ, καὶ οἱ τῆς συγκλήτου βουλῆς, οἷα σφοδρῷ περὶ αὐτὸν πόθῳ συνειληφότες, μόλις ἀπέλυσαν αὐτὸν, τὴν ἔξοδον ἐπιτρέψαντες. ὁ [illegible] δὲ αὐτοῦ ἔτι τῇ βασιλίδι, καθίσταται εἰς τὴν αὐτοῦ ἐκκλησίαν ὑπὸ τῆς συνόδου, Νεκτάριός τις ἐπίσκοπος Ταρσοῦ ὑπάρχων τῆς Κιλικίας. αὐτὸς δὲ προκαλεσάμενος τὸν κλῆρον, καὶ τοῦ λαοῦ τοὺς ἐκκρίτους, νουθετήσας τε αὐτοὺς φυλάττειν τὴν παρακαταθήκην τῆς πίστεως, καὶ τὰς ἐντολὰς τοῦ θεοῦ κατεργάζεσθαι, ἀσπασάμενος, πολλά τε κινήσας ἅπασι δάκρυα, τῆς ὁδοιπορίας εἴχετο. ἔρχεται δὲ εἰς Ἀριανζὸν χωρίον Καππαδοκίας, ὅπερ ἐκέκτητο ἐκ πατρικοῦ κλήρου, καταλαβὼν εἰς αὐτόν. πολλοῦ δὲ χρόνου παρῳχηκότος, ἀφ᾽ οὗ Βασίλειος ὁ μέγας πρὸς τὸν θεὸν ἐξεδήμησεν, ἐκ τοῦ βίου τούτου πρὸς ὑψηλοτέραν ζωὴν μεταβάμενος τὰ παρόντα, γράψας τὸν ἐπ᾽ αὐτῷ ἐπιτάφιον, εἰς τὴν Καισαρέων ἧκε τὴν ἱερὰν μητρόπολιν. καὶ προσφωνήσας τὸν λόγον τῇ ἐκκλησίᾳ, ἐβάδιζεν οἴκαδε. χρόνον δὲ πλεῖστον τῆς πατρίδος αὐτοῦ ἀπολειφθέντος, διὰ τὴν ἐν τῇ βασιλίδι διατριβὴν (δύο γὰρ καὶ δέκα ἔτη λόγος αὐτὸν ἐν τῷ Βυζαντίῳ παροικῆσαι) συνέβη τῶν Ἀπολιναρίου μαθητῶν τινὰς, εἰς τὴν δευτέραν ἐπαρχίαν τῶν Καππαδοκῶν, πολλοὺς δὲ ἐξαπατῆσαι τοῖς λόγοις τῆς ἀσεβείας, τολμῆσαι δὲ καὶ τῷδε προσελθεῖν, ὥστε καὶ ἐπισκόπους ἐν τῇ χώρᾳ χειροτονῆσαι. καὶ αὐτῆς δὲ τῆς Ναζιανζοῦ, καθαίρει μὲν τὴν Ναζιανζὸν τοῦ τοιούτου ἄγους ὡς τάχιστα. λίαν δὲ ἱκετευόμενος προστῆναι τῆς πατρίδος, οὐ δέχεται τὴν ἐπισκοπήν. μᾶλλον γὰρ τὸν ἡσύχιον μετεδίωκε βίον. καὶ Εὐλάλιον, τὸν Ναζιανζοῦ ποιμένα καθίστησιν, ὃν εἶχον ἄγαν ἐν τοῖς τιμίοις, θεραπεύοντά τε αὐτὸν, καὶ μέτριον τὸ ἦθος τυγχάνοντα. αὐτὸς δὲ ἐν ἀσθενείᾳ κρατούμενος, ἐν Ἀριανζοῖς ἀνέψυχεν, ὁδοιπορεῖν οὐκέτι οἷός τε ὤν, ἐπιστέλλει Κληδονίῳ τῷ πρεσβυτέρῳ, ἀνδρὶ θεοσεβεῖ, καὶ θεράποντι γνησίῳ θεοῦ, καὶ ἑτέροις πλείοσιν, ὥστε μὴ παραδέχεσθαι τὸν λοιμὸν τῆς αἱρέσεως, τάς τε χειροτονίας ἀκυροῦν τῶν Ἀπολιναριστῶν, ὡς ἀθέσμους καὶ ἀλλοτρίας τῆς καθολικῆς ἐκκλησίας. ἤδη δὲ οὐ μέχρι τοῦ ψιλῇ διαμαρτυρίᾳ πρὸς αὐτοὺς χρήσασθαι, ἀλλὰ καὶ διεξοδικώτερον ἔγραφε, καθ᾽ ὧν ἀνατρέπων τὰ τῆς ἀσεβείας Ἀπολιναρίου ἀμβλώματα. τοῦτο δὲ δεικνύουσι σαφῶς αἵ τε πρὸς Κληδόνιον δύο ἐπιστολαί, οὐχ ἥκιστα δὲ καὶ οἱ ἔμμετροι λόγοι, οὓς κατέλιπε. περὶ δὲ τῶν ἐμμέτρων ὧν [illegible] καὶ πεζῶν, διπλοῦς αὐτῷ γέγονεν ὁ σκοπός· πρῶτος μὲν, ὅπως τὴν ἄθεσμον Ἰουλιανοῦ τοῦ τυράννου νομοθεσίαν μειρακιώδη καὶ ἀνίσχυρον ἀπελέγξῃ, κελεύουσαν μὴ μετεῖναι χριστιανοῖς τῆς ἑλλήνων παιδείας. δεύτερος δὲ, ἐπεὶ ἑώρα Ἀπολινάριον γράψαντα πολυστίχους βίβλους ἐκ διαφόρων μέτρων, καὶ τούτοις κλέψαντα τοὺς πολλοὺς εἰς τὴν αἵρεσιν, ὡς ἐλλόγιμον δῆθεν, ἀναγκαῖον ᾠήθη ἐν Ἀριανζοῖς ἡσυχάζων μετὰ τὴν ἀποστροφὴν καὶ σχολὴν, οἷα πραγμάτων ἀπηλλαγμένος, τηνικαῦτα γράψαι τὰ ἔμμετρα, ὅθεν μοι εὕρηται ἡ πλείστη ὕλη τῆσδε τῆς ὑποθέσεως. ἐνταῦθα ἠρεμήσας χρόνον, καὶ καθαρὸν τὸν βίον φιλοσοφίᾳ, γενόμενός τε ἐν θεωρίᾳ μείζονι, μετατίθεται τὴν ἐπίκηρον ταύτην ζωὴν ἐν βαθείᾳ τῇ πολιᾷ πρὸς τὴν ἀμείνω καὶ ὑψηλοτέραν κατάστασιν, ἧς ἐνταῦθα μόλις ἂν εὑρεθείη καὶ τὰ ἰνδάλματα. ἐμοὶ μὲν οὖν τῆς εἰς αὐτὸν τιμῆς, εἰς δύναμιν ἀφοσίωται ὅσον τὸν πόθον ἀποπληρῶσαι, πατρός τε ἀγαθοῦ καὶ τῶν τὰ ἐκείνου ποθούντων, καὶ ὥστε ἐν ὀλίγῳ συναλεί-

συμφορὸν

μᾶχι

ζωὴν δὲ

φόρτος, ἔχειν βραχεῖάν τινα τοῦ βίου ἀναγραφήν. τὸ γοῦν ἅπαντα ἐκδιηγεῖσθαι ἢ πρὸς ἀξίαν, οὐκ οἶδα εἴ τις καὶ τῶν ἄγαν ἐπὶ σοφίᾳ θαυμαζομένων, ποιῆσαι ἰσχύσειεν. σὺ δέ μοι ὦ μακάριε πάτερ, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἐπόπτα καὶ μύστα, ἔνθα φωνὴ ἀγαλλιάσεως καὶ σοπείας, ὑμνούντων θεὸν ἀγγέλων τε καὶ ἁγίων, μέμνησο γηρείου τοῦ σοῦ, βραχέα σοι τέλε φιλοσοφήσαντος. εἰ γὰρ καὶ τῆς δυνάμεως οἰκείων τῆς ἀξίας ἀπολιμπάνομαι, καὶ ταῦτα περὶ σοῦ λέγων, ἀλλ' οὐ μέμψῃ τῇ προθυμίᾳ. οὐ γάρ ἐστιν ἐκείνη ἡ ἱερὰ φωνὴ καὶ θεῷ λέγουσα φίλον εἶναι τὸ κατὰ δύναμιν.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ἀπολογητικὸς, τῆς εἰς τὸν πόντον φυγῆς ἕνεκεν, καὶ αὖθις ἐπανόδου ἐκεῖθεν μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν ᾧ, τί τὸ τῆς ἱερωσύνης ἐπάγγελμα, καὶ ὁποῖον εἶναι δεῖ τὸν ἐπίσκοπον.

Ἥττημαι, καὶ τὴν ἧτταν ὁμολογῶ. ὑπετάγην τῷ κυρίῳ, καὶ ἱκέτευσα αὐτόν. ὁ γάρ μοι μακαριώτατος Δαβὶδ ἀρχέτω τοῦ λόγου. μᾶλλον δὲ ὁ ἐν τῷ Δαβὶδ φθεγξάμενος, καὶ εἰς ἔτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος. ἐπειδὴ καὶ τάξις ἀρίστη, παντὸς ἀρχομένῳ καὶ λόγου, καὶ πράγματος, ἐκ θεοῦ τε ἄρχεσθαι, καὶ εἰς θεὸν ἀναπαύεσθαι. τὸ δὲ αἴτιον, ἢ τῆς πρότερον στάσεως καὶ ὀλιγοψυχίας, δι' ἣν ἐμακρύναμεν φυγαδεύοντες, καὶ ηὐλίσθην ἀφ' ὑμῶν χρόνον οὐ μικρὸν ἴσως τοῖς γε ποθοῦσιν, ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις ἐμαυτὸν ἔδωκα φέρων ὑμῖν, ἄλλος μὲν ἄλλο τι οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων ἡμᾶς, ὁ μὲν οὐκ ἀφελεῖς αἰτίας, ὁ δὲ καὶ προσαποδεχόμενος. οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια καὶ μάλιστα ἐὰν τύχωσιν ὑπ' εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια. ἐγὼ δὲ τὸ ἀληθὲς εἰς μέσον θήσω μηδὲν αἰσχυνθεὶς, καὶ δικαστὰς δικαίους ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι τε κατηγοροῦσιν ἡμῶν, καὶ ὅσοι ὑπεραπολογοῦνται προθύμως· τὸ μέν τι κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπεραπολογησάμενος. καὶ ἵνα γε κατὰ ὁδὸν ὁ λόγος ἡμῖν προΐῃ, περὶ τῆς δειλίας προτέρας οὔσης, καὶ διαλέξομαι. οὐδὲ γοῦν αἰσχύνομαι πλήττεσθαι ἕνεκα σοι ἐμοὶ τὴν πᾶσαν προσουσῶν ἐπιμελῶς τὰ ἡμέτερα, οὗ τι καὶ ὡς ἑτέρως ἔχοντα, ἐπειδή τι τὸ καθ' ἡμᾶς εἶναι χριστιανοῖς δεδόκηκεν ὁ θεὸς, καὶ τοὺς ἤδη πεπληγότας, εἴπερ τινές εἰσι, διὰ τῆς ἀπολογίας ἰάσομαι. καλὸν γὰρ μήτε ἁμαρτάνοντα, μήτε ὑποπτευόμενον, ἕως ἂν οἷόν τε ᾖ καὶ ὁ λόγος αἱρῇ, τιθέναι πρόσκομμα τοῖς πολλοῖς εἰς σκάνδαλον. εἴπερ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν, ἴσμεν ὅπως ἀπαραίτητος καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς ἡ τιμωρία. ἐγὼ γοῦν ἐπεπόνθειν τοῦτο ὦ ἄνδρες, οὐχ ὡς ἀπαίδευτος καὶ ἀσύνετος· ἀλλὰ μᾶλλον, ἵνα καὶ μικρόν τι καυχήσωμαι, οὐχ ὡς ὑπερόπτης τῶν θείων νόμων καὶ διατάξεων. ὥσπερ ἐν σώματι, τὸ μέν τι ἄρχον ἐστὶ, καὶ οἷον προκαθεζόμενον, τὸ δὲ ἀρχόμενον καὶ ἀγόμενον, οὕτω κἀν ταῖς ἐκκλησίαις διέταξεν ὁ θεὸς ἰσότητος νόμῳ τῆς ἐχούσης τὸ κατ' ἀξίαν, ἢ καὶ προνοίας, ἣ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυνομένοις. τοὺς δὲ εἶναι ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῆς ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσιν ἀνώτεροι κατὰ τὴν ἀρετὴν, καὶ τὴν πρὸς τὸν θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα, ἢ νοῦ πρὸς ψυχὴν ἐπέχοντας. ἵν' ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό, τε ὑστεροῦν καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ πνεύματος συμβιβασθέντα καὶ συναρθρωθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ Χριστοῦ τῆς κεφαλῆς ἡμῶν ὄντως ἄξιον. οὔτε οὖν τοῖς ἄλλοις ἀναρχίαν, καὶ ἀταξίαν λυσιτελεστέραν οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις, ἀλλὰ τούτοις καὶ πάντων οὐχ ἥκιστα, ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ κίνδυνος. οἷς μέγα, κἂν εἰ τὸ πρῶτον τοῦ λόγου μὴ σώζοιεν, τὸ μηδὲν ἁμαρτάνειν, ἀλλὰ τό γε δεύτερον ἐκεῖνο, τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι. ἐπειδὴ τοῦτο καλὸν ἐφαίνετο καὶ δίκαιον, ἴσον ἐμοὶ κακὸν καὶ ὁμοίως ἄτακτον, πάντας τε ἄρχειν ἐθέλειν, καὶ μηδένα ἄρχεσθαι. ὡς εἴ γε πάντες φεύγοιεν ταύτην, τὴν εἴτε λειτουργίαν χρὴ λέγειν, εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μεγίστῳ μέρει, καὶ οὐδ' ἂν καλὸν ἔτι μένοι τὸ καλὸν τῆς ἐκκλησίας πλήρωμα. ποῦ δ' ἂν ἔτι καὶ παρὰ τίνων θρησκεύοιτο ἡμῖν ὁ θεὸς τὰ μυστικὰ καὶ ἄνω φέροντα, ὃ δὴ μέγιστόν ἐστι τῶν ἡμετέρων καὶ τιμιώτατον, οὐκ ὄντος βασιλέως, οὐκ ὄντος ἄρχοντος, οὐχ ἱερατείας, οὐ θυσίας, οὐδ' ὅσα ὡς μέγιστα ἐπὶ μεγάλοις τοῖς πταίσμασιν, οἱ πάλαι ἀπειθεῖς κατεκρίθησαν; ἀλλ' οὐδὲ ξένον τι καὶ ἀπρόσοπον τοῖς πολλοῖς τὰ θεῖα φιλοσοφοῦσιν, μὴ ἄρχειν ἀναβαίνειν ἀπὸ τοῦ ἄρχεσθαι, οὐδὲ ἔξω τῶν νενομισμένων τῆς φιλοσοφίας ὅρων, καὶ φέρειν εἰς ὄνειδος. ὥσπερ οὐδὲ ναύτῃ τὴν εὐδοκίμησιν, τὸ πρωρατεῦσαι, καὶ πρωρεῖ

κατὰ

καλῶς τῶν ἀνέμων τὴν πεῖραν ἔχοντι, οὐ πιστευθῆναι τὸν οἴακα. εἰ δὲ βούλει, στρατιώτῃ γενναίῳ τὸ ταξιαρχῆσαι, καὶ ταξιάρχῃ καλῷ, οὐ στρατηγῆσαί τι καὶ πολέμου παντὸς ἡγεμονίαν ἐγχειρισθῆναι. οὐ μὴν οὐδ' ὅπερ ἂν ὑπολάβοι τις ἴσως τῶν πάντα ἀτόπων καὶ μοχθηρῶν, οἳ κρίνουσι τὰ τῶν ἄλλων τοῖς οἰκείοις πάθεσιν, ἠχθέσθην τοῦ βαθμοῦ τὴν τάξιν ἐπιθυμίᾳ τοῦ μείζονος. οὐχ οὕτως ἐγώ, ἢ τοῦ θείου μεγέθους, ἢ τῆς ἀνθρωπίνης ταπεινώσεως ἄπειρος, ὡς μὴ μέγα νομίζειν πάσῃ γεννητῇ φύσει, καὶ ὁπωσοῦν πλησιάζειν θεῷ, τῷ μόνῳ φανοτάτῳ καὶ λαμπροτάτῳ, καὶ ὑπερέχοντι πάσης ὑλικῆς καὶ ἀΰλου φύσεως καθαρότητι. τί οὖν ἐστιν ὃ πέπονθα; καὶ τίς ὁ λόγος τῆς ἐμῆς ἀπειθείας; οὐδὲ γὰρ ἔδοξα τοῖς πολλοῖς ἐν ἐμαυτοῦ τότε μένειν, οὐδ' εἶναι ὥσπερ ἐγινωσκόμην, ἀλλ' ἕτερος ἐξ ἑτέρου τις γεγονέναι, καὶ πλεῖον ἢ καλῶς εἶχεν, ἀντιτείνειν καὶ αὐθαδίζεσθαι. τούτου δὴ τὰς αἰτίας ἀκούοιτε ἂν ἤδη πάλαι ποθοῦντες, μάλιστα μὲν ὑπὸ ἀδοκήτου πληγείς, ὥσπερ οἱ τοῖς αἰφνιδίοις τῶν ψόφων καταπλαγέντες, οὐ κατέσχον τὸν λογισμόν, καὶ διὰ τοῦτο ἔλυσα τὴν αἰδῶ, πάντα τὸν χρόνον ταύτῃ συνεθισμένος. ἔπειτα μέ τις ὑπεισῄει ἔρως τοῦ καλοῦ, τῆς ἡσυχίας, καὶ τῆς ἀναχωρήσεως, ἧς ἐραστὴς γενόμενος ἐξ ἀρχῆς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν περὶ λόγους ἐσπουδακότων, καὶ ἐν τοῖς μεγίστοις καὶ χαλεπωτάτοις κινδύνοις καθυποσχόμενος τῷ θεῷ, καὶ τοι καὶ προσαψάμενος ταύτης, ὅσον ἐν προθύροις γενέσθαι, καὶ πλείονά μοι τὸν πόθον ἐξάψαι διὰ τῆς πείρας, οὐκ ἤνεγκα τυραννούμενος, καὶ εἰς μέσους τοὺς θορύβους ὠθούμενος, καὶ ὥσπερ ἀπὸ ἱεροῦ τινος ἀσύλου τοῦ βίου τούτου πρὸς βίαν ἀποσπώμενος. οὐδὲν γάρ ἐδόκει μοι τοιοῦτον, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, καὶ εἰς ἑαυτὸν συστραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα, καὶ τῷ θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων, καὶ ὄν, καὶ ἀεὶ γινόμενον. φωτὶ προσλαμβάνοντα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον. ἤδη δὲ τοῦ μέλλοντος αἰῶνος ἀγαθὸν ταῖς ἐλπίσι καρπούμενον, καὶ συμπεριπολεῖν ἀγγέλοις, ἔτι ὑπὲρ γῆς ὄντα, καταλείποντα τὴν γῆν, καὶ ὑπὸ τοῦ πνεύματος ἄνω τιθέμενον. εἴ τις ὑμῶν τούτῳ τῷ ἔρωτι κάτοχος, οἶδεν ὃ λέγω, καὶ τῷ τότε πάθει συγγνώσεται. τῶν γὰρ πολλῶν οὐδ' ἂν πείσαιμι λέγων ἴσως, ὅσοις καὶ ἐν γέλωτι τὸ πρᾶγμα ἐστί, δοκεῖ κακῶς διατεθῆναι, εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας, εἴτε ὑπὸ τῶν ἀναξίων τοῦ ἐπαγγέλματος, οἳ πράγματι καλῷ κακὸν περιτεθείκασιν ὄνομα τῇ φιλοσοφίᾳ, τὴν κενοδοξίαν, συνεργὸν λαβόντες τὸν φθόνον καὶ τὴν τῶν πολλῶν κακίαν, πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν. ἵν' ἕν γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐνεργούμενον, ἢ τὸ καλὸν ἀπιστούμενον. πρὸς δὲ τούτοις, πρᾶγμα ἔπαθον. ἐκλαλήσω πρὸς ὑμᾶς πάντα τὸ ἀπόρρητον. οὐκ οἶδα, εἴτε ἄγροικον, εἴτε ἐλεύθερον, ἔπαθον δ' οὖν. ᾐσχύνθην ὑπὲρ τῶν ἄλλων, ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους, μέγα μὲν οὖν εἰ καὶ μὴ πολλῷ χείρους, ἀνίπτοις χερσίν, ὃ δὴ λέγεται, καὶ ἀμυήτοις ψυχαῖς, τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι, καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τι καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ οὐκ ἀρετῆς τύπον, ἀλλ' ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ λειτουργίαν ὑπεύθυνον, ἀλλ' ἀρχὴν ἀνεξέταστον. καὶ ὀλίγου δέοντι πλείους κατ' ἀριθμόν, ἢ ὁπόσων ἄρχουσι. δείλαιοι τῆς εὐσεβείας, καὶ ἄθλιοι τῆς λαμπρότητος. ὥστε ἔμοιγε δοκοῦσι προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν ὧν ἄρξουσι, πάντων διδασκόντων, ἀντὶ τοῦ διδακτοὺς εἶναι θεοῦ, ὥς φησιν ἡ ἐπαγγελία, καὶ πάντων προφητευόντων. ὥστε εἶναι καὶ Σαοὺλ ἐν προφήταις, κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ παροιμίαν. οὐδὲν γὰρ οὕτω πολὺ κατ' οὐδένα καιρὸν οὔτ' ἐστίν, οὔτ' ἐγένετο, ἄλλοτε ἄλλων ἀνακυψάντων τε καὶ ληξάντων, ὡς νῦν χριστιανοῖς τὰ τοιαῦτα καὶ ὀνείδη καὶ ἁμαρτήματα. ὧν εἰ καὶ στῆσαι τὴν φορὰν κρεῖσσον ἢ καθ' ἡμᾶς, ἀλλὰ τό γε μισεῖν καὶ αἰσχύνεσθαι, μέρος εὐσεβείας οὐ τὸ σμικρότατον. ὃ δὲ τελευταῖον καὶ μεῖζον τῶν εἰρημένων (εἶμι γὰρ ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λόγου, καὶ οὐ ψεύσομαι, οὐδὲ γὰρ θέμις, τοῖς περὶ τηλικοῦτον κινουμένοις τὸν λόγον) οὐχ ὁμοίως ἴσον εἶναι, οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν ἢ βουκολίου, καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς. ἐκεῖ μὲν γὰρ ἐξαρκεῖν, ὅτι παχύτατον ἀποδεῖξαι τὸ βουκόλιον, ἢ τὸ ποίμνιον. καὶ πρὸς τοῦτο ὁρῶν, ὅ, τι βουκόλος καὶ ὁ ποιμήν, τῶν τε χωρίων ἐπισκέψεται τὰ εὔυδρα καὶ ἐπίνομα, εἰσελάσει τε καὶ ἐξελάσει ἀπό τε νομῶν καὶ ἐπὶ νομάς, ἀναπαύσει τε καὶ ἀφυπνίσει καὶ ἀνακαλέσει, ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ δὲ τῇ σύριγγι. ἄλλο δὲ οὐδὲν ἔργον ἐστὶ τῷ ποιμένι ἢ τῷ βουκόλῳ, πλὴν ὅσον βραχέα προσπολεμῆσαι τοῖς λύκοις, καί που τι καὶ ἀρρωστοῦν ἐπισκέψασθαι. τὰ πολλὰ δὲ αὐτοῦ μελέτη δρῦς, καὶ σκιά, καὶ δόνακες, καὶ ἐν καλῷ τὴν πόαν κατακλιθῆναι, καὶ παρὰ ψυχρὸν ὕδωρ, καὶ ὑπὸ ταῖς αὔραις σχεδιάσαι στιβάδα, καί που τι καὶ ἐρωτικὸν ᾆσαι μετὰ τοῦ κισσυβίου, καὶ προσλαλῆσαι τοῖς βουσὶν ἢ τῇ ποίμνῃ, καὶ τούτων αὐτῶν θοινήσασθαι

ἢ ἀποδόσθαι

ſ. 86.

ἢ ἄρχεσθαι τὸ πιότατον. ἀρετῆς δὲ οὐδείς πω ποιμνίων ἢ βουκολίων ἐφρόντισεν. τίς γὰρ καὶ ἀρετὴ τούτων; ἢ τίς τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο; ἀνθρώπῳ δὲ, χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι τὸ εἰδέναι ἄρχειν ἀνθρώπων, καὶ μάλιστα δὴ ἀρχὴν ταύτην τὴν ἡμετέραν, τὴν ἐν νόμῳ θείῳ, καὶ πρὸς θεὸν ἄγουσαν, ἧς ὅσον τὸ ὕψος καὶ τὸ ἀξίωμα, τοσοῦτος καὶ ὁ κίνδυνος τῷ γε νοῦν ἔχοντι. ὃν γε πρῶτον μὲν δεήσει καθάπερ ἄργυρον ἢ χρυσὸν πανταχόθεν στρεφόμενον, καὶ ἐν παντοίοις καιροῖς τε καὶ πράγμασι, μηδαμοῦ κίβδηλον ἠχεῖν, ἢ ὑπόχαλκον, μηδέ τι φέρειν ἐν ἑαυτῷ τῆς ὕλης τοῦ χείρονος, καὶ θερμοτέρου πυρὸς ἀξίας. ἢ τοσούτῳ μεῖζον ἔσται κακὸν, ὅσῳ περ ἂν ἄρχῃ πλειόνων. εἴπερ καὶ μείζων τῆς περὶ ἓν ἱσταμένης πονηρίας, ἡ εἰς πολλοὺς διαδύνουσα. οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλαμβάνει ῥᾳδίως ὕφασμα, οὔτε δυσεκπλύτου ἢ τῆς ἐναντίας τῶν πλησιαζόντων, οὔτε νοσερά τις οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα, καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζώοις ἀτμὶς, ὃ δὴ λοιμός ἐστί τε καὶ ὀνομάζεται, ὡς φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ πολλῷ γε ῥᾷον, ἢ τῆς ἐναντίας, τῆς ἀρετῆς. τοῦτο γάρ ἐστιν ᾧ μάλιστα πλεονεκτεῖ τὴν καλοκαγαθίαν ἡ πονηρία, καὶ ὃ μάλιστα ἐγὼ δυσχεραίνω κατανοῶν. εὐζήλωτον μέν τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία. καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακὸν, κἂν μὴ τύχῃ πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς. σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον. καὶ τοῦτό ἐστιν, ὅ μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας, ἐπὶ τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν, καὶ ἀληθεστάτην εἰκόνα· ἐρώτησαί τε ἱερεῖς νόμον, λέγων, εἰ κρέας ἅγιον ἐν ἱματίῳ βρωτοῦ τινος, ἢ ποτοῦ, ἢ σκεύους ἁψάμενον, εὐθὺς ἁγιάσει τὸ πλησιάζον. τῶν δὲ ἀποφησάντων, ἐρωτῆσαί τε πάλιν, εἰ καὶ ἀκαθαρσία τούτων τι προσομιλήσειεν, μὴ παραχρῆμα μετέβαλε τοῦ μιάσματος. ὡς ἐρούντων γε μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ. τί τοῦτο λέγων; ὅπερ ὁ ἐμὸς λόγος, ὅτι δύσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ τὸ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ. ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι. καλάμη τις πρὸς σπινθῆρα, οἶμαι, καὶ ἄνεμον, ῥᾳδίως ἐξαπτομένη καὶ δαπανωμένη διὰ ξηρότητα. θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. ἐπεὶ καὶ μέλιτι μὲν, μικρὸν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ. μέλι δὲ, οὐδὲ τὸ διπλάσιον, ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος. καὶ μικρὰ μὲν ἀποσπασθεῖσα ψηφὶς, ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανὲς, ἐπισχεῖν δὲ ἢ ἀνακόψαι, μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατόν τι ἔρυμα. πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι ἄξιον. μὴ φανώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων οὐ φαυλογραφίδες, τῶν δὲ πολλῶν φαύλων ἀρχέτυποι. ἢ τὸ τῆς παροιμίας, μὴ πόρρω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες, αὐτοὶ βρύοντες ἕλκεσι. δεύτερον δὲ, εἰ καί τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας τηρήσειεν, ἢ ὡς μάλιστα, οὐκ οἶδα μὲν, εἰ καὶ τοῦτο αὐταρκὲς τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν πρὸς ἀρετήν. οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τοῦτο πιστευόμενον (τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς πολλοῖς αἴσχιστον) ἀλλὰ καὶ τῷ ἀγαθῷ διαφέροντα, κατὰ τὴν ἐκκλίνειν ἀπὸ κακοῦ, τε ποιεῖν ἀγαθὸν κελεύουσαν ἐντολήν. οὐδὲ τοὺς φαύλους ἐξαλεῖψαι τῆς ψυχῆς τύπους μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι, ὡς πλέον κατ' ἀρετὴν προέχειν, ἢ ὁπόσον προύχει τῷ ἀξιώματι. καὶ μηδὲν μέτρον εἰδέναι τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως. μηδὲ κέρδος μᾶλλον τὸ κρατηθὲν, ἢ ζημίαν τὸ διαφεῦγον. ἀλλ' ἐπίβασιν ἀεὶ ποιεῖσθαι τοῦ ἐν ποσὶ τὸ ἑξῆς, καὶ μὴ μέγα νομίζειν, ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν, ἂν τῆς ἀξίας ἀπολειπώμεθα. καὶ τῇ ἐντολῇ παραμετρεῖν, ἀλλὰ μὴ τοῖς πέλας, τὰ κατορθούμενα, ἄν τε ὦσι κακοὶ, ἄν τε ἀρετῆς εἰς ποσὸν ἥκοντες. καὶ μικροῖς σταθμοῖς ταλαντεύειν τὴν ἀρετὴν, τοῦ μεγίστου, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα, χρεωστουμένην. μηδὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι. ὥσπερ οὐδὲ ἡλικίαι πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη λαμπτήρων. ἀλλ' ἡγεῖσθαι ἰδιώτου μὲν εἶναι κακίαν, τὸ φαῦλα πράσσειν, καὶ ὅσα κολάσεως ἄξια, ὧν τε ὁ νόμος βαρὺς ἐπιστάτης. ἄρχοντος δὲ, ἢ προεστῶτος, τὸ μὴ ὡς ἄριστον εἶναι, καὶ ἀεὶ ἐπὶ τὸ καλὸν προβαίνοντα, εἴπερ μέλλοι τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον, καὶ μὴ βίᾳ κατάρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι. τὸ μὲν γὰρ ἀκούσιον, πρὸς τῷ τυραννικὸν εἶναι, τε οὐκ ἐπαινετὸν, οὐδὲ μόνιμον. φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ φυτὸν βίᾳ χερσὶ μετασπώμενον, εἰς ἑαυτὸ πάλιν, ἀφεθὲν, ἀνατρέχειν. τὸ δὲ ἐκ προαιρέσεως, ἐννομώτατόν τι ἅμα καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον. ὅθεν δὴ καὶ μάλιστα ποιμαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς, ὁ ἡμέτερος διακελεύεται νόμος, καὶ νομοθέτης. ἀλλ' ἔστω τις μὴ τι κακὸς, καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον. οὐχ ὁρῶ τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ δυνάμει πιστεύσας, ταύτην ἂν θαρροίη τὴν προστασίαν. τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν,

ἄνθρωπον

ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον τῶν ζώων, καὶ ποικιλώτατον. γνοίη δ' ἄν τις, τῇ τῶν σω-
μάτων θεραπείᾳ, τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετάσας. καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη κα-
ταμαθὼν, ὅσῳ δὲ ἡ καθ' ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ τῇ φύσει τῆς ὕλης, καὶ τῇ δυνά-
μει τῆς ἐπιστήμης, καὶ τῷ τέλει τῆς ἐνεργείας τιμιωτέρα. ἡ μὲν γὰρ περὶ σώματα πονεῖται,
καὶ τὴν ἐπίκηρον ὕλην καὶ κάτω ῥέουσαν, πάντως λυθησομένην καὶ πεισομένην τὸ ἑαυτῆς.
κἂν νῦν τῇ συμμαχίᾳ τῆς τέχνης κατακρατήσῃ τῆς ἐν αὐτῇ στάσεως. ἢ γὰρ νόσος ἢ χρόνος ἔ-
λυσαν, εἴξασαν τῇ φύσει, καὶ τὸν ἴδιον ὅρον οὐχ ὑπερβαίνουσαν. τῇ δὲ, περὶ ψυχὴν ἡ σπου-
δὴ, τὴν ἐκ θεοῦ καὶ θείαν, καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς ἐκείνην ἐπειγο-
μένην, εἰ καὶ τῷ χείρονι συνεδέθη. τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, ἃς μόνος οἶδεν ὁ συν-
δήσας θεὸς, καὶ εἴ τις ἐκ θεοῦ τὰ τοιαῦτα ἐσοφίσθη μυστήρια. ὅσον δ' οὖν ἐμὲ γινώσκειν, καὶ
τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν. ἑνὸς μὲν, ἵνα δι' ἀγῶνος καὶ πάλης τῆς πρὸς τὰ κάτω, τῆς ἄνω δό-
ξης κληρονομήσειεν. ὥσπερ χρυσὸς τῷ πυρὶ, τοῖς τῇδε βασανισθεῖσα. καὶ ἀρετῆς ἆθλον, ἀλ-
λὰ μὴ θεοῦ δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα. καὶ τοῦτο δὲ ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος,
ποιῆσαι τὸ ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωρ-
γούμενον, καὶ τοῖς ἐπ' ἄμφω τοῦ αὐτεξουσίου κινήμασιν. ἑτέρου δὲ πάλιν, ὡς ἂν καὶ τὸ χεῖρον
ἑλκύσειε πρὸς ἑαυτὴν καὶ ἀνωθεῖ, λύσασα κατὰ μικρὸν τοῦ πάχους, ἵν' ὅπερ ἐστὶ θεὸς ψυ-
χῇ, τοῦτο ψυχὴ σώματι γένηται, παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσα-
σα θεῷ τὸ ὁμόδουλον. χώρας, καὶ καιροὺς, καὶ ἡλικίας, καὶ ὥρας. καὶ τὰ τοιαῦτα ὁ ἰατρὸς
ἐπισκέπτεται, φαρμακεύσει τε καὶ διαιτήσει, καὶ τηρήσει τὰ βλαβερὰ, ὡς ἂν μὴ ἀντιπεσεῖ-
ναι τῇ τέχνῃ τὰς τῆς ἀρρωστίας ἐπιθυμίας. καί που καὶ καύσεσι, καὶ τομαῖς, καὶ τοῖς αὐστη-
ροτέροις τῆς θεραπείας, ἔστιν ὅτε καὶ ἐφ' ὧν χρήσεται. ὧν οὔπω τοσοῦτον οὐδὲν, κἂν ἐπίπονα
σφόδρα καὶ χαλεπὰ φαίνηται, ὅσον ἤθη καὶ πάθη, καὶ βίους καὶ προαιρέσεις, καὶ εἴ τι
ἄλλο τοιοῦτον τῶν ἐν ἡμῖν, κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι. καὶ πᾶν ὅσον θηριῶδες καὶ ἄγριον
ἐξορίσαντας τῆς συζυγίας τῆς ὑμετέρας, πᾶν ὅσον ἥμερον καὶ θεῷ φίλον ἀντεισαγαγεῖν
τε καὶ βεβαιώσασθαι. καὶ βραβεῦσαι δικαίως ψυχῇ τε καὶ σώματι, μὴ τῷ χείρονι τοῦ κρείτ-
τονος δυναστεύεσθαι συγχωρήσαντας, ὅπερ ἀδικιῶν ἡ μεγίστη. τῷ δὲ ἄρχοντι καὶ ἡγεμονικῷ
τὸ τῇ φύσει δεύτερον ὑποτάξαντας, ὅσπερ δὴ νόμος θεοῦ καὶ κάλλιστα ἔχων ἐπὶ πάσης
αὐτοῦ τῆς κτίσεως, ὅση τε ὁρατὴ, καὶ ὅση ὑπὲρ τὴν αἴσθησιν. σκοπῶ δὲ κἀκεῖνο, ὅτι ἐκείνων μὲν
ὧν ἀπηριθμησάμην ἕκαστον, ὡς τῷ θεραπευτῇ τηρούμενον ὅπως ἔχει φύσεως, οὕτω μένει, καὶ
οὐδὲν ἀντιτεχνᾶται περὶ ἑαυτοῦ πανούργως, οὐδὲ ἀντισοφίζεται τοῖς παρὰ τῆς τέχνης προσαγο-
μένοις, ἀλλὰ καὶ παρέστηκε μᾶλλον τὴν ὕλην ἡ ἰατρεία, πλὴν εἴ που βραχεῖά τις παρεμπέ-
σοι τοῦ κάμνοντος ἀταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ χαλεπόν. ἡμῖν δὲ ἡ σύνεσις,
καὶ τὸ φίλαυτον, καὶ τὸ νικᾶσθαι ῥαδίως μήτε εἰδέναι, μήτε ἀνέχεσθαι μέγιστον πρὸς ἀρε-
τὴν ἐστὶν ἐμπόδιον, καὶ οἷόν τις παράταξις κατὰ τῶν συμμαχούντων γίνεται. καὶ ὅσην εἰσφέρειν
ἔδει σπουδὴν, γυμνοῦν τὴν νόσον τοῖς θεραπεύουσιν, τοσαύτην ὥστε τὴν ἰατρείαν φεύγειν εἰσ-
φερόμεθα, καὶ ἐσμὲν ἀνδρεῖοι καθ' ἑαυτῶν, καὶ κατὰ τῆς ὑγείας ἡμῶν ἐπιστήμονες. ἢ γὰρ δουλοπρε-
πῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν, ὥσπερ τι πάθος ὕπουλον καὶ κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς
συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν τοῦ θεοῦ καὶ τῆς δίκης, κἂν τοὺς ἀνθρώ-
πους λάθωμεν, ἢ προφασιζόμεθα προφάσεις ἐν ἁμαρτίαις, λόγους συνηγόρους τοῖς πάθε-
σιν ἀνευρίσκοντες, ἢ τὰς ἀκοὰς ἀποφράξαντες, ἀσπίδος κωφῆς, καὶ τὰ ὦτα βυούσης τρόπον, μὴ
ἀκοῦσαι φωνῆς ἐπᾳδόντων φιλονεικοῦμεν, μηδὲ φαρμακευθῆναι σοφίας φαρμάκοις, οἷς ἀρ-
ρωστία ψυχῆς θεραπεύεται. ἢ τὸ τελευταῖον, οἵ γε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι, καὶ
φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν καὶ τοὺς ταύτης θεραπευτὰς, γυμνῇ τῇ κεφα-
λῇ, τὸ δὴ λεγόμενον, χωροῦντες πρὸς πᾶσαν παρανομίαν. ὢ τῆς παραπληξίας, ἢ εἴ τι ἄλλο τῷ
τοιούτῳ πάθει κυριώτερον ὄνομα. καὶ οὓς ἀγαπᾶν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς ἐχθροὺς
ἀμυνόμεθα, μισοῦντες ἐν πύλαις ἐλέγχοντας, καὶ λόγον ὅσιον βδελυσσόμενοι. καὶ οἰόμεθα — *Ἀμὼς κεφ. ε´.*
μᾶλλον πολεμήσειν τοὺς ἡμῖν εὔνους, ἀνθ' ὅτι πλεῖστα ἡμᾶς αὐτοὺς κακῶς δράσομεν. ὥσπερ οἱ
τῶν ἰδίων σαρκῶν ἁπτόμενοι, τὰς τῶν πέλας δαπανᾶν νομίζοντες. τοιαῦτά ἐστιν, οἷς ἐγὼ τὴν
καθ' ἡμᾶς ἰατρικὴν, τῆς περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καὶ διὰ τοῦτο τιμιω-
τέραν. καὶ ὅτι ἐκείνη μὲν ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσα, περὶ δὲ τὰ φαινόμενα ἡ πλείων
τῆς πραγματείας. ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε
καὶ σπουδὴ, καὶ πρὸς τὸν ἔνδοθεν ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ μάχη, ὃς
ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον, τῷ τῆς ἁμαρτίας θανάτῳ δί-
δωσι. πρὸς οὖν ταῦτα, πολλῆς μὲν καὶ παντελοῦς τῆς πίστεως, μείζονος δὲ τῆς παρὰ θεοῦ συνερ-
γίας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως, ὥς γε ἐμαυτὸν πείθω, χρεία, τῆς καὶ λό-

γνώμης καὶ ὑπὸ γνώμης διαφθειρομένης, εἴ τι καὶ προσαγομένης, ἃ δεῖ καλῶς ἡμῖν θεραπεύεσθαι καὶ ἀνακαθαίρεσθαι, καὶ ὡς πλείστου ἀξίας ἐστὶ τὸ τιμιώτατον ὧν ἔχομεν, τὰς ψυχάς. τί γε μὴν ἀμφοτέρων τῆς θεραπείας τέλος; τοῦτο γὰρ ἡμῖν εἰς τὴν ζήτησιν ἔτι λείπεται, τῇ μὲν ὑγείαν ἢ εὐεξίαν σαρκός, ἢ οὔσας φυλάξαι, ἢ ἀπελθούσας ἀνακαλέσασθαι, ὧν οὔπω δῆλον, εἴ τι συνοίσει τοῖς κεκτημένοις. ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλέον τοὺς ἔχοντας ὤνησεν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες, καὶ ὅσα ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει. τῇ δὲ οὖν προκειμένῃ, πτερῶσαι ψυχήν, καὶ ἁρπάσαι κόσμου, καὶ δοῦναι θεῷ. καὶ τὸ κατ' εἰκόνα, ἢ μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαρρυὲν ἀνασώσασθαι, εἰσοικίσαι τε τὸν χριστὸν ἐν ταῖς καρδίαις διὰ τοῦ πνεύματος, καὶ τὸ κεφάλαιον θεὸν ποιῆσαι καὶ τῆς ἄνω μακαριότητος, τὸν τῆς ἄνω συντάξεως. τοῦτο ἡμῖν ὁ παιδαγωγὸς βούλεται νόμος. τοῦτο οἱ μέσοι χριστοῦ καὶ νόμου προφῆται. τοῦτο ὁ τοῦ πνευματικοῦ νόμου τελειωτὴς καὶ τὸ τέλος, χριστός. τοῦτο ἡ κενωθεῖσα θεότης. τοῦτο ἡ προσληφθεῖσα σάρξ. τοῦτο ἡ καινὴ μίξις θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. διὰ τοῦτο θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τῆς μεσιτευούσης οἰκειότητι, καὶ πάντα ὑπὲρ πάντων ἦλθεν εἰς ἕν, καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος ἡ ψυχή, διὰ τὴν παρακούσασαν. ἡ σάρξ, διὰ τὴν ὑπουργήσασαν καὶ συγκατακριθεῖσαν, ἡ μὲν ψυχήν, ἡ δὲ σαρκί. ὁ χριστός, διὰ τὸν ἀδὰμ τὸν γενόμενον ὑπὸ τὴν ἁμαρτίαν, ὁ κρείσσων ἁμαρτίας καὶ ὑψηλότερος. διὰ τοῦτο ἀντεισήχθη τῷ παλαιῷ τὸ νέον, καὶ διὰ πάθους ὁ παθὼν ἀνεκλήθη. καὶ ὑπὲρ ἑκάστου τῶν ἡμετέρων, ἕκαστον τῶν ὑπὲρ ἡμᾶς ἀντιδόθη. καὶ γέγονε καινὸν τὸ μυστήριον, ἡ περὶ τὸν πεσόντα δι' ἀπείθειαν ἐκ φιλανθρωπίας οἰκονομία. διὰ τοῦτο γένεσις καὶ παρθένος. διὰ τοῦτο φάτνη καὶ Βηθλεέμ. ἡ γέννησις, ὑπὲρ τῆς πλάσεως. ἡ παρθένος, ὑπὲρ τῆς γυναικός. ἡ Βηθλεέμ, διὰ τὴν ἐδέμ. ἡ φάτνη, διὰ τὸν παράδεισον. τὰ μικρὰ καὶ φαινόμενα, ὑπὲρ τῶν μεγάλων καὶ κρυπτομένων. διὰ τοῦτο ἄγγελοι δοξάζοντες τὸν οὐράνιον, εἶτα ἐπίγειον, καὶ ποιμένες δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι. καὶ ἀστὴρ ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωροφοροῦντες, ἵν' εἰδωλολατρεία καταλυθῇ. διὰ τοῦτο ἰησοῦς βαπτιζόμενος, καὶ ἄνωθεν μαρτυρούμενος, καὶ νηστεύων, καὶ πειραζόμενος, καὶ νικῶν τὸν πειράζοντα. διὰ τοῦτο δαίμονες ἐλαυνόμενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ τὸ μέγα κήρυγμα μικροῖς ἐγχειριζόμενον καὶ κατορθούμενον. διὰ τοῦτο ἔθνη φρυασσόμενα, καὶ λαοὶ μελετῶντες κενά. διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου, καὶ κατὰ τῆς χειρὸς χεῖρες. τῆς ἀκρατῶς ἐκταθείσης, αἱ γενναίως ταθεῖσαι· τῆς ἀνειμένης, αἱ τοῖς ἥλοις δεθεῖσαι· τῆς ἐκβαλούσης ἀδάμ, αἱ τὰ πέρατα οἰκειούμεναι. διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος, καὶ χολὴ κατὰ τῆς γεύσεως, καὶ στέφανος ἀκάνθινος κατὰ τοῦ πονηροῦ κράτους, καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος ὑπὲρ τοῦ φωτός, καὶ ταφὴ ὑπὲρ τῆς εἰς γῆν ἀναστροφῆς, καὶ ἀνάστασις ὑπὲρ τῆς ἀναστάσεως. ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν ἀδὰμ ὅθεν ἐξέπεσεν ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς γνώσεως, οὐ κατὰ καιρόν, οὐδὲ ἐπιτηδείως μεταληφθὲν ἠλλοτρίωσεν. ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοί, ὅσοι τῶν ἄλλων προκαθεζόμεθα. οἷς μέγα μὲν τὸ τὰ ἴδια πάθη καὶ ἀρρωστήματα καὶ γινώσκειν καὶ θεραπεύειν. μᾶλλον δὲ οὔπω μέγα, πλὴν τοῦτο λέγειν ἡμᾶς ἡ τῶν πολλῶν κακία πέπεικε, τῶν ἐπὶ ταύτης ὄντων τῆς τάξεως, πολλῷ δὲ μᾶλλον τὸ τὰ τῶν ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως, καὶ ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε τῆς θεραπείας χρήζουσι, καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις. εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταί, πόνους τε καὶ ἀγρυπνίας καὶ φροντίδας ἃς ἴσμεν ἕξουσι, καὶ τὸ ἐπ' ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὥς ἔφη τις τῶν παρ' ἐκείνοις σοφῶν. καὶ τὰ μὲν αὐτοὶ μοχθοῦντες καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ' ἄλλων ἐρανιζόμενοι, καὶ συνεισφέροντες, προσποιοῦσι τοῖς δεομένοις. καὶ οὐδὲν οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν ἢ διαφυγόν, οὐδὲ τῶν ἐλαχίστων, ὡς μὴ μέγα πρὸς τὴν τῆς ὑγείας ῥοπήν, ἢ τοῦ κινδύνου τοὐναντίον ὑπολαμβάνεσθαι. καὶ ταῦτα, ὑπὲρ τίνος, ἵνα ἄνθρωπος ζήσῃ πλείους τὰς ὑπὲρ γῆς ἡμέρας. καὶ οὗτος οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων, ᾧ πάλαι τεθνάναι ἴσως ἄμεινον ἦν ὄντι κακῷ, ἵνα τοῦ μεγίστου τῶν ἀρρωστημάτων, κακίας ἀπαλλαγῇ. εἰ δὲ καὶ τὰ κάλλιστα θείημεν, πόσου βιωσόμενος τοῦ ἅπαντα χρόνου; ἢ τί τῆς ἐνταῦθα κερδανεῖ ζωῆς; ἣν τὸ λυθῆναι ζητεῖν, τῶν καλῶν τὸ πρῶτον καὶ ἀσφαλέστατον ὡς ἐμοὶ δοκεῖν, καὶ αἰδοῦς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος. ἡμῖν δὲ οἷς τὸ κινδυνευόμενον ἐστὶ σωτηρία ψυχῆς τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα κολασθησομένης, ἢ ἐπαινεθησομένης διὰ κακίαν ἢ ἀρετήν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, ἢ ὅσης δεῖν τῆς ἐπιστήμης, ἰατρεῦσαι καλῶς ἢ ἰατρευθῆναι; καὶ τὴν ζωὴν μεταδιῶξαι; καὶ δοῦναι

j. 50. 30.

τὸ χρῶ

ὃν χρεὼν τῷ πνεύματι; οὐ γὰρ τὴν αὐτὴν οὔτε λόγων, οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄῤῥενι, οὔτε γῆρας νεότης, οὔτε πενίᾳ πλοῦτος, οὔτε εὐθυμῶν ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἄρχοντές τε ἀρχομένοις, σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ θρασεῖς, ὀργίλοι καὶ πρᾶοι, κατορθοῦντες καὶ πίπτοντες. κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον τῶν ἐν συζυγίαις πρὸς τοὺς ἀγάμους, κἀν τούτοις πάλιν, τῶν τῆς ἐρημίας πρὸς τοὺς κοινωνικοὺς καὶ μιγάδας. τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, πρὸς τοὺς ἁπλῶς κατευθύνοντας. ἀστικῶν τε αὖ καὶ τῶν ἐκ τῆς ἀγροικίας, ἀκεραιοτέρων τε καὶ πανουργοτέρων. τῶν ἐν πράγμασι, πρὸς τοὺς ἡσυχάζοντας. τῶν μεταβολῇ πεπληγότων, πρὸς τοὺς εὐδρομοῦντας καὶ ἀμαθεῖς τῶν χειρόνων. τούτων γὰρ ἕκαστοι, πλεῖον ἀλλήλων ἐστὶν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς, ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες. εἰ δὲ βούλει, τὰς τῶν στοιχείων μίξεις καὶ κράσεις ἐξ ὧν συνεστήκαμεν, οὐ ῥᾴστην ἔχουσι τὴν οἰκονομίαν. ἀλλ' ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρουσιν, ἄλλοι δὲ ἄλλην ἢ εὐεκτοῦσιν ἢ κάμνουσιν, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύουσι. μαρτυροῦσι δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη. τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι. οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλινοῦ. οἱ μὲν γάρ εἰσι νωθεῖς, καὶ δυσκίνητοι πρὸς τὸ καλὸν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον, οἱ δὲ θερμότεροι τοῦ μετρίου περὶ τὸ πνεῦμα καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόῤῥω τῆς νύσσης θέοντες, οὓς βελτίους ἂν ποιήσειεν, ἄγχων καὶ ἀνακόπτων ὁ λόγος. τοὺς μὲν ἔπαινος ὤνησε, τοὺς δὲ ψόγος. ἀμφότερα μετὰ τοῦ καιροῦ, ἢ τοὐναντίον, ἔβλαψεν ἔξω τοῦ καιροῦ καὶ τοῦ λόγου. τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δὲ ἐπιτίμησις. καὶ αὕτη, τοὺς μὲν ἐν τῷ κοινῷ διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῆς ἰδίας νουθετήσεως, πλήθους καταγνώσει σωφρονιζόμενοι. οἱ δὲ πρὸς τὴν ἐλευθερίαν τῆς ἐλέγξεως αἰσχυνθέντες, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες τῆς συμπαθείας, τὴν εὐπείθειαν. τὴν μὲν πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ τῶν μικροτάτων, ὅσοι τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο τεχνάζουσιν, ὡς σοφωτέρους ἐφύσησαν. τῶν δὲ, ἐστὶν ἃ καὶ περιορᾶν ἄμεινον. ὥστε ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν. ἵνα μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐθίζωμεν, περὶ φιλοπόνως τὴν ἔλεγξιν καταβαπτίζοντες. καὶ τέλος, πρὸς πάντα ποιῶμεν τολμηρούς, τὸ τῆς πειθοῦς φάρμακον τῇ αἰδοῖ διαλύσαντες. καὶ μέν τοι καὶ ὀργιστέον ποτὲ οὐκ ὀργιζομένους, καὶ ὑπεροπτέον οὐχ ὑπερορῶντας, καὶ ἀπογνωστέον οὐκ ἀπογινώσκοντας, ἐὰν τοῦτο ἡ φύσις ἐπιζητῇ. τῶν δ' ἄλλων ἐπιεικεῖ θεραπευτέον καὶ ταπεινότητι, καὶ τῷ συμπροθυμεῖσθαι διὰ τὰς χρηστοτέρας ἐλπίδας. καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ ἡττᾶσθαι πολλάκις λυσιτελέστερον. καὶ τὴν μὲν εὐπορίαν καὶ δυναστείαν, τῶν δὲ πενίαν ἢ δυσπραγίαν ἢ ἐπαινεῖν, ἢ ἀποδοκιμάζειν. οὐ γὰρ ὥσπερ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας, τὴν μὲν καλλίστην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ, καὶ πᾶσι, τὴν δὲ χειρίστην τε καὶ βλαβερωτάτην. οὕτω καὶ τῆς φαρμακείας τῆς ἡμετέρας, ὅτι καὶ τὸ αὐτὸ ὑγιαινότατον, ἢ ἐπισφαλέστατον ἀεὶ καὶ τοῖς αὐτοῖς ἀποδέδεικται. ἀλλὰ τὸ αὐστηρὸν ἢ τὸ πρᾶον, ἢ τῶν ἄλλων ὧν ἀπηριθμησάμην ἕκαστον. ἀλλὰ τοῖς μὲν τοῦτο καλὸν καὶ χρήσιμον, τοῖς δὲ τὸ ἐναντίον πάλιν, ὅπως ἂν οἶμαι συμπίπτωσιν οἵ τε καιροὶ καὶ τὰ πράγματα, καὶ οἱ τῶν θεραπευομένων ἐπιδέχωνται τρόποι. ἃ ταῦτα μὲν διελέσθαι λόγῳ καὶ συνιδεῖν ἐπὶ τὸ ἀκριβέστατον, ὥστε ἐν κεφαλαίῳ τὴν θεραπείαν περιλαβεῖν, ἀμήχανον, κἂν ἐπὶ πλεῖστον ἐξίκηταί τις ἐπιμελείας τε καὶ συνέσεως. ὑπὸ δὲ τῆς πείρας αὐτῆς τε τῶν πραγμάτων, τῷ θεραπευτῇ λόγῳ καὶ αἰσθεῖ καταφαίνεται. καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι καθάπερ τοῖς ἐπὶ κάλων μετεώρους καὶ ὑψηλοῦ βαίνουσι, τῇδε ἢ τῇδε ἀποκλῖναι οὐκ ἀσφαλὲς, οὐδὲ εἰς μικρὸν φέρουσα ἡ ῥοπὴ κἂν μικρὰ φαίνηται, ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσοῤῥοπία καθίσταται. οὕτω κἀν τούτοις, ὁποτέρωσε νεύσειέ τις, εἴτε διὰ κακίαν, εἴτε δι' ἀμαθίαν, κίνδυνος, οὐχ ὁ τυχὼν, αὐτῷ τε καὶ τοῖς ἀγομένοις, τῆς τῆς ἁμαρτίας πτώματος. ἀλλ' ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ περισκεπτέον, μήτε εἰς δεξιὰ, μήτε εἰς ἀριστερὰ, καθώς αἱ παροιμίαι φασὶν, ἐκκλίνοντας. οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει τὴν ἡμετέραν, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ ποιμένι, τῷ γνωστῶς γινωσκομένῳ ψυχὰς ποιμνίου, καὶ ἀφηγουμένῳ κατὰ λόγον ποιμαντικῆς, τῆς γε ὀρθῆς καὶ δικαίας καὶ τοῦ ἀληθινοῦ ποιμένος ἡμῶν ἀξίας. αὐτὴν δὲ τὴν τοῦ λόγου διανομὴν, ἵνα τελευταῖον εἴπω τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ, καὶ ὃν νῦν πάντες φιλοσοφοῦσιν, εἰ μέν τις ἄλλος θαῤῥεῖ καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τοῦτον ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω τῆς εὐηθείας. ἐμοὶ δ' οὐ πρᾶγμα φαίνεται, οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου τοῦ πνεύματος, διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου τὸ σιτομέτριον, καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων, ὅσα περὶ κόσμου ἢ κόσμων φιλοσοφεῖται. περὶ ὕλης, περὶ ψυχῆς, περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων, περὶ τῆς τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας, ὅσα τε κατὰ λόγον ἀπαντᾶν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν

καὶ τῷ ἐν ἀνθρώπινον, ἔτι δὲ ὅσα περὶ τῆς πρώτης ἡμῶν συστάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως, τύπων τε καὶ ἀληθείας καὶ διαθηκῶν, καὶ Χριστοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε, καὶ παθημάτων, καὶ ἀναλύσεως, ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως σκυθρωποτέρων καὶ ἐνδοξοτέρων. τὸ κεφάλαιον, ὅσα περὶ τῆς ἀρχικῆς καὶ βασιλικῆς καὶ μακαρίας Τριάδος ἀπολειπτέον, ἐς περὶ δὴ ὁ κίνδυνος μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις. ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθείη τὸ λόγον δέει πολυθεΐας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὑπολαμβάνουσι. μήτε εἰς τρεῖς ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθείη, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ ἵνα εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν. ὥσπερ φυτοῦ διαστροφῆς ἐπὶ θάτερα πολὺ μετακλινομένης. τριῶν γὰρ ὄντων τῶν νῦν περὶ τὴν θεολογίαν ἀρρωστημάτων, ἀθεΐας καὶ ἰουδαϊσμοῦ καὶ πολυθεΐας, ὧν τοῦ μὲν Σαβέλλιος προστάτης ὁ Λίβυς ἐγένετο, τοῦ δὲ Ἄρειος ὁ Ἀλεξανδρεύς, τοῦ δὲ τινὲς τῶν ἄγαν τῶν ἡμῖν ὀρθοδόξων. τίς ὁ ἐμὸς λόγος, τὸ τριῶν ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις μένειν τῆς εὐσεβείας. καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν ἐκ τῆς κενῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως ὑπαχθῆναι, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι δεχομένους. φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα, ἢ σύνθετόν τινα καὶ ἄτοπον ἡμῖν θεόν, ὥσπερ τὰ μυθώδη τῶν ζώων σκιαγραφοῦντας καὶ ἀναπλάττοντας. μήτε τὰς φύσεις τέμνοντας κατὰ τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, εἰς ἰουδαϊκὴν πενίαν κατακλεισθῆναι καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, ὥσπερ δεδοικότας μὴ διαφθαρείη ἡμῖν ὁ θεός, θεοῦ πατὴρ ὢν ἀληθινοῦ καὶ ὁμοτίμου τὴν φύσιν. μήτε τρεῖς ἀρχὰς ἀλλήλαις ἀντεπεξάγοντας ἢ συντάσσοντας, πολυαρχίαν εἰσάγειν ἑλληνικήν, ἣν πεφεύγαμεν. μήτε εἰς τρεῖς ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἀτάκτους καὶ ἀνάρχους, καὶ ἵνα εἰπεῖν ἀντιθέους. δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι πατέρα περιαιρεῖν. τίνος γὰρ ἂν καὶ εἴη πατὴρ τοῦ υἱοῦ τῇ φύσει κεχωρισμένου καὶ ἀπεξενωμένου μετὰ τῆς κτίσεως; οὐ γὰρ ἔστιν υἱός, τὸ ἀλλότριον, ἢ συναλειφομένου πρὸς τὸν πατέρα καὶ συγχεομένου, ἵνα δὲ εἰπεῖν καὶ συγχέοντος. μήτε τοσοῦτον φιλοχρίστους, ὡς μήτε τοῦτο φυλάττειν τὸ εἶναι υἱῷ τινος ὄντι καὶ εἶναι, μὴ πρὸς ἀρχὴν ἀναφερόμενος τὸν πατέρα· μήτε τῷ πατρὶ τὸ τῆς ἀρχῆς ἀξίωμα, τὸ ὡς πατρὶ καὶ γεννήτορι. μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχή, μᾶλλον δὲ μικρῶς τε καὶ ἀναξίως, μὴ θεότητος ὢν ἀρχὴ καὶ ἀγαθότητος, τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης. τοῦ μὲν ὡς υἱῷ καὶ λόγῳ, τοῦ δὲ ὡς προόδῳ καὶ οὐ διαλύτῳ πνεύματι. ἐπειδή γε ἀναγκαῖον καὶ τὸν ἕνα θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. ταῦτ' οὖν μακροτέρου μὲν ἢ κατὰ τὸν παρόντα καιρόν, οἶμαι δὲ καὶ βίον, τοῦ λόγου, καὶ νοῆσαι καὶ παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον. μᾶλλον δὲ καὶ νῦν καὶ ἀεὶ τοῦ πνεύματος, ᾧ μόνῳ θεὸς καὶ νοεῖται καὶ ἑρμηνεύεται καὶ ἀκούεται. καθαρῷ γὰρ μόνον ἁπτόν, τὸ καθαρὸν καὶ ὡσαύτως ἔχοντος. οὗ δὲ εἵνεκα νῦν ἐν ὀλίγῳ διεληλύθαμεν, ἵν' ἐκεῖνο δηλώσωμεν, ὅτι χαλεπὸν ἢ πάλαι μάλιστα, περὶ τηλικούτων διαλεγομένων, ἐκπαιδεῦσαι τῆς συγκειμένης καὶ ἡλικίας καὶ ἕξεως, ἵνα ὀργάνῳ τινὶ πολυχόρδῳ διαφόρων ἡρμοσμένῳ καὶ τῶν κρουμάτων, εὑρεῖν τινα τὸν πάντας καταρτίσαι δυνάμενον λόγον, καὶ λαμπρῦναι τῷ φωτὶ τῆς γνώσεως. οὐ μόνον γὰρ ἐν τρισὶ τούτοις τῶν κινδύνων σαλεύοντος, διανοίᾳ καὶ λόγῳ καὶ ἀκοῇ, ἀναγκαῖον περὶ γέ τι τούτων, εἰ καὶ μὴ πάντα προσπταῖσαι, ἢ γὰρ οὐκ ἐνελλαμφθεὶς νοῦς, ἢ λόγος ἀσθενής, ἢ οὐκ ἐχώρησεν ἀκοή, μὴ κεκαθαρμένη, καὶ ὁμοίως ἐξ ἑνὸς τούτων ἢ πάντων, χωλεύειν ἀνάγκη τὴν ἀλήθειαν, ἀλλ' ὅτι καὶ οὗτοις ἄλλο τι διδάσκειν ὑπηγορευμένοις ῥᾷστον ποιεῖ τὸν λόγον καὶ εὐπαράδεκτον, ἢ τὴν ἀκουόντων εὐλάβειαν, ὅταν ἐνταῦθα ἡ ζημία καθίσταται καὶ ὁ κίνδυνος. ὡς γὰρ περὶ θεοῦ καὶ τοῦ μεγίστου τῶν ὄντων ἔχοντες τὸν ἀγῶνα, καὶ τῆς σωτηρίας αὐτοῦ, καὶ τῆς πρώτης πᾶσιν ἐλπίδος, ὅσῳ τὴν πίστιν εἰσὶ θερμότεροι, τοσούτῳ προσεκτικώτεροι τῷ λόγῳ, καὶ προδοσίαν τῆς ἀληθείας, οὐκ εὐσέβειαν, τὴν εὐπείθειαν ὑπολαμβάνοντες, πάντα προοῖντο ἂν πρότερον, ἢ τοὺς οἴκοθεν λογισμούς, μεθ' ὧν ἔρχονται, καὶ τῶν δογμάτων οἷς συνανετράφησαν τὴν συνήθειαν. καὶ ταῦτ' ἔτι λέγω, τῶν μετριωτέρων καὶ οὐ πάντη κακῶν τὸ πάθος. οἳ κἂν τῆς ἀληθείας διαμαρτάνωσιν, ἀλλὰ τῷ γε δι' εὐλάβειαν ταῦτα πάσχειν, καὶ ζῆλον μὲν ἔχειν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, τυχὸν ἔσονται τῶν οὐ σφόδρα κατακρινομένων, οὐδὲ πολλὰς δαρησομένων. ὡς οἱ διὰ κακίαν καὶ πονηρίαν, τοῦ δεσποτικοῦ θελήματος ἀποπίπτοντες. καὶ τάχα ἂν οὗτοι καὶ μεταπεισθεῖέν ποτε καὶ μεταβληθεῖεν ἀπὸ τῆς αὐτῆς εὐλαβείας, ὑφ' ἧς καὶ ἀντέβαινον, εἴ τις αὐτῶν ἅψαιτο λόγος, ἢ οἴκοθεν ἢ ἔξωθεν κρούσας καιρίως, ὥσπερ σίδηρος πυρίτην λίθον, τὴν ἐγκύμονα καὶ ἀξίαν φωτὸς διάνοιαν. οὗ ἢ καὶ τάχιστα ἂν ἐκ μικροῦ σπινθῆρος ὁ τῆς ἀληθείας πυρσὸς ἐκλάμψειεν. τί δ' ἂν εἴποι τις περὶ τῶν διὰ κενοδοξίαν ἢ φιλαρχίαν, ἀδικίαν εἰς τὸ ὕψος λαλούντων, ἑαυτοῖς τινος ἢ ἰαμβείου μεγαληγορίας; οὐ κατὰ μανουσίως τὸ δὲ ἀληθείας ὁπλιζομένων, καὶ τῆς ὑγιαινούσης κατεξανισταμένων διδασκαλίας;

Καινῆς

σκαλίας; ἢ τῆς τρίτης μοίρας, τῶν δι᾽ ἀπαιδευσίαν καὶ τὴν ὑπομονὴν ταύτῃ θρασυτέρων, ὁμοῦ παντὶ λόγῳ χειρουμένων τοὺς συνήθεις πάθει, καὶ καταπατούντων τοὺς κακοὺς ὑποχωρίτας τῆς ἀληθείας; ἢ ὅσοι μηδεμίαν μὲν οἴκοθεν ὑπόληψιν φέροντες, μηδέ τινα τύπον τῶν περὶ θεοῦ λόγων ἢ χείρονα ἢ βελτίονα, πᾶσι δὲ ὑποπίπτοντες ἑαυτοὺς λόγοις καὶ διδασκάλοις, ὡς ἐξ ἁπάντων ἐκλεξόμενοι τὸ κρεῖττον καὶ ἀσφαλέστερον, καὶ κριταῖς οὐ καλοῖς τῆς ἀληθείας σφίσιν ἑαυτοῖς πιστεύοντες; ἔπειτα ὑπὸ τῆς πιθανότητος ἄλλοτε ἄλλως περιφερόμενοι καὶ στρεφόμενοι, καὶ παντὶ λόγῳ κατακλυσθέντες καὶ κατατριβέντες, πολλοὺς ἀμείψαντες διδασκάλους, καὶ πολλὰ γράμματα ὥσπερ χνοῦν ἀνέμοις ῥᾳδίως ἀποβαλόντες, τέλος ἀποκαμόντες καὶ ἀκοὴν καὶ διάνοιαν, ὢ τῆς ἀλογίας, πρὸς ἅπαντα λόγον ὁμοίως δυσχεραίνωσι; καὶ μοχθηρὸν τύπον ἑαυτοῖς ἐγγράφωσιν αὐτῆς καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς ἀστάτου καὶ οὐδὲν ὑγιὲς ἐχούσης τῆς πίστεως, μεταβαίνοντες ἀπαιδεύτως ἀπὸ τῶν λόγων ἐπὶ τὸν λόγον. ὥσπερ ἂν εἴ τις τοὺς ὀφθαλμοὺς κακῶς διακείμενος, ἢ τὰ ὦτα διεφθαρμένος, κατηγοροίη τοῦ ἡλίου ἢ τῶν φωνῶν· τοῦ μέν, ὡς ἀμαυροῦ καὶ οὐ στίλβοντος, τῶν δέ, ὡς ἐκμελῶν καὶ ἀτόνων. καὶ διὰ τοῦτο ῥᾷον ἄρτι καινοτομεῖν ἀλήθειαν ψυχῇ, ὥσπερ κηρὸν οὔπω κεχαραγμένον, ἢ γράφειν κατὰ γεγραμμένης, πονηρῶν λέγω διδαγμάτων τε καὶ δογμάτων, εὐσεβῆ λόγον, ὡς συγχεῖσθαι καὶ ἀτακτεῖν τοῖς προτέροις τὰ δεύτερα. ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἄτριβῆ καὶ τραχεῖαν. καὶ γῆν ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔτεμεν καὶ ἡμέρωσεν. ψυχὴν δὲ γράφειν, ἣν οὔπω λόγος ἐχάραξε μοχθηρός, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας εἰσεμάγη γράμματα. δύο γὰρ ἂν οὕτω τὰ ἔργα γένοιτο τῷ εὐσεβεῖ καλλιγράφῳ, ἐξαλείφειν τε τοὺς προτέρους τύπους, καὶ μετεγγράφειν τοὺς δοκιμωτέρους τε, καὶ τοῦ μένειν ἀξιωτέρους. τοσοῦτοι μὲν δὴ καὶ κατὰ τὰ λοιπὰ πάθη καὶ κατὰ τὸν λόγον αὐτὸν οἱ πονηροὶ καὶ τοῦ πονηροῦ τύποι καὶ χαρακτῆρες, τοσοῦτον δὲ τὸ ἔργον τῷ ταύτην ἐπιτεθυμμένῳ τὴν ψυχῶν παιδαγωγίαν καὶ προστασίαν. καὶ τὰ πλείω παρίησιν ὁ λόγος, ἵνα μὴ περαιτέρω ᾖ τοῦ δέοντος. ὥσπερ οὖν εἴ τις θηρίον ἐκ πολλῶν θηρίων συγκείμενον πολυειδὲς καὶ πολύμορφον, μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ ἀγριωτέρων ἄγειν ἐπιχειροίη καὶ τιθασεύειν, πάντως ἂν ἦν ἔργον αὐτῷ καὶ οὐ μικρὸν τὸ ἀγώνισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστατῶν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τροφαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν, οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν θηρίων χαίροντος, ἄλλων δὲ ἄλλοις ἡδομένων ἢ ἀχθομένων, ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια. καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστάτην; τί ἄλλο γε ἢ πολυειδῆ τε εἶναι, καὶ ποικίλον τὴν ἐπιστήμην, καὶ κατάλληλον ἑκάστῳ προσάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐτῷ τὸ θηρίον; καὶ διασώζοιτο, οὕτως ἐκ πολλῶν καὶ διαφόρων καὶ ἠθῶν καὶ λόγων, καθάπερ οἷος ζῴου συνθέτου καὶ ἀνομοίου, τοῦ κοινοῦ τούτου τῆς ἐκκλησίας συγκειμένου σώματος, πᾶσα ἀνάγκη καὶ τὸν προστάτην ἁπλοῦν τε εἶναι τὸν αὐτὸν κατὰ τὴν ἐν πᾶσιν ὀρθότητα, καὶ ὅτι μάλιστα παντοδαπὸν καὶ ποικίλον κατὰ τὴν πρὸς ἕκαστον οἰκείωσιν, καὶ τὸ τῆς ὁμιλίας πρὸς πάντας ἐπιτήδειόν τε καὶ πρόσφορον. οἱ μὲν γὰρ δέονται γάλακτι τρέφεσθαι τοῖς ἁπλουστέροις καὶ στοιχειωδεστέροις τῶν διδαγμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς, ὡς ἂν εἴποι τις, τὴν ἀνδρείαν τοῦ λόγου τροφὴν οὐ φέροντες. ἣν εἰ προσάγοις παρὰ δύναμιν, τάχα ἂν καταπιεσθέντες καὶ βαρυνθέντες, οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ τῆς ὕλης, τὸ ἐπεισελθὸν ἑλκῦσαι καὶ οἰκειώσασθαι, ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. οἱ δὲ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρήζοντες, καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στερροτέρας, τῷ πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψευδοῦς ἱκανῶς γεγυμνάσθαι τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο, καὶ τρέφοιντο λαχάνοις ἀσθενῶν βρώματι, δυσχεραίνοιεν ἄν. καὶ μάλα εἰκότως, οὐ δυναμούμενοι κατὰ Χριστόν, οὐδὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν, ἣν ἐργάζεται λόγος τελειῶν εἰς ἄνδρα, καὶ εἰς μέτρον ἡλικίας ἄγων πνευματικῆς τὸν καλῶς τρεφόμενον. καὶ πρὸς ταῦτα, τίς ἱκανός; οὐ γάρ ἐσμεν ὡς οἱ πολλοί, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου λόγον, τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξιτήλῳ καὶ εἰκῇ ῥέοντι, ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας, ἄλλο τε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι, καὶ πᾶσι πρὸς χάριν, ἐγγαστρίμυθοί τινες ὄντες καὶ κενολόγοι. τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδοκιμοῖεν παρὰ τοῖς πολλοῖς. ὅτι μάλιστα ζημιοῦντες ἑαυτοὺς ἢ ἀπολλῦντες, καὶ αἷμα ἀθῷον ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητησομένοις· ἀλλ᾽ εἰδότες, ἑτέροις βέλτιον εἶναι τὰς ἑαυτῶν λύμας ἐνδιδόναι

τεχνικωτέροις, ἢ ἄλλων ἡνιοχεῖν ἐστὶν ἀνεπιστήμονας, καὶ ἀκολουθεῖν ἀποπειθέσθαι μᾶλλον εὐγνώμονα, ἢ γλώσσαις κινεῖν ἀπαίδευτον. ταῦτα διαλεχθέντων ἡμῖν αὐτοῖς, καὶ ἴσως οὐ φαύλοις συμβούλοις, εἰ δὲ μή γε, ἀλλ' οὖν εὔνοις, διὰ τοῦτο καὶ τὰ ἐντεῦθεν καὶ τὰ πρακτέα μαθεῖν οὐκ εἰδότες μᾶλλον ἢ διδάσκειν ἀγνοοῦντες, ἐδοκιμάσαμεν. ἀγαπητὸν γὰρ οὕτω κἂν εἰς βαθὺ γῆρας λόγος ἀφίκοιτο τέλειος, καὶ ὠφελῆσαι νέαν ἐν εὐσεβείᾳ ψυχὴν δυνάμενος. ὡς τό γε παιδεύειν ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, τὸ δὴ λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾶν τὴν εὐσέβειαν, λίαν εἶναί μοι φαίνεται ἀνοήτων ἢ τολμηρῶν. ἀσυνέτων μὲν, εἰ μηδὲ αἰσθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας. θρασέων δὲ, εἰ καὶ συνιέντες, κατατολμῷεν τοῦ πράγματος. Ἑβραίων μὲν οὖν οἱ σοφώτεροι λέγουσιν, ὡς ἄρα ἦν τις πάλαι νόμος Ἑβραίοις, ἐν τοῖς μάλιστα εὖ ἔχειν καὶ ἐπαινούμενος, μὴ πᾶσαν ἡλικίαν πάσῃ γραφῇ ἐνδίδοσθαι. μηδὲ γὰρ εἶναι τοῦτο λυσιτελέστερον, ὅτι μηδὲ πᾶσαν εὐθέως εἶναι πᾶσι ληπτὴν, καὶ τὰ μέγιστα ἂν τοὺς πολλοὺς κακῶσαι τῷ φαινομένῳ, τὴν βαθυτέραν. ἀλλὰ τὰς μὲν ἀπ' ἀρχῆς ἀνεῖσθαι πᾶσι καὶ εἶναι κοινὰς, ὧν καὶ τὸ σωματικὸν οὐκ ἀδόκιμον. τὰς δὲ μὴ ἄλλοις, ἢ τοῖς ὑπὲρ εἰκοστὸν καὶ πέμπτον γεγονόσιν ἔτος πιστεύεσθαι, ὅσαι διὰ τὸ εὐτελὲς τοῦ ἐνδύματος τὸ μυστικὸν κάλλος πολὺ κατακαλύπτουσιν. ἆθλον φιλοπονίας καὶ λαμπροῦ βίου, μόνοις τοῖς κεκαθαρμένοις τὸν νοῦν ἀπαστράπτον καὶ φανταζόμενον, ὡς μόνης δυναμένης τῆς ἡλικίας ταύτης ὑπὲρ τὸ σῶμα γενέσθαι, καὶ ἀναβῆναι καλῶς ἐπὶ τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος. ἡμῶν δὲ, οὐδεὶς ὅρος τοῦ παιδεύειν καὶ τοῦ παιδεύεσθαι. ὥσπερ οἱ λίθοι, πάλαι, ταῖς ὑπὲρ τὸν Ἰορδάνην καὶ ταῖς ἐντὸς Ἰορδάνου φυλαῖς. οὐδὲ ποτὲ μὲν ἐκεῖνο, ποτὲ δὲ τοῦτο ἐπιτήδειον. οὐδέ τις κανὼν τῆς ἕξεως, ἀλλ' οὕτω τὸ πρᾶγμα ἔρριπται καὶ συγκέχυται, καὶ οὕτω κακῶς διακείμεθα, ὥστε οἱ πλείους ἡμῶν, ἵνα μὴ λέγω πάντες, πρὶν ἀποξύσασθαι σχεδὸν τὴν πρώτην τρίχα, καὶ τὸ τὰ παιδικὰ ψελλίζεσθαι, πρὶν ἐπελθεῖν εἰς τὰς θείας αὐλὰς, πρὶν τῶν ἱερῶν βίβλων γνῶναι κἂν τὰ ὀνόματα, πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι, καὶ τοὺς προστάτας· οὔπω γὰρ λέγω, πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι, καὶ τὰ τῆς ψυχῆς αἴσχη ὅσα ἡ κακία ἡμῖν προσεμάξατο, ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν, καὶ ταῦτα ἐξ ἀκοῆς, οὐκ ἐντεύξεως, ἢ περὶ Δαβὶδ βραχέα καθομιλήσωμεν, ἢ τὸ τριβώνιον εὖ περιστελώμεθα, ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν, εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιχρώσαντες, βαβαὶ τῆς προεδρείας καὶ τοῦ φρονήματος, ἱερὸς καὶ ἐκ σπαργάνων ὁ Σαμουὴλ, εὐθὺς ἐσμὲν σοφοὶ καὶ διδάσκαλοι καὶ ὑψηλοὶ τὰ θεῖα, καὶ γραμματέων τὰ πρῶτα καὶ νομικῶν, καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ζητοῦμεν. καὶ οὐδαμοῦ τὸ γράμμα, καὶ πάντα δεῖ νοηθῆναι πνευματικῶς, καὶ λῆρος πλατὺς τὰ ὀνείρατα, καὶ ἀγανακτοῖμεν ἂν, εἰ μὴ σφόδρα ἐπαινοίμεθα. τοῦτο ἡμῶν οἱ χρηστότεροι καὶ ἁπλούστεροι. τί δὲ οἱ πνευματικοὶ μᾶλλον, καὶ γενναιότεροι; πολλὰ καταγνόντες ἡμᾶς, ἂν οὕτω δόξῃ, καὶ βασανίσαντες, καὶ οὐδαμοῦ θέντες, ἀπῆλθον, καὶ τῇ κοινωνίᾳ ὡς οὐκ εὐσεβῶν διαπτύσαντες. ἂν δέ τινι αὐτῶν λέγωμεν οὕτω σε τελέως καὶ λογικῶς προσβιβάζοντες, εἰπέ μοι ὦ θαυμάσιε, καλεῖς τι τὸ ὀρχεῖσθαι, τό, τε αὐλεῖν; πάνυ γε, εἴποιεν ἄν. τί δαὶ, σοφίαν τε καὶ σοφὸν εἶναι, τοῦτο δὲ δὴ θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην τιθέμεθα; καὶ τοῦτο δώσουσιν. πότερον δὲ κρεῖττον εἶναι καὶ ὑψηλότερον, ταῦτα σοφίας, ἢ ταύτην μακρῷ τὴν σοφίαν; καὶ πάντων εὖ οἶδ' ὅτι φήσουσι. καὶ μέχρι τούτων εἰσὶν εὐγνώμονες. ἆρ' οὖν ὀρχήσεως μὲν καὶ αὐλήσεως ἐστὶ διδασκαλία καὶ μάθησις, καὶ χρόνος πρὸς τοῦτο δεῖ, καὶ ἱδρώτων συχνῶν καὶ πόνων, καὶ μισθοὺς καταβαλεῖν ἔστιν ὅτε, καὶ προσαγωγῶν δεηθῆναι, καὶ ἀποδημῆσαι μακρότερα, καὶ τἄλλα τὰ μὲν ποιῆσαι πάντα, τὰ δὲ παθεῖν οἷς ἐμπειρία συλλέγεται, τὴν δὲ σοφίαν ἣ πᾶσιν ἐπιστατεῖ, καὶ πάντα ἐν ἑαυτῇ τὰ καλὰ συλλαβοῦσα ἔχει, ὡς καὶ τὸν θεὸν αὐτὸν τοῦτο μᾶλλον, ἤ τι ἄλλο χαίρειν ἀκούοντα, ἐπειδὴ καλεῖται πολλοῖς ὀνόμασιν, οὕτω κοῦφόν τι καὶ καταπεπατημένον πρᾶγμα ὑπολαμβανόμεθα, ὥστε θελῆσαι δεῖ μόνον καὶ εἶναι σοφόν; πολλῆς τοῦτο τῆς ἀμαθίας. ἂν ταῦτα λέγωμεν αὐτοῖς, καὶ κατὰ μικρὸν τὴν πλάνην ἀνακαθαίρωμεν, ἤ τις ἄλλος τῶν εὐμαθεστέρων καὶ συνετωτέρων, τοῦτο ἐκεῖνο κατὰ τὰ πετρῶν σπείρειν, καὶ λαλεῖν εἰς ὦτα μὴ ἀκουόντων, οὕτως οὐδ' αὐτὸ τοῦτό εἰσι σοφοὶ, τὴν ἑαυτῶν γνῶναι ἀπαιδευσίαν. καί μοι δοκεῖ καλῶς ἔχειν, τὸ τοῦ Σολομῶντος εἰπεῖν περὶ αὐτῶν· ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι. καὶ ὃ τούτου πονηρότερον, παιδεύειν ἄλλους ἐπιστευμένον, ὧν μηδὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθανόμενον. τοῦτο δακρύων μὲν καὶ στεναγμῶν εἴπερ τι ἄλλο τὸ πάθος ἄξιον, ὃ καὶ πολλάκις ἐγὼ κατηλέησα. εὖ εἰδὼς, ὅτι τὸ οἴεσθαι, τοῦ εἶναι τὸ πλεῖστον ἀφαιρεῖται, καὶ μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον. ἰάσασθαι δὲ καὶ στῆσαι τὴν νόσον, Πέτρου ἂν εἴη τινὸς ἢ Παύλου, τῶν μεγάλων Χριστοῦ μαθητῶν, καὶ μετὰ τοῦ ἐν λόγῳ καὶ ἔργῳ κυβερνήσεως εἰληφότων τὸ χάρισμα, καὶ πᾶσι πάντα γινομένων, ἵνα τοὺς πάντας

j. 153. 23.

j. 172. 43.

πάντας καλλίστην. ἡμῖν δὲ τοῖς ἄλλοις μέγα, καὶ εἰ καλῶς κυβερνοίμεθα καὶ ἀγοίμεθα πρὸς τὴν ἐπανόρθωσιν τὰ τοιαῦτα καὶ διευθύνειν πεπιστευμένων. ἀλλ' ἐπειδή γε Παῦλον καὶ τὸν κατ' ἐκεῖνον ἐμνήσθημεν, ἀφέντες, εἰ δοκεῖ, τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ νομοθεσίαν, ἢ προφητείαν, ἢ στρατηγίαν, ἤ τινα τοιαύτην ἄλλην οἰκονομίαν τοῦ λαοῦ προεβλήθησαν, οἷον Μωσῆν, τὸν Ἀαρὼν ἐκεῖνον, τὸν Ἰησοῦν, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τοὺς κριτάς, τὸν Σαμουήλ, τὸν Δαβίδ, τὸν προφητῶν τὸ πλῆθος, τὸν Ἰωάννην, τοὺς δώδεκα μαθητάς, τοὺς ἐπ' ἐκείνοις ὕστερον, οἳ πολλοῖς ἱδρῶσι καὶ πόνοις διεξῆλθον τὴν προστασίαν κατὰ τοὺς ἑαυτῶν χρόνους ἕκαστοι, τούτους ὑπερβάντες ἅπαντας, Παῦλον προστησώμεθα μόνον τοῦ λόγου συνίστορα, κἂν τούτῳ θεωρήσωμεν ὅσον ἐστὶ καὶ ἡ ψυχῶν ἐπιμέλεια, καὶ εἰ βραχείας τῆς πραγματείας, ἢ μικρᾶς τῆς συνέσεως. ὡς ἂν δὲ ῥᾷστα τοῦτο γνοίημεν καὶ κατίδοιμεν, τί Παῦλος αὐτὸς περὶ Παύλου φησί, ἀκούσωμεν· ἐῶ λέγειν τοὺς πόνους, τὰς ἀγρυπνίας, τοὺς φόβους, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει, τὰς ἐν γυμνότητι, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, τοὺς ἔνδοθεν ἀντιπράττοντας· ἀφίημι τοὺς διωγμούς, τὰ συνέδρια, τὰ δεσμωτήρια, τὰ δεσμά, τοὺς κατηγόρους, τὰ δικαστήρια, τοὺς καθ' ἡμέραν καὶ ὥραν θανάτους, τὴν σαργάνην, τοὺς λιθασμούς, τοὺς ῥαβδισμούς, τὴν περίοδον, τοὺς κατὰ γῆν κινδύνους, τοὺς κατὰ θάλασσαν, τὸν βυθόν, τὰ ναυάγια, κινδύνους ποταμῶν, κινδύνους λῃστῶν, κινδύνους ἐκ γένους, κινδύνους ἐν ψευδαδέλφοις, τὸν ἐκ χειρῶν βίον, τὸ ἀδάπανον εὐαγγέλιον, ὡς θέατρον ὢν καὶ ἀγγέλοις καὶ ἀνθρώποις, μέσος θεοῦ καὶ ἀνθρώπων ἱστάμενος. ὑπὲρ μὲν τοῦ ἀγωνιζόμενος, τῷ δὲ προσάγων λαὸν καὶ οἰκειῶν, λαὸν περιούσιον, χωρὶς τῶν παρεκτός. τούτων τίς ἂν ἀξίως διέλθοι, τὴν καθ' ἡμέραν ἐπίστασιν, τὴν τῆς καθ' ἕκαστον κηδεμονίαν, τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν, τὸ πρὸς πάντας συμπαθὲς καὶ φιλάδελφον. προσέκοπτέ τις, καὶ Παῦλος ἠσθένει. καὶ ἄλλος ἐσκανδαλίζετο, καὶ Παῦλος ἦν ὁ φλεγόμενος. τὸ δὲ τῆς διδασκαλίας φιλόπονον, τὸ δὲ ποικίλον τῆς θεραπείας, ἡ φιλανθρωπία δέ, τὸ δὲ αὐστηρὸν πάλιν, ἡ δὲ ἐξ ἀμφοτέρων μίξις καὶ κρᾶσις, ὡς μήτε τῇ χρηστότητι μαλακίζειν, μήτε τραχύνειν τῇ χαλεπότητι. νομοθετεῖ δούλοις καὶ δεσπόταις, ἄρχουσι καὶ ἀρχομένοις, ἀνδράσι καὶ γυναιξίν, γονεῦσι καὶ τέκνοις, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ, σοφίᾳ καὶ ἀμαθίᾳ, περιτομῇ καὶ ἀκροβυστίᾳ, Χριστῷ καὶ κόσμῳ, σαρκὶ καὶ πνεύματι. ὑπὲρ μὲν τῶν εὐχαριστεῖ, τῶν δὲ καθάπτεται. τοὺς μὲν χαρὰν καὶ στέφανον ὀνομάζει, τοῖς δὲ ἄνοιαν ἐγκαλεῖ. τοῖς μὲν συνοδεύει καὶ συμπροθυμεῖται ὀρθοτομοῦσι, τοὺς δὲ ἀνακόπτει κακῶς ὁδεύοντας. νῦν ἀφορίζει, νῦν ἀγάπην κυροῖ, νῦν θρηνεῖ, νῦν εὐφραίνεται, νῦν γάλα ποτίζει, νῦν μυστηρίων ἅπτεται, νῦν συγκαταβαίνει, νῦν ἑαυτὸν συνυψοῖ, νῦν ῥάβδον ἀπειλεῖ, νῦν προτείνει πνεῦμα πρᾳότητος, νῦν ἐπαίρεται τοῖς ὑψηλοῖς, νῦν ταπεινοῦται τοῖς ταπεινοῖς. ἄρτι τῶν ἀποστόλων ἐστὶν ἐλάχιστος, ἄρτι δοκιμὴν ὑπισχνεῖται τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, ἄρτι τὴν ἐκδημίαν ποθεῖ καὶ σπένδεται, ἄρτι τὸ παραμένειν τῇ σαρκὶ δι' ἐκείνους ἀναγκαιότερον δοκιμάζει. οὐ γὰρ ζητεῖ τὸ ἑαυτοῦ, ζητεῖ δὲ τὸ τῶν τέκνων, οὓς ἐν Χριστῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησεν. οὗτος ὅρος πάσης πνευματικῆς προστασίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾶν, πρὸς τὸ τῶν ἄλλων συμφέρον. ἐγκαυχᾶται ταῖς ἀσθενείαις, καὶ ταῖς θλίψεσιν, ὡς ἄλλῳ τινὶ κόσμῳ. τῇ Ἰησοῦ νεκρώσει ἐγκαλλωπίζεται, ὑψηλός ἐστι τὰ σαρκικά, καὶ τοῖς πνευματικοῖς ἀγάλλεται, οὐκ ἰδιώτης τὴν γνῶσιν. καὶ βλέπειν φησὶ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι. θαρρεῖ τῷ πνεύματι, καὶ ὑποπιάζει τὸ σῶμα καθαιρῶν ὡς ἀντίπαλον. τί διδάσκων ἡμᾶς ἐν τούτοις, καὶ τί παιδεύων; μὴ φρονεῖν τοῖς κάτω, μὴ φυσιοῦσθαι τῇ γνώσει, μὴ τὴν σάρκα ἐπεγείρειν τῷ πνεύματι. πάντων ὑπερμαχεῖ, πάντων ὑπερεύχεται, ζηλοῖ πάντας, ἀνάπτεται ὑπὲρ πάντων, τῶν ἔξω νόμου, τῶν ὑπὸ νόμον. κῆρυξ ἐθνῶν, Ἰουδαίων προστάτης. ἐτόλμησέ τι καὶ μεῖζον ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα, ἵνα τολμήσω τι καὶ αὐτός, οὕτω λέγων· αἰτεῖται ἀχθῆναι τούτων ἑαυτοῦ Χριστῷ διὰ τὴν ἀγάπην εὔχεται. ὢ τῆς μεγαλονοίας, ὢ τῆς τοῦ πνεύματος ζέσεως. μιμεῖται Χριστόν, τὸν γενόμενον ὑπὲρ ἡμῶν κατάραν, τὸν τὰς ἀσθενείας ἡμῶν ἀναλαβόντα, καὶ τὰς νόσους βαστάσαντα, ἢ τό γε μετριώτερον εἰπεῖν, παθεῖν τι ὑπὲρ αὐτῶν, καὶ ὡς ἀσεβὴς δέχεται πρῶτος ἀπὸ Χριστοῦ, μόνον εἰ οὗτοι σώζοιντο. καὶ τί λέγω καθ' ἕκαστον; ζῶν δὲ οὐχ ἑαυτῷ, Χριστῷ δὲ καὶ τῷ κηρύγματι, καὶ κόσμον ἑαυτῷ σταυρώσας, καὶ σταυρωθεὶς κόσμῳ, καὶ τοῖς ὁρωμένοις, πάντα ἡγεῖται μικρὰ καὶ τῆς ἐπιθυμίας ἐλάττονα, κἂν ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πληρώσῃ τὸ εὐαγγέλιον, κἂν ἐπὶ τὸν τρίτον οὐρανὸν φθάσῃ δι' ἁρπαγῆς, κἂν τὸν παράδεισον γένηται θεατής, κἂν τῶν ἀρρήτων ἡμῖν ῥημάτων ἀκροατής. τοιοῦτος Παῦλος, καὶ εἴ τις κατ' ἐκεῖνον τῷ πνεύματι. ἡμεῖς δὲ δεδοίκαμεν περὶ τούτων, μὴ μωροί τινες ὦμεν ἄρχοντες ταίως, ἢ πλάνητες καλαμώμενοι, ἢ μακαρίζοντες τὸν λαὸν ψευδῶς. προσθήσω δέ, καὶ μακαριζόμενοι, καὶ τὴν τρίβον τῶν ποδῶν ἡμῶν ταράσσοντες, ἢ ἐμπαίκτῃ κνεθύοντες, ἢ νεανίσκοι προστάται καὶ ἐπι-

λές τι

ὡς ἄλλῳ τινὶ κόσμῳ

λεῖς τὴν φρόνησιν, μηδ' ὅσον ἄρτου καὶ ἱματίου πρὸς τὸ καθηγεῖσθαί τινων εὐπορουμένης, ἢ προφῆται διδάσκοντες ἄνομα, ἢ ἄρχοντες ἀπαίδευτοι, καὶ κενῶς ἀκούειν μετὰ τὴν παλαιὰν ἀξίαν διὰ λιμοῦ σκληρότητα, ἢ ἱερεῖς, τοῦ λαλεῖν εἰς τὴν καρδίαν ἱερουσαλὴμ πλεῖστον ἀπέχοντες, ἃ δὴ παθόντα ὁ τῷ σεραφὶμ καὶ τῷ ἄνθρακι καθαρθεὶς ἠσαΐας, ὀνειδίζει καὶ λαοῖς καὶ μαρτύρεται. ἄξιον δὲ τὸ μὴ ἔργῳ τοσοῦτον καὶ οὕτως ἐπίπονον τῇ αἰσθητικῇ καρδίᾳ καὶ λυπηρὸν, καὶ ὄντως αἷς ὀστέων περὶ γενεὴν ἔχοντι. μικρὸς δὲ ὁ κίνδυνος ἢ τὸ πτῶμα εὐκαταφρόνητον. ἀλλά μοι πολλοὺ ἐπανατείνεται φόβον ἔνθεν μὲν ὁ μακάριος ὠσηὲ, πρὸς ἡμᾶς ἐστιν τὸ κρίμα λέγων τοὺς ἱερεῖς καὶ τοὺς ἄρχοντας, ὅτι παγὶς ἐγενήθημεν τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ ἰταβύριον, ὃ καταπέπηχθαι ὑπὸ τῶν ἀνθρωπίνας ἀγρευόντων ψυχάς. ἀποθρίζει τε τοὺς φαύλους ἀπειλῶν προφήτας, καὶ πυρὶ καταναλίσκειν τοὺς κριτὰς αὐτῆς. ἀφέξειν τε μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας, ὅτι ἑαυτοῖς ἐβασίλευσαν, ἀλλ' οὐ δι' ἐμοῦ. ἔνθεν δὲ ὁ θεῖος μιχαίας, οὐ φέρων οἰκοδομουμένην σιὼν ἐν αἵμασιν, ὁ πονηροῖς βούλει, καὶ ἱερουσαλὴμ ἐν ἀδικίαις τῶν ἡγουμένων αὐτῆς μετὰ δώρων κρινόντων, καὶ τῶν ἱερέων μισθοῦ ἀποκρινομένων, καὶ τῶν προφητῶν μετὰ ἀργυρίου μαντευομένων. αὐτῶν τί γενήσεσθαι; σιὼν ὡς ἀγρὸν ἀροτριαθήσεσθαι, καὶ ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσεσθαι, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ λογισθήσεσθαι. θρηνῶν τε τὴν ἐρημίαν τῶν κατορθούντων, ὡς μόλις που καλάμην ὑπολείπεσθαι, ἢ ἐπιφυλλίδα. ὁπότε καὶ τὸν ἄρχοντα αἰτεῖν, καὶ τὸν κριτὴν λόγους πρὸς χάριν λαλεῖν. καὶ σχεδὸν τὰ αὐτὰ τῷ μεγάλῳ δαβὶδ φθεγγόμενος, σῶσόν με κύριε λέγοντι, ὅτι ἐκλέλοιπεν ὅσιος. ἐξ οὗ καὶ τὰ ἀγαθὰ ἐπιλείψειν αὐτοὺς, ὥσπερ ὑπὸ σητὸς δαπανώμενα. ἰωὴλ δὲ ἡμῖν καὶ θρηνον διακελεύεται. καὶ κόπτεσθαι βούλεται τοὺς λειτουργοῦντας τῷ θυσιαστηρίῳ, λιμοῦ πιέζοντος. τοσοῦτον ἀπέχει τρυφᾶν ἐπιτρέπειν ἐν τοῖς τῶν ἄλλων κακοῖς, καὶ πρὸς τὸ ἁγιάζειν νηστείαν, καὶ κηρύσσειν θεραπείαν, συναγαγεῖν πρεσβυτέρους, νήπια, ἡλικίας ἐλεεινάς. ἔτι καὶ αὐτοὺς τὸ ἱερὸν καταλαβόντας ἐν σποδῷ καὶ σάκκοις, καὶ λίαν ταπεινῶς κατὰ γῆς ἐῤῥιμμένους, διότι τεταλαιπώρηκε πεδία τῇ ἀκαρπίᾳ, καὶ ἐξῆρται ἐξ οἴκου κυρίου σπονδὴ καὶ θυσία, ἑλκεῖν τῇ ταπεινώσει τὸν ἔλεον. τί δαὶ ὁ ἀμβακούμ; οὗτος μὲν καὶ θερμότερον ἅπτεται λόγων, καὶ πρὸς αὐτὸν ἀγανακτεῖ τὸν θεὸν, καὶ δὴ καταβοᾷ τοῦ χρηστοῦ δεσπότου, διὰ τὴν τῶν κριτῶν ἀδικίαν. ἕως τίνος κύριε κεκράξομαι λέγων, καὶ οὐ μὴ εἰσακούσεις; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. διὰ τοῦτο διασκεδάζεται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα. εἶτα ἡ ἀπειλὴ, καὶ τὰ ἐπὶ τούτοις· ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι. καὶ τί χρὴ πάντα ἐπιφέρειν τὰ τῆς ἀπειλῆς; ἀλλὰ μικρὸν ἔμπροσθεν, τοῦτο γάρ μοι δοκεῖ βέλτιον εἶναι, προσθεῖναι τοῖς εἰρημένοις. πολλοὺς ἀνακαλεσάμενος καὶ ἀποκλαυσάμενος τῶν πάλαι τε ἀδίκων καὶ πονηρῶν, τέλος ἀνακαλεῖται καὶ τοὺς τῆς μοχθηρίας ἡγεμόνας καὶ διδασκάλους, ἀνατροπὴν μὲν θολερὰν τὴν κακίαν ἀποκαλῶν, καὶ τοῦ νοῦ μέθην καὶ πλάνην. ποτίζεσθαι δὲ λέγων τούτοις ὑπ' αὐτῶν τοὺς πλησίον, ὅπως ἐπιβλέπωσιν ἐπὶ τὸ σκότος αὐτῶν τῆς ψυχῆς, καὶ τὰ σπήλαια ἑρπετῶν καὶ θηρίων, λογισμῶν πονηρῶν οἰκητήρια. οὗτοι μὲν δὴ τοιοῦτοι, καὶ μετὰ τοιούτων ἡμῖν διαλεγόμενοι τὴν παίδευσιν. μαλαχίαν δὲ πῶς παριδεῖν ἄξιον, νῦν μὲν ἐγκαλοῦντα πικρῶς τοῖς ἱερεῦσι καὶ ὀνειδίζοντα ὡς τὸ ὄνομα κυρίου φαυλίζουσι. καὶ προστιθέντα ἐν τίσιν, ἐν τῷ προσάγειν πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους, βρώματα οὐκ ἀπαργματα, καὶ ἃ μηδ' ἂν τῶν ἡγουμένων τινὶ προσενέγκοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες. ταῦτα προσφέρειν τῷ βασιλεῖ τῶν ὅλων εὐχὴν εὐξαμένους, χωλὰ καὶ ἄῤῥωστα καὶ διεφθαρμένα, καὶ βέβηλα παντελῶς καὶ ἀπόπτυστα. νῦν δὲ πρὸς τοὺς λευΐτας, τῆς τοῦ θεοῦ διαθήκης ὑπομιμνήσκοντι. ἣ δὲ ἦν, τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ φόβῳ φοβεῖσθαι τὸν κύριον, καὶ ἀπὸ προσώπου τοῦ ὀνόματος αὐτοῦ στέλλεσθαι. νόμος φησὶν ἦν ἀληθείας ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ. ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἐξ ἀδικίας, ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. καὶ ἡ αἰτία ὡς τιμία τε ἅμα καὶ φοβερά. διότι ἄγγελος κυρίου παντοκράτορός ἐστιν. καὶ παραιτοῦμαι μὲν τὰ ἐπὶ τούτοις ἀφῶν τὰς βλασφημίας, φοβοῦμαι δὲ τὴν ἀλήθειαν, ἀλλ' ὅμως τελέως τὸ εἰπεῖν ἅμα καὶ συμφέροντος. εἴ τι ἄξιόν φησιν ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν. ὡς ἂν μάλιστα δυσχεραίνων, καὶ τὴν ἱερουργίαν αὐτῶν διὰ τὴν κακίαν ἀποπεμπόμενος. ζαχαρίου μὲν γὰρ οὐκ ἂν μνησθῶ, φείσομαι τοὺς ἐπαίνους. ὁμοίως καὶ ἃ κατὰ τῶν ἱερέων μαρτύρεται. οὗτος ἃ μὲν περὶ ἰησοῦ τοῦ πάνυ ἱερέως τοῦ μεγάλου παραδηλοῖ, ὃν ἀποδύσας τῷ λόγῳ τὴν ῥυπαρὰν ἐσθῆτα καὶ ἀναξίαν, τὴν ἱερατικὴν καὶ λαμπρὰν περιτίθησιν, ὅσα τε ὁ ἄγγελος αὐτῷ λέγων πρὸς τὸν ἰησοῦν καὶ ἐπισκήπτων παρίστη, ταῦτα μὲν εἰς μείζονα καὶ ὑψηλότερα

λύτρα λαβόντες, ἃ κατὰ τῶν πολλῶν ἱερέων ἀναφερόμενα, σιωπῇ τιμάσθω. πλὴν ὅτι γε τούτων ἐκ δεξιῶν ὁ διάβολος ἵσταται τοῦ ἀντικεῖσθαι αὐτῷ, πρᾶγμα ἔμοιγ' οὖν οὐ μέτριον, οὐδὲ ὀλίγου φόβου καὶ φυλακῆς ἄξιον. ἃ δὲ τῶν λοιπῶν κατηγορεῖ ποιμένων ἐπιμελῶς ὁ καθάπερ πάντας, τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος, ὥστε μὴ τρέμειν ἀκούων, καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι μετριώτερος; φωνή, φησί, θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. φωνὴ ὠρυομένων λεόντων, ὅτι τάδε πεπόνθασιν. μονονουχὶ κἀκεῖνος τῶν θρηνούντων ὡς ἤδη πασχόντων, καὶ συνθρηνεῖ τοῖς πάσχουσιν. ἔτι δὲ μικρὸν ἔμπροσθεν ἐπιεικέστερον, καὶ σφοδρότερον. ποιμαίνετε, φησί, τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο. καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον, εὐλογητὸς κύριος, καὶ πεπλουτήκαμεν. καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει κύριος παντοκράτωρ. καὶ πάλιν· ῥομφαία ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας, καὶ πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας, καὶ ὠργίσθη ὁ θυμός μου ἐπὶ τοὺς ποιμένας, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι. προστιθεὶς ἤδη τῇ ἀπειλῇ καὶ τοὺς λαοὺς τοὺς προέχοντας. οὕτω φιλοπόνως προσκαθίζεται τῷ λόγῳ, καὶ οὐδὲ ἀπαλλαγῆναι δύναται ῥᾳδίως τῆς ἀπειλῆς, ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπειλητὸς ὦ, πάντων ἑξῆς μεμνημένος. ἀλλ' ὁ μὲν Ζαχαρίας, οὕτως. ἵνα δὲ τοὺς ἐκ τοῦ Δανιὴλ παραδράμωμεν πρεσβυτέρους, καὶ γὰρ παραδράμοιμεν, καὶ τὸ τοῦ διασώσῃ περὶ αὐτῶν καλῶς εἰρημένον, καὶ προηγορευμένον ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν. πῶς οἰσόμεθα Ἰεζεκιήλ, τὸν τῶν μεγάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ θεαμάτων; πῶς μὲν ἐν τοῖς σκοποῖς διακελεύεται μὴ κατασιωπᾶν τὴν κακίαν καὶ τὴν ἐπερχομένην ταύτην ῥομφαίαν, ὡς οὔτε αὐτοῖς τοῦτο λυσιτελοῦν, οὔτε τοῖς ἁμαρτάνουσι; τοῦ δὲ προειδότος καὶ προκηρύξαι ἀμφοτέρους ὀνήσοντος, εἰ οἱ μὲν ἤπιοι, οἱ δὲ ἀκούσονται, ἢ πάντως γε τοὺς μηνύσαντας. πῶς δὲ τὴν ἄλλην καταδρομήν ποιεῖται κατὰ τῶν ποιμαινόντων, νῦν μὲν ἐν τούτοις τοῖς ῥήμασιν. οὐαὶ ἐπὶ οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν, καὶ ἐκζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως, καὶ βουλὴ ἐκ πρεσβυτέρων. νῦν δὲ ἐν ἐκείνοις πάλιν· υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ, σὺ εἶ γῆ ἡ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς, ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς, ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ. καὶ μετ' ὀλίγα· οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου. βεβήλοις τε καὶ ἁγίοις, φησίν, οὐ διέστελλον, ἀλλὰ πάντα ἦν αὐτοῖς ἐν. καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν. καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν, συντελεῖν τε τὸν τοῖχον, καὶ τοὺς ἀλείφοντας αὐτὸν ἀπειλῶν. τὸ δὲ ἔστι, τοὺς ἁμαρτάνοντας καὶ τοὺς συγκαλύπτοντας, ὅπερ ἐστὶ κακῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραήλ, κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλλοτριωμένας ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. καὶ σιωπῶ λέγειν, ὅσα περὶ τῶν βοσκόντων ἑαυτοὺς διαλέγεται, τὸ γάλα κατεσθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων, ἀλλὰ μὴ ποιμαινόντων τὰ πρόβατα. τὸ ἀσθενὲς οὐκ ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ σπουδὴν ἀπολλυόντων. ὡς διασπαρῆναι τὰ πρόβατα κατὰ πᾶν τὸ πεδίον καὶ ὄρος, παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κατάβρωμα πᾶσι τοῖς πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος. εἶτα τί; ζῶ ἐγώ, φησί, λέγει κύριος, ἀντὶ τοῦ ταῦτα οὕτως ἔχειν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς προνομήν, ἰδοὺ ἐγώ, ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν, καὶ τὰ μὲν συνάξω καὶ ποιμανῶ· οἱ δὲ τὰ καὶ τὰ πείσονται, ἃ τοὺς κακοὺς ποιμένας εἰκός. ἀλλ' ἵνα μὴ τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος τοὺς προφήτας, μακρὸν ἀποτείνω λόγον, ἐν ὃς ἐπιμνησθεὶς ἔτι, τοῦ πρὸ τοῦ πλάσεως ἐγνωσμένου, καὶ ἐκ μήτρας ἡγιασμένου Ἱερεμίου λέγω τοῦτον, τοὺς λοιποὺς ὑπερβήσομαι. ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ πρὸς ἀξίαν τὸν Ἰσραήλ. ὀδύρεται δὲ οὐχ ἧττον καὶ τῶν προεστώτων τὴν μοχθηρίαν, λέγει μὲν αὐτῷ διαλεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ θεός, οἱ ἱερεῖς οὐκ εἶπαν ποῦ ἐστι κύριος. καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου μου, οὐκ ἠπίσταντό με. καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ. λέγει δὲ αὐτὸς πάλιν· ποιμένες ἠφρονεύσαντο, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησεν πᾶσα ἡ νομή, καὶ διεσκορπίσθησαν. ποιμένες τε, φησί, πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου. ἐμόλυναν τὴν μερίδα μου, ἣν ἔδωκαν ἐπιθυμητήν, δεδώκασιν εἰς τὴν ἔρημον ἄβατον. εἶτα πρὸς αὐτοὺς πάλιν ἀπειλεῖ τοὺς ποιμένας. ὦ οἱ ποιμένες οἱ ἀπολλύντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς μου. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτά, καὶ οὐκ

ἐπισκέψασθε αὐτά. ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς, κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν. ἀλα-
λάζειν τε βούλεται τὸ ποίμνιον, καὶ κόπτεσθαι τὸ κριῶν τῶν προβάτων, διότι ἐπλη-
ρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγήν. καὶ τί μοι τὰ παλαιὰ λέγειν; τίς δὲ τοῖς Παύλου
κανόσι καὶ ὅροις ἑαυτὸν παραμετρῶν, οὓς περὶ ἐπισκόπων καὶ πρεσβυτέρων ἔπηξε, νηφα-
λίους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικούς, ἀνεπιλήπτους ἐν πᾶσι καὶ ἀνε-
πάφους τοῖς πονηροῖς, οὐ πολὺ τῆς διαφθορᾶς εὑρήσει τὴν τῶν κανόνων εὐθύτητα; τί δαὶ δὲ
τοῖς μαθηταῖς Ἰησοῦς ἐπὶ τὸ κήρυγμα πέμπων, νομοθετεῖ; ὧν τὸ κεφάλαιον, ἵνα μὴ τὰ καθ'
ἕκαστον λέγω, τοιούτους εἶναι τὴν ἀρετήν, καὶ οὕτως εὐσταλεῖς καὶ μετρίους, καὶ ἔτι συντόμως
εἰπεῖν οὐρανίους, ὥστε οὐχ ἧττον διὰ τὸν τρόπον αὐτῶν, ἢ διὰ τὸν λόγον τρέχειν τὸ εὐαγγέ-
λιον. ἐμὲ δὲ φοβοῦσι καὶ ὀνειδιζόμενοι φαρισαῖοι, καὶ γραμματεῖς ἐλεγχόμενοι. ὧν αἰ-
σχρόν, εἰ πολὺ περιεῖναι δέον τὴν ἀρετήν, ὡς διατετάγμεθα, εἴ τι δεοίμεθα τῆς τῶν οὐρα-
νῶν βασιλείας, καὶ τὴν κακίαν φαινόμεθα χείρους. ὥστε καὶ ὄφεις ἂν εἰκότως ἀκοῦσαι, καὶ
γεννήματα ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοί, τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον κα-
ταπίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ ἔνδον, μετ' εὐπρεπείας τῆς ἔξωθεν. καὶ παροψίδες κα-
θαραὶ τὸ φαινόμενον. καὶ τἄλλα, ὅσα ἐκεῖνοι καὶ εἰσὶ καὶ ἀκούουσι. τούτοις ἐγὼ σύνειμι νύ-
κτωρ καὶ μεθ' ἡμέραν τοῖς λογισμοῖς. ταῦτά με τὸν μυελὸν ἐκτήκει καὶ δαπανᾷ τὰς σάρ-
κας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι, οὐδὲ πορεύεσθαι ἄνω βλέποντα. ταῦτά μου ταπεινοῖ τὴν ψυ-
χήν, καὶ τὸν νοῦν συστέλλει, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ προστασίας εἶναι
ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας. ἀλλ'
ὅπως αὐτὸς τὴν ἐπερχομένην ὀργὴν διαφύγοιμι, καὶ μικρόν τι τὸν ἰὸν τῆς κακίας ἐμαυτοῦ ἀπο-
ξέσαιμι. καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι. σοφισθῆναι, καὶ οὕτω σοφίσαι. γενέσθαι
φῶς, καὶ φωτίσαι. ἐγγίσαι θεῷ, καὶ προσαγαγεῖν ἄλλους. ἁγιασθῆναι, καὶ ἁγιάσαι. χει-
ραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως. πότε οὖν ἔσται ταῦτα, φασίν, οἱ τα-
χεῖς τὰ πάντα καὶ οὐκ ἀσφαλεῖς, οἱ ῥᾳδίως οἰκοδομοῦντες καὶ καταλύοντες, καὶ πηνίκα
ὁ λύχνος ἐπὶ τὴν λυχνίαν, καὶ ποῦ τὸ τάλαντον; οὕτω τὸ χάρισμα λέγοντες. ταῦτα οἱ θερ-
μότεροι τῆς φιλίας, ἢ τὴν εὐλάβειαν. πότε ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος ὦ γενναιότατοι, οὐ μα-
κρὰ προθεσμία, οὐδὲ γῆρας τὸ ἔσχατον. κρείσσων γὰρ πολιὰ μετὰ φρονήσεως, ἀπαιδεύτου
νεότητος. καὶ λελογισμένη βραδύτης τάχους ἀπερισκέπτου. καὶ ὀλιγοχρόνιος βασιλεία, μα-
κρᾶς τυραννίδος. ὡς καὶ ὀλίγη μερὶς τιμία, πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς. καὶ χρυσὸς
ὀλίγος, μολύβδου πολυταλάντου. καὶ πολλοῦ σκότους, ὀλίγον φῶς. τὸ δὲ ταχὺ τοῦτο καὶ σφα-
λερόν, καὶ λίαν κατεσπουδασμένον, μὴ τὴν ἀφορμὴν ἐκείνοις ἐοικὸς ᾖ, ἃ κατὰ τὴν πετρῶν πε-
σόντα, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς εὐθὺς ἀνακύψαντα, οὐδὲ τὴν πρώτην ὑπήνεγκε τοῦ ἡ-
λίου θερμότητα. ἢ τῷ κατὰ τῆς ψάμμου τεθέντι θεμελίῳ, μηδὲ ὀλίγον ἀντισχόντι πρὸς τὴν βρο-
χὴν καὶ τὰ πνεύματα. οὐαί σοι πόλις, ἧς ὁ βασιλεὺς νεώτερός ἐστι, φησὶ Σολομών, καὶ
μὴ ἴσθι ταχὺς ἐν λόγοις. τοῦ αὐτοῦ Σολομῶντος φωνή, πρᾶγμα τι ἔλαττον λέγοντος, τὸ πε-
ρὶ λόγον τάχος, τῆς περὶ πρᾶξιν θερμότητος. καὶ τίς ἐστι παρὰ ταῦτα, ὁ τὸ τάχος ἀπαι-
τῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; τίς ὁ πλάττων καθάπερ αὐθημερὸν τοὺς πη-
λίνους, τὸν τῆς ἀληθείας προστάτην, τὸν μετὰ ἀγγέλων στησόμενον, καὶ μετὰ ἀρχαγγέλων δο-
ξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερουργήσον-
τα, τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τῇ εἰκόνι, καὶ τῷ ἄνω κόσμῳ δημι-
ουργήσοντα, καὶ τὸ μεῖζον εἰπεῖν, θεὸν ἐσόμενον καὶ θεοποιήσοντα; οἶδα τίνος ἐσμὲν λειτουργοί,
καὶ ποῦ κείμενοι, καὶ ποῖ πέμποντες. οἶδα τοῦ θεοῦ τὸ ὕψος, καὶ τῆς ἀνθρωπίνης ἀσθένειαν, καὶ
τὴν δύναμιν πάλιν. οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα. καὶ τίς ἀναβήσεται τῶν ἐρριμμένων τῇ
ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοΐ κα-
θαρῷ ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσιν ἢ ἀοράτοις, ὁ τοῖς ἀστάτοις καὶ ὁρωμένοις;
μόλις γὰρ ἄν τις ἐνταῦθα τὴν σφόδρα κεκαθαρμένων, κἂν εἴδωλον τοῦ καλοῦ θεωρήσειεν,
ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασιν. τίς ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ
πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; τίς τόπος τῆς κατα-
παύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται; τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ σο-
φίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύμα-
τι, καὶ συνθεὶς ζῷον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον
θεοῦ, καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; εἶπα σοφισθήσομαι, φησὶν ὁ Σολο-
μῶν, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν, τὴν σοφίαν λέγων. καὶ ὄντως ὁ προ-
στιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιῶντος τοῦ
διαφεύγοντος. ὅπερ οἶμαι φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν, ἀφαιρουμένοις ὕδατος, ἢ
κρατεῖν

κανόνων

κρατεῖν τι οὐ δυναμένοις, ἔχειν νομίζουσιν. ἢ οὓς ἀπατῆσαι εὐθὺς ἀστραπὴ παραλάμψασα. τοῦτό με ἔστησε κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγεῖν τὴν ὑπὲρ δύναμιν. ἡ μεγαλειότης καὶ τὸ ὕψος καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις, μόλις χωροῦσαι θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀπόκρυφον, φῶς ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν. ὃς ἐν τῷ παντὶ τῷδε, καὶ τοῦ παντός ἐστιν ἔξω. ὃς καλόν ἐστιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ. ὃς νοῦν φωτίζει, καὶ διαφεύγει νοῦ τάχος καὶ ὕψος. ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται. καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστὴν, τῷ φεύγειν, καὶ τῷ δὴ κρατούμενος βλέπεσθαι. τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν τὸ ποθούμενον καὶ σπουδαζόμενον, ποῖον τινὰ δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν τῶν ψυχῶν καὶ προμνήστορα. ἐμοὶ γὰρ μὲν δέος, μὴ καὶ τοῦ νυμφῶνος ἔξω ῥιφῶ, δεθεὶς χεῖρας καὶ πόδας, ὡς οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου, ἀλλὰ τολμηρῶς παρείρας ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακειμένοις. καίτοι προσεκλήθην μὲν ἐκ νεότητος, εἰ ἔπω τι τῶν τοῖς πολλοῖς ἀγνοουμένων, καὶ ἐπ᾽ αὐτὸν ἀπερρίφην ἐκ μήτρας, καὶ ἐδόθην δῶρον ἐκ μητρικῆς ὑποσχέσεως, καὶ μετὰ ταῦτα τοῖς κινδύνοις ἐβεβαιώθην, καὶ ὁ πόθος συνηυξήθη, καὶ ὁ λογισμὸς συνέδραμεν, καὶ πάντα ἔδωκα φέρων τῷ λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν, εὐεξίαν, τοὺς λόγους αὐτούς. ὧν, τοσοῦτον ἀπέλαυσα μόνον τῷ ὑπεριδεῖν καὶ ἔχειν ὧν Χριστὸν προετίμησα. καὶ ἡδύνθη μοι τὰ τοῦ θεοῦ λόγια, ὡς κηρία μέλιτος, καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου, καὶ τόλμα δὴ ταῦτα, διὰ θυμὸν μετρῆσαι, καὶ γλῶσσαν χαλινῶσαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ γαστέρα παιδαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω μένουσαν. παραφρονῶν λέγω, ἀλλ᾽ οὖν εἰρήσεται. ταῦτα μὲν, οὐ τῶν πολλῶν ἴσως ἐσόμενον φαυλότερος. τοσοῦτον δὲ φιλοσοφῆσαι κρεῖττον ἢ καθ᾽ ἡμᾶς δέξασθαι ψυχῶν ἡγεμονίαν καὶ προστασίαν, καὶ μήπω μηδὲ ποιμαίνεσθαι καλῶς μαθόντας ἡμᾶς, μηδὲ καθαρθέντας τὴν ψυχὴν ἐσον ἄξιον. ἔπειτα ποίμνης ἐπιστατεῖν πιστευθῆναι, καὶ ταῦτα ἐν καιροῖς τοιούτοις, ἐν οἷς ἀγαπητὸν, ὁρῶντα τῶν ἄλλων ἄνω καὶ κάτω φερομένων τε καὶ ταρασσομένων, φυγόντα φυγῇ ἐκ τοῦ μέσου, ὑπὸ σκέπην ἀναχωρῆσαι, λαθεῖν τοῦ πονηροῦ τὴν ζάλην καὶ τὴν σκοτομήνην. ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις τὰ μέλη, οἴχεται δὲ τῆς ἀγάπης εἰ καί τι ἦν λείψανον. ὄνομα δὲ κενὸν ἄλλως ὁ ἱερεὺς, ἐκχυθείσης ἐπ᾽ ἄρχοντας ἐξουδενώσεως ὥσπερ εἴρηται. καὶ εἴθε κενόν. νυνὶ δὲ τρέποιτο εἰς κεφαλὰς ἀσεβῶν ἡ βλασφημία. φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν, ἀντεισῆκται δὲ ἀναίδεια, τοῦ βουλομένου δὲ ἡ γνῶσις, καὶ τὰ βάθη τοῦ πνεύματος. πάντες δὲ ἐσμὲν εὐσεβεῖς, ἐξ ἑνὸς μόνου, τοῦ καταγινώσκειν ἀλλήλων ἀσέβειαν. χρώμεθα δὲ δικασταῖς τοῖς ἀθέοις, καὶ ῥιπτοῦμεν τὰ ἅγια τοῖς κυσὶ, καὶ βάλλομεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς τὰ θεῖα δημοσιεύοντες. καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς ἐπιμελῶς ἐκπληροῦμεν οἱ δείλαιοι. καὶ πορνεύοντες ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν, οὐκ αἰσχυνόμεθα. Μωαβῖται δὲ καὶ Ἀμμανῖται, οἷς οὐδ᾽ ἐξῆν παριέναι εἰς ἐκκλησίαν θεοῦ, τοῖς ἁγιωτάτοις ἡμῶν ἐμβατεύουσιν. ἠνοίξαμεν δὲ πᾶσιν οὐ πύλας δικαιοσύνης, ἀλλὰ θύρας λοιδορίας τε καὶ τῆς κατ᾽ ἀλλήλων θρασύτητος. καὶ οὗτος ἄριστος ἡμῖν, οὐχ ὃς ἂν μηδὲ ῥῆμα προῆται ἀργὸν φόβῳ θεοῦ, ἀλλ᾽ ὃς ἂν τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς, ἢ διαρρήδην, ἢ ἐν αἰνίγμασιν, καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ στρέφων κόπον καὶ πόνον, ἢ ἰὸν ἀσπίδων, εἰπεῖν οἰκειότερον. τηροῦμεν δὲ τὰς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ᾽ ἵνα ὀνειδίσωμεν, οὐδ᾽ ἵνα θεραπεύσωμεν, ἀλλ᾽ ἵνα προσπλήξωμεν, καὶ ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα. κακοὺς δὲ καὶ ἀγαθοὺς, οὐχ ὁ τρόπος, ἀλλ᾽ ἡ διάστασις καὶ ἡ φιλία χαρακτηρίζει. καὶ ἃ σήμερον ἐπαινοῦμεν, αὔριον ἐκακίσαμεν. καὶ ἃ παρ᾽ ἄλλοις στηλιτεύεται, παρ᾽ ἡμῖν θαυμάζεται. καὶ πάντα συγχωρεῖται προθύμως τῷ ἀσεβεῖν, οὕτω τὴν κακίαν ἐσμὲν μεγαλόψυχοι. γέγονε δὲ τὰ πάντα ὡς τὸ ἀπ᾽ ἀρχῆς, ὅτε οὔπω κόσμος ἦν, οὐδὲ ἡ νῦν εὐταξία καὶ μόρφωσις, ἀλλὰ συγκεχυμένον τὸ πᾶν καὶ ἀνώμαλον, ἐδεῖτο τῆς εἰδοποιοῦ χειρὸς καὶ δυνάμεως. εἰ βούλει δὲ, ὡς ἐν νυκτομαχίᾳ καὶ σελήνης ἀμυδροῖς φέγγεσιν, ἐχθρῶν ἢ φίλων ὄψεις οὐ διαγινώσκοντες. ἢ ὡς ἐν ναυμαχίᾳ καὶ ζάλῃ, καὶ πνευμάτων ἐμβολαῖς, καὶ ῥοθίῳ ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νεῶν ἀραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευστῶν φωναῖς, καὶ πιπτόντων οἰμωγαῖς ὑποβρυχούμενοί τε καὶ ἀφρούμενοι, καὶ τῆς ἀνδρείας καιρὸν οὐκ ἔχοντες, φῶ τῶν παθῶν. ἀλλήλοις περιπίπτομεν, καὶ ὑπ᾽ ἀλλήλων ἀναλισκόμεθα. καὶ οὐχ ὁ λαὸς μὲν οὕτως, οἱ ἱερεῖς δὲ ἑτέρως. ἀλλά μοι νῦν ἐκεῖνο πεπληρῶσθαι δοκεῖ καθαρῶς, τὸ, γέγονεν ὁ ἱερεὺς καθὼς ὁ λαός, ὡς κατάρα πάλαι λεγόμενον. καὶ οὐχ οἱ πολλοὶ μὲν οὕτως, οἱ δὲ ἄκροι τοῦ λαοῦ καθὼς εἴρηται, καὶ προέχοντες ἐναντίως. ἀλλ᾽ οὗτοί γε καὶ φανερῶς πολεμοῦσι τοῖς ἱερεῦσιν, ἐφόδιον ἔχοντες εἰς παρρησίαν τὴν εὐσέβειαν. καὶ ὅσοι μὲν τῆς πίστεως ταύτης παρὰ τὴν

καὶ τῶν ἀπὸ ταύτην ζητημάτων καὶ περὶ ταύτην. οὐκ ἐγὼ μέμφομαι, ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ, καὶ συνήδομαι, καὶ τούτων εἰς ἔσω, τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομένων καὶ ἀπεχθανομένων, μᾶλλον δὲ καὶ εἶναι καυχῶμαι. κρείσσων γὰρ ἐπαινετὸς πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ. καὶ διὰ τοῦτο τὸν πρᾶον μαχητὴν ὁπλίζει τὸ Πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμενον. νῦν δέ εἰσί τινες, οἳ καὶ περὶ μικρῶν πολεμοῦντες, καὶ εἰς οὐδὲν ὄφελος, καὶ κοινωνοὺς ὅσους ἂν δύνωνται τῆς κακίας προσλαμβάνοντες, λίαν ἀμαθῶς καὶ θρασέως. εἶτα πάντων ἡ πίστις, καὶ τοῦτο τὸ σεμνὸν ὄνομα ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις προσυρόμενον. ἐκ δὲ τούτων, ὡς τὸ εἰκός, μισούμεθα μὲν ἐν τοῖς ἔθνεσι, καὶ ὃ τούτου χαλεπώτερον, οὐδὲ εἰπεῖν ἔχομεν, ὡς οὐ δικαίως. διαβεβλήμεθα δὲ καὶ τῶν ἡμετέρων τοῖς ἐπιεικεστέροις. οὐδὲν δὲ θαυμαστόν, ἐν τοῖς πλείοσιν, οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχοιντο. τεκταίνουσι δὲ ἐπὶ τὸν νῶτον ἡμῶν οἱ ἁμαρτωλοί. καὶ ἃ κατ' ἀλλήλων ὠδινοῦμεν, κατὰ πάντων ἔχουσι. καὶ γεγόναμεν θέατρον καινὸν οὐκ ἀγγέλοις καὶ ἀνθρώποις, ὡς ὁ γενναιότατος τῶν ἀθλητῶν Παῦλος, πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος, ἀλλὰ πᾶσι μικροῦ τοῖς πονηροῖς, καὶ παντὸς καιροῦ καὶ τόπου. ἐν ἀγοραῖς, ἐν πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. ἤδη δὲ προήλθομεν καὶ μέχρι τῆς σκηνῆς. ὃ μικροῦ καὶ δακρύων λέγω. καὶ μετὰ τῶν ἀσελγεστάτων γελώμεθα, καὶ οὐδὲν οὕτω τερπνὸν τῶν ἀκουσμάτων καὶ θεαμάτων, ὡς Χριστιανὸς κωμῳδούμενος. ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος. ταῦτα οἱ λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πράου μαχόμενοι. ταῦτα οἱ πλέον ἀγαπῶντες τὸν Θεὸν ἢ ὅσον συμφέρει. καὶ παλαίειν μὲν οὐκ ἔξεστιν ἔξω τῶν νενομισμένων, οὐδὲ ἄλλο τι ἀγωνίζεσθαι, ἢ καταβληθήσεται καὶ ἀτιμασθήσεται, καὶ ἀποβαλεῖ τὴν νίκην ὁ ἐκπαλαίων, ἢ ἄλλο τι μὴ κατὰ λόγον ἀγωνιζόμενος, μηδὲ κατὰ τοὺς κειμένους ὅρους τῆς ἀγωνίας. κἂν ὁ γενναῖος ᾖ καὶ τεχνικώτατος. ὑπὲρ Χριστοῦ δὲ ἀγωνιεῖταί τις, οὐ κατὰ Χριστόν, ἔπειτα χαριεῖται τῇ εἰρήνῃ, πολεμῶν ὑπὲρ αὐτοῦ, ὡς οὐκ ἔξεστιν; καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰς ἔτι καὶ νῦν Χριστοῦ καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις. ἡμεῖς δὲ οὐκ αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα καθυβρίζοντες, καὶ μονονοὺ φανερῶς αὐτοῦ βοῶντος ἀκούοντες καὶ καθ' ἑκάστην ἡμέραν. τὸ γὰρ ὄνομά μου βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσιν. καὶ τὸν μὲν ἔξωθεν οὐ δέδοικα πόλεμον, οὐδὲ τὰ νῦν ἐπαναστάντα θηρία ταῖς ἐκκλησίαις, καὶ τοῦ πονηροῦ τὸ πλήρωμα. κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη, κἂν θῆρας, κἂν κρημνούς, κἂν βάραθρα, κἂν πάντων γένηται τῶν πώποτε μανέντων ἀπανθρωπότατος, κἂν ταῖς οὔσαις τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας. ἓν ἔχω πρὸς πάντα φάρμακον, μίαν ὁδὸν εἰς νίκην. ἐν Χριστῷ καυχήσομαι τῷ ὑπὲρ Χριστοῦ θανάτῳ. πρὸς δὲ τὸν ἐμὸν πόλεμον, οὐκ ἔχω τί γένωμαι, τίνα συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα, ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδείας ὁπλίσωμαι. τίς νικήσει τὸν τοιοῦτον; Μωσῆς, ἐκτείνας τὰς χεῖρας ἐπὶ τοῦ ὄρους, ἵν' ὁ σταυρὸς ἰσχύσῃ τυπούμενος καὶ προμηνυόμενος. τίς; Ἰησοῦς μετ' ἐκεῖνον, ὁ ἀρχιστρατήγῳ τῶν θείων παρατάξεων συμπαρατατόμενος. τίς; Δαβίδ, ἢ ψάλλων, ἢ πολεμῶν ἐν σφενδόναις, καὶ ὑπὸ τοῦ Θεοῦ περιζωσμένος δύναμιν εἰς πόλεμον, καὶ τοὺς δακτύλους εἰς παράταξιν γυμναζόμενος. τίς; Σαμουήλ, καὶ προσευχόμενος τοῦ λαοῦ καὶ προθυόμενος, καὶ χρίων εἰς βασιλέα τὸν νικᾶν δυνάμενον. τίς θρηνήσει ταῦτα πρὸς ἀξίαν; Ἱερεμίας θρηνῶν γραφὰς ὑπὲρ τοῦ Ἰσραήλ. τίς βοήσεται, φεῖσαι Κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη; τίς ὑπὲρ ἡμῶν προσεύξεται; Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, οἱ συνευχόμενοι καὶ συναριθμούμενοι, ἵνα κοπάσῃ μικρὸν ἡμῖν ὁ πόλεμος, ἵνα γνωσώμεθα ἡμῶν αὐτῶν, καὶ ἀλλήλους ποτὲ γνωρίσωμεν, ἵνα μηκέτι ὦμεν ἀνθ' ἑνὸς τοῦ Ἰσραὴλ καὶ Ἰούδας καὶ Ἰσραήλ. μηκέτι Ῥοβοὰμ καὶ Ἱεροβοάμ, μηκέτι Ἱερουσαλὴμ καὶ Σαμάρεια, ἐν μέρει διὰ τὰς ἁμαρτίας παραδιδόμεναι, καὶ ἐν μέρει θρηνούμεναι. ἐγὼ μὲν γὰρ ἀσθενέστερος εἶναι τοῦ πολέμου τούτου ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα, καὶ κρύψας τὸ πρόσωπον ἐν ῥοπῇ, καὶ κατὰ μόνας καθεσθῆναι, τῆς πικρίας ἐμπλησθῆναι. ἐζήτησα καὶ σιωπῆσαι, συνιών, ὅτι ὁ καιρὸς πονηρός ἐστιν. ὅτι ἀπηλλοτρίωσαν οἱ ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ ἀφεστηκότες, ἡ ἄμπελος ἡ εὐκληματοῦσα, ἡ ἄμπελος ἡ ἀληθινή, πᾶσα καρποφόρος, ὡραία πᾶσα, κατὰ τὰς σταγόνας τὰς ἄνωθεν ἀνατέλλουσα, ὅτι ἐστράφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ ἐμοῦ κάλλους, τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης, ὁ τῆς καυχήσεως στέφανος. εἰ δέ τις πρὸς ταῦτα τολμηρὸς καὶ γενναῖος, μακάριος οὗτος ἐμοὶ τοῦ θάρσους καὶ τῆς γενναιότητος. καὶ οὔπω λέγω τὸν ἔνδοθεν καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν τοῖς πάθεσι πόλεμον, ὃν πολεμούμεθα νυκτὸς καὶ ἡμέρας ὑπὸ τοῦ τῆς ταπεινώσεως σώματος, τὰ μὲν κρύβδην, τὰ δὲ φανερῶς. καὶ τῆς ἄνω καὶ κάτω κυμαινούσης ἡμᾶς καὶ στροβούσης, διά τε αἰσθήσεως καὶ τῶν ἄλλων τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς ἰλύος ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας ἀντιστρατευομένου τῷ νόμῳ τοῦ πνεύματος καὶ διαφθείρειν ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον τῆς θείας ἀπορροίας ἡμῖν συγκαταβέβληται. ὡς μόλις ἄν τις ἑαυτοῦ, ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀπορρήξας κατὰ μικρὸν τῆς ψυχῆς τὸ εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότῳ συνεζευγμένου, ἢ Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ με-

καὶ μελέτην ὅτι μάλιστα ποιούμενον ἀναβλέπειν, τῆς καταστασιαζούσης ὕλης ἀληθῶς κρατήσειε. πρὶν δὲ ταύτην ὑπερσχεῖν ὅσῃ δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τῶν ἄλλων μακρῷ γενέσθαι τῇ πρὸς Θεὸν ἐγγύτητι, ἢ ψυχῶν προστασίαν δέξασθαι, ἢ μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων, τοῦτο γὰρ ἴσως ὁ ἱερεύς, οὐκ ἀσφαλὲς εἶναι γινώσκω. καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος, ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ καὶ σφόδρα ἐπαινῆτε τῆς προμηθείας. ἀκούω μὲν αὐτοῦ Μωσέως, ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ Θεός. ὅτι πολλῶν εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρών, σὺν τοῖς παισὶ τοῖς δύο τοῖς ἱερεῦσι, καὶ ἑβδομήκοντα πρεσβυτέρων τῆς γερουσίας, οἱ μὲν λοιποί, προσκυνῆσαι πόρρωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ Μωσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαός, ὡς οὐ παντὸς ὄντος, Θεοῦ γενέσθαι πλησίον, πλὴν εἴ τις κατὰ Μωσέα Θεοῦ χωρῆσαι δόξαν δυνάμενος. καὶ ἔτι πρὸ τούτων ἐν ἀρχῇ τῆς νομοθεσίας, τῶν μὲν ἤχων, σάλπιγγες, καὶ ἀστραπαί, καὶ βρονταί, καὶ γνόφος, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις κἂν θηρίον θίγῃ τοῦ ὄρους λιθοβοληθήσεσθαι, καὶ ἄλλα τοιαῦτα ῥήματα ἵστηκε κάτω, καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς τοῦ Θεοῦ φωνῆς εὖ μάλα ἁγνισαμένοις. Μωσῆς δὲ καὶ ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ δέχεται πλάκας, τοῖς μὲν πολλοῖς τὰς τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλούς, τὰς τοῦ πνεύματος. ἀκούω δὲ Ναδὰβ καὶ Ἀβιούδ, ὅτι ξένῳ πυρὶ θυμιάσαντες μόνον, ξένως καὶ ἀναλώθησαν, κολασθέντες δι' ὧν ἠσέβησαν, καὶ τὸν αὐτὸν εὑρόντες τῆς ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον. καὶ οὐδὲ Ἀαρὼν ἤρκεσεν πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ ὁ Μωσέως μετὰ Θεὸν δεύτερος. γινώσκω δὲ καὶ Ἠλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον Ὀζάν. τὸν μὲν ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀποτιννύντα δίκην, ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν, πρὸ καιροῦ τῶν λεβήτων ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλάκις ἐπιτιμῶντα. τὸν δὲ ὅτι ψαύσας τῆς κιβωτοῦ μόνον παρασαλευθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάττοντος τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. οἶδα δ' ἔγωγε, μηδὲ τῶν ἐν τοῖς σώμασι μώμους τῶν ἱερέων ἢ τῶν θυμάτων, ἀνεξετάστους μένοντας, ἀλλὰ τελείων τέλεια προσάγειν νενομισμένον, σύμβολον οἶμαι τῆς κατὰ ψυχὴν ἀρτιότητος. μηδὲ στολὴν τὴν ἱερατικὴν ἢ σκευῶν τινὸς τῶν ἁγίων ψαύειν παντὶ θεμιτὸν ὄν. μηδὲ τὰς θυσίας αὐτάς, ὑφ' ὧν καὶ ὅπῃ καὶ ὡς μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι. μηδὲ τὸ ἔλαιον ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως, μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅς τις ἢ ψυχὴν ἢ σῶμα οὐ καθαρὸς μέχρι καὶ τῶν μικροτάτων. τοσούτου δεῖ εἰς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾶν θαρρεῖν τινα, ὧν ἑνί, καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον ἐμβατὸν ἦν, τοσούτου δεῖ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτόν, ἢ τὰ χερουβὶμ ἢ προσβλέπειν εἶναι παντός, ἢ προσάπτεσθαι. ταῦτα οὖν εἰδὼς ἐγώ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου καὶ Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως, ὅστις μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ Θεῷ θυσίαν ζῶσαν ἁγίαν, μηδὲ τὴν λογικὴν λατρείαν εὐάρεστον ἐπεδείξατο, μηδὲ ἔθυσε τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ πνεῦμα συντετριμμένον, ἣν μόνην ὁ πάντα δοὺς ἀπαιτεῖ παρ' ἡμῶν θυσίαν, πῶς ἔμελλον θαρρῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν μεγάλων μυστηρίων ἀντίτυπον; ἢ πῶς ἱερέως σχῆμα καὶ ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι τὰς χεῖρας; πρὶν τὸν ὀφθαλμὸν ἐθισθῆναι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ πλάσαντος; πρὶν τῇ παιδείᾳ κυρίου ἱκανῶς ἀνοιγῆναι τὰ ὦτα, καὶ προστεθῆναί μοι ὠτίον μὴ βαρέως ἀκούειν δυνάμενον, ἀλλ' ἐνώτιον χρυσοῦν σαρδίῳ πολυτελεῖ ἐνδεθῆναι, λόγον σοφοῦ εἰς οὖς εὐήκοον; πρὶν τὸ στόμα, τὰ χείλη, τὴν γλῶσσαν, τὸ μὲν ἀνοιγῆναι καὶ ἑλκύσαι πνεῦμα, ἢ πλατυνθῆναι καὶ πληρωθῆναι τῷ πνεύματι λαλουμένων μυστηρίων τε καὶ δογμάτων, τὰ δὲ αἰσθήσει θείᾳ κατὰ τὴν σοφίαν εἰπεῖν δεθῆναι, προσθείην δ' ἂν ὅτι καὶ ἐν καιρῷ λυθῆναι, τὴν δὲ πλησθῆναι ἀγαλλιάσεως, καὶ θείας μελῳδίας γενέσθαι πλῆκτρον ἐξεγειρομένην τῇ δόξῃ, συνεξεγειρομένην ὄρθρου, καὶ μέχρι τοῦ κολληθῆναι τῷ λάρυγγι κάμνουσαν; πρὶν ἐπὶ πέτραν στῆναι τοὺς πόδας μου καταρτισθέντας ὡς ἐλάφου, καὶ κατευθυνθῆναί μοι τὰ κατὰ Θεὸν διαβήματα καὶ μὴ παρ' ὀλίγον, μηδ' ὅλως ἐκχεόμενα; πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι δικαιοσύνης, καὶ ἀποθέσθαι πᾶσαν νεκρότητα καταποθεῖσαν ὑπὸ τῆς ζωῆς, καὶ ὑποχωρήσασαν τῷ πνεύματι; τίς μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λογίοις κατὰ τὴν καρδίαν ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς γραφάς, μηδὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς ἐπὶ τὸ πλάτος τῆς καρδίας, ὥστε νοῦν ἔχειν Χριστοῦ, μηδὲ τῶν τοῖς πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν εἴσω γενόμενος, ὥστε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον, καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων πνευματικοῖς, τίς μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον, τὴν τερπνότητα κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς γενόμενος Θεοῦ ζῶντος, καὶ ζῶν κατοικητήριον Θεοῦ ἐν πνεύματι, τίς μήπω τύπων καὶ ἀληθείας ἐπιγνοὺς συγγένειαν καὶ διάστασιν, καὶ τῶν μὲν ἀναχωρήσας, τῇ δὲ προσθέμενος, ἵνα τὴν τοῦ γράμματος φυγὼν παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος, καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν ἀπὸ τοῦ νόμου πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ γράμματος, τίς μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ Χριστοῦ προσηγο-

ειῶν καὶ δυνάμεων, καὶ ἔργῳ καὶ θεωρίᾳ, τῶν τε ὑψηλοτέρων καὶ πρώτων, καὶ τῶν δι' ἡμᾶς τα-
πεινοτέρων καὶ τελευταίων, τοῦ θεοῦ, τοῦ υἱοῦ, τῆς εἰκόνος, τοῦ λόγου, τῆς σοφίας, τῆς ἀληθείας,
τοῦ φωτὸς, τῆς ζωῆς, τῆς δυνάμεως, τῆς ἀτμίδος, τῆς ἀπορροίας, τοῦ ἀπαυγάσματος, τοῦ ποιη-
τοῦ, τοῦ βασιλέως, τῆς κεφαλῆς, τοῦ νόμου, τῆς ὁδοῦ, τῆς θύρας, τοῦ θεμελίου, τῆς πέτρας, τοῦ μαργαρί-
του, τῆς εἰρήνης, τῆς δικαιοσύνης, τοῦ ἁγιασμοῦ, τῆς ἀπολυτρώσεως, τοῦ ἀνθρώπου, τοῦ δούλου, τοῦ ποι-
μένος, τοῦ ἀμνοῦ. τοῦ ἀρχιερέως, τοῦ θύματος, τοῦ πρωτοτόκου πρὸ κτίσεως, τοῦ πρωτοτόκου ἐκ
τῶν νεκρῶν τῆς ἀναστάσεως, τίς τούτων τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπακούων εἰκῆ, καὶ
μήπω κοινωνήσας τοῦ λόγου, μηδὲ μεταλαβὼν αὐτοῦ, κατὰ τὸ τούτων ἕκαστον ἐστί τε καὶ κέκληται.
τίς μήπω σχολάσας, μηδὲ μαθὼν λαλεῖν θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι
νήπιος ὢν, ἔτι τρεφόμενος γάλακτι, ἔτι τῶν οὐκ ἀριθμουμένων ἐν τῷ Ἰσραὴλ, οὐδὲ καταλεγο-
μένων εἰς θεοῦ παράταξιν, μήπω τὸν χριστοῦ σταυρὸν ὡς ἀνὴρ αἴρειν δυνάμενος, μήπω μηδὲ ἄλ-
λό τι μέλος ὢν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς κεφαλὴν κατασταθῆναι χριστοῦ πληρώμα-
τος δέξεται χαίρων καὶ προθυμούμενος; οὐκ ἐμοί γε κριτῇ καὶ συμβούλῳ. ἀλλ' οὗτος ὁ φό-
βων μέγιστος, οὗτος ὁ κινδύνων ἔσχατος, παντὶ τῷ συνιέντι καὶ τοῦ κατορθουμένου τὸ μέγε-
θος, καὶ τῆς διαμαρτίας τὸν ὄλεθρον. ἄλλος μὲν οὖν πλεέτω κατ' ἐμπορίαν ἔλεγον, καὶ τὰ μα-
κρὰ διαπεραιούσθω πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις ἀεὶ καὶ τοῖς κύμασι μεγάλα καὶ
κερδαίνων, ἂν οὕτω τύχῃ, καὶ κινδυνεύων, ὅστις πλευστικώτατος ἢ ἐμπορικώτατος. ἐμοὶ
δ' οὖν αἱρετώτερον, ἐπὶ γῆς ἀνέχοντι, βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόῤῥω-
θεν ἀσπαζομένῳ κέρδη καὶ θάλασσαν, ζῆν οὕτως, ὅπως ἂν δύνωμαι, σὺν ὀλίγῃ καὶ μικρᾷ
τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναῤῥιπτεῖν καὶ μέγαν ἐπὶ μεγά-
λοις κέρδεσι κίνδυνον. ὑψηλῷ μὲν γὰρ ζημία, τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ εἰς πλείονας δια-
τείνειν τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν ἵστασθαι. τὸ δὲ μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα, ἢ πα-
νοπλίᾳ γιγαντικῇ σῶμα παιδικὸν περισκέποντα. μικρῷ δὲ ἀσφάλεια, μικρὰ φορτίζεσθαι,
ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ, καὶ προσ-
θεῖναι τὸν κίνδυνον. ὥσπερ γε καὶ πύργον οἰκοδομεῖν, οὐκ ἄλλῳ τινὶ προσήκει, ἢ ὃς ἔχει τὰ πρὸς
ἀπαρτισμὸν, ὡς ἠκούσαμεν. ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς φυγῆς, καὶ ἴσως οὐ μετρίαν. δι' ἣν
τότε με ἀφ' ὑμῶν ἀπήγαγεν ὦ φίλοι καὶ ἀδελφοὶ, λυπηρῶς μὲν ἐμοὶ, καὶ ὑμῖν ἴσως, ἀναγκαίως δέ.
ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν, ταῦτά ἐστιν. ἐπανήγαγε δὲ μάλιστα μὲν ὁ πρὸς ὑμᾶς πόθος, καὶ τὸ
ἀντιποθοῦντας αἰσθάνεσθαι. οὐδὲν γὰρ οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀντιδιδομένη διάθεσις.
δεύτερον δὲ ἡ ἐμὴ φροντὶς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον, ἢ
χρόνῳ καμνόντων, Ἀβραὰμ τοῦδε τοῦ πατριάρχου, τῆς τιμίας ἐμοὶ κεφαλῆς καὶ μετὰ ἀγγέ-
λων ἀριθμουμένης, καὶ Σάῤῥας, τῆς πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς πί-
στεως. ὧν γενέσθαι βακτηρία τοῦ γήρως, καὶ ὑπερείδειν τὴν ἀσθένειαν τῶν πρώτως εὐχὴν
εὐξάμενος, καὶ μέντοι καὶ πληρώσας ταύτην, ὁπόση δύναμις, ὡς καὶ φιλοσοφίας ὑπερι-
δεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος καὶ ὀνόματος, ἢ, τό γε ἀληθέστερον εἰ-
πεῖν, τὸ μὴ φιλοσοφεῖν δόξαι, πρότερον φιλοσοφήσας, οὐχ ἵνα γε διαπεσεῖν μοι τὸν μόχθον
ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλῦσαι τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι
ὁσίων λέγεται. βρώματι τὸν πατέρα καὶ τεχνῶν πλάσματι σοφισάμενος, καὶ τὸ καλὸν
οὐ καλῶς δι' ἐπιβουλῆς θηρασάμενος. δύο μὲν δὴ ταῦτα τῆς ἐμῆς ἥττης καὶ ἡμερότητος αἴ-
τια. καὶ ἴσως οὐκ ἄτοπον ἀμφοτέροις, ἐκείνοις εἶξαι καὶ ὑποχωρῆσαι τοῖς λογισμοῖς. ἐπεὶ
καὶ τὸ νικᾶσθαι καιρὸς, ὥσπερ οἶμαι καὶ παντὸς πράγματος. καὶ κρεῖττον ἡττᾶσθαι κα-
λῶς, ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀδίκως. τρίτον δὲ, ὃ καὶ μέγιστον, καὶ δὴ τοῦτο εἰπὼν ἔτι, τὰ λοι-
πὰ σιωπήσομαι. ἐμνήσθην ἡμερῶν ἀρχαίων, καὶ πρός τινα τῶν παλαιῶν ἱστορίαν ἀναδρα-
μὼν, ἐκεῖθεν εἵλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα. μὴ γὰρ εἰκῆ ταῦτα συγγε-
γράφθαι νομίζωμεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγί-
ας οἷον ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ τοῦτο ἀκοῆς τι δέλεαρ, μέχρι τῆς ἡδονῆς ἱσταμένοις.
ταῦτα μὲν παιζόντων μῦθοι καὶ Ἑλλήνων, οἳ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ
τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν κατεθέλγουσιν. ἡμεῖς δὲ οἱ καὶ μέ-
χρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔποτε δε-
ξόμεθα. οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ
μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι. ἀλλ' ἵνα ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύ-
ματα τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς, διασκέψεως. ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖ-
σθαι. τοῖς κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι. τίς οὖν ἡ ἱ-
στορία, καὶ πόθεν ἡ συμβουλή; οὐδεὶς γὰρ χεῖρον ἴσως ἀσφαλείας οἵνεκα τοῖς πολ-
λοῖς διελθεῖν. ἔφυγε καὶ Ἰωνᾶς ἀπὸ προσώπου τοῦ θεοῦ, μᾶλλον δὲ φυγεῖν ᾤετο.

ἀλλὰ

ἀλλὰ κατελήφθη πελάγει καὶ χειμῶνι καὶ κλήρῳ, καὶ γαστρὶ κήτους, καὶ τελευταίῳ τῷ φυτῷ, τύπον ἐχούσῃ μυστηρίου μείζονος. ἀλλ' ἐκεῖνος μὲν, ἵνα μὴ τὴν σκυθρωπὴν καὶ ἄτοπον ἀγγελίαν ἀγγέλλῃ τοῖς Νινευΐταις, καὶ μετὰ τοῦτο ψεύστης ἁλῷ, σωθείσης τῇ μετανοίᾳ τῆς πόλεως. οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν, ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ᾐσχύνετο, καὶ διεζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιστον, ὅπερ ἐν αὐτῷ καταλυθῆναι κινδυνεῦον ἦν, οὐ δυναμένων τῶν πολλῶν συνιδεῖν τῆς τοῦ θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος. ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρὸς, οὐκ ἀτόπως βουλομένου τὸ φαινόμενον τῆς ἱστορίας ἄτοπον, καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ ταῦτα ἦν, ἃ τὸν μακάριον Ἰωνᾶν ἐποίει φυγάδα, καὶ εἰς Ἰόππην ἤγαγεν, καὶ ἐξ Ἰόππης ἀνήγαγεν ἐπὶ Θαρσεῖς πελάγει πιστεύοντα τὴν ἑαυτοῦ κλοπήν. οὔτε γὰρ ἀγνοεῖν τοῦ θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα, εἰκὸς αὐτὸν ἦν. ὅτι διὰ τῆς ἀπειλῆς, τὸ μὴ παθεῖν τὰ τῆς ἀπειλῆς Νινευΐταις ἐπραγματεύετο, ᾔδει τὴν μεγάλην αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα, καὶ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαστόν τε καὶ ἀκατάληπτον. οὔτ' εἴπερ ἠπίστατο, μὴ ἀκολουθῆσαι θεῷ, δι' οὗπερ ἐβούλετο τρόπου τὴν σωτηρίαν ἐκείνοις μηχανωμένῳ. τὸ δὲ δὴ καὶ οἴεσθαι ὡς ἀποκρύψειν ἑαυτὸν ὑπὸ πελάγει ἤλπισεν Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ θεοῦ διαλήσεσθαι τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον, καὶ οὐχ ὅπως περὶ προφήτου πιστεύεσθαι δίκαιον, ἀλλ' οὐδὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων, καὶ μετρίως αἰσθανομένων θεοῦ καὶ τῆς ὑπὲρ πάντα δυνάμεως. ἀλλ' ᾔδει μὲν τοῦτο πάντων μᾶλλον ὁ Ἰωνᾶς, φησὶν ὁ τὸν λόγον εἰπών. καὶ ἐγὼ πείθομαι. ὡς ὅτι ἔφυγε τοῖς Νινευΐταις τὸ κήρυγμα, καὶ ὅτι τὸν δρασμὸν βουλεύων, τόπον μὲν ἤμειβεν, θεὸν δὲ οὐκ ἔφευγεν. οὐδὲ γὰρ ἄλλος τις ἀνθρώπων, οὐ γῆς ἑαυτὸν κατακρύψας κόλποις, οὐ θαλάσσης βάθεσιν, οὐ πτεροῖς κουφισθεὶς, εἴ τις ἐπίνοια, καὶ ἀναδραμὼν εἰς ἀέρα, οὐχ ᾅδου τοῖς κατωτάτω προσομιλήσας, οὐ νέφους παχύτητι περιβαλλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν εἰς ἀσφάλειαν τοῦ δρασμοῦ βουλευσάμενος. ἀλλὰ τοῦτο μόνον τῶν πάντων ἄφυκτόν τε καὶ ἀμαχώτατον, θεὸς καταλαβεῖν καὶ ὑπὸ χεῖρα λαβεῖν θελήσας, φθάνει τοὺς ταχεῖς, σφάλλει τοὺς συνετούς, περιτρέπει τοὺς ἰσχυρούς, συστέλλει τοὺς ὑψηλούς, ἐμφροῖ θράσος, πιέζει δύναμιν. οὐ τοίνυν ἠγνόει τοῦ θεοῦ τὴν κραταιὰν χεῖρα ὁ τοῖς ἄλλοις ταύτην ἀπειλῶν Ἰωνᾶς, οὐδὲ ὡς φευξόμενος εἰς ἅπαν διενοεῖτο τὸ θεῖον. μὴ τοῦτο πιστεύωμεν. ἀλλ' ἐπειδὴ τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραὴλ, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ᾐσθάνετο, διὰ τοῦτο ὑποχωρεῖ τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα, καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς, τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη δύναται, τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς λύπης ἑαυτὸν ἐξέρριψε πέλαγος. καὶ διὰ τοῦτο χειμάζεται, καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ ὁμολογεῖ τὴν φυγὴν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ. ἀλλ' ἐκεῖ τὸν θεὸν ἐπικαλεῖται, καὶ τὸ θαῦμα, Χριστῷ τριήμερος συνεκδίδοται. ἀλλ' ὁ μὲν περὶ τούτου λόγος, ἀναμενέτω, μικρὸν ὕστερον, ἂν διδῷ θεὸς, φιλοπονώτερον ἐξεργασθησόμενος. νῦν δὲ, ὅ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί μοι καὶ ὑπολαμβάνειν. ὅτι ἐκείνῳ μὲν, τάχα τι καὶ συγγνώμης ἦν, δι' ἣν εἶπον αἰτίαν ὀκνοῦντι τῇ προφητείᾳ. ἐμοὶ δὲ, τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας ὑπολείπεται τόπος ἐπὶ πλεῖον ἀφηνιάζοντι, καὶ τὸν, οὐκ οἶδ' εἴτ' ἐλαφρὸν, εἴτε βαρὺν εἰπεῖν χρὴ, ἀλλὰ τόν γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ; εἰ γὰρ ὃ μόνον ἐν τούτοις ἰσχυρόν ἐστιν εἰπεῖν, τοῦτο δοίη τις, ὅτι πολλῶν κατωτέρω κείμεθα τοῦ ἱερατεύειν θεῷ, καὶ ὅτι τῆς ἐκκλησίας ἄξιον εἶναι χρὴ πρότερον, εἶτα τοῦ βήματος, καὶ τούτου πρότερον, εἶτα τῆς προεδρίας, τάχα ἕτερος ἡμᾶς οὐκ ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος. δεινὴ δὲ ἀπειθείας ἀπειλὴ, καὶ δεινὰ ταύτης τὰ ἐπιτίμια. ὥσπερ γε καὶ τῆς ἑτέρας μερίδος, μηδὲν ὀκνεῖν, μηδὲ ἀναδύεσθαι, μηδὲ ὥσπερ ὁ Σαοὺλ ἐκεῖνος τοῖς σκεύεσιν ὑποκρύπτεσθαι τοῖς πνευματικοῖς κἂν πρὸς ὀλίγον καλουμένοις ἐπὶ προστασίαν. ἀλλ' ὡς ἐπί τι πρᾶγμα κοῦφον καὶ ῥᾷστον χωρεῖν ἑτοίμως. οὗ μηδὲ μεταθέσθαι ἀσφαλὲς, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι τὴν προλαβοῦσαν. διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱστάμενος, τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος. καὶ ἐπὶ πλεῖστον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν ταλαντεύσας, ἢ ὥσπερ ῥεῦμα ἀντίοις πνεύμασι, τῇ δὲ κἀκεῖσε μετακλιθεὶς, τέλος ἐγενόμην τοῦ σφοδροτέρου, καί με νικήσας ἔχει παρασύρας ὁ φόβος τῆς ἀπειθείας. καὶ σκοπεῖτε, ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης ἐφίεσθαι προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην. τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν καὶ ἀπαιδεύτων ἀμφότερα. καὶ μέσος εἰμί τις, τῶν τε ἄγαν τολμηρῶν, καὶ τῶν λίαν δειλῶν. τῶν μὲν πάσαις ἐπιπηδώντων δειλότερος, τῶν δὲ φευγόντων πάσας θαρσαλεώτερος. οὕτως ἐγὼ

περὶ

περὶ τὸ τῆς γνώσεως. καὶ ἔτι διαλέξασθαι σαφέστερον, τῷ μὲν φόβῳ τῆς προστασίας, τάχα ἂν βοηθήσειε καὶ ὁ νόμος τῆς εὐπειθείας, τοῦ θεοῦ τὴν πίστιν ἀμειβομένου διὰ τῆς ἑαυτοῦ χρηστότητος, καὶ εἰς προστάτην τέλειον καταρτίζοντος τὸν αὐτῷ θαρρήσαντα, καὶ πάσας ἐν μέρει ἐπ' αὐτῷ τὰς ἐλπίδας. ᾧ δὲ κινδύνῳ τῆς ἀπειθείας οὐκ οἶδα τίς ἔσται ὁ βοηθῶν, ἢ τίς ὁ θαρρεῖν ἐξαγγελλόμενος νόμος. φόβος γὰρ, μὴ τοῦτό γε ἀκούσωμεν περὶ ὧν ἐπιστεύθημεν, ὅτι τὰς ψυχὰς αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ἐκζητήσω. καὶ καθὼς ἀπώσασθέ με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα. καὶ καθὼς οὐκ εἰσηκούσατε τῆς φωνῆς μου, ἀλλ' ἐδώκατε νῶτον σκληρὸν καὶ ἠπειθήσατε, οὕτως ἔσται, ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν, οὐδ' εἰσακούσομαι. ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνάς. ᾧ καὶ τὸν ἔλεον ᾄδομεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδομεν. ἀλλὰ γὰρ πάλιν ἐπὶ τὴν ἱστορίαν φέρομαι. καὶ τῶν παλαιῶν τῶν εὐδοκιμωτάτων ἀνασκοπῶν, εὑρίσκω ὅσους πώποτε εἰς ἐπιστασίαν ἢ προφητείαν ἡ χάρις προὐβάλετο. τοὺς μὲν ᾄξαντας προθύμως τῇ κλήσει, τοὺς δὲ ἀναβαλλομένους τὸ χάρισμα. καὶ οὐδετέρων μέμφομαι, οὔτε τῶν ὑποχωρησάντων τὴν δειλίαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν. οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος εὐλαβήθησαν, οἱ δὲ τῷ καλοῦντι πιστεύσαντες ἠκολούθησαν. πρόθυμος ἦν Ἀαρὼν, ἀλλὰ Μωσῆς ἀντεμάχετο. ὑπήκουσεν Ἡσαΐας ἑτοίμως, ἀλλ' ἐδεδίει τὸ νέον Ἱερεμίας. καὶ πρότερον τὴν προφητείαν ἐθάρρησεν, ἢ παρὰ θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας κρείττονα. τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς, καί μοι κατὰ μικρὸν [illegible]κεταί τε καὶ μαλάσσεται ὥσπερ σίδηρος ἡ ψυχὴ, καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν τὸν χρόνον, καὶ συμβουλίαν, τὰ τοῦ θεοῦ δικαιώματα, οἷς παρέσχον τὴν ἐμαυτοῦ ζωὴν καταπίστευσαι. διὰ τοῦτο οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω, φησὶν ὁ ἐμὸς δεσπότης. οὐκ ἐπὶ προστασίαν καλούμενος, ἀλλ' ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος. ἀλλὰ καὶ προσαποταπεινοῦμαι ὑπὸ τὴν κραταιὰν τοῦ θεοῦ χεῖρα, καὶ συγγνώμην αἰτοῦμαι τῆς πρὶν ἀργίας καὶ ἀπειθείας, εἴ τι μοι τοῦτο ἔγκλημα. ἐσιώπησα μὲν, ἀλλ' οὐκ ἀεὶ σιωπήσομαι. ὑπεχώρησα μέν τι μικρὸν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι, καὶ τῇ λύπῃ δοῦναι παράκλησιν. ἀλλὰ νῦν, ὑψοῦν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν ἐδεξάμην. εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης ἄξια. τί δεῖ μακροτέρων ἡμῖν τῶν λόγων; ἰδοὺ ἔχετε ἡμᾶς ὦ ποιμένες καὶ συμποιμένες ἔχετε, ὦ ποίμνιον ἱερὸν καὶ Χριστοῦ τοῦ ἀρχιποίμενος ἄξιον. ἔχεις ὦ πάτερ εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριστοῦ νόμους πλέον, ἢ τοὺς ἔξωθεν ὑπεξούσιον. ἔχεις τὴν εὐπείθειαν, ἀπόδος τὴν εὐλογίαν. χειραγώγησον καὶ σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι στήρισον. εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων. καὶ στηριχθείημεν ἐγώ τε καὶ ὁ πνευματικὸς οἶκος οὗτος, ὃν ἠγαπησάμην. ὃν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς αἰῶνα αἰῶνος εὔχομαι, ἀπὸ τῆς ἐνταῦθα ἐκκλησίας ἐπὶ τὴν ἐκεῖ παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. ἡ μὲν δὴ πρεσβεία τοσαύτη, καὶ οὕτως εὔλογος. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις. ὁ καθίζων βασιλεῖς ἐπὶ θρόνων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. ὁ ἐκλεξάμενος Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐλάχιστον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ, καὶ νεώτερον, ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ πρὸς τὴν τοῦ εὐαγγελίου τελείωσιν, αὐτὸς κρατήσει τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν τῇ βουλῇ ὁδηγήσει, καὶ μετὰ δόξης προσλάβοιτο, ποιμαίνων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας. ὡς ἂν ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ μετ' ἐπιστήμης, ἀλλὰ μὴ ἐν σκεύεσι ποιμένος ἀπείρου. τὸ μὲν ἐν εὐλογίᾳ, τὸ δὲ ἐν κατάρᾳ τοῖς πάλαι κείμενον. αὐτὸς δοίη δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, καὶ παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην, καὶ ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι. ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν ποίμνη τε ὁμοῦ καὶ ποιμένες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ πρέπει τῷ πατρὶ τιμὴ καὶ κράτος ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

λόγοι

ἀποδοῦ

ΠΡΟΣ

ΛΟΓΟΣ.

ΠΡΟΣ ΤΟΥΣ ΚΑΛΕΣΑΝΤΑΣ ΕΝ ΤΗ ΑΡΧΗ, ΚΑΙ ΜΗ ἀπαντήσαντας μετὰ τὴν πρεσβυτερίαν ἐν τῷ πάσχα.

Πῶς βραδεῖς ἤδη πρὸς τὸν ἡμέτερον λόγον, ὦ φίλοι καὶ ἀδελφοί, καίτοι γε ταχεῖς εἰς τὸ τυραννῆσαι, καὶ τῆς ἡμετέρας ἀκροπόλεως ἁρπάσαι τῆς ἐρημίας, ἣν ἐγὼ πάντων μάλιστα ἠσπασάμην, καὶ ὡς συνεργὸν καὶ μητέρα τῆς θείας ἀναβάσεως καὶ θεοποιόν, διαφερόντως ἠγάσθην τε καὶ παντὸς τοῦ βίου προεστησάμην. πῶς δ᾽ ἂν λαβεῖν ἐποθεῖτε, ὑπερφρονεῖτε λαβόντες. καὶ βελτίους ἐφάνητε ποθεῖν ἀπόντας, ἢ ἀγαπᾶν παρόντας, ὥσπερ κηρύττεσθαι μᾶλλον τῆς ἡμετέρας φιλοσοφίας, ἢ ὄνασθαι ταύτης θελήσαντες. εἰ καλόν μοι καὶ τοῦτο εἰπεῖν, ἤγε ἡ ἐπιδημία ὑμῖν εἰς πλησμονήν, πρὶν γνωσθῆναι, καὶ πεῖραν δοῦναι τὸ παραδοξότατον. καὶ οὐδὲ ὡς ξένους ἡμᾶς συνηγάγετε, ἢ συνήχθητε μεθ᾽ ἡμῶν· ἵν᾽ εἴπω τι συμπαθέστερον, τοῦτο, εἰ μή τι ἄλλο, τὴν ἐν πολλῷ αἰδεσθέντες. οὐδὲ ὡς ἀρχομένους ἐχειραγωγήσατε, οὐδὲ ὡς δειλοὺς ἐθαρσύνατε, οὐδὲ ὡς βιασθέντας παρεκαλέσατε. ἀλλ᾽ ἀνέορτον ἡμῖν (ὀκνῶ μὲν εἰπεῖν, εἰρήσθω δὲ ὅμως) πεποιήκατε τὴν ἑορτήν, καὶ προοιμίοις οὐκ ἀγαθοῖς ἡμᾶς ἐδεξιώσασθε, καὶ τῇ πανηγύρει κατήφειαν κατεμίξατε, τὸ μέγιστον εἰς ἡδονὴν οὐκ ἐχόντες τῶν ἐμῶν νικῆσαι ὑμᾶς. οὐ γὰρ θρασὺ εἰπεῖν, ἀληθές. οὕτως εὐκαταφρόνητον, ἅπαν τὸ ῥᾳδίως νικώμενον. καὶ θεραπεύεται μὲν τὸ ὑψηλόν, ἀτιμάζεται δὲ παρὰ θεῷ ταπεινούμενον. τί βούλεσθε; κριθῶ πρὸς ὑμᾶς, ἢ κριτὴς γένωμαι; ἐνέγκω ψῆφον, ἢ δέξωμαι; καὶ τὸ νικήσειν ἐλπίζω, κρινόμενος, καὶ καταψηφιεῖσθαι δικαίως ἀποφαινόμενος. τὸ δὲ ἔγκλημα, ὅτι μὴ τοῖς ἴσοις μέτροις ἀμείβεσθε τῆς ἀγάπης ἡμᾶς, μηδὲ τῆς εὐπειθείας τὴν τιμὴν ἀποδίδοτε, μηδὲ τὸ μέλλον ἐγγυᾶσθε τῇ νῦν προθυμίᾳ. μόγις καὶ μετὰ ταύτης πιστευθῆναι δυνάμενον. ἐπειδὴ θερμότερος ἅπας ἀρχόμενος. ἄλλος δὲ ἄλλο τι. προτιμότερον τίθεσθε καὶ τοῦ παλαιοῦ καὶ τοῦ νέου ποιμένος, μήτε τὴν πολιὰν αἰδούμενοι, μήτε τὴν νεότητα προκαλούμενοι. δεῖπνόν ἐστιν ἐν τοῖς εὐαγγελίοις λαμπρόν, καὶ δεξιὸς ἑστιάτωρ· καὶ φίλοι, καὶ τὸ συμπόσιον ἥδιστον. ἦν δὲ γάμος· καὶ ὁ μὲν συγκαλεῖ, οἱ δὲ οὐ συνέρχονται. ὁ δὲ ἀγανακτεῖ. καὶ παρίημι τὰ ἐν μέσῳ διὰ τὸ δύσφημον. ἀλλ᾽ ὃ μέτριον εἰπεῖν, δι᾽ ἄλλων πληροῖ τὸ συμπόσιον. τοῦτο μὲν οὖν ἀπευχόμεθα. ὑμεῖς δὲ τοσοῦτόν τι ἐκείνων γεγόνατέ μοι (πῶς εἴπω πράως) ὑψηλότεροι, ἢ θρασύτεροι, ὅσον οἱ μὲν κεκλημένοι τὸ δεῖπνον κατεξανίσταντο, καὶ κατὰ τοῦ κεκληκότος ὕβριζον. ὑμεῖς δὲ οὐ τῶν ἔξωθεν ὄντες, οὐδὲ τῶν κεκλημένων ἤδη εἰς γάμους, ἀλλ᾽ αὐτοὶ συγκαλέσαντες ἡμᾶς, καὶ τῇ ἱερᾷ ταύτῃ τραπέζῃ προσδήσαντες, καὶ τοῦ νυμφῶνος τὴν λαμπρότητα παραδείξαντες, ἔπειτα καταλιπόντες ἡμᾶς. τοῦτο γὰρ ὑμῖν τὸ γενναιότατον. ὁ μὲν ἤδη τὸν ἴδιον ἀγρόν, ὁ δὲ ἤδη τὸ ζεῦγος τῶν βοῶν ἐπινώμητον, ὁ δὲ ἔτι τὴν γυναῖκα τὴν πάνυ μικρόν, ὁ δὲ ἄλλος ἐπ᾽ ἄλλο τι τῶν μικρῶν διεσπαρμένοι καὶ ἀπεπηδήσατε, μικρὰ τοῦ νυμφῶνος καὶ τοῦ νυμφίου φροντίσαντες. διὰ τοῦτο ἀθυμίας ἐνεπλήσθην, καὶ ἀπορίας. οὐ γὰρ δὴ πάντῃ σιωπήσομαι, καὶ μικροῦ μὲν ἀπέθηκα τὸν λόγον, ὃν δωροφορήσαι διενοούμην τῷ γάμῳ, τὸ κάλλιστον ὧν εἶχον καὶ τιμιώτατον. μικρὸν δὲ ὑμῖν ἐπαφήκα τοῖς ποθουμένοις, ἐπειδή γε ἅπαξ ἐξεβιασθην. ἅτε δὴ λαμπρὸς οὕτω λαβόμενος τῆς ὑποθέσεως, καὶ τοῦ φίλτρου τὴν γλῶσσαν διήγοντος, ὃ δὴ θερμότατον εἰς κατηγορίαν καὶ εὐπροσώπητον, ὅταν γένηται ζῆλος, λύπην ἐκ τῆς ὑπεροψίας προσλαβὸν ἀπροσδόκητον. εἴ τις ὑμῶν λίαν αἰσχρῶς πληγείς, ὑπεράφθη, γνωριζέτω τὸ πάθος, καὶ συγγνώσεται τοῦτο παθοῦσι, καὶ ταύτης ἐγγὺς γενομένοις τῆς ἀπονοίας. ἀλλ᾽ ἐμοὶ μὲν οὔ τι νῦν θεμιτόν ἐστιν ὑμῶν τι καθάψασθαι, μήτ᾽ ἄλλοτε γένοιτο καὶ ταῦτα ἴσως ὑπὲρ τὸ μέτριον καθηψάμην, τῆς ἱερᾶς ποίμνης, τῆς ἐμαυτῆς (^) τοῦ χριστοῦ θρέμματα, τῆς θείας κληρονομίας. δι᾽ ἣν πλούσιος εἶ, κἂν ἧς πένης. ἡ ἐκκλησία σοι περὶ τῆς ἐμῆς ἐγκεῖμαι τὰ ῥήματα. χορηγία ἐστί πως σοι ἐν τοῖς κρατίστοις. καὶ γὰρ ἡ κληρονομία σου κρατίστη σοι ἐστί. καὶ οὐ παρ᾽ ἴσον ταῖς ἀριθμουμέναις τῶν πόλεων, οὐδὲ τῶν ποιμνίων τοῖς πλατυτάτοις ἔχειν τι πλεῖον ἡμῶν τῶν ὀλίγων τῆς ἐλαχίστης φυλῆς ἐν υἱοῖς Ἰσραήλ, τῶν ὀλιγοστῶν ἐν χιλιάσιν Ἰούδα τῆς μικρᾶς Βηθλεέμ ἐν πόλεσιν, ἐν ᾗ χριστὸς γεννᾶται, νῦν τε καὶ ἀπ᾽ ἀρχῆς καλῶς καὶ γινωσκόμενος καὶ σεβόμενος, παρ᾽ οἷς πατὴρ ὑψοῦται, καὶ υἱὸς ἰσάζεται, καὶ πνεῦμα ἅγιον συνδοξάζεται, σύμψυχοι, τὸ ἓν φρονοῦσι, μηδὲν τῆς τριάδος ζημιουμένοις, ἢ ὑπερτιθεῖσιν ἢ ἀτιμάζουσιν, ὡς οἱ κακοὶ διαιρεταὶ καὶ μετρηταὶ τῆς θεότητος, δι᾽ ὧν ἔν τι πλεῖον ἢ καλῶς ἔχει, σεμνύνουσι τὸ πᾶν ἐλαττοῦντες καὶ καθυβρίζοντες. ὑμεῖς δὲ εἴ τι χαρίζοισθέ μοι, τὸ ἐμὸν γεώργιον, ἡ ἄμπελος ἡ ἐμή, τὰ ἐμὰ σπλάγχνα, μᾶλλον δὲ τοῦ κοινοῦ πατρὸς ἡμῶν, ὃς αὐτὸς ἐν χριστῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησεν. αἰδεῖσθε μὲν καὶ ἡμᾶς. δίκαιον γάρ, οἱ πάντων ὑμᾶς προετιμήσαμεν, ὑμεῖς μαρτυρεῖτε, καὶ οἱ ταύτην ἡμῖν ἐγχειρίσαντες τὴν ἔτι ἡγεμονίαν, ἔτι διακονίαν. καὶ εἰ παρὰ πλεῖστον ἀγαπήσαντι πλεῖον ὀφείλεται,

^ ὅσον [illegible] τῷ πόθῳ τοῦ κοινοῦ πατρὸς

λεται. πῶς μετρήσω τῆς ἀγάπης, ἣν ἀποχρῶσαν ὑμᾶς διὰ τῆς ἐμῆς ἔλαβον. αἰδεῖσθε δὲ πλέον ὑμᾶς αὐτούς, καὶ τὴν πιστευθεῖσαν εἰκόνα, καὶ τὸν πιστεύσαντα, καὶ τὰ Χριστοῦ πάθη, καὶ τὰς ἐκεῖθεν ἐλπίδας, πίστιν μὲν ἔχοντες ἣν παρελάβετε, καὶ ᾗ συνετράφητε, μεθ' ἧς καὶ σώζεσθε, καὶ σώζειν ἄλλους πιστεύεσθε. οὐ γὰρ πολλῶν, εὖ ἴστε, τὸ ὑμέτερον καύχημα. τὸ δὲ εὐσεβεῖς μὴ ἐν τῷ πολλάκις περὶ θεοῦ λαλεῖν, ἀλλ' ἐν τῷ τὰ πλείω σιγᾶν εἶναι πειθόμενοι. γλῶσσα γὰρ ὀλισθηρὸν ἀνθρώποις, μὴ λόγῳ κυβερνωμένη. καὶ ἀκινδυνοτέραν ἀκοήν, ἀεὶ λόγου νομίζοντες, ὥστε τὸ μανθάνειν ἥδιον, ἢ διδάσκειν περὶ θεοῦ. τὴν μὲν ἀκριβεστέραν τούτων ἐξέτασιν, τοῖς οἰκονόμοις τοῦ λόγου παραχωροῦντες. αὐτοὶ δὲ λόγῳ μὲν εὐσεβοῦντες ὀλίγα, ἔργῳ δὲ πλείονα. καὶ τῇ τηρήσει τῶν νόμων μᾶλλον, ἢ τῷ θαυμάζειν τὸν νομοθέτην, τὸ περὶ αὐτὸν φίλτρον ἐνδεικνύμενοι· φεύγοντες κακίαν, διώκοντες ἀρετήν, πνεύματι ζῶντες, πνεύματι στοιχοῦντες, τούτῳ τὴν γνῶσιν ἕλκοντες, ἐποικοδομοῦντες τῷ θεμελίῳ τῆς πίστεως, μὴ ξύλον, μηδὲ χόρτον, μηδὲ καλάμην, ὕλην ἄτονον καὶ ῥᾳδίως δαπανωμένην, ὅταν τῷ πυρὶ κρίνηται τὰ ἡμέτερα, ἢ καθαίρηται, ἀλλὰ χρυσόν, ἄργυρον, λίθους τιμίους, τὰ μένοντα καὶ ἑστῶτα. ταῦτα πράσσοιτε, καὶ τούτοις ἡμᾶς δοξάζοιτε, εἴτε παρόντας, εἴτε ἀπόντας, εἴτε ματαποιούμενοι τὸν ἡμετέρων λόγον, εἴτε ἄλλο τι προτιμότερον ἄγοντες. καὶ γίνοισθε τέκνα θεοῦ καθαρὰ καὶ ἀμώμητα, ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης. καὶ μὴ περιπλέκοιτο ὑμῖν τὰ τῶν κύκλῳ περιπλατυνόντων ἀσεβῶν σχοινία, μηδὲ σειραῖς τῶν οἰκείων ἁμαρτιῶν περισφίγγοισθε, μηδὲ ταῖς βιωτικαῖς μερίμναις. συμπνέοιτο ὑμῖν ὁ λόγος, καὶ ἄκαρποι γίνοισθε. ἀλλ' ὁδῷ πορεύοισθε βασιλικῇ, μὴ ἐκκλίνοντες εἰς δεξιά, μηδὲ εἰς ἀριστερά, καὶ διὰ τῆς στενῆς ὡς πλατείας ὑπὸ τοῦ πνεύματος ὁδηγούμενοι, καὶ τὸ ἡμέτερον εὖ ἕξει, νῦν τε καὶ εἰς τὴν ἐκεῖθεν ἐξέτασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ ΜΕΤΑ τὴν ἐπάνοδον τῆς φυγῆς.

ΟΥΚ ἦν ἰσχυρότερον γήρως, καὶ οὐδὲν φιλίας αἰδεσιμώτερον. ὑπὸ τούτων ἤχθην ὑμῖν ἐγὼ δέσμιος ἐν Χριστῷ, δεθεὶς οὐχ ἁλύσεσι δεσμοῖς, ἀλλὰ τοῖς ἀλύτοις δεσμοῖς τοῦ πνεύματος. πῶς δὲ ὑμῖν ἰσχυρὸς εἶναί τις, καὶ ἀήττητος. καὶ ὢ τῆς ἀλογίας. οὐκ ἐδίδουν τοὺς λόγους, οὐδὲ τοῖς ἐμοῖς ἐρασταῖς τούτοις καὶ ἀδελφοῖς, ἵν' ἔχω τὴν ἀπραγμοσύνην, καὶ τὸ φιλοσοφεῖν ἐν ἡσυχίᾳ· πάντα παρεὶς τοῖς βουλομένοις, ἐμαυτῷ δὲ προσλαλῶν, καὶ τῷ πνεύματι. Ἠλιοῦ περιενόουν τὸν Κάρμηλον, καὶ Ἰωάννου τὴν ἔρημον, καὶ τὴν οὕτω φιλοσοφοῦσαν τὸ ὑπερκόσμιον, καὶ ζάλην τὰ παρόντα ἐνόμιζον, καὶ πέτραν τινὰ ἐζήτουν, ἢ κρημνόν, ἢ τειχίον, ὑφ' οἷς σκεπασθήσομαι. ἄλλων ἔλεγον ἔστωσαν αἱ τιμαὶ καὶ οἱ πόνοι, ἄλλων οἱ πόλεμοι καὶ τὰ νικητήρια· ἐμοὶ δὲ ἀρκείτω φεύγοντι τοὺς πολέμους, εἰς ἐμαυτὸν βλέποντι ζῆν οὕτως, ὅπως ἂν δύνωμαι, καθάπερ ἐπὶ λεπτῆς σχεδίας διαπεραιουμένῳ μικρόν τι πέλαγος· καὶ μικρὰν τῆς ἐκεῖθεν μονήν, τῷ περιχρῷ τῆς ἐντεῦθεν πολιτείας καταπτωμένῳ. ταπεινοτέρων ὁ λογισμὸς ἴσως, ἀλλ' οὖν ἀσφαλεστέρων, ἴσον ἀπέχειν καὶ ὕψους καὶ πτώματος. ταῦτα ἕως ἐξῆν γράφειν ἐπὶ σκιᾶς καὶ ὀνείρατα· καὶ τοῖς ματαίοις ἀναπλασμοῖς, ἑστίαν τὴν διάνοιαν. νῦν δὲ τί; φιλία προσέστη τὸ μὲν, καὶ πολιὰ παρὰ τοῖς ἐχειρώσατο γῆρας φρονήσεως, πρεσβεία βίου, λιμὴν ἀσφαλέστερος, καὶ φιλία πλουτοῦντος θεῷ, καὶ πλουτίζοντος. ἤδη γὰρ ἐκπεπτωκέναι τὴν ὀργήν. ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν, καὶ πρὸς τὴν χεῖρα ἥμερον βλέπω τὴν τυραννήσασαν, καὶ προσγελᾷ τῷ πνεύματι, καὶ ἡ καρδία καθίσταταί μοι, καὶ ὁ λογισμὸς ἐπανέρχεται. καὶ ἡ φιλία καθάπερ τις φλὸξ κατασβεσθεῖσα καὶ ἀπομαρανθεῖσα, πάλιν ἐκ μικροῦ σπινθῆρος ἀνάγει καὶ ἀνάπτεται. παρακληθῶσιν ἡ ψυχή μου, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. εἶπα, οὐ μὴ προσθῶ ἔτι πιστεῦσαι φιλίᾳ, καὶ ἵνα τί μοι ἐλπίζειν ἐπ' ἄνθρωπον, ὃ πᾶς ἄλλος, δολίως πορεύεται. καὶ πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ τὸν πλησίον αὐτοῦ. καὶ πάντες ἐσμὲν τοῦ αὐτοῦ χοὸς καὶ φυράματος, καὶ τοῦ αὐτοῦ ξύλου τῆς κακίας γεγεύμεθα· σκηνὴν δὲ ἄλλος ἄλλην εὐπρεπεστέραν περιβέβληται. καὶ τί μοι τῆς φιλίας ἐκείνης ὄφελος ἔλεγον τῆς ζήλω τε καὶ περιβοήτου, ἀρξαμένης ἀπὸ κόσμου, καὶ προελθούσης εἰς πνεῦμα; τί δαὶ τῆς μιᾶς στέγης τε καὶ τραπέζης, ἢ τί τοῦ κοινοῦ παιδευτῶν τε καὶ παιδευμάτων; τί δαὶ τῆς ὑπὲρ ἀδελφοὺς ἀνακράσεως, ἢ τῆς γνησίας συμπνοίας ὕστερον, εἰ μηδὲ τοσοῦτον ὑπῆρξέ μοι κατὰ μέρος ἐν καιρῷ δυναστείας καὶ ὕψους, ὁπότε ἐναντίον τοῖς πολλοῖς σπουδάζεταί τε καὶ ἐπιτυγχάνεται, τὸ παραδυναστεύειν λέγω, καὶ τὸ τῶν φίλων μετέχειν εὐημερίας. τί μοι ταῦτα λέγειν, τὰ τῆς λύπης, καὶ τῆς ἀκηδίας, ἣν ζόφον ἐγὼ καλῶ, τὰ νῦν εὑρήματα; καὶ γὰρ ταῦτα καὶ τούτων ἦν ἀτοπώτερα. κατηγόρησα γοῦν αὐτοὺς ἐγὼ τῆς ἐμῆς εἴτε ἀγνοίας, εἴτε ἀνοίας. ἀλλὰ νῦν μεταλαμβάνω καὶ μεθαρμόζομαι, ὡς πολὺ τούτων καὶ ἀληθέστερα, καὶ ἡμῖν πρεπωδέστερα,

καὶ

καὶ ἴν᾽ εἰδῇς τὸ γνήσιον τῆς ἡμετέρας μεταβολῆς, ὦ θαυμάσιε. οὐ λύεις μόνον τὴν σιωπὴν ἣν ἐμέμψω, καὶ ἧς πολλὰ κατηγόρησας, ἀλλὰ καὶ συνηγόρους ἔχεις τοὺς λόγους. τοῦτο μὲν ἤδη τῆς ἡμετέρας φιλίας καθαρῶς, καὶ τοῦ ἐν ἡμῖν πνεύματος. ἀλλὰ τίς ἡ συνηγορία; καὶ εἰ τι ἁμαρτάνω, αὐτὸς ἐπανόρθου, ὥσπερ καὶ τἄλλα εἴωθας. οὐκ ἤνεγκας τὸ πνεῦμα τῆς φιλίας τιμᾶσθαι δεύτερον ἐπεὶ τῶν ἄλλων ἴσως ἡμεῖς, ἡμῶν δὲ τὸ πνεῦμα σοι πολλῷ τιμιώτερον. οὐκ ἤνεγκας ἐν τῇ γῇ κατακεκρύφθαι καὶ κατορύχθαι τὸ τάλαντον. οὐκ ἤνεγκας ὑπὸ τῷ μοδίῳ περιλάμπεσθαι, τὸν δὴ τοῦτο τὸ ἐμὸν φῶς. καὶ τὴν ἐμὴν ὑπεραςίαν ἀπολαμβάνεις. ἐζήτησας ὑπὸ παύλῳ σοι προστεθῆναι καὶ τὸν βαρνάβαν. ἐζήτησας σιλουανῷ καὶ τιμοθέῳ προσγενέσθαι καὶ τίτον, ἵνα σοι τρέχῃ τὸ χάρισμα διὰ τῶν γνησίως ὑπὲρ σοῦ μεριμνώντων, καὶ κύκλῳ ἀπὸ ἱερουσαλὴμ μέχρι τοῦ ἰλλυρικοῦ πληρώσῃς τὸ εὐαγγέλιον. διὰ τοῦτο εἰς μέσον ἄγεις, καὶ ἀποχωροῦντος γαμαλιὴλ, καὶ παρὰ σαυτῷ καθίζεις. τοῦτο τὸ ἐμὸν ἀδίκημα, φαίης ἄν; καὶ κοινωνὸν ποιῇ τῶν φροντίδων καὶ τῶν στεφάνων, διὰ τοῦτο χρίεις τὸν ἀρχιερέα, καὶ περιβάλλεις τὸν ποδήρη, καὶ περιτιθεῖς τὴν κίδαριν. καὶ προσάγεις ὑπὸ θυσιαστηρίῳ τοῦ πνεύματος τὸν τῆς ὁλοκαυτώσεως, καὶ θύεις τὸν μόσχον τῆς τελειώσεως, καὶ τελειοῖς τὰς χεῖρας ὑπὸ πνεύματι. καὶ εἰσάγεις εἰς τὰ ἅγια τῶν ἁγίων ἐποπτεύοντα. καὶ ποιεῖς λειτουργὸν τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος, οὐκ ἄνθρωπος. εἰ δὲ καὶ ἄξιον ὑμῶν τι τῶν χριόντων, καὶ ὑπὲρ οὗ καὶ εἰς ὃν ἡ χρίσις, οἶδε τοῦτο ὁ πατὴρ τοῦ ἀληθινοῦ καὶ ὄντως χριστοῦ, ὃν ἔχρισεν ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους αὐτοῦ, χρίσας τὴν ἀνθρωπότητα τῇ θεότητι, ὥστε ποιῆσαι τὰ ἀμφότερα ἕν. καὶ αὐτὸς ὁ θεὸς καὶ κύριος ἡμῶν ἰησοῦς χριστός, δι᾽ οὗ τὴν καταλλαγὴν ἐλάβομεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸ εὐθετοῦν ἡμᾶς εἰς τὴν διακονίαν ταύτην, ἐν ᾗ καὶ ἑστήκαμεν καὶ καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ἐπίσκοπον νύσσης τοῦ μεγάλου βασιλείου ἀδελφὸν, ἐπιστάντα μετὰ τὴν χειροτονίαν, λόγος παρόντος βασιλείου

ΦΙΛΟΥ πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδὲν, οὐδέ τις σταθμὸς τῆς καλλονῆς αὐτοῦ. φίλος πιστὸς, σκέπη κραταιὰ, καὶ ὠχυρωμένον βασίλειον. φίλος πιστὸς, θησαυρὸς ἔμψυχος. φίλος πιστὸς, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. φίλος πιστὸς, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη, κατὰ καιρὸν, ἀνοιγόμενά τε καὶ μεταλαμβανόμενα. φίλος πιστὸς, λιμὴν ἀναψύξεως. ἂν δὲ καὶ συνέσει διαφέρῃ τηλικοῦτον, εἰ δὲ καὶ παιδείαν ἄκρος, καὶ παιδείαν παντοίαν, τήν τε ἡμετέραν λέγω, καὶ τὴν ποτὲ ἡμετέραν, ὅσῳ λαμπρότερον. εἰ δὲ καὶ υἱὸς φωτὸς ἢ ἄνθρωπος τοῦ θεοῦ, ἢ ἐγγίζων θεῷ, ἢ ἀνὴρ ἐπιθυμιῶν, ἢ τι τῶν τοιούτων ὀνομάζεσθαι ἄξιος, οἷς ἡ γραφὴ τιμᾷ τοὺς εὐθεῖς καὶ ὑψηλοὺς, καὶ τῆς ἄνω μερίδος, τοῦτο μὲν ἤδη δῶρον θεοῦ, καὶ φανερῶς ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν. εἰ δὲ καὶ παρὰ φίλου πρὸς ἡμᾶς ἥκων, καὶ τούτου τήν τε ἀρετὴν ὁμοτίμου, καὶ τὴν φιλίαν τὴν ἡμετέραν, ἔτι τερπνότερόν τε καὶ χαριέστερον, καὶ μύρου τοῦ κοσμοῦντος πώγωνα τε ἱερέως, καὶ ὤαν ἐνδύματος εὐωδέστερον. ἆρ᾽ οὖν ἱκανὰ ταῦτα, καὶ μετρίως ὑμῖν τὸν ἄνδρα ὁ λόγος ἔγραψεν; ἢ δεῖ καθάπερ τοὺς ἐπιμελεῖς τῶν ζωγράφων πολλάκις ἐπιβάλλειν τὰ χρώματα, ἵνα πλειοτέραν ὑμῖν τὴν τοῦ λόγου γραφὴν παραστήσωμεν, καὶ δὴ γράψομεν ὑμῖν τελεώτερον καὶ σαφέστερον. τίς νομοθετῶν ἐπιφανέστατος; μωυσῆς. τίς ἱερέων ἁγιώτατος; ἀαρών. οὐχ ἧττον ἀδελφοὶ τὴν εὐσέβειαν, ἢ τὰ σώματα. μᾶλλον δὲ ὁ μὲν θεὸς φαραὼ, καὶ τοῦ ἰσραὴλ προστάτης καὶ νομοθέτης, καὶ τῆς νεφέλης εἴσω χωρῶν, καὶ θείων μυστηρίων ἐπόπτης τε καὶ μυσταγωγὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς τεχνίτης, ἣν ἔπηξεν ὁ κύριος, καὶ οὐκ ἄνθρωπος. ἱερεῖς δὲ ὁμοίως ἀμφότεροι. μωυσῆς γάρ φησι καὶ ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ· ὁ μὲν ἄρχων ἀρχόντων, καὶ ἱερεὺς ἱερέων, χρώμενος μὲν ὥσπερ γλώσσῃ ὑπὸ ἀαρὼν, αὐτὸς δὲ τὰ πρὸς θεὸν ἐκείνῳ γινόμενος. ὁ δὲ μετ᾽ ἐκεῖνον μὲν εὐθὺς, πολὺ δὲ πρὸ τῶν ἄλλων ἀξίᾳ τε καὶ τῇ πρὸς θεὸν ἐγγύτητι. ἀμφότεροι βασανίζοντες αἴγυπτον, θάλασσαν τέμνοντες, τὸν ἰσραὴλ διεξάγοντες, τοὺς ἐχθροὺς βαπτίζοντες, ἄρτον ἄνωθεν ἕλκοντες, ὕδωρ ἄπιστον ἐν ἐρήμῳ τὸ μὲν ἐκδιδόντες, τὸ δὲ γλυκαίνοντες. ἀμφότεροι καταπολεμοῦντες τὸν ἀμαλὴκ ἐκτάσει χειρῶν ἁγίᾳ, καὶ τύπῳ μυστηρίου μείζονος. ἀμφότεροι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας καὶ ὁδηγοῦντες, καὶ σπεύδοντες. μή τι γνωριμώτερον τῆς εἰκόνος; οὐ σαφῶς ὑμῖν τὸν ὁμώνυμον ἐμοὶ καὶ ὁμόψυχον ὁ ζωγράφος λόγος ἀπετυπώσατο; τούτων ὁ μὲν ἔχρισεν ἡμᾶς, καὶ κρυπτομένους εἰς μέσον ἤγαγεν, οὐκ οἶδ᾽ ὅτι παθὼν, ἢ πῶς κινηθεὶς, ἀναξίως τοῦ ἐν αὐτῷ πνεύματος. καὶ γὰρ εἰ τραχύτερος ὁ λόγος, ὅμως εἰρήσεται. ταῦτα οἷς εἰ φιλίᾳ καὶ πάσχουσι, συνακούσουσι. ὁ δὲ παρακαλέσων

ἥκει, καὶ συμβιβάζων τῷ πνεύματι. μέγα μὲν ὅτι καὶ νῦν ἐλήλυθας. πῶς δ' οὐ μέγιστον; ὅς γε παντὸς ὑμᾶς τοῦ βίου προσηνισάμην, μέμφομαι δὲ, ὅτι τῆς χρείας ὕστερον. πῶς μὲν τὴν ἤπειγε καταδρομὴν ἡ συμμαχία, ὦ φίλων ἄριστε καὶ συμμάχων, ποῦ δὲ τὴν ζάλην ὁ κυβερνήτης; καὶ μετὰ τὴν ὕλην τὸ φάρμακον; πότερον, ὡς φιλάδελφος ἠχθέσθης τὴν τυραννίδα, ἢ καὶ αὐτὸς ὡς δυνάστης ἐδυσχέρανας τὴν ἀπείθειαν; πότερον τὴν ἀδελφῶν ἐγκαλεῖς, καὶ πότερον ἀφίεις τῆς μέμψεως; φθέγξομαι πρός σε τὸ τοῦ Ἰὼβ ῥῆμα τοῖς, καὶ αὐτὸς ἀλγῶν πρὸς φίλους, εἰ καὶ μὴ τοιούτους, μηδ' ἐφ' ὁμοίοις τοῖς πάθεσι. πότερον πρόσκεισαι, ἢ τίνι μέλλεις βοηθεῖν; ἆρ' οὐχ ᾧ πολλὴ ἰσχύς; οὐχ ᾧ πολλὴ σοφία καὶ ἐπιστήμη; τοῦτο γὰρ ὁρῶ πολλοὺς τὴν νῦν κρίσιν πάσχοντας, οἳ ῥᾷον ἂν τοῖς ὑψηλοῖς τὰ μέγιστα συγχωρήσειαν, ἢ τοῖς ταπεινοῖς τὰ ἐλάχιστα. τοῦτο μὲν οὖν, αὐτὸς ἂν εἰδείης, οὐ γὰρ ἐμοί τι θέμις περὶ σοῦ τὴν οὐ καλῶν ἀποφαίνεσθαι, ὅς σε καλοῦ παντὸς ὅρον καὶ κανόνα τίθεμαι. καὶ ἅμα μὴ ταχὺς εἶεν εἰς κρίσιν, ὑπὸ τῆς γραφῆς νενουθέτημαι. ἐγὼ δὲ τὸν λόγον ὑπέχειν ἕτοιμος καὶ σοί, καὶ παντὶ τῷ βουλομένῳ διὰ φιλίαν, τῆς ἐμῆς εἴ τι ἀπειθείας, ὡς ἂν τινὲς ὀνομάζοιεν· εἴ τι προμηθείας, ὡς ἐμαυτὸν πείθω· καὶ ἀσφαλείας, ὡς ἂν εἰδείης μὴ πάντη ἀτόπῳ φίλῳ χρώμενος καὶ ἀμαθεῖ. ἀλλ' ἔστιν ἃ καὶ συνορᾶν δυναμένῳ τὸ λῷον ἄμεινον, καὶ θαρροῦντι μὲν ἃ θαρρεῖν ἄξιον, φοβουμένῳ δὲ οὗ δεῖ φόβος, καὶ ἃ μὴ φοβεῖσθαι, τοῖς νοῦν ἔχουσι φοβερώτερον. τί οὖν δοκεῖ; καὶ τί βέλτιον; νῦν ὑπόσχωμεν τὰς εὐθύνας ὑμῖν, τοῦτο κελεύει τι, καὶ οὐκ ἀποδοκιμάζει τι τὸν καιρόν; ὁ δὲ δεῖ πανήγυρις, οὐχ ὡς δικαστήριον. ἢ τοῦτο μὲν εἰς ἄλλον καιρὸν καὶ σύλλογον ἀποθώμεθα, καὶ γὰρ δεῖ μακρότερος ἢ κατὰ τὸν παρόντα καιρὸν ὁ λόγος. ἡμᾶς δέ τι φθεγξόμεθα πρὸς ὑμᾶς τῆς πανηγύρεως ἄξιον, ἵνα μὴ νήστεις ὑμᾶς ἀπολύσωμεν αὐτοί, καὶ ταῦτα ὄντες οἱ ἑστιάτορες. ἁγνίσωμεν ἡμᾶς αὐτοὺς ἀδελφοὶ τοῖς μάρτυσι. μᾶλλον δὲ ᾧ κἀκεῖνοι, δι' αἵματος καὶ τῆς ἀληθείας ἡγνίσθησαν. ἐλευθερωθῶμεν παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, νιψώμεθα, καθαροὶ γενώμεθα, παραστήσωμεν καὶ αὐτοὶ τὰ σώματα ἡμῶν καὶ τὰς ψυχάς, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ταύτην ἡμῶν καὶ ἔντευξιν. οὐδὲν γὰρ οὕτω τῷ καθαρῷ τίμιον, ὡς καθαρότης, ἢ κάθαρσις. ἀθλήσωμεν, διὰ τοὺς ἀθλητὰς νικήσωμεν, διὰ τοὺς νικητὰς μαρτυρήσωμεν τῇ ἀληθείᾳ, διὰ τοὺς μάρτυρας. τοῦτο τοῖς ἄθλοις αὐτῶν χαρισώμεθα. τοῦ καὶ αὐτοὶ στεφανῖται γενέσθαι, καὶ τῆς αὐτῆς κληρονόμοι δόξης, τῆς τι παρ' ὑμῶν ὑποσχέσεις αὐτοῖς καὶ τῆς ἐν οὐρανοῖς ἀποκειμένης, ἧς ὑπομνήματα καὶ χαρακτῆρες μικροὶ ταῦτα τὰ δρώμενα. πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας ἀγωνισώμεθα, πρὸς τοὺς ἀφανεῖς διώκτας καὶ τυράννους. πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, καὶ περὶ τὰ οὐράνια. πρὸς τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς τὸν ἐν τοῖς πάθεσι πόλεμον. πρὸς τὰς καθ' ἑκάστην ἡμέραν τῶν ἔξωθεν συμπιπτόντων ἐπαναστάσεις. συγκόψωμεν θυμούς, ὡς θηρίον, καὶ γλῶσσαν, ὡς τομὸν ξίφος, καὶ ἡδονήν, ὡς πῦρ καταβέσωμεν. θώμεθα ταῖς ἀκοαῖς θύρας καλῶς ἀνοιγομένας καὶ κλειομένας, καὶ τὸν ὀφθαλμὸν σωφρονίσωμεν. παιδαγωγήσωμεν ἁφὴν λυσσῶσαν, καὶ γεῦσιν ἀσπαράττουσαν, μὴ θάνατος ἀναβῇ διὰ τῶν θυρίδων ἡμῶν· οὕτω γὰρ ἡγοῦμαι καλεῖσθαι τὰ αἰσθητήρια, καὶ γέλωτος ἀμετρίας καταγελάσωμεν. μὴ κάμψωμεν γόνυ τῇ Βάαλ διὰ τὴν χρείαν· μηδὲ διὰ φόβον, τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσωμεν. ἓν φοβηθῶμεν μόνον, τὸ φοβηθῆναί τι θεοῦ πλέον, καὶ καταδυθεῖσαι τὴν εἰκόνα διὰ κακίας ἐν πᾶσι, τὸν θυρεὸν τῆς πίστεως ἀναλάβωμεν, καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ διαφύγωμεν. καὶ οὗτος δεινὸς ὁ πόλεμος, καὶ αὕτη παράταξις μεγάλη, καὶ τοῦτο μέγα τρόπαιον. εἰ οὕτως συνεληλύθαμεν, ἢ συντρέχομεν, ὄντως κατὰ Χριστὸν ἡ πανήγυρις, ὄντως τοὺς μάρτυρας τετιμήκαμεν, ἢ τιμήσωμεν, ὄντως χορεύομεν ἐπινίκια. εἰ δὲ γαστρὸς ἡδοναῖς χαριζόμενοι, καὶ τρυφῶντες πρόσκαιρα, καὶ εἰσποιοῦντες τὰ καινότερα, καὶ κραιπάλης χωρία ταῦτα, οὐ σωφροσύνης ὑπολαμβάνοντες, καὶ πραγματειῶν καιροὺς καὶ πραγμάτων, ἀλλ' οὐκ ἀναβάσεως ἢ βελτιώσεως, ἵν' οὕτως εἴπω, τολμῶσι, ἧς οἱ μάρτυρες μεταδιδοῦσι, πρῶτον μὲν, οὐδὲ τὸν καιρὸν ἐπιγινώσκω. τί γὰρ τὰ ἄχυρα πρὸς τὸν σῖτον; τί δὲ θρύψις σαρκὸς πρὸς μαρτύρων παλαίσματα; ἐκεῖνα τῶν θεάτρων, ταῦτα τῶν ἡμετέρων συλλόγων· ἐκεῖνα τῶν ἀκολάστων, ταῦτα τῶν σωφρονούντων· ἐκεῖνα τῶν φιλοσάρκων, ταῦτα τῶν λυομένων ἀπὸ τοῦ σώματος. ἔπειτα, βούλομαι μὲν εἰπεῖν τι καὶ τολμηρότερον, φείδομαι δὲ τῆς βλασφημίας αἰδοῖ τῆς ἡμέρας, πλὴν οὐ ταῦτα ἀπαιτοῦσι παρ' ἡμῶν οἱ μάρτυρες. οὕτω γὰρ εἰπεῖν μετριώτερον. μὴ τοίνυν ἀνάγνως τελῶμεν ἀδελφοὶ τὰ ἅγια, μηδὲ τὰ ὑψηλὰ ταπεινῶς, μηδ' ἀτίμως τὰ τίμια, μὴ συνελόντα εἰπεῖν, σωματικῶς τὰ τοῦ πνεύματος. πανηγυρίζει καὶ Ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα. ἑορτάζει καὶ Ἕλλην, ἀλλ' ὡς ἀρέσκει τοῖς δαίμοσιν. ἡμῖν δέ, ὡς πάντα πνευματικά, πρᾶξις, κίνημα, βούλημα, λόγος, ἄχρι καὶ βαδίσματος, καὶ ἐνδύματος, ἄχρι καὶ νεύματος, εἰς πάντα τοῦ λόγου φθάνοντος, καὶ ἐνθεμάζοντες τὸν κατὰ

θεὸν

θεὸν ἀνθρώπων, οὔπω καὶ τὸ πανηγυρίζειν, καὶ τὸ φαιδρύνεσθαι. οὐ γὰρ κωλύω τὴν αἴνεσιν, ἀλλὰ κολάζω τὴν ἀμετρίαν. ἂν οὕτω σωθῶμεν, καὶ οὕτω πανηγυρίζωμεν, μέγα μὲν τοῦτο· καὶ αὐτοὶ τευξόμεθα τῶν αὐτῶν ἄθλων, εἰπεῖν, καὶ τῆς αὐτῆς δόξης κληρονομήσωμεν. ἃ γὰρ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἀνθρώπινός ποτε νοῦς ἀνετυπώσατο, κατ' ἐξουσίαν πλείστων μακαριότητα, ταῦτα νομίζωμεν ἀποκεῖσθαι τοῖς καθηραμένοις δι' αἵματος, καὶ τὴν Χριστοῦ θυσίαν μιμησαμένοις. ἀλλὰ τήν γε λαμπρότητα τῶν ἁγίων μαρτύρων ὀψόμεθα. οὐδὲ γὰρ τοῦτο μικρὸν, ὡς ὁ ἐμὸς λόγος, καὶ εἰς τὴν χαρὰν τοῦ αὐτοῦ κυρίου εἰσελευσόμεθα, καὶ τῷ φωτὶ τῆς μακαρίας καὶ ἁγίας τριάδος, ἧς οὐδὲ νῦν ἐλλαμφθησόμεθα τρανότερόν τι καὶ καθαρώτερον, εἰς ἣν πεπιστεύκαμεν, καὶ ἣν λατρεύομεν, καὶ ἣν ὁμολογοῦμεν ἔμπροσθεν θεοῦ καὶ ἀνθρώπων· μηδὲν δεδοικότες, μηδὲν αἰσχυνόμενοι, μὴ τοὺς ἔξωθεν ἐχθροὺς, μὴ τοὺς ἐν ἡμῖν αὐτοῖς ψευδοχρίστους, καὶ πολεμίους τοῦ πνεύματος. καὶ ὁμολογοίημεν μέχρι τῆς ἐσχάτης ἀναπνοῆς ἐν πολλῇ παρρησίᾳ, τὴν καλὴν παρακαταθήκην τῶν ἁγίων πατέρων τῶν ἐγγυτέρω Χριστοῦ, καὶ τῆς πρώτης πίστεως, τὴν σύντροφον ἡμῖν ἐκ παίδων ὁμολογίαν, ἣν πρῶτον ἐφθεγξάμεθα, καὶ ἣν τελευταῖον συναπέλθοιμεν· τοῦτο εἰ μή τι ἄλλο ἐντεῦθεν ἀποφερόμενοι, τὴν εὐσέβειαν. ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ καταλλάξας ἡμᾶς ἑαυτῷ διὰ τοῦ σταυροῦ διὰ τῆς ἁμαρτίας πολεμωθέντας, ὁ εὐαγγελισάμενος εἰρήνην τοῖς ἐγγὺς, καὶ τοῖς μακρὰν, τοῖς τε ὑπὸ νόμον, καὶ τοῖς ἔξω νόμου, ὁ τῆς ἀγάπης πατὴρ, ἡ ἀγάπη, ταῦτα γὰρ πρὸ τῶν ἄλλων χαίρει καλούμενος, ἵνα νομοθετήσῃ καὶ τοῖς ὀνόμασι τὸ φιλάδελφον, ὁ τὴν καινὴν ἐντολὴν δοὺς ἐν τῷ τοῦτον ἀγαπᾶν ἀλλήλους, ὅσον καὶ ἠγαπήμεθα, ὁ διδοὺς καὶ τυραννεῖν καλῶς, καὶ τυραννεῖσθαι διὰ τὸν φόβον, καὶ ἀναδύεσθαι σὺν λόγῳ, καὶ θαῤῥεῖν πάλιν διὰ τὸν λόγον, ὁ καὶ τὰ μεγάλα ποίμνια καταρτίζων, καὶ τὰ μικρὰ μεγαλύνων διὰ τῆς χάριτος, αὐτὸς κατὰ τὸ πλῆθος τῆς ἑαυτοῦ χρηστότητος, ἡμᾶς μὲν παρακαλέσαι παρακλήσει πολλῇ, καὶ εἰς τὰ ἔμπροσθεν ἄγοι, συμποιμαίνων, καὶ διασώζων τὸ ποίμνιον. ὑμᾶς δὲ καταρτίσειεν εἰς πᾶν ἔργον ἀγαθὸν, καὶ πνευματικῶς πανηγυρίζειν τοῖς μάρτυσι πείσειε, καὶ τῆς ἐκεῖθεν τρυφῆς καταξιώσειεν, οὗ πάντων εὐφραινομένων ἡ κατοικία. τοὺς ὀφθέντας ἐν δικαιοσύνῃ, τῆς ἑαυτοῦ δόξης κορέσειεν, ἐκφανείσης ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἡ τιμὴ καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΠΑΤΕΡΑ ΓΡΗΓΟΡΙΟΝ συμπαρόντος αὐτῷ βασιλείου, ἡνίκα ἐπίσκοπος ἐχειροτονήθη σασίμων.

Πάλιν ἐπ' ἐμὲ χρίσμα καὶ πνεῦμα, καὶ πάλιν ἐγὼ πενθῶν καὶ σκυθρωπάζων πορεύομαι, θαυμάζετε ἴσως, καὶ Ἠσαΐαν· πρὶν μὲν ἰδεῖν τὴν δόξαν κυρίου, καὶ τὸν θρόνον τὸν ὑψηλόν τε καὶ ἐπηρμένον, καὶ τὰ περὶ αὐτὸν σεραφίμ, οὐδὲν τοιοῦτον φθέγγεται, οὔτε ἀποδυσπετεῖ, οὔτε δέδοικεν. ἀλλὰ τοῦ μὲν Ἰσραὴλ καταβοᾷ, ἑαυτοῦ δὲ φείδεται καὶ ἀπέχεται, ὡς οὐδὲν ὑπαιτίου. ἐπειδὲ ταῦτ' εἶδε καὶ τῆς φωνῆς ἤκουσε τῆς ἁγίας καὶ μυστικῆς, ὥσπερ τι μᾶλλον ἑαυτοῦ συναισθόμενος· ὦ τάλας, φησὶ, ἐγὼ ὅτι κατανένυγμαι, καὶ ὅσα ἑξῆς τοῦ λόγου, ἵνα φύγω τὴν βλασφημίαν. εὑρίσκω δὲ καὶ Μανωὲ τὸν παλαιὸν ἐκεῖνον ἐν τοῖς κριταῖς, καὶ Πέτρον ὕστερον, τὸ τῆς ἐκκλησίας ἔρεισμα, τὸν μὲν ἀπολλύμεθα ὦ γύναι λέγοντα, θεὸν ἑωράκαμεν· ἐπειδὴ κρείττονος ὄψεως ἦπερ ἦν κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ δύναμις, τὸν δὲ οὐκ ἐνεγκόντα τὴν τοῦ σωτῆρος ἐπιφάνειάν τι καὶ ἐνέργειαν, ἣν ἐν τῇ ἁλιείᾳ τοῖς συμπλέουσιν ἐπεδείξατο, καὶ διὰ τοῦτο θαυμάζοντα μὲν, ἀποπέμποντα δὲ τοῦ πλοίου, καὶ τὴν αἰτίαν προστιθέντα. ὅτι μὴ εἴη ἄξιος θείας ἐπιφανείας καὶ ὁμιλίας. καὶ τοῦ ἑκατοντάρχου δὲ ὅταν ἀκούω ἐν τοῖς εὐαγγελίοις, τὴν μὲν δύναμιν ἀπαιτοῦντος, τὴν δὲ παρουσίαν παραιτουμένου, ὡς οὐ χωρούσης αὐτοῦ τῆς στέγης, θεῖον ἀξίωμά τι καὶ μέγεθος· οὐκ ἔχω μέμφεσθαι τῆς δειλίας ἐμαυτὸν ταύτης, καὶ τῆς σκυθρωπότητος. ὀφθαλμοῦ μὲν γὰρ ἀτονίαν ἥλιος, ψυχῆς δὲ ἀῤῥωστίαν ἐλέγχει θεὸς ἐπιδημῶν· καὶ τοῖς μὲν ἐστὶ φῶς, τοῖς δὲ πῦρ, ἑκάστῳ κατὰ τὴν ὑποκειμένην ὕλην τε καὶ ποιότητα. τί ὑπολαμβανόμεθα περὶ τὸν Σαοὺλ· ἐχρίσθη μὲν γὰρ καὶ μετέσχε τοῦ πνεύματος, καὶ ἦν τότε πνευματικός. οὐδ' ἂν ἐγὼ περὶ αὐτοῦ φαίην ἑτέρως. ἀλλὰ καὶ προεφήτευσε, καὶ οὕτω παρ' ἐλπίδα, καὶ τὸ εἰκός. ὥστε καὶ παροιμίαν γενέσθαι τὸ θαῦμα ἐκεῖνο, εἰ καὶ Σαοὺλ ἐν προφήταις ἔτι καὶ νῦν λεγόμενόν τι καὶ ἀκουόμενον. ἐπεὶ δὲ οὐχ ὅλον ἑαυτὸν ἐμπαρέσχε τῷ πνεύματι, οὐδὲ ἐγράφη καθαρῶς εἰς ἄνδρα ἄλλον ὡς κεχρημάτιστο. ἀλλ' ἐνέμεινέ τι τοῦ παλαιοῦ τῆς κακίας σπινθῆρος, καὶ τοῦ πονηροῦ σπέρματος, καὶ ἦν ἐν αὐτῷ μάχη πνεύματος καὶ σαρκός.

ἀνέχεται

ἦ που καὶ ταῦτα ἐκ τραγῳδιῶν τὰ ἐκείνου; ἴστε δ' ἐναντίον τὸ πνεῦμα, καὶ τὸν ψάλτην ὃν κατέπαυ-
δε τότε πάλιν ἐκεῖνο καὶ τοῦτο γνώριμον, ὅτι καὶ μὴ τὴν ἀναξίαν ἡ χάρις ἀπῄτει, μηδὲ τὸ σο-
φοῦ καὶ ἀναρμόστου παντελῶς τοῦ ὀργάνου. εἰς γὰρ κακότεχνον ψυχὴν μὴ εἰσελεύσεσθαι σο-
φίαν, εἴρηται καλῶς, καὶ γὰρ πείθομαι. ἀλλὰ φυλάξαι γε τὴν ἀξίαν, καὶ τὴν ἁρμονίαν, ὡς
ὁ ἐμὸς λόγος, ἔργον οὐκ ἔλαττον, ἢ ἀπὸ τῆς ἁρμοσθῆναι καλῶς καὶ ἀξιωθῆναι, δεῖ δ' ἴσω
πλεῖον καὶ δυνάμεως τῆς ἀνθρωπίνης ἕξεώς τε καὶ φύσεως. ὥς γε καὶ ἡ χάρις αὐτὴ πολλάκις. ἵν'
εἴπω τῶν ἡμετέρων κακῶν, τὸ σχετλιώτατόν τε καὶ παραδοξότατον, τῦφον ἐμποιήσασα καὶ
μετεωρίσασα, κατήνεγκεν ἀπὸ Θεοῦ τὸν οὐ καλῶς προσεγγίζοντα, καὶ κατεβλήθημεν
ἐν οἷς ἐπήρθημεν, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατερ-
γαζομένη θάνατον. ταῦτά ἐστιν ἃ ἐγὼ δεδοικώς, πικρίας ἐνεπλήσθην, καὶ κατηφείας, καὶ τὸ
τοιοῦτον ἔπαθον, ὅτι πρὸς τὰς ἀστραπὰς οἱ παῖδες, ἡδονὴν ἐκπλήξει μιγνύντες ἐκ τοῦ θεά-
ματος, ἠγάπησά τε ὁμοῦ τὸ πνεῦμα, καὶ ἐφοβήθην, καὶ χρόνου τινὸς ἐδεήθην, εἰς ἐμαυτὸν συ-
στραφείς, ἐκνῆψαι καὶ γενέσθαι τῆς ἀσφαλεστέρας μοίρας καὶ κρείττονος, ἵνα τοῦ λυποῦν-
τος ὑπεξελθόντος, ὥσπερ ζιζανίων ἐν σπέρμασι, καὶ τὴν φαύλων λογισμῶν ἐξαίρων ταῖς
τοῖς ἀμείνοσι, νικήσῃ καθαρῶς τὸ πνεῦμα, καί με λαβὸν ἔχῃ πρὸς τὴν ἑαυτοῦ διακονίαν καὶ
λειτουργίαν, πρὸς οὖν καταρτισμὸν τοῦ λαοῦ τούτου, πρὸς ψυχῶν κυβέρνησιν, πρὸς διδασκα-
λίαν τὴν ἐν λόγῳ, καὶ τῇ ἐν ἔργῳ καὶ ὑποδείγματι, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν
δεξιῶν καὶ ἀριστερῶν, πρὸς ποιμαντικὴν εὐθετον, ἀρμόζουσιν κόσμου, διὰ προσάγουσιν· δι-
παιδεύουσι σῶμα, πνεύματι προστιθέασι· σκότος φεύγουσι, φωτὶ χαίρουσι· θῆρας ἐλαύ-
νουσι, μάνδραν συνάγουσι· κρημνοὺς φυλασσομένην καὶ ἐρημίαν, ὄρεσι καὶ ὕψεσι προ-
σαλεύουσι. περὶ ὧν μοι δοκεῖ καὶ ὁ θαυμασιώτατος Μιχαίας λέγειν, χαμόθεν ἡμᾶς ἀ-
νέλκων ἐπὶ τὰ ἡμέτερα ὕψη, ἐγγίσατε ὄρεσιν αἰωνίοις ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕ-
τη ἀνάπαυσις, καὶ δοκεῖ ἴσως εἶναι τὰ χαμαιπετῆ καὶ κάτω στρεφόμενα. ταύτην με διδά-
ξατε τὴν ποιμαντικὴν ὦ φίλοι λοιπόν, ἐμοὶ ποιμένες καὶ συμποιμένες. ταύτης δότε μοι
τὰ συνθήματα. σύ τε ὁ κοινὸς πατήρ, καὶ πολλοὺς τῷ χρόνῳ καταρτίσας καὶ τὰ ἀμείψας
ποιμνίας, σύ τε ὁ τῆς ἐμῆς φιλοσοφίας βασανιστὴς καὶ κριτής. ἀλλ' ὅπως μοι φιλοσόφως
δέξῃ τὸν λόγον, εἰ δυνάμεθα καὶ ἐν μέσῃ ζάλῃ στρεφόμενοι καὶ περιηχούμενοι ποιμαίνειν
ἐπιστημόνως, καὶ ἐκτρέφειν τὸ ποίμνιον, ὁ φιλανθρωπότερος ἐν προβάτοις, εἰ μή μοι δυσχε-
ραίνεις, ὅσῳ καὶ τῆς ἀλόγου νομῆς μετέχομεν, ἢ ἐν ποιμέσιν, ὅσῳ καὶ τῆς πνευματικῆς ἠξιώθημεν.
ἔχεις μὲν ὅπερ ἐπόθεις ὑπὸ χεῖρας ἡμᾶς, καὶ νενίκηκας τὸν ἀήττητον. καὶ ἰδού σοι μετὰ καὶ
τῶν ἄλλων ὁ λόγος, ὃν εὐθὺς ἐπεζήτεις, καὶ ὃν ἐπαινῶν, ἔβαλλες ἀρχαίαις τε βολαῖς τῶν σῶν
λόγων καὶ πυκναῖς ταῖς νιφάσιν. ἀλλ' ἔχω τι τῇ φιλίᾳ καὶ μέμψασθαι, τίς δικάσει μοι τὴν
κοινῶν φίλων, ἢ τίς ἀδέκαστος ἔσται κριτής, ἵνα τὴν δικαίαν ἐνέγκῃ ψῆφον, ἀλλὰ μὴ τὸ
τῶν πολλῶν πάθῃ καὶ λάβῃ ἐν κρίσει πρόσωπον, εἴπω κελεύεις τὴν μέμψιν; καὶ οὐκ ἐπα-
φήσεις μοι πάλιν τὸν λόγον, ἐγένετό τι καὶ πρὸς ἡμᾶς ἀπόρρητον, ὦ θαυμάσιε, πρᾶγμα,
ὄντως ἀπόρρητόν τε καὶ ἄπιστον, καὶ οὔπω πρότερον περὶ ἡμῶν ἀκουσθέν. οὐκ ἐπείσθημεν,
ἀλλ' ἐβιάσθημεν. ὢ τοῦ θαύματος, ὡς γέγονε ταῦτα καινά. καὶ ὅσον διέστηκεν ἡμᾶς. τί βού-
λει καὶ εἴπω, τὸν θρόνον, ἢ τὸ τῆς χάριτος μέγεθος, πλὴν ἐγὼ καὶ κατηγορῶ, ὦ Βασίλειε,
καὶ ποιμαίνειν ἡμᾶς ποιμαίνοντας, ὡς ἕτοιμοί γε ἡμεῖς ἕπεσθαι, καὶ ὑπὸ τῆς σῆς ποιμαντι-
κῆς ἄγεσθαι τῆς ὑψηλῆς καὶ ἐνθέου. εἰρήσεται γὰρ τἀληθές, ἔτι καὶ παρὰ τὸν νόμον ἐξ ἀγάπης
κατετολμήσαμεν. δίδαξον τὴν σὴν ἀγάπην περὶ τὰ ποίμνια, τὸ σὸν ἐπιμελές τε ὁμοῦ καὶ
εὐσύνετον, τὴν ἐπιστασίαν, τὰς ἀγρυπνίας, τὴν τῶν σαρκῶν ὑποχώρησιν, ἣν τῷ πνεύ-
ματι ὑπεχώρησεν, ὃ τοῦ σοῦ χρώματος αἶθος τῇ ποίμνῃ κάμνοντος, τὸ ἐν πραότητι σύν-
τονον, τὸ ἐν τῷ πρακτικῷ γαλήνιόν τε καὶ ἥμερον, πρᾶγμα, οὐκ ἐν πολλοῖς εὑρισκόμενον, ἀλ-
λὰ πολλὰ ἔχον τὰ παραδείγματα, τοὺς ὑπὲρ τῆς ποίμνης πολέμους, τὰς νίκας, ἃς ἐν Χριστῷ σὺ
νενίκηκας. ἐπὶ τίσι τῶν νομῶν προσεκτέον, καὶ ἐπὶ ποίας πηγὰς ἰτέον, καὶ τίνας φευκτέον
ἢ νομάς, ἢ νάματα. τίνας ποιμαντέον τῇ βακτηρίᾳ, τίνας τῇ σύριγγι, πότε ἀκτέον ἐπὶ νομάς,
καὶ πότε ἀνακλητέον ἀπὸ νομῶν, πῶς πολεμητέον τοῖς λύκοις, καὶ πῶς τοῖς ποιμέσιν οὐ πο-
λεμητέον. καὶ μάλιστα ἐν τῷ νῦν καιρῷ, ὅτε ποιμένες ἀφρονεύουσι, καὶ διεσκόρπισαν τὰ πρό-
βατα τῆς νομῆς, ἵνα τοῖς ἁγιωτάτοις προφήταις τὰ αὐτὰ συνοδύρωμαι. πῶς δ' ἀσθενοῦν
ἐνισχύσω, καὶ τὸ πεπτωκὸς ἀναστήσω, καὶ τὸ πλανώμενον ἐπιστρέψω, καὶ τὸ ἀπολωλὸς ἐκζη-
τήσω, καὶ φυλάξω τὸ ἰσχυρόν; πῶς ταῦτα καὶ μάθω, καὶ φυλάξω κατὰ τὸ ὀρθὸν τῆς ποιμαντικῆς
λόγοις, καὶ τοῖς ὑμετέροις. ἀλλὰ μὴ γένωμαι κακὸς ποιμήν, τὸ γάλα κατεσθίων, καὶ τὰ ἔρια
περιβαλλόμενος, καὶ τὰ παχύτερα κατασφάττων ἢ ἀπεμπολῶν, καὶ τὰ ἄλλα παρεὶς τοῖς θη-
ρίοις καὶ τοῖς κρημνοῖς, ποιμαίνων ἐμαυτόν, οὐ τὰ πρόβατα, ὅπερ ὠνείδιζον οἱ πάλαι προ-

ςῶτες

ἐκ τῶν τοῦ ἰσραήλ. ταῦτα διδάσκοιτέ με, καὶ τούτοις στηρίζοιτε τοῖς λόγοις, καὶ μετὰ τούτων ποιμαίνοιτε καὶ συμποιμαίνοιτε τὴν ἐπαγγελίαν, καὶ σώζοιτε ὥσπερ τῇ διδασκαλίᾳ, οὕτω καὶ ταῖς εὐχαῖς ἐμέ τε, καὶ τὸ ἱερὸν τοῦτο ποίμνιον, εἰς ἀσφάλειαν ἐμοί, εἰς καύχημα ὑμῖν ἐν ἡμέρᾳ ἐπιφανείας καὶ ἀποκαλύψεως τοῦ μεγάλου θεοῦ καὶ ἀρχιποίμενος ἡμῶν ἰησοῦ χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ ἡ δόξα πατρὶ παντοκράτορι σὺν τῷ ἁγίῳ πνεύματι, καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΑΤΕΡΑ ΕΑΥΤΟΥ, ΗΝΙΚ' ΕΠΕΤΡΕΨΕΝ αὐτῷ φροντίζειν τῆς ναζιανζοῦ ἐκκλησίας.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, καὶ δίδωμι τὰ ἐμαυτοῦ πάντα, καὶ ἐμαυτὸν τῷ πνεύματι, καὶ πρᾶξιν καὶ λόγον, καὶ ἀπραξίαν, καὶ σιωπήν. μόνον ἐχέτω με καὶ ἀγέτω, καὶ χεῖρα, καὶ νοῦν, καὶ γλῶσσαν, ἐφ' ἃ δεῖ τε καὶ ἃ βούλεται. καὶ ἀπαγέτω, πάλιν ἀφ' ὧν δεῖ, καὶ ὧν ἄμεινον. ὄργανόν εἰμι θεῖον, ὄργανον λογικὸν, ὄργανον καλῷ τεχνίτῃ τῷ πνεύματι ἁρμοζόμενον καὶ κρουόμενον. χθὲς ἐνήργει τὴν σιωπήν· τὸ μὴ λέγειν ἐφιλοσόφουν. σήμερον κρούει τὸν νοῦν, ἠχήσω τὸν λόγον, καὶ φιλοσοφήσω τὸ φθέγγεσθαι, καὶ οὔτε λάλος οὕτως εἰμί, ὡς λέγειν ἐπιθυμεῖν, τὸ σιωπᾶν ἐνεργούμενος, οὔτε σιωπηλὸς οὕτω καὶ ἀμαθὴς, ὡς ἐν καιρῷ λόγου περιθεῖναι φυλακὴν τοῖς χείλεσιν. ἀλλὰ καὶ κλείω καὶ ἀνοίγω τὴν ἐμὴν θύραν τῷ νῷ καὶ λόγῳ καὶ πνεύματι, τῇ μιᾷ συμφυΐᾳ τε καὶ θεότητι. φθέγξομαι μὲν οὖν, ἐπειδὴ τοῦτο κελεύομαι. φθέγξομαι δὲ, πρός τε τὸν ἀγαθὸν τοῦτον ποιμένα, καὶ τὴν ἱερὰν ποίμνην ὑμᾶς. ὥς μοι δοκεῖ βέλτιον εἶναι, ἐμέ τε εἰπεῖν, καὶ ὑμᾶς ἀκοῦσαι σήμερον. τί δὲ τοῦ συμποιμαίνοντος ἐπιτηδειότερον; ἀπὸ σοῦ γὰρ ὁ λόγος ἄρξεται, ὦ φίλη καὶ τιμία μοι κεφαλή, καὶ τῆς ἀαρὼν ἐκείνης ἀξία, καθ' ἧς στάζει τὸ πνευματικόν τε καὶ ἱερατικὸν ἐκεῖνο μύρον ἄχρι πώγωνος καὶ ἐνδύματος. τί πολλοὺς στηρίξειν ἔτι καὶ χειραγωγεῖν δυνάμενος, καὶ μέν τοι καὶ χειροτονῶν ἐν τῇ ἰσχύϊ τοῦ πνεύματος. βασιλείαν περιβάλλει τοῖς πνευματικοῖς ἔργοις, καὶ ἱεράσματι, ἢ τοῦτο εἰδὼς καὶ ἀκούων, ὅτι καὶ μετὰ ἀαρὼν ἐκεῖνον τὸν πάνυ ἐχρίσθησαν ἐλεάζαρ καὶ ἰθάμαρ οἱ υἱοὶ ἀαρών. τὸν γὰρ ναδὰβ καὶ ἀβιοὺδ, ἑκὼν ὑπερβήσομαι, δέει τῆς βλασφημίας, καὶ μωϋσῆς αὐτὸς ἑαυτοῦ τὸν ἰησοῦν ἀναδείκνυσιν ἔτι ζῶν αὐτὶ νομοθέτου καὶ στρατηγοῦ, τοῖς ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας ἐπειγομένοις. τὸ μὲν γὰρ τοῦ ἀαρὼν καὶ τοῦ ὢρ ὑποστηριζόντων τὰς χεῖρας μωϋσέως ἐπὶ τοῦ ὄρους, ἵν' ὁ ἀμαλὴκ καταπολεμηθῇ τῷ σταυρῷ, πόρρωθεν σκιαγραφουμένῳ, καὶ τυπουμένῳ, δοκῶ μοι παρήσειν ἑκών, ὡς οὐ σφόδρα οἰκεῖον ἡμῖν καὶ πρόσφορον. οὐ γὰρ συννομοθέτας ᾐτεῖτο τούτους μωϋσῆς, ἀλλ' εὐχῆς βοηθοὺς, καὶ καμάτου χειρῶν ἐρείσματα. εἰ δέ τι πάσχει, τί κάμνει, τὸ σῶμα; ὑποστηρίζειν ἕτοιμος, ἀλλὰ καὶ ὑπεστήριξα τῆς ἐστηρίχθην ὡς οἷα καὶ ἐκεῖνος, πνευματικαῖς εὐλογίαις, ἀλλὰ τὸ πνεῦμα; τίς ἰσχυρότερος ἢ θερμότερος, καὶ νῦν μάλιστα, ὅσῳ τὰ τῆς σαρκὸς ὑποβαίνει τε καὶ ὑπεξίσταται, ὥσπερ φωτὶ τὸ ἀντιφράττον καὶ ἀντικείμενον, καὶ κωλύων τὴν λαμπηδόνα. φιλεῖ γὰρ ὡς τὰ πολλὰ ἀντιπολεμεῖν ταῦτα ἀλλήλοις, καὶ ἀντικαθίστασθαι, καὶ σῶμα μὲν εὐεκτεῖν, καμνούσης ψυχῆς. ψυχὴ δὲ θάλλειν καὶ ἄνω βλέπειν, τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι. σοῦ δὲ καὶ ἄλλως ἐθαύμασα τὸ ἀρχαϊκόν τε καὶ γενναῖον, πῶς οὐκ ἔδεισας σφόδρα τὴν νῦν ὑπαρχόντων καιρῶν, μή σοι τὸ πνεῦμα πρόφασις νομισθῇ, τῆς σαρκικῶς ταῦτα λαμβάνειν δοκοῦσι μὲν τοῖς πολλοῖς, πνευματικῶς προσποιούμενοι, ἐπειδὴ μέγα τὸ πρᾶγμα καὶ τυραννικὸν καὶ θαυμάσιον οἷον ἔχειν ἀπόλαυσιν οἱ πολλοὶ νομίζεσθαι πεποιήκασι, καὶ ἔτι στενοτέρας ἢ ταύτην προστάτην καὶ ἐξηγῆται ποίμνης, ἢ πλέον φοβούσης τὴν ἰδέαν τὰ μοχθηρά. τοῦτο μὲν δὴ τῆς σῆς εἴτε ἁπλότητος, εἴτε φιλοτεκνίας ὑφ' ἧς οὔτε τὴν πονηρῶν, ὅτι αὐτὸς πρᾳότερος, οὔτε ποὺ τῶν ἄλλων ῥᾳδίως ὑπολαμβάνεις. βραδὺ γὰρ εἰς ὑπόνοιαν κακοῦ τὸ πρὸς κακίαν δυσκίνητον, ἐμοὶ δὲ καὶ δεύτερον πρὸς τὸν εἴτε σὸν, εἴτε καὶ ἐμὸν λαὸν τοῦτον βραχέα διαλεχθῆναι. τετυραννήμεθα ὦ φίλοι καὶ ἀδελφοί. ὑμᾶς γὰρ εἰ καὶ μὴ τότε, ἀλλὰ νῦν ἐπιβοησόμεθα. τετυραννήμεθα γήρᾳ πατρὸς, καὶ φίλου, ἵνα μετρίως εἴπω χρηστότητι. καί μοι βοηθεῖτε, ὅστις ἂν οἷός τε ᾖ. καὶ δότε χεῖρα πιεζομένῳ καὶ διελκομένῳ ὑπὸ πόθου καὶ πνεύματος. ὁ μὲν εἰσηγεῖται ὀρασμοὺς καὶ ὄρη τῆς ἐρημίας, τῆς ἡσυχίαν ψυχῆς, τῆς σώματος, καὶ τὸν νοῦν εἰς ἑαυτὸν ἀναχωρῆσαι, καὶ συστραφῆναι ἀπὸ τῶν αἰσθήσεων, ὥστε ὁμιλεῖν ἀκηλιδώτως θεῷ, καὶ ταῖς τοῦ πνεύματος αὐγαῖς καθαρῶς ἐναστράπτεσθαι, μηδενὸς ἐπιμιγνυμένου τῶν κάτω τῆς θολερῶν, μηδὲ τῷ θείῳ φωτὶ παρεμπίπτοντος, ἕως ἂν ἐπὶ τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, καὶ στῶμεν τοῦ πόθου τῆς ἐφέσεως, λυθείσων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ. τὸ δὲ εἰς μέσον ἄγει καὶ καρποφορεῖν τῷ κοινῷ βούλεται καὶ τοῦτο ὠφελεῖσθαι, τὸ ὠφελεῖν ἀλλήλους καὶ δημοσιεύειν τὴν ἔλλαμψιν, καὶ προσάγειν θεῷ λαὸν περιούσιον, ἔθνος ἅγιον, βασίλειον ἱεράτευ-

Margin notes (handwritten): ἢ ζωοποιῷ — ἢ κινεῖται — ά — ὅτι — πατρικαῖς — τῶν — καιρῶν — ὑς — Τὸν μέγαν Βασίλειον αἰνίττεται. — X 3. 15. 20.

ἐφέτευμα, ἐν πλείοσι τὴν εἰκόνα κατεσκευασμένην. κρεῖσσον γὰρ ἂν καὶ πλέον, ὥσπερ φυτοῦ τὸ ἔλαιον, καὶ ἀστέρος εἶδος, οὐρανὸν ὅλον, σὺν τοῖς ἑαυτοῦ κάλλεσι. καὶ μάλιστα οἶμαι, οὕτω καὶ θεῷ κατορθοῦσθαι τὸ εἶδος, ὅλην ἐκκλησίαν κατεσπαρμένην καὶ χρείαν. μὴ τὸ ἑαυτοῦ μόνον σκοπεῖν, ἀλλὰ καὶ τὸ τῶν ἄλλων. ἐπεὶ καὶ Χριστὸς οὕτως, ᾧ μόνον ἐξὸν ἦν ἐπὶ τῆς ἰδίας τιμῆς, καὶ θεότητος, οὐ μόνον ἐκένωσεν ἑαυτὸν μέχρι τῆς τοῦ δούλου μορφῆς, ἀλλὰ καὶ σταυρὸν ὑπέμεινεν, αἰσχύνης καταφρονήσας, ἵν' ἐν τοῖς ἑαυτοῦ πάθεσιν ἀναλώσῃ τὴν ἁμαρτίαν, καὶ ἀποκτείνῃ τῷ θανάτῳ τὸν θάνατον. ἐκεῖνα μὲν δὴ τῆς ἀθυμίας τὰ πλάσματα, ταῦτα δὲ τοῦ πνεύματος τὰ διδάγματα. μέσος δὲ ὢν πόθου καὶ πνεύματος, καὶ οὐκ ἔχων τίνι τὸ πλέον χαρίσωμαι, ὅ μοι δοκεῖ κάλλιστον εἶναι καὶ ἀσφαλέστατον, κοινώσομαι καὶ ὑμῖν, ἵνα μοι συνδοκιμάσητέ τι καὶ συλλάβησθε τοῦ βουλεύματος. ἔδοξέ μοι κράτιστον εἶναι καὶ ἀκινδυνότατον, μέσην τινὰ τραπέσθαι τοῦ πόθου καὶ τοῦ δέους, καὶ τὸ μὲν τῇ ἀθυμίᾳ δοῦναι, τὸ δὲ τῷ πνεύματι. τοῦτο δ' ἂν γένοιτο, μήτε πάντη φυγόντος τὴν λειτουργίαν, ὥστε ἀθετῆσαι τὴν χάριν· ἐπισφαλὲς γάρ· μήτε μεῖζον ἢ κατ' ἐμαυτὸν αἰρομένου φορτίον· βαρὺ γάρ, καὶ τὸ μὲν κεφαλῆς ἄλλης, τὸ δὲ δυνάμεως μᾶλλον δὲ ἀγνοίας ἀμφότερα. εὐσεβείας δὲ εἶναι ἅμα καὶ ἀσφαλείας, μετρῆσαι τῇ δυνάμει τὴν λειτουργίαν, καὶ ὥσπερ τροφῆς τὴν μὲν κατὰ δύναμιν, προσίεσθαι, τὴν δὲ ὑπὲρ δύναμιν, ἀποπέμψασθαι. οὕτω γὰρ σώματι μὲν εὐεξίαν περιγίνεσθαι, ψυχῇ δὲ ἀσφάλειαν, τῷ μετριάζειν ἐν ἀμφοτέροις. διὰ τοῦτο νῦν μὲν δέχομαι τὸ καλόν, πατρὶ συνδιαφέρειν τὴν ἐπιμέλειαν, ὥσπερ ἀετῷ μεγάλῳ καὶ ὑψιπέτῃ νεοσσὸς οὐκ ἄχρηστος, ἐγγύθεν συμπεριιπτάμενος. μετὰ δὲ τοῦτο, δώσω τῷ πνεύματι τὴν ἐμὴν πτέρυγα, φέρειν ᾗ βούλεται καὶ ὡς βούλεται, καὶ οὐδεὶς ὁ βιασόμενος οὐδὲ ἀπάξων ἑτέρωθι μετὰ τοῦτο βουλευόμενον. ἡδὺ μὲν γὰρ πατρὸς πόνοις κληρονομούμενον, καὶ τὸ συνηθέστερον ποίμνιον τοῦ ξένου καὶ ἀλλοτρίου. προσθείην δ' ἂν ὅτι καὶ θεῷ τιμιώτερον, εἰ μή με ἀπατᾷ τὸ φίλτρον, καὶ κλέπτει τὴν αἴσθησιν ἡ συνήθεια. οὔπω δὲ χρησιμώτερον τοῦ ἑκόντας ἑκόντων ἄρχειν, οὐδὲ ἀσφαλέστερον, ἐπειδὴ μὴ πρὸς βίαν ἄγειν τοῦ ἡμετέρου νόμου, μηδὲ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως. τοῦτο μὲν γὰρ οὐδ' ἂν ἄλλην ἀρχὴν συστήσειεν, ἐπειδὴ φιλεῖ τὸ βίᾳ κρατούμενον, ἐλευθεριάζειν καιροῦ λαβόμενον, τὴν δὲ ἡμετέραν, οὐκ ἀρχήν, ἀλλὰ παιδαγωγίαν, καὶ πάντων μάλιστα συντηρεῖ τὸ ἑκούσιον. βουλομένων γάρ, οὐ τυραννουμένων, τὸ τῆς εὐσεβείας μυστήριον. οὗτος ὁ περὶ ἐμοῦ λόγος ὑμῖν ὦ ἄνδρες, ἁπλῶς τι, ὡς μηδὲ πάσης εὐνοίας ἐρημένος, καὶ τοῦτο τὸ τῆς ἐμῆς διανοίας μυστήριον. νικῴη δὲ ὅ, τι ἂν καὶ ὑμῖν καὶ ἡμῖν μέλλῃ συνοίσειν, τοῦ πνεύματος ἄγοντος τὰ ἡμέτερα. πάλιν γὰρ εἰς τοῦτο ὁ λόγος ἀνέρχεται, ᾧ δεδώκαμεν ὑμᾶς αὐτούς. καὶ τὴν χρισθεῖσαν κεφαλὴν τῷ ἐλαίῳ τῆς τελειώσεως, ἐν πατρὶ παντοκράτορι, καὶ τῷ μονογενεῖ λόγῳ, καὶ τῷ ἁγίῳ πνεύματι καὶ θεῷ. μέχρι γὰρ τίνος τῷ μοδίῳ τὸν λύχνον περικαλύψομεν, καὶ φθονήσομεν τοῖς ἄλλοις τῆς τελείας θεότητος· δέον ἤδη τῇ λυχνίᾳ ἤδη τεθεῖσαν, καὶ λάμπειν πάσαις ἐκκλησίαις τε καὶ ψυχαῖς, καὶ παντὶ τῷ τῆς οἰκουμένης πληρώματι. μηκέτι εἰκαζομένοις, μηδὲ τῇ διανοίᾳ σκιαγραφούμενον, ἀλλὰ καὶ φανερῶς ἐκλαλούμενον. ἥπερ δὴ τελεωτάτη τῆς θεολογίας ἀπόδειξις, τοῖς ταύτης ἠξιωμένοις τῆς χάριτος, ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

πλα

διετπ

ϐ

ἁπλοῦς

ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ, ΚΑΙ ΕΙΣ τὸν ἐξισωτὴν Ἰουλιανόν.

ΤΙΣ ἡ τυραννίς, ἣν ἐξ ἀγάπης ἀεί τι καινοτομούμεθα; τίς ἡ ἐμὴ σοφία καὶ ἐπιστήμη, δι' ἣν καθ' ἑκάστην πανήγυριν πολεμούμεθα; ἐγὼ μὲν γὰρ οὐδὲ μίαν εὑρίσκω, πανταχόθεν ἐμαυτὸν διεξετάζων καὶ διευθύνων, πλὴν εἰ γε τοῦτο ἐμαυτῷ συνεπίσταμαι, καὶ ἴσως οὐ φαῦλον, κἂν τινὲς εὐήθειαν ὀνομάζωσιν. ἐβουλήθην ἐν καιρῷ μὲν παντὶ νεκρωθῆναι τῷ βίῳ, καὶ ζῆσαι τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν, καὶ γενέσθαι τις μεγαλέμπορος, πάντων ὧν ἔχω, τὸν τίμιον ὠνησάμενος μαργαρίτην, καὶ ἀντὶ τῶν ῥεόντων καὶ συρομένων τῶν ἑστώτων καὶ οὐρανίων, ἥπερ δὴ πραγματειῶν μεγίστη καὶ βεβαιοτάτη, τοῖς γε νοῦν ἔχουσιν. εἰ δ' οὖν. ἀλλὰ τοῦ γε καρτερῆσαι, παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις, αὐτὸς δὲ διὰ βίου παῖς εἶναι καὶ μαθητής, μέχρις ἂν τοῖς τιμίοις τῶν λόγων, τοὺς ἁλμυροὺς ἀποκλύσωμαι. ἐν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἔστω φιλοσοφίας ἔτι εὐηθείας, καὶ πρῶτον. δεύτερον δέ, ὃ καὶ μέγιστον. ἐπειδὴ λόγῳ τὸν τῆς πολχρὸν λόγον ἐπιδεῖν οὐχ οἷός τε ἐγενόμην, καὶ τὴν νῦν κατέχουσαν πάντας φορὰν καὶ πληθυνίαν εἰς τὸ διδάσκειν τι καὶ λαλεῖν τὰ τοῦ πνεύματος χωρὶς πνεύματος, ἑτέραν ἦλθον, ὡς ἐμαυτὸν πείθω βελτίω τε καὶ ἀκριβεστέραν ὁδόν, παιδεῦσαι πρὸς ἡσυχίαν ἅπαντας, τῷ ἀρχετύπῳ τῆς σιωπῆς. εἰ μέν τι μέγα περὶ ἐμοῦ οἴονται, τὴν ὑπεροχὴν αἰδουμένου· εἰ δὲ

μικρόν τι

μικρόν τι καὶ ὅσον ἄξιον, τῷ ὁμοτίμῳ συμμετριάζοντας. οὗτος ὁ λόγος τῆς ἐμῆς σιωπῆς, τοῦτο τῆς καρτερίας ἡμῶν τὸ μυστήριον. ἀλλὰ τί πάθω; ὁ μὲν οἶδεν, ὁ δὲ οἶδε, διεγείρουσιν ἡμᾶς καὶ συναρπάζουσι, καὶ ὑπὲρ τῶν ἐμῶν δικάζονται πόνων, ὥσπερ δή τι χρέος τὸν λόγον ἀπαραιτήτως εἰσπράττοντες, καὶ ἀγαπῶσι μᾶλλον, ἢ αὐτὸς ἐμαυτόν, καὶ εἰσὶ πάντων ἐμοῦ σοφώτεροι, πλέον ἢ ἐγὼ γινώσκοντες καιρὸν λόγου ἢ σιωπῆς. καὶ φασὶν, οὐκ ἀνήσειν ὥσπερ σιδήρῳ πυρεῖ τινι λίθον, παίοντες ἡμᾶς τοῖς ὀνείδεσιν, ἕως ἂν ἐκ μικροῦ σπινθῆρος, τὸν τῶν λόγων πυρσὸν ἀνάψωσιν. ἤδη δέ τινες αὐτῶν καὶ ὑπισχνοῦνται χρηστότερα, καὶ μεγάλα προτιθέασιν ἆθλα τοῖς λόγοις· πρῶτον μὲν ἑαυτοὺς εὖ ποιήσειν, δόντας τῷ θεῷ καὶ ἡμῖν, εἰς τὸν λόγον καρποφορῆσαι· ἔπειτα καὶ τοὺς δὲ πάντας διὰ τῆς ἀπογραφῆς, τὸν ἐμὸν κλῆρον, εἴπερ ἐμὸς ὁ πατρικός, τὸ ἐμὸν ποίμνιον, οὓς λίαν ἀδικεῖν, μὴ πάντα βούλεσθαι εὐεργετεῖν προθυμούμενος. τὸ δὲ κάλλιστον, ὅτι ἃ πολλὰ πονέσαντας ἔδει κατορθῶσαι τοῖς λόγοις, τοῦτο ὑπὲρ τῶν λόγων αὐτὴν εἰσφέρουσιν. ὢ τῆς καλῆς φιλονεικίας, ἣν ἐμὲ νικῆσαι φιλονεικοῦσιν· ὢ τῆς ἐπαινετῆς ἐπιδόσεως, ὁρᾶτέ τι καλλίνικον τὸ ἔργον τῆς ἐμῆς σιωπῆς, αὐτοὺς ὑμῖν πεποίηκε τοὺς λόγους προθεσμοτέρους· ὁρᾶτε τὸν καρπὸν τῆς ἀδοξίας τῆς ἡμετέρας; εἰ δέ τι γένοιτο, καὶ τῶν λόγων τοσοῦτον ὄφελος, ὅσον τῆς σιωπῆς. ἀκούω ἐπειδὴ ταῦτα δοκεῖ, καὶ νενίκηκέ τι τὸ ἀήττητον, καὶ τρόπαιον ἵστησί τι μετὰ τῆς ἐμῆς φιλοσοφίας, φθέγξομαι πρὸς ὑμᾶς, τῆς σιωπῆς ἀμείνονας. φθέγξομαι τοιγαροῦν, οὐ μαλακόν τι καὶ ἀναβεβλημμένους, οὐδὲ τῆς ἡδίστης τοῖς πολλοῖς ἁρμονίας. οὐδὲ γὰρ ἂν καλῶς ἀμειβοίμην τοὺς ἐμοὺς ἐραστάς, οὕτω διαλεγόμενος, ἀλλὰ καὶ λίαν αὐστηρόν τι καὶ σύντονον, καὶ οὗ τάχα ἂν ἀμείνους γένοισθε ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα μετοχετευθέντες, καὶ ὑψωθέντες ἱκανῶς τὴν διάνοιαν. υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι. προοιμιάσομαι γὰρ πρὸς ὑμᾶς ἐκ τοῦ μεγαλοφωνοτάτου Δαβίδ· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὴν τρυφὴν καὶ τὸ μικρὸν δοξάριον, καὶ τὴν ταπεινὴν δυναστείαν, καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμβάνοντες, ἣ μὴ τῶν ἐχόντων μᾶλλόν ἐστιν, ἢ τῶν ἐλπιζόντων· οὐδὲ τούτων μᾶλλον, ἢ τῶν οὐδὲ προσδοκησάντων. ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε εἰς ἄλλους ῥιπιζόμενα, καὶ μεταρριπτόμενα, ἢ ὥσπερ καπνὸς διαρρέοντα, καὶ ὡς ὄναρ παίζοντα, καὶ ὡς σκιὰ μὴ κρατούμενα, οὔτε ἀπόντα δυσέλπιστα τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ τοῖς ἔχουσιν. οὐκ ἀναβλέψομεν εἰς τὸν οὐρανὸν ἄνω; οὐκ ἐκνήψομεν; οὐ τῶν ὀφθαλμῶν τὴν λήμην περιαιρήσομεν; οὐκ εἰσόμεθα τίς ὁ ἀληθινὸς πλοῦτος; καὶ τίς ἡ ὄντως λαμπρότης, καὶ ποῦ τὸ μὴ μεταπῖπτον ἀξίωμα, τίς ἡ ἀπέραντος εὐδαιμονία, καὶ ποῦ τὸ ἀσάλευτον ἀγαθόν, μηδὲ μεθιστάμενον ἢ ἐπιβουλευόμενον; οὐ κτησόμεθα ταῦτα τοῖς ἄλλοις ἱδρῶσι καὶ πόνοις, ἂν οὕτω συμβαίνῃ; οὐκ ἔτι δὲ τρυφᾶν ἐντεῦθεν, ἐν ταῖς ἐλπίσι τρυφήσομεν; οὐ γνωσόμεθα τοὺς ἁγίους μάρτυρας, τούς τε ἄλλους πάντας, οἳ ταῦτα διειλήφασι τὴν οἰκουμένην, ὥσπερ τινὲς κοινοὶ σύνδεσμοι, καὶ ὧν αἱ παροῦσαι πανηγύρεις; ὑπὲρ τίνος τραύματα καὶ δεσμά, καὶ στρεβλώσεις, καὶ πυρὸς ἀπειλή, καὶ ξιφῶν ἀκμή, καὶ θηρῶν ἀγριότητα, καὶ σκότος, καὶ λιμόν, καὶ βάραθρα, καὶ χρημάτων ἁρπαγάς, καὶ μελῶν ἀποβολάς, καὶ θάνατον τὸ τελευταῖον, καὶ πάντα προθύμως ὑπέστησαν ὥσπερ ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασιν. ἵνα τί γένωνται, καὶ τίνα κληρονομήσωσιν, ἢ πᾶσι δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν, οὐ μετὰ τῆς αὐτῆς ἐλπίδος, ὑπὸ τῷ αὐτῷ βραβευτῇ καὶ ἀγωνοθέτῃ, πρὸς τὸν αὐτὸν παραταξόμεθα τύραννον; τὸν πικρόν, καὶ τότε καὶ νῦν τῶν ψυχῶν διώκτην, τὸν ἀόρατον ἐχθρὸν καὶ πολέμιον; οὐκ ἀνδριζόμεθα παραπλησίως, ὥσπερ ἐκεῖνοι ἐν θεάτρῳ τῷδε τῷ κόσμῳ, εἰ καὶ μὴ ἀκμὴ τοῦ κινδύνου, τὰ χρόνια ἐγχρονίσῃ καὶ τὴν ἀπαλλαγήν· ἀλλὰ τοῖς γε καθ᾽ ἑκάστην ἡμέραν ἀγωνίσμασι καὶ παλαίσμασιν· ἵνα καὶ τῶν αὐτῶν στεφάνων ἀξιωθῶμεν, ἢ ὅτι ἐγγυτάτω; ἐγὼ μὲν παντὶ διακελεύομαι, καὶ ἀνδρὶ καὶ γυναικί, καὶ πρεσβύτῃ καὶ νέῳ, ἀστικῷ τε αὖ καὶ ἀγροίκῳ, ἰδιώτῃ καὶ ἄρχοντι, πλουσίῳ καὶ πένητι. καὶ γὰρ ὁ αὐτὸς ἀγὼν καλεῖ πάντας, πρὸς τοῦτον ἀποδύεσθαι προθύμως, καὶ μὴ μαλακίζεσθαι, μηδὲ μέλλειν, μηδὲ προΐεσθαι τὸν καιρόν, οὗ πάλιν τυχεῖν ἀμήχανον. ἐργασίας γὰρ ὁ παρών, ὁ δὲ μέλλων ἀνταποδόσεως. ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν, ἀκούσατέ τι τοῦ Πέτρου λέγοντος, οὐ μᾶλλόν τι τοὺς τότε μαθητάς, ἐκ τοῦ τόπου τῆς Ἰουδαίας ἀπάγοντος, ἀλλὰ καὶ τοὺς ὕστερον ἅπαντας, ἐντεῦθεν ἀπανιστάντος, καὶ πρὸς ἑαυτὸν ὑψούμενον ἕλκοντος, ὡς ἡ ὑπόσχεσις. ἀκολουθήσομεν ἀγαθῷ δεσπότῃ, φύγωμεν τὰς κοσμικὰς ἐπιθυμίας, φύγωμεν τὸν παλαιὸν κόσμον καὶ κοσμοκράτορα, γενώμεθα καθαρῶς τοῦ ποιήσαντος. τιμήσωμεν τὴν εἰκόνα, αἰδεσθῶμεν τὴν κλῆσιν, μεταθώμεθα τὴν ζωήν. τί ποιοῦμεν ἡμᾶς αὐτοὺς ταπεινούς, ὑψηλοὶ γεγονότες; τί τοῖς ὁρωμένοις ἐγκαταμένομεν; ἕκαστος ὅ, τι ἂν οἷός τε ᾖ καρποφορείτω τῷ θεῷ, ἐν καιρῷ παντὶ καὶ ἰδίᾳ πάσῃ καὶ βίων, καὶ περιστάσεων, κατὰ τὸ μέτρον τῆς παρούσης αὐτῷ δυνάμεως, κατὰ τὸ δοθὲν αὐτῷ χάρισμα, ἵνα πᾶσι μέτροις τῆς ἀρετῆς, πάσας τὰς

ϛ

Φιλιππ. 2.

κατά

ἔτι

καθαροί

Nicetas tamen legit καθαρῶς

ἐκεῖθεν μονὰς πληρώσωμεν, τοσοῦτον θησαυρίζοντες, ὅσον ἐσπείραμεν. μᾶλλον δὲ τοσοῦτον προσαποθέμενοι ταῖς θείαις ληνοῖς, ὅσον ἐγεωργήσαμεν. εἰσφερέτω τις, ὁ μὲν χρήματα, ὁ δὲ τὸ μηδὲν ἔχειν, ὁ δὲ τὸ προθυμεῖσθαι, ὁ δὲ τὸ προθυμούμενον ἀποδέχεσθαι· ὁ μὲν πρᾶξιν ἐπαινετήν, ὁ δὲ θεωρίαν εὔστοχον· ὁ μὲν λόγον καίριον, ὁ δὲ σιωπὴν εὔλογον· ὁ μέν τις διδασκαλίαν ἄπταιστον, καὶ βίον μὴ ἀνθιστάμενον, ὁ δὲ ἀκολουθίαν εὐπειθῆ, εὐγνώμονα· ὁ δὲ τὴν θείαν ἁγνείαν, καὶ κόσμου παντελῶς ἀποτέμνουσαν, ὁ δὲ γάμον σεμνόν, ὅσοι μὴ παντάπασι θεοῦ ὁρίζονται. ὁ μὲν νηστείαν ἄτυφον, ὁ δὲ ἀπόλαυσιν μὴ ἀκόλαστον· ἄλλος, τὸ ἐν προσευχαῖς ἀπερίσπαστον καὶ ὕμνοις πνευματικοῖς· ἄλλος, τὸ ἐν προστασίαις τῶν δεομένων, πάντες δάκρυα, πάντες κάθαρσιν, ἀνάβασιν πάντες, καὶ τὸ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. καλὴ καὶ ἁπλότης καρποφορία, καὶ γέλως σωφρονιζόμενος, καὶ θυμὸς κολαζόμενος, καὶ ὄμμα παιδαγωγούμενον, καὶ νοῦς πλανᾶσθαι μὴ συγχωρούμενος, οὐδὲν οὕτω μικρὸν τῶν εἰσφερομένων θεῷ, κἂν ἐλάχιστον ᾖ, κἂν πολὺ τῆς ἀξίας λειπόμενον. ὁ μὴ προσίεται πάντως καὶ ἀποδέχεται, εἰ καὶ σταθμίζειν οἶδε τῇ δικαίᾳ κρίσει τὸν ἔλεον, δέχεται καὶ Παύλου τὴν φυτείαν, ὡς Παύλου, καὶ Ἀπολλῶ τὴν ἀρδείαν, καὶ τὰ δύο λεπτὰ τῆς χήρας, καὶ τοῦ τελώνου τὴν ταπείνωσιν, καὶ τοῦ Μανασσῆ τὴν ἐξαγόρευσιν. Μωσῆς ἐπήγνυτο τὴν σκηνὴν κάτω, τὴν τῆς οὐρανίας ἀντίτυπον, καὶ πάντες εἰσέφερον τὸ κηρυχθὲν αὐτοῖς. οἱ δὲ καὶ ὑπὲρ ἐπάγγελμα, οἱ μὲν χρυσόν, οἱ δὲ ἄργυρον, οἱ δὲ λίθους τιμίους εἰς τὴν ἐπωμίδα. αἱ δὲ βύσσον ἐξανακλωσμένην, αἱ δὲ κόκκινον νενησμένον· οἱ δὲ πορφύραν, οἱ δὲ δέρματα κριῶν ἠρυθροδανωμένα. αἱ δὲ καὶ τρίχας αἰγείας εἰς τὰ κατώτερα τῆς σκηνῆς καὶ φαυλότατον, οἱ δὲ ὅ,τι ἕκαστος ἢ ἐκέκτητο ἔχοντες. πάντες δὲ ἔφερον, καὶ οὐδεὶς ἦν ἀσύμβολος, οὐδὲ τῶν πενεστάτων. οὕτω ἡμεῖς, τῇ τιμίᾳ τοῦ θεοῦ σκηνῇ, τῇ δὲ τῆς ἐκκλησίας ἣν ὁ κύριος ἔπηξεν, οὐκ ἄνθρωπος, ἢ διαφόροις ἀρεταῖς συνοικοδομεῖται κάλλεσιν. ὁ μὲν μικρόν, ὁ δὲ μεῖζον· πάντες ὁμοίως εἰσφέρωμεν, εἰς ἔργον τέλειον, εἰς κατοικητήριον χριστοῦ, εἰς ναὸν ἅγιον, συντιθέμενοι καὶ συναρμολογούμενοι τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος, πάντως δὲ οὐδὲν εἰσοίσομεν τοσοῦτον, ὅσον εἰλήφαμεν, κἂν πάντα εἰσφέρωμεν. ἐπεὶ καὶ τὸ εἶναι ἡμῖν, ἐκ θεοῦ, καὶ τὸ εἰδέναι θεόν, καὶ αὐτὸ τὸ ἔχειν ὃ εἰσενέγκωμεν, τὸ δὲ κάλλιστον καὶ φιλανθρωπότατον, ὅτι μὴ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ δυνάμει, καὶ τῇ διαθέσει τοῦ καρποφοροῦντος, μετρεῖ θεὸς τὴν ἐπίδοσιν. μὴ οὖν ἀναμείνῃς γενέσθαι χρηστός, ἀλλ᾽ ἤδη γενοῦ, μηδὲ ὅτι τῆς ἀξίας λείπῃ, τὸ πᾶν ἐλλίπῃς, ἀλλὰ τὸ μὲν εἰσοίσεις, τὸ δὲ προθυμηθήσῃ. ὑπὲρ δὲ τοῦ, διὰ τὸ ἐλλεῖπον, συγγνώμην τῇ ἀσθενείᾳ. οὐκ ὀφθήσῃ φησὶ κενὸς ἐναντίον μου· μηδεὶς ἔστω κενός, μηδὲ ἄκαρπος, μηδέ τις στεῖρα ψυχή, καὶ ἄγονος. ἕκαστος ἐκ τῶν προσόντων καρποφορείτω θεῷ, καὶ τῶν οἰκείων· ὁ ἁμαρτάνων, τὴν μεταβολήν· ὁ καλῶς τρέχων, τὴν εὐτονίαν, ὁ νέος τὴν ἐγκράτειαν, ἡ πολιὰ τὴν φρόνησιν, ὁ πλούσιος τὴν μετάδοσιν, ὁ πένης τὴν εὐχαριστίαν, ὁ ἐν ἐξουσίᾳ τὴν ἀτυφίαν, ὁ εἰσπράττων τὴν ἡμερότητα· οἱ ἱερεῖς, ἐνδύσασθε δικαιοσύνην, ἤ τό γε ἀληθέστερον εἰπεῖν ἐνδυσάμεθα. μὴ διασπείρωμεν τὰ πρόβατα τῆς νομῆς, καὶ διαφθείρωμεν ὑπὲρ ὧν ἔθηκε τὴν ψυχὴν ὁ ποιμὴν ὁ καλός, ὁ γινώσκων τὰ ἴδια, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, καὶ καλῶν κατ᾽ ὄνομα, καὶ εἰσάγων αὐτά, καὶ ἐξάγων ἀπὸ τῆς ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τὴν ἐκεῖθεν ἀνάπαυσιν. φοβηθῶμεν, μὴ ἀφ᾽ ἡμῶν ἄρξηται τὸ κρίμα, κατὰ τὴν ἀπειλήν. μὴ λάβωμεν ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα, αὐτοί τε οὐκ εἰσιόντες, καὶ τοὺς εἰσελθεῖν δυναμένους κωλύοντες. τὰ πρόβατα μὴ ποιμαινέτω τοὺς ποιμένας, μηδὲ ὑπὲρ τοὺς ἑαυτῶν ὅρους ἐπαίρεσθε. ἀρκεῖ δ᾽ ὑμῖν, ἂν καλῶς ποιμαίνησθε. μὴ κρίνετε τοὺς κριτάς, μηδὲ νομοθετεῖτε τοῖς νομοθέταις. οὐ γάρ ἐστι θεὸς ἀκαταστασίας καὶ ἀταξίας, ἀλλ᾽ εἰρήνης καὶ τάξεως. μὴ τοίνυν ἔστω τις κεφαλή, μόλις που χεὶρ τυγχάνων, ἢ πούς, ἢ ἄλλο τι τῶν εὐτελεστέρων μελῶν τοῦ σώματος. ἀλλ᾽ ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει, ἀδελφοί, ἐν ταύτῃ μενέτω, κἂν ᾖ τῆς κρείττονος ἄξιος· οὐ τῷ στέργειν τὴν παροῦσαν, πλέον εὐδοκιμῶν, ἢ ἐν τῷ ζητεῖν ἣν οὐκ ἔλαβε. μή τις ἐξὸν ἀκινδύνως ἐπαρθῇ, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω, μηδὲ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ὃ καὶ τὰ ἐπίγεια συνέχει, καὶ τὰ οὐράνια· μηδὲ ποιῶμεν ἀναρχίαν τὴν πολυαρχίαν. οἱ περὶ λόγους, μὴ σφόδρα τοῖς λόγοις θαρρεῖτε, μηδὲ σοφίζεσθε πλείονα καὶ ὑπὲρ τὸν λόγον, μηδὲ νικᾶν ἐπιθυμεῖτε πάντα καιρόν, ἀλλ᾽ ἔστιν ἃ καὶ ἡττᾶσθαι καλῶς, ἀνέχεσθε. δότε τῷ λόγῳ, τὸν λόγον, προΐεσθέ τι δικαιοσύνης ὅπλον, μὴ θανάτου τὴν παίδευσιν. ἀρκεῖσθε τοῖς ἰδίοις ὀψωνίοις οἱ στρατιῶται, καὶ μηδὲν ὑπὲρ τὸ διατεταγμένον ἀπαιτεῖτε. ταῦτα ὑμῖν διακελεύεται μεθ᾽ ἡμῶν Ἰωάννης, ὁ μέγας τῆς ἀληθείας κῆρυξ, ἡ πρόδρομος τοῦ λόγου φωνή. τί λέγων ὀψώνιον, τὸ βασιλικὸν σιτηρέσιον δηλονότι, καὶ τὰς ὑπαρχούσας ἐκ νόμου τοῖς ἀξιώμασι δωρεάς. τὸ δὲ πλεονάζον τίνος. ἐῶ μὲν ὀκνῶ λέγειν τὸ βλάσφημον· ὑμεῖς δὲ οἶδ᾽ ὅτι συνίετε, κἂν ἐγὼ φείδωμαι. ἀπόδοτε τὰ καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον, ὑμεῖς οἱ τῆς πολιτείας ἐπώνυμοι· φόβον δὲ ὅταν εἴπω, κωλύω τὴν πλεονεξίαν, τί οὖν ἡμεῖς κερδανοῦμεν;

τάχα

τάχα ἂν εἴποι τι, μέγα τὸ πάντων μέγιστον, καὶ εἰ βούλεσθε, δι᾽ ἡμᾶς μέγιστον, τὰς χρηστὰς ἐλ-
πίδας, καὶ τὰ πρωτεῖα τῆς ἄνω πόλεως, οὐ τῆς μικρᾶς ταύτης καὶ ἐλαχίστης ἐν πόλεσιν,
ἧς οὐδὲ τὸ ἄρχειν, ἵνα μετρίως εἴπω τιμῶν ὡς θρεψαμένην, πάνυ τι σεμνὸν καὶ ὑπέρλαμ-
προν, ἐκεῖ γενέσθαι πρῶτοι θελήσωμεν, μεταποιηθῶμεν τῆς ἐκεῖθεν λαμπρότητος, ἐν κόλ-
ποις ἀβραὰμ· ἀντὶ τῆς ἐντεῦθεν εὐσπλαγχνίας ἀναπαυσώμεθα, κρῖμα δίκαιον κρίνωμεν.
ἐξελώμεθα πένητα καὶ πτωχόν, χήραν καὶ ὀρφανὸν ἐλεήσωμεν, ἐκπειώμεθα κλεπτομέ-
νων, ἤ τό γε μετριώτερον εἰπεῖν, μὴ αὐτοὶ κλέπτωμεν, μὴ περιίδωμεν τὸν δεόμενον ἡμῶν, μέχρι
καὶ τῆς ἀπὸ τραπέζης ψιχῶν. καὶ μὴ παραδράμωμεν τοὺς ἡλκωμένους, καὶ βεβλημμέ-
νους ἐν τοῖς ἡμετέροις πυλῶσι. μὴ τρυφήσωμεν ἄλλων κακοπαθούντων, μὴ βδελυξώμεθα
τὸν ὁμόδουλον. μὴ φίλοι καὶ ἀδελφοὶ γενώμεθα τῆς τοῦ πλουσίου μερίδος, μηδὲ ὀδυνηθῶ-
μεν ἐν τῇ φλογί· μηδὲ τῷ χάσματι διαστῶμεν ἀπὸ τῶν ὁσίων. μηδὲ δεηθῶμεν λαζάρου τοῦ
πένητος, ἄκρῳ δακτύλῳ καταψύξαι τὴν γλῶσσαν ἡμῶν φλεγομένην. καὶ μηδὲ τοσού-
του τυγχάνωμεν· γενώμεθα χρηστοί, εὔσπλαγχνοι, συμπαθεῖς. μιμησώμεθα τοῦ δεσπότου
τὴν ἀγαθότητα, ὃς ἀνατέλλει τὸν ἥλιον ἀγαθοῖς καὶ πονηροῖς, καὶ τρέφει τῇ βροχῇ πάν-
τας ὁμοίως· μὴ δεξώμεθα πλουτεῖν διὰ τῆς ἄλλων πενίας. μὴ παρέλθωμεν τῆς θείας
ἰσότητος, μηδὲ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ᾽ ὧν ὡς ἰοῦ καὶ σητὸς
ἐκδαπανηθήσεται, ἤ τό γε τῆς γραφῆς εἰπεῖν, ἐξεμεθήσεται, ἀλλ᾽ ὦμεν τοῦ δέοντος ἀπλη-
στότεροι. ἔστι καὶ πλεονεκτῆσαι, καλῶς. δῶμέν τι μικρὸν ἐντεῦθεν, ἵν᾽ ἐκεῖθεν πλουτήσωμεν.
ταῦτα μὲν οὖν ἤδη κοινὰ πρὸς πάντας, οὐ σοὶ ἐν πολιτείᾳ μόνον, τὰ παραγγέλματα. κοι-
νά γε, καὶ κοινῆς ἀρρωστίας τὰ φάρμακα. σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς, ὁ τὴν ἡμετέρων
ἀπογραφεύς, ἀπόγραφε μὴ σὺν ἐμοὶ λόγον ἐμμελῶς, ὧν οὐδὲ ἓν μικρὸν τὸ κέρδος,
ἢ εἰς ἀκοῆς χάριν καὶ ἡδονήν, ἀλλὰ τὸν ἐμὸν λαόν, ὁσίως καὶ φιλανθρώπως, αἰδεσθεὶς εἰ μὴ
τι ἄλλο, ἢ τὸν καιρὸν αὐτόν, ὅτι καὶ ὁ σωτὴρ ἐν ἀπογραφῇ τίκτεται. ἐξῆλθε γὰρ δόγμα φησὶ πα-
ρὰ καίσαρος αὐγούστου, τοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, καὶ ἀπεγράφετο. ἀνέβη
δὲ καὶ ἰωσὴφ ἐν βηθλεέμ, σὺν μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ ἀπογράψασθαι, διὰ τὸ εἶ-
ναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς δαβίδ. καὶ τηνικαῦτα ὁ σωτὴρ τίκτεται, τὸ θαυμάσιον, ὁ
πάντων δημιουργὸς καὶ δεσπότης, ἐν φαύλῳ καὶ μικρῷ καταλύματι. φοβηθῶμεν τὸ μυ-
στήριον, αἰδεσθῶμεν τὴν οἰκονομίαν, καὶ αὐτοὶ τῷ καιρῷ τι συνεισενέγκωμεν. νῦν ἄγγελοι
χαίρουσι, νῦν ποιμένες περιαστράπτονται, νῦν ἀστὴρ ἐξ ἀνατολῶν τρέχει πρὸς τὸ μέγιστον
φῶς καὶ ἀπρόσιτον, νῦν μάγοι προσπίπτουσι καὶ δωροφοροῦσι, καὶ τὸν πάντων βασιλέα γι-
νώσκουσι, καὶ καλῶς ὑπὸ ἀστέρι τεκμαίρονται τὸν οὐράνιον. νυνί τι ἡρώδης μαίνεται, καὶ παι-
δοφονεῖ, καὶ διὰ τὸν ἐλευθερωτὴν ἀναιρεῖ τοὺς τῆς ἐλευθερίας τυγχάνειν ὀφείλοντας. ἀλλ᾽ ἡ-
μεῖς γε μετὰ τῶν προσκυνούντων γενώμεθα, καὶ προσενέγκωμεν τῷ δι᾽ ἡμᾶς πτωχεύσαντι μέ-
χρι καὶ σώματος, μὴ λίβανον, μηδὲ σμύρναν, τὸν μὲν ὡς θεῷ, τὸ δὲ ὡς βασιλεῖ, τὴν δὲ ὡς γευ-
σαμένῳ δι᾽ ἡμᾶς νεκρότητος, ἀλλὰ δῶρα μυστικά. καὶ ὑπὲρ τὸ φαινόμενον, τό γε μηδὲν λα-
βεῖν, μηδὲ τῷ πλούτῳ τι συγχωρῆσαι κατὰ πενίας, μηδ᾽ ἀδικῆσαι τὸ πλάσμα, διὰ τοῦ πλά-
σματος. σὺν χριστῷ γράφεις, σὺν χριστῷ ταλαντεύεις, σὺν τῇ κεφαλῇ δοκιμάζεις, μηδὲ
τοῦ λόγου λογίζῃ. χριστὸς ἄρτι γεννᾶταί σοι, καὶ θεὸς ὤν, καὶ ἄνθρωπος γίνεται, καὶ ἀνθρώ-
ποις συναναστρέφεται. τί τοῦ λόγου δηλοῦντος, ἐμοὶ δοκεῖν εἰς νουθεσίαν τὴν τὰ τοιαῦτα
πιστευομένων, ὅτι ταῖς μεγίσταις τῶν διοικήσεων, θεὸς ἀεὶ συνεισέρχεται. καὶ ἵνα μὲν κα-
ταιδέσῃ σὺ τοὺς ἀπογράφοντας, τηνικαῦτα ὁμιλεῖ σαρκὶ καὶ ἀνθρώποις. ἵνα δὲ τὴν ἀμυνθήσον-
ται τῆς δουλείας ἡμᾶς, καὶ τὴν εὐγνωμοσύνην νομοθετήσῃ. οὐδὲ γὰρ τοῦτο περιττόν, τελεῖ δὲ
αὐτὸς τὸ δίδραχμον, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ πέτρου τοῦ τιμιωτάτου τῶν μα-
θητῶν. ἐπεὶ καὶ ἄνθρωπος ἐγένετο δι᾽ ἡμᾶς, καὶ δούλου μορφὴν ἀνεδέξατο, καὶ ὑπὲρ τῶν
ἀνομιῶν ἡμῶν ἤχθη εἰς θάνατον. ταῦτα μὲν ὁ σωτήρ, καὶ τῷ θελήματι μόνον, ὡς θεὸς σῶ-
σαι δυνάμενος· ἐπεὶ καὶ τὰ πάντα προστάγματι συνεστήσατο. μεῖζον δὲ καὶ δυσωπητι-
κώτερον εἰσήνεγκεν ἡμῖν, τὴν συμπάθειαν καὶ τὸ ὁμότιμον. τί δὲ ἡμεῖς οἱ χριστοῦ μαθηταί, τοῦ
πράου καὶ φιλανθρώπου, καὶ τοσοῦτον ἡμῖν λειτουργήσαντος, οὐ μιμησόμεθα τοῦ δεσπό-
του τὴν εὐσπλαγχνίαν; οὐκ ἐσόμεθα χρηστοὶ τοῖς ὁμοδούλοις, ἵνα τοιούτου τύχωμεν καὶ
αὐτοὶ τοῦ κυρίου, μετροῦντος ὡς ἂν μετρήσωμεν; οὐ κηδεσόμεθα τὰς ἑαυτῶν ψυχάς, διὰ
τῆς ἡμερότητος; ἀρκεῖ δουλεύειν τοῖς ἐλευθέροις, καὶ τοσοῦτον εἶναι τὸ διάφορον, ὥστε τοῦ
αὐτοῦ χοός, τὸ μὲν κρατεῖν, τὸ δὲ ἄρχεσθαι· καὶ τὸ μὲν τάσσειν φόρους, τὸ δὲ ἀπογράφε-
σθαι· καὶ τοῖς μὲν ἀδικεῖν ἐξεῖναι καὶ ποιεῖν κακῶς, τοῖς δὲ ὑπὲρ τοῦ μὴ παθεῖν δεῖσθαι
καὶ ἀγωνίζεσθαι, καὶ ταῦτα εἶναι περὶ τὴν μίαν εἰκόνα, καὶ τὸ ἓν ἀξίωμα, τοὺς τῆς αὐτῆς ζω-
ῆς κληρονόμους, ὑπὲρ ὧν χριστὸς ὁμοίως ἀπέθανεν. ἀρκεῖ ταῦτα τοῖς ἐλευθέροις, μὴ βα-

μεγίστου
ζηλοῦν
φόρων
ἐν φαύλῳ
μὴ χρυσόν
χρὸς

ῥυσάσθω δὲ ὁ ζυγός, μηδὲ τῆς πρώτης ἡμῶν ἁμαρτίας τὸ ἐπιτίμιον, ὡς ἀπόλοιτο ἡ κακία, καὶ ἡ πρώτη ταύτης καταβολή, καὶ ὁ καθεύδουσιν ἡμῖν ἐπισπείρας τὰ ζιζάνια πονηρός, ἵν' ἀρχὴ τοῦ καλοῦ γένηται, δι' ἀμελείας τοῦ ἀγαθοῦ, ὥσπερ καὶ σκότος, ἡ τοῦ φωτὸς ἀποχώρησις. ταῦτα τὸ ξύλον, καὶ ἡ πικρὰ γεῦσις, καὶ ὁ βάσκανος ὄφις, καὶ ἡ παρακοή, αἱ ἰδέαι τοῦ προσώπου ζωῆς κατακρίνασαι. ἐντεῦθεν γυμνὸς ἐγὼ καὶ ἀσχήμων, καὶ τὴν γύμνωσιν ἔγνων, καὶ τὸν δερμάτινον χιτῶνα ἠμφιεσάμην, καὶ τοῦ παραδείσου ἐξέπεσα, καὶ εἰς τὴν γῆν ἀπεστράφην, ὅθεν ἐλήφθην, ἐν ὥσπερ ἀντὶ τῆς τρυφῆς ἔχων, τὰ ἐμαυτοῦ γινώσκειν κακά, καὶ λύπην καὶ πικρίαν ἄπαυστον, ἀντὶ τῆς μικρᾶς ἡδονῆς, καὶ πόλεμον πρὸς τὸν φιλιωθέντα κακῶς, καὶ διὰ τῆς γεύσεως ἀποσπάσαντα, ταῦτα τῆς κακίας ἐμοὶ τὰ ἐπίχειρα. ἐντεῦθεν τὸ γεννᾶσθαι μόχθῳ, καὶ ζῆν καὶ λύεσθαι. αὕτη μήτηρ χρέους, ἡ δὲ πλεονεξίας, ἡ δὲ πολέμων, πόλεμοι δὲ φόρων πατέρες. οἱ δὲ τῆς κατακρίσεως τὸ βαρύτατον. ἀλλ' ἡμεῖς γε, μὴ τὸ πρόστιμον ἐπιτείνωμεν, ὑπὸ τὴν αὐτὴν κείμενοι καταδίκην, μηδ' ἀλλήλοις κακοὶ γινώμεθα, φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ θεός· καὶ ὑπ' αὐτοῦ κολαζόμεθα, ἔσται καὶ ἄλλη τις ἐγγραφή, καὶ ἄλλος ἀπογραφεύς, εἴ τινα βίβλους ζώντων ἀκούεις, καὶ βίβλον οὐ σωζομένων. ἐκεῖ πάντες ἐγγραφησόμεθα, μᾶλλον δὲ ἤδη γεγράμμεθα κατ' ἀξίαν τὴν ἤδη βεβιωμένων ἑκάστου. οὐ πλοῦτος ἔχει τὸ πλέον ἐκεῖ, οὐ πενία τὸ ἔλαττον, οὐ χάρις, οὐκ ἔχθρα, οὐκ ἄλλο τι τῶν ἁπάντων, οἷς ἐνταῦθα τὸ δίκαιον κλέπτεται. δακτύλῳ θεοῦ πάντες γεγράμμεθα, καὶ ἀνοιγήσεται ἡμῖν βίβλος, ἐν ἡμέρᾳ ἀποκαλύψεως. μικρὸς μὲν καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων ὁμοῦ δεσπότῃ, τὸ ἐλαφρότερον φθέγξομαι, καὶ βασιλεὺς ἀρχομένῳ, καὶ ἀπογραφεὺς ἀπογραφομένῳ, καὶ ἡ λαμπρότης ἐγγύθεν καὶ τὸ δύσφημον σιωπήσομαι, πλὴν οἷα γράφομεν, τοιαῦτα καὶ γραφησόμεθα· ποιήσει τοῦ κρίνοντος σκοπὸς τὴν ἐγγραφὴν χρηστοτέραν, ἡμῖν φανεὶς χρηστὸς καὶ φιλάνθρωπος. τί πρὸς ταῦτα λέγεις, τί γράφεις, ὦ φίλων ἄριστε καὶ ἡλίκων, καὶ παιδεύσεως τῆς ἡμῖν κοινωνέ, καὶ παιδευμάτων. εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν κρείττω μοῖραν ὁ θεὸς ἔταξεν, ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἐξουσίᾳ. ὀκνῶ γὰρ εἰπεῖν βαρυτέραν. ὦ πατρίδος εὐσεβοῦς ἐγγόνων, ὦ γονέων ἱερῶν, ἱερὸν φυτόν, ὦ ῥίζα τέκνων ἱερωτέρων· πῶς ποτε ἀποδέχῃ τοὺς ἐμοὺς λόγους. ἆρά τι πειθόμεθα; ἢ δεήσει καὶ παιδεύειν μακρότερα. ὥσπερ μὲν οὐκ ἐπαίζεις, ἀλλ' εὖ εἰδέναι χρή, ὅτι σε οἱ παρ' ἐμοῦ λόγοι, ἐκ πλείονος ἔχουσι. καὶ γὰρ εἰ μηδενὶ ἄλλῳ θαρρεῖν ἔχομεν, ἀλλὰ τοῖς λόγοις αὐτοῖς, οἵ σε ἀεὶ πρὸς τὰ καλὰ ῥᾳδίως ἄγουσιν, ἢ ἀρχόμενον, ἢ ἑπόμενον. ὥσπερ γάρ ἐστιν, ᾧ τῶν πολλῶν οἱ σοφοὶ διαφέρουσιν. ἐγὼ δὲ μικρὸν ἔτι προσθήσω τοῖς εἰρημένοις. σὺ δὲ ἔδωκας μισθὸν τοῖς ἐμοῖς λόγοις, ὅν τινα δέδωκας. οἱ δέ σοι διδόασι καὶ προσάγουσι πάντας, πάντα χορὸν ἱερέων, χορὸν φιλοσόφων, οὐδ' ἐν δεσμῷ κάτω καταπιεζομένων, μόνα νενεκρωμένων τὰ σώματα, καὶ οὐδ' αὐτὰ παντελῶς, οὐδὲν ἐχόντων καίσαρι, πάντα θεῷ, ὕμνους, εὐχάς, ἀγρυπνίας, δάκρυα, κτῆσιν οὐ κρατουμένην, ἀπέθανον κόσμῳ, ζῶσι Χριστῷ, σάρκα νεκροῦσι, ψυχὴν ἑλκύουσι ἀπὸ τοῦ σώματος, τούτῳ φειδόμενον, ἢ καὶ καθαρὰς ἀποδιδόντες τῷ θεῷ, τοὺς θεραπευτὰς τοῦ θεοῦ καὶ μύστας, καὶ τῶν οὐρανίων ἐπόπτας, τὴν ἀπαρχὴν τοῦ ἡμετέρου γένους, τὸ ἔρεισμα, τοὺς τῆς πίστεως στεφάνους, τοὺς μαργαρίτας, τοὺς τιμίους, τοὺς τοῦ ναοῦ λίθους, οὗ καὶ θεμέλιος καὶ ἀκρογωνιαῖος Χριστός, τοῦ καλοῦ λόγου τοῦ ἐκκλησίας πληρώματος. κάλλιστα ἂν καὶ τούτοις καὶ σκηνήν, καὶ πᾶσιν ἡμῖν βουλεύσαιο. καί σοι εὔχομαι ὥσπερ παρ' ἡμῶν τὸν πλοῦτον γενέσθαι μᾶλλον, ἢ πολλοῦ χρυσίου καὶ ἀργυρίου θησαυρούς, νῦν ὑπάρχοντας, καὶ μετ' ὀλίγον οὐκ ἐσομένους. αὕτη τῶν ἡμῶν λόγων ἡμῖν ἡ καρποφορία, εἰ καὶ τῆς ἐλπίδος ἐλάττους· ἀλλὰ κατά γε τὴν ἡμετέραν δύναμιν. ὑμεῖς δ' ἀντιδότε μοι, τῆς ἐμῆς εἰσφορᾶς τὸ μεῖζον, τὴν εὐπείθειαν· ὡς ἄν τι τὰ ἄλλα, καὶ ἧττον δίκαιοι τῶν ἐμῶν λόγων, ἀλλήλους καταναλοῦντες, εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων· ὡς ἂν χρηστῆς καὶ φιλανθρώπου τῆς ἐκεῖθεν γραφῆς τυχόντες, καὶ πολὺ τῇ πάντων βασιλείᾳ χορεύοντες, ὃ μόνον ἔργον τοῖς ἐκεῖ γεγραμμένοις, λειτουργῶμεν θεῷ τὴν αἴνεσιν, τὴν μίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ θεωροῦντες καὶ ἀνυμνοῦντες τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα· ὅτι αὐτῷ ἡ δόξα, καὶ ἡ τιμή, καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ

ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΕΑΥΤΟΥ ΑΔΕΛΦΟΝ ΕΠΙΤΑΦΙΟΣ, περιόντων ἔτι τῶν γονέων.

Οἴεσθέ με ἴσως ὦ φίλοι καὶ ἀδελφοὶ καὶ πατέρες, τὸ λυπηρὸν καὶ πρᾶγμα, καὶ ὄνομα, θρηνεῖν ἐπιβαλοῦντα τὸν ἀπελθόντα καὶ ὀδυρόμενον, ὑποδέχεσθαι προθύμως τὸν λόγον, ἢ μακροὺς ἀποτείνοντα καὶ κομψοὺς λόγους, οἷς οἱ πολλοὶ χαίρουσιν. καὶ οἱ μὲν ὡς συμπενθήσοντες, καὶ συνθρηνήσοντες παρεσκευάσασθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ οἰκεῖα δακρύσητε, ὅσοις τι τοιοῦτόν ἐστι, καὶ σοφίσησθε τὸ ἀλγοῦν ἐν φιλικοῖς πάθεσιν. οἱ δὲ ὡς τὴν ἀκοὴν ἑστιάσοντες, καὶ ἡδίστων ἀσόμενοι. χρῆναι γὰρ ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τὴν συμφοράν, οἷά ποτε ἦν τὰ ἡμέτερα, ἡνίκα τἄλλα ἡμῖν ἱκανῶς περιῆν καὶ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμα, πρὶν ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἄνω πέσω, καὶ πάντα δόντας θεῷ, παρ' οὗ τὰ πάντα, θεὸν ἀντὶ πάντων λαβεῖν. μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴ τι ὑπολαμβάνειν βούλεσθε δεξιόν. οὔτε γὰρ θρηνήσομεν τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵ γε μηδὲ τῶν ἄλλων τὰ τοιαῦτα ἀποδεχόμεθα, οὔτε ἐπαινεσόμεθα ὑπὲρ τὸ μέτριον καὶ πρέπον. καίτοι γε δῶρον φίλον καὶ οἰκειότατον, εἴπερ τι ἄλλο, τῷ λογίῳ λόγος, καὶ τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους, ἡ εὐφημία. καὶ οὐ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον, ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα νόμον, καὶ δακρύσαντες καὶ θαυμάσαντες. οὐδὲ γὰρ τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας. μνήμη γάρ τι δικαίων μετ' ἐγκωμίων, καὶ ἐπὶ νεκρῷ φησὶ κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἄρξαι θρηνεῖν, ἴσως ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας, οὐ μὴν τοῦτο ἤδη, τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξομεν, καὶ τοῦ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσομεν, καὶ τὴν ὀφειλομένην τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν, καὶ μεταθήσομεν τὴν λύπην ἀπὸ τῆς σαρκὸς καὶ τῆς προσκαίρου, ἐπὶ τὰ πνευματικὰ καὶ αἰώνια. [illegible] πατέρας μὲν, ἵν' ἐντεῦθεν ἀρξώμεθα ὅθεν ἡμῖν πρεπωδέστατον, οὓς πάντες γινώσκετε, καὶ ὧν τὴν ἀρετὴν καὶ ὁρῶντες καὶ ἀκούοντες, ζηλοῦτε καὶ θαυμάζετε, καὶ διηγεῖσθε τοῖς ἀγνοοῦσιν, εἴπερ τινές εἰσιν ἀνθρώπων, ὧν ὡς ἄλλό τι μέρος ἀπολαβόντες. ἐπεὶ μὴ πάντα τῷ αὐτῷ οἷόν τε, μηδὲ μιᾶς γλώσσης τὸ ἔργον, κἂν σφόδρα τις ᾖ τῶν φιλοπόνων τε καὶ φιλοτίμων. οἳ πολλῶν καὶ μεγάλων ὑπέχοντες εἰς εὐφημίαν, εἰ μήτω περιττὸς εἶναι δοκῶ τὰ οἰκεῖα θαυμάζων, οὐ μέγιστον ἁπάντων, καὶ ὥσπερ ἄλλό τι ἐπίσημόν ἐστιν ἡ εὐσέβεια τῶν σημείων, τὸ δὲ λέγω καὶ πολιὰς, καὶ οὐχ ἧττον δι' ἀρετὴν αἰδέσιμον, ἢ διὰ γῆρας. ὧν τὰ μὲν σώματα χρόνῳ κέκμηκεν, αἱ ψυχαὶ δὲ θεῷ νεάζουσι. πατὴρ μὲν ἐκ τῆς ἀγριελαίου καλῶς ἐγκεντρισθεὶς εἰς τὴν καλλιέλαιον, καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος, ὥστε καὶ ἄλλων ἐγκεντρίζειν πιστευθῆναι, καὶ θεραπείαν ἐγχειρισθῆναι ψυχῶν, ὑψηλὸς ὑψηλῶς τοῦ λαοῦ τοῦδε προκαθεζόμενος, ἀαρών τις δεύτερος ἢ μωυσῆς, θεῷ πλησιάζειν ἠξιωμένος, καὶ θείαν φωνὴν χορηγεῖν τοῖς ἄλλοις ἱσταμένοις πόῤῥωθεν. πρᾶος, ἀόργητος, γαληνὸς τὸ εἶδος, θερμὸς τὸ πνεῦμα, πολὺς τὸ φαινόμενον, πλουσιώτερος τὸ κρυπτόμενον. τί ἂν ὑμῖν ἀναζωγραφοίην τὸν γινωσκόμενον; οὐδὲ γὰρ εἰ μακρὸν ἀποτείνοιμεν λόγον, εἴποιμεν ἄν τι τοσοῦτον, ὅσον ἄξιον, καὶ ὅσον ἕκαστος συνεπίσταταί τι, καὶ ἀπαιτεῖ τὸν λόγον. καὶ βέλτιον ταῖς ὑπονοίαις παραχωρεῖν, ἢ τῷ λόγῳ τὸ πολὺ παρελκόμενον τοῦ θαύματος. μήτηρ δὲ ἄνωθεν μὲν καὶ ἐκ προγόνων καθιερωμένη θεῷ, καὶ κλῆρον ἀναγκαῖον οὐκ εἰς ἑαυτὴν μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτῆς κατάγουσα τὴν εὐσέβειαν· ἐξ ἁγίας ἀπαρχῆς ὄντως ἅγιον φύραμα. τοσοῦτον δὲ αὐτὸ αὐξήσασά τι καὶ πλεονάσασα, ὥστε ἤδη τινὲς (φθέγξομαι γὰρ, εἰ καὶ τολμηρὸς ὁ λόγος) μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα ἑτέρου τινός, ἢ ταύτης ἔργον γενέσθαι, πιστευθῆναί τε καὶ ῥυθμισθῆναι, καὶ ὢ τοῦ θαύματος, ἆθλον εὐσεβείας ἐπιθῆναι μείζονα καὶ πλεωτέραν εὐσέβειαν. φιλόπαιδες ἄμφω καὶ φιλόχριστοι, τὸ παραδοξότατον, μᾶλλον δὲ φιλόχριστοι πλέον, ἢ φιλόπαιδες. οἷς γε καὶ τῆς τεκνογονίας τις ἀπόλαυσις ἦν, τὸ ἀπὸ χριστοῦ καὶ γνωρίζεσθαι καὶ ὀνομάζεσθαι, καὶ εἰς εὐπαιδίας ὅρος ἡ ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις. εὔσπλαγχνοι, συμπαθεῖς, ἁρπάζοντες τὰ πολλὰ σητῶν, καὶ λῃστῶν, καὶ τοῦ κοσμοκράτορος, ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν μετασκευαζόμενοι, καὶ κλῆρον μέγιστον τοῖς παισὶ τὴν ἐκεῖθεν λαμπρότητα θησαυρίζοντες. οὕτω τοι καὶ εἰς λιπαρὸν ἔφθασαν γῆρας, ὁμότιμοι καὶ τὴν ἀρετὴν καὶ τὴν ἡλικίαν, καὶ πλήρεις ἡμερῶν τῶν τε μενουσῶν, ὁμοίως καὶ τῶν λυομένων. πλὴν τοσοῦτον ἑκάτερος οὐκ ἔχων τὰ πρῶτα τῶν ἐπὶ γῆς, παρ' ὅσον ὑπ' ἀλλήλων εἰς τὸ πρωτεῖον ἐκωλύοντο. καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσαν, πλὴν τῆς πλουτείας ταύτης, ὡς ἂν οἰηθείη τις, εἴτε δοκιμασίας χρὴ λέγειν, εἴτε οἰκονομίας. ἡ δέ ἐστιν, ὡς ὁ ἐμὸς λόγος, τὸ σφαλερώτερον τῶν παίδων δι' ἡλικίαν προπέμψαντες, οὕτως ἤδη καταλῦσαι τὸν βίον ἐν ἀσφαλείᾳ, καὶ πρὸς τὰ [illegible] μετατεθῆναι.

καὶ ταῦτα δηλαδή, οὐ τούτους ἐγκωμιάσαι βουλόμενος, οὐδὲ ἀγνοῶν, ὅτι μόλις ἄν τις τῆς ἀξίας ἐφίκοιτο, καὶ ὅλην ὑπόθεσιν λόγου τὸν τούτων ἔπαινον ἐνστησάμενος, ἀλλ' ἵν' ἐνδείξωμαι ἐκ πατέρων ὁ φερόμενος κληρονομείᾳ τὴν ἀρετήν. καὶ μὴ θαυμάζητε, μηδὲ ἀπιστῆτε, εἰ τοιούτων τυχὼν γεννητόρων, τοιοῦτον ἑαυτὸν παρέσχεν ἐπαίνων ἄξιον· ἀλλὰ τοὐναντίον, εἰ πρὸς ἑτέρων εἶδεν, τῶν οἰκείων καὶ τῶν ἐγγύθεν ἀμελήσας παραδειγμάτων. τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα προσήκειν ἐστὶ τοῖς ὄντως εὖ γεγονόσι, καὶ καλῶς βιώσεσθαι μέλλουσιν. ἵνα δὲ τὰ ἐν μέσῳ σιωπήσω, κάλλος καὶ μέγεθος, ἐπὶ τὴν ἐν πᾶσι τοῦ ἀνδρὸς χαίρειν, καὶ ὥσπερ ἐν φθόγγοις εὐαρμοστίαν, ὅτι μηδὲ πρὸς ὑμῶν τὰ τοιαῦτα θαυμάζειν, εἰ καὶ τοῖς ἄλλοις οὐ μικρὰ φαίνεται, πρὸς τὰ ἐφεξῆς βαδιοῦμαι τοῦ λόγου, καὶ ἃ μηδὲ βουλομένῳ παραλιπεῖν ῥᾴδιον. παρὰ δὲ τούτοις ἤθει τραφέντος καὶ παιδευθέντος, καὶ τοῖς ἐνταῦθα μαθήμασιν ἱκανῶς ἐνασκηθέντος, ἐν οἷς ἐκεῖνος τάχει τε μεγάλης φύσεως, οὐδ' ἂν εἴποι τις ὅσον ὑπὲρ τοὺς πολλοὺς ἦν. ὦ, πῶς ἀδακρυτὶ τὴν τούτων παρέλθω μνήμην, κἂν μύριά με ἀφιλόσοφον ἐλέγξῃ τὸ πάθος παρὰ τὴν ὑπόσχεσιν; ἀλλ' ἐπειδή γε ἀποδημίας καιρὸς ἐδόκει, σὺ τότε πρῶτον ἀπ' ἀλλήλων ἐχωρίσθημεν· ἐγὼ μὲν τοῖς κατὰ Παλαιστίνην ἐγκαταμείνας παιδευτηρίοις, εὐθοῦσι τότε, καὶ ῥητορικῆς ἐρῶντα. ὁ δὲ τὴν Ἀλεξάνδρου πόλιν καταλαβών, παντοίας παιδεύσεως, καὶ τότε καὶ νῦν οὖσάν τι καὶ δοκοῦσαν ἐργαστήριον. τί πρῶτον, ἢ τί μέγιστον εἴπω τῶν ἐκείνου καλῶν; τί δὲ παρείς, μὴ τῷ μεγίστῳ ζημιώσω τὸν λόγον; τίς μὲν ἐκείνου διδασκάλοις πιστότερος; τίς δὲ ἥλιξι προσφιλέστερος; τίς μὲν μᾶλλον ἀπέφυγε τὴν τῶν μοχθηρῶν ἑταιρείαν καὶ ὁμιλίαν; τίς δὲ τὴν τῶν βελτίστων ἑαυτῷ προσέθηκε πλέον, ἄλλοις τε, καὶ τῶν ἐκ τῆς πατρίδος τοῖς εὐδοκιμωτάτοις καὶ γνωριμωτάτοις; εἰδὼς οὐδὲ τοῦτο φέρειν μικρὸν εἰς ἀρετὴν ἢ κακίαν, τὰς συνουσίας. ἐκ τούτων, τίς μὲν ἄρχουσιν ἐκείνου τιμιώτερος; τίς δὲ τῇ πόλει πάσῃ; καί τοι γε διὰ τὸ μέγεθος πάντων ἐγκρυπτόμενον, ἢ αὐτῇ σωφροσύνῃ γνωριμώτερος, ἢ αὐτῇ συνέσει περιφανέστερος; τίνα μὲν οἶδεν οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ τίνα, ὡς οὐδὲ μόνον ἕτερος. τίνι δὲ παρῆκεν ἐγγὺς αὐτοῦ γενέσθαι, καὶ κατὰ μικρὸν ἀσχημονεῖν τῶν καθ' ἑαυτὸν καὶ τῆς αὐτοῦ ἡλικίας, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ παλαιοτέρων ἐν τοῖς μαθήμασι, καὶ πάντα ὡς ἐν ἐξασκήσεις, καὶ αὐτὴν πάντων ἕκαστον. τοὺς μὲν πλείους τὴν φύσιν, φιλοπονίᾳ νικήσας, τοὺς δὲ γενναίους τὴν ἄσκησιν διανοίας ὀξύτητι. μᾶλλον δὲ τάχει μὲν τοὺς ταχεῖς, σπουδῇ δὲ τοὺς φιλοπόνους ὑπερβαλών, καὶ τοὺς κατ' ἄμφω δεξιοὺς ἀμφοτέροις. γεωμετρίας μέν γε καὶ ἀστρονομίας, καὶ τῆς ἐνθηκευτικῆς τοῖς ἄλλοις παιδεύσεως, ὅσον χρήσιμον ἐκλεξάμενος. τοῦτο δὲ ἦν, ἐκ τῆς τῶν οὐρανίων εὐαρμοστίας καὶ τάξεως, τὸν δημιουργὸν θαυμάζειν. ὅσον βλαβερὸν ταύτης, διέφυγεν. οὐ τῇ φορᾷ τῶν ἄστρων, διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα, ὡς οἱ τὴν ὁμόδουλον ἑαυτῶν κτίσιν ἐπανιστάντες τῷ κτίσαντι, θεῷ δὲ καὶ τἄλλα πάντα ὥσπερ εἰκὸς ἀναθείς, καὶ τὴν τούτων κίνησιν. ἀριθμῶν δὲ καὶ λογισμῶν καὶ τῆς θαυμασίας ἰατρικῆς, ἣ τὰ περὶ φύσεις καὶ κράσεις, καὶ τὰς ἀρχὰς τῶν νοσημάτων φιλοσοφεῖ, ὥστε τὰς ῥίζας ἀναιρουμένας, συνεκκόπτειν καὶ τὰ βλαστήματα, τίς οὕτως ἀμαθὴς ἢ φιλόνεικος, ὡς ἐκείνῳ δοῦναι τὰ δεύτερα, καὶ μὴ ἀγαπήσῃ, εἰ μετ' ἐκεῖνον εὐθὺς ἀριθμοῖτο, τὸ πρεσβεῖον ἐν τοῖς δευτέροις φερόμενος; σὺ ταῦτα οὐ λόγος ἐστὶν ἀμάρτυρος, ἀλλ' ἑῷα τε ὁμοῦ λῆξις καὶ ἑσπέριος, καὶ ὅσην ἐκεῖνος ἐπῆλθεν ὕστερον, ἐπίσημοι στῆλαι τῆς ἐκείνου παιδεύσεως. ἐπεὶ δὲ πᾶσαν ἀρετήν τε καὶ μάθησιν, ὥσπερ μεγάλη φορτὶς παντοδαπὴν ἐμπορίαν, εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συλλεξάμενος, ἐπὶ τὴν ἑαυτοῦ πόλιν ἐστέλλετο, ὡς ἂν καὶ τοῖς ἄλλοις μεταδοίη τῆς καλῶν ἀπωνήμενον τῆς ἑαυτοῦ παιδεύσεως, ἐνταῦθά τι καὶ συνηνέχθη πρᾶγμα θαυμάσιον, οὐδὲν δὲ ἧττον. καὶ παρ' ἐμέ γε μάλιστα πάντων εὐφραίνει τοῦτο μνημονευθέν, καὶ ὑμᾶς ἂν ἡδίους ποιήσειεν, ἐν βραχεῖ διηγήσασθαι. ηὔχετο μὲν ἡ μήτηρ, εὐχὴν μητρικήν τινα καὶ φιλόπαιδα, ὥσπερ ἐξέπεμψεν ἀμφοτέρους, οὕτω καὶ σὺν ἀλλήλοις ἐπανελθόντας ἰδεῖν. ξυνωρὶς γὰρ ἐδοκοῦμέν τις, καὶ εἰ μὴ τοῖς ἄλλοις, μητρί γ' οὖν, εὐχῆς καὶ θέας ἀξία σὺν ἀλλήλοις ὁρώμενοι, ἣ νῦν κακῶς παρὰ τοῦ φθόνου διαλυθεῖσα. θεοῦ δὲ οὕτω κινήσαντος, ὃς ἀκούει δικαίας εὐχῆς, καὶ φίλτρον τιμᾷ γονέας εἰς παῖδας εὐγνώμονας, ἐξ οὐδεμιᾶς ἐπινοίας οὐδὲ συνθήματος, ὁ μὲν ἀπὸ τῆς Ἀλεξανδρείας, ὁ δὲ ἀπὸ τῆς Ἑλλάδος, κατὰ τὸν αὐτὸν χρόνον εἰς τὴν αὐτὴν πόλιν, ὁ μὲν ἀπὸ γῆς, ὁ δὲ ἀπὸ θαλάσσης κατήραμεν. ἡ πόλις δὲ τὸ Βυζάντιον, ἡ νῦν προκαθεζομένη τῆς Εὐρώπης, πόλις, ἐν ᾗ τοσοῦτον Καισάριος κλέος οὐ πολλοῦ χρόνου διελθόντος ἤνεγκεν, ὥστε δημοσίας τιμὰς αὐτῷ καὶ γάμον τῶν εὐδοκίμων, καὶ τῆς συγκλήτου βουλῆς μετουσίαν προτεθῆναι, καὶ πρὸς βασιλέα πρεσβείαν σταλῆναι τὸν μέγαν ἀπὸ κοινοῦ δόγματος, τὴν πρώτην πόλιν, τῷ πρώτῳ λογίων κοσμηθῆναί τε καὶ τιμηθῆναι. εἴ τι μέλλοι αὐτῷ τὸ πρῶτον ἀληθῶς εἶναι, καὶ τῆς ἐπωνυμίας ἀξίαν, καὶ τοῦτο προστεθῆναι πᾶσι τοῖς ὑπὲρ αὐτῆς διηγήμασι. ᾧ χρυσαρείῳ καλλωπίζεσθαι, καὶ ἰατρῷ καὶ οἰκήτορι. καί τοι γε μετὰ τῆς ἄλλης λαμπρότητος πολλοῖς καὶ μεγάλοις εὐθυνουμένην ἀνδράσι, κατά τε φιλοσοφίαν,

σοφίαν, καὶ τά τε τὴν ἄλλην παίδευσιν. ἀλλὰ ταῦτα μὲν ἱκανῶς. τὸ δ' ἐπὶ τούτοις γενόμενον, τοῖς μὲν ἄλλοις συντυχία τις ἔνδοξος ἄλογος καὶ ἀναίτιος, οἷα φέρει πολλὰ τὸ αὐτόματον ἐν τοῖς ἡμετέροις, τοῖς δὲ φιλοθέοις, καὶ λίαν εὐσεβέσιν, μὴ ἄλλό τι ἢ συμβαίνειν ἐστὶν, ἢ γονέων θεοφιλῶν ἔργον, ἐκ γῆς καὶ θαλάττης τοὺς παῖδας συναγόντων εἰς μίαν εὐχῆς ἐκπλήρωσιν. φέρε μηδὲ τοῦτο τῶν Καισαρίου καλῶν παρέλθωμεν, ὃ τοῖς μὲν ἄλλοις ἴσως μικρόν, καὶ οὐδὲ μνήμης ἄξιον, ἐμοὶ δὲ καὶ τότε καὶ νῦν μέγιστον ἔδοξεν, εἴπερ τι ἐπαινετὸν ἡ φιλαδελφία, καὶ οὐ παύσομαι τιθεὶς ἐν πρώτοις, ὁσάκις ἂν τὰ ἐκείνου διηγῶμαι. κατεῖχε μὲν αὐτὸν αὐτοῦ ἐπὶ τιμαῖς ἡ πόλις, καὶ οὐδ' ἂν εἴ τι γένοιτο, μεθήσειν ἔφασκον. ἐγὼ δὲ ἀνθέλκων ἴσχυσα, ὁ πάντα Καισαρίῳ πολὺς καὶ τίμιος, καὶ τοῖς γεννῶσι τὴν εὐχὴν πληρῶσαι, καὶ τῇ πατρίδι τὸ χρέος. καὶ ἐμαυτῷ τὸν πόθον, λαβὼν τῆς ὁδοῦ κοινωνὸν καὶ συνέμπορον, καὶ προτιμηθεὶς οὐ πόλεων καὶ δήμων μόνον, οὐδὲ τιμῶν καὶ πόρων, οἳ πολλοὶ καὶ πολλαχόθεν οἱ μὲν συνέρρεον ἐκείνῳ, οἱ δὲ ἠλπίζοντο, ἀλλὰ καὶ αὐτοῦ βασιλέως σχεδὸν, καὶ τῶν ἐκεῖθεν ἐπαγγελμάτων. ἐντεῦθεν ἐγὼ μὲν φιλοσοφεῖν διέγνωσαν, καὶ πρὸς τὸν ἄνω βίον μεθαρμοσθῆναι, ὥσπερ τινὰ βαρὺν δεσπότην καὶ ἀρρώστημα χαλεπὸν, πᾶσαν φιλοτιμίαν ἀποσεισάμενος. μᾶλλον δὲ ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος. ὁ δὲ τὰ πρῶτα τῆς παιδεύσεως ἀναθεὶς τῇ ἑαυτοῦ πατρίδι, καὶ θαυμασθεὶς τῶν πόνων ἀξίως μετὰ ταῦτα, δόξης ἐπιθυμίᾳ, καὶ τοῦ προστατεύειν τῆς πόλεως, ὡς ἐμέ γε συνέπειθον, τοῖς βασιλείοις δίδωσιν, οὐ πάνυ μὲν ἡμῖν φίλα ποιοῦντα, καὶ κατὰ γνώμην. καὶ γὰρ ἀπολογήσομαι πρὸς ὑμᾶς, ὅτι πολλοστόν τι τάχθαι παρὰ θεῷ κρεῖττον εἶναι δοκεῖ τε καὶ ὑψηλότερον, ἢ παρὰ τῷ κάτω βασιλεῖ τὰ πρῶτα φέρεσθαι, οὐ μὴν ἄξιός γε μέμψεως. φιλοσοφεῖν μὲν γὰρ ὅσῳ μέγιστον, τοσούτῳ καὶ χαλεπώτατον, καὶ οὐ πολλῶν τὸ ἐγχείρημα, ἀλλ' ἢ τῶν ὑπὸ τοῦ θείου προκεκλημένων μεγαλονοίας, ἢ τοῖς προῃρημένοις καλῶς χεῖρα δίδωσιν. οὐ μικρὸν δὲ εἴ τις τὸ δεύτερον προστησάμενος βίον, καλοκαγαθίας μεταποιοῖτο. καὶ πλείω λόγον ἔχοι θεοῦ καὶ τῆς ἑαυτοῦ σωτηρίας, ἢ τῆς κάτω λαμπρότητος. καὶ τὴν μὲν ὡς σκηνὴν προβάλλοιτο, ὥσπερ προσωπεῖον τῶν πολλῶν καὶ πρόσκαιρον, ἐν τῷ κόσμῳ τούτῳ δρᾶμα ὑποκρινόμενος, αὐτὸς δὲ ζώοι θεῷ μετὰ τῆς εἰκόνος, ἣν οἶδεν παρ' ἐκείνου λαβὼν καὶ ὀφείλων τῷ δεδωκότι. ὅπερ ἀμέλει καὶ Καισάριον διανοηθέντα γινώσκομεν. τὰ πρῶτα μὲν γὰρ τὴν πρώτην ἐν ἰατροῖς τάξιν, οὐδὲ πολλοῦ πόνου προσδεηθείς, ἀλλ' ἐπιδείξας μόνον τὴν παίδευσιν, μᾶλλον δὲ βραχύ τινα τῆς παιδεύσεως, δι' πρόλογον, κἀν τοῖς φίλοις τοῦ βασιλέως εὐθὺς ἀριθμούμενος, τὰς μεγίστας καρποῦται τιμάς. ἄμισθον δὲ τὴν τῆς τέχνης φιλανθρωπίαν τοῖς ἐν τέλει προτίθησιν, εἰδὼς οὐδὲν οὕτως, ὡς ἀρετὴν, καὶ τὸ ἐπὶ τοῖς καλλίστοις γινώσκεσθαι, προάγειν εἰς τὸ ἔμπροσθεν, καὶ ὢν τῇ τάξει δεύτερος ἦν, τοῦτον κατὰ πολὺ παρῆλθε τῇ δόξῃ. πᾶσι μὲν ὢν διὰ σωφροσύνην ἐπέραστος, καὶ διὰ τοῦτο τὰ τίμια πιστευόμενος, καὶ μηδὲν ἱπποκράτους ὅρκου προσδεόμενος, ὡς μηδὲ ἐστὶ καὶ τὴν κράτητος ἁπλότητα πρὸς τὴν ἐκείνου θεωρουμένην. πᾶσι δὲ πλέον, ἢ κατὰ τὴν ἀξίαν αἰδέσιμος. μεγάλων μὲν ἀεὶ τῶν παρόντων ἀξιούμενος, μειζόνων δὲ ἄξιος εἶναι τῶν ἐλπιζομένων κρινόμενος, τοῖς τε βασιλεῦσιν αὐτοῖς, καὶ ὅσοι τὰ πρῶτα μετ' ἐκείνους ἔχουσιν. τὸ δὲ μέγιστον, ὅτι μήτε ὑπὸ τῆς δόξης, μήτε ὑπὸ τῆς ἐν μέσῳ τρυφῆς, τὴν τῆς ψυχῆς εὐγένειαν διεφθάρη. ἀλλὰ πολλῶν καὶ μεγάλων ὑπαρχόντων αὐτῷ, πρῶτον ἦν εἰς ἀξίωμα χριστιανὸς καὶ εἶναι καὶ ὀνομάζεσθαι, καὶ πάντα ὁμοῦ παιδιά τις ἐκείνῳ καὶ λῆρος, πρὸς ἓν τοῦτο κρινόμενα. τὰ μὲν γὰρ ἄλλα ὡς ἐπὶ σκηνῆς καὶ ἄλλοις παίζεσθαι, τάχιστα πηγνυμένης τε καὶ καταλυομένης, τάχα δὲ φθειρομένης ῥᾷον, ἢ συνισταμένης, ὡς ἔστιν ἰδεῖν ἐκ τῶν πολλῶν τοῦ βίου μεταβολῶν, καὶ τῆς ἄνω καὶ κάτω μετὰ πτώσεως εὐπορείας. μόνον δὲ ἴδιον ἀγαθὸν εἶναι καὶ παραμένον ἀσφαλῶς, τὴν εὐσέβειαν. ταῦτα Καισαρίῳ ἐφιλοσοφεῖτο κἀν τῇ χλανίδι. ταύταις καὶ συνέζησε ταῖς ἐννοίαις, καὶ συναπῆλθε μείζω τῶν φαινομένων εἰς τὸ κοινὸν εὐσέβειαν, θεῷ γνωρίζων καὶ παριστὰς τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον. καὶ εἴ με δεῖ πάντα παρέντα, τὴν προστασίαν τῶν ἐν γένει ἀτυχησάντων, τὴν ὑπεροψίαν τοῦ τύφου, τὴν πρὸς τοὺς φίλους ἰσοτιμίαν, τὴν πρὸς τοὺς ἄρχοντας παρρησίαν, τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ λόγους, οὓς πολλάκις καὶ πρὸς πολλοὺς συνεστήσατο, οὐ λογικῶς μόνον, ἀλλὰ καὶ λίαν εὐσεβῶς τε καὶ διαπύρως, ἓν ἀντὶ πάντων εἰπεῖν τῶν ἐκείνου τὸ γνωριμώτατον. ἐλύσσα καθ' ἡμῶν βασιλεὺς ὁ δυσώνυμος, καὶ καθ' ἑαυτοῦ πρῶτον μανεὶς, ἐκ τῆς εἰς Χριστὸν ἀθετήσεως, ἀφόρητος ἤδη καὶ τοῖς ἄλλοις ἦν, οὐδ' ἐν ἴσῳ τοῖς λοιποῖς χριστομάχοις, μεγαλοψύχως ἀπογραφόμενος εἰς τὴν ἀσέβειαν, ἀλλὰ βλέπων τὸν διωγμὸν ἐν ἐπιεικείας πλάσματι, καὶ κατὰ τὸν σκολιὸν ὄφιν, ὃς τὴν ἐκείνου κατεῖχε ψυχὴν, παντοίαις μηχαναῖς ὑποσπῶν τοὺς ἀθλίους εἰς τὸ ἑαυτοῦ βάραθρον. καὶ τὸ μὲν πρῶτον αὐτοῦ τέχνασμά τι καὶ σόφισμα, πάσχοντας τοὺς χριστιανοὺς ὡς κακούργους κολάζεσθαι, ἵνα μηδὲ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς τυγχάνοιεν. ἐφθόνει γὰρ καὶ ταύτης χριστιανοῖς ὁ γεννάδας, πάσχοντας ὡς χριστιανοὺς, ὡς κακούργους κολάζεσθαι. τὸ δὲ δεύτερον,

τρόπον, πειθοῦς ὄνομα προσεῖναι τῷ γινομένῳ, μὴ τυραννίδος, ὡς ἂν μεῖζον ᾖ τοῦ κινδύνου τὸ τῆς αἰ-
σχύνης, αὐθαιρέτως χωροῦσι πρὸς τὴν ἀσέβειαν, καὶ σὺν μὲν χρήμασι, σὺν δὲ ἀξιώμασι, σὺν δὲ ὑπο-
σχέσεσι, σὺν δὲ παντοίαις τιμαῖς ὑφελκόμενοι, ἃς οὐ βασιλικῶς προσῆγε, ἀλλὰ καὶ λίαν
δουλοπρεπῶς, ἐν ταῖς ἁπάντων ὄψεσι. ἐνίοις δὲ τῇ γοητείᾳ τῶν λόγων καὶ τῷ καθ' ἑαυτοῦ ὑπο-
δείγματι. ὃ πολλοῖς πειρᾶται καὶ κατασείειν. φεῦ τῆς παραπληξίας καὶ τῆς ἀνοίας, εἰ Και-
σάρειόν τι ὄντα καὶ ἀδελφὸν ἐμὸν, καὶ τῶν γονέων τούτων, συλλήψεσθαι ἤλπισεν· ἀλλ' ἵνα μι-
κρὸν προσδιατρίψω περὶ τὸν λόγον, καὶ καταγλυφήσω τοῦ διηγήματος, ὡς οἱ πρέποντες τοῦ θαύ-
ματος, εἰσῄει μὲν ὁ γενναῖος ἐκεῖνος, τῷ τοῦ χριστοῦ σημείῳ φραξάμενος, καὶ τὸν μέγαν λόγον ἑαυ-
τοῦ προβαλλόμενος, πρὸς τὸν πολὺν ἐν ὅπλοις καὶ μέγαν ἐν λόγων δεινότητι. οὐδὲν δὲ καταπλα-
γεὶς πρὸς τὴν ὄψιν, οὐδὲ θωπείᾳ τινὶ καταβαλὼν τοῦ φρονήματος, ἀθλητὴς ἕτοιμος ἦν καὶ λόγῳ
καὶ ἔργῳ πρὸς τὸν ἐν ἀμφοτέροις δυνατὸν ἀγωνίζεσθαι. τὸ μὲν οὖν στάδιον τοιοῦτον, καὶ ὁ τῆς εὐσεβεί-
ας ἀγωνιστὴς τοσοῦτος, καὶ ἀγωνοθέτης, ἔνθεν μὲν χριστὸς τοῖς ἑαυτοῦ πάθεσι τὸν ἀθλητὴν ἐξοπλί-
ζων, ἐκεῖθεν δὲ δεινὸς τύραννος, τῇ τῶν λόγων οἰκειότητι προσσαίνων, καὶ τῷ τῆς ἐξουσίας ὄγ-
κῳ καταπληττόμενος. θέατρον δὲ ἀμφοτέρωθεν, τῶν τε τῇ εὐσεβείᾳ λειπομένων ἔτι, καὶ τῶν ὑπ' ἐκεί-
νῳ συνηρπασμένων, ὅπῃ νεύσει τὰ κατ' αὐτὸν ἀκροσκοπούντων, ὅστις νικήσειε, πλείω τὴν ἀ-
γωνίαν ἐχόντων, ἢ περὶ οὗ τὸ θέατρον. ἆρ' οὐκ ἔδεισας περὶ Καισαρίου, μή τι πάθῃ τῆς προθυ-
μίας ἀνάξιον; ἀλλὰ θαρσεῖτε, μετὰ χριστοῦ γὰρ ἡ νίκη τοῦ τὸν κόσμον νικήσαντος. τὰ μὲν οὖν
καθ' ἕκαστον τῶν τότε ῥηθέντων, ἢ προτεθέντων ἐκδιηγεῖσθαι τανῦν, ἐγὼ μὲν εὖ ἴστε τοῦ παντὸς
ἂν ἐτιμησάμην. καὶ γὰρ καὶ λογικάς τινας ἔστιν ἃς ἔχει στροφὰς καὶ κομψείας ὁ λόγος. ἐμοι-
γ' οὖν οὐκ ἀηδεῖς εἰς μνήμην, ἔξω δ' ἂν εἴη παντελῶς τοῦ καιροῦ καὶ τοῦ λόγου. ὡς δὲ πάσας αὐτοῦ
τὰς ἐν τοῖς λόγοις πλοκὰς διαλύσας, καὶ πεῖραν ἅπασαν ἀφανῆ τε, καὶ φανερὰν, ὥσπερ
τινὰ παιδιὰν ἀπωσάμενος, μεγάλῃ τε καὶ λαμπρᾷ τῇ φωνῇ, τὸ χριστιανὸς εἶναί τε καὶ μένειν ἀνε-
κήρυξεν. οὐδ' οὕτω μὲν παντελῶς ἀπεπέμπετο. καὶ γὰρ δεινὸς ὅλως εἶχε τὸν βασιλέα, τῇ Καισα-
ρείου παιδεύσει συνεῖναι καὶ καλλωπίζεσθαι. ἡνίκα καὶ τὸ περιβόητον τοῦτο ἐν ταῖς τῶν πάν-
των ἀκοαῖς ἐφθέγξατο· ὦ πατρὸς εὐτυχοῦς, ὦ παίδων δυστυχῶν. ἐπειδὴ καὶ ἡμᾶς ἠξίωσε τι-
μῆσαι τῇ κοινωνίᾳ τῆς ἀτιμίας, ὧν καὶ τὴν παίδευσιν ἀθλίως ἔγνω, καὶ τὴν εὐσέβειαν. δεῦ-
τερος δὲ εἰσόδῳ ταμιευθείς, ἐπειδή γε καὶ πόρρωθεν ἐκεῖνον ἡ δίκη καταλαβοῦσα ἐξώπλισεν, ἐπάνει-
σι πρὸς ἡμᾶς φυγὰς μακάριος, καὶ τροπαιοῦχος ἀναίμακτος, καὶ περιφανέστερος τῆς ἀτιμίας
ἢ τῆς λαμπρότητος. ταύτην ἐγὼ τὴν νίκην τῆς πολλῆς ἐκείνου χειρὸς, καὶ τῆς ὑψηλῆς ἀλουργί-
δος, καὶ τοῦ πολυτελοῦς διαδήματος, ὑψηλοτέραν κρίνω μακρῷ καὶ τιμιωτέραν, τούτῳ τῷ διη-
γήματι πλέον ἐπαίρομαι, ἢ εἰ πᾶσαν ἐκείνῳ τὴν βασιλείαν ἀπεμερίσατο. τοῖς μὲν οὖν πονη-
ροῖς ὑποχωρεῖ χρόνοις, καὶ τοῦτο κατὰ τὴν ἡμετέραν νομοθεσίαν. ἐνστάντος μὲν καιροῦ, διακινδυ-
νεύειν ὑπὲρ τῆς ἀληθείας, καὶ μὴ προδιδόναι δειλίᾳ τὴν εὐσέβειαν. ἕως δ' ἂν ἐξῇ, μὴ προκαλεῖ-
σθαι τοὺς κινδύνους κελεύουσαν, εἴτε δέει τῶν ἀσθενεστέρων ψυχῶν, εἴτε φειδοῖ τῶν ἐπαγόντων τὸν κίν-
δυνον. ἐπεὶ δὲ ὁ ζόφος ἐλύθη, καὶ ἡ ὑπερορία καταλαβοῦσα ἐδίκασε, καὶ ἡ στιλβωθεῖσα ῥομφαία τοὺς
ἀσεβεῖς κατέβαλον, καὶ χριστιανοῖς ἐπανῆλθε τὰ πράγματα, τί δεῖ λέγειν μεθ' οἵας δόξης τε
καὶ τιμῆς. ἢ τῶν μαρτυριῶν οἵων καὶ ὅσων, καὶ ὡς διδοὺς χάριν μᾶλλον ἢ κομιζόμενος, τοῖς βασι-
λείοις αὖθις ἀναλαμβάνεται, καὶ διαδέχεται τὴν προτέραν τιμὴν ἡ δευτέρα; καὶ βασιλεῖς μὲν
ὁ χρόνος μετήμειψε, Καισαρίῳ δὲ τὸ τῆς εὐδοξίας ἄλυτον, καὶ τὸ παρ' αὐτοῖς πρωτεῖον, καὶ ἀγῶνας
βασιλεῦσιν, ὅστις μᾶλλον Καισάριον οἰκειώσηται, καὶ οὗ μᾶλλον ἐκεῖνος ὀνομασθῇ φίλος καὶ γνώ-
ριμος. τοιαῦτα Καισαρίῳ τὰ τῆς εὐσεβείας, καὶ παρὰ τῆς εὐσεβείας. ἀκουέτωσαν νέοι καὶ ἄν-
δρες, καὶ διὰ τῆς αὐτῆς ἀρετῆς, πρὸς τὴν αὐτὴν ἐπιφάνειαν ἐπειγέσθωσαν. ἀγαθῶν γὰρ τού-
των καρπὸς εὐκλεής, ὅσοις καὶ τοῦτο διὰ σπουδῆς, καὶ μέρος εὐδαιμονίας ὑπολαμβάνεται.
ἀλλ' ὅ γε δὴ καὶ τοῦτο τῶν περὶ αὐτὸν θαυμαστὸν, ὁμοῦ τι τῆς τῶν γονέων θεοσεβείας, καὶ τῆς ἐκείνου μεγά-
λην ἔχον ἀπόδειξιν. διέτριβε μὲν ἐν τῇ Βιθυνῶν, τὴν οὐ πολλοστὴν ἀπὸ βασιλέως διέπων
ἀρχήν. ἦν δὲ ἦν, ταμιεύειν βασιλεῖ τὰ χρήματα, καὶ τῶν θησαυρῶν ἔχειν τὴν ἐπιμέλειαν. ἐν-
τεῦθεν γὰρ αὐτὸς τὰς μείζους ἀρχὰς βασιλεὺς προοιμιάζεται. τοῦ δὲ πρῴην συνενεχθέν-
τος ἐν Νικαίᾳ σεισμοῦ, ὃ πᾶσαν μικροῦ τὴν πόλιν κατενήνοχε, καὶ δὴ χαλεπώτατος τῶν
πώποτε μνημονευομένων γεγονέναι λέγεται. μικροῦ σὺν πάντας ἐγκαταλαβόντος, καὶ περὶ τῆς
πόλεως κάλλει συναφανίσαντος, μόνος τῶν ἐπιφανῶν, ἢ κομιδῇ σὺν ὀλίγοις, ἐκ τοῦ κιν-
δύνου περισώζεται, καὶ σωτηρίαν ἀπτουμένην αὐτὸν σκεπασθεὶς τῷ συμπτώματι, καὶ μι-
κρὰ σημεῖα τοῦ κινδύνου φερόμενος, ὅσον τοὺς φόβους παιδαγωγοὺς λαβεῖν τῆς μείζονος σωτη-
ρίας. καὶ ὅλος τῆς ἄνω γενέσθαι μοίρας, μεταθέμενος τὴν στρατείαν ἐκ τῶν κινουμένων,
καὶ ἀμείψας ἑαυτὸν τὰ βασίλεια. τοῦτο μὲν οὖν καὶ διενοεῖτο, καὶ κατὰ σπουδὴν ἑαυτὸν
συνεῖχε, ὡς πρὸς ἐμὲ γεγράφας ἔπειθεν, ἀφ' ἧς πάντα τὸν καιρὸν εἰς νουθέτησιν, ὅπερ οὐδ'
ἄλλοτε

Δημοσθ. περὶ στεφάνου. Τὰ μὲν καθ' ἕκαστα ἐγὼ μὲν ἂν ἡ[δέως] παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου.

δήποτε ἰδὼν ἐπικυσάμην, ζηλοτυπῶν τὸ ἐκείνου μεγαλοφυὲς στρεφόμενον ἐν ταῖς χέρσι, καὶ τὴν φιλόσοφον οὕτω ψυχὴν ἐν τοῖς ἀκουσίοις καλινδουμένην καὶ ὥσπερ ἥλιον νέφει συγκαλυπτομένην. ἀλλὰ τοῦ μὲν σεισμοῦ κρείττων ἐγένετο, τῆς νόσου δὲ οὐκ ἔτι, καὶ γὰρ ἦν ἄνθρωπος. καὶ τὸ μὲν ἴδιον ἐκείνου, τὸ δὲ κοινὸν πρὸς τοὺς ἄλλους. ὥστε τὸ μὲν τῆς εὐσεβείας, τὸ δὲ τῆς φύσεως. καὶ προὔλαβεν ἡ παραμυθία τὸ πάθος, ἵνα περὶ θανάτῳ σωθέντος, τῷ παραδόξῳ τῆς τότε σωτηρίας ἐγκαυχησώμεθα. καὶ νῦν ἡμῖν ὁ πολὺς Καισάριος ἀποδέδοται, κόνις τιμία, νεκρὸς ἐπαινούμενος, ὕμνοις ἐξ ὕμνων παραπεμπόμενος, μαρτύρων βήμασι προπεμπόμενος, γονέων χερσὶν ὁσίαις τιμώμενος, μητρὸς λαμπροφορίᾳ περὶ τὸ πάθει τὴν εὐσέβειαν ἀντεισαγούσης, δάκρυσιν ἡττωμένοις φιλοσοφίᾳ, ψαλμῳδίαις κοιμιζούσαις τοὺς θρήνους, ὥστε τῆς νεοκτίστου ψυχῆς, ἣν τὸ πνεῦμα δι' ὕδατος ἀνεμόρφωσεν, ἄξια τὰ γέρα καρπούμενος. τοῦτό σοι Καισάριε παρ' ἐμοῦ τὸ ἐντάφιον. αὗται τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί, οὓς κρυπτομένους πολλάκις μεμψάμενος, ἐπὶ σοὶ γυμνώσειν ἔμελλες. οὗτος ὁ παρ' ἐμοῦ κόσμος, σοὶ δὲ κόσμου παντὸς οἶδα φίλτατος, οὐ σηρῶν πολυῤῥέοντα, καὶ μαλακὰ νήματα, οἷς οὐδὲ ζῶν ἔχαιρες, κατὰ τοὺς πολλούς, ἀρετῇ μόνῃ κοσμούμενος, οὐδὲ λίνου διαφανοῦς ὑφάσματα, οὐδὲ μύρων πολυτίμων ἐπιχύσεις, ἃ ταῖς γυναικωνίτισιν ἀπετίμα που καὶ πρότερον, καὶ ὧν ἡμέρα μία λύει τὴν εὐωδίαν, οὐδ' ἄλλο τι τῶν μικρῶν καὶ τοῖς μικροῖς τιμίων, ἃ πάντα κατέκρυψεν ἂν σήμερον ὁ πικρὸς λίθος οὗτος μετὰ τοῦ καλοῦ σώματος. ἐῤῥέτωσάν μοι ὥστε ἀγῶνες Ἑλληνικοὶ καὶ μῦθοι, δι' ὧν ἔφηβοι δυστυχεῖς ἐτιμήθησαν, μικρὰ μικρῶν ἀγωνισμάτων προτιθέντες τὰ ἔπαθλα. καὶ ὅσα διὰ χοῶν τε καὶ ἀπαρχῶν, ἢ στεμμάτων τε καὶ ἀνθέων νεοδρέπτων ἀφοσιοῦνται τοὺς ἀπελθόντας ἄνθρωποι, νόμῳ πατρίῳ μᾶλλον, καὶ ἀλογίᾳ πάθους ἢ λόγῳ δουλεύοντες. τὸ δὲ ἐμὸν δῶρον, λόγος, ὃ τάχα καὶ ὁ μέλλων ὑπολήψεται χρόνος ἀεὶ κινούμενον, καὶ οὐκ ἐῶν εἰς τὸ παντελὲς ἀπελθεῖν τὸν ἐνθένδε μεταχωρήσαντα, φυλάσσων δὲ ἀεὶ καὶ ἀκοαῖς καὶ ψυχαῖς τὸν τιμώμενον, καὶ πινάκων ἐναργέστερον προτιθεὶς τὴν εἰκόνα τοῦ ποθουμένου. τὰ μὲν δὴ παρ' ἡμῶν τοιαῦτα. εἰ δὲ μικρά, καὶ τῆς ἀξίας ἐλάττω, καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν, καὶ τὰ μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν, τὰς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε περὶ βίῳ περιλειπόμενοι. σὺ δὲ ἡμῖν οὐρανοῖς ἐμβατεύοις ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ ἐν κόλποις Ἀβραάμ, οἵτινες δή ποτέ εἰσιν, ἀναπαύσαιο, καὶ ἀγγέλων ἐποπτεύοις χορείας, καὶ μακαρίων ἀνδρῶν δόξας τε καὶ λαμπρότητας. μᾶλλον δὲ συγχορεύοις καὶ συναγάλλοιο, πάντα καταγελῶν τὰ τῇδε ἀφ' ὕψους, τὰ τῶν καλουμένων πλούτων, καὶ τὰς ἐῤῥιμμένας ἀξίας, καὶ τὰς ψευδομένας τιμάς, καὶ τὴν ἐκ τῶν αἰσθήσεων πλάνην, καὶ τὴν τοῦ βίου τούτου περιφοράν, καὶ τὴν ὥσπερ ἐν νυκτομαχίᾳ σύγχυσίν τε καὶ ἄγνοιαν, βασιλεῖ τῷ μεγάλῳ παριστάμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος, οὗ μικρὰν ἀποῤῥοὴν εὐτελεῖς δεξάμενοι, ὅσον ἐν ἐσόπτροις φαντάζεται καὶ αἰνίγμασιν, αὐτῇ τῇ πηγῇ τοῦ καλοῦ μετὰ ταῦτα ἐντύχοιμεν, καθαρῷ τῷ νοῒ καθαρὰν τὴν ἀλήθειαν ἐποπτεύοντες, καὶ τοῦτον μισθὸν εὑρισκόμενοι τῆς περὶ τὸ καλὸν ἐνταῦθα φιλοπονίας, τὴν τελεωτέραν ἐκεῖσε τοῦ καλοῦ μετουσίαν καὶ θεωρίαν, ὅπερ δὴ τῆς ἡμετέρας τέλος μυσταγωγίας, βίβλοι τε καὶ ψυχαὶ θεολόγοι θεσπίζουσιν. τί λοιπὸν ἔτι τῆς ἐκ λόγου θεραπείας τοῖς ἀλγοῦσι προσοίσομεν; μέγα μὲν τὸ παρὰ τῶν συναλγούντων φάρμακον. καὶ οἱ τὸ ἴσον τοῦ πάθους ἔχοντες, πλεῖόν εἰσιν εἰς παραμυθίαν τοῖς πάσχουσι. μάλιστα μὲν οὖν πρὸς τοιούτους ἐστὶν ἡμῖν ὁ λόγος, ὑπὲρ ὧν αἰσχυνοίμην ἄν, εἰ μὴ καθάπερ ἄλλου παντὸς τοῦ καλοῦ, οὕτω καὶ καρτερίας τὰ πρῶτα φέροιντο. καὶ γὰρ εἰ φιλόπαιδες πάντων μᾶλλον, ἀλλὰ καὶ πάντων μᾶλλον φιλόσοφοι καὶ φιλόχριστοι, καὶ τὴν ἐντεῦθεν μετάβασιν, ἐκ πλέονος αὐτοί τε μελετήσαντες, καὶ τοὺς ἐξ αὐτῶν διδάξαντες, μᾶλλον δὲ τὸν βίον ὅλον μελέτην λύσεως ἐνστησάμενοι. εἰ δέ τι τὸ πάθος ἐπισκοτεῖ τοῖς λογισμοῖς, καὶ καθάπερ λήμη τις τὸν ὀφθαλμὸν ὑπολείβουσα, καθαρῶς συνιδεῖν οὐκ ἐᾷ τὸ δέον, φέρε δέξασθε παράκλησιν οἱ πρεσβύτεροι τοῦ νέου, καὶ τοῦ παιδὸς οἱ πατέρες, καὶ τῶν νουθετεῖν ἄλλους διὰ τὴν ἡλικίαν ὀφειλόντων, οἱ πολλοὺς νουθετήσαντες, καὶ τῷ πολλῷ χρόνῳ τὴν ἐμπειρίαν συλλέξαντες. θαυμάσητε δὲ μηδέν, εἰ νέος νουθετῶ γέροντας, καὶ τοῦτο ὑμέτερον, εἴ τι πολιᾶς ἄμεινον συνορᾶν ἔχω. πόσον ἔτι βιωσόμεθα χρόνον, ὦ τίμιαι πολιαί, καὶ θεῷ πλησιάζουσαι; πόσον ἐνταῦθα κακοπαθήσομεν; οὐδὲ ὁ πᾶς ἀνθρώπων βίος μακρός, ὡς τῇ θείᾳ φύσει καὶ ἀτελευτήτῳ παραβαλεῖν, μή ὅτι γε τῆς ζωῆς λείψανον, καὶ ἡ λύσις ὡς ἂν εἴποιμεν τῆς ἀνθρωπίνης πνοῆς, καὶ τοῦ προσκαίρου βίου τὰ τελευταῖα. πόσον ἡμᾶς ἔφθη Καισάριος; πόσον ἔτι τὸν ἀπελθόντα πενθήσομεν, οὐ πρὸς τὴν αὐτὴν ἐπειγόμενοι μονήν; οὐ τὸν αὐτὸν ὑποδυσόμεθα λίθον αὐτίκα; οὐχ ἡ αὐτὴ κόνις μετὰ μικρὸν ἐσόμεθα; οὐ τοσοῦτον κερδανοῦμεν ἐν ταῖς μικραῖς ταύταις ἡμέραις, ὅσον πλείω κακά, τὰ μὲν ἰδόντες, τὰ δὲ παθόντες, τὰ δὲ καὶ πράξαντες ἴσως, λειτουργῆσαι περὶ τῆς φύσεως νόμῳ τὴν κοινὴν εἰσφορὰν καὶ ἀσάλευτον, καὶ τοῖς μὲν ἐπακολουθεῖν, τοὺς δὲ προαπελθεῖν· καὶ τοὺς μὲν κλαύσειν, ὑπὸ

καὶ τὴν θρηνῳδίαν, καὶ τὴν ἄλλην ἀπληστίαν, ἣν προσφιλεῖς γινόμεθα ἀλλήλοις τῶν δακρύων ἕνεκεν. τοιοῦτος ὁ βίος ἡμῶν ἀδελφοὶ τῶν ζώντων πρόσκαιρα, τοιοῦτο τὸ τῆς γῆς παίγνιον, οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι. ὄναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα. κόνις, ἀτμίς, ἑωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον, καὶ καιρῷ λυόμενον. ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. καλῶς ὁ θεῖος Δαβὶδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε. καὶ οἷς ἐκεῖνος πάλιν τοῖς ῥήμασι, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι, καὶ παλαιστῶν μέτρον τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται. τί δ᾽ ἂν εἴποις πρὸς Ἱερεμίαν, ὃς καὶ τῇ μητρὶ μέμφεται τῆς γενέσεως ἀλγῶν, καὶ ταῦτα ἐπ᾽ ἀλλοτρίοις πταίσμασι. πάντα εἶδον, φησὶν ὁ ἐκκλησιαστής, πάντα ἐπῆλθον λογισμῷ τὰ ἀνθρώπινα, πλοῦτον, τρυφήν, δυναστείαν, δόξαν τὴν ἄστατον, σοφίαν τὴν ἀποφεύγουσαν πλέον, ἢ κρατουμένην. πάλιν τρυφήν, σοφίαν πάλιν. ἤδη τὰ αὐτὰ πολλάκις ἀνακυκλούμενος, γαστρὸς ἡδονάς, παραδείσους, πλῆθος οἰκετῶν, πλῆθος κτημάτων, οἰνοχόους, καὶ οἰνοχόας, ᾄδοντας καὶ ᾀδούσας, ὅπλα, δορυφόρους, ἔθνη προσπίπτοντα, φόρους συλλεγομένους, ὀφρὺν βασιλείας, ὅσα περιττὰ βίου, ὅσα τῶν ἀναγκαίων, οἷς ὑπὲρ πάντας ἦλθον βασιλέας τοὺς ἔμπροσθεν, καὶ τί ἤδη πᾶσι τούτοις; πάντα ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. καὶ προαίρεσις πνεύματος, εἴτ᾽ οὖν ὁρμή τις ψυχῆς ἄλογος, καὶ περισπασμὸς ἀνθρώπου, τάχα που κατακριθέντος, ἴσως ἐκ τοῦ παλαιοῦ πτώματος. ἀλλὰ τέλος λόγου φησί, τὸ πᾶν ἄκουε, τὸν θεὸν φοβοῦ. ἐνταῦθα τῆς ἀπορίας ἵσταται. καὶ τοῦτό σοι μόνον τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὁδηγηθῆναι διὰ τῆς ταραχῆς τῶν ὁρωμένων καὶ σαλευομένων, ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα. μὴ τοίνυν πενθῶμεν Καισάριον, οἵων ἀπηλλάγη κακῶν εἰδότες, ἀλλ᾽ ἡμᾶς αὐτούς, οἵοις ὑπελείφθημεν, καὶ οἷα θησαυρίσομεν, εἰ μὴ γνησίως θεῷ προσθέμενοι, καὶ παραδραμόντες τὰ παρατρέχοντα, πρὸς τὴν ἄνω ζωὴν ἐπειγοίμεθα. ἔτι ὑπὲρ γῆς ὄντες, καταλιπόντες τὴν γῆν, καὶ τῷ πνεύματι φερόμενοι πρὸς τὰ ἄνω, γνησίως ἀκολουθήσαντες. ταῦτα καὶ ἀλγεινὰ τοῖς ὀλιγοψύχοις, καὶ κοῦφα τοῖς ἀνδρικοῖς τὴν διάνοιαν. σκοπῶμεν δὲ οὕτως. οὐκ ἄρξει Καισάριος, ἀλλ᾽ οὐδὲ ἀρχθήσεται πρὸς ἄλλων. οὐ φοβήσει τινάς, ἀλλ᾽ οὐδὲ δείσεται βαρὺν δεσπότην, πολλάκις οὐδὲ ἄρχεσθαι ἄξιον. οὐ συναθροίσει πλοῦτον, ἀλλ᾽ οὐδὲ ὑπόψεται φθόνον, ἢ ψυχὴν ζημιωθήσεται κακῶς συνάγων, καὶ τοσοῦτον ἀεὶ προσλαμβάνειν ζητῶν, ὅσον ἐκτήσατο. τοιαύτη γὰρ ἡ τοῦ πλούτου νόσος, ὅρον τοῦ δεῖσθαι πλείονος οὐκ ἔχουσα, ἀλλὰ τὸ πιεῖν ἀεὶ διψώντων ποιουμένη φάρμακον. οὐκ ἐπιδείξεται λόγους, ἀλλ᾽ οὐδὲ ἀπὸ λόγων γε θαυμασθήσεται. οὐ φιλοσοφήσει τὰ Ἱπποκράτους καὶ Γαληνοῦ, καὶ τῶν ἀντιθέτων ἐκείνοις, ἀλλ᾽ οὐ κακοπαθήσει νόσοις, ἰδίας ἐπ᾽ ἀλλοτρίαις συμφοραῖς λύπας καρπούμενος. οὐκ ἀποδείξει τὰ Εὐκλείδου καὶ Πτολεμαίου καὶ Ἥρωνος, ἀλλ᾽ οὐδὲ ἀλγήσει τοῖς ἀπαιδεύτοις φυσῶσι μείζονα. οὐ καλλωπιεῖ τοῖς Πλάτωνος, καὶ Ἀριστοτέλους, καὶ Πύρρωνος, καὶ Δημοκρίτοις δή τισι, καὶ Ἡρακλείτοις, καὶ Ἀναξαγόραις, Κλεάνθαις τε, καὶ Ἐπικούροις, καὶ οὐκ οἶδ᾽ οἷστισι τῶν ἐκ τῆς σεμνῆς στοᾶς καὶ Ἀκαδημίας, ἀλλ᾽ οὐδὲ φροντίσει ὅπως διαλύσει τούτων τὰς πιθανότητας. τί με δεῖ μνημονεύειν τῶν ἄλλων; ἀλλὰ ταῦτα δὴ τὰ τίμια πᾶσι καὶ περισπούδαστα. οὐ προσδεήσεται γαμετῆς ἢ παίδας, ἀλλ᾽ οὐδὲ θρηνήσει τούτους, ἢ θρηνηθήσεται ὑπὸ τούτων, ἢ καταλείπων ἄλλοις, ἢ καταλειφθεὶς συμφορᾶς ὑπόμνημα. οὐ κληρονομήσει χρημάτων, ἀλλὰ κληρονομηθήσεται ὑφ᾽ ὧν χρησιμώτατον, καὶ ὧν αὐτὸς ἠθέλησεν, ἵνα πλούσιος ἐνθένδε μεταναστῇ, πάντα μεθ᾽ ἑαυτοῦ φερόμενος. ὢ τῆς φιλοτιμίας, ὢ τῆς καινῆς παρακλήσεως, ὢ τῆς μεγαλοψυχίας τῶν ἐπιβαλλομένων. ἐκεῖθεν κήρυγμα πάσης ἀκοῆς ἄξιον, καὶ μητρὸς πάθος κεῖται δι᾽ ὑποσχέσεως καλῆς καὶ ὁσίας, δοῦναι τὰ πάντα τῷ παιδί, τὸν ἐκείνου πλοῦτον, ὑπὲρ ἐκείνου δῶρον ἐντάφιον, καὶ μηδὲν ὑπολειφθῆναι τοῖς προσδοκήσασιν. οὔπω ταῦτα ἱκανὰ πρὸς παραμυθίαν, προσοίσω τὸ μεῖζον φάρμακον. πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος ἢ ἀποτεθέντος, ἢ οὐκ οἶδ᾽ ὅτι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ᾽ ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο. καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα. μικρὸν δ᾽ ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς, τρόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας, καὶ διαλύσας θεός, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης. καὶ καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετεῖχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γενομένη σὺν τούτῳ ἓν καὶ πνεῦμα καὶ νοῦς, καὶ θεός, καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος, ἄκουε γοῦν οἷα περὶ συμπήξεως

πήξεως ὀστῶν τε καὶ νεύρων φιλοσοφεῖται τῷ θείῳ Ἰεζεκιὴλ, ὅσα μετ' ἐκεῖνον τῷ θείῳ Παύλῳ περὶ σκηνώματος ἐπιγείου, καὶ οἰκίας ἀχειροποιήτου τῆς μὲν καταλυθησομένης, τῆς δὲ ἀποκειμένης ἐν οὐρανοῖς· καὶ τὴν μὲν ἀπὸ τοῦ σώματος ἐκδημίαν, ἐνδημίαν πρὸς τὸν κύριον εἶναι φάσκοντος. τὴν δὲ σὺν τούτῳ ζωὴν, ὡς ἐκδημίαν ὀδυρομένου, καὶ διὰ τοῦτο ποθοῦντος καὶ σπεύδοντος τὴν ἀνάλυσιν. τί μικροψυχῶ περὶ τὰς ἐλπίδας; τί γίνομαι πρόσκαιρος; ἀναμένω τὴν τοῦ ἀρχαγγέλου φωνὴν, τὴν ἐσχάτην σάλπιγγα, τὸν οὐρανοῦ μετασχηματισμὸν, τὴν γῆς μεταποίησιν, τὴν τῶν στοιχείων ἐλευθερίαν, τὴν κόσμου παντὸς ἀνακαίνισιν. τότε καὶ Καισάριον αὐτὸν ὄψομαι, μηκέτι ἐκδημοῦντα, μηκέτι φερόμενον, μηκέτι πενθούμενον, μηκέτ' ἐλεούμενον, λαμπρὸν, ἔνδοξον, ὑψηλὸν, οἷός μοι καὶ κατ' ὄναρ ὤφθης πολλάκις ὦ φίλτατε ἀδελφῶν ἐμοὶ, καὶ φιλαδελφότατε, εἴτε τοῦ βούλεσθαι τοῦτο ἀναπλάττοντος, εἴτε τῆς ἀληθείας. νυνὶ δὲ ἀφεὶς τὸ θρηνεῖν, εἰς ἐμαυτὸν βλέψω, μή τι θρήνων ἄξιον λάθω φέρων, καὶ τὰ ἐμαυτοῦ περισκέψομαι. υἱοὶ ἀνθρώπων, μέτεισι γὰρ πρὸς ὑμᾶς ὁ λόγος, ἕως πότε βαρυκάρδιοι καὶ παχεῖς τὴν διάνοιαν; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος, μέγα τι, τὸν ἐνταῦθα βίον, καὶ τὰς ὀλίγας ταύτας ἡμέρας πολλὰς ὑπολαμβάνοντες, καὶ τὴν διάζευξιν ταύτην τὴν ἀσπαστὴν καὶ ἡδεῖαν, ὡς δή τι βαρὺ καὶ φρικῶδες ἀποστρεφόμενοι; οὐ γνωσόμεθα ἡμᾶς αὐτούς; οὐ τὰ φαινόμενα ῥίψομεν; οὐ πρὸς τὰ νοούμενα βλέψομεν; οὐκ εἴ τι καὶ λυπεῖσθαι χρὴ τοὐναντίον ἀνιασόμεθα, τῇ παροικίᾳ μηκυνομένῃ; κατὰ τὸν θεῖον Δαβίδ. σκηνώματα σκοτασμοῦ, καὶ τόπον κακώσεως, καὶ ἰλὺν βυθοῦ, καὶ σκιὰν θανάτου τὰ τῇδε ἀποκαλοῦντος, ὅτι βραδύνομεν ἐν τοῖς τάφοις οἷς περιφέρομεν. ὅτι ὡς ἄνθρωποι ἀποθνήσκομεν τὸν τῆς ἁμαρτίας θάνατον, θεοὶ γεγονότες. τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, τούτῳ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν σύνειμι, καὶ οὐκ ἐᾷ με ἀναπνεῖν ἡ ἐκεῖθεν δόξα, καὶ τὰ ἐκεῖσε δικαιωτήρια, ὧν τῆς μὲν ἐφίεμαι, μέχρι καὶ τοῦ δύνασθαι λέγειν, ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου. τὰ δὲ φρίττω, καὶ ἀποστρέφομαι. ἐκεῖνο δὲ οὐ δέδοικα, μή μοι τὸ σῶμα τοῦτο διαρρυὲν καὶ διαφθαρὲν παντελῶς οἰχήσηται, ἀλλὰ μὴ τὸ τοῦ θεοῦ πλάσμα τὸ ἔνδοξον. ἔνδοξον γὰρ κατορθοῦν, ὥσπερ ἄτιμον ἁμαρτάνον, ἐν ᾧ λόγος, νόμος, ἐλπίς, τὴν αὐτὴν τοῖς ἀλόγοις ἀτιμίαν κατακριθῇ, καὶ μηδὲν πλέον, ἢ μετὰ τὴν διάζευξιν, ὡς ὄφελόν γε τοῖς πονηροῖς, καὶ τοῦ ἐκεῖθεν πυρὸς ἀξίοις. εἴθε νεκρώσαιμι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, εἴθε πάντα τῷ πνεύματι δαπανήσαιμι, τὴν στενὴν καὶ ὀλίγοις βατὴν ὁδεύσας ὁδὸν, μὴ τὴν πλατεῖαν καὶ εὔκολον, ὡς τά γε μετὰ ταῦτα λαμπρὰ, καὶ μεγάλα, καὶ μείζω ἢ κατὰ τὴν ἀξίαν ἐλπίς. τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; τί τὸ καινὸν τοῦτο περὶ ἐμὲ μυστήριον; μικρός εἰμι καὶ μέγας, ταπεινὸς καὶ ὑψηλὸς, θνητὸς καὶ ἀθάνατος, ἐπίγειος καὶ οὐράνιος. ἐκεῖνα μετὰ τοῦ κάτω κόσμου, ταῦτα μετὰ τοῦ θεοῦ. ἐκεῖνα μετὰ τῆς σαρκὸς, ταῦτα μετὰ τοῦ πνεύματος. χριστῷ συνταφῆναί με δεῖ, χριστῷ συναναστῆναι, συγκληρονομῆσαι χριστῷ. υἱὸν γενέσθαι θεοῦ, θεὸν αὐτὸν κληθῆναι. ὁρᾶτε ποῖ προϊὼν, ἀνήγαγεν ἡμᾶς ὁ λόγος. μικροῦ καὶ χάριν ὁμολογῶ τῷ πάθει, ὃ τοιαῦτα ἐφιλοσόφησα, καὶ δι' ὃ μᾶλλον ἐραστὴς ἐγενόμην τῆς ἐνθένδε ἀπαναστάσεως. τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βούλεται. τοῦτο ἡμῖν ὁ ἐνανθρωπήσας δι' ἡμᾶς καὶ πτωχεύσας θεὸς, ἵνα ἀναστήσῃ τὴν σάρκα, καὶ ἀνασώσῃ τὴν εἰκόνα, καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον. ἵνα γενώμεθα οἱ πάντες ἓν ἐν χριστῷ, γενομένῳ τὰ πάντα ἐν πᾶσιν ἡμῖν τελέως. ὅσαπερ ἐστὶν αὐτὸς, τῶν νῦν ἐν ἡμῖν ὑπαρχόντων σαρκικῶν τε καὶ ἀνθρωπίνων. ἵνα μηκέτι ὦμεν ἄρρεν καὶ θῆλυ, βάρβαρος, σκύθης, δοῦλος, ἐλεύθερος, τὰ τῆς σαρκὸς γνωρίσματα, μόνον δὲ φέρωμεν ἐν ἡμῖν αὐτοῖς τὸν θεῖον χαρακτῆρα, ὑφ' οὗ καὶ εἰς ὃν γεγόναμεν. τοσοῦτον ἀπ' αὐτοῦ μορφωθέντες καὶ τυπωθέντες, ὥστε καὶ ἀπὸ μόνου γινώσκεσθαι, καὶ εἴη μέν γε ὅπερ ἐλπίζομεν, κατὰ τὴν μεγάλην θεοῦ τοῦ μεγαλοδώρου φιλανθρωπίαν. ὃς μικρὰ αἰτῶν, μεγάλα χαρίζεται νῦν τε, καὶ εἰς τὸν ἔπειτα χρόνον, τοῖς γνησίως αὐτὸν ἀγαπῶσι. πάντα στέγοντες, πάντα ὑπομένοντες διὰ τὴν εἰς αὐτὸν ἀγάπην τε καὶ ἐλπίδα. ἐπὶ πᾶσιν εὐχαριστοῦντες, δεξιοῖς τε ὁμοίως καὶ ἀριστεροῖς, ἡδέσι λέγω, καὶ ἀνιαροῖς. ἐπειδὴ καὶ ταῦτα σωτηρίας ὅπλα πολλάκις οἶδεν ὁ λόγος, αὐτῷ παρακατατιθέμενοι τὰς ἡμετέρας ψυχὰς, τὰς τῶν προκαταλυόντων ὥσπερ ἐν ὁδῷ κοινῇ τῶν ἑτοιμοτέρων, ὃ δὴ καὶ αὐτοὶ ποιήσωμεν, ἐνταῦθα τοῦ λόγου λήξωμεν. ἀλλὰ καὶ ὑμεῖς τῶν δακρύων ὠδὶ τὸν τάφον ἤδη σπεύδοντες τὸν ὑμέτερον, ὃν δῶρον παρ' ὑμῶν ἔχει Καισάριος λυπηρόν τε καὶ μόνιμον, γονεῦσι μὲν ἑτοιμασθέντα, καὶ γέρας κατὰ καιρὸν, παισὶ δὲ καὶ νεότητι δωρηθέντα καὶ παρὰ τὸ εἰκός, καὶ οὐκ ἀπεικός, τῷ διέποντι τὰ ἡμέτερα. ὦ δέσποτα πάντων καὶ ποιητὰ, καὶ διαφερόντως τοῦδε τοῦ πλάσματος, ὦ θεὲ τῶν σῶν ἀνθρώπων, καὶ πάτερ καὶ κυβερνῆτα, ὦ ζωῆς καὶ θανάτου κύριε, ὦ ψυχῶν ἡμετέρων ταμία καὶ εὐεργέτα, ὦ ποιῶν τὰ πάντα καὶ μετασκευάζων τῷ τεχνίτῃ λόγῳ κατὰ καιρὸν, καὶ ὡς αὐτὸς ἐπίστασαι, τῷ βάθει τῆς σῆς σοφίας καὶ διοικήσεως, νῦν μὲν δέξαιο Καισάριον ἀπαρχὴν τῆς ἡμετέρας ἀποδημίας, εἰ δὲ τὸν τελευταῖον πρῶτον, συγχωροῦμεν

τοῖς σοῖς λόγοις, οἷς τὸ πᾶν φέρεται. δέξαιο δὲ καὶ ἡμᾶς ὕστερον ἐν καιρῷ εὐθέτῳ, οἰκονομήσας ἐν τῇ σαρκὶ ἐφ' ὅσον ἂν ᾖ συμφέρον. καὶ δέξαιό γε διὰ τὸν σὸν φόβον, ἑτοιμασθέντας καὶ οὐ ταρασσομένους, οὐδὲ ἀποχωροῦντας ἐν ἡμέρᾳ τῇ τελευταίᾳ, καὶ βίᾳ τῶν ἐντεῦθεν ἀπαγομένους, ὃ τῶν φιλοκόσμων ψυχῶν πάθος καὶ φιλοσάρκων, ἀλλὰ προθύμως πρὸς τὴν αὐτόθεν ζωὴν τὴν μακραίωνά τε καὶ μακαρίαν, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΔΕΛΦΗΝ ΕΑΥΤΟΥ

Γοργονίαν ἐπιτάφιος.

Ἀδελφὴν ἐπαινῶν, τὰ οἰκεῖα θαυμάσομαι. οὐ μὴν ὅτι οἰκεῖα, διὰ τοῦτο ψευδῶς, ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετῶς. ἀληθῆ δὲ, οὐχ ὅτι δίκαια μόνον, ἀλλ' ὅτι καὶ γινωσκόμενα. καὶ τὸ πρὸς χάριν οὐ συγχωρεῖ, κἂν ἐθελήσωμεν, ἀλλὰ μέσος ἵσταται, οἷόν τις βραβευτὴς ἔντεχνος τοῦ λόγου καὶ τῆς ἀληθείας ὁ ἀκροατής. οὔτε τὸν παρ' ἀξίαν ἐπαινῶν, καὶ τὸν κατ' ἀξίαν ἀπαιτεῖ, ὅγε δίκαιος. ὥστε οὐ τοσοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, μή τι τῆς ἀληθείας ὑπερβαλώμεθα, ἀλλὰ τοὐναντίον, μή τι τῆς ἀληθείας ἐλλείπωμεν καὶ παρὰ πολὺ τῆς ἀξίας ἐλθόντες, ἐλαττώσωμεν τὴν δόξαν τοῖς ἐγκωμίοις. ἐπεὶ δὴ χαλεπὸν καὶ πρᾶξιν ἐξισῶσαι καὶ λόγον, τοῖς ἐκείνης καλοῖς. μήτε οὖν τι ἀλλότριος ἐπαινείσθω παρ', ὃ μὴ δίκαιον, μηδὲ ἀτιμαζέσθω τὸ οἰκεῖον, εἰ τίμιον. ἵνα μὴ τῷ μὲν, κέρδος ἡ ἀλλοτριότης ᾖ, τῷ δὲ, εἰς ζημίαν περιστῇ τὸ τῆς οἰκειότητος. ἀμφοτέρως γὰρ ἂν ὁ τοῦ δικαίου βλάπτοιτο λόγος, κἀκείνων ἐπαινουμένων, καὶ τούτων σιωπωμένων. ὅρῳ δὲ καὶ κανόνι τῇ ἀληθείᾳ χρώμενοι, καὶ πρὸς ταύτην βλέποντες μόνον, ἄλλο δὲ οὐδὲν σκοποῦντες, ὧν οἱ πολλοί τε καὶ βούλονται, οὕτω καὶ ἐπαινεσόμεθα καὶ σιωπησόμεθα, τὰ ἐπαίνων ἢ σιωπῆς ἄξια. παντὸς δὲ ἀτοπώτατον, εἰ ἀχρηστεῖν μέν τι τοὺς ἰδίους, ἢ λοιδορεῖσθαι, ἢ κατηγορεῖν, ἢ ἄλλο τι ἀδικεῖν ἢ μικρὸν ἢ μεῖζον, οὐκ εὐαγὲς εἶναι θήσομεν, ἀλλὰ καὶ πάντων κάκιστον τῆς κατὰ τὸ οἰκειότατον παρανομίαν, λέγειν δὲ ἀχρηστοτέρους ὃ πάντων μάλιστα τοῖς ἀγαθοῖς ἐστιν ὀφειλόμενον, καὶ ᾧ τὴν μνήμην αὐτοῖς ἀθάνατον κατασῴζομεν. ἔπειτα δίκαιόν τι ποιεῖν οἰησόμεθα, καὶ πλείω λόγον ἕξομεν τῶν πονηρῶν τῶν πρὸς χάριν αἰτουμένων, ἢ τῶν ἐπιεικῶν ἀπαιτούντων τὸ πρὸς ἀξίαν, καὶ τοὺς μὲν ἔξωθεν ἐπαινεῖν, οὐ κωλύσει τὸ ἄγνωστον καὶ ἀμάρτυρον, καίτοι γε πολλῷ δικαιότερον ἦν, τοὺς γινωσκομένους δὲ ἡ φιλία κωλύσει, καὶ ὁ παρὰ τῶν πολλῶν φθόνος. καὶ τούτων μάλιστα τοὺς ἐνθένδε ἀπηλλαγμένους, καὶ οἷς ἄωρον τὸ χαρίζεσθαι καταλιποῦσι μετὰ τῶν ἄλλων, καὶ τοὺς ἐπαινοῦντας ἢ ψέγοντας. ἐπεὶ δὲ ἱκανῶς ὑπὲρ τούτων ἀπολελογήμεθα, καὶ ἀναγκαῖον ἡμῖν αὐτοῖς ἀπεδείξαμεν ὄντα τὸν λόγον, φέρε προσβῶμεν ἤδη τοῖς ἐγκωμίοις, τὸ μὲν περὶ τὴν λέξιν γλαφυρὸν καὶ κομψὸν διαπτύσαντες. ἐπειδὴ καὶ ἀκαλλώπιστος ἦν ἡ ἐπαινουμένη, καὶ τοσοῦτο κάλλος αὐτῇ, τὸ ἀκόσμητον. τὴν δὲ ὀφειλομένην ὁσίαν, ὡς ἄλλο τι χρέος τῶν ἀναγκαιοτάτων ἀποπληροῦντες, καὶ ἅμα τοὺς πολλοὺς εἰς ζῆλον καὶ μίμησιν τῆς αὐτῆς ἀρετῆς ἐκπαιδεύοντες. ἐπειδὴ τοσοῦτον ἡμῖν ἐν παντὶ καὶ λόγῳ καὶ ἔργῳ σπουδάζεται, καταρτίζειν οὓς ἐπιστεύθημεν. ἄλλος μὲν οὖν πατρίδα τῆς ἀπελθούσης ἐπαινείτω καὶ γένος, νόμους ἐγκωμίων αἰδούμενος. πάντως δὲ οὐκ ἀπορήσει πολλῶν καὶ καλῶν λόγων, εἰ βούλοιτο ταύτην κοσμεῖν καὶ τοῖς ἔξωθεν, ὥσπερ μορφὴν τιμίαν τε καὶ καλὴν χρυσῷ, καὶ λίθοις, καὶ τοῖς ἐκ τέχνης καὶ χειρὸς ὡραΐσμασιν, ἃ τὴν μὲν αἰσχρὰν ἐλέγχει τῇ παραθέσει, τῇ καλῇ δὲ οὐ προστίθησι κάλλιον [illegible]. ἐγὼ δὲ τοσοῦτον τῷ περὶ ταῦτα προσχρησάμενος νόμῳ, καὶ τῶν κοινῶν γονέων ἐπιμνησθῆναι, καὶ γὰρ οὐδὲ ὅσιον παραδραμεῖν ἀγαθοὺς τοσούτους γεννήτοράς τε καὶ διδασκάλους, ἐπ' αὐτὴν ὡς τάχιστα τρέψω τὸν λόγον, καὶ οὐ ζημιώσω τῶν τὰ ἐκείνης ἐπιζητούντων σπουδήν. τίς γὰρ οὐκ οἶδε τὸν νέον ἡμῶν Ἀβραάμ, καὶ τὴν ἐφ' ἡμῶν Σάρραν; Γρηγόριον λέγω, καὶ Νόνναν τὴν τούτου σύζυγον. καλὸν γὰρ μηδὲ τὰ ὀνόματα παρελθεῖν, ὡς ἀρετῆς παράκλησιν. τὸν, πίστει δικαιωθέντα, καὶ τὴν, τῷ πιστῷ συνοικήσασαν. τὸν, πατέρα πολλῶν ἐθνῶν παρ' ἐλπίδα, καὶ τὴν πνευματικῶς ὠδινήσασαν. τὸν, φυγόντα πατρῴαν θεῶν δουλείαν, καὶ τὴν θυγατέρα καὶ μητέρα τῶν ἐλευθέρων. τὸν, ἐξελθόντα συγγενείας καὶ οἴκου διὰ τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τὴν αἰτίαν τῆς ἐκδημίας. τοῦτο γὰρ ἐκείνῳ μόνον ἵνα τι τολμήσω καὶ ὑπὲρ τὴν Σάρραν. τὸν, παροικήσαντα καλῶς, καὶ τὴν, προθύμως συμπαροικήσασαν. τὸν, ὑπὸ κυρίῳ προσαθέμενον, καὶ τὴν, κύριον τὸν ἑαυτῆς ἄνδρα καὶ προσαγορεύουσαν καὶ νομίζουσαν, καὶ μέρος τι διὰ τοῦτο δικαιωθεῖσαν. ὧν ἡ ἐπαγγελία, καὶ ὧν ὁ Ἰσαὰκ, ὅσον τὸ ἐπ' αὐτοῖς, καὶ τὸ αὐτοῦ πατρικὸν δώρημα. αὐτόκλητον σφάγιον, καὶ ὁ ἀντισταχθεὶς ἀμνός, καὶ ὁ τύπος τοῦ κρείττονος. ἧς ὁ ποιμὴν ὁ καλὸς εὐξαμένης τε καὶ δεηθείσης, καὶ περὶ ἧς ὁ τύπος τοῦ καλῶς ποιμαίνεσθαι. οὗ δὲ φυγεῖν τὰ εἴδωλα γνησίως, εἶτα καὶ φυγαδεύειν δαίμονας. καὶ ἧς τὸ μὴ ἄλλων ποτὲ κοινωνῆσαι τοῖς ἐξ εἰδώλων, τὴν ὁμότιμον καὶ ὁμόφρονα καὶ ὁμόψυχον, καὶ οὐχ ἧττον ἀρετῆς καὶ τῆς πρὸς θεὸν οἰκειώσεως,

ἢ σαρκὸς

ἀκροατὴς

ἡ σαρκὸς συζυγία. ἴσον μὲν μήκει βίου καὶ πολιαῖς, ἴσον δὲ φρονήσει καὶ λάμψει καὶ ἀλλήλοιν ἁμιλλωμένων, καὶ τῶν λοιπῶν ὑπεραιρόντων. σαρκὶ μὲν ὀλίγα κατεσχημένων, πνεύματι δὲ μείζονι συγκειμένων, καὶ πρὸ τῆς διαζεύξεως. ὧν οὐχ ὁ κόσμος, καὶ ὧν ὁ κόσμος. ὁ μὲν ὑπερορώμενος, ὁ δὲ προτιμώμενος. ὧν τὸ ἀπλουτεῖν, καὶ ὧν τὸ πλουτεῖν διὰ τῆς καλῆς πραγματείας. τὰ μὲν τῇδε διαπτυόντων, τὰ δὲ ἐκεῖθεν ἀντωνουμένων. ὧν βραχὺ μὲν τὸ τῆς ζωῆς ταύτης λείψανον, καὶ ὅσον ὑπελείφθη τῇ εὐσεβείᾳ, πολλὴ δὲ ἡ ζωὴ καὶ μακραίων, ἣ προκεκμήκασιν. οὐκ ἔτι προσθήσω τοῖς περὶ αὐτῶν λόγοις, οἳ καλῶς καὶ δικαίως ἀμφοτέροις τοῖς γονεῦσιν ἐμερίσθησαν, ὁ μὲν ἀνδρῶν ἐστι κόσμος, ἡ δὲ γυναικῶν. καὶ οὐ κόσμος μόνον, ἀλλὰ καὶ ἀρετῆς ὑπόδειγμα. παρὰ τούτων Γοργονίᾳ καὶ τὸ εἶναι, καὶ τὸ εὐδόκιμον. ἐντεῦθεν αὐτῇ τὰ τῆς εὐσεβείας σπέρματα. παρὰ τούτων καὶ τὸ ζῆσαι καλῶς, καὶ τὸ ἀπελθεῖν ἵλεω μετὰ τῶν χρηστοτέρων ἐλπίδων. καλὰ μὲν δὴ καὶ ταῦτα, καὶ οἷα μὴ πολλοῖς ῥᾳδίως ὑπάρχει, τῶν ἐπ' εὐγενείᾳ μέγα κομώντων, καὶ φυσωμένων τοῖς ἄνωθεν. εἰ δὲ δεῖ φιλοσοφώτερον καὶ ὑψηλότερον περὶ αὐτῆς διελθεῖν, Γοργονίᾳ πατρὶς μὲν ἡ ἄνω Ἱερουσαλήμ, ἡ μὴ βλεπομένη, νοουμένη δὲ πόλις, ἐν ᾗ πολιτευόμεθα, καὶ πρὸς ἣν ἐπειγόμεθα. ἧς πολίτης Χριστός, καὶ συμπολῖται πανήγυρις καὶ ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ περὶ τὸν μέγαν πολιστὴν ἑορταζόντων τῇ θεωρίᾳ τῆς δόξης, καὶ χορευόντων χορείαν τὴν ἀκατάλυτον. εὐγένεια δέ, ἡ τῆς εἰκόνος τήρησις, καὶ ἡ πρὸς τὸ ἀρχέτυπον ἐξομοίωσις, ἣν ἐργάζεται λόγος καὶ ἀρετή, καὶ καθαρὸς πόθος. ἀεὶ καὶ μᾶλλον μορφῶν τὰ κατὰ θεόν, τοὺς γνησίους τῶν ἄνω μύστας, καὶ τὸ γιγνώσκειν ὅθεν, καὶ τίνες, καὶ εἰς ὃ γεγόναμεν. οὕτως ἐγὼ περὶ τούτων γινώσκω, καὶ διὰ τοῦτο εὐγενεστέραν τῶν ἀφ' ἁλὸς ἀνατολῶν τῆς ἐκείνης ψυχὴν καὶ οἶδα καὶ ὀνομάζω, κρείττονι ἢ κατὰ τοὺς πολλοὺς εὐγενείας καὶ δυσγενείας κανόνι καὶ σταθμῷ χρώμενος. καὶ οὐ χρώμασιν, ἀλλὰ τρόποις τισὶ ταῦτα χαρακτηρίζων. οὐδὲ κατὰ φατρίας κρίνων τοὺς ἐπαινουμένους ἢ ψεγομένους, ἀλλὰ καθ' ἕκαστον. ἐν εἰδόσι δὲ ὁ λόγος ὑπὲρ τῶν ἐκείνης καλῶν, καὶ ἄλλος ἄλλο τι συνεισφερέτω, καὶ βοηθείτω τῷ λόγῳ, ἐπειδὴ μὴ πάντα περιλαβεῖν οἷόν τε, μηδὲ τῷ λίαν δεινῷ καὶ ἀκριβεῖ καὶ διάνοιαν. σωφροσύνῃ μέν γε τοσοῦτον διήνεγκε, καὶ τοσοῦτον ὑπερῆρε τὰς κατ' αὐτὴν ἁπάσας, ἵνα μὴ λέγω τὰς παλαιάς, ὧν ὁ πολὺς τῆς σωφροσύνης λόγος, ὥστε εἰς δύο ταῦτα διῃρημένου πάσι τοῦ βίου, γάμου λέγω καὶ ἀγαμίας, καὶ τῆς μὲν ὑψηλοτέρας τε καὶ θειοτέρας, ἐπιπονωτέρας δὲ καὶ σφαλερωτέρας, τοῦ δὲ ταπεινοτέρου τε καὶ ἀσφαλεστέρου, ἀμφοτέρων φυγοῦσα τὸ ἀηδές, ὅσον κάλλιστόν ἐστιν ἐν ἀμφοτέροις ἐκλέξασθαι, καὶ εἰς ἓν ἀγαγεῖν, τῆς μὲν τὸ ὕψος, τοῦ δὲ τὴν ἀσφάλειαν, καὶ γενέσθαι σώφρων ἄτυφος, τῷ γάμῳ τὸ τῆς ἀγαμίας καλὸν κεράσασα, καὶ δείξασα, ὅτι μηδέτερον τούτων, ἢ θεῷ πάντως, ἢ κόσμῳ συνδεῖ καὶ διΐστησι πάλιν. ὥστε εἶναι τὸ μὲν πάντῃ φευκτὸν κατὰ τὴν ἰδίαν φύσιν, τὸ δὲ τελέως ἐπαινετόν. ἀλλὰ νοῦς ἐστιν ὁ καὶ γάμῳ καὶ παρθενίᾳ καλῶς ἐπιστατῶν. καὶ ὥσπερ ὕλη τις ταῦτα τῷ τεχνίτῃ λόγῳ ῥυθμίζεται καὶ δημιουργεῖται πρὸς ἀρετήν. οὐ γὰρ ἐπεὶ σαρκὶ συνήφθη, διὰ τοῦτο ἐχωρίσθη τοῦ πνεύματος. οὐδ' ὅτι κεφαλὴν ἔσχε τὸν ἄνδρα, διὰ τοῦτο τὴν πρώτην κεφαλὴν ἠγνόησεν. ἀλλ' ὀλίγα λειτουργήσασα κόσμῳ καὶ φύσει καὶ τοσοῦτον ὅσον ὁ τῆς σαρκὸς ἐβούλετο νόμος, μᾶλλον δὲ ὁ τῇ σαρκὶ ταῦτα νομοθετήσας, θεῷ τὸ πᾶν ἑαυτὴν καθιέρωσεν. ὃ δὲ κάλλιστον καὶ σεμνότατον, ὅτι καὶ τὸν ἄνδρα πρὸς ἑαυτὴν ἐκτήσατο, καὶ οὐ δεσπότην ἄτοπον, ἀλλ' ὁμόδουλον ἀγαθὸν προσεκτήσατο. οὐ μόνον δέ, ἀλλὰ καὶ τὸν τοῦ σώματος καρπόν, τὰ τέκνα λέγω, καὶ τέκνα τέκνων, καρπὸν τοῦ πνεύματος ἐποιήσατο. γένος ὅλον καὶ οἰκίαν ὅλην, ἀντὶ μιᾶς ψυχῆς θεῷ καθαγιάσασα καὶ ποιήσασα, καὶ γάμον ἐπαινετὸν διὰ τῆς ἐν γάμῳ εὐαρεστήσεως, καὶ τῆς καλῆς ἐντεῦθεν καρποφορίας. ἑαυτὴν μὲν ἕως ἔζη ὑπόδειγμα καλοῦ παντὸς τοῖς ἐξ ἑαυτῆς προστήσασα, ἐπεὶ δὲ προσεκλήθη, τὸ θέλημα τῷ οἴκῳ μετ' αὐτῆς ἐγκαταλιποῦσα, σιωπῶσαν παραίνεσιν. ὁ μὲν δὴ θεῖος Σολομὼν ἐν τῇ παιδαγωγικῇ σοφίᾳ, ταῖς παροιμίαις λέγω, ἐπαινεῖ καὶ οἰκουρίαν γυναικός, καὶ φιλανδρίαν, καὶ ἀντιτίθησι τῇ ἔξω περιπλανωμένῃ, καὶ ἀκρατεῖ τε, καὶ ἐπιτιμωμένῃ, καὶ τιμίας ψυχὰς ἀγρευούσῃ ἐν πορνικοῖς καὶ σχήμασι καὶ ὀνόμασι, τὴν ἔσω καλῶς ἀναστρεφομένην, καὶ ἀνδριζομένην τὰ γυναικός, πρὸς ἄτρακτον μὲν ἀεὶ τὰς χεῖρας ἐρειδομένην, καὶ διπλᾶς τῷ ἀνδρὶ χλαίνας κατασκευάζουσαν. ὠνουμένην δὲ κατὰ καιρὸν γεώργιον, σιτηγοῦσαν δὲ καλῶς τοῖς οἰκέταις. πλήρει δὲ τραπέζῃ τοὺς φίλους δεξιουμένην, καὶ τἄλλα ὅσα τὴν σώφρονα καὶ φίλεργον ἐκεῖνος ἀνύμνησεν. ἐγὼ δὲ εἰ ἀπὸ τούτων ἐπαινοίην τὴν ἀδελφήν, ἀπὸ τῆς σκιᾶς ἂν ἐπαινοίην τὸν ἀνδριάντα, ἢ ἀπὸ τῶν ὀνύχων τὸν λέοντα, παρεὶς τὰ μείζω καὶ τελεώτερα. τίς μὲν ἦν φαίνεσθαι μᾶλλον ἀξία; τίς δὲ ἧττον ἐφάνη, καὶ ἀπρόσιτον ἐτήρησεν ἑαυτὴν ἀνδρῶν ὄψεσι; τίς μᾶλλον ἔγνω μέτρα κατηφείας τε καὶ φαιδρότητος; ὡς μήτε τὸ κατηφὲς ἀπάνθρωπον δοκεῖν, μήτε τὸ ἁπαλὸν ἀκόλαστον, ἀλλὰ τὸ μὲν συνετόν, τὸ δὲ ἥμερον. καὶ ὅρον τοῦτο εἶναι κοσμιότητος, κραθείσης τῆς φιλανθρώπου τῷ ἀναστήματι. ἀκούετε τῶν γυναικῶν, ὅσαι λίαν ἐπιδεικτικαὶ καὶ ῥᾴθυμοι, καὶ τὸ κάλυμμα τῆς αἰδοῦς ἀτιμάζουσαι. τίς μὲν οὕτως ὀφθαλμὸν ἐσωφρόνισεν; τίς δὲ τοσοῦτον γέλωτος κατεγέ-

λασον; ὡς μέγα δοκεῖν ἐκείνῃ καὶ ὁρμὴ μεγαλάμαλος. τίς μᾶλλον ἀνοιγῆ θύρας ἐπιδήμοις; τίς δὲ τοῖς θείοις λόγοις ὑπέκυψε; μᾶλλον δέ, τίς νοῦν ἐπιστήμονα ἡγεμόνα γλώσσης; λαλεῖν τὰ τοῦ θεοῦ δικαιώματα; τίς τάξιν οὕτως ἐστείλατο χείλεσιν; ἔπω καὶ τοῦτο βούλεσθε τῆς ἐκείνης καλόν, ὃ τῇ μὲν ἄξιον οὐδενὸς ἐδόκει οὐδ' ὅσαι σώφρονες ἀληθῶς εἰσὶ κόσμιαι τὸν τρόπον. μέγα δὲ δοκεῖν τι τριήκασιν αἱ λίαν φιλόκοσμοι καὶ φιλόκαλοι, καὶ οὐδὲ λόγῳ καθαιρόμεναι τὴν τὰ τοιαῦτα ἐκπαιδεύουσαν. οὐ χρυσὸς ἐκείνην ἐκόσμησε τέχνῃ συντεθεὶς εἰς κάλλους περιεργίαν, οὐ ξανθαὶ πλοκαμίδες, διαφαινόμεναί τε καὶ ὑποφαινόμεναι, καὶ βοστρύχων ἕλικες, καὶ σοφίσματα σκηνοποιούντων τὴν τιμίαν κεφαλὴν ἀτιμότατα, οὐκ ἐσθῆτος περιρρεούσης καὶ διαφανοῦς πολυτέλεια, οὐ λίθων αὐγαὶ καὶ χάριτες χρωννῦσαι τὸν πλησίον ἀέρα, καὶ τὰς μορφὰς περιλάμπουσαι. οὐ ζωγράφων τέχναι καὶ γοητεύματα, καὶ τὸ εὔωνον κάλλος, καὶ ὁ κάτωθεν πλάστης ἀντιδημιουργῶν, καὶ καλύπτων τὸ τοῦ θεοῦ πλάσμα ἐπιβούλοις χρώμασι, καὶ διὰ τῆς τιμῆς αἰσχύνων, καὶ προστιθεὶς τὴν θείαν μορφὴν εἴδωλον πορνικὸν λίχνοις ὄμμασιν, ἵνα κλέψῃ τὸ νόθον κάλλος τὴν φυσικὴν εἰκόνα, τηρουμένην θεῷ καὶ τῷ μέλλοντι. ἀλλὰ πολλοῦ μὲν ᾔδει καὶ παντοίου γυναικῶν κόσμου τοῦ ἔξωθεν. τιμιώτερον δ' οὐδένα τοῦ ἑαυτοῦ τρόπου, καὶ τῆς ἔνδον ἀποκειμένης λαμπρότητος. ἓν μὲν ἐρύθημα ἐκείνῃ φίλον, τὸ τῆς αἰδοῦς· μία δὲ λευκότης, ἡ παρὰ τῆς ἐγκρατείας. τὰς δὲ γραφὰς καὶ ὑπογραφάς, καὶ τοὺς ζῶντας πίνακας, καὶ τὴν ῥέουσαν εὐμορφίαν, ταῖς ἐπὶ θεάτρων παρῆκε καὶ τῶν τριόδων, καὶ ὅσοις αἰσχύνη καὶ ὄνειδος τὸ αἰσχύνεσθαι. ταῦτα μὲν δὴ τοιαῦτα. τῆς δὲ φρονήσεως καὶ τῆς εὐσεβείας οὐκ ἔστιν ὅστις ἂν ἐφίκοιτο λόγος, ἢ πολλὰ ἂν εὑρεθείη τὰ παραδείγματα, πλὴν τῆς ἐκείνης καὶ κατὰ σάρκα καὶ κατὰ πνεῦμα πατέρων, πρὸς οὓς μόνους ὁρῶσα, ἐν οὐδενὶ ἐλαττουμένη τὴν ἀρετήν, ἐν τούτῳ μόνον ἡττᾶτο καὶ πάνυ προθύμως, ὅτι παρ' ἐκείνων τὸ ἀγαθόν, κἀκείνους ῥίζας καὶ ᾔδει καὶ ὡμολόγει τῆς οἰκείας ἐλλάμψεως. τί μὲν τῆς διανοίας ἐκείνης ὀξύτερον, ἥν γε καὶ κοινὴν σύμβουλον, οὐχ οἱ ἐκ γένους μόνον, οὐδ' οἱ ἐκ τοῦ αὐτοῦ λαοῦ καὶ τῆς μιᾶς μάνδρας, ἀλλὰ καὶ οἱ κύκλῳ πάντες ἐγίγνωσκον, καὶ νόμον ἄλυτον τὰς ἐκείνης ἐποιοῦντο ὑποθήκας καὶ παραινέσεις; τί δὲ τῶν λόγων ἐκείνων εὐστοχώτερον; τί δὲ τῆς σιωπῆς συνετώτερον; ἀλλ' ἐπειδή γε σιωπῆς ἐμνήσθην, προσθήσω τὸ οἰκειότατον ἐκείνης, καὶ γυναιξὶ πρεπωδέστατον, καὶ τῷ παρόντι καιρῷ χρησιμώτατον. τίς μὲν ἔγνω τὰ τοῦ θεοῦ μᾶλλον, ἔκ τε τῶν θείων λογίων καὶ τῆς οἰκείας συνέσεως; τίς δὲ ἧττον ἐφθέγξατο, ἐν τοῖς οἰκείοις ὅροις τῆς εὐσεβείας μένουσα; ὃ δ' ἦν ὀφειλόμενον τῇ γ' ἀληθῶς εὐσεβεῖν ἐγνωκυίᾳ, καὶ οὐ καλὸν μόνον ἡ ἀπληστία. τίς μὲν ἀναθήμασιν οὕτω ναοὺς κατεκόσμησεν; ἄλλους τε καὶ τὸν οὐκ οἶδ' εἰ μετ' ἐκείνην κοσμηθησόμενον. μᾶλλον δέ, τίς οὕτω ναὸν ἑαυτὸν τῷ θεῷ ζῶντα παρέστησε; τίς δὲ τοσοῦτον ἐδόξασεν ἱερέας, ἄλλους τε καὶ τὸν ἐκείνης τῆς εὐσεβείας συναγωνιστὴν καὶ διδάσκαλον; οὗ τὰ καλὰ σπέρματα, καὶ ἡ καθιερωμένη τῶν τέκνων τῷ θεῷ συζυγία. τίς δὲ τὸν οἶκον ἑαυτῆς μᾶλλον προὔθηκε τοῖς κατὰ θεὸν ζῶσι, τὴν καλὴν δεξίωσιν καὶ πλουτίζουσαν; καὶ ὃ τούτου μεῖζόν ἐστι, τίς οὕτως ἐδεξιοῦτο τῇ αἰδοῖ καὶ τοῖς κατὰ θεὸν διαβήμασιν; καὶ τὰ ἐπὶ τούτοις. τίς μὲν νοῦν ἔδειξεν ἀπαθέστερον ἐν τοῖς πάθεσι; τίς δὲ συμπαθεστέραν ψυχὴν τοῖς κάμνουσι; τίς χεῖρα δαψιλεστέραν τοῖς δεομένοις; ὡς ἔγωγε καὶ τὰ τοῦ Ἰὼβ ἂν ἐπ' αὐτὴν θαρρήσας καλλωπισαίμην. θύρα δὲ αὐτῆς παντὶ ἐλθόντι ἠνέῳκτο, ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ὀφθαλμὸς ἦν τυφλῶν, πούς δὲ χωλῶν, μήτηρ δὲ ὀρφανῶν. τὸ δὲ εἰς χήρας εὐσπλαγχνίας, τί χρὴ μεῖζον εἰπεῖν, ἢ ὅτι τὸ μὴ χήρα κληθῆναι καρπὸν ἠνέγκατο; κοινὸν μὲν ἦν ἡ ἐκείνης ἑστία, τοῖς πενομένοις ἀφ' αἵματος καταγώγιον, κοινὰ δὲ τὰ ὄντα πᾶσι τοῖς δεομένοις οὐχ ἧττον, ἢ ἑκάστοις τὰ ἑαυτῶν. ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. καὶ δὴ τὸ τῆς ἐπαγγελίας ἄπιστον καὶ ἀψευδέστατον, πολλὰ ταῖς ἐκεῖθεν ληνοῖς ἐναπέθετο, πολλὰ χριστόν, καὶ διὰ πολλῶν τῶν εὖ παθόντων ἐδεξιώσατο. καὶ τὸ κάλλιστον, ὅτι μὴ τὸ δοκεῖν ἦν περὶ αὐτὴν πλεῖον τῆς ἀληθείας. ἀλλ' ἐν τῷ κρυπτῷ καλῶς ἐγεώργει, τῷ βλέποντι τὰ κρυπτά, τὴν εὐσέβειαν. πάντα τὸν κοσμοκράτορα ἥρπασε, πάντα μετήνεγκεν εἰς τὰς ἀσφαλεῖς ἀποθήκας, οὐδὲν ἀφῆκε τῇ γῇ πλὴν τοῦ σώματος. πάντων ἠλλάξατο τὰς ἐκεῖθεν ἐλπίδας. μόνα τοῖς παισὶ πλοῦτον ἀφῆκε τὴν μίμησιν, καὶ τὴν ἐπὶ τούτοις φιλοτιμίαν. καὶ οὔτε τὰ μὲν τῆς μεγαλοψυχίας τοιαῦτα καὶ οὕτως ἄπιστα, τὸ δὲ σῶμα παρεδίδου τῇ τρυφῇ καὶ ταῖς ἀκαθέκτοις τῆς γαστρὸς ἡδοναῖς, τῷ λυσσῶντι κυνὶ καὶ σπαράττοντι, ὡς ἂν θαρροῦσα ταῖς εὐποιΐαις, ὅπερ πάσχουσιν οἱ πολλοί, τῆς εἰς τοὺς πένητας εὐσπλαγχνίας τὸ τρυφᾶν ἐξωνούμενοι, καὶ οὐ κακῷ τὸ κακὸν ἰώμενοι, κακοῦ δὲ τὸ φαῦλον ἀντιλαμβάνοντες, ἢ νηστείαις μὲν τὴν γαστέρα κατεπάλαισεν, ἑτέρῳ δὲ τὸ τῆς χαμευνίας παρῆκε φάρμακον, ἢ τοῦτο μὲν ἐξεῦρε τῇ ψυχῇ τὸ βοήθημα. ὕπνῳ δὲ μέτρον ἧττον ἑτέρου τινὸς ἐπέθηκεν, ἢ τοῦτο μὲν ὥσπερ ἀσώματος, ἐκλίθη δὲ εἰς γῆν, ἑτέρων παννυχιζόντων ἐν ὀρθῷ σώματι, ὃ δὴ μάλιστα φιλοσόφων ἀνδρῶν ἐστὶ τὸ ἀγώνισμα, ἢ, τοῦτο μὲν οὐ μόνον γυναικῶν, ἀλλὰ καὶ ἀνδρῶν ὤφθη τῶν γενναιοτάτων ἀνδρικωτέρα. ψαλ-

μῳδίας

μελῳδίαν δὲ τὸν ἐν ἐμφάσει, ἢ θείων λογίων ἔντευξιν, ἢ ἀνάπτυξιν, ἢ μνήμην εὔκαιρον, καὶ κλίσιν γονάτων κατεσκληκότων, καὶ ὥσπερ τῷ ἐδάφει συμπεφυκότων. ἢ δάκρυον ῥύπτον καθάρσιον σὺν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως, ἢ εὐχὴν αὖ ὡς μεταπέμπουσαν, καὶ νοῦν ἀπλανῆ καὶ μετάρσιον. ταῦτα πάντα, ἢ τούτων τι, ἐστιν ὅστις ἀνδρῶν ἢ γυναικῶν ἐκείνην ὑπερβεβηκέναι καυχήσαιτο; ἢ ἐκεῖνο, μέγα μὲν εἰπεῖν, ἀληθὲς δὲ, ὅτι τὸ μὲν ἐζήλου τῶν καλῶν, τοῦ δὲ ἦν ζῆλος. καὶ τὸ μὲν εὗρε, τὸ δὲ ἐνίκησε, καὶ εἰ καθ' ἕν τι τούτων ἦν ἔχειν τὸ ἁμιλλώμενον. ἀλλὰ τῷ γε μιᾷ τὰ πάντα συλλαβεῖν, ἁπάντως ἐκράτησεν. οὕτω μετὰ τὰ πάντα κατορθώσασα, ὡς οὐδεὶς ἄλλος ἕν, καὶ μετρίως. οὕτω δ' εἰς ἄκρον ἕκαστον, ὥστε καὶ αὐτὸ πάντα ἓν ἐξαρκεῖν καὶ μόνον. ὢ πιναροῦ σώματος καὶ ἐλύματος, ἀρετῇ μόνον ἀνθοῦντος. ὢ ψυχῆς διακρατούσης τὸ σῶμα, καὶ δίχα τροφῆς σχεδὸν, ὥσπερ ἄϋλον. μᾶλλον δὲ σώματος βιαζομένου νεκρωθῆναι καὶ πρὸ τῆς διαζεύξεως, ἵν' ἐλευθερίαν λάβῃ ψυχὴ, καὶ μὴ κατακρατῆται ταῖς αἰσθήσεσιν. ὢ νυκτῶν ἀΰπνων, καὶ ψαλμῳδίας, καὶ στάσεως ἐξ ἡμέρας εἰς ἡμέραν ἀπαλλαγείσης. ὢ Δαβὶδ, ταῖς πισταῖς μόνον ψυχαῖς οὐ μακρὰ μελῳδήσας. ὢ μελῶν ἁπαλότητος ἐπὶ γῆς ἐῤῥιμμένων, καὶ παρὰ τὴν φύσιν τραχυνομένων. ὢ πηγαὶ δακρύων σπειρομένων ἐν θλίψει, ἵν' ἐν ἀγαλλιάσει θερίζωσιν. ὢ βοῆς νυκτερινῆς νεφέλας διερχομένης, καὶ φθανούσης πρὸς τὸν οὐρανόν. ὢ θερμότης πνεύματος κυνῶν κατατολμώσης νυκτερινῶν, δι' εὐθυμίαν εὐχῆς, καὶ κρυμῶν, καὶ ὑετῶν, καὶ βροντῶν, καὶ χαλάζης, καὶ ἀωρίας. ὢ γυναικεία φύσις τὴν ἀνδρείαν νικήσασα, διὰ τὸν κοινὸν ἀγῶνα τῆς σωτηρίας, καὶ σώματος διαφορὰν, οὐ ψυχῆς, τὸ θῆλυ καὶ τὸ ἄῤῥεν ἐλέγξασα. ὢ τῆς μετὰ λουτρὸν ἁγνείας, καὶ τῆς νύμφης Χριστοῦ ψυχῆς, οἷα καθαρῷ νυμφῶνι τῷ σώματι. ὢ πικρὰ γεῦσις καὶ εὐχῆς μήτηρ καὶ χεῖλος τῆς ἁμαρτίας, καὶ ὄψις αὐτὴ καὶ θεάματα, τῇ ἐκείνης ἐγκρατείᾳ νενικημένα. ὢ Χριστοῦ κενώσεις, καὶ δούλου μορφὴ, καὶ παθήματα, τῇ ἐκείνης νεκρώσει τετιμημένα. ὢ, πῶς ἂν καταριθμήσωμαι τὰ ἐκείνης ἅπαντα, ἢ τὰ πλείω παρεὶς, μὴ ζημιώσω τοὺς ἀγνοοῦντας; ἀλλά μοι καλὸν ἤδη προσθεῖναι τῆς εὐσεβείας καὶ τὰ ἐπίχειρα. οὐ γάρ μοι ποθεῖν πάλαι δοκεῖτε, καὶ ζητεῖν ἐν τῷ λόγῳ, οἱ τὰ ἐκείνης καλῶς εἰδότες, οὐ τὰ παρόντα μόνον, ὧν οἷς νῦν ἐκεῖθεν ἀγάλλεται, ἃ κρείττω καὶ διανοίας καὶ ἀκοῆς ἀνθρωπίνης καὶ ὄψεως, ἀλλὰ καὶ οἷς ἐντεῦθεν αὐτὴν ὁ δίκαιος μισθαποδότης ἠμείψατο. ἐπεὶ καὶ τοῦτο ποιεῖ πολλάκις εἰς οἰκοδομὴν τῶν ἀπίστων, τοῖς μικροῖς τὰ μεγάλα πιστούμενος, καὶ τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα. ἐρῶ δὲ τὰ μὲν γνώριμα τοῖς πᾶσι, τὰ δὲ ἀπόῤῥητα τοῖς πολλοῖς. καὶ τοῦτο ἐκείνης φιλοσοφούσης τὸ μὴ καλλωπίζεσθαι τοῖς χαρίσμασιν. ἴστε τοὺς μανέντας ἡμιόνους, καὶ τὴν συναρπαγὴν τοῦ ὀχήματος, καὶ τὴν ἀπευκτὴν ἐκείνην περιτροπὴν, καὶ τὴν ἄτοπον ἕλξιν, καὶ τὰ πονηρὰ συντρίμματα, καὶ τὸ γενόμενον ἐντεῦθεν σκάνδαλον τοῖς ἀπίστοις, εἰ οὕτω δίκαιοι παραδίδονται, καὶ τὴν ταχεῖαν τῆς ἀπιστίας διόρθωσιν. πάντα συντριβεῖσα καὶ συγκοπεῖσα καὶ ὀστᾶ, καὶ μέλη, καὶ ἀφανῆ καὶ φαινόμενα, καὶ ὅτι ἰατρὸν ἄλλον πλὴν τοῦ παραδόντος οὐκ ἠνείχετο, ὁμοῦ μὲν καὶ τὸ ἐν ἀνδράσιν αἰδουμένη καὶ χεῖρας. τὸ γὰρ κόσμιον κἂν τοῖς πάθεσι διασώζουσα. ὁμοῦ δὲ καὶ τὴν ἀπολογίαν ζητοῦσα παρὰ τοῦ ταῦτα παθεῖν συγχωρήσαντος. ὥστε παρ' ἄλλου τινὸς ἢ ἐκείνου τῆς σωτηρίας ἔτυχεν. ὡς μὴ μᾶλλον εὐθὺς τοὺς παρόντας πληγῶναι, ἢ εὐθὺς τῷ παραδόξῳ τῆς ὑγιείας καταπλαγῆναι, καὶ διὰ τοῦτο δόξαι συμβῆναι τὴν τραγῳδίαν, ἵν' ἐνδοξασθῇ τοῖς πάθεσι. παθοῦσα μὲν ὡς ἄνθρωπος, ἰαθεῖσα δὲ ὑπὲρ ἄνθρωπον, καὶ διήγημα δοῦσα τοῖς ὕστερον, μέγιστον μὲν εἰς ἀπόδειξιν τῆς ἐν τοῖς πάθεσι πίστεως, καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, μεῖζον δὲ τῆς τοῦ θεοῦ περὶ τοὺς τοιούτους φιλανθρωπίας. τῷ γὰρ ὅταν πέσῃ οὐ καταῤῥαχθήσεται, τῷ περὶ τοῦ δικαίου καλῶς εἰρημένῳ, προστίθησι καινότερον, τὸ κἂν καταῤῥαχθῇ, τάχιστα ὀρθωθήσεται καὶ δοξασθήσεται. εἰ γὰρ παρὰ τὸ εἰκὸς ἔπαθεν, ἀλλὰ καὶ ὑπὲρ τὸ εἰκὸς ἐπανῆλθε πρὸς ἑαυτήν. ὡς μικροῦ κλαπῆναι τῇ ὑγιείᾳ τὸ πάθος, καὶ περιφανεστέραν γενέσθαι τὴν θεραπείαν ἢ τὴν πληγήν. ὢ συμφορᾶς ἐπαινουμένης, καὶ θαυμασίας. ὢ πάθους ἀπαθείας ὑψηλοτέρου. ὢ τοῦ πατάξει καὶ μοτώσει, καὶ ὑγιάσει, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστήσει, φθέγγοντος μὲν εἰς μεῖζον καὶ μυστικώτερον, ὥσπερ δὴ ἤνικται, οὐχ ἧττον δὲ τῆς τοιαύτης ἁρμόζοντος πάθεσι. τοῦτο μὲν οὖν, ὃ πᾶσι πρόδηλόν ἐστι τοῖς πέῤῥωθεν, ἐπεὶ καὶ εἰς πάντας τὸ θαῦμα διῆλθε, καὶ ἐν ταῖς πάντων κεῖται γλώσσαις, καὶ ἀκοαῖς τὸ διήγημα, μετὰ τῶν ἄλλων τοῦ θεοῦ θαυμασίων τε καὶ δυνάμεων. τὸ δὲ μέχρι νῦν ἀγνοούμενον τοῖς πολλοῖς καὶ κρυπτόμενον δι' ἣν εἶπον φιλοσοφίαν, καὶ τὸ τῆς εὐσεβείας ἄτυφόν τε καὶ ἀνεγκαλλώπιστον, ἀπεκάλυψεν ὁ ποιμένων ἄριστα καὶ τελεώτατα ὁ τοῦ ἱεροῦ προβάτου ἐκείνου ποιμὴν, καὶ τοῦτο ἡμεῖς λοιπὸν, ἐπειδὴ καὶ μόνοι τὸ μυστήριον ἐπιστεύθημεν, καὶ μάρτυρες ἀλλήλοις ἐσμὲν τοῦ θαύματος, ἢ ὅτι τῇ ἀπελπίσει τὴν πίστιν φυλάξωμεν. ἀλλά μοι δοκεῖ ὥσπερ τότε καιρὸς ἦν τῆς σιωπῆς, οὕτω νῦν τῆς διαγορεύσεως. οὐ μόνον εἰς τὴν τοῦ θεοῦ δόξαν, ἀλλὰ καὶ εἰς παράκλησιν τῶν ἐν θλίψεσιν. ἔκαμνεν αὐτῇ τὸ σῶμα, καὶ διέκειτο πονήρως, καὶ ἡ νόσος ἦν τῶν ἀήθων καὶ ἀλλοκότων. πύρωσις μὲν ἀθρόα παντὸς τοῦ σώματος,

σώματος, καὶ δὴ βρασμός τις καὶ ζέσις αἵματος. εἶτα πῆξις τούτου καὶ νάρκη, καὶ ὠχρίασις ἄπιστος, καὶ τῶν μελῶν παράλυσις, καὶ ταῦτα οὐκ ἐκ μακρῶν τῶν διαστημάτων. ἀλλ' ἦν ὅτε καὶ λίαν συνεχῶς. τὸ δὲ κακὸν οὐκ ἀνθρώπινον ἐνομίζετο, καὶ οὔτε ἰατρῶν ἤρκουν τέχναι, λίαν ὧν μεγάλως διασκεπτομένων ἢ τοῦ πάθους, καὶ καθ' ἑαυτὴν ἑκάστου καὶ σὺν ἀλλήλοις, οὔτε γονέων δάκρυα, πολλὰ πολλάκις δεδυνημένα, οὔτε πάνδημοι λιταὶ καὶ ἱκεσίαι, ἃς ὡς ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ἕκαστος ἐποιεῖτο πᾶς ὁ λαός. καὶ γὰρ ἦν ἅπασι σωτηρία, τὸ ἐκείνην σώζεσθαι. ὥσπερ τοὐναντίον, πάθος κοινὸν, τὸ τῇ ἀῤῥωστίᾳ κακοπαθεῖν. τί οὖν ἡ μεγάλη καὶ τῶν μεγίστων ἀξία ψυχή; καὶ τίς ἡ ἰατρεία τοῦ πάθους; τοῦτο γὰρ ἤδη καὶ τὸ ἀπόῤῥητον. ἀπαγνοῦσα τὴν ἄλλην, ἐπὶ τὸν πάντων ἰατρὸν καταφεύγει, καὶ νυκτὸς ἀωρίαν τηρήσασα, μικρὸν οὐδ' ὅσης αὐτῇ τῆς νόσου, τῷ θυσιαστηρίῳ προσπίπτει μετὰ τῆς πίστεως, καὶ τὸν ἐπ' αὐτοῦ τιμώμενον ἀνακαλουμένη μεγάλῃ τῇ βοῇ, καὶ πάσαις ταῖς κλήσεσι, καὶ πάσαν αὐτὸν τὴν πώποτε δύναμιν ὑπομνήσασα. σοφὴ γὰρ ἐκείνη καὶ τὰ παλαιὰ καὶ τὰ νέα, τέλος ἀναισχυντεῖ τινα καλὴν ἀναισχυντίαν. μιμεῖται τὴν τοῖς κρασπέδοις Χριστοῦ ξηρανθεῖσαν πηγὴν αἵματος, καὶ τί ποιεῖ; τῷ θυσιαστηρίῳ τὴν κεφαλὴν ἑαυτῆς προσθεῖσα μετὰ τῆς ἴσης βοῆς, καὶ δάκρυσι τούτῳ πλουσίοις, ὥσπερ τις πάλαι τοὺς πόδας Χριστοῦ καταβρέχουσα, καὶ μὴ πρότερον ἀφήσειν, ἢ τῆς ὑγιείας τυχεῖν ἀπειλοῦσα, εἶτα τῷ παρ' ἑαυτῆς φαρμάκῳ τούτῳ τὸ σῶμα πᾶν ἐπαλείφουσα, καὶ εἴ που τι τῶν ἀντιτύπων τοῦ τιμίου σώματος ἢ τοῦ αἵματος ἡ χεὶρ ἐθησαύρισε, τοῦτο καταμιγνῦσα τοῖς δάκρυσιν, ὢ τοῦ θαύματος, ἀπῆλθεν εὐθὺς αἰσθομένη τῆς σωτηρίας, κούφη καὶ σῶμα, καὶ ψυχὴν, καὶ διάνοιαν, μισθὸν ἐλπίδος λαβοῦσα τὸ ἐλπιζόμενον, καὶ τῇ τῆς ψυχῆς ῥώσει, κομισαμένη τὴν τοῦ σώματος. ταῦτα μεγάλα μὲν, οὐ ψευδῆ δέ. τούτοις πιστεύετε ἅπαντες, καὶ νοσοῦντες καὶ ὑγιαίνοντες. ἵν' οἱ μὲν ἔχητε τὴν ὑγίειαν, οἱ δὲ ἀπολαύσητε. καὶ ὅτι μὴ κόμπος τὸ διήγημα, δῆλον ἐξ ὧν ζώσης κατασιγήσας, νῦν ἐξεκάλυψα. καὶ οὐδ' ἂν νῦν ἐδημοσίευσα. εὖ ἴστε, εἰ μή τις εἶχέ με φόβος, θαῦμα τοσοῦτον κατακρύψαι καὶ πιστοῖς καὶ ἀπίστοις, καὶ τοῖς νῦν, καὶ τοῖς ὕστερον. τὰ μὲν δὴ τοῦ βίου τοιαῦτα, καὶ τὰ πλείω παραλελείπαμεν, διὰ τὴν συμμετρίαν τοῦ λόγου, καὶ τὸ μὴ δοκεῖν ἀπλήστως ἔχειν περὶ τὴν εὐφημίαν. τάχα δ' ἂν ἀδικοίημεν τελευτὴν ὁσίαν καὶ περιβόητον, εἰ μὴ καὶ τῶν ταύτης καλῶν ἐπιμνησθείημεν. ταῦτα, οὕτως ἐκείνης ποθουμένης τε καὶ ζητουμένης. μνησθήσομαι δὲ ὡς ἂν οἷόν τε ᾖ συντομώτατα. ἐπόθει μὲν τὴν ἀνάλυσιν, καὶ εἶχε πολλὴν πρὸς τὸν καλοῦντα τὴν παῤῥησίαν, καὶ τὸ σὺν Χριστῷ εἶναι, πάντων προετίθει τῶν ὑπὲρ γῆς. καὶ οὐδεὶς οὕτως ἐρᾷ σώματος τῶν λίαν ἐρωτικῶν τε καὶ δυσκαθέκτων, ὡς ἐκείνη τὰς πέδας ἀποῤῥίψασα ταύτας, καὶ τὸν πηλὸν ὑπερβᾶσα, μεθ' ἧς βιοτεύομεν, μετὰ τοῦ καλοῦ καθαρῶς γενέσθαι, καὶ τὸν ἐρώμενον ἀπολαβεῖν ὅλον, προσθήσω δ' ὅτι καὶ τὸν ἐραστὴν, οὗ νῦν μικραῖς ἐλλαμπόμεθα ταῖς αὐγαῖς, καὶ ὅσον γινώσκειν, οὐ κεχωρίσμεθα. διαμαρτάνει δὲ οὐδὲ ταύτης τῆς ἐπιθυμίας, οὕτως οὔσης εὐσεβοῦς καὶ ὑψηλῆς. καὶ ὃ τούτου μεῖζόν ἐστι, προαπολαύει τοῦ καλοῦ διὰ τῆς προγνώσεως καὶ τῆς πολλῆς ἀγρυπνίας. ταύτην εἰς ὕπνον τῶν ἡδίστων ἀμείβεται, καὶ ὄψις μία προθεσμίᾳ προλαβοῦσα τὴν ἐκδημίαν, καὶ τὴν ἡμέραν ταύτην γνωρίσασα, ὡς ἂν τὸ ἑτοιμασθῆναι καὶ μὴ ταραχθῆναι τοῦ Θεοῦ προνοοῦντος. αὐτῇ μὲν οὖν ὑπόγυιον τὸ τῆς καθάρσεως καὶ τελειώσεως ἦν ἀγαθὸν, ἣν κοινὴν δωρεὰν καὶ θεμέλιον τοῦ δευτέρου βίου κρηπῖδα παρὰ Θεοῦ πάντες λαβόντες ἔχομεν. μᾶλλον δὲ πᾶς ὁ βίος κάθαρσις ἦν αὐτῇ καὶ τελείωσις. καὶ τὸ μὲν τῆς ἀναγεννήσεως εἶχεν ἐκ τοῦ Πνεύματος, τὸ δ' ἀσφαλὲς ταύτης, ἐκ τῶν προβεβιωμένων. καὶ μόνη σχεδὸν, ἵν' εἴπω τολμήσας, σφραγὶς ἀλλ' οὐ χάρισμα ἦν τὸ μυστήριον. ἐπεὶ δὲ τοῖς πᾶσι προστεθῆναι ζητοῦσα τὴν τοῦ ἀνδρὸς τελείωσιν, βούλεσθε γράψω τὸν ἄνδρα συντόμως; ἀνδρὸς ἐκείνης, καὶ οὐκ οἶδ' ὅ,τι χρὴ πλέον εἰπεῖν. ἵν' ὅλῳ τῷ σώματι Θεῷ καθιερωθῇ, καὶ μὴ ἐξ ἡμισείας ἀπέλθῃ τετελεσμένη, μηδ' ὑπολείπηταί τι τῶν ἑαυτῆς ἀτελὲς, οὐδὲ ταύτης διαμαρτάνει τῆς αἰτήσεως, παρὰ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιοῦντος, καὶ εἰς πέρας ἄγοντος τὰ αἰτήματα. ὡς δὲ ἅπαντα εἶχεν αὐτῇ κατὰ νοῦν, καὶ οὐδὲν ἐλείπετο τῶν ποθουμένων, καὶ ἦν ἡ κυρία πλησίον, οὕτως ἤδη πρὸς θάνατον συσκευάζεται καὶ τὴν ἐκδημίαν, καὶ πληροῖ τὸν περὶ ταῦτα νόμον διὰ τῆς κατακλίσεως. ἐπισκήψασα δὲ καὶ ἀνδρὶ, καὶ τέκνοις, καὶ φίλοις, ὅσα εἰκὸς τὴν φίλανδρον, καὶ φιλότεκνον, καὶ φιλάδελφον, καὶ λαμπρῶς τι τῶν ἐκεῖθεν φιλοσοφήσασα, καὶ πανηγύρεως ἡμέραν ποιησαμένη τὴν τελευταίαν, κοιμᾶται. πλήρης μὲν οὐ τῶν κατ' ἄνθρωπον ἡμερῶν, ὅ,τι μηδὲ συνηύχετο, ταύτας ἑαυτῇ πονηρὰς εἰδυῖα, καὶ τὰ πολλὰ μετὰ τοῦ χοὸς καὶ τῆς πλάνης, τῶν δὲ κατὰ Θεὸν καὶ λίαν πλήρης, ὡς οὐκ οἶδ' εἴ τις ῥᾳδίως τῶν ἐν πλήθει τῇ πολιᾷ καταλυσάντων, καὶ πολλὰς ἐτῶν περιόδους ἀριθμησάντων. οὕτως ἐκείνη λύεται, ἢ προσλαμβάνεται κρεῖσσον εἰπεῖν, ἢ ἀφίπταται, ἢ μετοικίζεται, ἢ μικρὸν προαποδημεῖ τοῦ σώματος. ἀλλ' οἷόν με μικροῦ τὸ ἐκείνης παρέδραμεν. τάχα δ' ἂν οὐ συνεχώρησας, ὦ σὺ πάτερ ἐκείνης πνευματικὲ, ὁ καὶ τηρήσας ἀκριβῶς τὸ θαῦμα,

καὶ ἡμῖν

καὶ ἡμῖν γνωρίσας, μέγα μὲν εἰς φιλοτιμίαν ἐκείνῃ, μέγα δὲ ἡμῖν εἰς ὑπόμνησιν ἀρετῆς, καὶ
πόθον τῆς αὐτοῦ ἀναλύσεως. καί με φείσει τις ἀποδέξεται καὶ δακρύοντα ὅμως, μεμνημένον τοῦ θαύ-
ματος. ἐλύθη μὲν ἤδη, καὶ ἀνέπνευσε τὰ πλεῖστα, καὶ χορὸς περὶ αὐτὴν οἰκείων τε καὶ ξένων,
χαριζομένων τὰ προπεμπτήρια, καὶ μητρὸς γηραιᾶς ἐπίκλυσις, καὶ ψυχῆς σπαραγμὸς ζη-
λοτυπούσης τὴν ἐκδημίαν, καὶ φίλτρον ἁπάντων, ἀγωνία σύγκρατος, τὴν μὲν οὐκ ἀκούσεσθαι
τοιούτων, μνήμης ἐμπύρευμα, τὴν δὲ οὐ φθέγξονται. βλέμμα τὸ δὲ εὔδιον, καὶ κοῦφα τὰ
δάκρυα, καὶ ἡ τῆς λύπης ὠδὶν ἀδιάπτωτος. οὐδὲ γὰρ ὅσιον ἐδόκει θρήνοις τιμᾶν τὴν οὕτω χω-
ριζομένην, σιγὴ δὲ βαθεῖα, καὶ τελετή τις ὁ θάνατος. ἡ δὲ ἄπνους τε καὶ ἀκίνητος καὶ ἄφθογ-
γος οὐ φαινομένη. καὶ ἡ σιωπὴ, τοῦ σώματος ἐδόκει παράλυσις, δι᾽ ἤδη τῶν φωνητικῶν ὀργάνων
νενεκρωμένων, ἀλλὰ τὴν τοῦ κινοῦντος ἐκχώρησιν. ἠρέμα δὲ τῶν χειλέων κινουμένων αἰσθόμενος
ὁ παρὼν τηρῶν τὰ ἐκείνης ἦν ἐμμελὴς ποιμὴν, ἀλλὰ τὸ ἐν πᾶσι θαῦμα. καὶ προσθεὶς τὰ ὦτα
τοῖς χείλεσι (τὸ γὰρ θαῤῥεῖν εἶχε καὶ παρὰ τοῦ τρόπου, καὶ διὰ τῆς συμπαθείας) αὐτοὺς διήγη-
σε τὸ τῆς ἡσυχίας μυστήριον, ὅτι ψαλμὸς ἦν, καὶ δι᾽ οὗ. οὐδεὶς ἀπιστήσει σοῦ λέγοντος. ψαλμῳδία γὰρ
ἀπολελυμένον ἦν, καὶ ψαλμῳδίας τὰ ἐξόδια ῥήματα. εἰ δὲ χρὴ τὸ λανθάνον εἰπεῖν, μαρτυ-
ρία τῆς παῤῥησίας μεθ᾽ ἧς ἡ ἔξοδος. καὶ μακάριος, ὅς τις μετ᾽ ἐκείνων ἀναπαύεται τῶν ῥημάτων. ἐν
εἰρήνῃ ἦν ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. ταῦτα καὶ ἔψαλλέ σοι καλλίστη γυναικῶν, καὶ
συνέβαινεν, καὶ ἡ ψαλμῳδία τὸ γινόμενον ἦν, καὶ μετὰ τῆς ἐκδημίας ὁ ὕπνος ὁ τελευταῖος. ὦ καλῶς
ἀπὸ τῶν παθῶν εἰρηνεύσασα σύ, καὶ τὸν ὀφειλόμενον τοῖς ἀγαπητοῖς ὕπνον ἀπολαβοῦσα,
πρὸς τῷ κοινῷ τῆς κοιμήσεως, ὡς εἰκὸς τὴν καὶ ζήσασαν καὶ ἀπελθοῦσαν ἐν τοῖς τῆς εὐσεβείας
ῥήμασιν. κρείσσω μὲν οὖν ὧν οἶδα καὶ μακρῷ τιμιώτερα τὰ παρόντα σοι νῦν, ἃ κατὰ τὰ ὁρώ-
μενα, ἦχος ἑορταζόντων, ἀγγέλων χορεία, τάξις οὐρανία, δόξης θεωρία, τῆς τε ἄλλης καὶ τῆς
αὐτοτάτου, τελείᾳ ἔλλαμψις καθαρωτέρα τε καὶ τελεωτέρα, μηκέτι ἀποφυγούσης τῶν
δεσμίων νοῶν, καὶ διαχεομένου ταῖς αἰσθήσεσιν, ἀλλ᾽ ὅλης ὅλῳ νοὶ θεωρουμένης τε καὶ κρατου-
μένης, καὶ προσαστραπτούσης ταῖς ἡμετέραις ψυχαῖς ὅλῳ τῷ φωτὶ τῆς θεότητος. τρυφῴης τὴν ἀπο-
λαύοις, ὧν ἔτι ὑπὲρ γῆς εἶχες τὰς ἀποῤῥοίας, διὰ τὸ γνησίους τῆς πρὸς αὐτὰ νεύσεως. εἰ δέ τις
σοι καὶ τῶν ἡμετέρων τιμῶν ἐστι λόγος, καὶ τοῦτο ταῖς ὁσίαις ψυχαῖς ἐκ θεοῦ γέρας, τὴν
τοιούτων ἐπαισθάνεσθαι, δέχοιο καὶ τὸν ἡμέτερον λόγον, ἀντὶ πολλῶν καὶ πρὸ πολλῶν
ἐντάφιον, ὃν καὶ σαρκὶ μὲν πρὸ σοῦ, καὶ σοὶ μετ᾽ ἐκεῖνον ἀφωσιώσαμεν, ἐπειδή γε ἀδελ-
φῶν ἦν ἐπιταφίοις ἐτιμηθήτην. εἰ δὲ καὶ ἡμᾶς τιμήσει τις μεθ᾽ ὑμᾶς τοῖς ἴσοις λόγοις, οὐκ
ἔχω λέγειν πλὴν τιμηθείημεν γε μόνον τὴν ἐν θεῷ τιμὴν, καὶ τῶν οἰκούντων καὶ κατοικούν-
των ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τῷ πατρὶ σὺν ἁγίῳ πνεύματι, εἰς
τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΑΤΕΡΑ ΣΙΩΠΩΝΤΑ ΔΙΑ τὴν πληγὴν τῆς χαλάζης.

ΤΙ λύετε τὴν ἐπιπονουμένην; τί βιάζεσθε γλῶσσαν, νόμῳ δουλεύουσαν; τί
προκαλεῖσθε λόγον, ἔνοντα πνεύματι; τί τὴν κεφαλὴν ἀφαιροῦντες, καὶ τοὺς
πόδας ἀπαιτεῖτέ τι; τί τὸν Ἀαρὼν παραφέροντες, τὸν Ἐλεάζαρ προβάλ-
λεσθε; οὐ δέχομαι πηγὴν φράττεσθαι, καὶ χείμαῤῥον φέρεσθαι, ἥλιον κρύ-
πτεσθαι, καὶ ἀστέρα δείκνυσθαι, τὴν πολιὰν ὑποχωρεῖν, καὶ τὴν νεότητα νο-
μοθετεῖν, τὴν σοφίαν σιωπᾶν, καὶ τὴν ἀπειρίαν παῤῥησιάζεσθαι, οὔ τι γοῦν πάντως, ὁ πλείων
τοῦ ἐλάττονος χρησιμώτερος. τί γάρ, εἰ ὁ μὲν σφοδρότερος ὢν, παρασύρει τὴν γῆν, καὶ προσζη-
μιοῖ τῷ κεφαλαίῳ τὸν γεωργόν· ὁ δὲ ἠρέμα χεόμενος, καὶ εἰς τὰ βάθη δυόμενος, πιαίνει τὴν
ἄρουραν, καὶ ὀνίνησι τὸν ἀρόσαντα, καὶ τρέφει στάχυν εἰς καρπὸν εὔσημον, οὕτω ἐν λόγοις ὁ δαψι-
λέστερος, τοῦ σοφωτέρου λυσιτελέστερος. ὁ μὲν γὰρ ἴσως ὀλίγον εὐφράνας, ἀπῆλθε· καὶ ὁμοῦ
τῷ πλήττειν ἀέρα διελύθη, μηδὲ ἐν δηλωθεὶς ὑπὲρ τοῦτο, καὶ τὴν λίχνον ἀκοὴν, τῇ βδέλλῃ ἀτ-
τίᾳ κατεγοήτευσεν. ὁ δὲ εἰς τὸν νοῦν δίεισι, καὶ πλατύνας τὸ στόμα, ἐπλήρωσε πνεύματος.
καὶ τῆς γεννήσεως ὤφθη μακρότερος, καὶ πολλὰ ἐν ὀλίγαις συλλαβαῖς ἐγεώργησε, καὶ οὔ-
πω λέγω τὴν ἀληθινὴν σοφίαν καὶ πρώτην, ἧς ὁ θαυμάσιος. ὁ γὰρ γεωργὸς καὶ ποιμὴν, τὰ πρῶ-
τα φέρεται. σοφία πρώτη, βίος ἐπαινετὸς, καὶ θεῷ κεκαθαρμένος ἢ καθαιρόμενος, τῷ
καθαρωτάτῳ καὶ λαμπροτάτῳ, καὶ μόνην ἀπαιτοῦντι παρ᾽ ἡμῶν θυσίαν τὴν κάθαρσιν,
ἣν δὴ καρδίαν συντετριμμένην, καὶ θυσίαν αἰνέσεως, καὶ καινὴν ἐν Χριστῷ κτίσιν, καὶ νέον ἄν-
θρωπον, καὶ τὰ τοιαῦτα, τῇ γραφῇ καλεῖν φίλον. σοφία πρώτη, σοφίας ὑπερορᾶν τῆς ἐν λό-
γῳ κειμένης, καὶ στροφαῖς λέξεων, καὶ ταῖς κιβδήλοις καὶ περιττοῖς ἀντιθέσεσιν. ἐμοὶ δὲ γένοιτο
πέντε λόγους ἐν ἐκκλησίᾳ λαλῆσαι μετὰ συνέσεως, ἢ μυρίους ἐν γλώσσῃ καὶ φωνῇ σάλπιγ-
γος ἀσήμῳ, τὸ ἐμὸν ἀπόλεμον οὐκ ἐγειρούσῃ πρὸς τὸν πνευματικὸν πόλεμον. ταύτην ἐπαινῶ τὴν

σοφίαν ἐγὼ, ταύτην ἀσπάζομαι, δι' ἧς ἀγεννεῖς ἐδοξάσθησαν, καὶ εἰς τὴν ἐξουδενωμένοι προετιμήθησαν, καὶ μεθ' ἧς ἁλιεῖς τὴν οἰκουμένην ὅλην τοῖς τοῦ εὐαγγελίου δεσμοῖς ἐσαγήνευσαν, ὑπὸ συντελουμένῳ καὶ συντετμημένῳ λόγῳ, τὴν καταργουμένην σοφίαν νικήσαντες. οὐ γὰρ ὁ ἐν λόγῳ σοφὸς, οὗτος εἶναι σοφὸς, οὐδ' ὅστις γλῶσσαν μὲν εὔστροφον ἔχει, ψυχὴν δὲ ἀπαίδευτον, ὥσπερ τῶν τάφων, ὅσοι τὰ ἔξωθεν ὄντες εὐπρεπεῖς καὶ ὡραῖοι, μυδῶσι νεκροῖς τὰ ἔνδον, καὶ πολλὴν δυσωδίαν περικαλύπτουσιν· ἀλλ' ὅστις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ, παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τοῦ λόγου, διὰ τοῦ βίου προστίθησι, κρείσσων εἶναι εὐμορφίᾳ θεωρουμένη, τῆς λόγῳ ζωγραφουμένης, καὶ πλοῦτος ὃν αἱ χεῖρες ἔχουσιν, ἢ ὃν ὄνειροι πλάττουσι, καὶ σοφία, οὐχ ἡ λόγῳ λαμπρυνομένη, ἀλλ' ἡ διὰ τῶν ἔργων ἐλεγχομένη. σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, φησι, ἀλλ' οὐ τοῖς κηρύττουσι. ταύτης δὲ βάσανος ἀκριβεστάτη τῆς σοφίας, χρόνος, καὶ στέφανος ὄντως, γῆρας καυχήσεως. εἰ γὰρ ὑμνῶ μακαρίζειν χρὴ πρὸ τελευτῆς ἄνθρωπον, ὡς σολομῶντι καὶ μοὶ δοκεῖ, καὶ ἄδηλον ὃ παρὰ τῆς ἐπιούσης τεχθήσεται, πολλὰς στροφὰς ἐχούσης ἡμῶν τῆς κάτω ζωῆς, καὶ τοῦ τῆς ταπεινώσεως σώματος ἄνω καὶ κάτω φερομένου καὶ μεταπίπτοντος· πῶς οὐχὶ καὶ ὁ τὸ πολὺ τοῦ βίου κενώσας ἀμέμπτως, καὶ δὴ ἤδη πρὸς λιμένας ὢν τοῦ κοινοῦ τῆς ζωῆς πελάγους, τοῦ πολλὴν ἔχοντος ἔτι τὸν πλοῦν ἀσφαλέστερος, καὶ διὰ τοῦτο μακαριώτερος. μὴ τοίνυν ἀποκλείσῃς γλῶσσαν τὴν πολλὰ φθεγξαμένην καλῶς, ἧς οἱ καρποὶ πολλοὶ, καὶ πολλὰ τὰ τῆς δικαιοσύνης γεννήματα, ὡς πόσα τὰ τέκνα, καὶ τίνες οἱ θησαυροὶ, ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε· πᾶς ὁ λαὸς οὗτος, ὃν ἐν χριστῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησας, μὴ δὴ φθονήσῃς ἡμῖν τῶν χρηστῶν πλεῖον, ὁ ὀλίγοις ῥήμασι, μηδὲ τῆς μελλούσης ζημίας ἤδη δῶς τὸ προοίμιον, φθέγξαι βραχέα μὲν, ἀλλ' ἐμοὶ φίλα καὶ ἥδιστα· οὐκ ἀκουστὰ μὲν, ἀλλὰ τῇ πνευματικῇ βοῇ γνωριζόμενα, καθ' ἣν καὶ σιωπῶντος ἀκούει μωσέως θεὸς, καὶ τί βοᾷς πρός με, πρὸς νοερῶς ἐντυγχάνοντι λέγεται. καταρτισόν μοι τὸν λαὸν τὸν σὸν θρέμματι, καὶ μετὰ τοῦτο ποιμένι, νῦν δὲ καὶ ἀρχιποιμένι. δίδαξόν με τι, περὶ ποιμαντικῆς, τὸν λαὸν τοῦτον, περὶ εὐπειθείας, περὶ τῆς παρούσης πληγῆς τί φιλοσοφήσομεν, περὶ τῶν δικαίων τοῦ θεοῦ κριμάτων. ἐάν τι καταλαμβάνωμεν ἡμεῖς, ἐάν τι ἀγνοῶμεν τὴν πολλὴν ἄβυσσον. πῶς καὶ ἡ ἐλεημοσύνη εἰς σταθμοὺς κατὰ τὸν ἅγιον ἠσαΐαν. οὐδὲ γὰρ τὸ ἀγαθὸν ἄκριτον, εἰ καὶ τοῖς ἐν τῷ ἀμπελῶνι προκεκμηκόσιν ἔδοξε, μὴ συνιεῖσι τὸ ἐν τῇ ἰσότητι αἴτιον, ὅτι ἡ ὀργὴ κατὰ λόγον τῶν ἁμαρτημάτων ποτήριον ἐν χειρὶ κυρίου προσαγορευομένη, καὶ κόνδυ πώσεως ἐκπινόμενον, εἰ ὅτι πᾶσιν ὑφαιρεῖταί τι τῆς ἀξίας, καὶ τοῦ τῆς ὀργῆς ἄκρατον φιλανθρωπίᾳ κίρνησι· κλίνων μὲν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, τοῖς φόβῳ παιδευομένοις, καὶ τοῖς ἐκ τῆς μικρᾶς θλίψεως συλλαμβανομένοις, καὶ ὠδίνουσι τὴν ἐπιστροφὴν, καὶ τὸ πνεῦμα σωτηρίας τέλειον ἀποκυΐσκουσι. ὑποτηρῶν δὲ ὅμως τὴν τρυγίαν τῆς ὀργῆς ἔσχατον, ἵν' ὅλον κενώσῃ, τοῖς μὴ θεραπευομένοις ἐκ τῆς χρηστότητος. ἀλλὰ καὶ σκληρυνομένοις κατὰ τὸν βαρυκάρδιον φαραὼ, καὶ πικρὸν ἐργοδότην, εἰς δεῖγμα ταμιευθεῖσα τῆς τοῦ θεοῦ κατὰ τῶν ἀσεβῶν δυνάμεως. εἰπὲ, πόθεν αἱ τοιαῦται πληγαὶ καὶ μάστιγες, καὶ τίς ὁ περὶ ταῦτα λόγος; πότερον κίνησίς τις τοῦ παντὸς ἄτακτος καὶ ἀνώμαλος, καὶ ἀκυβέρνητος φορά τις καὶ ἀλογία, ὡς οὐδενὸς τοῖς οὖσιν ἐφεστῶτος, καὶ τὸ αὐτόματον ταῦτα φέρει. ὡς δοκεῖ τοῖς ἀσόφοις σοφοῖς, καὶ τοῖς εἰκῇ φερομένοις ὑπὸ τοῦ ἀτάκτου καὶ σκοτεινοῦ πνεύματος, ἢ λόγῳ τινὶ καὶ τάξει. ὥσπερ ὑπέστη τὸ πᾶν ἀπ' ἀρχῆς, καὶ ἐκράθη καὶ συνεδέθη καὶ ἐκινήθη κοσμίως, ὡς μόνῳ τῷ κινήσαντι γνώριμον· οὕτω καὶ μετακινεῖται, καὶ μετατίθεται, προνοίας χαλινοῖς ὁδηγούμενον. πόθεν ἀφορίαι καὶ ἀνεμοφθορίαι καὶ χάλαζαι, ἡ νῦν ἡμετέρα πληγὴ καὶ νουθεσία. πόθεν ἀέρων φθοραὶ καὶ νόσοι, καὶ βρασμοὶ γῆς, καὶ θαλάσσης ἐπαναστάσεις, καὶ τὰ ἐξ οὐρανοῦ δείματα; καὶ πῶς ἡ εἰς ἀπόλαυσιν ἀνθρώπων δημιουργηθεῖσα κτίσις, τὸ κοινὸν αὐτῶν τρύφημα καὶ ἰσότιμον, εἰς τὴν τῶν ἀσεβῶν κόλασιν μεταβάλλεται· ἵν' οἷς τιμηθέντες οὐκ ηὐχαριστήσαμεν, τούτοις καὶ παιδευθῶμεν, καὶ γνῶμεν τὴν δύναμιν ἐξ ὧν πάσχομεν. ἐπειδὴ μὴ ἔγνωμεν, ἐξ ὧν εὖ πεπόνθαμεν. πῶς τοῖς αὖ, ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα δίδοται, καὶ ἀναπληροῦται τὸ τῆς κακίας μέτρον τῇ διπλασίᾳ, καθ' ἣν καὶ ὁ ἰσραὴλ σωφρονίζεται. τοῖς δὲ διὰ τῆς ἑπταπλασίας εἰς τὸν κόλπον ἀποδιδομένης, κενοῦται τὰ ἁμαρτήματα; καὶ τί τὸ τῶν ἀμορραίων μέτρον, οὔπω πεπληρωμένον; καὶ πῶς ὁ ἁμαρτωλὸς ἢ ἀφίεται ἢ κολάζεται πάλιν, τὸ μὲν ἐκεῖθεν τυχὸν τηρούμενον, τὸ δὲ αὐτόθεν ἰατρευόμενος; καὶ πῶς ὁ δίκαιος ἢ κακοπαθεῖ πειραζόμενος ἴσως ἢ εὐπαθεῖ συντηρούμενος. ἂν περ ἢ πτωχὸς τὴν διάνοιαν, καὶ μὴ σφόδρα ὑπὲρ ἄνω τῶν ὁρωμένων, καὶ ὡς τὸ συνειδὸς διδάσκει τούτων ἑκάτερον, τὸ οἰκεῖον καὶ ἀψευδὲς κριτήριον.

τίς ἡ

τίς ἡ πληγὴ, καὶ πόθεν, πότερον ἀρετῆς ἔλεγχος, ἢ κακίας βάσανος, καὶ ὅτι κρεῖττον ὡς κολάσει κάμπτεσθαι καὶ μὴ οὕτως ἔχειν. καὶ ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα ταπεινοῦσθαι, ἢ ὡς δοκιμασίᾳ μετεωρίζεσθαι. ταῦτα δίδαξον καὶ νουθέτησον, μὴ σφόδρα τῇ παρούσῃ πληγῇ δυσφορεῖν, ἢ εἰς κακῶν βάθος ἐμπεσόντας καταφρονεῖν. ἔστι γάρ τι καὶ τοιοῦτον πάθημα ἐν τοῖς πολλοῖς· ἀλλὰ σωφρόνως ἔχειν πρὸς τὴν νουθεσίαν, καὶ μὴ τὴν μείζω προσκαλεῖσθαι, διὰ τῆς πρὸς ταύτην ἀναισθησίας. δεινὸν ἀφορία γῆς, καὶ καρπῶν ἀπώλεια. πῶς δὲ οὐχὶ ἤδη ταῖς ἐλπίσιν εὐφραινόντων, καὶ ταῖς ἀληθείαις πλησιαζόντων. καὶ δεινὸν ἄωρος θερισμὸς, καὶ γεωργοὶ τοῖς πόνοις ἐπιστυγνάζοντες, καὶ οἷον νεκροῖς παρακαθήμενοι τοῖς γεννήμασιν, ἃ ὑετὸς ἔθρεψεν ἥμερος, καὶ ἄγριος ἐξεθέρισεν, ὧν οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων, οὐδὲ τῆς εὐλογίας ἐπ' αὐτοῖς ἔτυχεν, ἣν χαρίζονται γεωργοῖς οἱ παράγοντες. καὶ θέαμα ἐλεεινὸν, γῆ κατασεσεισμένη καὶ ἀποκεκαρμένη, καὶ τὸν ἑαυτῆς κόσμον οὐκ ἔχουσα. ὃ θρηνεῖ μὲν ὁ μακάριος Ἰωὴλ, καταφθορὰν γῆς, καὶ λιμοῦ βάσανον, εἰ καί τις ἄλλος ἐκτραγῳδήσας. θρηνεῖ δὲ προφήτης ἕτερος, τῇ πρότερον εὐκοσμίᾳ, τὴν τελευταίαν ἀκοσμίαν ἀντιτιθείς. ἐν οἷς φησὶ περὶ ὀργῆς κυρίου διαλεγόμενος. θραύοντος γῆν, τὰ ἔμπροσθεν αὐτοῦ παράδεισος τρυφῆς, καὶ τὰ ὄπισθεν πεδίον ἀφανισμοῦ. δεινὰ μὲν δὴ ταῦτα, καὶ πέρα δεινῶν, ἕως μόνα λυπεῖ παρόντα, καὶ οὔπω χαλεπωτέρας αἰτία πληγῆς αἴσθησις. ἐπειδὴ καθάπερ ἐν τοῖς νοσήμασι, τὸ λυποῦν ἀεὶ πάθος, τοῦ μὴ παρόντος ἀνιαρώτερον. δεινότερα δὲ ἔτι τούτων, οἱ τῆς ὀργῆς τοῦ Θεοῦ θησαυροὶ, παρ' ἑαυτοῖς κατέχουσιν. ὧν μὴ γένοιτο πεῖραν ἡμᾶς λαβεῖν, οὐδέ γε λήγοιμεν πρὸς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καταφεύγοντες, καὶ τὸν θελητὴν τοῦ ἐλέους τοῖς δάκρυσιν ἕλκοντες, καὶ τὸ ἐξῆς τῆς ὀργῆς, διὰ τῆς ἐπιστροφῆς ἀποστρέφοντες. ἔτι πρᾳότης ταῦτα καὶ φιλανθρωπία, καὶ παίδευσις ἤπιος, καὶ στοιχεῖα πληγῆς, νηπιότητα παιδαγωγούσης, ἔτι καπνὸς ὀργῆς, βασάνων προοίμιον, οὔπω δὲ πῦρ καταφλεγόμενον, ἢ ἀκμὴ τῆς κινήσεως, οὐδ' ἄνθρακες ἀναπτόμενοι τὰ τελευταῖα τῆς μάστιγος· ἧς τὸ μὲν ἐπείληφε, τὸ δ' ἀνετείνατο, τὸ δὲ βίᾳ κατέχει, τὸ δ' ἐπήγαγεν. ὁμοίως καὶ τῇ πληγῇ παιδεύων, καὶ τῇ ἀπειλῇ, ὁδοποιῶν τρίβον τῇ ὀργῇ αὐτοῦ, δι' ὑπερβολὴν ἀγαθότητος, ἀπὸ μὲν τῶν ἐλαττόνων ἀρχόμενος, ὥστε μὴ δεηθῆναι τῶν σφοδροτέρων, παιδεύων δὲ καὶ τοῖς μείζοσιν, εἰ πρὸς ταῦτα ἐκβιασθείη. οἶδα στιλβομένην ῥομφαίαν, καὶ μεθύουσαν μάχαιραν ἐν τῷ οὐρανῷ, σφάζειν, ἐξουθενεῖν, ἀπ' οὐρανοῦ κελευομένην, ἕως σαρκῶν, καὶ μυελῶν, καὶ ὀστέων μὴ φείδεσθαι. οἶδα ὡς ἄρκτον ἀπορουμένην τὸν ἀπαθῆ, καὶ ὡς πάρδαλιν ἀπαντῶντα κατὰ τὴν ὁδὸν Ἀσσυρίων, οὐ τῶν τότε μόνον, ἀλλὰ καὶ εἴ τις ἐκείνων τὴν κακίαν Ἀσσύριος, καὶ οὐκ ἐστὶν φυγεῖν τὸ κράτος τῆς ὀργῆς αὐτοῦ καὶ τὸ τάχος, ὅταν γρηγορήσῃ ἐπὶ τὰ ἀσεβήματα ἡμῶν, καὶ τοὺς ἐχθροὺς αὐτοῦ καταδιώκῃ ζῆλος, ἐσθίειν εἰδὼς τοὺς ὑπεναντίους. οἶδα ἐκτιναγμὸν, καὶ ἀνατιναγμὸν, καὶ βρασμὸν, καὶ καρδίας θραυσμὸν, καὶ παράλυσιν γονάτων, καὶ τοιαῦτα ὄντα τὰ τῶν ἀσεβῶν ἐπιτίμια. ἐῶ γὰρ λέγειν τὰ ἐκεῖθεν δικαιωτήρια, οἷς ἡ ἐνταῦθα φειδὼ παραδίδωσιν, ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαρθῆναι, ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι. ἡνίκα κολάσεως καιρὸς, οὐ καθάρσεως. ὥσπερ γὰρ θανάτου κρείττων ὁ ἐνταῦθα Θεοῦ μνημονεύων, ὡς κάλλιστα τῷ θείῳ Δαβὶδ τοῦτο πεφιλοσόφηται, οὕτως οὐκ ἔστιν ἐν ᾅδῃ τοῖς ἀπελθοῦσιν ἐξομολόγησις καὶ διόρθωσις. συνέκλεισε γὰρ ὁ Θεὸς ἐνταῦθα μὲν καὶ βίον καὶ πρᾶξιν, ἐκεῖ δὲ τὴν τῶν πεπραγμένων ἐξέτασιν. τί ποιήσομεν ἐν ἡμέρᾳ ἐπαγωγῆς, ἡμεῖς φοβεῖ τις τῶν προφητῶν· εἴ τι δικαιολογίας τοῦ Θεοῦ πρὸς ἡμᾶς, εἴ τι τῆς ἐπὶ τῶν ὀρέων καὶ βουνῶν, ὅπερ ἠκούσαμεν, εἴτε τῆς ὁποίας οὖν καὶ ἐφ' ὧν δή ποτε γινομένης· ὅταν διελέγχῃ τι πρὸς ἡμᾶς, καὶ ἀντικαθιστῆται, καὶ τὰ πρόσωπα ἡμῶν ἱστᾷ τὰ ἁμαρτήματα, τοὺς πικροὺς κατηγόρους, καὶ οἷς εὖ πεπόνθαμεν. ἃ ἠνομήσαμεν ἀντιπαράγων, καὶ λογισμῷ λογισμὸν πλήσσων, καὶ πράξει πρᾶξιν εὐθύνων, καὶ τὸ τῆς εἰκόνος ἀπαιτῶν ἀξίωμα τῇ κακίᾳ συνθολωθείσης, καὶ συγχυθείσης, τὸ τελευταῖον ἀπάγει, αὐτοὺς ὑφ' ἑαυτῶν κατεγνωσμένους, καὶ κατακεκριμένους, καὶ οὐδ' ὡς ἄδικα πάσχομεν εἰπεῖν ἔχοντας· ὅπερ ἐνταῦθα τοῖς πάσχουσιν, ἔστιν ὅτε ἱκανὸν εἰς παραμυθίαν τῆς κατακρίσεως. ἐκεῖ δὲ, τίς συνήγορος, ποία σκῆψις; τίς ψευδὴς ἀπολογία, ποία πιθανότης ἔντεχνος; τίς ἐπίνοια κατὰ τῆς ἀληθείας παραλογιεῖται τὸ δικαστήριον, καὶ κλέψει τὴν ὀρθὴν κρίσιν, τοῖς πᾶσι πάντα ἐν ζυγῷ τιθεῖσαν, καὶ πρᾶξιν, καὶ λόγον, καὶ διανόημα, καὶ ἀντισηκοῦσαν τοῖς πονηροῖς τὰ βελτίονα. ἵνα τὸ ῥέπον νικήσῃ, καὶ μετὰ τοῦ πλείονος ἡ ψῆφος γένηται, μεθ' ἣν οὐκ ἔφεσις, οὐ κριτὴς ὑψηλότερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ ἔλαιον παρὰ τῶν φρονίμων παρθένων, ἢ τῶν πωλού-

των ταῖς ἐκλελοιπυίαις λαμπάσιν. οὐ μέμψις μέλλει πλουσίου, φλογὶ τηκομένου, καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν· οὐ προθεσμία μετανοίας, ἀλλὰ καὶ μόνον, καὶ τελευταῖον, καὶ φοβερὸν τὸ κριτήριον, καὶ δίκαιον πλέον, ἢ ὅσον ἐπίφοβον. μᾶλλον δὲ διὰ τοῦτο καὶ φοβερώτερον, ὅτι καὶ δίκαιον. ἡνίκα θρόνοι τίθενται, καὶ παλαιὸς ἡμερῶν καθέζεται, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμὸς πυρὸς ἕλκεται, καὶ τὸ φῶς ἔμπροσθεν, καὶ τὸ σκότος ἡτοιμασμένον, καὶ πορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, τῆς ἐν Χριστῷ νῦν κρυπτομένης, καὶ ὕστερον μετ' αὐτοῦ συμφανερουμένης· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως· ἣν ἤδη παρὰ τοῦ κρίνοντος αὐτοὺς λόγου, οἱ μὴ πιστεύοντες κατεκρίθησαν. καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς διαδέχεται, καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς θεωρία τριάδος ἐλλαμπούσης τρανότερόν τι καὶ καθαρώτερον, καὶ ὅλης ὅλῳ νοΐ μιγνυμένης, ἣν δὴ καὶ μόνην μάλιστα βασιλείαν οὐρανῶν ἐγὼ τίθεμαι. τοὺς δὲ μετὰ τῶν ἄλλων, βάσανος. μᾶλλον δὲ πρὸ τῶν ἄλλων, τὸ ἀπερρῖφθαι θεοῦ, καὶ ἡ ἐν τῷ συνειδότι αἰσχύνη, πέρας οὐκ ἔχουσα. καὶ ταῦτα μὲν ὕστερον. νῦν δὲ τί ποιήσομεν ἀδελφοὶ συντετριμμένοι καὶ τεταπεινωμένοι, καὶ μεθύοντες, οὐκ ἀπὸ σίκερα, οὐδ' ἀπὸ οἴνου, τοῦ πρὸς ὀλίγον σαλεύοντος καὶ σκοτίζοντος, ἀλλ' ἀπὸ τῆς πληγῆς, ἣν ἐπήγαγε κύριος, ὁ λέγων. καὶ σὺ καρδία, σείσθητι καὶ σαλεύθητι, καὶ ποτίζων τοὺς καταφρονητάς, πνεῦμα λύπης καὶ κατανύξεως· πρὸς οὓς καὶ λέγεται· ἴδετε οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε. πῶς οἴσομεν αὐτοῦ τὸν ἐλεγμόν; ἢ τίνα δώσομεν τὴν ἀπόκρισιν; ὅταν ἡμῖν τὸ πλῆθος τῶν εὐεργεσιῶν, ἐφ' αἷς ἀχάριστοι μεμενήκαμεν, ἔτι καὶ τὰς πληγὰς ἡμῖν ὀνειδίζῃ, καὶ ἀπαριθμῆται τὴν ἰατρείαν, ἐξ ἧς οὐ τεθεραπεύμεθα. καὶ τέκνα μὲν ἄλλα μορμυκτὰ καλῶν λέγει καὶ υἱοὺς μέν, ἀλλ' ἀλλοτρίους καὶ χωλαίνοντας ἀπὸ τῶν τρίβων αὐτῶν, δι' αὐθάδειάν τε καὶ τραχύτητα. πῶς ἔδει καὶ πόθεν ὑμᾶς παιδευθῆναι, καὶ οὐκ ἐπαιδεύθητε; δι' ἁπαλωτέρων φαρμάκων ἐπήγαγον, τὸ πρῶτον τὸ αἰγύπτιον αἷμα πινόμενον ἐκ πηγῶν καὶ ποταμῶν, καὶ πάσης συναγωγῆς ὕδατος, τὴν πρώτην πληγήν, τὸ πλῆθος τῶν βατράχων, καὶ τὸν σκνῖπα, καὶ τὴν κυνόμυιαν, τὰς ἑξῆς μάστιγας. ἀπὸ δὲ τῶν κτηνῶν καὶ τῶν βοῶν, καὶ τῶν προβάτων ἠρξάμην, τῆς πέμπτης πληγῆς, καὶ τοῖς ἀλόγοις ἀνέσκηψα, ἔτι τῶν λογικῶν φειδόμενος. οὐδὲ πρὸς ὑμᾶς ἡ θραῦσις. ἀλλὰ γεγόνατέ μοι καὶ τῶν πληγέντων ἀλογώτεροι, καὶ ἀπαιδευτότεροι. ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετόν. μερὶς μία ἐβράχη, καὶ μερὶς ἐφ' ἣν οὐκ ἔβρεξα, ἐξηράνθη, καὶ ἔπαθέ τι αἰδέσιμον. ἐπήγαγον ὑμῖν χάλαζαν, τῇ ἐνάτῃ πληγῇ παιδεύων. ἀμπελῶνας ὑμῶν καὶ γεννήματα ἐξεθέρισα, καὶ τὴν κακίαν ὑμῶν οὐ συνέτριψα. γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου. ταῦτα τυχὸν ἐρεῖ πρὸς ἐμὲ τὸν μηδὲ ταῖς πληγαῖς νουθετούμενον, ὁ ἀθετῶν, ἀθετεῖ· ὁ ἀνομῶν, ἀνομεῖ. οὐδὲ ἡ ἄνωθεν νουθεσία, οὐδ' αἱ μάστιγες, ἐξέλιπε φυσητήρ, ἐξέλιπε μόλιβδος, ἃ καὶ διὰ Ἱερεμίου πρότερον ὑμῖν ὠνείδισα, εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ· πονηρίαι ὑμῶν οὐκ ἐτάκησαν. μὴ ἐμὲ ὑπομένετε ἔτι, λέγει κύριος, ὀργιζόμενον; ἢ οὐκ ἰσχύει ἡ χείρ μου καὶ ἄλλας ἐπαγαγεῖν πληγάς. ἔτι παρ' ἐμοὶ καὶ φλυκτίδες ἀναζέουσαι ἀπὸ καμιναίας αἰθάλης. ἣν πάσσων εἰς οὐρανὸν Μωϋσῆς, ἢ εἴ τις κατ' ἐκεῖνον ὑπηρέτης θεοῦ κινήσεως, παιδεύει νόσῳ τὴν Αἴγυπτον. ἔτι καὶ ἀκρὶς, καὶ σκότος ψηλαφητόν, καὶ ἡ τελευταία πληγὴ τῇ τάξει. πρώτη δὲ τῷ πόνῳ, καὶ τῇ δυνάμει, ἡ τῶν πρωτοτόκων φθορὰ καὶ ἀπώλεια, ἣν ὥστε φυγεῖν, καὶ ἀποστρέψαι τὸν ὀλοθρευτήν, χρῖσαι τὰς τοῦ νοῦ φλιὰς ἄμφω, θεωρίαν καὶ πρᾶξιν, τῇ μεγάλῃ καὶ σωτηρίῳ σφραγῖδι, τῷ τῆς καινῆς διαθήκης αἵματι, Χριστῷ καὶ συσταυρωθέντων, καὶ συναποθνήσκοντας, ὥστε καὶ συναναστῆναι καὶ συνδοξασθῆναι, καὶ συμβασιλεῦσαι· νῦν τε καὶ κατὰ τὴν τελευταίαν αὐτοῦ φανέρωσιν. ἀλλὰ μὴ βαρυνθῶμεν, μηδὲ συντριβῶμεν, μηδὲ θρηνήσωμεν πληθυνούσης ἡμᾶς ἀνομίας, καὶ ἐν τῷ σκοτεινῷ τούτῳ βίῳ τοῦ πονηροῦ καὶ ὀλοθρεύοντος τὰ πρωτότοκα, καὶ θεῷ καθιερωμένα, τῆς ζωῆς ἡμῶν γεννήματα καὶ κινήματα. μή μοι κλείοιτε μετὰ τῶν ἄλλων πληγῶν, καὶ ταῦτα ὀνειδισθῆναι παρὰ τοῦ ἀγαθοῦ κρινομένου πρός με θυμῷ πλαγίῳ, διὰ τὴν ἐμὴν πλαγιότητα. ἐπάταξα ὑμᾶς ἐν ἰκτέρῳ καὶ ἐν πυρώσει καὶ σφακελισμῷ, καὶ οὐδὲν πλέον. ἔξωθεν ἠτέκνωσεν ὑμᾶς μάχαιρα, καὶ οὐδ' ὡς ἐπεστρέψατε πρός με, λέγει κύριος. μὴ γενοίμην ἀμπελὼν τοῦ ἠγαπημένου. μετὰ τὸ φυτευθῆναι καὶ χαρακωθῆναι καὶ φραγμῷ καὶ πύργῳ, καὶ πᾶσιν ἀσφαλισθῆναι ὡς ἐνῆν μάλιστα, χερσωμένων καὶ ἀκανθοφορῶν, καὶ διὰ τοῦτο καταφρονούμενος, ὡς καθαιρεθῆναι τὸν πύργον, καὶ περιαιρεθῆναι τὸν φραγμόν, καὶ μὴ τμηθῆναι, μηδὲ σκαφῆναι, ἀλλὰ γενέσθαι πᾶσιν εἰς διαρπαγὴν καὶ κοινὴν ὕβριν καὶ καταπάτημα. ταῦτα μὲν ὁ ἐμὸς φόβος καὶ λόγος, καὶ οὕτως ἐγὼ δυσφορῶ πρὸς τὴν πληγήν, καὶ τοιαύτην εὔχομαι τὴν εὐχήν, ἣν καὶ προσθήσω τοῖς εἰρημένοις. ἡμάρτομεν, ἠνομήσαμεν, ἠσεβήσαμεν, ὅτι ἐπελαθόμεθα τῶν ἐντολῶν σου, καὶ ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς ἐπορεύθημεν,

ὅτι ἀνα

ὅτι ἀναξίως τῆς κλήσεως, καὶ τοῦ εὐαγγελίου τοῦ χριστοῦ σου πεπολιτεύμεθα, καὶ τῶν ἁγί-
ων αὐτοῦ παθημάτων, καὶ τῆς ὑπὲρ ἡμῶν κενώσεως, ὅτι ἐγενήθημεν ὄνειδος τοῦ ἀγαπη-
τοῦ σου. ἱερεὺς καὶ λαὸς ἐξέστημεν ὁμοτίμως, πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν.
οὐκ ἔστι ποιῶν κρίμα καὶ δικαιοσύνην, οὐκ ἔστιν ἕως ἑνός. ἀπεκλείσαμεν τοὺς οἰκτιρμούς
σου, καὶ τὴν φιλανθρωπίαν σου, καὶ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, διὰ τὴν κακίαν ἡμῶν,
καὶ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων ἡμῶν, μεθ' ἧς ἀπεστράφημεν. σὺ χρηστός, ἀλλ' ἡ-
μεῖς ἠνομήσαμεν· σὺ μακρόθυμος, ἀλλ' ἡμεῖς πληγῶν ἄξιοι. γινώσκομέν σου τὴν ἀγα-
θότητα, καίπερ ἀσυνετοῦντες. ὀλίγα ὧν ἡμάρτομεν, μεμαστιγώμεθα. σὺ φοβερός,
καὶ τίς ἀντιστήσεταί σοι; τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ μεγέθει βραχίονός σου, τίς ἀν-
τηρίσει; ἐὰν κλείσῃς τὸν οὐρανόν, τίς ἀνοίξει; καὶ ἐὰν λύσῃς τοὺς καταῤῥάκτας σου τίς συ-
νέξει. κοῦφον ἐν ὀφθαλμοῖς σου, πτωχίσαι καὶ πλουτίσαι, ζωῶσαι καὶ θανατῶσαι, πα-
τάξαι καὶ ἰάσασθαι, καὶ τὸ θελῆσαί σου, πρᾶξίς ἐστι συμπεπληρωμένη. σὺ ὠργίσθης, καὶ ἡμεῖς
ἡμάρτομεν, λέγει τις τῶν πάλαι ἀνθομολογούμενος. ἐμοὶ δὲ καὶ τὸ ἐναντίον καιρὸς εἰπεῖν
ἡμεῖς ἡμάρτομεν, καὶ σὺ ὠργίσθης. διὰ τοῦτο ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν. ἀπέστρε-
ψας τὸ πρόσωπόν σου, καὶ ἀτιμίας ἐπλήσθημεν. ἀλλὰ κόπασον κύριε, ἄνες κύριε, ἱλάσθητι
κύριε, μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὰς ἀνομίας ἡμῶν, μηδὲ διὰ τὴν ἑτέρων παιδεύ-
σεις ἄλλους μαστίγου· ἀλλ' ἡμᾶς διὰ τῆς ἑτέρων βασάνου σωφρονισθῆναι, τίνων τούτων ἐθ-
νῶν τῶν οὐ γινωσκόντων σε, καὶ βασιλειῶν, αἳ τῷ σῷ κράτει οὐχ ὑποτάσσονται. ἡμεῖς δὲ, λα-
ός σου κύριε, καὶ μερὶς κληρονομίας σου. διὰ τοῦτο παίδευσον ἡμᾶς, πλὴν ἐν χρηστότητι,
καὶ μὴ ἐν θυμῷ σου. ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς, καὶ παρὰ πάντας τοὺς κατοικοῦντας
τὴν γῆν ἐξουδενώσῃς. ταῦτα ἐγὼ τοῖς λόγοις ἕλκω τὸν ἔλεον. εἰ δὲ καὶ ὁλοκαυτώμασιν ἢ θυ-
σίαις ἦν ἐξιλάσασθαι περὶ τῆς ὀργῆς, οὐδὲ τούτων ἂν ἐφεισάμην. ὑμεῖς δὲ καὶ αὐτοί, μιμήσασθε
δεῦτε ἱερεῖς καὶ τέκνα ἀγαπητά, καὶ θείας κοινωνοὶ καὶ νουθεσίας καὶ φιλανθρωπίας. κτή-
σασθε τὰς ψυχὰς ὑμῶν, ἐν δάκρυσι λύσατε τὴν ὀργήν, βελτίονα ποιήσατε τὰ ἐπιτηδεύ-
ματα ὑμῶν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν. τοῦθ' ὑμῖν διακελεύεται μεθ' ἡμῶν
ἰωὴλ ὁ μακάριος. συναγάγετε πρεσβυτέρους, νήπια θηλάζοντα μαστούς, ἡλικίαν ἐλεει-
νήν, καὶ μάλιστα τῆς τοῦ θεοῦ φιλανθρωπίας ἀξίαν. οἶδα δὲ ἃ κἀμὲ τοῖς λειτουργοῖς κυρίου
καὶ ὑμῖν ἐντέλλεται, τοῖς τῆς αὐτῆς δόξης ἠξιωμένοις· εἰσελθεῖν ἐν σάκκοις, καὶ κόπτεσθαι νύκτας
καὶ ἡμέρας. ἀνὰ μέσον τῆς κρηπῖδος καὶ τοῦ θυσιαστηρίου, ἐλεεινοὺς τοῖς σχήμασι, ἐλεεινοτέ-
ρους ταῖς φωναῖς, βοῶντας ἐκτενῶς, ὑπέρ τε ἑαυτῶν καὶ τοῦ λαοῦ· φειδομένους μηδενός,
μὴ κόπου, μὴ ῥήματος, οἷς θεὸς ἐξιλάσκεται. φεῖσαι κύριε τοῦ λαοῦ σου λέγοντας, καὶ μὴ δῷς τὴν
κληρονομίαν σου εἰς ὄνειδος· καὶ ὅσῳ ἐξῆς τῆς δεήσεως, τοσοῦτο πλέον ἔχοντας τῆς θλίψεως, ὅ-
σον καὶ τῆς ἀξίας, δι' ἑαυτῶν παιδεύοντας τὸν λαόν, πρὸς κατάνυξιν καὶ τῆς κακίας διόρθωσιν,
καὶ τὴν ἐπιμελῶν τέως τοῦ θεοῦ μακροθυμίαν καὶ ἀνοχὴν τῆς μάστιγος. δεῦτε πάντες ἀ-
δελφοὶ προσκυνήσωμεν καὶ προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡ-
μᾶς. στησώμεθα κοινὸν πένθος, κατὰ τὰς ἡλικίας καὶ γένη διαιρεθέντες. ὑψώσωμεν τὴν φω-
νὴν τῆς ἱκετείας, ἀντὶ τῆς μισουμένης αὐτῷ κραυγῆς, ταύτην εἰς τὰ ὦτα κυρίου σαβαὼθ ἀνε-
νέγκωμεν. προφθάσωμεν αὐτοῦ τὴν ὀργὴν ἐν ἐξομολογήσει, βουληθῶμεν αὐτὸν ἰδεῖν ἀπ-
ωργισμένον, ὅσῳ καὶ μετατιθέμενον. τίς οἶδε, φησίν, εἰ ἐπιστρέψει καὶ μετανοήσει, καὶ ὑπολείψεται
εὐλογίαν; οἶδα τοῦτο σαφῶς, ἐγὼ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐγγυητής, καὶ ὃ παρὰ φύσιν ἐστὶν
αὐτῷ τῆς ὀργῆς ἀφείς, ἐπὶ τὸ κατὰ φύσιν χωρήσει τὸν ἔλεον. εἰς ἐκεῖνο μὲν γάρ, ὑφ' ἡμῶν βιάζεται,
πρὸς δὲ τοῦτο τὴν ὁρμὴν ἔχει. καὶ εἰ πατάσσει βιαζόμενος, πῶς οὐκ ἀνήσει τῇ φύσει χρώμε-
νος; μόνον ἡμᾶς αὐτοὺς ἐλεήσωμεν, τοῖς δικαίοις τοῦ θεοῦ σπλάγχνοις ὁδὸν ἀνοίξαντες. σπεί-
ρωμεν ἐν δάκρυσιν, ἵν' ἐν ἀγαλλιάσει θερίσωμεν. γενώμεθα νινευῖται, μὴ σοδομῖται. θερα-
πεύσωμεν τὴν κακίαν, μὴ τῇ κακίᾳ συντελεσθῶμεν. ἀκούσωμεν ἰωνᾶ κηρύσσοντος, μὴ πυ-
ρὶ καὶ θείῳ καταλυθῶμεν. κἂν ἐξέλθωμεν σόδομα, προσσωθῶμεν τῷ ὄρει, καταφύγω-
μεν εἰς σηγώρ. ἀνίσχοντι συνεισέλθωμεν τῷ ἡλίῳ. μὴ στῶμεν ἐν πάσῃ τῇ περιχώρῳ, μὴ περι-
βλεψώμεθα, μὴ παγῶμεν εἰς στήλην ἁλός, στήλην ὄντως ἀθάνατον, καὶ κατηγορίαν ψυ-
χῆς, εἰς κακίαν ἐπιστρεφούσης. γνῶμεν ὅτι τὸ μὲν μηδὲν ἁμαρτεῖν, ὄντως ὑπὲρ ἄνθρω-
πον καὶ μόνου θεοῦ. ἐῶ γὰρ περὶ ἀγγέλων τι λέγειν, μὴ δῶμεν καιρὸν τοῖς πάθεσι, καὶ θύ-
ραν πονηραῖς ἀντιῤῥήσεσι. τὸ μὲν ἀθεραπεύτους τῆς πονηρᾶς καὶ ἀντικειμένης ἐστὶ φύσε-
ως, καὶ τῶν ὑπ' ἐκείνης ἐνεργουμένων· τὸ δ' ἁμαρτάνοντας ἐπιστρέφεσθαι, ἀνθρώ-
πων μέν, ἀλλ' ἐπιεικῶν, καὶ τῆς σωζομένης μερίδος. εἰ γὰρ καὶ ὁ χοῦς ἐπισύρεταί
τι τῆς κακίας, καὶ τὸ γεῶδες σκῆνος βρίθει τὸν νοῦν ἄνω φερόμενον, ἢ ἄνω φέρεσθαι

διαδημιουργημένοις. ἀλλ' εἰκὼν ἀνακαθαιρέτω τὴν ἰλύν, καὶ ἀνατιθέτω τὴν ὁμόζυγον
σάρκα τοῖς τοῦ λόγου πτεροῖς κουφίζουσα. καὶ κρεῖττον μὲν μήτε δεηθῆναι τοιαύτης καθάρ-
σεως, μήτε καθαρθῆναι τοῦ πρώτου μένοντος ἡμῖν ἀξιώματος, εἰς ὃ καὶ σπεύδομεν ἐκ τῆς ἐν-
ταῦθα παιδαγωγίας, μηδὲ τοῦ ξύλου τῆς ζωῆς ἐκπεσεῖν, τῇ πικρᾷ γεύσει τῆς ἁμαρτίας. κρεῖτ-
τον δὲ τοὺς μὴ παιδεύεσθαι πταίοντας, τοὺς ἁμαρτάνοντας ἐπιστρέφεσθαι. ὃν μὲν γὰρ ἀγα-
πᾷ κύριος, παιδεύει. καὶ πατρικὸν διὰ τῆς ἐπιτιμήσεως. ψυχὴ δὲ πᾶσα ἀνουθέτητος, ἀ-
θεράπευτος. οὐκοῦν τὸ πληγῆναι χαλεπόν, ἀλλὰ μὴ σωφρονισθῆναι τῇ πληγῇ, χαλε-
πώτερον. φησί τις τῶν προφητῶν, περὶ τοῦ Ἰσραὴλ λέγων, τοῦ σκληροῦ καὶ ἀπεριτμήτου τὴν
καρδίαν κύριε, ἐμαστίγωσας αὐτούς, καὶ οὐκ ἐπόνεσαν· ἐπαίδευσας αὐτούς, καὶ οὐκ ἠθέλησαν
δέξασθαι παιδείαν. καὶ πάλιν, καὶ ὁ λαὸς οὐκ ἐπεστράφη, ἕως ἐπλήγη. καὶ τί δὴ ἀπεστρά-
φη ὁ λαός μου ἀποστροφὴν πονηράν, ἐξ ἧς τέλεον συντριβήσεται καὶ καταφθαρήσεται. φοβε-
ρὸν μὲν οὖν ἀδελφοί, τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. φοβερὸν δέ, τὸ πρόσωπον κυρίου ἐπὶ
ποιοῦντας κακά, καὶ πανωλεθρίᾳ τὴν κακίαν ἐξαφανίζον. φοβερὰ δὲ ἀκοὴ θεοῦ, καὶ τῆς ἄβελ
φωνῆς αἰσθανομένη, διὰ τοῦ συγγενοῦς αἵματος. φοβεροὶ δὲ πόδες, ποινείας καταλαμβάνον-
τες. φοβερὰ δὲ τοῦ παντὸς πλήρωσις, ὡς μὴ εἶναι μηδαμοῦ φυγεῖν θεοῦ κίνησιν, μὴ εἰς οὐρανὸν ἀ-
ναπτάντα, μὴ εἰς ᾅδου χωρήσαντα, μὴ πρὸς ἀνατολὰς ἀποδράντα, μὴ θαλάσσης ἀποκρυ-
βέντα βυθοῖς ἢ πέρασι. φοβεῖται δὲ πρὸς ἐμοῦ καὶ Ναοὺμ ὁ Ἐλκεσαῖος, ἐν οἷς τὸ κατὰ Νινευὶ λῆμ-
μα δημοσιεύει, τὸν ζηλωτὴν θεὸν καὶ ἐκδικοῦντα κύριον μετὰ θυμοῦ τοὺς ὑπεναντίους. καὶ
τοσαύτῃ χρώμενον ἀποτομίας περιουσίᾳ, ὡς μηδὲ δευτέρας ἀπολείπεσθαι κατὰ τῶν πονηρῶν ἐκ-
δικήσεως. ἠσαΐου μὲν γὰρ ὅταν ἀκούσω τὸν λαὸν σοδόμων, καὶ τοῖς ἄρχουσι γομόρρας ἀπειλοῦν-
τος καὶ λέγοντος· τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν, μικροῦ καὶ φρίκης πληροῦμαι,
καὶ συγχέομαι δακρύων. οὐκ ἔτι φησὶ τῇ προσθήκῃ τῆς ἁμαρτίας, προσθήκην πληγῆς ἐξευ-
ρεῖν. οὕτω πάντα διεξελήλυθέ τι, καὶ πᾶν εἶδος πληγῆς ἐκενώσατε. ἀεί τινα καινοτέραν διὰ
τῆς κακίας ἑαυτῶν προκαλούμενοι, οὐκ ἔστι τραῦμα, οὐδὲ μώλωψ, οὔτε πληγὴ φλεγμαίνου-
σα. ὁλοσώματός φησιν ἡ πληγή. ἀλλὰ καὶ ἀθεράπευτος. οὐ γάρ ἐστι μάλαγμα ἐπιθεῖναι, οὔτε
ἔλαιον, οὔτε καταδέσμους. καὶ παρίημι τὰ ἐξῆς τῆς ἀπειλῆς, ἵνα μὴ τῆς παρούσης πληγῆς βαρύ-
τερος ὑμῖν γένωμαι. πλὴν ἐπιγνῶμεν τοῦ κακοῦ τὴν ὑπόθεσιν. πόθεν ἐξηράνθησαν γεωρ-
γίαι, ἐκενώθησαν ἀποθῆκαι, καὶ νομαὶ ποιμνίων ἐξέλιπον. ἐλήφθη τὰ ὡραῖα τῆς γῆς, οὐκ ἐπλή-
σθη τὰ πεδία πιότητος ἀλλὰ [illegible]. οὐκ ἐπλήθυναν οἱ κοιλάδες σῖτον, ἀλλ' ἐκλού-
σθησαν. οὐκ ἐστάλαξε τὰ ὄρη γλυκασμόν, ὡς ὑπέσχετο τοῖς δικαίοις. ἀλλ' ἀπεκοσμήθη καὶ ἠτιμά-
σθη, καὶ τὴν [illegible] κατάραν ἐκ τῆς ἀρχαίας ἐδέξατο. γέγονεν ὡς τὸ ἀπ' ἀρχῆς πᾶσα ἡ γῆ,
πρὶν κοσμηθῆναι τοῖς ἑαυτῆς κάλλεσιν. ἐπεσκέψω μὲν τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν, ἀλλ' ἐπὶ
σκοπὴν πονηράν, καὶ μέθην ὀλέθριον. φεῦ τοῦ θαύματος, αἱ καλάμαι τὰ τῆς εὐφορίας ἡμῖν, καὶ
μικροῖς λειψάνοις ἡ σπορὰ γνωρίζεται, καὶ μόλις ἀπὸ χοὸς κυρίῳ διὰ θέρος ἡμῶν καρποφο-
ρεῖ, ἀκεσὶ μᾶλλον ἢ δράγμασι καταλαμβανόμενον. τοιοῦτος ὁ πλοῦτος τῆς ἀσεβείας. τοιαῦτα
τὰ τῶν κακῶς σπειρόντων γεώργια, ἐπιβλέψαι ὡς ἡ παλαιὰ κατάρα πλείονα, καὶ εἰσενεγ-
κεῖν ὀλίγα. σπεῖραι καὶ μὴ ἀμῆσαι· φυτεῦσαι, καὶ μὴ ἐκθλίψαι. οὐ δεηθῶνται δέκα ζεύγη βοῶν,
ποιῆσαι κεράμιον ἕν, καὶ περὶ ἄλλοις ἀκούειν τὴν εὐκαρπίαν, αὐτοὺς ἐνδείᾳ πιεζομένους. πόθεν
ταῦτα, καὶ τίς ἡ αἰτία τοῦ θραύσματος. μὴ ἀναμείνωμεν ὑπ' ἄλλων ἐλεγχθῆναι, ἡμῶν αὐτῶν
ἐξεταστοὶ γενώμεθα. μέγα κακίας φάρμακον, καὶ ὁμολογία, καὶ φυγὴ τοῦ πταίσματος. ἐγὼ
πρῶτος, ὥσπερ ἀνήγγελλα τῷ λαῷ μου ἄνωθεν, καὶ διὰ τοῦ σκοποῦ ἔργον πεπλήρωκα. οὐ γὰρ
ἔκρυψα τὴν ἐρχομένην ῥομφαίαν, ἵνα καὶ τὴν ἐμαυτοῦ ψυχήν, καὶ τὰς τῶν ἀκουόντων περιποιή-
σωμαι, οὕτως ἀναγγελῶ καὶ τοῦ λαοῦ μου τὴν ἀπείθειαν, ἐμαυτοῦ τὰ ἐκείνου ποιούμενος, εἴπως
ἂν οὕτω τύχοιμί τινος φιλανθρωπίας καὶ ἀναψύξεως. ὁ μέν τις ἡμῶν, ἐξέθλιψε πένητα, καὶ
μοῖραν γῆς περιεσπάσατο, καὶ ὅριον ὑπερέβη κακῶς, ἢ κλέψας ἢ τυραννήσας, καὶ συνῆψεν οἰ-
κίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρόν. ἵνα τι τοῦ πλησίον ἀφέληται, καὶ μηδένα ἔχειν ἐφιλο-
νείκησε γείτονα. ὡς μόνος οἰκήσων ἐπὶ τῆς γῆς. ὁ δὲ τόκοις καὶ πλεονασμοῖς τὴν γῆν ἐμίανε,
καὶ συνάγων ὅθεν οὐκ ἔσπειρε, καὶ θερίζων ὅπου μὴ διεσκόρπισε, γεωργῶν οὐ τὴν γῆν, ἀλ-
λὰ τὴν χρείαν τῶν δεομένων. ὁ δὲ ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ, τὸν πάντα δεδωκότα
θεὸν ἀπεστέρησε, καὶ γέγονεν ἀχάριστός τι ὁμοῦ καὶ ἀνόητος· οὔτε ὑπὲρ ὧν ἔσχεν εὐχα-
ριστήσας, οὔτε τὸ μέλλον εἰ μή τι ἄλλο, διὰ τῆς εὐγνωμοσύνης πραγματευσάμενος. ὁ δὲ
χήραν καὶ ὀρφανὸν οὐκ ἠλέησεν, οὐδὲ μετέδωκεν ἄρτου καὶ τροφῆς ὀλίγης τοῖς δεομένοις, μᾶλ-
λον δὲ χριστῷ τῷ τρεφομένῳ, διὰ τῶν καὶ μικρῶν τρεφομένων, ὁ τὰ πολλὰ ἔχων ἴσως καὶ παρ' ἐλπί-
δα, τοῦτο τι ἤδη τὸ ἀδικώτατον, καὶ ταῖς πολλαῖς ἀποθήκαις στενοχωρούμενος, καὶ τὰς μὲν πληρῶν,

τὰς δὲ καθαιρῶν, ἵνα τοῖς μέλλουσι καρποῖς οἰκοδομήσῃ μείζονας· ἀγνοῶν ὅτι τῶν ἐλπίδων προαναρπάζεται, καὶ λόγον ὑφέξει τῆς ἐνταῦθα εὐπορίας καὶ φαντασίας, κακὸς οἰκονόμος, ἀγαθῶν ἀλλοτρίων γενόμενος. ὁ δὲ ὁδὸν ταπεινῶν ἐξέκλινε, καὶ ἐπλαγίασεν ἐν ἀδίκοις δίκαιον. ὁ δὲ ἐμίσησεν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξατο· ὁ δὲ ἔθυσε τῇ ἑαυτοῦ σαγήνῃ, πολλὰ συναγαγούσῃ, καὶ τὴν ἁρπαγὴν τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ἔχων. ἢ οὐκ ἐμνήσθη θεοῦ, ἢ κακῶς ἐμνήσθη, εὐλογητὸς κύριος εἰπὼν, ὅτι πεπλουτήκαμεν, καὶ ὑπέλαβεν ἀνομίας, ὡς παρ' αὐτοῦ ταῦτα ἔχων, ἐξ οὗ κολασθήσεται. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ, ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. διὰ ταῦτα ἢ κλείεται οὐρανὸς, ἢ κακῶς ἀνοίγεται· καὶ πολλῷ μᾶλλον, εἰ μηδὲ πληγέντες ἐπιστρεφοίμεθα, καὶ τῷ ἐγγίζοντι φυσικῶς πλησιάζοιμεν. τί πρὸς ταῦτα ἐροῦμεν οἱ σιτῶναι καὶ σιτοκάπηλοι, καὶ καραδοκοῦντες τὰς τῶν καιρῶν δυσκολίας, ἵν' εὐπορήσωμεν, καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφήσωμεν, καὶ κτησώμεθα μὴ ὡς Ἰωσὴφ τὰ τῆς Αἰγυπτίων ἐπ' οἰκονομίᾳ μείζονι. ἐκεῖνος γὰρ ᾔδει καὶ συναγαγεῖν καὶ σιτοδοτῆσαι καλῶς. ὥσπερ καὶ προγνῶναι τὸν λιμὸν, καὶ στῆναι πρὸς αὐτὸν πόρρωθεν· ἀλλ' ὡς παράνομοι τὰ τῆς ὁμοφύλου, οἱ λέγοντες πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρούς, οἱ τοῖς δυσσοῖς μέτροις καὶ σταθμίοις τὸ δίκαιον διαφθείροντες, καὶ τὸ μολίβου μέτρον τῆς ἀνομίας ἐφ' ἑαυτοὺς ἕλκοντες. τί πρὸς ταῦτα ἐροῦμεν, οἱ μηδὲν πέρας εἰδότες κτήσεως, οἱ προσκυνοῦντες τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ὥσπερ τὴν Βάαλ οἱ πάλαι καὶ τὴν Ἀστάρτην, καὶ τὸ Χαμὼς βδέλυγμα, οἱ περιέποντες τῶν λίθων τὰς πολυτελείας καὶ διαυγείας, καὶ τῆς ἐσθῆτος τὴν μαλακήν τε καὶ περιρρέουσαν, σητῶν δαπάνην καὶ λῃστῶν καὶ τυράννων καὶ κλεπτῶν θησαυρίσματα, οἱ πλήθει γαυριῶντες ἀνδραπόδων καὶ τετραπόδων, οἱ τοῖς πεδίοις ἐμπλατυνόμενοι, καὶ τοῖς ὄρεσι· καὶ τὰ μὲν ἔχοντες, τὰ δὲ προσλαμβάνοντες, τὰ δὲ μέλλοντες κατὰ τὴν Σολομώντειον βδέλλαν ἐμπλησθῆναι μὴ δυναμένην, ὁμοίως ᾅδῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι, καὶ ζητοῦντες οἰκουμένην ἑτέραν εἰς κτῆσιν, καὶ τοῖς τοῦ θεοῦ ὅροις καταμεμφόμενοι ὡς μικροτέροις, ἢ κατὰ τὴν ἑαυτῶν ἐπιθυμίαν καὶ ἀπληστίαν. τί δαὶ οἱ τοῖς ὑψηλοῖς θρόνοις ἐγκαθεζόμενοι, καὶ τὴν ἀρχικὴν σκηνὴν αἴροντες, καὶ τὴν ὀφρὺν τῶν θεάτρων ὑψηλοτέραν, καὶ μὴ λογιζόμενοι τὸν ἐπὶ πᾶσι θεὸν, καὶ τὸ ἀπρόσιτον ὕψος τῆς ἀληθινῆς βασιλείας, ἵν' ὡς ὁμοδούλων τῶν ὑπηκόων ἄρχωσιν, οἱ τῆς ἴσης δεόμενοι φιλανθρωπίας. σκόπει δέ μοι καὶ τοὺς κατασπαταλῶντας ἐπὶ κλινῶν ἐλεφαντίνων, ὧν κατ' ἀρχὰς ὁ θεῖος Ἀμὼς καθάπτεται, καὶ τὰ πρῶτα μύρα χριομένων, καὶ τῇ φωνῇ τῶν ὀργάνων ἐπικροτούντων, καὶ τῶν φευγόντων ὡς ἑσταμένων ἐξηρτημένων· ἀλλὰ μὴ τῇ συντριβῇ τοῦ Ἰωσὴφ συναλγοῦντάς τι καὶ συμπάσχοντας, δέον χρηστοὺς εἶναι τοῖς προσεμπεσοῦσι, καὶ τῷ ἐλέῳ κτᾶσθαι τὸν ἔλεον. ὀλολύξειν πίτυν, ὅτι πέπτωκε κέδρος, καὶ νουθετεῖσθαι τῇ τῶν πλησίον πληγῇ, καὶ διὰ τῶν ἀλλοτρίων κακῶν τὰ οἰκεῖα εὖ τίθεσθαι. τοσοῦτον πλέον ἔχοντας τῶν προειληφότων, ὅσον αὐτοὺς δι' ἐκείνων σωθῆναι, ἀλλὰ μὴ δι' αὑτῶν ἑτέρους σωφρονισθῆναι. ταῦτα συμφιλοσοφοῦσιν ὑμῖν ὦ θεία καὶ ἱερὰ κεφαλὴ, καὶ πολλὴν ἐμπειρίαν τοῦ μακροῦ χρόνου συλλεξαμένη, ἐξ ἧς σοφία γίνεται. τούτοις τὸν λαόν σου καταρτίσαι, δίδαξον διαθρύπτειν πεινῶντι τὸν ἄρτον, καὶ πτωχοὺς ἀστέγους συνάγειν, καὶ γυμνότητα περιστέλλειν, καὶ μὴ περιορᾶν τοὺς ἀφ' αἵματος, καὶ νῦν μάλιστα, ἵν' ᾖ τὸ ἀγαθὸν ἡμῶν ἐκ τῆς χρείας, μὴ τοῦ περιουσιάσματος, ἢ μᾶλλον καρποφορίᾳ θεὸς εὐφραίνηται, ἢ πλήθει τῆς εἰσφορᾶς, καὶ μεγέθει τῆς ἐπιδόσεως. ἐπὶ τούτοις καὶ πρὸ τούτων, γενοῦ μοι Μωσῆς ἢ Φινεὲς σήμερον· στῆθι πρὸ ἡμῶν καὶ ἐξίλασαι, καὶ κοπασάτω ἡ θραῦσις, εἴ τι διὰ θυσίας πνευματικῆς, εἴ τι δι' εὐχῆς καὶ λογικῆς ἐντεύξεως. ἐπίσχες τὴν ὀργὴν κυρίου, τῇ μεσιτείᾳ, στῆσον τὴν ἀκολουθίαν τῆς μάστιγος. οἶδεν αἰδεῖσθαι πατρὸς πολιὰν, ὑπὲρ τέκνων πρεσβεύουσαν. δεήθητι περὶ τῆς παρελθούσης κακίας, τὸ μέλλον ἐγγυῆσαι. προσάγαγε λαὸν, πληγαῖς καὶ φόβῳ κεκαθαρμένον, αἴτησαι τὴν σωματικὴν τροφὴν, αἴτησαι πρὸ ταύτης καὶ τὴν ἀγγελικὴν, ἐξ οὐρανοῦ καταβαίνουσαν. ἂν τοῦτο ποιήσῃς, οἰκειώσεις θεὸν, ἐνδροσώσεις οὐρανὸν, ἀποδώσεις ὑετὸν, πρόϊμόν τε καὶ ὄψιμον. ὁ κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς, ἡ κάτω γε τὸν ἐφήμερον, καὶ ὁ Χριστὸς ἡμῶν, τὸν αἰώνιον. ἐν ταῖς θείαις ληνοῖς ἐναποθησόμεθα διὰ σοῦ, προσάγοντος ἡμᾶς τε καὶ τὰ ἡμέτερα, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΠΑΤΕΡΑ, ΕΝ Ω ΚΑΙ ΕΙΣ ΝΟΝΝΑΝ ΜΗΤΕΡΑ ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ. ἔρχεται δὲ ὑπὸ παρουσίᾳ Βασιλείου, ὃς καὶ τὸ προοίμιον ποιεῖται τοῦ λόγου.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, καὶ οἰκονόμε τῶν τοῦ Θεοῦ μυστηρίων, καὶ ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, οὕτω γὰρ ἡ γραφὴ καλεῖ τοὺς διαβεβηκότας καὶ ὑψηλοὺς, καὶ ὑπὲρ τὰ ὁρώμενα. καλῶ δέ σε καὶ θεὸν φαραὼ πάσης αἰγυπτιακῆς καὶ ἀντικειμένης δυνάμεως, καὶ στῦλον, καὶ ἑδραίωμα τῆς ἐκκλησίας, καὶ θέλημα κυρίου, καὶ φωστῆρα ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντα, καὶ πίστεως ἔρεισμα, καὶ πνεύματος καταγώγιον. καὶ τί γὰρ ἂν πάσας ἀπαριθμοίμην τὰς προσηγορίας, ὅσας ἡ ἀρετή σοι πεποίηκεν, ἄλλη τις ἄλλην οἰκειοῦσά τι τῶν προσηγοριῶν; εἰπὲ, πόθεν παρεῖ; καὶ τίς σου ἡ ἐργασία, καὶ τί χαριζόμενος ἥκεις ἡμῖν; ἐπειδὴ πάντα σε σὺν θεῷ, καὶ παρὰ θεοῦ κινούμενον ἔγνων, καὶ ἐπ' εὐεργεσίᾳ τῶν δεχομένων. ἥκεις ἡμᾶς ἐπισκεψόμενος; ἢ τὸν ποιμένα ζητήσων, ἢ τὸ ποίμνιον ἐποψόμενος; ἡμᾶς μὲν οὐκ ἔτι ὄντας, ἀλλὰ τῷ πλείστῳ μέρει συναπελθόντας, καὶ τῷ τόπῳ τῆς κακώσεως δυσχεραίνοντας, καὶ νῦν μάλιστα λύσιν τὸν ἐπιστήμονα κυβερνήτην, ἢ τὸν λαμπτῆρα τῆς ζωῆς ἡμῶν ἀποβεβλήκαμεν, πρὸς ὃν ἀπευθυνόμεθα βλέποντες, ὥσπερ ἡμῖν τὴν σωτηρίαν πυρσεύοντα, ἐκεῖνον μετὰ τοῦ καλοῦ παντὸς ἐκδημήσαντα, καὶ πάσης τῆς ποιμαντικῆς εὐταξίας, ἣν χρόνῳ μακρῷ συνελέξατο, πλήρης ἡμερῶν τε ὁμοῦ καὶ φρονήσεως, καὶ τῷ τῆς καυχήσεως γήρᾳ, εἰ δεῖ τὸ τοῦ σολομῶντος εἰπεῖν, στεφανούμενος. ποίμνιον ἠρημωμένον, καταβεβλημένον. καὶ ὁρᾷς ὅσης γέμον ἀθυμίας καὶ κατηφείας, οὐκ ἔτι τόπῳ χλόης ἐναπαυόμενοις, οὐδὲ ὕδατι ἀναπαύσεως ἐκτρεφόμενον, ζητοῦν κρημνοὺς καὶ ἐρημίας καὶ βάραθρα, καθ' ὧν σκορπισθήσεται καὶ διαφθαρήσεται, ἀπελπίσαν ἄλλου ποιμένος συνετοῦ ἐπιτεύξεσθαι. ὅτι μὲν οὐ βελτίστου, καὶ λίαν πεπεισμένον, ἀγαπῶν δ' οὖν, καὶ εἰ μὴ παρὰ πολὺ χείρονος. τελευταῖον δὲ ὄντων ὅπερ ἔφην, ἅ σοι τὴν παρουσίαν ἀναγκαίαν ποιεῖ, καὶ πάντων ἐξ ἴσης, ἡμῶν, τοῦ ποιμένος, τῆς ποίμνης, φέρε ἤδη τὸ ἐν σοὶ τὸ πνεῦμα τῆς θεραπείας, ἀπόδος ἑκάστῳ τὸ πρόσφορον, καὶ οἰκονόμησον ἐν κρίσει τοὺς λόγους, ἵνα σὲ καὶ μᾶλλον τῆς σοφίας θαυμάσωμεν. οἰκονομήσεις δὲ πῶς; τὸν μὲν ἐπαινέσας τῆς ἀρετῆς τὰ ἐσχάτα, οὐ μόνον ἵν' ἐν τάφῳ τῷ καθαρῷ καθαρὸν ἐπιβάλῃς τὸν λόγον, ἀλλ' ἵνα καὶ τοῖς ἄλλοις εὐσεβείας χαρακτῆρα, τὴν ἐκείνου προθεὶς πολιτείαν τι καὶ παραίνεσιν. ἡμῖν δὲ περὶ ζωῆς καὶ θανάτου βραχέα φιλοσοφήσας, καὶ τῆς κατὰ σῶμα καὶ ψυχὴν συζυγίας καὶ διαζεύξεως, καὶ τῶν δύο κόσμων, τοῦ τε παρόντος καὶ οὐχ ἑστῶτος, καὶ τοῦ νοουμένου καὶ μένοντος. καὶ πείσας, τοῦ μὲν ὑπερφρονεῖν τὸ ἀπατηλὸν καὶ ἀτάκτοις, καὶ ἀνωμάλοις, καὶ ὥσπερ ἐν κύμασιν, ἄνω καὶ κάτω φέρον τε καὶ φερομένοις· τοῦ δὲ, προσίεσθαι τῷ παγίῳ καὶ σταθερῷ καὶ θεοειδεῖ, καὶ ὡσαύτως ἔχοντι, καὶ πάσης ἐλευθέρῳ ταραχῆς καὶ συγχύσεως. οὕτω γὰρ ἂν ἧττον ἀνιῷεν ἡμᾶς οἱ προεκδημήσαντες· ἀλλὰ καὶ ἥδοιεν, εἰ ὃν θεῖος ἀπάγων ἡμᾶς ὁ λόγος, ἄνω τιθείη, καὶ τὸ παρὸν ἀληθῶς ἐναποκρύπτοι τῷ μέλλοντι, καὶ πείθοι, ὅτι καὶ αὐτοὶ παρὰ δεσπότην ἀγαθὸν ἐπειγόμεθα, καὶ βελτίων ἡ κατοικία τῆς παροικίας. καὶ ὅπερ ἐστὶ τοῖς πλέουσι λιμὴν εὔδιος, τοῦτο τοῖς ἐνταῦθα χειμαζομένοις ἡ ἐκεῖσε μετάστασις καὶ μετάθεσις· ἢ ὥσπερ οἱ μακρὰν ὁδὸν προκαταλύσαντες, τῶν ὁδὸν πορευομένων καὶ μοχθούντων ἔτι ῥᾷον καὶ ἀπονώτεροι, οὕτως οἱ ἐπιτυχόντες τοῦ ἐκεῖ καταλύματος, τῶν ἔτι τὴν σκολιὰν καὶ κρημνώδη τοῦ βίου τούτου τεμνόντων ὁδοὺς, ἀμείνους καὶ ἀνεκτότεροι. ἡμᾶς μὲν οὕτω παραμυθήσει. τὴν ποίμνην δὲ πῶς; πρῶτον μὲν, τὴν σὴν ὑποδεχόμενος ἐπιστασίαν καὶ ἡγεμονίαν, οὗ πᾶσι καλοῖς ὑπὸ ταῖς πτέρυξιν ἀναπαύεσθαι, καὶ οὗ διψῶμεν τῆς φωνῆς μᾶλλον, ἢ πηγῆς τῆς καθαρωτάτης, οἱ δίψει κάμνοντες. δευτέροις δὲ πείσας, ὡς οὐδὲ νῦν ἡμᾶς ἀπολέλοιπεν ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἀλλὰ καὶ πάρεστι, καὶ ποιμαίνει καὶ ὁδηγεῖ, καὶ γινώσκει τὰ ἴδια, καὶ γινώσκεται ὑπὸ τῶν ἰδίων· σωματικῶς μὲν οὐχ ὁρώμενος, πνευματικῶς δὲ συγγινόμενος, καὶ προπολεμῶν τῆς ποίμνης κατὰ τῶν λύκων, καὶ οὐδενὶ συγχωρῶν διὰ τῆς αὐλῆς ὑπερβαίνοντι. λῃστρικῶς τι καὶ ἐπίβουλος ξένῃ φωνῇ κατασύρειν, καὶ διακλέπτειν ψυχὰς, τῇ ἀληθείᾳ καλῶς ἠγμένας. πείθομαι δ' ὅτι καὶ τῇ πρεσβείᾳ νῦν μᾶλλον ἢ πρότερον τῇ διδασκαλίᾳ, ὅσῳ καὶ μᾶλλον ἐγγίζει θεῷ, τὰς σωματικὰς πέδας ἀποσεισάμενος, καὶ τῆς ἐπιθολούσης τὸν νοῦν ἰλύος ἀπηλλαγμένος, καὶ γυμνῷ γυμνὸς ἐντυγχάνων τῷ πρώτῳ καὶ καθαρωτάτῳ νῷ, τάξεως καὶ παρρησίας ἀγγελικῆς, εἰ μὴ τολμηρὸν τοῦτο εἰπεῖν, ἀξιούμενος. ταῦτα μὲν δὴ σὺ αὐτὸς διαθήσεις, καὶ φιλοσοφήσεις ἄμεινον, ἢ ὅσ' ἂν αὐτὸς ὑπαδείξαιμι, καὶ λόγου δυνάμει καὶ πνεύματος. ἵνα δὲ μὴ δι' ἄγνοιαν τῶν ἐκείνου καλῶν παρὰ πολὺ τῆς ἀξίας ὁ λόγος ἐλαττωθῇ, βραχέα τῆς εὐφημίας, ἐξ ὧν αὐτὸς συνεπίσταμαι τῷ ἀπελθόντι σκιογραφῶ, καὶ προχαράξω, καὶ παρα-

καὶ παραδώσω σοι τῷ καλῷ τὴν τοιαύτην γραφὴν τῆς ἀρετῆς τῆς ἐκείνου τὸ κάλλος ἀπακριβοῦσθαι, καὶ παραδοῦναι ταῖς πάντων ἀκοαῖς τε καὶ διανοίαις. ἐκεῖνος τοίνυν, ἵνα παρίδω πατρίδα, καὶ γένος, καὶ σώματος εὐφυΐαν, καὶ τὴν ἔξωθεν περιφάνειαν, καὶ τἄλλα οἷς μέγα φρονοῦσιν ἄνθρωποι, τοῖς τῶν ἐγκωμίων νόμοις πεισθεὶς, ἐκ τῆς ἡμῶν πρώτης καὶ οἰκειοτάτης ἄρξωμαι, ῥίζης ἐγένετο βλάστημα οὐκ ἐπαινετοῦ, οὐδὲ εὐφυοῦς εἰς εὐσέβειαν (οὐ γὰρ αἰσχύνομαι τοῖς προτέροις, τοῖς τελευταίοις θαρρῶν) οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτευμένης, ἀλλὰ καὶ λίαν ἀτόπου καὶ ἀλλοκότου, ἐκ δυοῖν τοῖν ἐναντιωτάτοιν συγκεκραμένης, ἑλληνικῆς τε πλάνης, καὶ νομικῆς τερατείας, ὧν ἀμφοτέρων τὰ μέρη φυγὼν, ἐκ μερῶν συνετέθη. τῆς μὲν γὰρ τὰ εἴδωλα, καὶ τὰς θυσίας ἀποπεμπόμενοι, τιμῶσι τὸ πῦρ καὶ τὰ λύχνα, τῆς δὲ τὸ σάββατον αἰδούμενοι, καὶ τὴν περὶ τὰ πρόβατα ἔς τινα μικρολογίαν τὴν περιτομὴν ἀτιμάζουσιν. ὑψιστάριοι τοῖς ταπεινοῖς ὄνομα. καὶ ὁ παντοκράτωρ δὴ μόνος αὐτοῖς σεβάσμιος. ὁ οὕτω δυσφυής τις ὢν εἰς ἀσέβειαν, ἐκ τίνος, τί γίνεται; οὐκ οἶδα πότερον, τὴν καλέσασαν αὐτὸν χάριν ἐπαινέσω πλέον ἢ τὴν ἐκείνου προαίρεσιν. πλὴν οὕτω τὸν τῆς διανοίας ὀφθαλμὸν, τὴν ἐπικειμένην αὐτῷ λήμην ἀνεκαθάρθη. καὶ τοσοῦτον τάχιον τῇ ἀληθείᾳ προσέδραμεν, ὥστε ὅτι μὲν καὶ μητρὸς καὶ οὐσίας ἐξέπεσεν, ἄχρι τινὸς ὑπὲρ τοῦ ἄνω πατρὸς, διὰ τῆς ἀληθινῆς κληρονομίας ὑπέσχετο, καὶ ῥᾷον ὑπήνεγκε τὴν ἀτιμίαν ταύτην, ἢ τὰς μεγίστας τιμὰς ἕτεροι, τοῦτο μὲν ἧττον θαυμάζω, καί τοι λίαν ὂν θαυμαστόν. διατί; ὅτι κοινὸν αὐτὸ πρὸς πολλοὺς ἄλλους τὸ φιλοτίμημα, καὶ πάντας ἔδει γενέσθαι δεῖ τῆς μεγάλης τοῦ Θεοῦ σαγήνης, καὶ τοῖς τῶν ἁλιέων λόγοις σαγηνευθῶσι, κἂν οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον τῷ εὐαγγελίῳ περιληφθῶσιν. ὃ δὲ μάλιστά μοι τῶν ἐκείνου θαυμάζειν ἔπεισι, τοῦτο εἰπεῖν ἀναγκαῖον. ἐκεῖνος καὶ πρὸ τῆς ἡμετέρας αὐλῆς ἦν ἡμέτερος. ἐποίει γὰρ αὐτὸν ἡμῖν ὁ τρόπος. ὥσπερ γὰρ πολλοὶ τῶν ἡμετέρων οὐ μεθ' ἡμῶν εἰσιν, οὓς ὁ βίος ἀλλοτριοῖ τοῦ κοινοῦ σώματος· οὕτω πολλοὶ τῶν ἔξωθεν πρὸς ἡμῶν, ὅσοι τῷ τρόπῳ τὴν πίστιν φθάνουσι, καὶ δέονται τοῦ ὀνόματος, τὸ ἔργον ἔχοντες. τούτων καὶ ὁ ἐμὸς ἦν πατὴρ, πόρρωθεν ἀλλότριος, τῷ βίῳ πρὸς ἡμᾶς ἐπικλινόμενος. σωφροσύνῃ μέν γε τοσοῦτον διήνεγκεν, ὥστε ὁ αὐτὸς ἐρασμιώτατός τε ἅμα γενέσθαι καὶ κοσμιώτατος. ὃ χαλεπὸν ἀμφότερα συνδραμεῖν. δικαιοσύνης δέ τι μεῖζον γνώρισμα καὶ περιφανέστερον, ἢ ὅτι πολιτείας οὐ τὰ δεύτερα ἐσχηκὼς, οὐδὲ μιᾶς δραχμῆς πλείω τὴν οὐσίαν πεποίηκε; καί τοι γε τοὺς ἄλλους ὁρῶν, τὰς Βριάρεω χεῖρας ἐπιβάλλοντας τοῖς δημοσίοις, καὶ τοῖς κακοῖς πόροις φλεγμαίνοντας. οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἄδικον εὐπορίαν. φρονήσεως δὲ, μικρὰ μὲν οὐδὲ ταῦτα γνωρίσματα. δηλώσει δὲ τὰ πλείω προϊὼν ὁ λόγος. τούτου καὶ μισθὸν οἶμαι τὴν πίστιν ἐνήνεκτο. τὸ δὲ ὅπως, οὐδὲ γὰρ ἄξιον σιωπᾶσθαι πρᾶγμα τοσοῦτον, αὐτοὶ παραστήσωμεν. γυναῖκα μὲν ἀνδρείαν τίς εὑρήσει; τῆς θείας ἤκουσα λεγούσης γραφῆς. καὶ τὸ δῶρον θεόθεν εἶναι, τὴν ἀγαθὴν παρὰ τοῦ κυρίου συζυγίαν ἁρμόζεσθαι. τὸ δ' αὐτὸν δοκεῖ καὶ τοῖς ἔξωθεν, εἴπερ ἐκείνων τὸ γυναικὸς ἀνὴρ χρῆμ' οὐδὲν λῄζεται κάλλιον ἐσθλῆς, οὐδὲ χεῖρον τῆς ἐναντίας. τοῦ δὲ οὐκ ἔστιν εἰπεῖν, ὅς τις περὶ τοῦτο εὐδαιμονέστερος. οἶμαι γὰρ εἴ τις ἐκ περάτων γῆς καὶ παντὸς γένους ἀνθρώπων, τὴν ἀρίστην ἁρμόσασθαι συζυγίαν ἐσπούδασεν, οὐκ ἂν εἶναι ταύτης εὑρεῖν ἀμείνω καὶ ἁρμοδιωτέραν. οὕτω γὰρ ἀνδρῶν καὶ γυναικῶν, εἰς ἓν συνῆλθε τὰ κράτιστα, ὥστε οὐχ ἧττον ἀρετῆς, ἢ σωμάτων γενέσθαι συζυγίαν τὸν γάμον. ἐπεὶ τῶν ἄλλων κρατοῦντες, ἀλλήλων κρατεῖν οὐκ εἶχον, διὰ τὸ τῆς ἀρετῆς ἰσόρροπον καὶ ὁμότιμον. καὶ ἡ μὲν Ἀδὰμ δοθεῖσα κατ' αὐτὸν βοηθὸς, ἐπειδὴ καλὸν ἦν μὴ μόνον εἶναι τὸν ἄνθρωπον, ἀντὶ συνεργοῦ πολεμία γέγονε, καὶ οὐχ ὁμόζυγος, ἀλλ' ἀντίθετος, κλέψασα τὸν ἄνδρα δι' ἡδονῆς, καὶ διὰ ξύλου τῆς γνώσεως, τοῦ ξύλου τῆς ζωῆς ἀλλοτριώσασα. ἡ δὲ, οὐ συνεργὸς μόνον ἡ παρὰ Θεοῦ δοθεῖσα, ἧττον γὰρ τοῦτο θαυμαστὸν, ἀλλὰ καὶ ἀρχηγὸς γίνεται, ἔργῳ τε καὶ λόγῳ πρὸς τὰ κράτιστα δι' ἑαυτῆς ἄγουσα. καὶ τὰ μὲν ἄλλα τῷ ἀνδρὶ κρατεῖσθαι νόμῳ συζυγίας, ἄριστον εἶναι κρίνουσα, τῆς εὐσεβείας δὲ οὐκ αἰσχυνομένη παρέχειν ἑαυτὴν καὶ διδάσκαλον. ὃ θαυμάζειν μὲν ἐκείνης ἄξιον, θαυμάζειν δὲ πλέον τὸν ἑκόντα ἡττώμενον. ἐκείνη γὰρ οὖν, ἡ τῶν ἄλλων γυναικῶν κάλλει φιλοτιμουμένων καὶ ὑψουμένων, ὅ ἐστι φυσικὸν, καὶ ὅσον ἐπίπλαστον, ἓν ἐπισταμένη κάλλος, τὸ τῆς ψυχῆς, καὶ τὴν θείαν εἰκόνα ἢ συντηρεῖν, ἢ ἀνακαθαίρειν εἰς δύναμιν. τοὺς δὲ γραπτοὺς καὶ τεχνικοὺς κόσμους, τοὺς ἐπὶ τῆς σκηνῆς ἀπέρριψασα, μίαν δὲ ἀληθινὴν εὐγένειαν γινώσκουσα τὴν εὐσέβειαν, καὶ τὸ εἰδέναι πόθεν γεγόναμεν, καὶ ποῖ καταντήσομεν. ἕνα δὲ πλοῦτον ἀσφαλῆ τε καὶ ἄσυλον, τὸ ἀποπλουτεῖν Θεῷ καὶ τοῖς πένησι καὶ μάλιστα τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν, οἷς τὸ μὲν ἄχρι τῆς χρείας ἐπαρκεῖν, οὐ λύσιν τῆς συμφορᾶς, ἀλλ' ὑπόμνησιν ἔχειν ἐνόμιζε. τὸ δὲ ἐλευθεριώτερον εὖ ποιεῖν, τοῦτο εἶναι τιμῆς βεβαίας, καὶ παραμυθίας τελεωτάτης. καὶ τὴν μὲν τῇ οἰκωφελείᾳ προσεχουσῶν, τὴν δὲ τῇ εὐσεβείᾳ. καὶ γὰρ χαλεπὸν ἀμφοτέρων ἐπιτυχεῖν, ἀμφοτέροις ἁπάσας νικήσασα, καὶ τῷ περὶ ἑκάτερον ἄκρῳ, καὶ τῷ μόνη τὰ δύο συναγαγεῖν. οὕτω μὲν τὸν οἶκον συναύξουσα,

ταῖς ἑαυτῆς ἐπιμελείαις καὶ περινοίαις, κατὰ τὸν συλλαμβάνοντα περὶ τῆς εὐσεβείας γυναικὸς ὅρον καὶ νόμιμον, ὡς εὐσεβεῖν οὐκ εἰδυῖα, οὕτω δὲ προσκειμένη Θεῷ καὶ τοῖς θείοις, ὡς οἰκείας πλεῖστον ἀπέχουσα, καὶ οὐδὲ ὑπὸ τοῦ ἑτέρου παραβλαπτομένη πρὸς θάτερον, ἀμφότερα δὲ διαλλάγδην κρατύνουσα. τίς μὲν ἔλαθεν ἐκείνην, εὐχῆς ἢ καιρός, ἢ τόπος; ὃ καὶ πρῶτον ἦν αὐτῇ παρὰ τὴν τῆς ἡμέρας κίνημα. μᾶλλον δέ, τίς οὕτως ἔχειν ὁμοῦ τῷ αἰτεῖν, ὃ αἰτουμένη ἤλπισεν; τίς δὲ ἱερέων οὕτως ᾐδέσθη χεῖρα καὶ πρόσωπον, ἢ παντὶ εἴδει φιλοσοφίας ἐτίμησεν; τίς δὲ μᾶλλον νηστείαις καὶ ἀγρυπνίαις τὰς σάρκας ὑπίασσε, ἢ ψαλμῳδίαις ἑαυτῇ ἰσοχρόνοις παννυχίσι τε καὶ ἡμεροστασίαις; τίς μὲν παρθενίαν ἠγάσθη πλέον, καίπερ αὐτὴ ἀνεχομένη δεσμοῖς; τίς δὲ ὀρφανῶν καὶ χηρῶν ἀμείνων ἐγένετο προστάτις; τίς δὲ πενθοῦσι τὰς συμφορὰς οὕτω συνυπεκούφισεν; καὶ ταῦτα δὴ τὰ μικρὰ μὲν ἴσως, τυχὸν δέ πη καὶ διαπτυόμενα, ὅτι μὴ δὲ πρόσιτα ῥᾳδίως τοῖς πλείοσι. οὐ γὰρ οὐκ ἐφικτόν, οὐδὲ πιστόν πως διὰ τὸν φθόνον. ἐμοὶ δὲ καὶ λίαν τιμώμενα, ὅτι πίστεως εὑρήματα ἦν, καὶ πνευματικῆς ζέσεως ἐγχειρήματα. οὐδέ, τὸ μή ποτε φωνὴν αὐτῆς ἐν ἱεροῖς ἀκουσθῆναι συλλόγοις, ἢ τόποις, ἔξω τῶν ἀναγκαίων καὶ μυστικῶν. καὶ εἰ μέγα, περὶ θρησκείᾳ ποτέ, τὸ μὴ πέλεκυν ἐπ' αὐτῆς ἀναβῆναι, μηδὲ ὀφθῆναι ἢ ἀκουσθῆναι λαξευτήριον, λόγῳ μείζονι, ὡς δέον ἱερὸν καὶ ἄτεχνον εἶναι πᾶν τὸ Θεῷ καθιερωμένον. πῶς οὐχὶ καὶ τὸ ἐκείνης μέγα, τὸ σιωπῇ τιμᾶσθαι τὰ ἅγια, τὸ μή ποτε νῶτα δοθῆναι τῇ σεβασμίῳ τραπέζῃ, μηδὲ καταπτυσθῆναι θεῖον ἔδαφος, τὸ μή ποτε δεξιὰν ἐμβληθῆναι, ἢ χεῖλη μιγῆναι χερσὶν Ἑλληνικαῖς, ἢ χείλεσι, μηδὲ τῆς ἄλλως κοσμιωτάτης γυναικός, καὶ οἰκειοτάτης, ἀλλὰ μηδὲ ἁλῶν κοινωνῆσαι, μὴ ὅτι ἑκοῦσαν, ἀλλὰ μηδὲ βιασθεῖσαν τοῖς ἀπὸ τῆς βεβήλου καὶ ἀνάγνου τραπέζης, μηδὲ μιαρὸν οἶκον ἢ παρελθεῖν ποτε, ἢ ἰδεῖν ἀνασχέσθαι, παρὰ τὴν τοῦ συνειδότος νομοθεσίαν, μηδὲ διηγήμασιν Ἑλληνικοῖς, ἢ ᾄσμασι θεατρικοῖς καταμολυνθῆναι τὴν ἀκοήν, ἢ τὴν γλῶσσαν, τὴν τὰ θεῖα δεχομένην ἢ φθεγγομένην; οὐδὲν γὰρ ἱεροῖς πρέπειν ἀνίερον. καὶ ὃ τούτων θαυμασιώτερον, τὸ μή ποτε τοσοῦτον δουλεῦσαι πάθει σωματικῷ, καίτοι γε διαφερόντως καταπονουμένην καὶ τοῖς τῶν ξένων πάθεσιν, ὥστε ἢ γοερὰν ποτε πρὸ τῆς εὐχαριστηρίου ῥαγῆναι φωνήν, ἢ δάκρυον ἐκπεσεῖν βλεφάρου μυστικῶς σφραγισθέντος, ἢ χρῆμα ποθεινὸν παραμεῖψαι, καίτοι γε πολλῶν πολλάκις συμπεσόντων αὐτῇ λυπηρῶν, λαμπρᾶς τῆς οὔσης ἡμέρας. ψυχῆς γὰρ εἶναι θεοφιλοῦς, ὑποκλίνειν τοῖς θείοις ἅπαν ἀνθρώπινον. καὶ σιωπῶ τὰ τούτων ἀπορρητότερα, ὧν Θεὸς μάρτυς, καὶ τῶν πιστῶν θεραπαινίδων, αἷς τὰ τοιαῦτα ἐπίστευσε. τὸ γὰρ καθ' ἡμᾶς, ἴσως οὐδὲ μνήμης ἀξιωτέον, ὡς ἀναξίους τῆς ἐλπίδος, εἰ κἀκεῖνο μέγα τὸ ἦν ἐγχείρημα, ὅτι καὶ πρὸ τελειώσεως ἡμᾶς καθυπέσχετο τῷ Θεῷ, μηδὲν τὸ μέλλον εὐλαβηθεῖσα, καὶ γεννηθέντας εὐθὺς ἀνέθηκε. θεοῦ δὲ τὸ μὴ παρ' αὐτῇ διαμαρτεῖν αὐτὴν τῆς εὐχῆς, μηδὲ ἀπωσθῆναι τὸ καλλιέρημα. τούτων μὲν οὖν τὰ μὲν παρῆν ἤδη, τὰ δὲ ἔμελλε ταῖς κατὰ μικρὸν προσθήκαις αὐξόμενα. καὶ καθάπερ ἥλιος ἥδιστον ταῖς ἑωθιναῖς προσβάλλων ἀκτῖσι ταῖς μεσημβριναῖς θερμότερος ἐστί τε καὶ φαιδρότερος, οὕτω καὶ αὐτή, οὐ μικρὰ τὰ τῆς εὐσεβείας ἀπ' ἀρχῆς ὑποφαίνουσα, τῷ τελευταίῳ φωτὶ πλέον ἐξέλαμψε. τότε δ' οὖν καίτοι οὐ μικρὰν εὐσεβείας οἴκοθεν, εἶχεν αὐτὴν ὁ εἰσποιησάμενος, ἄνωθεν μέν, καὶ ἐκ προγόνων, φιλόθεόν τε καὶ φιλόχριστον, καὶ παππῷον κλῆρον διαδεξαμένην τὸν τῆς ἀρετῆς, ἀλλ' οὐκ ἐκ τῆς ἀγριελαίου, καθὼς ἐκεῖνος ἐγκεντρισθεῖσαν εἰς καλλιέλαιον. οὐ φέρουσαν δὲ τὸ ἑτεροζυγεῖν δι' ὑπερβολὴν πίστεως, ἀλλὰ τοῦτο μόνον φιλοσοφεῖν μὴ δυναμένην, τἆλλα κατεξοχικωτάτην οὖσαν γυναικῶν καὶ αἰδεσιμωτάτην, τὸ ἐξ ἡμισείας ἑνοῦσθαι περὶ Θεόν, διὰ τὴν τοῦ τμήματος ἀλλοτρίωσιν, ἀλλὰ μὴ προστεθῆναι τῇ σωματικῇ συναφείᾳ τὴν συμφυΐαν τοῦ πνεύματος, καὶ δὴ τοῦτο προσαιτήσασαν μὲν τῷ Θεῷ νυκτὸς καὶ ἡμέρας, καὶ παρ' αὐτοῦ τῆς ἐπιεικείας τῆς κεφαλῆς αἰτουμένην ἐν πολλαῖς νηστείαις καὶ δάκρυσι, προσκειμένην δὲ περὶ αἰδέσει φιλοπόνως, καὶ πολυτρόπως αὐτὸν ἐμπαρρησιαζομένην, ὀνειδισμοῖς, νουθεσίαις, θεραπείαις, ἀλλοτριώσεσι. τὸ μέγιστον τῷ οἰκείῳ τρόπῳ, καὶ τῷ θερμοτέρῳ ἐπὶ τῆς εὐλαβείας, ᾧ μάλιστα ψυχὴ κάμπτεται καὶ μαλάσσεται πρὸς ἀρετὴν ἑκουσίως βιαζομένη. ἔμελλε δὲ ἄρα κοιλαίνειν τὴν πέτραν ἡ τοῦ ὕδατος ῥανὶς ἀεὶ πλήττουσα, καὶ χρόνῳ διανύσειν τὸ σπουδαζόμενον. δηλοῖ δὲ τὰ ἐφεξῆς. ἡ μὲν καὶ ηὔχετο ταῦτα, καὶ ἤλπιζεν, ἅτε τῇ πίστει μᾶλλον, ἢ τῇ νεότητι ζέουσα. καὶ γὰρ οὐδεὶς οὕτως ἐθάρρει τοῖς παροῦσιν, ὡς αὕτη τοῖς ἐλπισθεῖσι, πεῖραν μαθοῦσα τοῦ Θεοῦ τὸ φιλόδωρον. τῷ δὲ συνεργεῖ μὲν πρὸς εὐσέβειαν, καὶ ὁ λογισμὸς κατὰ μικρὸν τὴν θεραπείαν παραδεχόμενος, συνεργεῖ καὶ ὀνειράτων ὄψις, οἷς εὐεργετεῖ πολλάκις Θεὸς ψυχὴν ἀξίαν τοῦ σώζεσθαι. ἀλλὰ τίς ἡ ὄψις; ἐνταῦθά μοι καὶ τὸ τοῦ διηγήματος ἥδιστον. ἔδοξεν ὁ μήπω πρότερον, καίτοι πολλάκις τῆς γυναικὸς ἱκετευούσης καὶ δεομένης, ψάλλειν ἐκ τῶν τοῦ θείου Δαβὶδ ἐκεῖνο τὸ μέρος, εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα. καὶ ἡ ψαλμῳδία ξένη, καὶ ὁ πόθος τῇ ᾠδῇ συνεισέρχεται. καὶ ὡς ἤκουσεν ἡ τῆς εὐχῆς ἐπιτυχοῦσα, τὸν καιρὸν ἁρπάζει, ὑποκρινομένη τε

τὴν

τὴν ὄψιν πρὸς τὸ ἥδιστον μετὰ τῆς ἀληθείας, καὶ τῇ χαρᾷ δηλοῦσα τῆς εὐεργεσίας τὸ μέγεθος, καὶ τὴν σωτηρίαν ὑποτιχώνουσα, μή τι παρεμπεσὸν ἐμποδίσῃ τῇ κλίσει, καὶ λύσῃ τὸ αὐτοσχεδιαζόμενον, καὶ δὴ συμβὰν τηνικαῦτα, πλείστους ἀρχιερέας ἐπὶ τὴν Νίκαιαν συνθέοντας, ἵνα κατὰ τῆς Ἀρείου στῶσι μανίας, ἄρτι τοῦ κακοῦ φυομένου, καὶ τὴν θεότητα τέμνοντος, δίδωσι μὲν ἑαυτὸν τῷ θεῷ καὶ τοῖς κήρυξι τῆς ἀληθείας, καὶ τὸν πόθον ὁμολογεῖ, καὶ ζητεῖ παρ' αὐτῶν τὴν κοινὴν σωτηρίαν, ὧν εἷς Λεόντιος ἦν ὁ πάνυ, ὁ τότε τῆς καθ' ἡμᾶς μητροπόλεως ἐξηγούμενος. ὃ δὲ κἀνταῦθα περὶ τῆς χάριτος ἀπιστότερον θαῦμα, σφόδρα ἂν ἀδικοίην τὴν χάριν, εἰ σιωπῇ παρέλθοιμι. μάρτυρες δὲ οὐκ ὀλίγοι τοῦ θαύματος, πλανῶντού τινα πλάνην πνευματικήν, οἱ τῆς ἀκριβείας διδάσκαλοι, καὶ προσυπεῖ τὸ μέλλον ἡ χάρις, καὶ τύπος ἱερωσύνης τῇ κατηχήσει μίγνυται. ὦ τῆς ἀκριβοῦς μυήσεως. ἐπὶ γὰρ γόνυ κλιθείς, οὕτω τοῖς λόγοις τῆς κατηχήσεως καταρτίζεται, ὥστε πολλοὺς τῶν παρόντων προφητεῦσαι τὸ μέλλον. οὐ τῶν ἐψιλοτέρων μόνον, ἀλλὰ καὶ τῶν τελειοτέρων εἰς σύνεσιν, οὐκ ἀμυδροῖς σημείοις πιστωθέντας πρὸς τὸ ἐσόμενον. μικρὸν τὸ ἐν μέσῳ, καὶ τῷ θαύματι θαῦμα συνάπτεται. παραθήσομαι δὲ πιστῶν ἀκοαῖς τὸν λόγον. ψυχαῖς γὰρ βεβήλοις, οὐδὲ ἓν τῶν καλῶν ἀξιόπιστον. προσῄει μὲν τῇ δι' ὕδατος ἀναγεννήσει καὶ πνεύματος, δι' ἧς ὁμολογοῦμεν θεῷ τὴν τοῦ κατὰ Χριστὸν ἀνθρώπου μόρφωσίν τε καὶ τελείωσιν, καὶ τοῦ χοϊκοῦ πρὸς τὸ πνεῦμα μετάθεσιν καὶ ἀνάπλασιν. καὶ προσῄει μετὰ θερμῆς τῆς ἐπιθυμίας, καὶ λαμπρᾶς τῆς ἐλπίδος τῷ λουτρῷ, προκαθήρας ἑαυτὸν εἰς δύναμιν, καὶ ψυχῇ καὶ σώματι καθαγνίσας πολλῷ μᾶλλον, ἢ οἱ τὰς πλάκας παρὰ Μωυσέως δέξασθαι μέλλοντες. τοῖς μὲν γὰρ μέχρις ἐσθῆτος ἦν ὁ ἁγνισμός, καὶ γαστρὸς μικρᾶς στενώσεως, καὶ σωφροσύνη τις ῥᾴδιος. τῷ δὲ, πᾶς ὁ ἐν μέσῳ βίος, παρασκευὴ τῆς ἐλλάμψεως ἦν, καὶ πρὸ τῆς καθάρσεως, κάθαρσις ἀσφαλιζομένη τὴν δωρεάν, ἵν' ἡ τελειότης τῇ καθαρότητι πιστευθῇ, καὶ μὴ κινδυνεύσῃ τὸ ἀγαθόν, ἐν ἕξει τολμηθείσῃ κατὰ τῆς χάριτος. ἐξελθόντι δὲ αὐτῷ ἐκ τοῦ ὕδατος, φῶς περιαστράπτει, καὶ δόξα τῆς διαθέσεως ἀξία, μεθ' ἧς προσῆλθε τῷ χαρίσματι τῆς πίστεως. ἔστι μὲν οἷς καὶ τῶν ἄλλων ἐπίδηλον, οἳ τότε μὲν σιωπῇ τὸ θαῦμα κατέσχον, ἐξειπεῖν οὐ θαρρήσαντες, καὶ τὸ αὐτοῦ μόνου ταύτην εἶναι τὴν ὄψιν ἕκαστος ᾤετο, μικρὸν δ' ὕστερον ἀλλήλοις διέδωκαν. τῷ δὲ βαπτιστῇ καὶ τελεστῇ τοῦτο οὕτως ἐναργές τε καὶ γνώριμον, ὥστε μηδὲ κατασχεῖν δυνηθῆναι τὸ μυστήριον, ἀλλὰ καὶ δημοσίᾳ ῥῆξαι φωνήν, ὅτι τὸν ἑαυτοῦ διάδοχον τῷ πνεύματι χρίσειε. καὶ τοῦτο οὐδεὶς ἀπιστήσει, τῶν ἀκηκοότων τε καὶ γινωσκόντων. τῷ Μωυσῇ μὲν ἔτι μικρὸς ὤν, τοῖς πολλοῖς καὶ οὔπω λόγου τινὸς ἀξιούμενος, ἐκ τῆς βάτου καλεῖται, καιομένης μέν, οὐκ ἀναλισκομένης δέ, μᾶλλον δὲ τοῦ ἐν τῇ βάτῳ φανταζομένου. καὶ πιστοῦται τῷ πρώτῳ θαύματι Μωυσῆς ἐκεῖνος, ᾧ θάλασσα τέμνεται, καὶ ἄρτος ὕεται, καὶ πέτρα πηγάζει, καὶ στῦλος πυρὸς καὶ νεφέλης ὁδηγοῦσι, μετ' ἀλλήλων ἱστάμενοι· καὶ χειρῶν ἔκτασις τρόπαιον ἵστησι, καὶ νικᾷ πολλὰς μυριάδας, τὸν σταυρὸν σχηματίζουσα. Ἡσαΐας δὲ ὁ τῆς δόξης καὶ τῶν σεραφὶμ θεατής, καὶ μετ' ἐκεῖνον Ἱερεμίας, ὁ τὰ μεγάλα κατ' ἐθνῶν καὶ βασιλέων πιστευθεὶς δύναμιν, ὁ μὲν ἀκούει θείας φωνῆς, καὶ τῆς προφητείας τῷ ἄνθρακι προκαθαίρεται, ὁ δὲ πρὸ διαπλάσεως γιγνώσκεται, καὶ πρὸ γεννήσεως ἁγιάζεται. Παῦλος δὲ διώκτης ὢν ἔτι, ὁ μέγας τῆς ἀληθείας κῆρυξ, ὁ τῶν ἐθνῶν ἐν πίστει διδάσκαλος, καὶ φωτὶ περιλάμπεται, καὶ γνωρίζει τὸν διωκόμενον, καὶ τὴν μεγάλην διακονίαν πιστεύεται, καὶ πληροῖ τοῦ εὐαγγελίου πᾶσαν ἀκοὴν καὶ διάνοιαν. τί δεῖ πάντας ἀπαριθμεῖσθαι τοὺς ὑπὸ θεοῦ προσκληθέντας, καὶ τοιούτοις οἰκειωθέντας θαύμασιν, οἷς κἀκεῖνος ἐβεβαιώθη πρὸς τὴν εὐσέβειαν; καὶ οὐ τὰ μὲν πρῶτα τοιαῦτα, καὶ οὕτως ἄπιστα καὶ παράδοξα, κατῄσχυνε δέ τι τῶν προϋπηργμένων τοῖς ὕστερον, ὡς ἄν τις τῶν τάχιστα κόρον τοῦ καλοῦ λαμβανόντων, εἶτα τοῦ πρόσω καταφρονούντων, ἢ καὶ παντάπασι πρὸς κακίαν παλινδρομούντων. οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλὰ καὶ λίαν ἑαυτοῦ, καὶ τῶν προειληφότων ἔχεται, ὥστε ἀμφότερα συναρμόζειν ἀλλήλοις, τά τε πρὸ τῆς ἱερωσύνης τοῖς ἐκείνης καλοῖς καὶ τὰ μετ' αὐτὴν τοῖς προτέροις. καὶ μήτε ἄλλως ἄρξασθαι πρέπειν, ἢ ὡς ἐτελεύτησε. μήτε εἰς ἄλλο προσελθεῖν τέλος, ἢ οὗ προήρξατο. πιστεύεται μέν γε τὴν ἱερωσύνην, οὐ κατὰ τὴν νῦν εὐκολίαν καὶ ἀκαταξίαν, ἀλλὰ μικρόν τι διαλιπών, ὥστε τῇ καθάρσει προσθεῖναι καὶ τὴν τοῦ καθαίρειν ἐμπειρίαν καὶ δύναμιν. ὅπερ δὴ νόμος ἀκολουθίας πνευματικῆς. ἐπεὶ δὲ πιστεύεται, πλέον ἡ χάρις δοξάζεται, ὥσπερ ὄντως θεοῦ χάρις, ἀλλ' οὐκ ἀνθρώπων, οὐδὲ ὅ φησιν ὁ ἐκκλησιαστής, ὁρμὴ ἔσω αὐτονόμος καὶ προαίρεσις πνεύματος. παραλαβὼν γὰρ τὴν ἐκκλησίαν, ὑλώδη καὶ ἀπηγριωμένην, οὐ πρόσθεν μὲν ἐπισκοπῇ πεποιμανθεῖσαν, ἀλλ' ὅσον ἐν τῷ πρὸ αὐτοῦ κοσμηθῆναι, καὶ τούτῳ θαυμασίῳ μέν, καὶ ἀγγελικῷ τὸν τρόπον, ἁπλουστέρῳ δὲ, ἢ κατὰ τὴν νῦν τῶν λαῶν προστασίας. τούτου δὲ τάχιστα προσληφθέντος ἐπὶ πολὺ πάλιν ῥᾳθυμηθεῖσάν τε καὶ χερσωθεῖσαν ἐξ ἀναρχίας, πρῶτον μὲν τὰ ἤθη τῶν ἀνθρώπων οὐ χαλεπῶς ἐξημέρωσε, λόγοις τε ποιμαντικοῖς ἐπιστήμης, καὶ τῷ παραθεῖναι τύπον ἑαυτόν, ὥσπερ ἀνδριάντα πνευματι-

πιὸν εἰς κάλλος ἀπεξεσμένον, πάσης ἀρίστης πλάξεως. ἔπειτα τοῖς θείοις λόγοις συντόνως ἐμμελετήσας, καίπερ ὀψιμαθὴς τὴν τοιαύτην τυγχάνων, τοσαύτην ἐν ὀλίγῳ χρόνῳ σοφίαν συνελέξατο, ὥστε τά τε ἄλλα μηδενὸς λείπεσθαι τῶν ἐπὶ πλεῖστον πεπονηκότων, καὶ χάριν ἐκ θεοῦ ταύτην λαβεῖν ἐξαίρετον, ὀρθοδοξίας γενέσθαι πατὴρ καὶ διδάσκαλος, οὐ κατὰ τοὺς νῦν σοφοὺς τοῖς καιροῖς συγκλινόμενος, οὐδὲ μέσως καὶ τεχνικῶς τὸν καθ' ἡμᾶς λόγον περιϊστάμενος, ὡς αὐτοὶ μὴ πῆξιν ἔχοντες πίστεως, ἢ καπηλεύοντες τῆς ἀληθείας. ἀλλ' ἦν, τῶν μὲν λόγῳ δυνατῶν, εὐσεβέστερος· τῶν ὀρθῶν δὲ τὴν διάνοιαν, λογικώτερος. μᾶλλον δὲ λόγου τὰ δεύτερα φέρων, εὐσεβείᾳ πάντων ἐκράτει. ἕνα μὲν θεὸν εἰδὼς, ἐν τριάδι προσκυνούμενον, τρία δὲ εἰς μίαν θεότητα συναγόμενα, καὶ οὔτε τῷ ἓν σαβελλίζων, οὔτε τοῖς τρισὶν ἀρειανίζων, ἢ τῷ συστέλλειν θεότητα, καὶ ἀναλύειν ἀθέως, ἢ τῷ κατατέμνειν ἀνίσοις ἀλλοτριότησιν ἢ μεγέθους, ἢ φύσεως. ὃ γὰρ ἕκαστον ἀκατάληπτον, καὶ ὑπὲρ τὴν ἡμετέραν ἐπίνοιαν, πῶς ἐνταῦθα τὸ ὑπέρχειρον, ἢ νοηθείη, ἢ δογματισθήσεται; πῶς δὲ μετρεῖται τὸ ἄπειρον, ἵν' ὁ τῶν πατουμένων ἐστὶ, τοῦτο πάντη θεότης, βαθμοῖς μετρουμένη καὶ ὑποβάσεσιν. ταῦτα εἰ νοῶν ἐκεῖνος ὁ μέγας ἄνθρωπος τοῦ θεοῦ, καὶ ἀληθῶς θεολόγος, καὶ μετὰ τοῦ πνεύματος περὶ τούτων κινούμενος, τί χρὴ λέγειν ἕτερον, ἢ ὅτι νέαν ἱερουσαλὴμ καὶ κιβωτὸν ἄλλην ὑπὲρ ὑδάτων φερομένην ὥσπερ ὁ μέγας ἐκεῖνος νῶε, καὶ τοῦ δευτέρου τούτου κόσμου πατὴρ, τὴν δὲ τὴν ἐκκλησίαν καλεῖσθαι πεποίηκεν; τοῦτό τε, κατακλυσμοῦ τῶν ψυχῶν, καὶ τῆς τῶν αἱρετικῶν ἐπηρείας σαφῶς ὑπεραίρουσαν. καὶ ὅσῳ πλήθει τῶν ἄλλων ἐλείπετο, τοσοῦτον εὐδοξίᾳ κρατοῦσαν, καὶ τὸ τῆς ἱερᾶς πάσχουσαν Βηθλεὲμ, ἣν οὐδὲν ἐκώλυσεν καὶ μικρὰν εἶναι πόλιν, καὶ τῆς οἰκουμένης μητρόπολιν, ὡς χριστοῦ καὶ τροφὸν καὶ μητέρα, τοῦ τὸν κόσμον καὶ ποιήσαντος καὶ νικήσαντος. τεκμήριον δὲ τοῦ λόγου· καὶ γὰρ ἡνίκα περὶ τὸ θερμότερον μάλιστα τῆς ἐκκλησίας κατεσπάσθημεν, γράμματι κλαπέντες καὶ ῥήμασι τεχνικοῖς εἰς πονηρὰν κοινωνίαν, μόνος μὲν ὑπεστήθη τὴν διάνοιαν ἄτρωτον ἔσχεν, καὶ μὴ διὰ μέλανος τὴν ψυχὴν συμμελαίνεσθαι, εἰ καὶ ἁπλότητι συνηρπάσθη, καὶ τὸ ἄδολον ἐκ τοῦ τῆς ψυχῆς ἀδόλου μὴ ἐφυλάξατο. μόνος δὲ, μᾶλλον δὲ πρῶτος, τὸ στασιάζον πρὸς ἡμᾶς, ζήλῳ τῆς εὐσεβείας ἑαυτῷ τε καὶ τοῖς ἄλλοις κατήλλαξε, τελευταῖον τὸν ἀποῤῥαγμὸν, καὶ πρῶτον προσεῤῥαγμὸν, αἰδοῖ τε τοῦ εἴδους, καὶ τῇ τοῦ δόγματος καθαρότητι. ὥστε καὶ τὸν πολὺν σάλον τῶν ἐκκλησιῶν κατασβεσθῆναι, καὶ στῆναι τὴν καταιγίδα εἰς αὔραν, ταῖς ἐκείνου λυθεῖσαν εὐχαῖς τε καὶ παραινέσεσιν, εἴ τι δεῖ καὶ παρῥησιάσασθαι, μεθ' ἡμῶν κοινωνῶν καὶ τῆς εὐσεβείας, καὶ τῆς εὐεργεσίας. οἱ πρὸς πᾶν ἀγαθὸν αὐτῷ συντρεχόμενοι, καὶ διὰ παραμυθοῦντος καὶ παραβιάζοντος, ἐνταῦθα πλεῖστον μέρος συνεργεῖν ἠξιώθημεν. ἀλλ' ὁ μὲν περὶ τούτων λόγος μικρόν τι προεκδραμὼν, ἐνταῦθα μενέτω. τίς δ' ἂν τὰ ἐκείνου καλὰ, ἢ τὸ πλῆθος ἐξαριθμήσαιτο, ἢ τὰ πλείω παραδραμεῖν ἐθέλων, μὴ χαλεπῶς εὕροι τὸ παθεῖν; ἐάσει τὸ τῆς διανοίας ἐπεισιὸν, κρεῖττον τῶν προειληφότων φαίνεται. ταὐτὸ μὲν τοῦτο γίνομαι. τὸ πλεῖον ἐμοὶ τὸ, τί χρὴ παραλιπεῖν, ἢ τοῖς ἄλλοις ἐπαινετοῖς τῶν, τί χρὴ λέγειν, ἡ ἀπορία. ὥστε μοι δοκεῖν τινὰ, ζημίαν γίνεσθαι τῇ περιουσίᾳ, καὶ δοκιμάζεσθαι τῇ διανοίᾳ τὰ ἐκείνου δοκιμάζειν ἐπιχειροῦσαν, καὶ οὐκ ἔχουσαν ὃ νικῶν εὑρεῖν ἐν τοῖς ὁμοτίμοις. ὅπερ γὰρ ἐπὶ τῶν σταθερῶν ὑδάτων ὁρῶμεν συμβαῖνον, ὅταν ψηφὶς ἐμπεσοῦσα κέντρον γένηται, ἄλλος ἐπ' ἄλλῳ κύκλος ἐγειρόμενος, καὶ συνεχῶς ἐπιφερόμενος ἀεὶ λύει τὸν ἔξωθεν, τοῦτο καὶ αὐτῷ μοι συμβέβηκεν αὐτίκα. τὸ μὲν ἐπὶ νοῦν ἦλθε, τὸ δὲ ἐπεισῆλθε, τὸ δ' ὑπεχώρησε, καὶ κάμνω περὶ τὴν αἵρεσιν ἀεὶ τοῦ προκαταλαβόντος ὑπεξισταμένου τῷ ἐπεισρέοντι. τίς μὲν γὰρ ἐκείνου περὶ τὰ κοινὰ σπουδαιότερος; τίς δὲ τὰ οἴκοι φιλοσοφώτερος; ἐπειδὴ καὶ οἶκον ἐμέρισεν αὐτῷ, καὶ κτῆσιν σύμμετρον, ὁ πάντα καλῶς καὶ ποικίλως οἰκονομῶν θεός. τίς δὲ πενίαις τῷ ἀτιμωτάτῳ μέρει τῆς ὁμοτίμου φύσεως, ἢ τῇ ψυχὴν συμπαθέστερος; ἢ τὴν χεῖρα δαψιλέστερος; διεῖλε γὰρ ὡς οἰκονόμος τὴν ἀλλοτρίαν διενοεῖτο περὶ τὴν ἰδίαν, ἐπικουφίζων τὴν πενίαν εἰς δύναμιν, καὶ δαπανώμενος οὐ τοῖς περιττοῖς μόνον, ἀλλὰ δὴ καὶ τοῖς ἀναγκαίοις, ἥπερ δὴ σαφεστάτη φιλοπτωχίας ἀπόδειξις. καὶ διδοὺς μερίδα, οὐ τοῖς ἑπτὰ μόνον, κατὰ τὴν τοῦ Σολομῶντος νομοθεσίαν, ἀλλ' εἰ προσέλθοι καὶ ὄγδοος, μηδ' ἐνταῦθα μικρολογούμενος, ἀλλ' ἥδιον ἀφιστάμενος, ἢ κτώμενος ἄλλοι ὧν γινώσκομεν. ἀφαιρῶν σπουδῇ μὲν καὶ χειροτονίαν, ὅπερ ἐμοὶ δύναται μικρολογίαν καὶ δοκιμασίαν τῶν ληψομένων, ὅς τίς τε ἄξιος, καὶ ὅς τις οὔ, καὶ ῥῆμα γογγυσμοῦ μετὰ τῆς ἐπιδόσεως. ὅπερ πάσχουσιν οἱ πολλοὶ, διδόντες μὲν, τὸ δὲ προθύμως οὐ προστιθέντες, ὃ τῆς παροχῆς μεῖζόν ἐστι καὶ τελεώτερον. πολλῷ γὰρ βέλτιον εἶναι, διὰ τοὺς ἀξίους ὀρέγειν καὶ τοῖς ἀναξίοις, ἢ τοὺς ἀξίους ἀποστερεῖν, διὰ τὴν ἀναξίαν. καὶ τοῦτο εἶναι φαίνεται, τὸ χρῆναι πέμπειν τὸν ἄρτον ἑαυτοῦ καὶ καθ' ὕδατος ὡς οὐ παρασυρησόμενον, οὐδὲ ἀπολούμενον παρὰ τῷ δικαίῳ τούτων ἐξεταστῇ. ἀλλ' ἐνταῦθα καταπεσόντα, οὐ πάντα κεῖσεται τὰ ἡμέτερα, καὶ ἀπαντήσονται ἐν καιρῷ, κἂν ἡμεῖς μὴ τοῦτο νομίζωμεν.

τὸ δὲ κάλλιστόν τε καὶ μέγιστον, ὅτι τῷ μεγαλοψύχῳ προσῆν καὶ τὸ ἀφιλότιμον. ὧν δὲ καὶ οὗ δὴ χάριν ἔρχομαι, τὰ μὲν τῶν χρημάτων κοινά, καὶ ἡ προθυμία τοῦ παρέχειν, αὐτῶν τε ἐν τῷ ὁμοζύγῳ πρὸς τὸ κάλλιστον ἁμιλλωμένοις. τῆς ἐπιδόσεως δὲ τὸ πλεῖστον, τῇ ἐκείνης χειρὶ ἐπέτρεπεν, ὡς ἀρίστης οἰκονόμου τῆς τοιαύτης, καὶ πιστοτάτης. τίνος δὴ γυναικὸς λέγω, καὶ οἵας, ἣ μηδὲ τὸ Ἀτλαντικὸν πέλαγος, ἢ εἴ τι ἄλλο τῶν μεγίστων, ἤρκεσεν ἂν ἀπαντλούμενον. τοσοῦτος ἔρως τοῦ παρέχειν αὐτῇ, καὶ οὕτως ἄμετρος. ἣ τὴν σολομώντειον βδέλλαν εἰς τοὐναντίον ἐζήλωσε, τῇ περὶ τὸ κρεῖττον ἀπληστίᾳ, τὴν εἰς τὸ χεῖρον νικήσασα, καὶ κόρον οὐκ ἔχουσα τῆς περὶ τὸ εὖ ποιεῖν προθυμίας. ἣ μὴ ὅτι γε τὴν οὐσίαν ἅπασαν, ὅση τε ἦν αὐτοῖς, καὶ ὅση προσεγίνετο, μικροτέραν ἡγεῖτο τῆς οἰκείας ἐφέσεως, ἀλλὰ καὶ ἑαυτὴν καὶ τοὺς παῖδας ἑτοίμως ἀπέδοτο ἄν, εἴ πως ἐνῆν, ὃ καὶ πολλάκις αὐτῆς λεγούσης ἤκουσα, ὥστε ἐκδαπανηθῆναι τοῖς πένησι. ταύτῃ τὰς ἡνίας ὅλας ἐπαφῆκε τῆς ἐπιδόσεως, ὃ καὶ παραδείγματος, ἐμοί γ' οὖν, κρεῖττον ὑπολαμβάνεται. τὸ μὲν γὰρ εἰς χρήματα μεγαλόψυχον, καὶ παρ' ἄλλοις οὐ χαλεπῶς εὕροι τις ἄν, ὅσα τε εἰς τὰς κοινὰς καὶ πολιτικὰς ἀπόλλυται φιλοτιμίας, ὅσα τε θεῷ διὰ τῶν πενήτων δανείζεται, καὶ μόνα τοῖς ἀναλίσκουσι θησαυρίζεται. τὸ δὲ ἐπὶ τούτῳ δόξης, οὐκ ἔστιν ὅν τινα παραχαρίζοντα ῥᾳδίως εὑρήσομεν. τῶν μὲν γὰρ δαπανῶν, καὶ ἡ φιλοδοξία τοῖς πολλοῖς παρέχει τὸ πρόθυμον, οὗ δὲ ἀφανὴς ἡ ἐπίδοσις, ἐκεῖ ἐν τῷ παρέχειν ἀμβλύτερον. ἡ μὲν οὖν χεὶρ τοσαύτη, καὶ τὰ πλείω τοῖς εἰδόσι παρήσομεν. ὥστε εἴ τι καὶ ἡμῖν μαρτυρεῖται τοιοῦτον, ἐξ ἐκείνης ἐστὶ τῆς πηγῆς, κἀκείνου μοῖρα τοῦ ῥεύματος. τίς δὲ μετὰ θεοῦ μᾶλλον, ἢ περὶ βήματι προσήγαγεν, ἢ τὰς κατ' αὐτοῦ ὕβρεις ἐζηλοτύπησεν, ἢ τὴν ἀνίερον σὺν φόβῳ τὴν ἱερὰν ἐκάθηρε τράπεζαν; τίς δ' οὕτως ἀῤῥεπεῖ γνώμῃ, ἐν σταθμοῖς δικαιοσύνης, ἢ δίκην ἔκρινεν, ἢ κακίαν ἐμίσησεν, ἢ ἀρετὴν ἐτίμησεν, ἢ τοὺς ἀρίστους προὐτίμησε; τίς μὲν οὕτως συγγνώμων τοῖς ἁμαρτάνουσιν, ἢ τοῖς εὐδρομοῦσι σύνδρομος; τίς δὲ μᾶλλον ῥάβδου καὶ βακτηρίας καιρὸν ἐπιστάμενος, τῇ βακτηρίᾳ τὸ πλεῖον νέμων; τίνος δὲ ὀφθαλμοὶ μᾶλλον ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τούς τε ἄλλους, καὶ ὅσοι θεῷ ζῶσιν ἐν μοναδικῷ βίῳ καὶ ἄζυγι, γῆν καὶ τὰ περὶ τὴν γῆν ἀτιμάσαντες; τίς δὲ πλέον, ἢ τῦφον ἐκόλασεν, ἢ ταπεινοφροσύνην ἠγάπησεν; καὶ ταύτην οὐκ ἐπιπλάστως, οὐδ' ἐξ ἐπιπολῆς, ὡς οἱ πολλοὶ τῶν νῦν προσποιουμένων φιλοσοφεῖν, καὶ κομψοὶ τὸ φαινόμενον, κατὰ τὰς ἀφρονεστάτας τῶν γυναικῶν, αἳ ἀποροῦσαι κάλλους οἰκείου, πρὸς τὰ χρώματα καταφεύγουσι, καὶ εἰσί πως, ὡς ἂν εἴποιμι, κοσμίως θεατριζόμεναι, δι' εὐσχημοσύνην ἀσχήμονες, καὶ δι' αἶσχος αἰσχρότεραι. οὐ γὰρ ἐν ἐσθῆτι τὸ ταπεινὸν ἦν αὐτῷ, ἀλλ' ἐν ψυχῆς καταστήματι. οὐδὲ θρύψις αὐχένος, ἢ φωνῆς ὕφεσις, ἢ προσώπου νεῦσις, ἢ βάθος ὑπήνης, ἢ κεφαλῆς ἐν χρῷ κόσμησις, ἢ βαδίσματος ἦθος τὸ ταπεινὸν ὑπεκρίνετο, τὰ πρὸς ὀλίγον συντιθέμενα, καὶ τάχιστα ἐλεγχόμενα. οὐ γὰρ ὃ προσποιητόν, οὐδὲ μόνιμον, ἀλλ' ἦν ὁ αὐτὸς ὑψηλότατος μὲν βίῳ, ταπεινότατος δὲ φρονήματι, καὶ τῇ μὲν ἀρετῇ ἀπρόσιτος, τῇ συνουσίᾳ δὲ λίαν εὐπρόσιτος. καὶ συνῄδεις μὲν, τὴν ἀμπεχόνην ἐπίσης φεύγων, καὶ ὑψηλὸν, καὶ τὸ ταπεινόν· ὑπὲρ δὲ κόλλους τῆς ἔνδον λαμπρότητα, καὶ γαστρὸς νόσον, καὶ ἀπληστίαν δαμάζων μὲν, εἰ καί τις ἄλλος, οὐ δεικνὺς δέ. τὸ μὲν ἵνα καθαίρηται, τὸ δὲ ἵνα μὴ ὑπεραίρηται, περὶ καινὸν θηρώμενος τὸ εὐδόκιμον. πολιτικοῦ μὲν γὰρ ὑπάρχειν εἶναι, πάντα ποιεῖν καὶ λέγειν, ἐξ ὧν εὐδοκιμήσει παρὰ τοῖς ἔξωθεν, ᾧ μηδὲν ἔστι τοῦ παρόντος βίου μακαριώτερον· πνευματικοῦ δὲ καὶ τοῦ καθ' ἡμᾶς, πρὸς ἓν μόνον βλέπειν, τὴν σωτηρίαν. καὶ ὃ μὲν ἂν εἰς τοῦτο φέρῃ, μέγα οἴεσθαι· ὃ δ' ἂν μή, διαπτύειν ὡς τοῦ μηδενὸς ἄξιον. καὶ διὰ τοῦτο, τὰ μὲν ὁρώμενα ἀτιμάζειν. ὅπως δ' ἂν ἐν τοῖς καλλίστοις εἴη, τοῦτο μόνον σκοπεῖν, καὶ ταύτῃ περὶ πολλοῦ ποιεῖσθαι, ἐξ ὧν αὐτός τε πλείστου ἄξιος ἔσται, καὶ τοὺς ἄλλους ἕλξει δι' ἑαυτοῦ πρὸς τὸ βέλτιστον. ὃ δὲ κάλλιστον τῶν ἐκείνου καὶ ἰδιώτατον, καὶ οὐδὲ τοῖς πολλοῖς ἀγνοούμενον, ἡ ἁπλότης, καὶ τὸ τοῦ ἤθους ἄδολόν τε καὶ ἀμνησίκακον. ἄλλος μὲν γὰρ ἄλλο τι τῶν παλαιῶν ἢ τῶν νέων κατορθωκέναι πιστεύεται, ὡς ἕκαστος ἔτυχεν ἐκ θεοῦ χαρίσματός τινος ἠξιωμένος. Ἰὼβ τὸ ἐν τοῖς πάθεσι καρτερικὸν καὶ ἀνάλωτον, Μωυσῆς καὶ Δαβὶδ τὸ πρᾷον, Σαμουὴλ τὸ χρηματίζειν, βλέπων τὰ ἔμπροσθεν· Φινεὲς τὸν ζῆλον, ἀφ' οὗ καὶ ὀνομάζεται. Παῦλος καὶ Πέτρος, τὸ σύντονον τοῦ κηρύγματος, οἱ τοῦ Ζεβεδαίου τὸ μεγαλόφωνον, ὃ καὶ βροντῆς υἱοὺς αὐτοὺς προσηγόρευσεν. καὶ τί ἂν καταριθμοίην ἅπαντας; ἐν γὰρ εἰδόσιν ὁ λόγος. στέφανος δὲ καὶ τοῦ ἐμοῦ πατρός, οὐδὲν οὕτως, ὡς τὸ ἀπόνηρον γνώρισμα. ὁ μὲν γὰρ οὐδὲ κινδυνεύων ἐμίσει τοὺς βάλλοντας, ἀλλ' ἐλιθάζετο μὲν ὑπὲρ δὲ τῶν λιθαζόντων ηὔχετο, ὡς Χριστοῦ μαθητής, ὑπὲρ οὗ καὶ τὸ πάσχειν ἦν αὐτῷ μεῖζον τοῦ θανάτου, καρποφορῶν περὶ θεοῦ τὴν μακροθυμίαν. περὶ δὲ οὐδὲν μέσον ἦν τῆς ἐπιπλήξεως καὶ τῆς ἀφέσεως, ὡς μικροῦ καὶ κλέπτεσθαι τὸ λυποῦν τῷ τάχει τῆς συγχωρήσεως. θεοῦ μὲν ὀργῆς τρυγίαν τινὰ καὶ πιστεύομεν καὶ ἀκούομεν, τὸ λεῖμμα τῆς κατὰ τῶν ἀξίων κινήσεως, ἐπειδὴ θεὸς ἐκδικήσεων κύριος. ἀλλὰ καὶ κλίνει διὰ φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, ἀλλ' οὐ παντάπασι συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα

μὴ τῇ χρηστότητι χείρους γίνωνται. ὁ δὲ οὐδὲν ὑπεκράτει τοῖς προσκρούουσι, καίτοι γε οὐδὲ παντάπασιν ἄτρωτος ἦν θυμῷ, κἂν τοῖς πνευματικοῖς μάλιστα, τῷ ζήλῳ νικώμενος. πλὴν εἴ που τύχοι, προεσκευασμένος καὶ ὡπλισμένος, καὶ ὡς πρὸς αἰτίαν ἄλλην τὸ λυπῆσον πόρρωθεν παρατεταγμένος. οὕτω δὲ, οὐδ᾽ αὖ μνησικακίᾳ μετεκινήθη. τὸ δὴ λεγόμενον, καὶ τοῦτο ἐκείνου ἦν ἴδιον τὸ πάθος. ὁ μὲν γὰρ θυμὸς ἦν αὐτῷ, οὐκ ἔχων τὴν ὁμοίωσιν τοῦ ὄφεως ἔνδοθεν ἀποσμύχων, καὶ πρὸς ἄμυναν εὐτρεπὴς, οὐδ᾽ εἰς ὀργὴν φθάνων ἐκ τοῦ πρώτου κινήματος, καὶ ἀντιδόσεως ἔφεσιν, ἀλλὰ κατὰ τὸ κέντρον τῆς μελίσσης, δίχα τοῦ θανατοῦν τὸ πλησσόμενον. τὸ δὲ φιλάνθρωπον ὑπὲρ ἄνθρωπον. βοηθοὶ πολλάκις ἠπειλοῦντο καὶ μάστιγες, ὧν οἱ παραστησόμενοι πλησίον. καὶ ὁ κίνδυνος, ἢ νώτων θλῖψις, ἢ παρειῶν ὕβρεις, ἢ πὺξ κατὰ δέρης, οὕτω τὴν ἀπειλὴν διελύετο. ἐσθὴς περιῃρεῖτο καὶ ἀποδύματα, καὶ κατὰ γῆς ὁ κακοῦργος, εἶτα ὁ θυμὸς οὐκ ἦν τὸν ἠδικηκότα, τὸν δὲ προθύμως ἀπουργήσαντα, ὡς κακῶν ὑπηρέτην. πῶς ἄν τις μᾶλλον ἐφάνη χρηστὸς ὢν, ἢ θεῷ δῶρα προσφέρειν ἄξιος; οὐ γὰρ ἔφθανε κεκινημένος πολλάκις, καὶ ὑπεραπελογεῖτο τοῦ κινήσαντος. συνθεὶς ὡς οἰκείοις, τοῖς ἐκείνου πταίσμασι. δέος ὑφίσταται μᾶλλον ἡλιακὴν ἀκτῖνα ἑωθινὰ βάλλουσαν, ἤ τι τηρούμενον ἐκείνῳ θυμοῦ λείψανον. ἀλλ᾽ ὁμοῦ τε ἐφθέγγετο, καὶ ὁ λόγος τοῖς ῥήμασι συναπήρχετο, μόνον ἀφεὶς τὸ φιλάγαθον. καὶ οὐ πρὸς ἥλιον φανεὶς μακρότερος, οὐδὲ τὴν ἀχλύουσαν καὶ φονιμωτέραν ὀργὴν γεωργήσας, ἤ τι τῆς ἑαυτοῦ κακίας εἴσω μείνας τῷ σώματι, τὸ δὲ γαλήνιον διασώζων κἂν τῷ κινήματι. τοιγαροῦν συνέβαινεν ἐκείνῳ τὸ παραδοξότατον, οὐ μόνῳ μὲν ἦν τιμᾶν, μόνῳ δὲ ὑπὸ τῶν ἐγκαλουμένων ἀγαπᾶσθαί τε καὶ θαυμάζεσθαι, νικῶντος τοῦ χρηστοῦ τὴν θερμότητα, καὶ ὄντως τιμιώτερον εἶναι τὸ, ὑπὸ δικαίου παιδεύεσθαι, ἢ ὑπὸ πονηροῦ καταλείφεσθαι. τοῦ μὲν γὰρ καὶ τὸ τραχὺ προσηνὲς διὰ τὴν ὠφέλειαν, τοῦ δὲ καὶ τὸ χρηστὸν ὕποπτον διὰ τὴν κακόνοιαν. καίτοι δὲ οὕτως ἔχων ψυχῆς καὶ ἤθους ἁπλοϊκοῦ καὶ θεοειδοῦς, ὅμως τι τοῖς ὑβρισταῖς καὶ φοβερὸς ἦν διὰ τὴν εὐσέβειαν, μᾶλλον δὲ, οὐδ᾽ ἄλλο τι τὸ πλῆττον ἦν, ἢ ἁπλότης καταφρονουμένη. οὔτε ἦν αὐτὸν εὐχῆς ἢ κατάρας προΐεσθαι ῥῆμα, καὶ μή τι δυνάμει πραγματικῆς, ἢ ἀγαθὸν διαρκὲς, ἢ λυπηρὸν πρόσκαιρον. τὸ μὲν γὰρ ἦν ἐκ βάθους ψυχῆς, τὸ δὲ ἐπὶ χείλεσι μόνον, καὶ πατρική τις ἐπίπληξις, πολλοῖς γέ τοι τῶν λελυπηκότων, οὐδὲ ὑπερήμερος ἀπήντησεν ἡ ἀντίδοσις, οὐδ᾽ ὀπισθόπους ἡ δίκη. τοῦτο δὴ τὸ ποιητικόν. ἀλλὰ περὶ αὐτὰ τὰ τῆς κινήσεως ἐπλήγησαν, ἐπεστράφησαν, προσῆλθον, ἐγονυπέτησαν, συγγνώμης ἔτυχον, ἀπῆλθον νενικημένοι καλῶς, ἀμείνους ἐγένοντο καὶ σωφρονισθέντες, καὶ συγγνωσθέντες. ἐπεὶ καὶ τὸ συγγνῶναι πολλάκις μέγα πρὸς σωτηρίαν, αἰδοῖ καταπεῖργον τὸν ἀδικήσαντα, καὶ μετάγον εἰς φίλτρον ἐκ φόβου, τὴν ἀσφαλεστέραν εὔνοιαν. ἐπαιδεύθησαν δὲ οἱ μὲν ὑπὸ βοῶν ἀναρριφθέντες, τῇ ζεύγλῃ τετρυχωμένων, καὶ ἀπαντησάντων ἀθρόως, οὔπω τοῦτο πρότερον πεπονθότων. οἱ δὲ ἵπποις σφενδονηθέντες καὶ συμπατηθέντες, τῶν εὐπειθεστάτων τε καὶ ἡμερωτάτων. οἱ δὲ πυρετοῖς ἀχρίτοις καταληφθέντες, καὶ φαντασίαις ὧν τετολμήκασιν. οἱ δὲ ἄλλως ἄλλο τι παιδαγωγηθέντες, καὶ μαθόντες τὴν ὑπακοὴν ἐξ ὧν ἔπαθον. ἀλλ᾽ οὖν τὸ μὲν ἦν ἐπιεικὲς τοσοῦτον αὐτῷ, καὶ οὕτω γνώριμον. ἐν τελείας δὲ, καὶ τῆς ἐστὶ τὸ πρακτικὸν ἀρετῆς, περιῆκεν ἑτέρῳ τὸ πλεῖον ἔχειν; οὐ δῆτα. ἀλλ᾽ ἦν ὁ αὐτὸς ἥμερος μὲν, εἰ καί τις ἄλλος, ἀνδρεῖος δὲ κατὰ τὸ ἥμερον. δύο γὰρ τούτων ὡς τὰ πολλὰ μαχομένων ἀλλήλοις, ὧν ἀντικαθισταμένων, ἁπλότητος καὶ τραχύτητος, καὶ τῆς μὲν τὸ ἥμερον ἐχούσης μετὰ τοῦ ἀπράκτου, τῆς δὲ τὸ πρακτικὸν δίχα τοῦ φιλανθρώπου, ἐκείνῳ συνῆλθε θαυμασίως ἀμφότερα. πράττειν μὲν, ὡς αὐστηρῷ μετὰ τῆς ἡμερότητος, ὑφίεσθαι δὲ, ὡς ἀπράκτῳ μετὰ τῆς ἐντελείας, ἐν προστασίαις, ἐν παρρησίαις, ἐν εἴδει παντὶ κυβερνήσεως. τὸ γὰρ τοῦ ὄφεως φρόνιμον ἐπὶ τὸ κακὸν, τῷ τῆς περιστερᾶς ἀκεραίῳ ἐπὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον εἴασε κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον, ἀλλ᾽ ἓν ἀρετῆς εἶδος, ὡς μάλιστα ἐνῆν, ἐξ ἀμφοτέρων ἀπηκριβώσατο. τὸν δὴ τοιοῦτον μὲν γεγονότα, οὕτω δὲ τῆς ἱερωσύνης προστάντα, τοιαύτης δὲ παρὰ πᾶσι δόξης τετυχηκότα, τί θαυμαστὸν καὶ σημείων ἀξιωθῆναι, οἷς βεβαιοῖ θεὸς τὴν εὐσέβειαν; ἓν δὲ τῶν περὶ ἐκεῖνον θαυμάτων, ἔκαμνεν ἀρρωστίᾳ, καὶ πονηρῶς εἶχε τοῦ σώματος. καὶ τί θαυμαστὸν, εἰ κακοπαθοῦσι καὶ ἅγιοι; εἴτε εἰς κάθαρσιν, καὶ τῆς μικρᾶς ἰλύος, εἴτε εἰς βάσανον ἀρετῆς, καὶ πεῖραν φιλοσοφίας, εἴτε εἰς παίδευσιν τῶν ἀσθενεστέρων ἐν ἐκείνοις μανθανόντων τὸ καρτερεῖν, ἀλλὰ μὴ ἐκκακεῖν τοῖς πάθεσιν. ἔκαμνεν οὖν, καὶ ὁ καιρὸς ἦν τὸ ἅγιον πάσχα καὶ περιβόητον, ἡ βασίλισσα τῶν ἡμερῶν ἡμέρα, καὶ ἡ λαμπρὰ νὺξ, λύουσα τὸ σκότος τῆς ἁμαρτίας, καθ᾽ ἣν ἡμεῖς ὑπὸ πλουσίῳ φωτὶ τὴν σωτηρίαν ἡμῶν αὐτῶν ἑορτάζομεν, καὶ τῷ φωτὶ δι᾽ ἡμᾶς νεκρωθέντι συννεκρωθέντες, καὶ ἀνισταμένῳ συνανιστάμεθα. ἐνταῦθα μὲν δὴ τοῦ καιροῦ τὸ πάθος. τὸ δὲ ἦν, ὡς ἐν βραχεῖ διηγήσασθαι, πυρετὸς μὲν σφοδρὸς καὶ διακαὴς, πᾶν τὸ βάθος συνέφλεγεν, ἡ δὲ δύναμις ἐπελελοίπει, τῶν σιτίων δὲ ἀπηνήνατο, ὕπνος δὲ ἀπελήλατο, ἀγρυπνία δὲ εἴχετο. καὶ παλμοῖς συνεκροτεῖτο. τὰ δ᾽ ἔσω τοῦ στόματος ἅπαντα, ἢ τὰ ὑπερῷα, καὶ ὅσον ὑπεραιώρηται, βαθέσι τοῖς ἕλκεσιν ἐξεβεβρώκει,

καὶ οὕτω

καὶ τοῦτο πικροῖς τε καὶ συνεχέσιν, ὥστε μηδὲ ὕδατι ῥᾴδιον εἶναι τὸν πόρον, μηδὲ ἀκίνδυνον. ἤκουν δὲ οὔτε ἰατρῶν τέχναι, οὔτε οἰκείων εὐχαὶ, καὶ λίαν προσλιπαρούντων, οὔτε θεραπεία πᾶσα προσαγομένη· ὁ μὲν δὴ ἐν τούτοις ἦν, τὰ ἔσω μικρὰ καὶ ἀπεγνωσμένα, καὶ μηδὲ τὸ παρὸν ἐπαισθανόμενος, ἀλλ' ὅλος τῆς ἐκδημίας ὢν, καὶ τὴν πάλαι ποθουμένην αὐτῷ καὶ ηὐτρεπισμένην. ἡμᾶς δὲ εἶχε τὸ ἱερὸν, μύστας ὁμοῦ καὶ ἱκέτας, ἐπειδὴ τῶν ἄλλων ἀπεγνώκειμεν ἀπάντων, πρὸς τὸν μέγαν ἰατρὸν καὶ τὴν τῆς νυκτὸς ἐκείνης δύναμιν καταφεύγοντας, καὶ τὴν τελευταίαν ἱκετεύειν. τί καὶ φασὶ ἑορτάσοντας, ἢ θρηνήσοντας, πανηγυρίσοντας, ἢ τιμήσοντας τὸν οὐκέτι ἐνταῦθα, τὰ ἐπιτάφια. ὢ τῶν δακρύων ἐκείνων, ἃ παρὰ παντὸς ἐχεῖτο τοῦ λαοῦ τηνικαῦτα. ὢ φωνῶν καὶ βοῶν καὶ ὕμνων, ταῖς ψαλμῳδίαις συγκιρναμένων. ἐζήτει παρὰ τοῦ ἱερέως τὸν ἱερέα· παρὰ τοῦ μυστηρίου, τὸν μυσταγωγόν· παρὰ τοῦ θεοῦ, τὸν ἄξιον προστάτην. καὶ ταῦτα ἦν, ἐξαρχούσης τῆς ἐμῆς μαρίας, καὶ ἀνακρουομένης τὸ τύμπανον, οὐ τὸ ἐπινίκιον, ἀλλὰ τὸ ἱκέσιον, καὶ τότε πρῶτον αἰσχυνομένης, μαθούσης ὑπὸ τοῦ πάθους, καὶ καταβοώσης τοῦ λαοῦ τε ὁμοίως καὶ τοῦ θεοῦ. τοῦ μὲν, συναλγεῖν παρακαλούσης, καὶ προσφιλοτιμεῖσθαι τοῖς δάκρυσι, τοῦ δὲ εἰσακούειν τῶν δεομένων, παρ' ἣν οὖσαν τὴν πρὸ τούτου θαυματουργίαν. καὶ γὰρ εὑρετικὸν τὸ πάθος, ὑπομιμνήσκουσα. τί οὖν ἐνταῦθα ὁ τῆς νυκτὸς ἐκείνης, καὶ τῶν ἡμῶν θεός; φείσασθαί μοι ἔπρεπεν τοῖς ἑξῆς προσιόντι τοῦ διηγήματος. φείσαισθε δὲ καὶ ὑμεῖς οἱ ἀκούοντες. μὴ ἀπιστοίητε δὲ, οὐ γὰρ ὅσιον, ἡμῶν καὶ περὶ ἐκείνου διηγουμένων. παρῆν ὁ τοῦ μυστηρίου καιρὸς, καὶ ἡ σεβάσμιος στάσις καὶ τάξις, τοῖς τελουμένοις ἐφησυχάζουσα. ὁ δὲ παρὰ τοῦ ζωοποιοῦντος τῶν νεκρῶν, καὶ τῆς ἱερᾶς νυκτὸς, διανίσταται, μικρὸν ὑποκινεῖται πρῶτον, εἶτα στερρότερον. εἶτα καλέσας τῶν παραμενόντων τινὰ θεραπευτῶν ἐξ ὀνόματος μικρᾷ ταύτῃ καὶ ἀμυδρᾷ τῇ φωνῇ, παρεῖναί τε καὶ ὀρέγειν ἐσθῆτα, καὶ χεῖρα ὑπέχειν ἐκέλευσε. καὶ ὃς παρῆν μετ' ἐκπλήξεως, καὶ ὑπηρέτει προθύμως. καὶ ὃς ὡς βακτηρίᾳ τῇ χειραγωγίᾳ χρησάμενος, μιμεῖται τὸν ἐπὶ τοῦ ὄρους μωυσέα, καὶ τὰς παρειμένας χεῖρας εἰς εὐχὴν σχηματίσας, συντελεῖ προθύμως ἢ προτελεῖ τοῦ λαοῦ τὰ μυστήρια. ῥήμασι μὲν ὀλίγοις, καὶ ὅσοις ἔσθενε, διανοίᾳ δὲ ὡς ἐμοὶ δοκεῖ, καὶ λίαν τελεωτάτῃ. ὢ τοῦ θαύματος, ἄνευ βήματος, ἐπὶ βήματος, ἄνευ θυσιαστηρίου, θύτης. ἱερεὺς, πόρρω τῶν τελουμένων. ἀλλὰ ταῦτα παρὴν αὐτῷ παρὰ τοῦ ἁγίου πνεύματος, αὐτῷ μὲν γινωσκόμενα, τοῖς παροῦσι δὲ οὐχ ὁρώμενα. εἶτα ἐπειπὼν τὰ τῆς εὐχαριστίας ῥήματα οὕτως, ὡς σύνηθες, καὶ τὸν λαὸν κατευλογήσας, πάλιν τῆς κλίνης γίνεται, τροφῆς τε μικρόν τι προσάμενος, καὶ ὕπνου μεταλαβὼν, ἀνακαλεῖται τὸ πνεῦμα, καὶ ταῖς κατὰ μικρὸν προσθήκαις, τῆς ὑγιείας συναυξηθείσης, ἡ καινὴ παρῆν ἡμέρα τῆς ἑορτῆς, ἣν οὕτως ὀνομάζομεν, πρώτην κυριακὴν, μετὰ τὴν ἀναστάσιμον ταύτην ἐλθόντος, καὶ τὸ ἱερὸν καταλαβὼν, σὺν παντὶ τῷ τῆς ἐκκλησίας πληρώματι, ἐγκαινίζει τὴν σωτηρίαν, καὶ θύει τὰ χαριστήρια. καί μοι τί τοῦτο τὸ ἔργον, τοῦ περὶ τὸν ἐζεκίαν θαύματος ἀτιμότερον, ὃν ἀσθενήσαντα καὶ δεηθέντα, προσθήκῃ ζωῆς ὁ θεὸς ἐδόξασεν; καὶ τοῦτο ἐγνώρισε τῇ σκιᾷ τῶν ἀναβαθμῶν ἐπαναχθείσῃ κατὰ τὴν αἴτησιν τοῦ σωθέντος, ὁμοῦ τε τῇ χάριτι, καὶ τῷ σημείῳ τὸν βασιλέα τιμῶν, καὶ τῇ προσθήκῃ τῆς ἡμέρας, τὴν τῶν ἡμερῶν προσθήκην πιστούμενος. τὸ δ' αὐτὸ καὶ περὶ τὴν μητέρα τὴν ἐμὴν συνηνέχθη θαῦμα, οὐ μικρὸν ὕστερον, ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν. ταύτην τε γὰρ τὰ εἰκότα τιμήσομεν, εἴ πέρ τινα οἴδαμεν τιμῆς ἀξίαν, ἐκείνῳ τε χαριούμεθα τῇ κοινωνίᾳ τοῦ διηγήματος. ἄπειρος γὰρ ἡ ἐκείνης ἀῤῥωστία, τῆς πάντα καρτερικῆς καὶ γενναίας, καὶ αἰδέσιμος, εἰς ἅπαντα χρόνον. πολλῶν δὲ ὄντων τῶν λυπούντων, ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, ἡ ἀτροφία τὸ βαρύτατον ἦν, ἐπὶ συχνὰς ἡμέρας τοῦτο κινδυνευούσης, καὶ μηδὲν εὑρισκούσης τοῦ κακοῦ φάρμακον. πῶς οὖν τρέφει ταύτην θεός; οὐ μάννα βρέξας, ὡς τὸ πάλαι τὸν ἰσραὴλ, ἢ πέτραν ῥήξας, ἵνα πηγάσῃ λαῷ διψῶντι. ἢ κόρακας ἐπιστήσας, ὡς τὸν ἠλίαν ἐκεῖνον, ἢ προφήτην μεταρσίως κορέσας, ὡς τὸν δανιὴλ πρότερον ἐν λάκκῳ λιμώττοντα. τίνα δὲ τρόπον; ἔδοξεν ἐμὲ τὸν αὐτῇ φίλτατον. προετιμᾶτο γὰρ ἡμῶν ἄλλος οὐδὲ ἐν ὀνείρῳ, ἀθρόως ἐπιστάντα νυκτὸς, μετὰ κανοῦ καὶ ἄρτων τῶν λαμπροτάτων, ἐπευξάμενόν τε αὐτοῖς, καὶ σφραγίσαντα, ὥσπερ φίλος ἡμῖν, θρέψαι τε καὶ ῥῶσαι, καὶ συναγαγεῖν τὴν δύναμιν. καὶ ἡ τῆς νυκτὸς ὄψις, ἔργον ἦν ἀληθείας. ἐξ ἐκείνου γὰρ ἑαυτῆς γίνεται, καὶ τῆς χρηστοτέρας ἐλπίδος. τὸ δὲ, τοῦτο δῆλον οἱ ἀργεῖ, καὶ φανερῷ γενέσθαι γνωρίσματι. ἐπειδὴ γὰρ τῆς ἡμέρας ὑπηλλαχυίσης, εἰσελθὼν τότε πρὸς αὐτὴν ὄρθριος, πρῶτον μὲν φαιδροτέραν ἢ πρόσθεν ἐθεασάμην. ἔπειτα, πῶς ἡ νὺξ, καὶ ὅτου δέοιτο, τὰ συνήθη δὴ ταῦτα, ἐπυνθανόμην, σύ με ἔθρεψας, φησιν, ὦ τέκνον μάλα ἑτοίμως καὶ χαλεπῶς, ἔπειτα ἐρωτᾷς τὸ, πῶς ἔχοιμι. λίαν καλῶς τε καὶ φιλανθρώπως. καὶ ἅμα κατένευον αἱ θεραπαινίδες, πρὸς τοῦτο μὴ ἀντιτείνειν, ἀλλ' ἑτοίμως δέχεσθαι τὴν ἀπόκρισιν, μὴ ἀθυμίᾳ καταβληθείη. γυμνωθείσης τῆς ἀληθείας. ἐν ἔτι προσθήσω τῶν κοινῶν ἀμφοτέροις. πλέον τί μοι τὸ παρθενικὸν πέλαγος, ἀπὸ τῆς ἀλεξανδρέων ἐπὶ τὴν ἑλλάδα, ἔπλεον δὲ παραβόλως ἔξω τῆς ὥρας,

ὥρας, ὅτε τοῦ πόθου πείθοντος, ἐπὶ νηὸς Αἰγιναίας. τοῦτο γάρ με καὶ μάλιστα πείθει, ὡς οἰκείοις προσδραμόντα τοῖς ἄγουσι. πλέον τι δὲ οὖν ὡς ὀλίγον ἀνήχθημεν, ὁ ἐκ τοῦ συμπίπτει χειμών, καὶ οὐδὲ μὴ πολλῶν πρότερον μνημονεύειν εἶχον, ὡς ἔφασκον, οἱ συμπλέοντες. πάντων δὲ τὸν κοινὸν θάνατον δεδοικότων, ὁ τῆς ψυχῆς ἦν ἐμοὶ φοβερώτερος. ἐκινδύνευον γὰρ ἄθλιος ἀπελθεῖν καὶ ἀτέλεστος, ποθῶν τὸ πνευματικὸν ὕδωρ ἐν τοῖς φονικοῖς ὕδασι. διὰ τοῦτο ἐβόων, ἱκέτευον, ἐπόθουν μικρὰν προθεσμίαν, καὶ συνεβόων οἱ συμπλέοντες. καὶ τοῦτο ἐν τοῖς κοινοῖς κινδύνοις, ὡς οὐδὲ τῶν ἐπιτηδείων τινὲς, ξένοι φιλάνθρωποι, τὸ συναλγεῖν μαθόντες ἐκ τῶν κινδύνων. τοῦτο ἔπασχον μὲν ἐγὼ, συνέπασχον δὲ οἱ γεννήτορες, διὰ νυκτερινῆς φαντασίας τὸν κίνδυνον μαθόντες, καὶ ἀπὸ γῆς ἐβοήθουν, τὸ κῦμα δι' εὐχῆς κατεπράϋνον, ὡς ὕστερον συμβαλόντες ἔγνωμεν, τὸν καιρὸν, ἡνίκα ἐπανήλθομεν. τοῦτο καὶ ἡμῖν ἐδήλωσεν ὕπνος σωτήριος, ἐπειδή ποτε τοῦτο ἔγνωμεν μικρὸν ὑπανέντος τοῦ κλύδωνος. Ἐρινύος ἐκράτουν ἐγὼ φοβερὸν βλεπούσης, καὶ ἀπειλούσης τὸν κίνδυνον. ταύτην γὰρ ἡμῖν σαφῶς ἡ νὺξ ὑπέγραφεν. ἄλλος ἐδόκει τῶν ἐμπλεόντων, ἦν δὲ παῖς τῶν εὐνουστάτων ἐμοὶ καὶ φιλτάτων, καὶ ὑποδραχνιώντων, οὕτως ἔχοντος, τὴν μητέρα τὴν ἐμὴν ἐπιβαίνειν τῆς θαλάσσης, καὶ τὴν ναῦν λαβομένην, ἐξέλκειν ταύτην ἐπὶ τὴν γῆν, οὐ σὺν πολλῷ τῷ πόνῳ. καὶ ἡ ὄψις ἐπιστεύετο, ἡμέρου τε γὰρ ἡ θάλασσα, καὶ ῥᾷον εἶχεν ἡμᾶς αὐτίκα, οὐ πολὺ τὸ ἐν μέσῳ κακοπαθήσαντας. ἐκείνῳ τῷ κινδύνῳ δι' ἡμᾶς δῶρον γεγόναμεν, καθυποσχόμενοι, εἰ σωθείημεν, ἡμᾶς αὐτοὺς τῷ θεῷ, καὶ δεδωκότες ὡς ἐσώθημεν. τὰ μὲν δὴ κοινὰ τοιαῦτα. πάλαι δὲ οἶμαι θαυμάζειν τινὰς τῶν τὰ ἐκείνου σαφῶς ἐγνωκότων, ὅτι περὶ μὲν τούτων οὕτω κατατεινόμεθα, ὡς μόνα πρὸς εὐφημίαν ἐχόντων, τῶν δὲ καιρῶν δυσχερείας τὴν μνήμην ἀνεθέμεθα, πρὸς οὓς παραταξάμενος ἐκεῖνος φαίνεται, ὥσπερ ἢ ἀγνοήσαντες ταῦτα, ἢ μὴ μεγάλα νομίζοντες. φέρε δὴ καὶ ταῦτα προσθῶμεν τοῖς εἰρημένοις. ἦν ἐγγὺς ὁ καθ' ἡμᾶς καιρὸς πρῶτον καινὸν, οἶμαι δὲ καὶ τελευταῖον, τὸν ἀποστάτην καὶ τοῦ θεοῦ καὶ τῶν λογισμῶν βασιλέα, ὃς μικρὸν μὲν ἔργον ἐγνωσμένος ἦν Πέρσας χειρώσασθαι, μέγα δὲ τὸ Χριστιανοὺς παραστήσασθαι, καὶ ἅμα τῶν ἀγόντων αὐτὸν δαιμόνων τοῦτο πειθόντων, οὐδὲν εἶδος ἀσεβείας ἐλέλοιπε. πείθων, ἀπειλῶν, σοφιζόμενος, ἕλκων πρὸς ἑαυτὸν οὐ μόνον οἷς ἐτεχνάζετο, ἀλλὰ καὶ οἷς ἐβιάζετο. οὐ μὴν λαθεῖν οἷός τε ἦν, κλέπτων τὸν διωγμὸν σοφιστικαῖς ἐπινοίαις, οὐδὲ μὴν καὶ φανερῶς τῇ δυναστείᾳ χρώμενος, ἵν' ἐνί γε τῷ τρόπῳ πάντως ἁλῶμεν, ἢ κατασκευασθέντες, ἢ βιασθέντες. τοῦτον τίς μᾶλλον ἢ περιεφρόνησε, ἢ κατέλυσε εὐεἰσακτοτάτως; τῶν δὲ οὖν περιφρονήσεως πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο σημεῖον, οἵ τε τοξόται, καὶ ὁ τούτων στρατηγὸς, ὃς ἐπῆγεν ἐκεῖνος τοῖς ἱεροῖς οἴκοις ἡμῶν, ὡς ἢ παραληψόμενος, ἢ κατασκαψόμενος. ἐπειδὴ γὰρ πολλοῖς προσβαλὼν ἄλλοις, κἀνταῦθα ἧκε μετὰ τῶν ἴσων φρονημάτων, καὶ τὸ ἱερὸν ἐξῄτει μετὰ τῶν προσταγμάτων, τοσοῦτον ἀπέσχε τοῦ τι κατα πράξασθαι ὧν ἐβούλετο, ὥστε εἰ μὴ θᾶττον ὑπεκλίθη τῷ ἐμῷ πατρὶ, ἢ παρ' ἑαυτοῦ συνεὶς, ἢ τινὸς συμβουλεύσαντος ἀκούσας, κἂν οὐδὲ πόδας ἐξανθεὶς ἀπηλλάγη, ζέσαντος ἐπ' αὐτῷ θυμῷ καὶ ζήλῳ περὶ τοῦ ναοῦ τοῦ ἱερέως. τὸ κατὰ Ἰουλιανὸν δὲ, πῶς ἄν τις μᾶλλον φανείη πραγματευσάμενος, ἢ δημοσίᾳ μὲν εὐχαῖς καὶ δεήσεσι πανδήμοις βάλλων τὸν ἀλιτήριον, καὶ οὐδὲ τὸν καιρὸν εὐλαβούμενος, ἰδίᾳ δὲ τὴν νυκτερινὴν παράταξιν κατ' αὐτοῦ προβαλλόμενος, χαμευνίαν μὲν, τὰς γηραιὰς ἐκείνας, καὶ δεδωδρας(?) κατατρύχων σάρκας, δάκρυσι δὲ πηγάζων τὸ ἔδαφος, μικροῦ καὶ εἰς ἐνιαυτὸν ὅλον, καὶ τοῦτο δὲ τὴν κρυπτὴν γνώστῃ μόνῳ φιλοσοφῶν. ἡμᾶς δὲ λανθάνειν ἐπιχειρῶν, ἀλλ' οὐκ ἀντιπίδεικεν(?), ὥσπερ ἔφην, τῆς εὐλαβείας. καὶ λαβὼν ἂν ἦν παντάπασιν, εἰ μή ποτε ἀθρόως ἐπεισελθὼν ἐγὼ, καὶ χαμευνίας σύμβολα θεασάμενος, καὶ τὴν περὶ αὐτὸν πυθόμενος τίνα ταῦτα ἦν, ἔγνων τῆς νυκτὸς τὸ μυστήριον. ἕτερον δὲ τοῦ αὐτοῦ καιροῦ καὶ τῆς αὐτῆς ἀνδρείας διήγημα. ἐστασίαζον ἡ καισαρέων πόλις περὶ προβολὴν ἀρχιερέως, τοῦ μὲν ὑπεξελθόντος, τοῦ δὲ ἐπιζητουμένου, καὶ ἡ στάσις θερμὴ, καὶ μὴ ῥᾳδίαν τὴν λύσιν ἔχουσα. φύσει τε γὰρ ἔστι τοῦτο μάλιστα, στασιώδης ἡ πόλις θερμότητι τῆς πίστεως, καὶ τὸ τῆς καθέδρας ἐπίδοξον, πλείω τὴν φιλονεικίαν εἰργάζετο. τοῦτ' ἦν, καὶ παρῆσαν τῶν ἐπισκόπων τινὲς τὸν ἀρχιερέα δώσοντες. ὡς δ' εἰς πλείους τὸ δῆμος διῃρεῖτο, καὶ ἄλλων ἄλλον προβαλλομένων, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν, ὡς ἕκαστος ἔτυχεν ἢ φιλίαν πρός τινας ἔχων, ἢ πρὸς θεὸν εὐλάβειαν, τέλος συμφρονήσας ὁ δῆμος ἅπας, ἕνα πρῶτον τῶν ἐν αὐτοῖς εἶναι, βίῳ μὲν ἐξειλεγμένον, οὔπω δὲ τῷ θείῳ βαπτίσματι κατεσφραγισμένον, τοῦτον ἄκοντα συναρπάσαντες, καὶ ἅμα στρατιωτικῆς χειρὸς συλλαβομένης αὐτοῖς τηνικαῦτα ἐπιδημούσης, ἐπὶ τὸ βῆμα ἄγουσι, καὶ τοῖς ἐπισκόποις προσάγουσι. τελεσθῆναί τε ἠξίουν, καὶ κηρυχθῆναι, πειθοῖ βίαν ἀναμίξαντες. οὐ λίαν μὲν εὐτάκτως, λίαν δὲ πιστῶς καὶ διαπύρως. κἀνταῦθα οὐκ ἔστιν εἰπεῖν, ὅν τινα ἢ δοκιμώτερον ἐκείνου καὶ θεοσεβέστερον ἐδίδαξεν ὁ καιρός. τί γὰρ γίνεται; καὶ τί πρὸς ἄλλον ἡ στάσις; ἐβιάσθησαν, ἠγίασαν, ἀνεκήρυξαν, ἐπὶ τὸν θρόνον ἔθεσαν, χειρὶ μᾶλλον ἢ γνώμῃ, καὶ διαβήσεται πνεύματος, ἐδέχθη δὲ

τοῖς μετὰ ταῦτα. ὡς γὰρ ἀπηλλάγησαν ἄσμενοι, καὶ γνώμης ἐγένοντο κύριοι, βουλὴν βουλεύονται σὺν ἀλλήλοις, οὐκ οἶδα μὲν εἰ πνευματικήν, βούλονται δ' ὅμως μηδένα κύριον ἡγεῖσθαι τῶν πραγμάτων, μηδὲ τὴν κατάστασιν ἐγκρίνειν, τήν τε βίαν ἐπεγκαλοῦντες αὐτῷ, μηδὲν ἧττον βιασθέντι, καὶ ῥώμην λαμβανόμενοι τινῶν, ὡς εἰρημένων τοιοῦτό ποτε πιστότερον, ἢ σοφώτερον. οὐ μὴν ὁ μέγας ἀρχιερεύς, καὶ δίκαιος τῶν πραγμάτων ἐξεταστής, ἢ συναπήχθη τοῖς ταῦτα βουλευομένοις, ἢ τὴν γνώμην ἐπῄνεσεν. ἀλλ' ἔμενεν ἀκλινὴς καὶ ἀκίνητος, οὐδέν γε ἧττον, ἢ μηδὲ βιασθεὶς ὅλως. χρῆναι γὰρ κοινῆς οὔσης τῆς βίας, ἢ κατηγοροῦντας αὐτῇ κατηγορεῖσθαι, ἢ ἀφιέντας ἀφίεσθαι, ἢ τό γε δικαιότερον, μὴ ἀφιέντας ἀφίεσθαι. εἰ μὲν γὰρ αὐτοὺς εἶναι συγγνώμης ἀξίους, κἀκεῖνον πάντως. εἰ δὲ μηδαμῶς ἐκεῖνον, χαλεπὸν αὖ αὐτούς. πολλῷ γὰρ βέλτιον εἶναι, τότε κινδυνεύειν καὶ ἀντιτείνειν μέχρι παντός, ἢ ὕστερον ἐπιβουλεύειν, καὶ τοῦτο περὶ καιρὸν μάλιστα, ἡνίκα καὶ τὰς οὔσας ἔχθρας καταλύειν ἄμφοιν ἦν, ἢ τὰς οὐκ οὔσας ποιεῖν. εἶχε γὰρ οὕτως. ἐπῆν μὲν ὁ βασιλεὺς βρέμων χριστιανοῖς, δι' ὀργῆς δὲ ἡ χειροτονία, ἠπειλεῖτο δὲ ὁ προβληθείς, ἐπὶ ξυροῦ δὲ ἡ πόλις, ἢ μηκέτ' εἶναι μετὰ τὴν ἡμέραν ἐκείνην, ἢ παροξυνθῆναι, καὶ τινος φιλανθρωπίας τυχεῖν. προσεγεγένει γὰρ οἷς ἔπραξεν τοῦτο τῆς τύχης, ἐν καιρῷ τῆς εὐτυχίας περιλυθείσης, καὶ ἡ περὶ τὸν ἄνδρα καινοτομία, ὡς τῶν δημοσίων σεσυλημένων. ἐζήτει δὲ ὁ τοῦ ἔθνους ἄρχων, ὃς χαρίζεται τῷ καιρῷ, κἀκεῖνόν τι διαθεῖναι κακόν, οὐδὲ ἄλλως πρὸς αὐτοὺς ἔχων ἐπιτηδείως, ἀλλ' ὡς ἐξ ἀντιπολιτείας διάφορος ὤν. ἐκάλει δὲ δι' ἐπιστολῶν τοὺς χειροτονήσαντας ὡς κατηγορήσοντας, οὐκ ἔτι ἀπραγμόνως, ἀλλ' ἤδη τι καὶ ἀπειλὰς προστιθείς, ὡς τοῦτο ἀπαιτοῦντος τοῦ βασιλέως. τότε τοίνυν καὶ πρὸς αὐτὸν ἐλθούσης ἐπιστολῆς, οὐδὲ δείσας, οὐδὲ μικρὸν ἐπισχών, σκοπῶμεν τὴν παρρησίαν ὅση καὶ μεθ' ὅσου τοῦ πνεύματος, ἐκ τῶν ἀπεσταλμένων, ἡμεῖς φησιν ὦ κράτιστε ἡγεμών, πάντων τῶν πραττομένων ἔχομεν ἐξεταστὴν ἕνα καὶ βασιλέα, τὸν νῦν πολεμούμενον, ἐκεῖνος καὶ τὴν νῦν ἐξετάσει χειροτονίαν, ἣν ἔνθεσμον καὶ φίλην αὐτῷ πεποιήμεθα. ὑμῖν δὲ ἄλλο μέν τι βιάζεσθαι βουλομένοις, καὶ πάνυ ῥᾷστον. τοῦτο δὲ οὐδεὶς ἡμᾶς ἀφαιρήσεται, τὸ συνηγορεῖν, ὡς ὀρθῶς καὶ δικαίως πεπραγμένοις, τοῖς πεπραγμένοις, εἰ μὴ καὶ τοῦτον θείητε τὸν νόμον, οἷς οὐ θεμιτὸν παρακύπτειν εἰς τὰ ἡμέτερα. τοῦτο τὸ γράμμα καὶ αὐτὸς ἐθαύμασεν ὁ δεξάμενος, εἰ καὶ πρὸς ὀλίγον ἐχαλέπηνεν, ὡς οἱ πολλοὶ τῶν τὰ ἐκείνου καλῶς γινωσκόντων ἀπήγγελλον. τοῦτο καὶ βασιλέως τὴν ὁρμὴν ἔστησε, καὶ τοῦ κινδύνου τὴν πόλιν ἀπήλλαξεν. οὐ φαῦλος δ' ἂν προσθείην, ὅτι καὶ τῆς αἰσχύνης ἡμᾶς. τοῦτο τοῦ μικροπολίτου τὸ ἔργον, καὶ τοῦ καθέδρας τὰ δεύτερα ἔχοντος. ἆρ' οὐ πολλῷ βέλτιον, οὕτω προεδρεύειν, ἢ ἀπὸ τῶν ὑψηλοτέρων θρόνων φθέγγεσθαι; καὶ κρατεῖν ἐν τοῖς πράγμασι μᾶλλον, ἢ τοῖς ὀνόμασιν; ὃ δὲ τελευταῖον μὲν τῇ ἐκείνου τάξει, πρῶτον δὲ τῇ δυνάμει καὶ μέγιστον, τίς οὕτως ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης, ὥστε ἀγνοεῖν; ἐστασίαζε πάλιν ἡ αὐτὴ πόλις ἐπὶ τοῖς αὐτοῖς, τάχιστα προσληφθέντος τοῦ καλῶς βιασθέντος, καὶ πρὸς θεὸν ἐκδημήσαντος, ὑπὲρ οὗ γενναίως καὶ ἀνδρικῶς ἐν τοῖς διωγμοῖς ἠγωνίσατο. καὶ ἡ στάσις ἦν, ὅσῳ θερμοτέρα, τοσούτῳ καὶ ἀλογωτέρα. οὐ γὰρ ἠγνοεῖτο τὸ ὑπέραιρον, ὥσπερ οὐδ' ἐν ἄστρασιν ἥλιος, ἀλλὰ καὶ λίαν ἐπίδηλον ἦν, τοῖς τε ἄλλοις ἅπασι, καὶ τοῦ λαοῦ μάλιστα τῷ ἐγκρίτῳ τε καὶ καθαρωτάτῳ. ὅσον τε περὶ τὸ βῆμα, καὶ ὅσον ἐν τοῖς καθ' ἡμᾶς ναζιραίοις, ἐφ' οἷς ἔδει τὰς τοιαύτας προβολὰς κεῖσθαι μόνοις, ἢ ὅτι μάλιστα. καὶ οὐδὲν ἂν ἦν ταῖς ἐκκλησίαις κακόν, ἀλλὰ μὴ τοῖς εὐπορωτάτοις τε καὶ δυνατωτάτοις, ἢ φορᾷ δήμου καὶ ἀλογίᾳ, καὶ τούτου αὐτοῦ μάλιστα τοῖς εὐωνοτάτοις. νῦν δὲ κινδυνεύω τὰς δημοσίας ἀρχὰς εὐτακτοτέρας ὑπολαμβάνειν τῶν ἡμετέρων, αἷς ἡ θεία χάρις ἐπιφημίζεται, καὶ βελτίω τὸν τούτων διοικητὴν φόβον, ἢ λόγον. ἐπεὶ τίς ἂν ἐπ' ἄλλον ἦλθε, τῶν εὖ φρονούντων, σὲ παραλιπὼν ὦ θεία καὶ ἱερὰ κεφαλή; τὸν ἐπὶ τῶν χειρῶν κυρίου ἐζωγραφημένον, τὸν ἄζυγα, τὸν ἀκτήμονα, τὸν ἄσαρκον, μικροῦ καὶ ἀναίμονα, τὸν ἐν λόγοις μετὰ τὸν λόγον, τὸν ἐν φιλοσόφοις σοφόν, τὸν ἐν κοσμικοῖς ὑπερκόσμιον, τὸν ἐμὸν ἑταῖρον καὶ συνεργόν, τὸν συμμεριστὴν τῆς ψυχῆς, ἵν' εἴπω τι τολμηρότερον, καὶ βίου κοινωνὸν καὶ παιδεύσεως. ἐβουλόμην ἐλευθερίαν ἔχειν τὸν λόγον, ἐν ἄλλοις [illegible] γράφοις, ἀλλὰ μὴ παρόντος σου τὰ τοιαῦτα ἐξετάζεσθαι, καὶ ὑφίεσθαι τὰ πλείω διὰ [illegible]κείας ὑπόνοιαν. ἀλλ' ὃ μοι λέγειν ὁ λόγος ὥρμησεν, τὸ πνεῦμα μὲν ᾔδει τὸν ἑαυτοῦ. πῶς γὰρ [illegible]; ἀντεστάτει δὲ ὁ φθόνος. τὸ δὲ ὃ καὶ αἰσχύνομαι λέγειν, εἴθε δὲ μηδ' ἄλλων λεγόντων ἀκού[illegible] ἦν, καὶ κωμῳδούντων ἐπιμελῶς τὰ ἡμέτερα. τοῦτο μὲν οὖν καθάπερ οἱ ποταμοὶ τῶν π[illegible]ρῶν τὰς ἐν μέσῳ τῷ ῥεύματι παραδράμωμεν, σιωπῇ τιμῶντες τὰ λήθης ἄξια, αὐτοὶ δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου προΐωμεν. ᾔδει τὰ τοῦ πνεύματος ἀκριβῶς ὁ τοῦ πνεύματος, καὶ διὰ τοῦτο μηδὲ ταπεινὸν φρονεῖν ᾤετο δεῖν, μηδὲ κατὰ συστάσεις καὶ προλήψεις μάχεσθαι, χάριτι πλέον, ἢ θεῷ νέμοντας, ἀλλὰ πρὸς ἓν βλέπειν μόνον τὸ τῆς ἐκκλησίας ὄφελος, καὶ τὴν κοινὴν σωτηρίαν. διὰ τοῦτο ἔγραφεν, ἐνουθέτει, συνήρμοζε τὸν λαόν, τοὺς ἱερέας, τούς τε ἄλλους, καὶ ὅσοι τοῦ βήματος. διεμαρτύ-

ἔργον, ἐκράτει, ἐχειροτόνει, καὶ μήπω πρὶν, οὐδὲ τῇ πολιᾷ τὸ αὐθεντεῖν, ὡς οἰκείοις, τοῖς ἀλλοτρίοις. καὶ τέλος, ἐπειδὴ κανονικὴν ἔδει γενέσθαι τὴν χειροτονίαν αὐτοῦ, λείποντος ἑνὸς τῶν ἀριθμῷ τῷ ἀνακηρύξοντι, τὸ σῶμα πρὸς ἑαυτὸν ἀναρπάσας, γήρᾳ καὶ νόσῳ συμπεπιεσμένος, ἐπιδημεῖ τῇ πόλει γενναίως ἔτι, μᾶλλον δὲ φέρεται νεκρῷ τῷ σώματι, καὶ μικρὰ πνέοντι. καλὸν ἐντάφιον αὐτῷ κἂν εἴ τι δέοι παθεῖν, τὴν σπουδὴν ἐκείνην ἔσεσθαι πεπεισμένος. γίνεται δὲ καὶ ἐνταῦθα σημεῖον οὐκ ἀπιστούμενον, ῥώννυται τῷ πόνῳ, νεάζει τῇ προθυμίᾳ, οἰκονομεῖ, παρατάσσεται, τίθησι τὸν θρόνον, προπέμπεται οὐκ ἐπὶ σορῷ τῷ φορείῳ, κιβωτῷ δὲ θείᾳ χρησάμενος. ἣν δὲ ἄρτι μακροθυμίαν ἐπῃνοῦν ἐπαινουμένην, ταύτην ἐνταῦθα καὶ πλέον ἐδείκνυεν. οὐ γὰρ φθόνον τῶν συλλειτουργῶν τὴν αἰσχύνην τῆς ἥττης, καὶ τὴν ἐν τοῖς πράγμασι τοῦ γέροντος δυναστείαν, καὶ διὰ τοῦτο δυσχεραινόντων αὐτῷ καὶ λοιδορουμένων, ἴσμεν οἷς ἐκαρτέρει καὶ τοῦτο ὑπὸ αὐτῶν γενέσθαι, μέγιστον εὑρὼν εἰς συμμαχίαν τῆς ἐπιεικείας, καὶ τὸ μὴ ἀντιλοιδορεῖν λοιδορούμενος. τί γὰρ ἔστι δεινὸν, ἐν τοῖς πράγμασι νικήσαντα, φθόνῳ τῇ γλώσσῃ νικώμενος. τοιγαροῦν οὕτω κἀκείνους εἷλε τῇ μακροθυμίᾳ, προσλαβὼν καὶ τὸν χρόνον τῆς γνώμης σύμμαχον. ὥστε ἀπελογοῦντο, προσέπιπτον, μεταβάλλοντες εἰς θαῦμα τὴν ἀγανάκτησιν, καὶ ᾐσχύνοντο τοῖς προτέροις, ἐκ χρόνου πατριάρχης καὶ νομοθέτης καὶ δικαστὴς, τὸ μισεῖν ἀπερρίψαντες. τοῦ δὲ αὐτοῦ ζήλου, καὶ ἡ κατὰ τῶν αἱρετικῶν ἔνστασις, ἡνίκα ἐπεστράτευσεν ἡμῖν μετὰ τῆς βασιλικῆς ἀσεβείας, ὡς καταστρεψόμενοι καὶ ἡμᾶς, καὶ τοῖς ἄλλοις προσθήσοντες, ἤδη σχεδὸν πᾶσι δεδουλωμένοις. οὐδὲ γὰρ ἐνταῦθα μικρὸν τὸ μέρος ἡμῖν συντετέλεκε, καὶ τὸ ἑαυτοῦ, καὶ τὸ ἡμῶν ἴδιος, οὓς ἐπῆγεν ἐκείνοις ὡς πικροτάτους τοῖς θηρίοις, οὐκ ἀγεννεῖς σκύλακας, γυμνάζων πρὸς τὴν εὐσέβειαν. οἷς ἀμφοτέροις μέμφομαι· καί μοι μηδεὶς δυσχεραινέτω τῆς παρρησίας, ἐρεύξομαι γὰρ τὸ λυποῦν, εἰ καὶ φορτικώτερον, ὅτι με τοῖς τοῦ βίου κακοῖς δυσχεραίνοντα, καὶ τὰς ἐρημίας ἐρῶντα, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν καθ' ἡμᾶς, καὶ τὴν κοπὴν ταύτην ζάλην καὶ κόνιν, ὡς εἶχον τάχους, ἐκκλίνειν φιλοσοφοῦντα, καὶ εἰς τὸ ἀσφαλὲς ἀποσώζεσθαι, οὐκ οἶδ' ὅπως τῇ φορτικῇ καὶ ἐπιβούλῳ τῶν ψυχῶν ἀγορᾷ ταύτῃ φέροντες παραδεδώκατε, δι' εὐπρεποῦς ὀνόματος τῆς ἱερωσύνης, ἐξ ὧν ἤδη μοι τὰ μὲν συνέβη κακὰ, τὰ δὲ ἐλπίζεται. τὸ γὰρ ἤδη παθεῖν, καὶ πρὸς τὸ μέλλον πως δύσελπι, κἂν ὁ λογισμὸς ἄλλο τι πείθῃ τὸ κρεῖττον ὑποτιθέμενος. οὐκ ἂν οὐδὲ τοῦτο τῶν ἐκείνου καλῶν παρέλθοιμι. πάντα μὲν ἦν καρτερικὸς, καὶ κρείττων τῶν παθημάτων. τῇ τελευταίᾳ δὲ νόσῳ κακοπαθῶν, ἣ περὶ γήρᾳ συνέπεσε, καὶ ταύτῃ χρονίᾳ, καὶ σφαλερᾷ, τὸ μὲν ἀρρωστῆσαι κοινὸν πρὸς τοὺς ἄλλους ἔχει ἀνθρώπους· τοῦτο δὲ, οὐκέτι κοινὸν, ἀλλὰ σφόδρα ἐκείνου καὶ τοῖς ἄλλοις ἀκόλουθον θαύμασιν. οὐ γὰρ ἦν ὅτε μὴ τῷ πάθει στενοχωρούμενος, καὶ πολλάκις γε τῆς ἡμέρας, ἔστι δὲ ὅτε καὶ ὥρας, ἐπ' αὐτῆς μόνης ἐρρώννυτο τῆς λειτουργίας, καὶ ὑπεχώρει τὸ πάθος, ὥσπερ ἐξ ἐντολῆς φυγαδευόμενον. ζήσας δὲ σχεδόν τι περὶ τὰ ἑκατὸν ἔτη, ὑπὲρ τὴν Δαυιτικὴν ὅρον, πολύ τε καθ' ἡμᾶς χρόνος, καὶ τούτων αὐτὸν ἐν τῇ ἱερωσύνῃ πέντε καὶ τεσσαράκοντα, μέτρον τῆς ἀνθρωπίνης ζωῆς, ἔπειτα ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον. καὶ τοῦτο, πῶς; ἐν τοῖς τῆς εὐχῆς ῥήμασί τε καὶ σχήμασιν, οὐδὲν μὲν κακίας ἴχνος, πλεῖστα δὲ ἀρετῆς καταλιπὼν ὑπομνήματα. τοιγαροῦν καὶ σέβας αὐτοῦ πλεῖον, ἢ κατὰ ἄνθρωπον, ἐν ταῖς πάντων γλώσσαις καὶ διανοίαις. καὶ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν, ὅς τις ἐκείνου μεμνημένος, οὐχὶ καὶ τὴν φαντασίαν ἀσπάζεται.

Τοῦτο δὴ τὸ τῆς γραφῆς, χεῖρα θεὶς ἐπὶ στόματι. τοιοῦτος μὲν ὁ βίος αὐτῷ, τοιαύτη δὲ ἡ τοῦ βίου συμπλήρωσις, καὶ τελείωσις. ἐπεὶ δὲ καὶ μνημόσυνον τῆς ἐκείνου μεγαλοψυχίας ἔδει τῷ βίῳ καταλειφθῆναι, τί μᾶλλον ἔδει, ἢ τὸν ναὸν τοῦτον, ὃν θεῷ τε ἤγειρε καὶ ἡμῖν; ὀλίγα μετὰ τῶν λαῶν προσχρησάμενος, τὰ πλείω δὲ οἴκοθεν εἰσενεγκὼν, ἔργον οὐ σιωπῆς ἄξιον, μεγέθει μὲν ὑπὲρ τοὺς πολλοὺς, κάλλει δὲ σχεδὸν ὑπὲρ ἅπαντας· ὀκτὼ μὲν ἰσοπλεύροις εὐθείαις εἰς ἑαυτὸν ἀπαντῶντα, κίοσι δὲ καὶ στοῶν κάλλεσι διορόφων, εἰς ὕψος αἰρόμενον, καὶ τοῖς ὑπὲρ αὐτῶν πλάσμασιν οὐ λειπομένοις τῆς φύσεως, οὐρανῷ δὲ ἄνωθεν καταστράπτοντα, πηγαῖς δὲ φωτὸς πλουσίαις τὰς ὄψεις περιαυγάζοντα, ὥσπερ ἀληθῶς φωτὸς οἰκητήριον. δρόμοις τε ἀμφιθέτοις ὕλης τῆς λαμπροτάτης ἰσογωνίοις κυκλούμενον, καὶ πολὺν τὸν ἐν μέσῳ τόπον περιλαμβάνουσι. πυλῶν δὲ καὶ προπυλαίων προλάμποντα χάρισι, καὶ πόρρωθεν τοὺς προσιόντας δεξιούμενον. καὶ οὔπω λέγω τὸν ἔξωθεν κόσμον λίθου τετραπέδου, καὶ εἰς στίχον συνηρμοσμένου κάλλος καὶ μέγεθος, ὅσος τε μάρμαρος ἐν ταῖς βάσεσι καὶ κεφαλίσιν αἳ τὰς γωνίας διειλήφασι. καὶ ὅσος ἐπιχώριος, μηδὲν τοῦ ξένου λειπόμενος, ζώνας τε πολυειδεῖς καὶ ποικίλας, προβεβλημένας τε καὶ ἐνυφασμένας, ἀπὸ κρηπῖδος εἰς κορυφὴν, ἣ ζημιοῖ τὸν θεατὴν τὴν ὄψιν ὁρίζουσα. πῶς ἂν ὁ λόγος ἔργον τοσούτου χρόνου καὶ πόνου, καὶ τοσαύτης χειρὸς οὕτως ἐν βραχεῖ παραστήσειεν, ἢ τοσοῦτον εἰπεῖν ἀρκέσειεν; ὅτι πολλῶν τὰς ἄλλας πόλεις κοσμούντων ἔργων, ἰδίων τε καὶ δημοσίων, τοῦτο καὶ μόνον ἴσασιν διαβοῶντες ἡμᾶς καταστῆσαι τοῖς πλείοσιν. ἀλλ' ὁ μὲν ναὸς οὕτως ἔχει. ἐπεὶ δὲ καὶ ἱερέας ἔδει, καὶ τοῦτον οἴκοθεν ἐπιδίδωσιν, εἰ μὲν κατὰ τὸν ναὸν οὐκ ἔχω λέγειν πολὺ ἐπιδίδωσιν,

ἐπιδίδωσιν. ἐπεὶ δὲ καὶ θυμάτων ἔδει, καὶ ταῦτα προσίησι, τὰ πάθη τοῦ παιδὸς, καὶ τὴν
ἐν τοῖς δεινοῖς καρτερίαν, ἵν' ἔχῃ θεὸς παρ' αὐτοῦ ὁλοκάρπωμα λογικὸν, ἱερεῖον πνευματι-
κὸν ἀντὶ νομικοῦ θύματος, καὶ λόγους δαπανωμένους. τί φὴς ὦ πάτερ; ἱκανὰ ταῦτα; καὶ ἀπαι-
τεῖς τῶν πόνων τὰς ἀμοιβὰς, οὓς ἐπὶ τοῖς ἐμοῖς λόγοις ἐμόχθησας, ἢ ἔτι προπεμπτήριον,
εἴτ' ἐπιτάφιον τοῦτον ἔπαινον; καὶ δίδως εἰρήνην ὑπὲρ λόγῳ, τὸν παλαιὸν τρόπον; κἀνταῦθα
τοῦτον δείξεις, φθέγγου τὸ κρεῖττον ὡς ἂν εἴη σύμμετρον. ἢ τινὰ προσθήκην ἐπιζητεῖς; δείξεις οἶδ'
ὅτι. καὶ γὰρ αὐτάρκης, ἐκεῖνο δὲ προσθεῖναι συγχώρησον. γνώρισον ἡμῖν ποῦ ποτε εἶ δόξης, καὶ
τὸ περὶ σὲ φῶς, καὶ τὴν σὴν μετ' ὀλίγον ὁμόζυγον, καὶ τῶν τέκνων ἃ προκατέθαψας, κα-
μὲ ταῖς αὐταῖς δέξαι σκηναῖς, ἢ μηδὲν ἔτι, ἢ μικρὰ περὶ βίῳ τούτῳ κακοπαθήσαντα. καὶ
πρὸ τῶν σκηνῶν, περὶ γλυκεῖ λίθῳ τούτῳ, ὃν ἀμφοτέροις ἔστησας, τιμῶν κἀνταῦθα τὸ σὸν
ἱερὸν καὶ ὁμώνυμον, καὶ τοῦ λόγου συγγνώμην ἔχε, τοῦ τε παρελθόντος καὶ τοῦ προσληφθεί-
τος σὴν χάριν, καὶ διεξάγοις ἀκινδύνως, μάλιστα μὲν ἅπασαν ποίμνην, καὶ πάντας
ἀρχιερέας, ὧν ἐκλήθης πατήρ. ἐξαιρέτως δὲ οὖν ὑπὸ σοῦ βιασθέντα, καὶ τυραννηθέντα
πατρικῶς τε καὶ πνευματικῶς, ὡς ἂν μὴ πάντα σε μεμφοίμην τῆς τυραννίδος. σοὶ δὲ τί
δοκοῦμεν ὦ κριταὶ τῶν ἐμῶν λόγων καὶ κινημάτων; εἰ μὲν αὐτάρκως διειλέχθαι ταῦτα,
καὶ τῆς σῆς ἐπιθυμίας ἀξίως, τοῦτο ἐπιψήφιζον, καὶ δεχόμεθα. πάντως δὲ θεοῦ ψῆφος ἡ
σή. εἰ δὲ παρὰ πολὺ τῆς ἐκείνου δόξης, καὶ τῆς σῆς ἐλπίδος, ἐγγὺς ὁ σύμμαχος, ἐπάφες τὴν
σὴν φωνὴν, τοῖς ἐκείνου καλοῖς προσδοκωμένην ὡς ἐκεῖνον ᾔδειμεν. πάντως δὲ ὑπόχρεων ἔχει
σε τὴν μεγίστην, καὶ ὡς ποιμένα ποιμὴν, καὶ ὡς πατὴρ υἱὸν τὸν ἐν χάριτι. τί θαυμαστὸν, εἰ διὰ σοῦ
φροντίσας τῆς οἰκουμένης, καὶ αὐτός τι τῆς σῆς φωνῆς ἀπολαύσειε; τί δὲ λοιπὸν; τῇ πνευματικῇ
σάῤῥᾳ, τῇ τοῦ μεγάλου πατρὸς ἡμῶν Ἀβραὰμ, καὶ ὁμοζύγῳ, καὶ ἰσοχρόνῳ, συμφιλοσοφῆσαι
τὰ ἐπικήδεια. οὐχ ἡ αὐτὴ φύσις ὦ μῆτερ, θεοῦ καὶ ἀνθρώπων, μᾶλλον δ' ὅλως τῶν θείων καὶ
τῶν ἐπιγείων. τοῖς ἐκείνοις μὲν τὸ ἄτρεπτον καὶ ἀθάνατον, αὐτό τε τοῦ εἶναι, καὶ τὴν οὐσίαν τοῦ εἶναι.
τῶν γὰρ παγίων τὰ πάγια. τὰ δὲ ἡμέτερα πῶς ἔχει; ῥεῖ τε καὶ φθείρεται, καὶ ἄλλοτε ἄλλην
λαμβάνει μεταβολήν. ζωὴ γοῦν καὶ θάνατος, ταῦθ' ἅπερ λέγεται, πλεῖστον ἀλλήλων δια-
φέρειν δοκοῦντα, εἰς ἄλληλα περιχωρεῖ πως καὶ ἀντικαθίσταται. ἡ μὲν γὰρ ἐκ φθορᾶς ἀρ-
ξαμένη τῆς μητρὸς ἡμῶν, καὶ διὰ φθορᾶς ὁδεύουσα, τῆς ἀεὶ τοῦ παρόντος ἐκστάσεως, εἰς φθορὰν
καταστρέφει τὴν τοῦ βίου τούτου κατάλυσιν. ὁ δὲ τῶν ἐνταῦθα κακῶν ἀπαλλαγὴν ἔχων, καὶ
πρὸς τὴν ἄνω πολλάκις μετάγων ζωὴν, οὐκ οἶδα εἰ κυρίως προσαγορεύοιτο θάνατος, ἐν
ὀνόματι μᾶλλον, ἢ πράγματι τὸ φοβερὸν ἔχων, καὶ κινδυνεύομεν πάσχειν πως ἄλογον πά-
θος. ἃ μὲν οὐκ ἔστιν οὐ φοβερὰ δεδοικότες, ἃ δὲ φοβεῖσθαι ἄξιον ὡς αἱρετώτερα περιέποντες.
μία ζωὴ, πρὸς τὴν ζωὴν βλέπειν. εἷς θάνατος, ἡ ἁμαρτία. ψυχῆς γὰρ ὄλεθρος. τἄλλα δ'
οἷς μέγα φρονοῦσί τινες, ὀνειράτων ὄψεις εἰσὶ περὶ τῶν ὄντων παίζουσαι, καὶ ψυχῆς ἀπατηλὰ φά-
σματα. ἂν οὕτως ἔχωμεν ὦ μῆτερ, οὔτε τῇ ζωῇ μέγα φρονήσομεν, οὔτε τῷ θανάτῳ λίαν ἀνια-
σόμεθα. τί τοίνυν δεινὸν πεπόνθαμεν, εἰ πρὸς τὴν ἀληθινὴν ζωὴν ἐνθένδε μεταβεβήκαμεν;
εἰ τροφῶν, καὶ ἰλίγγων, καὶ κόρων, καὶ τῆς αἰσχρᾶς φορολογίας ἀπηλλαγμένοι, μετὰ τῶν ἑστώ-
των καὶ οὐ ῥεόντων ἐσόμεθα φῶτα μικρὰ, φῶς τὸ μέγα περιχορεύοντες. ἀλλὰ λυπεῖ σε τὸ
τῆς διαζεύξεως, ἀλλ' εὐφραινέτω σε τὸ τῆς ἐλπίδος. ἀλλὰ δεινὸν ἡ χηρεία, ἐκείνῳ δὲ οὐ δεινὸν, καί τοι
τὸ τῆς ἀγάπης ἀγαθὸν, ἑαυτῷ τὰ ῥᾴω διδόντα, τῷ πλησίον ἀπονέμειν τὰ προσαντέστερα. τί
δὲ καὶ δεινὸν ὅλως, ᾧ τελευτὴ μετὰ μικρόν; ἐγγὺς ἡ προθεσμία, τὸ λυπηρὸν οὐκ ἐπίμονον.
μὴ φορτίζωμεν ἀγεννέσι λογισμοῖς τὰ κουφότατα. μεγάλων ἐστερήμεθα, καὶ γὰρ τετυχή-
καμεν. τὸ μὲν στέρεσθαι, πάντων· τὸ δὲ τυχεῖν, οὐ πολλῶν. μὴ τοῦτο καμπτέτω, ἀλλ' ἐκεῖνο παρα-
μυθείσθω. τὸ γε κρεῖττον, νικάτω τὰ λυπηρότερα. ἤνεγκας παίδων ἀποβολὴν, τῶν ὡραίων
ἔτι, καὶ περὶ ζωῆς ἐπιτηδείων, ἀνδρικώτατα καὶ φιλοσοφώτατα, οἴσεις καὶ γηραιοῦ καταλύ-
σιν σώματος ἤδη τῷ βίῳ κάμνοντος, εἰ καὶ τὰς αἰσθήσεις ἀπαιτήσατο. ὁ τῆς ψυχῆς τόνος
σοι συντήρησεν. ἀλλὰ δέῃ τοῦ κηδεμόνος, ποῦ δὲ ὁ σὸς οὗτος Ἰσαὰκ, ὃν ἀντὶ πάντων σοι κατα-
λέλοιπεν; αἴτει παρ' αὐτοῦ τὰ μικρὰ τὴν χειραγωγίαν καὶ τὴν δουλείαν, καὶ ἀποδίδου τὰ μείζο-
να τὴν μητρικὴν εὐλογίαν, καὶ τὰς εὐχὰς, καὶ τὴν ἐκεῖθεν ἐλευθερίαν. ἀγανακτεῖς νουθε-
τουμένη, τοῦτο ἐπαινῶ. καὶ γὰρ πολλοὺς νενουθέτηκας, ὅσους ὁ πολὺς χρόνος ὑπὸ τὴν σὴν σύνε-
σιν ἤγαγεν. οὐδὲν ὁ λόγος πρὸς σὲ τὴν φιλοσοφωτάτην, ἔστω κοινὸν τοῖς πεν-
θοῦσι παραμυθίας φάρμακον, ὡς ἂν εἰδεῖεν ἀνθρώ-
πους ἄνθρωποι προπέμποντες.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΚΑΙΣΑΡΙΑΣ Καππαδοκίας ἐπιτάφιος.

Ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος (καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς) ἑαυτὸν νῦν προθήσειν ὑπόθεσιν ἀγώνων μεγίστην, τοῖς περὶ λόγους ἐσπουδακόσιν. οἶμαι γὰρ εἴ τις τῆς ἐν λόγοις δυνάμεως πεῖραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην ἐθελήσειε, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, ταύτην ἂν ὑφελεῖν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἐλάσσω τὴν πρώτην. τοσοῦτον ἔργον ἡ τοῦ ἀνδρὸς εὐφημία· μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν, ἀλλὰ καὶ οἷς βίος ἐστὶν ὁ λόγος, ἐν τούτῳ ἐσπουδακόσι καὶ μόνον, τοῖς τοιούτοις ἐνευδοκιμεῖν ὑποθέσεσιν. ἐγὼ μὲν οὕτω περὶ τούτων καὶ ὡς ἐμαυτὸν πείθω, λίαν ὀρθῶς. οὐκ οἶδα δ᾽ εἰς ὅ, τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις, μὴ νῦν χρησάμενος. ἢ ὅ, τι πότ᾽ ἂν μᾶλλον ἢ ἐμαυτῷ χαρισαίμην, ἢ τοῖς ἀρετῆς ἐπαινέταις, ἢ τοῖς λόγοις αὐτοῖς, ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας. ἐμοί τε γὰρ ἔσται τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον. χρέος δὲ εἴπερ ἄλλο τι τοῖς ἀγαθοῖς, τά τε ἄλλα, καὶ περὶ τοὺς λόγους, ὁ λόγος. ἐκείνοις δ᾽ ἅμα μὲν ἡδονὴ γένοιτο, καὶ ἅμα παράκλησις, εἰς ἀρετὴν ὁ λόγος. ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις. ἐπ᾽ οὐδενὸς δὴ τῶν ἁπάντων οὐκ ἔστιν ἐφ᾽ ὅτῳ οὐχὶ τῶν ἁπάντων. τοῖς τε λόγοις αὐτοῖς ἀμφοτέρωθεν ἂν ἔχοι τὸ πρᾶγμα καλῶς. εἰ μὲν ἐγγὺς ἔλθοιεν τῆς ἀξίας, τὴν ἑαυτῶν ἐπιδεδειγμένοις δύναμιν· εἰ δὲ πλεῖστον ἀπολειφθεῖεν, ὃ πᾶσι παθεῖν ἀνάγκη τοῖς ἐκεῖνον ἐγκωμιάζουσιν, ἔργῳ δεδειχόσι τὴν ἧτταν, καὶ τὸ κρεῖττον ἢ κατὰ λόγου δύναμιν, εἶναι τὸν εὐφημούμενον. ἃ μὲν οὖν τε κινεῖ μοι τοὺς λόγους, καὶ δι᾽ ἃ τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην, ταῦτά ἐστιν. εἰ δὲ τοσοῦτον ἀπελείφθημεν τοῦ καιροῦ δεύτερος, καὶ μετὰ τοσούτους ἐπαινέτας, ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντας, μηδεὶς θαυμαζέτω. ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ψυχή. καὶ πάντ᾽ ἐμοὶ σεβασμία καὶ νῦν καὶ πρότερον. πάντως δὲ ὡς σὺν ἡμῖν ὢν ἐπηνώρθου πολλὰ τῶν ἐμῶν, ὅρῳ τε φιλίας καὶ νόμῳ κρείττονι (οὐ γὰρ αἰσχύνομαι τοῦτο λέγειν, ὅτι καὶ πᾶσι νόμος ἦν ἀρετή) οὕτω καὶ ὑπὲρ ἡμᾶς γενόμενος, συγγνώμων ἔσται τοῖς ἡμετέροις. συγγινωσκέτωσαν δὲ καὶ ὑμῶν ὅσοι θερμότεροι τοῦ ἀνδρὸς ἐπαινέται, εἴπερ τις ἐστὶν ἄλλου θερμότερος. ἀλλὰ μὴ τοῦτο μόνον πάντες ὁμολογοῦμεν τὴν τοῦ ἀνδρὸς εὐφημίαν. οὐ γὰρ ὀλιγωρίᾳ τὸ εἰκὸς ἐνελείπομεν, μή ποτε τοσοῦτον ἀμελήσαιμεν, ἢ ἀρετῆς, ἢ τοῦ φιλικοῦ καθήκοντος. οὐδὲ τῷ νομίζειν ἄλλοις μᾶλλον ἡμῶν προσήκειν τὸν ἔπαινον. ἀλλὰ πρῶτον μὲν ὤκνουν τὸν λόγον (εἰρήσεται γὰρ τἀληθὲς) ὥσπερ οἱ τοῖς ἱεροῖς προσιόντες, πρὶν καθαρθῆναι καὶ φωνὴν καὶ διάνοιαν. ἔπειτα οὐκ ἀγνοοῦντας μὲν, ὑπομνήσω δ᾽ οὖν ὅμως, ὧν μεταξὺ περὶ τὸν ἀληθῆ λόγον ἠσχολήμεθα κινδυνεύοντα. κατὰ χρόνους βιασθέντες καὶ κατὰ θεὸν ἴσως ἔκδημοι γεγονότες, καὶ οὐδ᾽ ἀπὸ γνώμης ἐκείνῳ τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ. καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι, ὅτι μὴ λόγον εὐσεβῆ καὶ κόσμον παντὸς σωτήριον. τὰ γὰρ τοῦ σώματος, ἴσως οὐδὲ θαρρήσαιμι χρῆναι λέγειν ἀνδρὶ γενναίῳ καὶ ὑπὲρ τὸ σῶμα, πρὶν ἐνθένδε μεταναστῆναι, καὶ μηδὲν ἀξιοῦντι τῶν τῆς ψυχῆς καλῶν ὑπὸ τοῦ δεσμοῦ παραβλάπτεσθαι. τὰ μὲν δὴ τῆς ἀπολογίας, ἐνταῦθα κείσθω. καὶ γὰρ οὐδὲ μακροτέρας οἶμαι ταύτης δεήσειν ἡμῖν πρὸς ἐκεῖνόν γε ποιούμενος καὶ τοὺς εἰδότας σαφῶς τὰ ἡμέτερα. ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις τοῦ λόγου τὸν ἐκείνου θεόν. μὴ καθυβρίσαι τὸν ἄνδρα τοῖς ἐγκωμίοις, μηδὲ πολὺ δεύτερον τῶν ἄλλων ἐλθεῖν. κἂν ἐκείνου πάντες ἴσον ἀπολειπώμεθα, καθάπερ οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος, οἱ πρὸς αὐτὰ βλέποντες. εἰ μὲν δὴ ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον, ἤ τινι τῶν μικρῶν ὅλως καὶ οἷς οἱ χαμαὶ βλέποντες, ἄλλος ἂν ἡρώων ὤφθη κατάλογος. ὅσα τῶν ὑπὲρ ἐκεῖνον τοῖς χρόνοις, ἐκείνῳ συνεισενεγκεῖν ἔχομεν. καὶ οὐδ᾽ ἂν ταῖς ἱστορίαις παρήκαμεν ἔχειν τι πλέον ἡμῶν. ἐκεῖνό γε πλέον ἔχοντες πάντως, τὸ μὴ πλάσμασι, μηδὲ μύθοις, αὐτοῖς δὲ τοῖς πράγμασι καλλωπίζεσθαι. καὶ ὧν πολλοὶ μάρτυρες. πολλὰ μὲν γὰρ ὁ Πόντος ἡμῖν ἐκ τῆς παλαιᾶς προβάλλεται διηγήματα, καὶ οὐδενὸς ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης πᾶσα συγγραφή τε καὶ ποίησις. πολλὰ δὲ τὸ ἐμὸν ἔδαφος τοῦτο οἱ σεμνοὶ Καππαδόκαι, τὸ μηδὲν ἧττον κουροτρόφον ἢ εὔιππον. ὅθεν τῷ τε πατρῴῳ γένει τὸ μητρῷον ἡμεῖς ἀντανίσχομεν. στρατηγίαι τε καὶ δημαγωγίαι καὶ κράτος ἐν βασιλείοις αὐλαῖς, εἶτα δὲ περιουσίαι, καὶ θρόνων ὕψη, καὶ τιμαὶ δημόσιαι, καὶ λόγων λαμπρότητες, τίνων ἢ πλείους, ἢ μείζους; ὧν ἡμῖν εἰ βουλομένοις εἰπεῖν ἐξῆν, οὐδὲν ἂν ἦσαν οἱ Πελοπίδαι καὶ Κεκροπίδαι, καὶ οἱ Ἀλκμαιωνίδαι, Αἰακίδαι τε καὶ Ἡρακλεῖδαι, καὶ ὧν οὐδὲν ὑψηλότερον. οἵ τινες ἐκ τῶν οἰκείων φανερῶς εἰπεῖν οὐκ ἔχοντες ἐπὶ τὸ ἀφανὲς καταφεύγουσι, δαίμονάς δή τινας καὶ θεοὺς καὶ μύθους τοῖς προγόνοις ἐπιφημίζοντες, ὧν τὸ σεμνότατον ἀπι-

στία, καὶ

σία, καὶ οὐδεὶς τῶν πεπιστευμένων. ἐπειδὴ δὲ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος, κατ' ἄνδρα κρίνεσθαι τὴν εὐγένειαν ἀξιοῦντος, καὶ μὴ τὰς μὲν μορφὰς καὶ τὰς χρόας ἐξ ἑαυτῶν δοκιμάζεσθαι καὶ τῶν ἵππων τῶν εὐγενεστάτων ἢ ἀτιμοτέρων, ἡμᾶς δὲ ζωγραφεῖσθαι τοῖς ἔξωθεν, ἓν ἢ δύο τῶν ἐξ ἀρχῆς ὑπαρχόντων αὐτῷ, καὶ ταῦτα οἰκεῖα τῷ ἐκείνου βίῳ, καὶ οἷς ἂν μάλιστα ἡσθείη λεγομένοις εἰπὼν, ἐπ' αὐτὸν καὶ δὴ τρέψομαι. ἄλλου μὲν οὖν ἄλλο τι γνώρισμα καὶ διήγημα, καὶ γονέων καὶ τοῦ καθ' ἕκαστον ἢ μικρὸν ἢ μεῖζον. καθάπερ τις κλῆρος πατρῷος, ἢ πόρρωθεν ἢ ἐγγύθεν ἠργμένος κάτεισιν εἰς τοὺς ὕστερον. τούτῳ δὲ γένοιτ' ἀμφοτέρωθεν τὸ εὐσεβὲς ἐπίσημον. δηλώσει δὲ νῦν ὁ λόγος. διωγμὸς ἦν, καὶ διωγμῶν ὁ φρικωδέστατος καὶ βαρύτατος. εἰδόσι λέγω τὸν Μαξιμίνου, ὃς πολλοῖς τοῖς ἐγγύθεν γενομένοις ἐπιφυεὶς, πάντας φιλανθρώπους ἀπέδειξε, θράσει τε πολλῷ χρώμενος, καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος ἀναδήσασθαι. τούτου πολλοὶ μὲν ὑπερέσχον τῶν ἡμετέρων ἀγωνιστῶν, καὶ μέχρι θανάτου διηγωνισμένοι, καὶ πρὸ θανάτου μικρὸν, τοσοῦτον ἀπολειφθέντες, ὅσον ἐπιβιῶναι τῇ νίκῃ, καὶ μὴ συναπελθεῖν τοῖς παλαίσμασιν· ἀλλ' ὑπολειφθῆναι τοῖς ἄλλοις, ἀλεῖπται τῆς ἀρετῆς, ζῶντες μάρτυρες. ἔμπνοοι στῆλαι, σιγῶντα κηρύγματα. σὺν πολλοῖς δὲ τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς τούτῳ πατέρες, οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ἰδέαν, καλὴν ἐπήνεγκεν ὁ καιρὸς ἐκεῖνος τὴν κορωνίδα. παρεσκευασμένοι μὲν γὰρ οὕτως εἶχον καὶ γνώμης, ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους ὑπὲρ ἡμῶν ἄθλησιν. ἐπεὶ δὲ νόμιμον αὐτοῖς ἔδει καὶ τὸν ἀγῶνα γενέσθαι, νόμος δὲ μαρτυρίας μήτε ἐθελοντὰς πρὸς τὸν ἀγῶνα χωρεῖν φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι. τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας ἐστί, καὶ τούτῳ τιμῶντες ἐκεῖνοι τὸν νομοθέτην, τί μηχανῶνται; μᾶλλον δὲ πρὸς τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκείνων ἀγούσης προνοίας; ἐπί τινα τῶν ποντικῶν ὀρῶν λόχμην. πολλαὶ δ' αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι, καὶ ἐπὶ πλεῖστον διήκουσαι, καταφεύγουσι λίαν ὀλίγοις χρώμενοι, καὶ τῆς φυγῆς συνεργοῖς, καὶ τῆς τροφῆς ὑπηρέταις. ἄλλοι μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος. καὶ γὰρ ἐπὶ πλεῖστον αὐτοῖς ὥς φασι τῆς φυγῆς παρετάθη, ἔτος που ἕβδομον. καὶ μικρόν τι πρὸς, τό τε τῆς διαίτης σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον ὡς τὸ εἰκὸς, καὶ τὸ ὑπαιθρίοις κρυμοῖς καὶ θάλπεσι καὶ ὄμβροις ταλαιπωρεῖν. ἤ τε ἄφιλος ἐρημία, καὶ τὸ ἀκοινώνητόν τε καὶ ἄμικτον, ὅσον εἰς [illegible] τοῖς ὑπὸ πολλῶν δορυφορουμένοις, καὶ τιμωμένοις· ἐγὼ δὲ ὃ τούτων μεῖζόν ἐστι καὶ παραδοξότερον, λέξων ἔρχομαι, ἀπιστήσει δ' οὐδεὶς, ἢ ὅστις οὐδὲν μέγα οἴεται τῶν ὑπὲρ Χριστοῦ διωγμῶν καὶ κινδύνων, κακῶς γινώσκων καὶ λίαν ἐπικινδύνως. ἐπόθουν τί καὶ τῶν πρὸς ἡδονὴν οἱ γενναῖοι, τῷ χρόνῳ κάμνοντες, καὶ τῶν ἀναγκαίων ὄντες [illegible], καὶ τὰ μὲν τοῦ Ἰσραὴλ οὐκ ἐφθέγξαντο. οὐ γὰρ ἦσαν γογγυσταὶ κατ' ἐκείνους ἐν τῇ ἐρήμῳ ταλαιπωρουμένους μετὰ τὴν ἐξ Αἰγύπτου φυλὴν, ὡς ἄρα βέλτιον Αἴγυπτος αὐτοῖς εἴη τῆς ἐρημίας. πολλὴν τῶν λεβήτων καὶ κρεῶν χορηγοῦσα τὴν ἀφθονίαν, τῶν τε ἄλλων ὅσα ἐκεῖσε ἀπέλιπον. ἡ γὰρ πλινθεία καὶ ὁ πηλὸς οὐδὲν ἦν αὐτοῖς τότε διὰ τὴν ἄνοιαν. ἀλλὰ δὲ ὡς εὐσεβέστερα, καὶ πιστότερα. τί γὰρ ἔστιν ἔλεγον τῶν ἀπίστων, εἰ ὁ τῶν θαυμασίων Θεὸς, ὁ θρέψας πλουσίως ἐν ἐρήμῳ ξένον λαὸν, καὶ φυγάδα, ὥστε καὶ ἄρτον ὀμβρῆσαι, καὶ βλύσαι ὄρνιθας, τρέφων οὐ τοῖς ἀναγκαίοις μόνοις, ἀλλὰ καὶ τοῖς περιττοῖς, ὁ τεμὼν θάλασσαν, καὶ στήσας ἥλιον, καὶ ποταμὸν ἀνακόψας, καὶ τἆλλα διαπεπραγμένος ὅσα πεποίηκε (φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις φιλιστορεῖν ἡ ψυχὴ, καὶ πολλοῖς θαύμασιν ἀνυμνεῖν τὸν Θεόν) οὗτος, ἔλεγον, καὶ ἡμᾶς θρέψει σήμερον τοῖς τῆς τρυφῆς, τοὺς εὐσεβείας ἀγωνιστάς. πολλοὶ μὲν θῆρες τὰς τῶν πλουσίων διαφυγόντες τραπέζας, ἅπερ ἦν ποτε καὶ ἡμῖν, τοῖς ὄρεσι τούτοις ἐμφωλεύουσι. πολλοὶ δὲ ὄρνιθες τῶν ἐδωδίμων, τῶν ποθούντων ἡμᾶς ὑπολείπονται. ἂν τί μὴ θηράσιμον σοὶ θελήσαντι μόνον; ταῦτ' ἔλεγον, καὶ ἡ θήρα παρῆν, ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία, ἔλαφοι τῶν λόφων ποθὲν ὑπερφανέντες ἀθρόως. ὡς μὲν εὐμεγέθεις, ὡς δὲ πίονες, ὡς δὲ πρόθυμοι πρὸς σφαγήν. μονονουχὶ καὶ τοῦτο εἰκάζειν ἦν, ὅτι μὴ τάχιον ἐκλήθησαν ἐδυσχέραινον. οἱ μὲν εἷλκον τοῖς νεύμασιν, οἱ δὲ εἵποντο. τίνος διώκοντος ἢ συναναγκάζοντος; οὐδενός. τίνων ἱππέων, ποίων κυνῶν; τίνος ὑλακῆς ἢ κραυγῆς, ἢ νέων προκαταλαβόντων τὰς διεξόδους τῆς θήρας νόμοις; εὐχῆς δέσμιοι καὶ δικαίας αἰτήσεως. τίς ἔγνω τοιοῦτον θήραμα τῶν νῦν ἢ τῶν πώποτε; ὢ τοῦ θαύματος, αὐτοὶ τοῦ θηράματος ἦσαν ταμίαι. ὅσον φίλον εἶχον θελήσασι μόνον, ὅσον περιττὸν ἀπεπέμφθη ταῖς λόχμαις εἰς δευτέραν τράπεζαν. οἱ ὀψοποιοὶ ῥᾴδιοι, τὸ δεῖπνον εὐπρεπὲς, οἱ δαιτυμόνες εὐχάριστοι, προοίμιον ἔχοντες ἤδη τῶν ἐλπιζομένων, τὸ παρὸν θαῦμα. ἐξ οὗ καὶ πρὸς τὴν ἄθλησιν ὑπὲρ ἧς ταῦτα ἦν αὐτοῖς, ἐγένοντο προθυμότεροι. τοιαῦτα τὰ ἐμὰ διηγήματα. σὺ δέ μοι λέγε τὰς ἐλαφηβολίας σου, καὶ τὸν Ὠρίωνα, καὶ τὸν Ἀκταίωνα, τὸν κακοδαίμο-

Persecutio Maximini.

Lex martyrij.

νας θηρευτὰς, ὁ ἐμὸς διώκτης. ὁ τὸν μῦθον θαυμάζων, καὶ τὴν αὐτοῦ ποδώκειαν ἔλαφον τοῦ πεδίου. εἴ τι πρόσω τὸν εἰς φιλοτιμίαν ἐστί σοι, καὶ δῶμεν μύθους εἶναι τὸ ἱστορούμενον. ὡς τά γε ἑξῆς τοῦ λόγου, καὶ λίαν αἰσχρά. τί γὰρ ὄφελος τῆς αὐτοῦ ποδωκείας, εἰ σώζει τὸ πεδίον, ἵνα ξενοκτονεῖν διδαχθῇ, ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας αἰτίασιν; τοῦτο μὲν οὖν τοσούτοις ἐκ πολλῶν ἓν, καὶ αὐτὸ πολλῶν ὡς ἐμὸς λόγος, καὶ τοῦτο διελθὸν οὐχ ἵν' ἐκείνῳ προσθείη τι τῆς εὐδοξίας. οὔτε γὰρ θάλασσα δεῖταί τι τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, καὶ τοι εἰσρέωσιν ὅτι πλεῖστοι καὶ μέγιστοι, οὔτε τῶν εἰσφερόντων τι πρὸς εὐφημίαν, ὁ νῦν ἐπαινούμενος. ἀλλ' ἵν' ἐνδείξωμαι, οἵων ἦν ὁ τῶν ἐξ ἀρχῆς ὑπαρχόντων, καὶ πρὸς ὃ παράδειγμα βλέπων ὅσον ὑπερνίκησεν. εἰ γὰρ μέγα τοῖς ἄλλοις τὸ προσλαβεῖν τι παρὰ τῶν ἄνωθεν εἰς φιλοτιμίαν, μεῖζον ἐκείνῳ τὸ προσθεῖναι τοῖς ἄνω παρ' ἑαυτοῦ, καθάπερ ῥεύματος ἀνατρέχοντος. τὸ δὲ τῶν πατέρων συζυγίας, οὐχ ἧττον κατὰ τὴν ἀρετὴν ὁμότιμον, ἢ καὶ τὰ σώματα, πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα· πτωχοτροφίαι, ξενοδοχίαι, ψυχῆς κάθαρσις ἐξ ἐγκρατείας, ἀπόμοιρα κτήσεως θεῷ καθιερωθείσης, πρᾶγμα οὔπω τότε τοῖς πολλοῖς σπουδαζόμενον, ὥσπερ νῦν αὐξηθέν τι καὶ τιμηθὲν ἐκ τῶν πρώτων ὑποδειγμάτων. τά τε ἄλλα ὅσα Πόντῳ καὶ Καππαδόκαις μεμερισμένοις, ἤρκεσε πολλῶν πληροῦν ἀκοάς· ἐμοὶ δὲ μέγιστον δοκεῖ καὶ περιφανέστατον ἡ εὐτεκνία. τὸ γὰρ αὐτοὺς πολυπαίδας καὶ καλλιπαίδας, μῦθοι μὲν ἴσως ἔχουσιν. ἡμῖν δὲ τούτων ἡ πεῖρα παρέστηκε, τοιούτους δὲ αὐτοὺς γεγονότας, ὥστε εἰ καὶ μὴ τοιούτων ἦσαν πατέρες, ἑαυτοῖς εἰς εὐδοξίαν ἀρκεῖν. τοιούτων δὲ πεφυκότας πατέρων, ὥστε εἰ καὶ μὴ αὐτοὶ τοσοῦτον ἦσαν εἰς ἀρετὴν, πάντας ὑπεραίρειν τῇ εὐτεκνίᾳ. ἕνα μὲν γὰρ ἢ δύο γενέσθαι τῶν ἐπαινουμένων, καὶ τῇ φύσει δοίη τις. ἡ δὲ διὰ πάντων ἀκρότης, σαφὲς τῶν ἀγαγόντων ἐγκώμιον. δηλοῖ δὲ ὁ μακαριστὸς τῶν ἱερέων καὶ τῶν παρθένων ἀριθμὸς, καὶ τῶν ἐν γάμοις, μηδὲν τῇ συζυγίᾳ βλαβῆναι βιασαμένων, πρὸς τὴν ἴσην τῆς ἀρετῆς εὐδοκίμησιν. ἀλλὰ βίων αἱρέσεις μᾶλλον, ἢ πολιτείας ταῦτα ποιησαμένων. τίς οὐκ οἶδε τὸν τούτου πατέρα Βασίλειον, τὸ μέγα παρὰ πᾶσιν ὄνομα, ὃς πατρικῆς εὐχῆς ἔτυχεν (ἵνα μὴ λέγω μόνος) εἴπερ τις ἀνθρώπων. πάντας γὰρ πέρα τὴν ἀρετὴν, παρὰ τοῦ παιδὸς κωλύεται μόνου τὸ πρωτεῖον ἔχειν. τίς Ἐμμελίαν τὴν ὅπερ ἐγένετο προκληθεῖσαν, ἢ γενομένην ὃ προεκλήθη, τὸ τῆς ἐμμελείας ὄντως φερώνυμον, ἢ τοῦτο ἐν γυναιξὶν ὤφθη. εἰ δεῖ συντόμως εἰπεῖν, ὅπερ ἐν ἀνδράσιν ἐκεῖνος, ὥστ' εἴπερ ἔδει δεῦρο ἐλθόντα πάντως τῇ φύσει τὸν νῦν εὐφημούμενον ἀνθρώποις δοθῆναι, ὥσπερ τινὰ τῶν παλαιῶν πάλαι παρὰ θεοῦ διδομένων εἰς κοινὸν ὄφελος, μήτε ἐξ ἄλλων μᾶλλον ἁρμόζειν ἢ ἐκείνων τοῦτον γενέσθαι, μήτε ἐκείνοις ἑτέρου μᾶλλον ἢ τοῦδε πατράσιν ὀνομασθῆναι. ὅπερ οὖν καλῶς [illegible] καὶ συνέδραμεν. ἐπεὶ δὲ τὰς ἀπαρχὰς τῶν ἐπαίνων θεῷ πειθόμενοι, ὃ πατράσι κελεύει πάντα νέμειν τιμὴν, τοῖς μνημονευθεῖσιν ἀποδεδώκαμεν, ἐπ' αὐτὸν ἴωμεν ἤδη τοσοῦτον εἰπόντες, ὃ καὶ πᾶσιν, οἶμαι, δόξειεν ἀληθῶς λέγεσθαι, τοῖς ἐκεῖνον ἐγνωσμένοις, ὅτι μόνης ἡμῖν ἔδει τῆς ἐκείνου φωνῆς ἐκεῖνον ἐγκωμιάζουσιν. ὁ γὰρ αὐτὸς ὑπόθεσίς τε λαμπρὰ τοῖς ἐπαινοῦσι, καὶ μόνος τῇ τοῦ λόγου δυνάμει τῆς ὑποθέσεως ἄξιος. κάλλους μὲν δὴ καὶ ῥώμης καὶ μεγέθους, οἷς τοὺς πολλοὺς ὁρῶ χαίροντας, τοῖς βουλομένοις παραχωρήσομεν, οὐχ ὅτι καὶ τούτοις ἐλαττόν τινος ἦν ἕως ἦν ἔτι νέος, καὶ οὔπω φιλοσοφία τῶν σαρκῶν κατεκράτησεν. ἀλλ' ἵνα μὴ ταὐτὸν πάθωμεν τοῖς ἀπειροτέροις τῶν ἀθλητῶν, οἳ τὴν ἰσχὺν ἐν τοῖς εἰκῇ παλαιομένοις καὶ παρέργοις κενώσαντες, ἥττους ἐν τοῖς καιρίοις εὑρίσκονται. καὶ τοῖς ἐξ ὧν τὸ νικᾶν ὑπάρχει, καὶ στεφανίτας ἀναγορεύεσθαι. ἃ δὲ οὐδαμῶς ἂν εἰπὼν οἶμαι περιττὸς δόξειν, οὐδὲ ἔξω τοῦ σκοποῦ βάλλειν τοῦ λόγου, ταῦτ' ἐπαινέσομαι. οἶμαι δὲ πᾶσιν ἂν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων, παίδευσιν τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον, οὐ ταύτην μόνην τὴν εὐγενεστέραν καὶ ἡμετέραν, ἣ πᾶν τὸ ἐν λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα, μόνης ἔχεται τῆς σωτηρίας, καὶ τοῦ κάλλους τῶν νοουμένων, ἀλλὰ καὶ τὴν ἔξωθεν, ἣν οἱ πολλοὶ Χριστιανῶν διαπτύουσιν ὡς ἐπίβουλον καὶ σφαλερὰν, καὶ θεοῦ πόρρω βάλλουσαν, κακῶς εἰδότες. ὥσπερ γὰρ οὐρανὸν καὶ γῆν καὶ ἀέρα καὶ ὅσα τούτων, οὐκ ἐπειδή τινες κακῶς ἐξειλήφασιν, ἀντὶ θεοῦ τὰ τοῦ θεοῦ σέβοντες, διὰ τοῦτο περιφρονητέον, ἀλλ' ὅσον χρήσιμον αὐτῶν καρπούμενοι, πρός τε ζωὴν καὶ ἀπόλαυσιν, ὅσον ἐπικίνδυνον διαφεύγομεν, οὐ κατὰ κτίστου τὴν κτίσιν ἐπανιστάντες, κατὰ τοὺς ἄφρονας, ἀλλ' ἐκ τῶν δημιουργημάτων τὸν δημιουργὸν καταλαμβάνοντες. καὶ ὥς φησιν ὁ θεῖος ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν. ὡς δὲ καὶ πυρὸς καὶ τροφῆς καὶ σιδήρου καὶ τῶν ἄλλων, οὐδὲν καθ' ἑαυτὸ χρησιμώτατον ἴσμεν, ἢ βλαβερώτατον, ἀλλ' ὅπως ἂν δοκῇ τοῖς χρωμένοις, ἤδη δὲ καὶ τῶν ἑρπυστικῶν θηρίων, ἔστιν ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν. οὕτω καὶ τούτων τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν ἐδεξάμεθα, ὅσον δὲ εἰς δαίμονας φέρει, καὶ πλάνην, καὶ ἀπωλείας βυθὸν, διεπτύσαμεν, ὅτι μὴ καὶ ἐκ τούτων πρὸς θεοσέβειαν ὠφελήμεθα, ἐκ τοῦ χεί-

ρονος

Julianū intelligere videtur.

κατὰ

Basileus, Basilei pater.

τας

Emmelia mater.

Sic pag.

Basileus aspectu pulcher.

μὴ ταὐτὸ

Στεφανίτας.

Educatio.

Liberalis eruditio a quibusdam Christianis non recte iudicantibus contemnitur.

ῥον τὸ κρεῖττον καταμαθόντων, καὶ τὴν ἀσθένειαν ἐκείνων, ἣν αὐτοὶ τῶν καθ' ἡμᾶς λόγων πε-
ποίηνται. οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισιν, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύ-
τους ὑποληπτέον τοὺς οὕτως ἔχοντας, οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' ἑαυτούς, ἵν' ἐν τῷ
κοινῷ τὸ κατ' αὐτοὺς κρύπτηται, καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν. ἐπεὶ δὲ
τοῦτο ὑπεθέμεθα καὶ ἀνωμολογησάμεθα, φέρε τὰ κατ' αὐτὸν θεωρήσωμεν. τὰ μὲν δὴ πρῶ-
τα τῆς ἡλικίας, ὑπὸ τῷ μεγάλῳ πατρί, ὃν κοινὸν παιδευτὴν ἀρετῆς ὁ Πόντος τηνικαῦτα
προὐβάλλετο, σπαργανοῦται καὶ διαπλάττεται πλάσιν τὴν ἀρίστην τε καὶ καθαρω-
τάτην, ἣν ἡμερινὴν ὁ θεῖος Δαβὶδ καλῶς ὀνομάζει, καὶ τῆς νυκτερινῆς ἀντίθετον. ὑπὸ δὴ τού-
τῳ καὶ βίον καὶ λόγον συναυξανομένων τε καὶ συνανιόντας ἀλλήλοις, ὁ θαυμάσιος ἐκ-
παιδεύεται, οὐ Θετταλικόν τι καὶ ὄρειον ἄντρον αὐχῶν, ὡς ἀρετῆς ἐργαστήριον, οὐδὲ Κέν-
ταυρον ἀλαζόνα τὸν κατ' αὐτοὺς ἡρώων διδάσκαλον· οὐδὲ πτῶκας βάλλειν, ἢ κατατρέχειν νε-
βρῶν, ἢ θηρεύειν ἐλάφους ὑπ' αὐτῷ διδασκόμενος, ἢ τὰ πολεμικὰ κράτιστος εἶναι, ἢ πωλο-
δαμνεῖν ἄριστα, τῷ αὐτῷ πώλῳ καὶ διδασκάλῳ χρώμενος· ἢ μυελοῖς ἐλάφων τε καὶ λεόν-
των, τοῖς μυθικοῖς ἐκτρεφόμενος, ἀλλὰ τὴν ἐγκύκλιον παίδευσιν παιδευόμενος, καὶ θεο-
σέβειαν ἐξασκούμενος· καὶ συνελόντι φάναι πρὸς τὴν μέλλουσαν τελειότητα, διὰ τῶν ἐξ
ἀρχῆς μαθημάτων ἀγόμενος. οἱ μὲν γὰρ ἢ βίον μόνον, ἢ λόγον κατωρθωκότες, τῷ ἑτέρῳ δὲ λειπό-
μενοι, οὐδὲν τῶν ἑτεροφθάλμων ἐμοὶ δοκοῦσι διαφέρειν. οἷς μεγάλη μὲν ἡ ζημία, μεῖζον δὲ τὸ αἶ-
σχος ὁρῶσι καὶ ὁρωμένοις. οἷς δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχει, καὶ εἶναι περιδεξίοις, τού-
τοις καὶ τὸ εἶναι τελείοις, καὶ βιοτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος. ὅπερ δὴ ἐκείνῳ συμβέβη-
κεν εὐτυχοῦντι οἴκοθεν ἔχοντι τῆς ἀρετῆς τὸ παράδειγμα, πρὸς ὃ βλέπων εὐθὺς ἄριστος ἦν. ὥ-
σπερ τοὺς πώλους καὶ τοὺς μόσχους ὁρῶμεν, ὁμοῦ τῇ γενέσει ταῖς μητράσιν ἐπισκαί-
ροντας, οὕτω καὶ αὐτὸς τῷ πατρὶ προθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι, καὶ τῶν
ἄκρων τῆς ἀρετῆς κινημάτων, οὐ παραπολὺ λειπόμενος. εἰ βούλει δὲ, καὶ τῇ σκιαγραφίᾳ
τὸ μέλλον τῆς ἀρετῆς κάλλος ὑποσημαίνων, καὶ πρὸ τοῦ καιροῦ τῆς ἀκριβείας, τὰ τῆς ἀκρι-
βείας προχαράττων. ἐπεὶ δ' ἱκανῶς εἶχε τῆς ἐνταῦθα παιδεύσεως, ἔδει δ' αὐτὸν μηδὲν
τῶν καλῶν διαφυγεῖν, μηδὲ τῆς φιλοπόνου τῆς μελίσσης ἀπολειφθῆναι, συλλεγούσης ἐκ
παντὸς ἄνθους τὰ χρησιμώτατα, ὡς δὴ τὴν Καισαρέων πόλιν ἐπείγεται, τῶν τῇδε μεθέξων
παιδευτηρίων. ταύτην δὲ λέγω τὴν περιφανῆ τε καὶ ἡμετέραν, ἐπεὶ καὶ τῶν ἐμῶν λόγων
αὕτη καθηγεμὼν καὶ διδάσκαλος, ἣν οὐχ ἧττον λόγων μητρόπολιν, ἢ τῶν πόλεων ὧν ὑπέρ-
κειται, καὶ καθ' ὧν ἔχει τὴν δυναστείαν· ἣν εἴ τις τῶν ἐν λόγοις κράτους ἀποστερήσειεν, ἀφῃ-
ρηκὼς ἔσται αὐτῆς τὸ κάλλιστόν τε καὶ ἰδιαίτατον. ἄλλαι μὲν γὰρ τῶν πόλεων ἄλλοις ἀγάλ-
λονται καλλωπίσμασιν, ἢ παλαιοῖς, ἢ νέοις, ὅπως ἂν οἶμαι τῶν διηγημάτων ἔχωσιν
ἢ τῶν ὁρωμένων. τῇδε, λόγοι τὸ γνώρισμα, ὥσπερ ἐν τοῖς ὅπλοις ἢ τοῖς δράμασι τὰ ἐπίση-
μα. τὰ δ' ἑξῆς αὐτοὶ διηγείσθωσαν, οἱ καὶ παιδεύσαντες τὸν ἄνδρα παρ' ἑαυτοῖς, καὶ τῆς
παιδεύσεως ἀπολαύσαντες, ὅσος μὲν ἦν διδασκάλοις, ὅσος δὲ ἥλιξι· τοὺς μὲν παρεκτει-
νόμενος, τοὺς δὲ ὑπεραίρων κατὰ πᾶν εἶδος παιδεύσεως. ὅσον κλέος ἐν ὀλίγῳ χρό-
νου παρὰ πᾶσιν ἠνέγκατο, καὶ τοῖς ἐκ τοῦ δήμου καὶ τοῖς πρώτοις τῆς πόλεως. μείζω μὲν
τῆς ἡλικίας τὴν παίδευσιν, μείζω δὲ τῆς παιδεύσεως τὴν τῶν ἠθῶν πῆξιν ἐπιδεικνύμενος.
ῥήτωρ ἐν ῥήτορσι, καὶ πρὸ τῶν σοφιστικῶν θρόνων, φιλόσοφος ἐν φιλοσόφοις, καὶ πρὸ
τῶν ἐν φιλοσοφίᾳ δογμάτων. τὸ μέγιστον, ἱερεὺς Χριστιανοῖς, καὶ πρὸ τῆς ἱερωσύνης. το-
σοῦτον ἦν αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν ἅπασι. τῷ δὲ λόγοι μὲν τὸ πάρερ-
γον ἦσαν τοσοῦτον ἐξ αὐτῶν δρεψαμένῳ, ὅσον εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν συνεργὸν ἔ-
χειν. ἐπειδὴ δεῖ καὶ τῆς ἐν τούτοις δυνάμεως, πρὸς τὴν τῶν νοουμένων δήλωσιν. κίνημα γὰρ
ναρκῶν τῷ ὄντι, νοῦς ἀνεκλάλητος. φιλοσοφία δὲ ἡ σπουδή, καὶ τὸ ῥαγῆναι κόσμου, καὶ
μετὰ θεοῦ γενέσθαι τοῖς κάτω τὰ ἄνω πραγματευόμενον, καὶ τοῖς ἀστάτοις καὶ ῥέουσι τὰ
ἑστῶτα καὶ μένοντα κατακτώμενον. ἐντεῦθεν εἰς τὸ Βυζάντιον τὴν προκαθεζομένην τῆς ἑῴας
πόλιν (καὶ γὰρ εὐδοκίμει σοφιστῶν τε καὶ φιλοσόφων τοῖς πλειοτάτοις, ὧν ἐν βραχεῖ χρό-
νῳ τὰ κράτιστα συνελέξατο, τάχει τε καὶ μεγέθει φύσεως) ἐντεῦθεν. ἐπὶ τὸ τῶν λό-
γων ἔδαφος τὰς Ἀθήνας ὑπὸ τοῦ θεοῦ πέμπεται, καὶ τῆς καλῆς ὁδοῦ τὴν παίδευσιν
ἀπληστίας, Ἀθήνας τὰς χρυσᾶς ὄντως ἐμοὶ καὶ τῶν καλῶν προξένους, εἴπερ τινί. ἐκεῖ-
ναι γάρ μοι τὸν ἄνδρα τοῦτον ἐγνώρισαν τελεώτερον. οὐδὲ πρὶν ἀγνοούμενον, καὶ λόγους ἐ-
πιζητῶν, εὐδαιμονίαν ἐκομισάμην. καὶ τρόπον ἕτερον ταυτὸ πέπονθα τῷ Σαούλ. ὃς
τὰς ὄνους τοῦ πατρὸς ἐπιζητῶν, βασιλείαν εὕρατο μεῖζον τοῦ ἔργου τὸ πάρεργον ἐμπορευ-
σάμενος. τὸ μὲν δὴ μέχρι τούτων εὔδρομος ἡμῖν ὁ λόγος, καὶ διὰ λείας τῆς ὁδοῦ φερόμενος
καὶ ἄγαν εὐπόρου, καὶ βασιλικῆς ὄντως τῶν τοῦ ἀνδρὸς ἐγκωμίων. τὸ δ' ἐντεῦθεν, οὐκ
οἶδ'.

Psal. 13[illegible]

ἡ ἐγκύκλιος παίδευσις

Basileus Caesaream venit.

Basileus Byzantium venit.

Inde Athenas.

οἶδ' ὅ,τι περὶ λόγῳ χρήσωμαι, καὶ ποῖ τράπωμαι, ἔχει γάρ τι καὶ πρόσεστιν ἡμῖν ὁ λό-
γος. παθῶ μὲν γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, καὶ τοῦ καιροῦ τούτου λαβόμενος, καὶ τῶν
κατ' ἐμαυτόν τι προσθεῖναι τοῖς εἰρημένοις, καὶ μικρόν τι προσδιατρῖψαι περὶ διηγήματι.
ὅθεν τε καὶ ὅπως ἡμῖν ἡ κάλλιστος τῆς ἀρχῆς συνέστη τῆς φιλίας, εἴτ' οὖν συμπνοίας καὶ συμ-
φωνίας, εἰ χρὴ προσειπεῖν οἰκειότερον. φιλεῖ γὰρ οὔτε ὄψις ῥᾳδίως ἀναχωρεῖν τῶν τερπνῶν
θεαμάτων, κἂν ἀφέλκῃ τις βίᾳ, πρὸς αὐτὰ πάλιν φέρεσθαι, οὔτε λόγος τῶν ἡδίστων διη-
γημάτων. δέδοικα δὲ τὸ φορτικὸν τῆς ἐγχειρήσεως. πειράσομαι μὲν οὖν ὡς οἷόν τε μετρίως
τοῦτο ποιεῖν, ἂν δ' ἄρα τι καὶ βιαζώμεθα ὑπὸ τοῦ πόθου, συγγνώμη περὶ τὸ πάθος πάντως
παθοῦσιν ὅ,τι δικαιοτάτῳ, καὶ ὁ μὴ παθεῖν ζημία τοῖς γε νοῦν ἔχουσιν. εἶχεν ἡμᾶς Ἀθῆναι,
καθάπερ τι ῥεῦμα ποτάμιον, ἀπὸ μιᾶς σχισθέντας πηγῆς τῆς πατρίδος, εἰς διάφορον ὑπο-
ῥοίαν κατ' ἔρωτα τῆς παιδεύσεως, καὶ πάλιν εἰς ταὐτὸ συνελθόντας, ὥσπερ ἀπὸ συν-
θήματος, οὕτω θεοῦ κινήσαντος. εἶχον δὲ μικρῷ μὲν ἐμὲ πρότερος, τὸν δ' εὐθὺς μετ' ἐμὲ,
μετὰ πολλῆς προσδεχθέντα καὶ περιφανοῦς τῆς ἐλπίδος. καὶ γὰρ ἐν πολλῶν γλώσσαις ἔ-
κειτο πρὶν αὐτὸν εἶναι, καὶ μέγα ἑκάστοις ἦν προκαταλαβεῖν τὸ σπουδαζόμενον. οὐδὲν δὲ δὴ καὶ ἥ-
δυσμά τι προσθεῖναι περὶ λόγῳ μικρὸν ἀφήγημα. τοῖς μὲν εἰδόσιν ὑπόμνησιν, τοῖς δὲ ἀ-
γνοοῦσι διδασκαλίαν. σοφιστομανοῦσιν Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι. οὐ
τῶν ἀγεννῶν μόνον, καὶ τῶν ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν εὖ γεγονότων καὶ περιφανε-
στέρων, ἅτε πλῆθος σύμμικτον ὄντες, καὶ νέοι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς. ὅπερ οὖν
πάσχοντάς ἐστιν ἰδεῖν περὶ τὰς ἀντιθέτους ἱπποδρομίας, τοὺς φιλίππους τε καὶ φιλοθεάμο-
νας, πηδῶσι, βοῶσιν, οὐρανῷ πέμπουσι κόνιν, ἡνιοχοῦσι καθήμενοι, παίουσι τὸν ἀέρα, τοὺς ἵπ-
πους διὰ τοῖς δακτύλοις ὡς μάστιξι ζευγνύουσι, μεταζευγνύουσιν, οὐδενὸς ὄντες κύριοι. αὐτοὶ
διδόασιν ἀλλήλοις ῥᾳδίως, ἡνιόχων, ἵππων, ἱπποστασίας, στρατηγούς· καὶ ταῦτα τί-
νες; οἱ πένητες πολλάκις καὶ ἄποροι, καὶ μηδ' αὐτῆς εἰς μίαν ἡμέραν τροφῆς εὐπορήσαντες.
τοῦτο καὶ αὐτοὶ πάσχουσιν ἀτεχνῶς, περὶ τοὺς ἑαυτῶν διδασκάλους, καὶ ἀντιτέχνους.
ὅπως πλείους τε ὦσιν αὐτοὶ, κἀκείνους εὐπορωτέρους ποιῶσι δι' ἑαυτῶν σπουδὴν ἔχοντες,
καὶ τὸ πρᾶγμά ἐστιν ὑπερφυῶς ἄτοπον καὶ δαιμόνιον, προκαταλαμβάνονται πόλεις,
ὁδοὶ, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαὶ, οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικῆς μέρος, ἢ τῆς λοιπῆς Ἑλλά-
δος, αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι. καὶ γὰρ τούτους μεμερισμένους ταῖς σπουδαῖς ἔχουσιν.
ἐπειδὰν οὖν ἐπιστῇ τῶν νέων, καὶ ἐν χερσὶ γένηται τῶν ἑλόντων, γίνεται δὲ ἢ βιασθεὶς
ἢ ἑκὼν, νόμος οὗτός ἐστιν αὐτοῖς Ἀττικὸς, καὶ παιδιὰ σπουδῇ σύμμικτος. πρῶτος μὲν ξεναγεῖται
παρὰ τινι τῶν προειληφότων, ἢ φίλων, ἢ συγγενῶν, ἢ τῶν ἐκ τῆς αὐτῆς πατρίδος,
ἢ τῶν ὅσοι περὶ τὰ σοφιστικὰ, καὶ προσαγωγεῖς τῶν λημμάτων, καὶ τοὐντεῦθεν μάλιστα διὰ τι-
μῆς ἐκείνοις, ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τῶν σπουδαστῶν τυγχάνειν, ἔπειτα ἐρεσχε-
λεῖται παρὰ τοῦ βουλομένου παντός. βούλεται δὲ αὐτοῖς οἶμαι τοῦτο, τῶν νεηλύδων συστέλ-
λειν τὸ φρόνημα, καὶ ὑπὸ χεῖρα σφῶν ἀπ' ἀρχῆς ἄγειν. ἐρεσχελεῖται δὲ παρὰ μὲν τῶν θρα-
σύτερον, παρὰ δὲ τῶν λογικώτερον, ὅπως ἂν ἀγροικίας ἢ ἀστειότητος ἔχῃ. καὶ τὸ πρᾶγμα
τοῖς μὲν ἀγνοοῦσι, λίαν φοβερὸν καὶ ἀνήμερον, τοῖς δὲ προειδόσι, καὶ μάλα ἡδὺ καὶ φιλάν-
θρωπον. πλείων γάρ ἐστιν ἡ ἔνδειξις, ἢ τὸ ἔργον τῶν ἀπειλουμένων. ἔπειτα πομπεύει διὰ τῆς
ἀγορᾶς ἐπὶ τὸ λουτρὸν προαγόμενος. ἡ πομπὴ δὲ, διαταξάμενοι ἑαυτοὺς στοιχηδὸν κατὰ συζυ-
γίαν ἐκ διαστήματος οἱ κοσμοῦντες τῷ νέῳ τὴν πρόοδον, ἐπὶ τὸ λουτρὸν προπέμπουσιν.
ἐπειδὰν δὲ πλησιάσωσι, βοῇ τε πολλῇ, καὶ ἅλμασι χρώμενοι, καθάπερ ἐνθουσιῶντες.
κελεύει δὲ ἡ βοὴ, μὴ προβαίνειν, ἀλλ' ἵστασθαι, ὡς τοῦ λουτροῦ σφᾶς οὐ παραδεχομένου, καὶ
ἅμα τῶν θυρῶν ἀρασσομένων, πατάγῳ τὸν νέον φοβήσαντες, εἶτα τὴν εἴσοδον συγχωρήσαντες,
οὕτως ἤδη τὴν ἐλευθερίαν διδόασιν, ὁμότιμον ἐκ τοῦ λουτροῦ καὶ ὡς αὐτῶν ἕνα δεχόμενοι,
καὶ τοῦτό ἐστιν αὐτοῖς τῆς τελετῆς τὸ τερπνότατον, ἡ ταχίστη τῶν λυπούντων ἀπαλλαγὴ καὶ
κατάλυσις. τότε τοίνυν ἐγὼ τὸν ἐμὸν καὶ μέγαν Βασίλειον, οὐκ αὐτὸς δι' αἰδοῦς ἦγον μόνον, τό,τε
τοῦ ἤθους στάσιμον καθορῶν, καὶ τὸ ἐν λόγοις καίριον, ἀλλὰ καὶ τῶν ἄλλων ἔπειθον ὁμοίως ἔχειν,
ὅσοι τῶν νέων ἀγνοοῦντες τὸν ἄνδρα ἐτύγχανον. τοῖς δὲ πολλοῖς εὐθὺς αἰδέσιμος ἦν, ἀκοῇ προ-
κατειλημμένος, ἐξ οὗ τι γίνεται, μόνος σχεδὸν τῶν ἐπιδημούντων, τὸν κοινὸν διέφυγε νόμον,
κρείττονος ἢ κατὰ νέηλυν ἀξιωθεὶς τιμῆς. τοῦτο ἡμῖν τῆς φιλίας προοίμιον. ἐντεῦθεν ὁ τῆς συνα-
φείας σπινθήρ. οὕτως ἐπ' ἀλλήλοις ἐτρώθημεν. ἔπειτα συνηνέχθη τι καὶ τοιοῦτον. οὐδὲ γὰρ
τοῦτο παραλιπεῖν ἄξιον, οὐχ ἁπλοῦ γένος εὑρίσκω τῶν Ἀρμενίων, ἀλλὰ καὶ λίαν κρυψίνουν
τι καὶ ὕφαλον. τότε τοίνυν τῶν ἐκ πλείονος αὐτῷ συνήθων, καὶ φίλων τινῶν, εἴτ' ἐκ τῆς
πατρὸς καὶ τῆς αὐτόθεν ἑταιρείας. καὶ γὰρ ἐκείνης τῆς διατριβῆς ὄντες ἐτύγχανον, προσι-
όντες αὐτῷ μετὰ φιλικοῦ πλάσματος (φθόνος δὲ ἦν, οὐκ εὔνοια τὸ προσάγον) ἐπηρώ-

των τι

Σοφιστομανεῖν.

Machinamenta doctorum ad multitudinem discipulorum sibi parandam.

Armeniorum ingenium quale.

των τε αὐτοῦ φιλονείκως μᾶλλον ἢ λογικῶς. καὶ ἀποκλίνειν ἑαυτοῖς ἐπειρῶντο διὰ τῆς πρώτης ἐπιχειρήσεως, τήν τε ἄνωθεν τοῦ ἀνδρὸς εὐφυΐαν εἰδότων, καὶ τὴν τότε τιμὴν οὐ φερόντων. δεινὸν γὰρ εἶναι εἰ προειληφότος τὸν τρίβωνα, λαρυγγίζειν προμελετήσαντος, μὴ πλέον ἕξοιεν τοῦ ξένου τε καὶ νήλυδος. ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος. οὐ γὰρ ᾐσθόμην τοῦ φθόνου, πιστεύων τῷ πλάσματι, ἤδη κλινομένων αὐτῶν καὶ τὰ νῶτα μεταβαλλόντων, καὶ γὰρ ἐζηλοτύπουν τὸ τῶν Ἀθηναίων κλέος ἐν ἐκείνοις καταλυθῆναι, καὶ τάχιστα περιφρονηθῆναι, ὑπήρεισά τε τὸν νεανίαν, ἐπαναγαγὼν τὸν λόγον, καὶ τὴν ἐμαυτοῦ ῥοπὴν χαριζόμενος (δύναται δὲ καὶ ἡ μικρὰ προσθήκη πανταχοῦ ἐν τοῖς τοιούτοις) ἴσας ὑσμίνη τὰς κεφαλὰς τοῦ λόγου κατέστησα. ὡς δὲ τὸ τῆς διαλέξεως ἔγνων ἀπόρρητον, οὐδὲ καθῆκεν ἐπιτυγχανόντως, ἀλλὰ σαφῶς ἤδη τὰ γυμνούμενα, ἐξαίφνης μεταβαλὼν, πρύμναν τε ἐκρουσάμην, ἐκείνῳ συνθέμενος, καὶ ἑτεροκλινῆ τὴν νίκην ἐποίησα. ὁ δὲ ᾔσθη τε αὐτίκα τοῦ γινομένου· καὶ γὰρ ἦν ἀγχίνους, εἰ καί τις ἄλλος. καὶ προθυμίας πλησθεὶς, ἵνα τελέως αὐτῶν καταθυμήσειε, ἔφεπε κλονέων τῷ λόγῳ τὴν γεννάδα ἐκείνων. καὶ ποίων συλλογισμοῖς οὐ πρὶν ἀνῆκεν, ἢ τελέως τρέψασθαι, καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. οὗτος δεύτερος ἡμῖν τῆς φιλίας οὐκ ἔτι σπινθὴρ, ἀλλ' ἤδη πυρσὸς ἀνάπτεται, περιφανὴς καὶ ἄσβεστος. οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι, πολλὰ μὲν τῆς προπετείας ἑαυτοῖς καταμεμψάμενοι, πολλὰ δὲ τῆς ἐπιβουλῆς ἐμοὶ δυσχεράναντες, ὡς καὶ φανερὰν ἔχθραν ὁμολογῆσαι, καὶ προδοσίαν ἐπικαλεῖν, οὐκ ἐκείνων μόνον, ἀλλὰ καὶ αὐτῶν Ἀθηνῶν, ὡς διὰ τῆς πρώτης πείρας ἐληλεγμένων καὶ ᾐσχυμμένων ὑφ' ἑνὸς ἀνδρὸς, καὶ τούτου μηδὲ τοῦ θαρρεῖν καιρὸν ἔχοντος. ὁ δὲ (καὶ γὰρ ἀνθρώπινον τὸ πάθος, ὅταν μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾶν τὰ φαινόμενα) τοῦτο καὶ αὐτὸς πάσχων ἐσκυθρώπαζεν, ἐδυσφόρει, τῆς ἐπιδημίας ἑαυτὸν ἐπαινεῖν οὐκ εἶχεν. ἐζήτει τὸ ἐλπισθὲν, κενὴν μακαρίαν τὰς Ἀθήνας ὠνόμαζεν. ὁ μὲν δὴ ταῦτα. ἐγὼ δὲ τῆς λύπης ἀφῄρουν τὸ πλεῖστον, καὶ λογικῶς συγγινόμενος, καὶ καταπᾴδων τοῖς λογισμοῖς, καὶ ὅπερ ἦν ἀληθὲς, ὅτι ἦθος ἀνδρὸς οὐκ εὐθὺς ἁλωτὸν εἶναι λέγων, ὅτι μὴ χρόνῳ πολλῷ καὶ συνουσίᾳ τελεωτάτῃ, οὔτε παιδεύσιν τοῖς πειρωμένοις ἐξ ὀλίγων τε καὶ ἐν ὀλίγῳ γνωρίζεσθαι. ὅθεν ἐπανήγαγον αὐτὸν εἰς τὸ εὔθυμον, καὶ πεῖραν διδόντες καὶ λαμβάνοντες, πλέον ἐμαυτῷ συνέδησα. ὡς δὲ προϊόντος τοῦ χρόνου τὸν πόθον ἀλλήλοις καθωμολογήσαμεν, καὶ φιλοσοφίαν εἶναι τὸ σπουδαζόμενον, τηνικαῦτα ἤδη τὰ πάντα ἦμεν ἀλλήλοις, ὁμόστεγοι, ὁμοδίαιτοι, συμφυεῖς, ἓν ἀμφοτέροις βλέποντες, ἀεὶ τὸν πόθον ἀλλήλοις συναύξοντες θερμότερόν τε καὶ βεβαιότερον. οἱ μὲν γὰρ τῶν σωμάτων ἔρωτες ἐπειδὴ ῥεόντων εἰσὶ, καὶ ῥέουσι, καὶ τοῖς ἄνθεσιν. οὔτε γὰρ φλὸξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλὰ τῷ ἀνάπτοντι συναπέρχεται, οὔτε πόθος ὑφίσταται, μαραινομένου τοῦ ὑπεκκαύματος. οἱ δὲ κατὰ Θεόν τε καὶ σώφρονες, ἐπειδὴ πράγματος ἑστῶτός εἰσι, διὰ τοῦτο καὶ μονιμώτεροι, καὶ ὅσῳ πλέον αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τὸ αὐτὸ ἐρῶντας. οὗτος τῶν ὑπὲρ ἡμᾶς ἐρώτων νόμος. αἰσθάνομαι μὲν οὖν ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος, καὶ οὐκ οἶδ' ὅπως εἰς ταῦτα ἐμπίπτω τῶν λόγων, οὐκ ἔχω δ' ὅπως ἐμαυτὸν ἐπίσχω τοῦ διηγήματος. ἀεὶ γάρ μοι τὸ παρελθὸν ἀναγκαιότερον φαίνεται, καὶ κρεῖττον τοῦ προληφθέντος. καὶ εἴ με τις ἀπάγει τοῦ πρόσω τυραννικῶς, τὸ τῶν πολυπόδων πάσχομεν, ὧν τῆς θαλάμης ἐξελκομένων, προσέχονται ταῖς κοτύλαις αἱ πέτραι. καὶ οὐ πρὶν ἀφεθήσονται, ἢ τῶν ἀλλήλων τι προσλαβεῖν ἐκ τῆς βίας. εἰ μὲν οὖν συγχωρεῖ τις, ἔχω τὸ ζητούμενον· εἰ δὲ μὴ, παρ' ἐμαυτοῦ λήψομαι. οὕτω δὴ τὰ πρὸς ἀλλήλους ἔχοντες, καὶ τοιούτους ὑποστήσαντες εὐτειχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος, οὕτως ἦμεν εἰς τὸ πρόσω, Θεοῦ καὶ πόθου συνεργοῖς χρώμενοι. ὢ πῶς ἀδακρυτὶ τῆς τούτων ἐγκωμιάζω μνήμης. ἴσαι μὲν ἐλπίδες ἦγον ἡμᾶς, πράγματος ἐπιφθονωτάτου, τῶν λόγων. φθόνος δὲ ἀπῆν, ζῆλος δὲ ἐσπουδάζετο. ἀγὼν δὲ ἀμφοτέροις, οὐχ ὅστις αὐτὸς τὸ πρωτεῖον ἔχοι, ἀλλ' ὅπως θατέρῳ τοῦτο παραχωρήσειεν. τὸ γὰρ ἀλλήλων εὐδόκιμον ἴδιον ἐποιούμεθα. μία μὲν ἀμφοτέροις ἐδόκει ψυχὴ, δύο σώματα φέρουσα. καὶ εἰ τοῖς πάντα ἐν πᾶσι κεῖσθαι, μὴ πιστευτέον τοῖς λέγουσιν, ἀλλ' ἡμῖν γε πιστευτέον, ὡς ἐν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἦμεν. ἓν δ' ἀμφοτέροις ἔργον, ἡ ἀρετὴ, καὶ τὸ ζῆν πρὸς τὰς μελλούσας ἐλπίδας, πρὶν ἐνθένδε ἀπελθεῖν, ἐνθένδε μεθισταμένοις. πρὸς ὃ βλέποντες, καὶ βίον καὶ πρᾶξιν ἅπασαν ἀπευθύνομεν, ὑπό τε τῆς ἐντολῆς οὕτως ἀγόμενοι, καὶ ἀλλήλοις τὴν ἀρετὴν παραθήγοντες. καὶ εἰ μὴ μέγα ἐμοὶ τοῦτο εἰπεῖν, κανόνες ὄντες ἀλλήλοις καὶ στάθμαι, οἷς τὸ εὐθὺ, καὶ μὴ, διακρίνεται. ἑταίρων τε ἡμῖν ὁμιλοῦμεν, οὐ τοῖς ἀσελγεστάτοις, ἀλλὰ τοῖς σωφρονεστάτοις· οὐδὲ τοῖς μαχιμωτάτοις, ἀλλὰ τοῖς εἰρηνικωτάτοις, καὶ οἷς συνεῖναι λυσιτελέστατον· εἰδότες ὅτι κακίας ῥᾷον μεταλαβεῖν, ἢ ἀρετῆς μεταδοῦναι· ἐπεὶ καὶ νόσου μεταλαβεῖν μᾶλλον, ἢ ὑγιείας χαρίσασθαι. μαθημάτων δὲ οὐ τοῖς ἡδίστοις πλέον, ἢ τοῖς καλλί-

Polypus natura.

σοις ἐχαιρόμεθα. ἐπειδὴ καὶ τοῦτο οἶδεν ὅτι ἢ πρὸς ἀρετὴν τυποῦσθαι τοὺς νέους, ἢ πρὸς κακίαν. δύο μὲν ἐγνωρίζοντο ἡμῖν ὁδοί· ἡ μὲν πρώτη καὶ τιμιωτέρα· ἡ δὲ δευτέρα, καὶ οὐ τοῦ ἴσου λόγου, ἡ τε πρὸς τοὺς ἱεροὺς ἡμῶν οἴκους, καὶ τοὺς ἐκεῖσε διδασκάλους φέρουσα, καὶ ἡ πρὸς τοὺς ἔξωθεν παιδευτάς. τὰς δὲ ἄλλας τοῖς βουλομένοις ἀφήκαμεν, ἑορτάς, θέατρα, πανηγύρεις, συμπόσια. οὐδὲν γὰρ οἶμαι τίμιον, ὃ μὴ πρὸς ἀρετὴν φέρει, μηδὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας. ἄλλοις μὲν οὖν ἄλλαι προσηγορίαι τινές εἰσιν ἢ πατρόθεν, ἢ οἴκοθεν, ἐκ τῶν ἰδίων ἐπιτηδευμάτων ἢ πράξεων. ἡμῖν δὲ τὸ μέγα πρᾶγμα καὶ ὄνομα, χριστιανοῖς καὶ εἶναι, καὶ ὀνομάζεσθαι. οὗ πλέον ἐφρονοῦμεν, ἢ τῇ στροφῇ τῆς σφενδόνης ὁ γύγης (εἴπερ μὴ μῦθος ἦν) ἐξ ἧς λυδῶν ἐτυράννησεν. ἢ τοῦ χρυσοῦ ποτε μίδας, δι' ὃν ἀπώλετο ἐπιτυχὼν τῆς εὐχῆς, καὶ πάντα χρυσοῦς κτησάμενος. ἄλλος οὗτος φρύγιος μῦθος. τὸν γὰρ ἀβαρίδος οἰστόν, τί ἂν λέγοιμι τοῦ ὑπερβορέου, ἢ τὸν ἀργεῖον πήγασον, οἷς οὐ τοσοῦτον ἦν τὸ δι' ἀέρος φέρεσθαι, ὅσον ἡμῖν τὸ πρὸς θεὸν αἴρεσθαι δι' ἀλλήλων, καὶ σὺν ἀλλήλοις. εἴπω τι συντομώτερον; βλαβερὰς μὲν τοῖς ἄλλοις ἀθήνας, τὰ εἰς ψυχὴν (οὐ γὰρ φαῦλον τοῦτο ὑπολαμβάνεται) τοῖς εὐσεβεστέροις. καὶ γὰρ πλουτοῦσι τὸν κακὸν πλοῦτον τὰ εἴδωλα, μᾶλλον τῆς ἄλλης ἑλλάδος, καὶ χαλεπὸν μὴ συναρπασθῆναι τοῖς τούτων ἐπαινέταις καὶ συνηγόροις. ἡμῖν δ' οὐδεμία παρὰ τούτων ζημία, τὴν διάνοιαν πεπυκνωμένοις καὶ πεφραγμένοις. τοὐναντίον μὲν οὖν εἰ καὶ χρή τι παράδοξον εἰπεῖν, εἰς τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν, καταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον, ἐνταῦθα δαιμόνων καταφρονήσαντες, οὗ θαυμάζονται δαίμονες. καὶ εἴ τις ἔστιν ἢ πιστεύεται ποταμός, δι' ἅλμης ῥέων γλυκύς, ἢ ζῶον ἐν πυρὶ σκαῖρον, ᾧ τὰ πάντα ἁλίσκεται, τοῦτο ἦμεν ἡμεῖς ἐν πᾶσι τοῖς ἥλιξι. καὶ τὸ κάλλιστον, ὅτι καὶ φατρία τις περὶ ἡμᾶς οὐκ ἀγεννὴς ἦν, ἐπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ ἀγομένη, ἐν τοῖς αὐτοῖς χαίρουσα, εἰ καὶ πεζοὶ παρὰ λύδιον ἅρμα ἑπόμενοι τῷ ἐκείνου δρόμῳ καὶ τρόπῳ. ἐξ ὧν ὑπῆρχεν ἡμῖν ἐπισήμοις μὲν εἶναι παρὰ τοῖς ἡμετέροις παιδευταῖς καὶ συμπλάκουσιν, ἐπισήμοις δὲ παρὰ τῇ ἑλλάδι πάσῃ, καὶ ταύτης μάλιστα τοῖς γνωριμωτάτοις. ἤδη δὲ καὶ μέχρι τῆς ὑπερορίας προήλθομεν, ὡς σαφὲς γέγονεν ἐκ πλειόνων τῶν ταῦτα διηγουμένων. παρὰ τοσούτοις μὲν γὰρ οἱ ἡμέτεροι παιδευταί, παρ' ὅσοις ἀθῆναι. παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ' ὅσοις οἱ παιδευταί, συνακουόμενοί τε ἀλλήλοις καὶ συλλαλούμενοι, καὶ ξυνωρὶς οὐκ ἀνώνυμος, καὶ ὅτι παρ' αὐτοῖς καὶ ἀκούοντι οὐδὲν τοιοῦτον αὐτοῖς οἱ ὀρέσται, καὶ οἱ πυλάδαι. οὐδὲ οἱ μολιονίδαι, τῆς ὁμηρικῆς δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν ἐγνώρισε, καὶ τὸ κατὰ τὸ ἅρμα ἐλαύνειν, μεριζομένους ἐν ταὐτῷ ἡνίας καὶ μάστιγας. ἀλλὰ τί ἔλαθον ἐμαυτὸν εἰς τοὺς ἐμοὺς ὑπαχθεὶς ἐπαίνους, ὁ μηδὲ παρ' ἑτέρου ποτὲ τοῦτο δεξάμενος. καὶ θαυμαστὸν οὐδέν, εἰ καὶ ἐνταῦθα τῆς ἐκείνου φιλίας τι παραπέλαυσα, ὥσπερ ζῶντος εἰς ἀρετήν, οὕτω μεταστάντος εἰς εὐφημίαν. ἀλλ' ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος. τίς μὲν ἦν ἡμῖν, οὕτω πολιὸς τὴν σύνεσιν, καὶ πρὸ τῆς πολιᾶς. ἐπειδὴ τούτῳ καὶ σολομὼν τὸ γῆρας ὁρίζεται. τίς δὲ οὕτως αἰδέσιμος ἢ παλαιοῖς ἢ νέοις, μὴ ὅτι τοῖς κατ' αὐτὸν ἡμῖν χρόνοις, ἀλλὰ καὶ τοῖς πλεῖστον προειληφόσι. τίς μὲν ἧττον ἐδεῖτο λόγων, διὰ τὸν τρόπον; τίς δὲ μᾶλλον μετῆγε λόγων, καὶ μετὰ τοῦ τρόπου; ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ ποῖον οὐ μεθ' ὑπερβολῆς ὡς μόνον; οὕτω μὲν ἅπαντα διελθών, ὡς οὐδεὶς ἓν· οὕτω δὲ εἰς ἄκρον ἕκαστον, ὡς τῶν ἄλλων οὐδέν. σπουδὴ γὰρ εὐφυΐᾳ συνέδραμεν, ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσιν. ἥκιστα μὲν τάχους φύσεως διὰ πόνον δεόμενος, ἥκιστα δὲ πόνου διὰ τάχος. οὕτω δ' ἀμφότερα συλλαβών, καὶ εἰς ἓν ἀγαγών, ὡς τὸ ἄδηλον εἶναι ποτέρῳ τούτων ἐκεῖνος θαυμασιώτερος. τίς μὲν ῥητορικὴν τοσοῦτος, τὴν πυρὸς μένος πνέουσαν, εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ ῥήτορας ἦν; τίς δὲ γραμματικήν, ἣ γλῶσσαν ἑλληνίζει, καὶ ἱστορίαν συνάγει, καὶ μέτροις ἐπιστατεῖ, καὶ νομοθετεῖ ποιήμασι; τίς δὲ φιλοσοφίαν, τὴν ὄντως ὑψηλήν τε καὶ ἄνω βαίνουσαν, ὅση τε πρακτικὴ καὶ θεωρητική, ὅση τε περὶ τὰς λογικὰς ἀποδείξεις ἢ ἀντιθέσεις ἔχει τε καὶ παλαίσματα, ἣν δὴ διαλεκτικὴν ὀνομάζουσιν, ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους διεξελθεῖν, ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν, εἰ τοῦτο δεήσειεν; ἀστρονομίαν δὲ καὶ γεωμετρίαν, καὶ ἀριθμῶν ἀναλογίας, τοσοῦτον λαβών, ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, τὸ περιττὸν δὲ παρωσάμενος ὡς ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὥστε μᾶλλον μὲν τὸ αἱρεθὲν τοῦ παρεθέντος ἔξεστι θαυμάζειν, μᾶλλον δὲ τοῦ αἱρεθέντος τὸ παρεθέν. ἰατρικὴν μὲν γὰρ καὶ ἡ τοῦ σώματος ἀρρωστία καὶ νοσοκομία, φιλοσοφίας καὶ φιλοπονίας οὖσα καρπόν, ἀναγκαίαν αὐτῷ πεποίηκεν, ἔνθεν ἀρξάμενος εἰς ἕξιν τῆς τέχνης ἀφίκετο. καὶ ταύτης οὐχ ὅση περὶ τὰ φαινόμενα ἔχει καὶ κάτω κείμενα, ἀλλ' ὅσον δογματικὸν καὶ φιλόσοφον. ἀλλὰ τί ταῦτα, καίπερ τηλικαῦτα τυγχάνοντα, πρὸς τὴν ἐν τοῖς ἤθεσι τοῦ ἀνδρὸς παίδευσιν; λῆρος τοῖς τοῦ ἀνδρὸς πεπειραμένοις ὁ μίνως ἐκεῖνος, καὶ ὁ ῥαδάμανθυς. οὓς ἀσφοδελῶν λειμώνων καὶ ἠλυσίων πεδίων ἠξίωσαν ἕλληνες, ἐν φαντασίᾳ τοῦ καθ' ἡμᾶς παραδείσου γενόμενοι, ἐκ τῶν

μωσαι-

μουσαϊκῶν οἶμαι βιβλίων καὶ ἡμετέρων, εἰ καὶ πολὺ τὴν κλῆσίν τι διηνέχθησαν, οἱ ἄλλοις
ὀνόμασι τὸ πρᾶγμα διηλλάξαντο. εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ πλήρης παιδεύσεως ἡ φορ-
τίς. ὡς γ' οὖν ἐφικτὸν ἀνθρωπίνῃ φύσει. τὸ γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν, ἔδει δὲ λοιπὸν
ἐπανόδου καὶ βίου τελεωτέρου, καὶ τοῦ λαβέσθαι τῶν ἐλπιζομένων ἡμῖν καὶ συγκειμένων. πα-
ρῆν ἡ τῆς ἐκδημίας ἡμέρα, καὶ ὅσα τῆς ἐκδημίας, προπεμπτήριοι λόγοι, προπομπαί, ἀνακλήσεις,
οἰμωγαί, περιπλοκαί, δάκρυα. οὐδὲν γὰρ οὕτως οὐδενὶ λυπηρόν, ὡς τοῖς Ἀθήνησι συννόμοις,
Ἀθηνῶν καὶ ἀλλήλων τέμνεσθαι. γίνεται δὴ τότε θέαμά τι ἐλεεινόν, καὶ ἱστορίας ἄξιον. περι-
στάντες ἡμᾶς ὁ τῶν ἑταίρων καὶ ἡλίκων χορός, ἔστι δὲ ὧν καὶ διδασκάλων, οὐδ' ἂν εἴ τι
γένοιτο μεθήσειν ἔφασκον οἱ περιλαβόντες, βιαζόμενοι, πείθοντες. τί γὰρ οὐ λέγοντες; τί
δ' οὐ πράττοντες, ὡς τοὺς ἀλγοῦντας εἰκός; ἐνταῦθά τι καὶ κατηγορήσω μὲν ἐμαυτοῦ· κατηγο-
ρήσω δὲ τῆς θείας ἐκείνης, καὶ ἀλήπτου ψυχῆς, εἰ καὶ τολμηρότερον. ὁ μὲν γὰρ τὰς αἰτίας ἀ-
πὼν τῆς περὶ τὴν ἐπάνοδον φιλονεικίας κρείττων ὤφθη τῶν κατεχόντων, καὶ βίᾳ μέν, συγ-
χωρηθῆναι δ' οὖν ὅμως τὴν ἐκδημίαν. ἐγὼ δὲ ὑπελείφθην Ἀθήνησι, τὸ μέν τι μαλακισθεὶς
(εἰρήσεται γὰρ τἀληθές) τὸ δέ τι προδοθεὶς παρ' ἐκείνου πεισθέντος, ἀφεῖναι μὴ ἀφιέντα,
καὶ παραχωρῆσαι τοῖς ἕλκουσι, πρᾶγμα πρὶν γενέσθαι μὴ πιστευόμενον. ἐῴκει γὰρ ὥσπερ
ἑνὸς σώματος εἰς δύο τομή, καὶ ἀμφοτέρων νέκρωσις, ἢ μόσχων συντρόφων καὶ ὁμοζύγων
διάζευξις, γοερὸν μυκωμένων ἐπ' ἀλλήλοις, καὶ οὐ φερόντων τὴν ἀλλοτρίωσιν. οὐ μὴν μα-
κρότερόν μοι τὸ τῆς ζημίας. οὐ γὰρ ἠνεσχόμην ἐπὶ πλεῖον ἐλεεινὸς ὁρᾶσθαι, καὶ πᾶσι λόγον ὑ-
πέχειν τῆς διαστάσεως. ἀλλ' ἐπιμείνας τι μετ' αὐτὸν Ἀθήνησι χρόνον οὐχὶ συχνόν, ποιεῖ τὸν ὁμη-
ρικὸν ἵππον ὁ πόθος, καὶ τὰ δεσμὰ ῥήξας τῶν κατεχόντων, κροαίνω κατὰ πεδίων καὶ πρὸς τὸν
σύννομον ἐφερόμην. ὡς δ' οὖν ἐπανήκομεν, μικρὰ τῷ κόσμῳ καὶ τῇ σκηνῇ χαρισάμενοι, καὶ
ὅσον τὸν τῶν πολλῶν πόθον ἀφοσιώσασθαι, οὐ γὰρ αὐτοί γε εἴχομεν θεατρικῶς, οὐδ' ἐπιδεικτι-
κῶς, τάχιστα ἐγενόμεθα ἡμῶν αὐτῶν, καὶ προήλθομεν εἰς ἄνδρας ἐξ ἀγενείων ἀνδρικώτερον
τῇ φιλοσοφίᾳ προσβαίνοντες, οὐ σὺν ἀλλήλοις μὲν ἔτι, οὐ γὰρ ἀφῆκεν ὁ φθόνος, τῷ πόθῳ
δὲ σὺν ἀλλήλοις. τὸν μὲν γὰρ ἡ Καισαρέων κατέχει πόλις, ὡς ἵνα δεύτερον οἰκιστήν τι καὶ πο-
λιοῦχον. ἔπειτα ἐκδημίαι τινές, ἐπειδή γε ἡμᾶς οὐκ εἶχε, τὴν ἀναγκαίαν ὑπολαμβάνουσι.
καὶ οὐκ ἀπὸ σκοποῦ τῆς προκειμένης φιλοσοφίας. ἐμὲ δὲ πατέρων εὐλάβεια, καὶ γηροκομία,
καὶ συμφορῶν ἐπανάστασις κατέχουσα, τοῦ ἀνδρὸς ἀπήγαγεν, οὐ καλῶς μὲν ἴσως, οὐδὲ δικαί-
ως. ἀπήγαγε δ' οὖν. σκοπῶ δὲ εἰ μὴ ἐντεῦθέν μοι πᾶσα ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ δυσκο-
λία συνέπεσε. καὶ τὸ πρὸς τὴν φιλοσοφίαν οὐκ εὔοδον, οὐδὲ τῆς ἐπιθυμίας καὶ τῆς ὑποθέσε-
ως ἄξιον. τὰ μὲν οὖν ἡμέτερα ὅπῃ τῷ θεῷ φίλον ἀγέσθω. ἄγοιτο δὲ ταῖς ἐκείνου πρεσβείαις ἄ-
μεινον. τὸν δὲ ἡ πολύτροπος τοῦ θεοῦ φιλανθρωπία, καὶ ἡ περὶ τὸ ἡμέτερον γένος οἰκονομία, διὰ πολ-
λῶν τῶν ἐν μέσῳ γνωρίσασα, καὶ ἀεὶ λαμπρότερον ἀναδείξασα, λαμπτῆρα τῇ ἐκκλησίᾳ
προτίθησι περιφανῆ τε καὶ περιβόητον τοῖς ἱεροῖς τῶν πρεσβυτερίων θρόνοις πως ἐγκατα-
λέξασα, καὶ διὰ μιᾶς τῆς Καισαρέων πόλεως, τῇ οἰκουμένῃ πάσῃ πυρσεύουσα, καὶ τίνα τρό-
πον; οὐ χειροτονήσασα τὸν βαθμόν, οὐδὲ ὁμοῦ τε πλύνασα καὶ σοφίσασα, κατὰ τοὺς πολλοὺς τῶν νῦν
τῆς προστασίας ἐφιεμένων, ἀλλὰ τάξει καὶ νόμῳ πνευματικῆς ἀναβάσεως τῆς τιμῆς ἀξιώσα-
σα. οὐκ ἐπαινῶ γὰρ ἐγὼ τὴν παρ' ἡμῖν ἀταξίαν καὶ ἀκοσμίαν ἔστιν ὅτε, καὶ ἐφ' ὧν προεδρευόν-
των ἐν βήμασιν. οὐ γὰρ ἁπάντων τολμήσω κατηγορεῖν, οὐδὲ δίκαιον. ἐπαινῶ τὸν ναυτικὸν νόμον· ὃς
τὴν κώπην πρότερον ἐγχειρίσας τῷ νῦν κυβερνήτῃ, κἀκεῖθεν ἐπὶ τὴν πρῷραν ἀναγαγὼν καὶ
πιστεύσας τὰ ἔμπροσθεν, οὕτω τῶν οἰάκων καθίζει μετὰ τὸ πολλήν τι φθεῖραι θάλασσαν,
καὶ τὰ τῶν ἀνέμων διασκέψασθαι. ὡς δὲ καὶ τοῖς πολεμικοῖς ἔχει, στρατιώτης, ταξίαρχος, στρατηγός,
αὕτη ἡ τάξις ἀρίστη καὶ λυσιτελεστάτη τοῖς ἀρχομένοις. τὸ δ' ἡμέτερον, πολλοῦ ἂν ἄξιον, εἰ οὕ-
τως εἶχε. νῦν δὲ κινδυνεύει τὸ πάντων ἁγιώτατον τάγμα παρ' ἡμῖν πάντων εἶναι καταγελα-
στότατον. οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον, ἢ κακουργίας, ἡ προεδρία, οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατω-
τέρων οἱ θρόνοι. Σαμουὴλ ἐν προφήταις ὁ τὰ ἔμπροσθεν βλέπων; ἀλλὰ καὶ Σαοὺλ ὁ ἀπόβλη-
τος. Ῥοβοὰμ ἐν βασιλεῦσιν ὁ Σολομῶντος; ἀλλὰ καὶ Ἱεροβοὰμ ὁ δοῦλος καὶ ἀποστάτης. καὶ
ἰατρὸς μὲν οὐδείς, οὐδὲ ζωγράφος, ὅς τις οὐ φύσεις ἀρρώστων ἐσκέψατο πρότερον, ἢ πολλὰ χρώ-
ματα συνεκέρασεν ἢ ἐμόρφωσεν. ὁ δὲ πρόεδρος εὑρίσκεται ῥᾳδίως, μὴ πονηθείς, ὡς ὁ μῦθος
κρινεῖ τοὺς γίγαντας. πλάττομεν ἐν ἡμέρᾳ τοὺς ἁγίους, καὶ σοφοὺς εἶναι κελεύομεν, τοὺς οὐδὲν
σοφισθέντας, οὐδὲ τοῦ βαθμοῦ προσενεγκόντας τι πλὴν τοῦ βούλεσθαι. καὶ ὁ μὲν στέργει τὴν κά-
τω χώραν, καὶ ταπεινὸς ἕστηκεν, ὁ τῆς ὑψηλῆς ἄξιος, καὶ πολλὰ μὲν τοῖς θείοις λογίοις ἐμμελε-
τήσας, πολλὰ δὲ τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος. ὁ δὲ σοβαρῶς καθίζεται,
καὶ τὴν ὀφρὺν αἴρει κατὰ τῶν βελτιόνων, καὶ οὐκ ἐπιτρέμει τοῖς θρόνοις, οὐδὲ φρίσσει τὴν ὄψιν, τὸν
ἐγκρατῆ κάτω βλέπων, ἀλλ' ὁμοῦ τῷ κρατεῖ καὶ σοφώτερον ἑαυτὸν ὑπολαμβάνει· καὶ πῶς

ἐθῶν, καὶ τὸ φονᾶν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος. ἀλλ' οὐχ ὁ πολὺς οὗτος καὶ μέγας Βασίλειος. ἀλλ' ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τῶν κατὰ τὸν κόσμον, τοῖς πολλοῖς τύπος καθίσταται. τὰς γὰρ ἱερὰς πρότερον ὑπαναγινώσκων τῷ λαῷ βίβλους, ὁ τούτων ἐξηγητὴς, καὶ ταύτην οὐκ ἀπαξιώσας τὴν τάξιν τοῦ βήματος, οὕτως ἐν καθέδρᾳ πρεσβυτέρων, οὕτως ἐν ἐπισκόπων αἰνεῖ τὸν κύριον· οὐ κλέψας τὴν ἐξουσίαν, οὐδ' ἁρπάσας, οὐδὲ διώξας τὴν τιμὴν, ἀλλ' ὑπὸ τῆς τιμῆς διωχθεὶς, οὐδ' ἀνθρωπίνην χάριν, ἀλλ' ἐκ θεοῦ καὶ θείαν δεξάμενος. ὁ μὲν δὴ τῆς προεδρίας λόγος ἀναμενέτω, τῷ δὲ τῆς ὑφεδρίας μικρόν τι προσδιατρίψωμεν. διὸ γάρ με καὶ τοῦτο μικροῦ παρέδραμεν, ἐν μέσῳ τῶν εἰρημένων κείμενον. ἐγένετό τις πρὸς τὸν αὐτὸν διαφορὰ τῷ πρὸ αὐτοῦ καθηγουμένῳ τῆς ἐκκλησίας, τὸ μὲν ὅθεν καὶ ὅπως, σιωπᾶν ἄμεινον· πλὴν ἐγένετο, ἀνὴρ τὰ ἄλλα μὲν οὐκ ἀγεννὴς καὶ θαυμαστὸς τὴν εὐσέβειαν, ὡς ἔδειξεν ὁ τότε διωγμὸς, καὶ ἡ πρὸς αὐτὸν ἔνστασις, ὅμως δ' ἔπαθέ τι πρὸς ἐκεῖνον ἀνθρώπινον. ἅπτεται γὰρ οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος, ὡς μόνου ἂν εἶναι τοῦ θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον πάθεσι. κινεῖται δὴ ἐπ' αὐτὸν τῆς ἐκκλησίας, ὅσον ἐκκριτόν τε καὶ σοφώτερον, εἴπερ σοφώτεροι τῶν πολλῶν, οἱ κόσμου χωρίζοντες ἑαυτοὺς, καὶ περὶ θεὸν τὸν βίον καθιερώσαντες. λέγω δὲ τοὺς καθ' ἡμᾶς ναζιραίους, καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐσπουδακότας, οἳ δεινὸν ποιησάμενοι τὸ σφῶν κράτος περιιδεῖν περιυβρισμένον καὶ ἀπωσμένον, πρᾶγμα τολμῶσιν ἐπικινδυνότατον, ἀπόστασιν ἐννοοῦσι καὶ ῥῆξιν, τοῦ μεγάλου καὶ ἀστασιάστου τῆς ἐκκλησίας σώματος. οὐκ ὀλίγην καὶ τοῦ λαοῦ μοῖραν περισπώμενοι, ὅση τε τῶν κάτω, καὶ ὅση τῶν ἐπ' ἀξίας. ῥᾷστον δὲ τοῦτο ἦν ἐκ βιῶν τῶν ἰσχυροτάτων. ὅ, τι γὰρ ἀνὴρ αἰδέσιμος ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν καθ' ἡμᾶς φιλοσόφων, καὶ ἱκανὸς θάρσος παρασχεῖν εἴπερ ἐβούλετο τῷ συστήματι, τόν τε λυπούμενον δι' ὑποψίας εἶχεν ἡ πόλις ἐκ τῆς περὶ τὴν κατάστασιν ταραχῆς, ὡς οὐκ ἐννόμως οὐδὲ κανονικῶς μᾶλλον ἢ τυραννικῶς τὴν προστασίαν δεξάμενον, καὶ παρῆσάν τινες τῶν δυτικῶν ἀρχιερέων τινὰς μεθέλκοντες πρὸς ἑαυτοὺς τῆς ἐκκλησίας, ὅσον ὀρθόδοξον. τί οὖν ὁ γενναῖος ἐκεῖνος καὶ τοῦ εἰρηνικοῦ μαθητής; οὔτε γὰρ ἀντιτείνειν εἶχε πρὸς τοὺς ὑβριστὰς, ἢ τοὺς σπουδαστὰς, οὐδὲ πρὸς αὐτοὺς διαμάχεσθαι ἢ διασπᾶν τὸ σῶμα τῆς ἐκκλησίας, καὶ ἄλλως πολεμουμένης, καὶ σφαλερῶς διακειμένης, ὑπὸ τῆς τότε τῶν αἱρετικῶν δυναστείας, καὶ ἅμα συμβούλοις ἡμῖν περὶ τούτου χρησάμενος καὶ παραινέταις γνησίοις· φυγὰς ἐνθένδε σὺν ἡμῖν πρὸς τὸν πόντον μεταχωρεῖ, καὶ τοῖς ἐκεῖσε φροντιστηρίοις ἐφίσταται. αὐτὸς δὲ καθίστησί τι μνήμης ἄξιον, καὶ τὴν ἐρημίαν ἀσπάζεται μετὰ ἠλιοῦ καὶ ἰωάννου τῶν πάνυ φιλοσόφων· τοῦτο λυσιτελέστερον αὐτῷ μᾶλλον ἡγούμενος, ἤ τι διανοηθῆναι περὶ τῶν παρόντων τῆς ἑαυτοῦ φιλοσοφίας ἀνάξιον, καὶ διαφθεῖραι ἐν ζάλῃ τὴν ἐν γαλήνῃ τῶν λογισμῶν κυβέρνησιν. καίπερ δὲ οὕτω φιλοσόφου καὶ θαυμασίας οὔσης τῆς ἀναχωρήσεως, κρείττω καὶ θαυμασιωτέραν εὑρήσομεν τὴν ἐπάνοδον. ἔχει γὰρ οὕτως. ἐν τούτοις ὄντων ἡμῶν ἐξαίφνης ἐφίσταται νέφος χαλάζης πλῆρες, καὶ τριγμὸς ὀλέθριος, πᾶσαν ἐκτρίψαι ἐκκλησίαν, καθ' ἧς ἐρράγη, καὶ ἣν ἐπέλαβε, βασιλεὺς ὁ φιλοχρυσότατος, καὶ μισοχριστότατος, καὶ δύο τὰ μέγιστα ταῦτα νοσῶν, ἀπληστίαν καὶ βλασφημίαν, ὁ μετὰ τὸν διώκτην διώκτης, καὶ μετὰ τὸν ἀποστάτην οὐκ ἀποστάτης μὲν, οὐδὲν δὲ ἀμείνων χριστιανοῖς, μᾶλλον δὲ χριστιανῶν τοῖς εὐσεβεστάτοις τε καὶ καθαρωτάτοις, καὶ προσκυνηταῖς τῆς τριάδος. ἣν δὴ μόνην εὐσέβειαν ἐγὼ καλῶ, καὶ δόξαν σωτήριον. οὐ γὰρ θεότητα ταλαντεύομεν, οὐδὲ τὴν μίαν καὶ ἀπρόσιτον φύσιν ἀπεξενοῦμεν ἑαυτῆς ἐν φύλοις ἀλλοτριότησιν. οἱ δὲ κακῷ τὸ κακὸν ἰώμεθα, τὴν ἄθεον σαβελλίου συναίρεσιν, ἀσεβεστέρᾳ διαιρέσει, καὶ κατατομῇ λύοντες, ἣν ἄρειος νοσήσας ὁ τῆς μανίας ἐπώνυμος, τὸ πολὺ τῆς ἐκκλησίας διέσεισε καὶ διέφθειρεν. οὔτε τὸν πατέρα τιμήσας, καὶ ἀτιμάσας τὰ ἐξ αὐτοῦ, διὰ τῶν ἀνίσων βαθμῶν τῆς θεότητος, ἀλλὰ μίαν μὲν δόξαν πατρὸς γινώσκομεν, τὴν ὁμοτιμίαν τοῦ μονογενοῦς. μίαν δὲ υἱοῦ τὴν τοῦ πνεύματος, καὶ ὅ, τι ἂν τῶν τριῶν κατασπῶμεν, τὸ πᾶν καθαιρεῖν νομίζομεν. τρία μὲν ταῖς ἰδιότησιν, ἓν δὲ τῇ θεότητι σέβοντες καὶ γινώσκοντες, ὧν οὐδὲ εἷς ἐννοῶν ἐκεῖνος, οὐδὲ ἄνω βλέπειν δυνάμενος, ἀλλ' ὑπὸ τῶν ἀγόντων αὐτὸν ταπεινούμενος, συμπεριγράφειν ἐτόλμησεν ἑαυτῷ καὶ φύσιν θεότητος, καὶ κτίσμα γίνεται πονηρὸν, εἰς δουλείαν κατάγων τὴν δεσποτείαν, καὶ μετὰ τῆς κτίσεως τιθεὶς τὴν ἄκτιστον φύσιν καὶ ὑπὲρ χρόνον. ὁ μὲν δὴ οὕτως φρονῶν, καὶ μετὰ τοιούτων ἡμῖν ἐπιστρατεύει τῆς ἀσεβείας. οὐ γὰρ ἄλλο τι ἢ βαρβαρικὴν καταδρομὴν τοῦτο ὑποληπτέον, καθαιροῦσαν, οὐ τείχη καὶ πόλεις καὶ οἰκίας, οὐδέ τι τῶν μικρῶν καὶ χειροποιήτων, καὶ αὖθις ἀνορθουμένων, ἀλλὰ τὰς ψυχὰς αὐτὰς καταστρέφουσαν. συνεισβάλλει δὲ αὐτῷ καὶ στρατὸς ἄξιος οἱ κακοὶ τῶν ἐκκλησιῶν ἡγεμόνες, οἱ πικροὶ τετράρχαι τῆς ὑπ' αὐτὸν οἰκουμένης, οἱ τὸ μὲν ἔχοντες ἤδη τῶν ἐκκλησιῶν, τῷ δὲ προσβάλλοντες, τὸ δὲ ἐλπίζοντες ἐκ τῆς τοῦ βασιλέως ῥοπῆς καὶ χειρὸς, τῆς μὲν ἐπαγομένης, τῆς δ' ἀπειλουμένης, ἧκον καὶ τὴν ἡμετέραν καταστρεψόμενοι, οὐδ' ὀλίγον τοῦ θαρρεῖν ἔχοντες τῶν ἁπάντων, ὅσον τῇ τῶν προειρημένων

μικρο

Lector.

Presbyter. Episcopus.

Basilii cum Eusebio discordia.

Nazaraei, qui et monachi.

Basilius sponte in exilium ire, quam ecclesiam perturbare, maluit.

Acerbissima Valentis imperatoris insectatio.

Catholica doctrina de sanctissima trinitate.

συμπεπονῶ

μικροψυχίᾳ, καὶ ἀπειρίᾳ τοῦ τηνικαῦτα ἡμῶν προεστῶτος, καὶ τοῖς ἐν ἡμῖν ἀῤῥωστήμασιν. ὁ μὲν οὖν ἀγὼν πολύς. ἡ δὲ προθυμία τῶν ἐλθόντων οὐκ ἀγεννής, ἡ δὲ πρᾶξις ἀσθενής, οὐκ ἔχουσα τὸν προαγωνιστὴν καὶ τεχνίτην ὑπέρμαχον, ἐν δυνάμει λόγου καὶ πνεύματος. Τί οὖν ἡ γενναία καὶ μεγαλόφρων ἐκείνη ψυχὴ καὶ ὄντως φιλόχριστος; οὐ δὲ πολλῶν ἐδεήθη λόγων, πρὸς τὸ πεισθῆναι καὶ συμμαχεῖν. ἀλλ' ὁμοῦ τε εἶδεν ἡμᾶς πρεσβεύοντας (κοινὸς δὲ ἦν ὁ ἀγὼν ἀμφοτέροις, ὡς τοῦ λόγου προβεβλημένοις) καὶ τῆς πρεσβείας ἐπείσθη. καὶ διελὼν ἄριστα περὶ ἑαυτοῦ καὶ φιλοσοφώτατα τοῖς τοῦ πνεύματος λογισμοῖς, ἄλλον μὲν εἶναι μικροψυχίας καιρόν, εἴ τι καὶ τοιοῦτον ἔδει παθεῖν, τὸν τῆς ἀδείας, ἄλλον δὲ μακροθυμίας τὸν τῆς ἀνάγκης, εὐθὺς τοῦ ἄστεος μεθ' ἡμῶν ἀπανίσταται, καὶ ζήλῳ τῷ περὶ τὴν ἀλήθειαν κινδυνεύουσαν, καὶ γίνεται σύμμαχος ἐθελοντής, καὶ τῇ μητρὶ φέρων ἑαυτὸν τῇ ἐκκλησίᾳ δίδωσιν. ἆρ' οὖν προεθυμήθη μὲν οὕτως, ἀγωνίσεται δὲ τῆς προθυμίας ἔλαττον; ἢ διαγωνίζεται μὲν ἀνδρικῶς, οὐ συνετῶς δέ; ἢ ἐπαναδυομένως μέν, ἀκινδύνως δέ; ἢ ταῦτα μὲν πάντα τελέως ἐστὶν ὑπὲρ λόγον, ὑπολείπεταί τι τῆς μικροψυχίας ἐν αὐτῷ λείψανον; οὐδαμῶς. ἀλλ' ὁμοῦ τὰ πάντα καταλλάττεται, βουλεύεται, παρατάττεται, λύει τὰ ἐν τῷ μέσῳ σκῶλα καὶ προσκόμματα, καὶ οἷς ἐκεῖνοι θαρροῦντες, καθ' ἡμῶν ἐστρατεύοντο. τὸ μὲν προσλαμβάνει, τὸ δὲ κατέχει, τὸ δ' ἀποκρούεται. γίνεται τοῖς μὲν τεῖχος ὀχυρὸν καὶ χαράκωμα, τοῖς δὲ πέλεκυς κόπτων πέτραν, ἢ πῦρ ἐν ἀκάνθαις (ὅ φησιν ἡ θεία γραφή) ῥᾳδίως ἀναλίσκον τοὺς φρυγανώδεις καὶ ὑβριστὰς τῆς θεότητος. εἰ δέ τι καὶ Βαρνάβας ὁ ταῦτα λέγων καὶ γράφων Παύλῳ συνηγωνίσατο, Παύλῳ χάρις τῷ προελομένῳ καὶ συνεργὸν ποιησαμένῳ τοῦ ἀγωνίσματος. οἱ μὲν δὴ οὕτως ἀπῆλθον ἄπρακτοι, καὶ κακοὶ κακῶς τότε πρῶτον αἰσχυνθέντες καὶ ἡττηθέντες, καὶ μαθόντες μὴ ῥᾳδίως Καππαδοκῶν καταφρονεῖν, εἰ καὶ πάντων ἀνθρώπων, ὧν οὐδὲν οὕτως ἴδιον, ὡς τὸ τῆς πίστεως ἀρραγὲς καὶ πρὸς τὴν τριάδα πιστὸν ἐστὶ γνήσιον, παρ' ἧς καὶ τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν αὐτοῖς ὑπάρχει, ἃ βοηθοῦσι βοηθουμένοις. μᾶλλον δὲ πολλῷ κρείττω καὶ ἰσχυρότερα. τὸ δὲ τι δεύτερον ἔργον καὶ σπούδασμα γίνεται, θεραπεῦσαι τὸν πρόεδρον, λύειν τὴν ὑποψίαν, πείθειν πάντας ἀνθρώπους, ὡς ἃ μὲν λελύπητο, πεῖρά τις ἦν τοῦ πονηροῦ καὶ ἀπό τινος εἰς τὸ καλὸν ὁμονοίας βασκαίνοντος, αὐτὸς δὲ ᾔδει νόμους εὐπειθείας καὶ πνευματικῆς τάξεως. Διὰ τοῦτο παραμένει, ἐσοφίζει, ὑπήκουε, ἐνουθέτει. πάντα ἦν αὐτῷ, σύμβουλος ἀγαθός, παραστάτης δεξιός, τῶν θείων ἐξηγητής, τῶν πρακτέων καθηγητής, γήρως βακτηρία, πίστεως ἔρεισμα, τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ πρακτικώτατος, ἐν λόγῳ τοσοῦτος εἰς εὔνοιαν, ὅσος εἰς ἔχθραν τὸ πρὶν ἐνομίζετο. ἐντεῦθεν αὐτῷ πολλὴ ἐστὶ τὸ κράτος τῆς ἐκκλησίας, εἰ καὶ τὴν καθέδραν εἶχε τὰ δεύτερα. τὴν γὰρ εὔνοιαν εἰσφέρων, τὴν ἐξουσίαν ἀντελάμβανε, καὶ ἦν θαυμαστή τις ἡ συμφωνία ἐστὶ ἡ πλοκὴ τῆς δυνάμεως, ὁ μὲν τὸν λαὸν ἦγεν, ὁ δὲ τὸν ἄγοντα. ἐστὶ οὖν λεοντοκόμος τις ἦν, τέχνῃ τιθασεύων τὸν δυναστεύοντα. καὶ γὰρ ἐδέετο, νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τεθείς, ἔτι δὲ τῆς κοσμικῆς ὕλης τι πνέων, οὔπω δὲ κατηρτισμένος ἐν τοῖς τοῦ πνεύματος, πολλοῦ δὲ τοῦ κλύδωνος πιέζοντος καὶ τῶν ἐπικειμένων τῆς ἐκκλησίας ἐχθρῶν, τοῦ χειραγωγοῦντος, καὶ ὑπερείδοντος. διὰ τοῦτο καὶ τὴν συμμαχίαν ἠγάπα, καὶ κρατοῦντος ἐκείνου, κρατεῖν αὐτὸς ὑπελάμβανε. τῆς δὲ περὶ τὴν ἐκκλησίαν τοῦ ἀνδρὸς κηδεμονίας καὶ προστασίας, πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα, παῤῥησία πρὸς ἄρχοντας τούς τε ἄλλους καὶ τοὺς δυνατωτάτους τῆς πόλεως. διαφορῶν λύσεις οὐκ ἀπιστούμεναι, ἀλλ' ὑπὸ τῆς ἐκείνου φωνῆς τυπούμεναι, νόμῳ τῷ τρόπῳ χρώμεναι, προστασίαι τῶν δεομένων, αἱ μὲν πλείους πνευματικαί, οὐκ ὀλίγαι δὲ καὶ σωματικαί. καὶ γὰρ καὶ τοῦτο πολλάκις εἰς ψυχὴν φέρει, δι' εὐνοίας δουλούμενον, πτωχοτροφίαι, ξενοδοχίαι, παρθενοκομίαι, νομοθεσίαι μοναστῶν ἔγγραφοί τε καὶ ἄγραφοι. εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος, τὰ ἄλλα οἷς ἂν ὁ ἀληθῶς ἄνθρωπος τοῦ θεοῦ καὶ μετὰ θεοῦ τεταγμένος, λαὸν ὠφελήσειεν. ἓν δὲ ὃ μικρὸν τότε ἐστὶ γνωριμώτατον, λιμὸς ἦν καὶ τῶν πώποτε μνημονευομένων ὁ χαλεπώτατος. ἐνόσει μὲν ἡ πόλις, ἐπικουρία δ' ἦν οὐδαμόθεν, οὐδέ τι φάρμακον τῆς κακώσεως. αἱ μὲν γὰρ παράλιαι, τὰς τοιαύτας ἐνδείας οὐ χαλεπῶς ἀναφέρουσι, διδοῦσαι τὰ παρ' ἑαυτῶν, καὶ τὰ παρὰ τῆς θαλάσσης δεχόμεναι. τοῖς δ' ἠπειρώταις ἡμῖν, καὶ τὸ περιττὸν ἀνόνητον, καὶ τὸ ἐνδέον ἀνεπινόητον, οὐκ ἔχουσιν ὅπως διαθώμεθά τι τῶν ὄντων, ἢ τῶν οὐκ ὄντων εἰσκομισώμεθα. καὶ ὃ χαλεπώτατόν ἐστιν ἐν τοῖς τοιούτοις, ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία. τηροῦσι γὰρ τοὺς καιρούς, καὶ καταπραγματεύονται τῆς ἐνδείας, καὶ γεωργοῦσι τὰς συμφοράς, οὔτε τοῦ κυρίῳ δανείζειν τὸν ἐλεοῦντα πτωχοὺς ἀκούοντες, οὔτε τοῦ ὁ συνέχων σῖτον δημοκατάρατος, οὔτ' ἄλλο οὐδὲν τῶν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένων, ἢ τοῖς ἀπανθρώποις ἠπειλημένων, ἀλλ' εἰσὶ τοῦ δέοντος ἀπληστότεροι, καὶ φρονοῦσι κακῶς, ἐκείνοις μὲν τὰ ἑαυτῶν, ἑαυτοῖς δὲ τὰ τοῦ θεοῦ σπλάγχνα κλείοντες, οὗ καὶ μᾶλλον χρήζοντες ἀγνοοῦσιν, ἢ αὐτῶν ἕτεροι. ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκάπηλοι, καὶ

Basilius redit.

Gradationis exemplum pulcherrimum. Vide et 106.

Hieren. 5. Jud. 9. Psal. 117.

Se Barnabam, Basilium Paulo comparat.

Cappadoces fidei constantes

Basilius Eusebium placat

Fames.

παρὰ

Maritimae civitates ...

Πόνος ὑγίαν χαρίζεται.

μήτε τοῦ συγγενοῦς αἰδούμενοι, μήτε τοῦ θείου εὐχαριστοῦντες, δι' ὃ τὸ ἔχειν αὐτοῖς, ἄλλων πιεζομένων. ὁ δὲ ὕειν μὲν οὐκ εἶχεν ἄρτους ἐξ οὐρανοῦ δι' εὐχῆς, καὶ τρέφειν ἐν ἐρήμῳ λαὸν φυγάδα, οὐδὲ πυθμέσι πηγάζειν τροφὴν ἀδάπανον κενώσει πληρουμένοις. ὃ καὶ τὸ παράδοξον. ἵνα τὴν φιλοξενίαν τρέφουσαν εἰς φιλοξενίας ἀντίδοσιν. οὐδὲ πού τι ἄρτοις ἑστίασε χιλιάδας, ὧν καὶ τὰ λείψανα πολλὰς τραπέζας ἄλλη δύναμις. ταῦτα γὰρ Μωϋσέως ἦν καὶ Ἠλιοῦ, καὶ τοῦ ἐμοῦ θεοῦ, παρ' οὗ κἀκείνοις, τὸ ταῦτα δύνασθαι. ἴσως δὲ καὶ τῆς καιρῶν ἐκείνων, καὶ τῆς τότε καταστάσεως. ἐπειδὴ τὰ σημεῖα τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν. ἃ δὲ τούτοις ἐστὶν ἀκόλουθα καὶ εἰς ταυτὸ φέρει, ταῦτα καὶ διενοήθη καὶ διεπράξατο μετὰ τῆς αὐτῆς πίστεως. λόγῳ γὰρ τὰς τῶν ἐχόντων ἀποθήκας ἀνοίξας καὶ παραινέσει, ποιεῖ τὸ τῆς γραφῆς, διαθρύπτει πεινῶσι τροφήν, καὶ χορτάζει πτωχοὺς ἄρτων, καὶ διατρέφει αὐτοὺς ἐν λιμῷ, καὶ ψυχὰς πεινώσας ἐμπιπλῆσιν ἀγαθῶν. καὶ τίνα τρόπον; οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην. συναγαγὼν γὰρ εἰς ταυτὸ τοὺς λιμοῦ τραυματίας, ἔστι δὲ οὓς καὶ μικρὸν ἀναπνέοντας, ἄνδρας καὶ γυναῖκας, νηπίους, γέροντας, πᾶσαν ἡλικίαν ἐλεεινήν, πᾶν εἶδος τροφῆς ἐρανιζόμενος, ὅση τι τυγχάνει λιμοῦ βοήθεια, ἔτνους τε πλήρεις προθεὶς λέβητας, καὶ τῶν ταριχευτῶν τῶν ἡμῖν ὄψων, ᾗ πένητας τρέφονται, ἔπειτα τὴν τοῦ Χριστοῦ διακονίαν μιμούμενος, ὃς καὶ λεντίῳ διαζωννύμενος οὐκ ἀπηξίου νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ τοῖς ἑαυτοῦ παισίν, εἴτ' οὖν συνδούλοις, πρὸς τοῦτο συνεργοῖς χρώμενος, ἐθεράπευε μὲν τὰ σώματα τῶν δεομένων, ἐθεράπευε δὲ τὰς ψυχάς, συμπλέκων τῇ χρείᾳ τὸ τῆς τιμῆς, καὶ ῥᾴστην ποιῶν ἀμφοτέρωθεν. τοιοῦτος ἦν ὁ νέος σιτοδότης ἡμῖν καὶ δεύτερος Ἰωσήφ, πλὴν ὅτι καὶ πλέον τι λέγειν ἔχομεν. ὁ μὲν γὰρ κατὰ πραγματείαν τὸν λιμόν, καὶ τὴν Αἴγυπτον ἐξωνεῖται τῷ φιλανθρώπῳ, τὸν τῆς ἀφθονίας καιρὸν εἰς τὸν τοῦ λιμοῦ διαθέμενος, καὶ τοῖς ἑτέρων ὀνείροις εἰς τοῦτο διατυπούμενος. ὁ δὲ προῖκα χρηστὸς ἦν, καὶ τῆς σιτοδοσίας ἐπίκουρος ἀπραγμάτευτος, πρὸς ἓν ὁρῶν, ὅπως φιλανθρωπίᾳ φιλανθρωπίαν κτήσηται, καὶ τῶν ἐκεῖθεν τυχεῖν ἀγαθῶν διὰ τῆς ἐνταῦθα σιτομετρίας. ταῦτα μετὰ τῆς τοῦ λόγου τροφῆς καὶ τῆς τελεωτέρας εὐεργεσίας καὶ διαδόσεως τῆς ὄντως ἀνθρωπείου καὶ ὑψηλῆς· εἴπερ ἄρτος ἀγγέλων λόγος, ᾧ ψυχαὶ τρέφονται καὶ ποτίζονται, θεὸν πεινῶσαι καὶ ζητοῦσαι τροφὴν οὐ ῥέουσαν, οὐδ' ἀπιοῦσαν, ἀλλ' ἀεὶ μένουσαν, ἧς σιτοδότης ἦν ἐκεῖνος καὶ μάλα πλούσιος, ὁ πενέστατος ὧν ἴσμεν καὶ ἀχρεώτατος, οὐ λιμὸν ἄρτων οὐδὲ δίψαν ὕδατος ἰώμενος, λόγου δὲ πόθον τοῦ ἀληθῶς ζωτικοῦ καὶ τροφίμου, καὶ εἰς αὔξησιν ἄγοντος ἡλικίας πνευματικῆς τὸν καλῶς τρεφόμενον. ἐκ δὴ τούτων καὶ τῶν τοιούτων. τί γὰρ δεῖ πάντα λέγοντα διατρίβειν; ἄρτι τοῦ φερωνύμου τῆς εὐσεβείας μεταστάντος, καὶ ταῖς ἐκείνου χερσὶν ἡδέως ἐναποψύξαντος, ἐπὶ τὸν ὑψηλὸν τῆς ἐπισκοπῆς θρόνον ἀνάγεται, οὐκ ἀμογητὶ μέν, οὐδὲ ἄνευ βασκανίας καὶ πάλης, τῶν τε τῆς πατρίδος προεδρευόντων καὶ τῶν πονηροτάτων τῆς πόλεως ἐκείνοις συντεταγμένων. πλὴν ἔδει νικῆσαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ μέντοι νικᾷ, πολλῇ τῇ περιουσίᾳ. κινεῖ γὰρ ἐκ τῆς ὑπερορίας τοὺς χρίσοντας ἄνδρας ἐπ' εὐσεβείᾳ γνωρίμους καὶ ζηλωτάς, καὶ μετὰ τούτων τὸν νέον Ἀβραὰμ καὶ πατριάρχην ἡμέτερον, τὸν ἐμὸν πατέρα. τὸ δ' ὅτι καὶ συμβαίνει θαυμάσιον. οὐ γὰρ ὁ πλήθει τῶν ἐτῶν μόνον ἐκλελοιπώς, ἀλλὰ καὶ νόσῳ τετρυχωμένος, καὶ πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς ὤν, κατατολμᾷ τῆς ὁδοῦ, βοηθήσων τῇ ψήφῳ, καὶ θαρρήσας τῷ πνεύματι. καὶ τί συντόμως φθέγξομαι; νεκρὸς ἐντεθεὶς ὡς τάφῳ τινὶ τῷ φορείῳ, νέος ἐπανήκει ὀρθός, ἀναβλέπων, ῥωσθεὶς ἐκ τῆς χειρὸς καὶ τῆς χρίσεως. οὐ πολὺ δὲ εἰπεῖν, ὅτι καὶ τῆς κεφαλῆς τοῦ χρισθέντος. τοῦτο προσκείσθω τοῖς παλαιοῖς διηγήμασιν, ὅτι πόνος ὑγείαν χαρίζεται, καὶ προθυμία νεκροὺς ἀνίστησι, καὶ πηδᾷ γῆρας χρισθὲν τῷ πνεύματι. οὕτω δὲ τῆς προεδρίας ἀξιωθείς, ὡς τὸν τοιοῦτον μὲν γεγονότα, τοιαύτης δὲ χάριτος τετυχηκότα, οὕτω δὲ ὑπειλημμένον εἰκός, οὐ κατῄσχυνεν οὐδὲ τὴν ἑξῆς ἢ τὴν ἑαυτοῦ φιλοσοφίαν, ἢ τὰς τῶν πεπιστευκότων ἐλπίδας. ἀλλὰ τοσοῦτον ἑαυτὸν ὑπερβάλλων ἀεὶ ὅσον πρὸ τούτου τοὺς ἄλλους ἐδείκνυε, κάλλιστά τι καὶ φιλοσοφώτατα περὶ τούτου διανοούμενος. ἡγεῖτο γὰρ ἰδιώτου μὲν ἀρετὴν εἶναι τὸ μὴ κακὸν εἶναι ἤ τι καὶ πως ἀγαθόν. ἄρχοντος δὲ καὶ προστάτου κακίαν, καὶ μάλιστα τῆς τοιαύτης ἀρχῆς, τὸ μὴ πολὺ τῶν πολλῶν προέχειν, μηδὲ ἀεὶ κρείττω φαίνεσθαι, μηδὲ συμμετρεῖν τῇ ἀξίᾳ καὶ τῷ θρόνῳ τὴν ἀρετήν. μόγις γὰρ εἶναι τῷ ἄκρῳ, τοῦ μέσου κατατυγχάνειν, καὶ ὅπως περιόν τι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον. μᾶλλον δὲ ἵνα τι φιλοσοφώτερον τούτων ἀμείνους, ὅπερ ἐπὶ τοῦ σωτῆρος ἐγὼ θεωρῶ· οἶμαι δὲ καὶ τῶν σοφωτέρων ἕκαστος, ἡνίκα μεθ' ἡμῶν ἐγένετο μορφωθεὶς τὸ ὑπὲρ ἡμᾶς καὶ ἡμέτερον, τοῦτο καὶ ταῦθα συμβεβηκέναι λογίζομαι. ἐκεῖνός τε εἰ προέκοπτε φησὶν ὥσπερ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ χάριτι, οὐ τῷ ταῦτα λαμβάνειν αὔξησιν, τί γὰρ τοῦ ἀπ' ἀρχῆς τελέου γένοιτ' ἂν τελεώτερον; ἀλλὰ τῷ κατὰ μικρὸν ταῦτα παραγυμνοῦσθαι καὶ παρεκφαίνεσθαι· τήν τε τοῦ ἀνδρὸς ἀρετήν, οὐχὶ προσθήκην, ἀλλ' ἐργασίαν οἶμαι μείζω τινὰ καὶ ταῦτα λαμβάνειν, ὕλῃ πλείονι τῇ ἐξουσίᾳ χρωμένην.

Πρῶτον

ἔτνους

Basilius Josepho antepon.

Φερωνύμου Eusebii mors.

Basilius Episcopatus.

λε

ἐγένετο Bellius.

Eius qui praeest, maiorem quam priuati, virtutem esse par est.

Quomodo dicatur Christus profecisse sapientia et gratia.

13

πρῶτον μὲν οὖν ἐκεῖνο πᾶσι ποιεῖ φανερὸν, ὡς οὐκ ἀνθρωπίνης χάριτος ἦν αὐτῷ τὸ ἔργον, ἀλλὰ θεοῦ δῶρον τὸ δεδομένον. δηλώσει δὲ καὶ τὸ ἡμέτερον· οἷα γάρ μοι φιλοσοφοῦντί τι περὶ τὸν καιρὸν ἐκεῖνον συνεφιλοσόφησε· τῶν γὰρ ἄλλων ἁπάντων οἰομένων καὶ προσδραμεῖσθαί με τῷ γεγονότι, καὶ πολὺ χαριεῖσθαι, ὅπερ ἑτέρων καὶ παθεῖν τις ἦν, καὶ συνδιανεμεῖσθαι τὴν ἀρχὴν μᾶλλον ἢ παραδυναστεύειν, καὶ τῇ φιλίᾳ τοῦτο τεκμαιρομένων, ἐπειδὴ τὸ φορτικὸν φεύγων ἐγὼ, καὶ γὰρ εἰ ἅπασιν εἴπερ ἄλλος τις, καὶ ἅμα τοῦ καιροῦ τὸ ἐπίφθονον, ἄλλως τε καὶ τῶν κατ' αὐτοῦ ὠδινόντων ἔτι καὶ ταρασσομένων, οἴκοι κατέμεινα, βίᾳ χαλινώσας τὸν πόθον, μέμφεται μὲν, συγγινώσκει δὲ καὶ μικρὸν τοῦτο ὕστερον, εἶτα μὲν τὴν δὲ τῆς καθέδρας τιμὴν οὐ δεξάμενον τῆς αὐτῆς ἕνεκεν αἰτίας, οὐδὲ τὴν τῶν πρεσβυτέρων προτίμησιν, ὅτι ἐμέμψατο, καὶ προσεπῄνεσεν εὖ ποιῶν, τῦφον κατηγορηθῆναι μᾶλλον ὑπ' ὀλίγων ἑλόμενος, τῶν ταύτην ἀγνοούντων τὴν οἰκονομίαν, ἤ τι πρᾶξαι τῷ λόγῳ καὶ τοῖς αὐτοῦ βουλεύμασιν ἐναντίον. καίτοι πῶς ἂν μᾶλλον ἔδειξεν ἄνθρωπος πάσης θωπείας καὶ κολακείας κρείττω τὴν ψυχὴν ἔχων, καὶ πρὸς ἓν μόνον βλέπων τὸν τοῦ καλοῦ νόμον, ἢ περὶ ἡμᾶς οὕτω διανοηθεὶς, ὃς ἐν πρώτοις τῶν ἑαυτοῦ φίλων καὶ συνήθων ἐγνώριζεν; ἔπειτα τὸ στασιάζον πρὸς ἑαυτὸ μαλάσσει καὶ θεραπεύει λόγοις ἰατρικοῖς μεγαλόφρων. οὐ γὰρ θωπευτικῶς, οὐδ' ἀνελευθέρως τοῦτο ποιεῖ, ἀλλὰ καὶ λίαν γενναίως καὶ μεγαλοπρεπῶς. ὡς ἄν τις οὐ τὸ παρὸν σκοπῶν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν εὐπείθειαν οἰκονομῶν. ὁρῶν γὰρ τὸ μὲν ἁπαλὸν ἔκλυτον καὶ μαλακίζον, τὸ δὲ αὐστηρὸν τραχὺ ὂν καὶ ἀπαυθαδιάζον, ἀμφοτέροις βοηθεῖ δι' ἀλλήλων. ἐπιεικείᾳ μὲν τὸ ἀντίτυπον, στερρότητι δὲ τὸ ἁπαλὸν κεραννύμενος· ὀλίγα μὲν λόγου προσδεηθεὶς, ἔργῳ δὲ τὰ πλείω διανύσας πρὸς τὴν θεραπείαν· οὐ τέχνῃ δουλούμενος, ἀλλ' εὐνοίᾳ σφετεριζόμενος· οὐ δυναστείᾳ προσχρώμενος, ἀλλὰ τὸ δύνασθαι μὲν, φείδεσθαι δὲ προσαγόμενος· τὸ δὲ μέγιστον, τῷ πάντας ἡττῆσθαι τῆς αὐτοῦ διανοίας, καὶ ἀπρόσιτον εἰδέναι τὴν ἀρετήν· καὶ μίαν μὲν ἑαυτοῖς σωτηρίαν ἡγεῖσθαι, τὸ μετ' ἐκείνου τε καὶ ὑπ' ἐκείνῳ τετάχθαι· ἕνα δὲ κίνδυνον, τὸ προσκρούειν ἐκείνῳ, καὶ ἀλλοτρίωσιν ἀπὸ θεοῦ νομίζειν τὴν ἀπ' ἐκείνου διάστασιν. οὕτως ἑκόντες ὑπεχώρησαν καὶ ἡττήθησαν, καὶ ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν, ἄλλος ἄλλον εἰς ἀπολογίαν προφθάνοντες, καὶ τὸ μέτρον τῆς ἀπεχθείας εἰς μέτρον μετενεγκόντες εὐνοίας, καὶ τῆς εἰς ἀρετὴν ἐπιδόσεως, ἣν δὴ μόνην ἀπολογίαν ἰσχυροτάτην εὕρισκον. πλὴν εἴ τις ὅλως κακίας ἀνίατον ἠμελήθη, καὶ περιερρίφη, αὐτὸς ἐν ἑαυτῷ συντριβόμενος καὶ καταναλωθεὶς, καθάπερ ἰὸς σιδήρῳ συνδαπανώμενος. ἐπεὶ δὲ τὰ οἴκοι κατὰ νοῦν εἶχεν αὐτῷ, καὶ ὡς οὐκ ἄν τις ᾠήθη τῶν ἀπίστων καὶ κεῖνον ἠγνοηκότων, πολὺ νοεῖ τῇ διανοίᾳ μεῖζόν τι καὶ ὑψηλότερον. τῶν γὰρ ἄλλων ἁπάντων τὸ ἐν ποσὶ μόνον ὁρώντων, καὶ τὸ καθ' αὑτοὺς ὅπως ἀσφαλῶς ἕξει λογιζομένων, εἴπερ τοῦτο ἀσφαλὲς, περαιτέρω δ' οὐ προϊόντων, οὐδέ τι μέγα καὶ καινικὸν ἢ ἐννοῆσαι, ἢ κατὰ πρᾶξαι δυναμένων, καίτοι τἄλλα μέτριος ὢν, ἐν τούτοις οὐ μετριάζει. ἀλλ' ὑψοῦ τὴν κεφαλὴν διάρας, καὶ κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα περιαγαγὼν, πᾶσαν εἴσω ποιεῖται τὴν οἰκουμένην, ὅσην ὁ σωτήριος λόγος ἐπέδραμεν. ὁρῶν δὲ τὸν μέγαν τοῦ θεοῦ κλῆρον, τὸν τοῖς αὐτοῦ λόγοις τε καὶ νόμοις καὶ πάθεσι περιποιηθέντα, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, κακῶς διακείμενον, εἰς τε μυρίας δόξας καὶ πλάνας διασπασμένον, καὶ τὴν ἐξ Αἰγύπτου μετενεχθεῖσαν καὶ μεταπεφυτευμένην ἄμπελον ἐκ τῆς ἀθέου καὶ σκοτεινῆς ἀγνοίας εἰς κάλλος τι καὶ μέγεθος ἄπειρον προελθοῦσαν, ὡς καλύψαι πᾶσαν τὴν γῆν καὶ ὀρέων τε κέδρων ὑπεραρθῆναι, ταύτην δὲ ὑπὸ πονηροῦ καὶ ἀγρίου συὸς τοῦ διαβόλου λελυμασμένην, οὐκ αὐταρκὲς ὑπολαμβάνει θρηνεῖν ἡσυχῇ τὸ πάθος, καὶ πρὸς θεὸν αἴρειν μόνας τὰς χεῖρας, καὶ παρ' ἐκείνου τῶν κατεχόντων κακῶν λύσιν ζητεῖν· αὐτὸς δὲ καθεύδειν, ἀλλά τι καὶ βοηθεῖν καὶ παρ' ἑαυτοῦ συνεισφέρειν ᾤετο δεῖν. τί γὰρ ἂν εἴη τῆς συμφορᾶς ταύτης ἀνιαρότερον; ὑπὲρ δὲ τοῦ μᾶλλον χρῆναι σπουδάζειν τὸ ἄνω βλέποντα; ἑνὸς μὲν γὰρ εὖ πράττοντος ἢ κακῶς, οὐδὲν τῷ κοινῷ τοῦτο ἐπισημαίνεται· τοῦ κοινοῦ δ' οὕτως ἢ ἐκείνως ἔχοντος, καὶ τὸ καθ' ἕκαστον ὁμοίως ἕξειν, πάσχειν ἦν ἀνάγκη. ταῦτ' οὖν ἐννοῶν ἐκεῖνος, καὶ σκοπῶν ὁ τοῦ κοινοῦ κηδεμὼν καὶ προστάτης, ἐπειδὴ σὺν ὀξέων καρδίᾳ αἰσθητικὴ, ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ, καὶ τὸ μὲν ἀναλγήτους εὐθύμους, τὸ δὲ συμπαθὲς λυπηρὸν, καὶ τῆξις καρδίας ἔμμονος λογισμὸς, διὰ τοῦτο ἐσφάδαζεν, ἠνιᾶτο, κατεπτήσσετο, ἔπασχε τὸ Ἰωνᾶ, τὸ Δαβὶδ ἀπελέγετο τὴν ψυχὴν, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις. προσεδαπανᾶτο τὸ λειπόμενον τῶν σαρκῶν ταῖς φροντίσιν, ἕως εὗρε τῶν κακῶν λύσιν. ἐπεζήτει ἄνωθεν βοήθειαν, ἢ ἀνθρωπίνην, ἥ τις στήσει τὸν κοινὸν ἐμπρησμὸν, καὶ τὴν ἐπέχουσαν ἡμᾶς σκοτόμαιναν. ἓν μὲν οὖν ἐκεῖνο ἐπινοεῖ καὶ λίαν σωτήριον, συναγαγὼν ἑαυτὸν ὡς οἷόν τε ἦν, καὶ συγκλείσας τῷ πνεύματι, καὶ πάντας τοὺς ἀνθρωπίνους λογισμοὺς κινήσας. πᾶν δὲ τῶν γραφῶν βάθος ἀναλεξάμενος, λογογραφεῖ τὴν εὐσέβειαν. καὶ ἀντιθέτοις πάλαις καὶ μάχαις, τὸ πολὺ τῶν αἱρετικῶν ἀποκρούεται θράσος· τοὺς μὲν καὶ εἰς χεῖρας ἰόντας,

ἀγχεμά-

Ὁ μόνως ἀληθὲς ἄλογος πρᾶξις, ἢ λόγος ἄπρακτος.

Θυσιαστήρια. Ἀναίμακτοι θυσίαι.

Xerxes.

Oblignata presbyteri in navem flagrantes iussu Valentis ... Θυσιαστήρια.

ἀγχεμάχοις ὅπλοις τοῖς ἀπὸ γλώσσης κατατρεπόμενος· τὸν δὲ προέγραφεν, μᾶλλον δὲ ἐξεῖργε μᾶσι τοῖς ἐκ μέλανος, οὐδ' ἐν ἀπιμοτέροις τῶν ἐν ταῖς πλαξὶ χαραγμάτων. οὐδὲ ἐν τῇ Ἰουδαίας ἔθει, καὶ μικρῷ τούτῳ νομοθετοῦντος περὶ βρωμάτων καὶ πομάτων, καὶ προσκαίρων θυσιῶν, καὶ σαρκὸς καθαρσίων, ἀλλὰ καὶ παντὶ γένει καὶ μέρει τῆς οἰκουμένης, περὶ τοῦ λόγου τῆς ἀληθείας, ἐξ οὗ καὶ τὸ σώζεσθαι περιγίνεται. δεύτερον δέ. καὶ γὰρ ὁμοίως ἀπελὼς ἄλογος πρᾶξις, καὶ λόγος ἄπρακτος· προστίθησι τῷ λόγῳ καὶ τὴν ἐκ τοῦ πράττειν ἐπικουρίαν. τοῖς μὲν ἐπιδημῶν, πρὸς δὲ τοὺς πρεσβεύων· τοὺς δὲ παρακαλῶν, τοὺς δὲ ἐλέγχων, τοὺς δὲ ἐπιτιμῶν, ἀπειλῶν, ὀνειδίζων, προπολεμῶν ἐθνῶν, πόλεων, τῶν καθ' ἕκαστον, παντὸς εἶδος ἐπινοῶν σωτηρίας, πανταχόθεν ἰώμενος, ὁ Βεσελεὴλ ἐκεῖνος, ὁ τῆς θείας ἀρχιτέκτων σκηνῆς, πᾶσαν πρὸς τὸ ἔργον ὕλῃ καὶ τέχνῃ χρώμενος, καὶ πάντα πλέκων εἰς κάλλους ἑνὸς συνουσίαν καὶ ἁρμονίαν. τί τἆλλα χρὴ λέγειν, ἀλλ' ἥκει ἡμῖν αὖθις ὁ χριστομάχος βασιλεὺς, καὶ τῆς πίστεως τύραννος, μηδὲ πλείονος τῆς ἀσεβείας καὶ θρασυτέρας τῆς προτάξεως, πρὸς ἀνταγωνιστὴν ἰσχυρότερον ὄντος αὐτῷ τοῦ λόγου, καὶ τὸ ἀκάθαρτον ἐκεῖνο πνεῦμα καὶ πονηρὸν, ὃ τοῦ ἀνθρώπου λυθὲν, πρὸς τὸν αὐτὸν ἀναστρέφει μετὰ πλειόνων πνευμάτων εἰσοικισθησόμενον· ὡς παρ' ἐν τοῖς εὐαγγελίοις ἠκούσαμεν. τούτου γίνεται μαθητὴς ἐκεῖνος, ὁμοῦ τε τὴν προτέραν ἧτταν ἀνακαλεσόμενος, καὶ προσθήσων τι τοῖς πρώτοις παλαίσμασι. δεινὸν γὰρ εἶναι καὶ χαλεπὸν, πολλῶν μὲν ἐθνῶν ὑπερέχοντα, πολλῆς δὲ δόξης ἠξιωμένον, πάντας δὲ τοὺς κύκλῳ καταστρεψάμενον τῷ κράτει τῆς ἀσεβείας, καὶ χειρωσάμενον πᾶν τὸ προστυχὸν, ἑνὸς ἀνδρὸς, καὶ μιᾶς πόλεως ἡττῶν ὀφθῆναι, καὶ γέλωτα ὀφλεῖν οὐ τοῖς ἄγουσι μόνον αὐτὸν προστάταις τῆς ἀθεΐας, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ὡς ὑπελάμβανε. τὸν μὲν δὴ Περσῶν βασιλέα φασὶν, ἐπειδή ποτε κατὰ τῆς Ἑλλάδος ἐστράτευε, παντὸς μὲν γένος ἀνθρώπων ἐπ' αὐτοὺς ἐλαύνων, πάντα τε δὲ ζέων θυμῷ καὶ φρονήματι, οὐ ταύτῃ μόνον ἐπαίρεσθαι, ὅτι ἀμετρον ἦν ταῖς ἀπειλαῖς· ἀλλ' ὡς ἂν μᾶλλον αὐτοὺς καταπλήξειε, φοβερὸν ἑαυτὸν ποιεῖν, καὶ ταῖς κατὰ τῶν στοιχείων καινοτομίαις. γῆ τις ἠκούετο ξένη, καὶ θάλασσα τοῦ νέου δημιουργοῦ, καὶ στρατὸς ἤπειρον πλέων, καὶ πεζεύων πέλαγος. νῆσοί τε ἁρπαζόμεναι, καὶ θάλασσα μαστιζομένη, καὶ ὅσα τῆς ἐμπλήκτου σαφῶς ἦν στρατιᾶς καὶ στρατηγίας, κατάπληξις μὲν τοῖς ἀγεννεστέροις, γέλως δὲ τοῖς ἀνδρικωτέροις καὶ στερροτέροις τὸ φρόνημα. ὁ δὲ τοιούτων μὲν οὐδενὸς ἐδεῖτο καθ' ἡμῶν στρατεύσας. ὁ δὲ ἦν ἐκείνων χεῖρον καὶ βλαβερώτερον, τοῦτο ποιῶν καὶ λέγων ἠκούετο. ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, βλασφημίαν λαλῶν εἰς τὸ ὕψος, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς. καλῶς γὰρ αὐτὸν ὁ θεῖος Δαβὶδ πρὸ ἡμῶν ἐστηλίτευσε, τὸν οὐρανὸν εἰς γῆν κλίνοντα, καὶ μετὰ τῆς κτίσεως ἀριθμοῦντα φύσιν τὴν ὑπερκόσμιον, ἣν οὐδὲ χωρεῖν ἡ κτίσις δύναται, καὶ μηδ' ἡμῶν τι γένηται λόγῳ φιλανθρωπίας, ἵν' ἡμᾶς ἑλκύσῃ πρὸς ἑαυτὴν χαμαὶ κειμένους. καὶ δὴ λαμπρὰ μὲν αὐτοῦ τὰ πρῶτα τολμήματα, λαμπρότερα δὲ τὰ τελευταῖα καθ' ἡμῶν ἀγωνίσματα. τίνα δὴ λέγω τὰ πρῶτα, ἐξορίαι, φυγαὶ, δημεύσεις, ἐπιβουλαὶ, φανεραί τε καὶ ἀφανεῖς. τὸ πείθειν οὗ καιρὸς ἦν, τὸ βιάζεσθαι τοῦ πείθειν οὐκ ὄντος. οἱ μὲν ἐξωθούμενοι τῶν ἐκκλησιῶν, ὅσοι τοῦ ὀρθοῦ λόγου καὶ τοῦ καθ' ἡμᾶς. οἱ δὲ εἰσαγόμενοι, ὅσοι τῆς βασιλικῆς ἀπωλείας ἐτύγχανον, οἱ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτοῦντες, οἱ γράφοντες τὰ τούτων ἔτι χαλεπώτερα, πρεσβυτέρων ἐμπρησμοὶ θαλάττιοι, στρατηγοὶ δυσσεβεῖς, οὐ Περσῶν κρατοῦντες, οὐ Σκύθας χειρούμενοι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος ἀνακαθαίροντες, ἀλλ' ἐκκλησίαις ἐπιστρατεύοντες, καὶ θυσιαστηρίων κατορχούμενοι, καὶ τὰς ἀναιμάκτους θυσίας ἀνθρώπων τε καὶ θυσιῶν αἵμασι χραίνοντες, καὶ παρθενίαν αἰδῶ καθυβρίζοντες, ἵνα τί γένηται; ἵν' ἐξωσθῇ μὲν Ἰακὼβ ὁ πατριάρχης, ἀντεισαχθῇ δὲ Ἡσαῦ ὁ μεμισημένος, καὶ πρὸ γενέσεως. ταῦτα τῶν πρώτων αὐτοῦ τολμημάτων τὰ διηγήματα, ἃ καὶ μέχρι τοῦ νῦν κινεῖ τοῖς πολλοῖς δάκρυον, εἰς μνήμην ἰόντα καὶ ἀκουόμενα. ἐπεὶ δὲ πάντα διεξελθὼν, ἐπὶ τὴν ἄσειστον καὶ ἀήττητον ταύτην τῶν ἐκκλησιῶν μητέρα, ὡς δουλωσόμενος ὥρμησε, καὶ τὸν λειπόμενον ἔτι μόνον ζωπυρὸν σπινθῆρα τῆς ἀληθείας, τότε πρῶτον ᾔσθετο κακῶς βουλευσάμενος, ὡς γὰρ βέλος ἰσχυροτέρῳ προσπεσὸν ἀπεκρούσθη, καὶ ὡς κάλως ῥαγεὶς ὑπεχώρησε. τοιούτῳ τῷ προστάτῃ τῆς ἐκκλησίας ἐνέτυχε, καὶ τοσούτῳ προβόλῳ περιρραγεὶς διελύθη. τὰ μὲν οὖν ἄλλα λεγόντων τε καὶ ἱστορούντων τῶν τότε πεπειραμένων, ἔστιν ἀκούειν. ἱστορεῖ δὲ οὐδεὶς, ὅς τις οὐ τῶν ἀπαιτῶν, ἀλλὰ τοσοῦτοι θαυμάζουσιν, ὅσοι τοὺς τότε ἀγῶνας γνωρίζουσι, τὰς προσβολὰς, τὰς ὑποσχέσεις, τὰς ἀπειλὰς, τοὺς ἐκ τοῦ δικαστικοῦ τάγματος προσπεμπομένους αὐτῷ καὶ πείθειν ἐπιχειροῦντας, τοὺς ἐκ τοῦ στρατιωτικοῦ, τοὺς ἐκ τῆς γυναικωνίτιδος, τοὺς ἐν γυναιξὶν ἄνδρας, καὶ ἐν ἀνδράσι γυναῖκας, τοὺς τοῦτο μόνον ἀνδρικοὺς τὴν ἀσέβειαν· οἳ τὸ φυσικῶς ἀσελγαίνειν οὐκ ἔχοντες, ὃ δύνανται μόνον, τῇ γλώσσῃ πορνεύουσι, τὸν ἀρχιμάγειρον Ναβουζαρδὰν, τὰς ἐκ τῆς τέχνης μαχαίρας ἐπαπειλοῦντα, καὶ τῷ οἰκείῳ πυρὶ πεμπόμενον.

μενον, ὃ δὴ μάλιστά μοι τὴν ἐκείνου θαυμάζειν, καὶ οὐδὲ βουλομένῳ παρελθεῖν δυνατόν. τοῦτο δὴ διὰ τοῦ λόγου συνελθεῖν, ὅθεν ἐνδέχεται. τίς οὐκ οἶδε τὸν τηνικαῦτα ὕπαρχον, πολλῷ μὲν τῷ οἰκείῳ θράσει κατὰ τῶν ἡμετέρων μάλιστα χρώμενον, ἐπειδὴ καὶ παρ' ἐκείνων ἦν τῷ βαπτίσματι τελεσθεὶς ἢ συντελεσθείς· πλείω δὲ τῶν ἀναγκαίων ὑπηρετοῦντα τῷ ἐπιτάττοντι, καὶ διὰ τοῦ πάντα χαρίζεσθαι τὸ κράτος ἑαυτῷ συντηροῦντα καὶ φυλάττοντα χρονιώτερον; τούτῳ βρέμοντι κατὰ τῆς ἐκκλησίας, καὶ λεοντείους μὲν τὸ εἶδος προβεβλημένῳ, λεόντειον δὲ βρυχωμένῳ, καὶ μηδὲ προσιτῷ τοῖς πλείοσιν, ὁ γενναῖος ἐκεῖνος εἰσάγεται. μᾶλλον δὲ εἴσεισιν, ὥσπερ εἰς ἑορτήν, οὐκ εἰς κρίσιν καλούμενος. πῶς ἂν ἀξίως διηγησαίμην ἢ τὴν τοῦ ὑπάρχου θρασύτητα, ἢ τὴν τοῦ ἀνδρὸς πρὸς αὐτὸν μετὰ συνέσεως ἔνστασιν; τί σοι, φησί, ὦ οὗτος βούλεται, τοὔνομα προσειπών. οὔπω γὰρ ἐπίσκοπον ἠξίου καλεῖν, τὸ κατὰ τοσούτου κράτους τολμᾶν, καὶ μόνον τῶν ἄλλων ἀπαυθαδιάζεσθαι; τοῦ χάριν ὁ γενναῖος φησί, καὶ τίς ἡ ἀπόνοια; οὔπω γὰρ ἔχω γινώσκειν. ὅτι μὴ τὰ βασιλέως θρησκεύεις φησί, τῶν ἄλλων ἁπάντων ὑποκεκλικότων καὶ ἡττημένων. οὐ γὰρ ταῦτα, ἔφη, Βασιλεὺς ὁ ἐμὸς βούλεται, οὐδὲ κτίσμα τι προσκυνεῖν ἀνέχομαι, Θεοῦ τι κτίσμα τυγχάνων, καὶ θεὸς εἶναι κελευόμενος. ἡμεῖς δὲ τί σοι δοκοῦμεν; ἢ οὐδέν, ἔφη, ταῦτα προστάττοντες; τί δαί; οὐ μέγα σοι τὸ μεθ' ἡμῶν τετάχθαι καὶ κοινωνοὺς ἔχειν ἡμᾶς; ὕπαρχοι μέν φησιν ὑμεῖς, καὶ τῶν ἐπιφανῶν οὐκ ἀρνήσομαι. οὔπω δὲ Θεοῦ τιμιώτεροι. καὶ τὸ κοινωνοὺς ἔχειν, μέγα μέν· πῶς γὰρ οὔ; πλάσμα Θεοῦ καὶ ὑμεῖς, ἀλλ' ὥσπερ τινὰς ἄλλους τῶν ὑφ' ἡμῖν τεταγμένων. οὐ γὰρ προσώποις τὸν χριστιανισμόν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι. τότε δὴ κινηθέντα τὸν ὕπαρχον, ζέσαι τε πλεῖον τῷ θυμῷ, καὶ τῆς καθέδρας ἐξαναστῆναι, καὶ τραχυτέροις πρὸς αὐτὸν χρήσασθαι λόγοις. τί δαί, οὐ φοβῇ τὴν ἐξουσίαν φησί; μὴ τί γένηται; μηδὲ τί πάθω; μή τι τῶν πολλῶν ἕν, ἃ τῆς ἐμῆς δυναστείας ἐστί. τίνα ταῦτα; γνωριζέσθω γὰρ ἡμῖν. δήμευσιν, ἐξορίαν, βασάνους, θάνατον. εἴ τι ἄλλο, φησίν, ἀπείλει. τούτων γὰρ οὐδὲν ἡμῶν ἅπτεται. καὶ τοῦ εἰπεῖν· πῶς καὶ τίνα τρόπον; ὅτι, ἔφη, δημεύσει μὲν οὐχ ἁλωτὸς ὁ μηδὲν ἔχων, πλὴν εἰ τούτων χρῄζεις τῶν τρυχίνων μου ῥακίων καὶ βιβλίων ὀλίγων, ἐν οἷς ὁ πᾶς ἐμοὶ βίος. ἐξορίαν δὲ οὐ γινώσκω, ὁ μηδενὶ τόπῳ περιγραπτός, καὶ μήτε ταύτην ἔχων ἐμήν, ἣν οἰκῶ νῦν, καὶ πᾶσαν ἐμήν, εἰς ἣν ἂν ῥιφῶ. μᾶλλον δὲ Θεοῦ πᾶσαν, οὗ πάροικος ἐγὼ καὶ παρεπίδημος. αἱ βάσανοι δέ, τί ἂν λάβοιεν, οὐκ ὄντος σώματος; πλὴν εἰ τὴν πρώτην λέγεις πληγήν· ταύτης γὰρ σὺ μόνης κύριος. ὁ δὲ θάνατος εὐεργέτης. καὶ γὰρ θᾶττον πέμψει με πρὸς Θεόν, ᾧ ζῶ, καὶ πολιτεύομαι, καὶ τοῦ πλέον τέθνηκα, καὶ πρὸς ὃν ἐπείγομαι πόρρωθεν. τούτοις καταπλαγέντα τὸν ὕπαρχον, οὐδεὶς φάναι μέχρι τοῦ νῦν οὕτως ἐμοὶ διείλεκται, καὶ μετὰ τοσαύτης τῆς παρρησίας, τὸ ἑαυτοῦ προσθεὶς ὄνομα. οὐδὲ γὰρ ἐπισκόπῳ φησὶν ἴσως ἐνέτυχες, ἢ πάντως ἂν τοῦτον διείλεχθη τὸν τρόπον, ὑπὲρ τοιούτων ἀγωνιζόμενος. τἆλλα μὲν γὰρ ἐπιεικεῖς ἡμεῖς ὕπαρχε, καὶ παντὸς ἄλλου ταπεινότεροι, τοῦτο τῆς ἐντολῆς κελευούσης, καὶ μὴ ὅτι τοσούτῳ κράτει, ἀλλὰ μηδὲ τῶν τυχόντων τινὶ τὴν ὀφρὺν αἴροντες. οὗ δὲ Θεὸς τὸ κινδυνευόμενον καὶ προκείμενον, τἆλλα παραφρονοῦντες, πρὸς αὐτὸν μόνον βλέπομεν. πῦρ δὲ καὶ ξίφος καὶ θῆρες, καὶ οἱ τὰς σάρκας τέμνοντες ὄνυχες, τρυφὴ μᾶλλον ἡμῖν εἰσιν ἢ κατάπληξις. πρὸς ταῦτα ὕβριζε, ἀπείλει, ποίει πᾶν ὅ,τι οὖν ᾖ βουλομένῳ σοι, τῆς ἐξουσίας ἀπόλαυε. ἀκουέτω ταῦτα καὶ βασιλεύς, ὡς ἡμᾶς γε οὐχ αἱρήσεις, οὐδὲ πείσεις συνθέσθαι τῇ ἀσεβείᾳ, κἂν ἀπειλῇς χαλεπώτερα. ἐπειδὴ ταῦτα εἰπεῖν καὶ ἀκοῦσαι τὸν ὕπαρχον, καὶ τὴν ἔνστασιν μαθεῖν τοῦ ἀνδρός, οὕτως ἀκατάπληκτον καὶ ἀήττητον, τὸν μὲν ἔξω πέμψαι καὶ μηδὲ ἐνστῆναι, οὐκ ἔτι μηδὲ τῆς αὐτῆς ἀπειλῆς, ἀλλά τινος αἰδοῦς καὶ ὑποχωρήσεως. αὐτὸν δὲ τῷ βασιλεῖ προσελθόντα ὡς εἶχε τάχους, ἡττήμεθα βασιλεῦ εἰπεῖν ὑπὸ τοῦ προβεβλημένου τῆς ἐκκλησίας. κρείττων ἀπειλῶν ὁ ἀνήρ, λόγων στερρότερος, πειθοῦς ἰσχυρότερος. ἄλλον δεῖ τινα πειρᾶν τῶν ἀγεννεστέρων, τοῦτον δὲ ἢ βιάζεσθαι φανερῶς, ἢ μὴ προσδοκᾶν εἴξειν ταῖς ἀπειλαῖς. ἐφ' οἷς ἑαυτοῦ καταγνόντα τὸν βασιλέα, καὶ τῶν ἐγκωμίων τοῦ ἀνδρὸς ἡττηθέντα (θαυμάζει γὰρ ἀνδρὸς ἀρετὴν καὶ πολέμιος) μήτε βιάζεσθαι κελεῦσαι, καὶ ταὐτὸν τῷ σιδήρῳ παθεῖν, ὃς μαλάσσεται μὲν τῷ πυρί, μένει δὲ ὅμως σίδηρος. καὶ τρέψαι τὰ εἰς θαῦμα τὴν ἀπειλήν, τὴν μὲν κοινωνίαν οὐ δέξασθαι, τὴν μετάθεσιν αἰσχυνόμενον, ζητεῖν δὲ ἀπολογίαν, ἥτις εὐπρεπεστάτη. δηλώσει δὲ καὶ ταύτην ὁ λόγος. εἰς γὰρ τὸ ἱερὸν εἰσελθὼν μετὰ πάσης τῆς περὶ αὐτὸν δορυφορίας, ἦν δὲ ἡμέρα τῶν Ἐπιφανίων καὶ ἀθροίσιμος, καὶ τοῦ λαοῦ μέρος γενόμενος, οὕτως ἀφοσιοῦται τὴν ἕνωσιν. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν. ἐπειδὴ γὰρ ἔνδον ἐγένετο, καὶ τὴν ἀκοὴν προσβαλούσῃ τῇ ψαλμῳδίᾳ κατεβροντήθη, τοῦ τε λαοῦ τὸ πέλαγος εἶδε, καὶ πᾶσαν τὴν εὐκοσμίαν, ὅση τε περὶ τὸ βῆμα καὶ ὅση πλησίον, ἀγγελικὴν μᾶλλον ἢ ἀνθρωπίνην, τὸν μὲν τοῦ λαοῦ προτεταγμένον ὄρθιον, οἷον τὸν Σαμουὴλ ὁ λόγος γράφει, ἀκλινῆ καὶ τὸ σῶμα καὶ τὴν ὄψιν καὶ τὴν

διανοίᾳ, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, ἀλλ' ἐστηλωμένον, ἵν' οὕτως εἴπω, θεῷ καὶ τῷ βήματι,
τῶν δὲ περὶ αὐτὸν ἑστηκότας ἐν φόβῳ τινὶ, καὶ σεβάσματι, ἐπειδὴ ταῦτα εἶδε, καὶ πρὸς οὐδὲν πα-
ράδειγμα ἠδύνατο θεωρεῖν τὰ ὁρώμενα, ἔπαθέ τι ἀνθρώπινον, σκότου καὶ δίνης πληροῦται
τὴν ὄψιν, καὶ τὴν ψυχὴν ἐκ τοῦ θάμβους. καὶ τοῦτο ἦν τοῖς πολλοῖς ἄδηλον ἔτι. ἐπεὶ δὲ τὰ δῶ-
ρα τῇ θείᾳ τραπέζῃ προσενεγκεῖν ἔδει, ὧν αὐτουργὸς ἦν, συνεπιλαβέσθαι δ' οὐδεὶς ὥσπερ ἦν
ἔθος, ἄδηλον ὂν εἰ προσήσεται, τηνικαῦτα τὸ πάθος γνωρίζεται· περιτρέπεται γάρ, καὶ εἰ μή τις τῶν
ἐκ τοῦ βήματος ὑποσχὼν τὴν χεῖρα, τὴν περιτροπὴν ἔστησε, κἂν κατηνέχθη πτῶμα δα-
κρύων ἄξιον. εἶεν· τὰ δὲ αὐτῷ διαλεχθέντα τῷ βασιλεῖ, καὶ μὴν ὅσης τῆς φιλοσοφίας, ἐπειδή γε
αὖθις ὥσπερ τινὰ συγκλεισάσης ἡμῖν εἴσω τοῦ καταπετάσματος αὐτὸν ἐδέξατο, εἴς τι ὄψιν
ἦλθε καὶ λόγων, ποθῶν ἐκ πολλοῦ, τί χρὴ λέγειν, τί δ' ἄλλο γε, ἢ θεοῦ φωνὰς εἶναι τοῖς τε τοῦ
βασιλέως καὶ ἡμῖν τοῖς συνεισελθοῦσιν ἠκούσθησαν. αὕτη γίνεται τῆς τοῦ βασιλέως πρὸς ἡμᾶς φιλαν-
θρωπίας ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο ἀλῆμα, τὸ τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον
ὥσπερ τι ῥεῦμα διέλυσεν. ἕτερον δὲ τῶν εἰρημένων οὐκ ἔλαττον. ἐνίκησαν οἱ πονηροί, καὶ κυροῦται
κατὰ τοῦ ἀνδρὸς ὑπερορία, καὶ οὐδὲν ἀπῆν τῶν εἰς τοῦτο φερόντων. ἡ νὺξ παρῆν, ὁ δίφρος εὐτρε-
πής, οἱ μισοῦντες ἐν κρότοις, ἐν ἀθυμίᾳ τὸ εὐσεβὲς, πολὺ τὸ πρόθυμον ἀδυνατώτεροι ἡμεῖς, τἄλ-
λα ὅσα τῆς καλῆς ἀτιμίας ταῦτα συνεπληροῦτο. τί οὖν; λύει ταύτην θεός. ὁ γὰρ πατάξας
Αἰγύπτου τὰ πρωτότοκα τραχυνομένης κατὰ τοῦ Ἰσραήλ, οὗτος καὶ τὸν παῖδα τοῦ βασιλέως
θραύει νόσου πληγῇ, καὶ τὸ τάχος, ὅσον ἐκεῖθεν τὸ γράμμα τῆς ὑπερορίας, ἐντεῦθεν τὸ δό-
γμα τῆς ἀρρωστίας, καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως, καὶ ὁ ἅγιος ἀνασώζεται, καὶ γίνεται
πυρετοῦ δῶρον ὁ ἀνὴρ εὐσεβὴς βασιλέα θρασὺν σωφρονίζοντος. τί τούτων ἐνδικώτερον ἢ ταχύ-
τερον; τὰ δὲ τούτων ἑξῆς, ἔκαμνεν ὁ παῖς τῷ βασιλεῖ, καὶ πονήρως εἶχε τοῦ σώματος. συνέ-
καμνε δὲ καὶ ὁ πατήρ. καὶ τί γὰρ ὁ πατήρ; πανταχόθεν ἐπιζητῶν τὴν ἐπικουρίαν τῷ πάθει,
καὶ ἰατρῶν τῶν ἀρίστων ἐκλεγόμενος, καὶ λιταῖς προσκείμενος εἴπερ ἄλλοτέ ποτε, καὶ κατὰ γῆς
ἐρριμμένος. πενθεῖ γὰρ καὶ βασιλέας ταπεινοῖ πάθος, καὶ θαυμαστὸν οὐδέν, ἐπεὶ καὶ Δαβὶδ πρό-
τερον ταῦτα ἐπὶ τῷ παιδὶ παθὼν ἀναγέγραπται. ὡς δὲ οὐδεὶς εὑρίσκετο οὐδαμόθεν τοῦ κα-
κοῦ φάρμακον, ἐπὶ τὴν πίστιν τοῦ ἀνδρὸς καταφεύγει, καὶ δι' ἑαυτοῦ μὲν οὐκ ἐκκαλεῖ, τῆς ὕ-
βρεως ὑπόγυιον αἰσχυνόμενος. ἑτέροις δὲ τὴν πρεσβείαν ἐπιτρέπει τῶν οἰκειοτάτων ἑαυτῷ,
καὶ φιλτάτων. καὶ ὃς παρῆν, οὐδὲν ἀναδύς, οὐδὲ τὸν καιρὸν κατηγορήσας ὥσπερ ἄλλος τις, καὶ
ὁμοῦ τῇ παρουσίᾳ ῥάων ἡ νόσος γίνεται, καὶ χρηστοτέρων ὁ πατὴρ τῶν ἐλπίδων. καὶ εἰ μὴ τὴν
ἅλμην τῷ ποτίμῳ ὕδατι συνεκέρασεν, ὁμοῦ τε τοῦτον εἰσκαλέσας, καὶ τοῖς ἑτεροδόξοις πι-
στεύσας, κἂν ὑγείας τυχὼν ὁ παῖς ταῖς τοῦ πατρὸς χερσὶν ἀπεσώθη, καὶ τοῦτο ἐπιστεύετο πα-
ρὰ τῶν τηνικαῦτα παρόντων καὶ κοινωνούντων τοῦ πάθους. τὸ δὲ αὐτὸ καὶ τῷ ὑπάρχῳ μικρὸν
ὕστερόν φασι συμβῆναι, κάμπτει καὶ τοῦτον ταῖς τοῦ ἁγίου χερσὶ συμπεσοῦσά τις ἀρρωστία,
καὶ ὄντως πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καὶ κρείττων εὐημερίας πολλάκις κα-
κοπάθεια. ἔκαμνεν, ἐδάκρυεν, ἐδυσφόρει, προσέπεμπεν, ἱκετηβόλει, τὴν ἀπολογίαν ἔχεις
δός, σωτηρίαν. καὶ μέντοι καὶ τυγχάνει ταύτης ὡς αὐτός τε ὡμολόγει, καὶ πολλοὺς ἔ-
πειθε τῶν οὐκ εἰδότων. οὐ γὰρ ἐπαύετο τὰ ἐκείνου καὶ θαυμάζων καὶ διηγούμενος. ἆρ' οὖν τὰ
μὲν πρὸς ἐκείνους αὐτῷ, τοιαῦτα καὶ εἰς τοῦτ' ἥκοντα τέλους, τὰ δὲ πρὸς ἑτέρους ἑτέρως ἢ τὰ
εἰ μικρῶν ἢ μικρὰ πεπολέμηται, ἢ μετρίως πεφιλοσόφηται, ἢ σιγῆς ἄξια, ἢ οὐ λίαν ἐπαι-
νετῶς; οὐ μὲν δὴ ἀλλ' ὁ κινήσας ποτὲ τῷ Ἰσραὴλ Ἄδερ τὸν ἀλιτήριον, οὗτος κινεῖ καὶ τοῦτον τὸν
τῆς ποντικῆς μοίρας ὕπαρχον, προφάσει μὲν ὡς ὑπὲρ γυναικός τινος ἀγανακτοῦντα, τὸ δ'
ἀληθὲς τῆς ἀσεβείας ὑπέρμαχον ὄντα, καὶ κατὰ τῆς εὐσεβείας ἱστάμενον. ἐῶ τἄλλα καὶ ὅσα καὶ
οἷα κατὰ τοῦ ἀνδρὸς ἐξύβρισεν. ἴσον δὲ εἰπεῖν καὶ κατὰ τοῦ θεοῦ, πρὸς ὃν καὶ δι' ὃν ὁ πόλεμος.
ὃ δὲ μάλιστα καὶ τὸ ὑβρεῖς ἦν ἔχων, καὶ τὸν ἀγῶνα ὕψωσεν, εἴπερ τι μέγα καὶ ὑψηλὸν ἡ
φιλοσοφία, καὶ τὸ κρατοῦντα τῶν πολλῶν ταύτῃ φαίνεσθαι, τοῦτο δίειμι τῷ λόγῳ. γυ-
ναῖκά τινα τῶν ἐπιφανῶν ἐξ ἀνδρὸς οὐ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντος, ὁ τοῦ δικαστοῦ
συνέδρος ἐβιάζετο, πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν. ἡ δὲ οὐκ ἔχουσα ὅπως διαφύγῃ τὴν τυ-
ραννίδα, βουλὴν βουλεύεται, οὐ τολμηρὰν μᾶλλον, ἢ συνετήν, τῇ ἱερᾷ τραπέζῃ προσφεύγει,
καὶ θεὸν ποιεῖται προστάτην κατὰ τῆς ἐπηρείας. τί οὖν ἔδει ποιεῖν, ὦ πρὸς τῆς τριάδος αὐτῆς,
ἵν' εἴπω τι καὶ δικανικῶς· ἵνα κἂν τῶν ἐπαινῶν, μὴ ὅτι τὸν μέγαν Βασίλειον καὶ τῶν τοιούτων ἁπα-
σι νομοθέτην, ἄλλον δέ τινα τῶν πολὺ μετ' ἐκεῖνον, ἱερέα δὲ ὅμως γοῦν ἀντιποιεῖσθαι, κα-
τέχειν, κήδεσθαι, χεῖρα ὀρέγειν θεοῦ φιλανθρωπίᾳ καὶ νόμῳ τῷ τιμῶντι θυσιαστήρια; οὐ
πάντα δρᾶν καὶ παθεῖν ἐθελῆσαι πρότερον, ἢ τι βουλεύσασθαι κατ' αὐτῆς ἀπάνθρω-
πον; καὶ καθυβρίσαι μὲν τὴν ἱερὰν τράπεζαν, καθυβρίσαι δὲ τὴν πίστιν μεθ' ἧς ἱκέτευ-
σε; οὔ, φησὶν ὁ καινὸς δικαστής. ἀλλ' ἡττᾶσθαι χρὴ τῆς ἐμῆς δυναστείας, καὶ προδότας γενέσθαι

χριστιανούς

χριστιανοὺς τὴν οἰκείαν νόμιζων. ὁ μὲν ἐζήτει τὴν ἱκέτιν, ὁ δ' εἴχετο κατὰ κράτος, ὁ δ' ἐθερμαίνετο, καὶ τέλος πέμπει τινὰς τῶν ἐπ' ἐξουσίας, τὸν τοῦ ἁγίου κοιτωνίσκον ἐξερευνήσοντας, οὐ κατὰ χρείαν μᾶλλον ἢ ἀτιμίαν. τί λέγεις; τοῖον ἐκείνου τοῦ ἀπαθοῦς, ὃν περιέπουσιν ἄγγελοι, ὃν καὶ προσβλέπειν ὀκνοῦσι γυναῖκες; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι καὶ ἀπολογεῖσθαι κελεύει, οὐδὲ ἠπίως καὶ φιλανθρώπως, ἀλλ' ὡς ἕνα τῶν κατακρίτων. ὁ μὲν παρῆν, ὁ δὲ προὐκάθητο γέμων θυμοῦ καὶ φρονήματος. εἱστήκει δὲ δὴ ὁ ἐμὸς Ἰησοῦς Πιλάτου κρίνοντος, οἱ κεραυνοὶ δὲ ἠμέλλουν. ἡ δὲ τοῦ Θεοῦ μάχαιρα ἐστιλβοῦτο ἔτι, καὶ ἀνεβάλλετο, καὶ τὸ τόξον ἐτείνετο μὲν, κατείχετο δὲ, τῇ μετανοίᾳ καιρὸν ὑπανοιγούσης. ὅστις δὴ τοῦ Θεοῦ νόμος. ἄθρει δή μοι πάλιν ἑτέραν ἀγωνιστοῦ καὶ διώκτου, τὸ περιαυχένιον ῥάκος σπαράττεσθαι προσέταττεν. ὁ δὲ, προσαποδύομαί σοι, φησὶν, εἰ βούλει καὶ τὸ χιτώνιον. τὸ δὲ ἠπείλει τὸν ἄσαρκον· ὁ δὲ ὑπέκυπτε, ξέειν τοῖς ὄνυξι. ὁ δὲ ἰατρεύσεις φησὶ τὸ ἧπαρ, ὁρᾷς ὅπως με κατατρύχει; τοῖς τοιούτοις θεραπεύων ἀσυρέγμασιν, οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. ἡ δὲ πόλις ὡς ᾔσθετο τοῦ κακοῦ καὶ τοῦ κοινοῦ πάντων κινδύνου (κίνδυνον γὰρ ἕκαστος ἑαυτοῦ τὴν ὕβριν ταύτην ἐνόμιζεν) ἐκμαίνεται πᾶσα, καὶ ἀνάπτεται, καὶ ὥσπερ ὑπὸ καπνοῦ σμῆνος κινηθὲν, ἄλλος ἐπ' ἄλλῳ διεγείρεται καὶ ἀνίσταται, γένος ἅπαν, καὶ ἡλικία πᾶσα, οἱ περὶ τὴν ὁπλοποιητικὴν καὶ βασιλείους ἰσοεργίαν μάλιστα. καὶ γάρ εἰσι περὶ τὰ τοιαῦτα θερμότεροι, καὶ τὸ τολμᾶν ἐκ τῆς παρρησίας ἔχοντες, καὶ παρ' ἣν ἐπλεονέκτουν ὑπὸ τῆς τέχνης, εἴ τι ἄλλο τῷ καιρῷ τύχοι διαθετοί, αἱ δᾷδες οἱ χερσὶν, οἱ λίθοι προβεβλημένοι, τὰ ῥόπαλα εὐτρεπῆ, δρόμος ἁπάντων εἷς, βοὴ μία, προθυμία κοινή. θυμὸς ὁ δεινὸς ὁπλίτης ἢ στρατηγός. οὐδὲ γυναῖκες ἄοπλοι τηνικαῦτα τοῦ καιροῦ θήγοντος, μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· αἱ οὐδὲ γυναῖκες ἔμειναν ἔτι, τῷ ζήλῳ ῥωσθεῖσαι, καὶ εἰς ἀνδρεῖον θάρσος μεταλλαττόμεναι. βραχὺς ὁ λόγος. μερίζεσθαι τὴν εὐσέβειαν ᾤοντο, εἰ τοῦτον διέλοιντο. καὶ ἔτι αὐτοῖς εὐσεβέστερος ἦν, ὃς πρῶτος ἐπιβαλεῖ χεῖρα τῷ τολμητῇ τὴν τοιαύτην. τί οὖν ὁ σοβαρὸς ἐκεῖνος καὶ θρασὺς δικαστὴς; ἱκέτης ἦν, ἐλεεινὸς, ἄθλιος, τίνος οὐ ταπεινότερος; ἕως ἐπιφανεὶς ὁ χωρὶς αἵματος μάρτυς, καὶ χωρὶς πληγῶν στεφανίτης, καὶ βίᾳ τὸν λαὸν κατασχὼν, ᾐδοῖ κρατηθέντα, τὸν ἱκέτην ἑαυτοῦ καὶ ὑβριστὴν διεσώσατο. ταῦτα ὁ τῶν ἁγίων Θεὸς, ὁ ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν ἐπιμετρῶν. τί δὲ οὐκ ἔμελλεν ὁ τεμὼν θάλασσαν, καὶ ποταμὸν ἀνακόψας, καὶ στοιχεῖα τυραννήσας, καὶ χερσὶν ἐκτάσει τρόπαια στήσας, ἵνα διασώσῃ λαὸν φυγάδα, καὶ τοῦτον ἐξαιρεῖσθαι τῶν κινδύνων; ὁ μὲν δὴ κοσμικὸς πόλεμος, ἐνταῦθα ἐτελεύτησε, καὶ πέρας ἔσχεν ἐκ Θεοῦ δεξιὸν, καὶ τῆς ἐκείνου πίστεως ἄξιον. ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη τῶν ἐπισκόπων, καὶ τῶν ἐκείνοις συμμάχων, οὗ πολὺ μὲν τὸ ἄδοξον, πλείων δὲ ἡ βλάβη τοῖς ἀρχομένοις. τίς γὰρ ἂν τοὺς ἄλλους πείσειε μετριάζειν, οὕτω τῶν προεστώτων διακειμένων; ἐξ ἀρχῆς μὲν γὰρ οὐδ' ἐκ πλείονος εὐνοϊκῶς πρὸς αὐτὸν, τελειωθέντων τῶν ὑπο[...]. ὅτι μὲν γὰρ τῷ τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη τοῖς πλήθεσι βιαζομένοις, ἔτι τὴν ἐπὶ τῇ χειροτονίᾳ μικροψυχίαν, τελέως καταλελύκεσαν, καὶ τὸ μετὰ πολὺ τῆς δόξης κρατεῖσθαι, πάντων βαρύτατον ἦν αὐτοῖς, εἰ καὶ ὁμολογεῖν αἴσχιστον. ἐπεγίνετο δὲ καὶ ἄλλη τις διαφορὰ, ἣ ταῦτα ἐκαινοποίησε. τῆς γὰρ πατρίδος ἡμῶν εἰς δύο διαιρεθείσης ἡγεμονίας καὶ μητροπόλεις, καὶ πολλὰ τῶν ἐκ τῆς προτέρας τῇ νέᾳ προσαγούσης, ἐντεῦθεν καὶ τὰ ἐκείνων ἐστασιάσθη. ὁ μὲν γὰρ ἠξίου τοῖς δημοσίοις, καὶ τὰ ἡμέτερα συνδιαιρεῖσθαι, καὶ διὰ τοῦτο μετεποιεῖτο τῶν νεωστὶ προσελθόντων, ὡς αὐτῷ διαφερόντων ἤδη, καὶ ἐκείνου κεχωρισμένων. ὁ δὲ τῆς παλαιᾶς εἴχετο συνηθείας, καὶ τῆς ἐκ τῶν πατέρων ἄνωθεν διαιρέσεως, ἐξ ὧν πολλὰ καὶ δεινὰ τὰ μὲν συνέβαινον ἤδη, τὰ δὲ ὠδίνετο, ὑπεσπῶντο συνόδοι παρὰ τοῦ νέου μητροπολίτου, πρόσοδοι διηρπάζοντο. πρεσβύτεροι τῶν ἐκκλησιῶν οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ὑπηλλάττοντο. ἐξ ὧν συνέβαινε, καὶ τὰ τῶν ἐκκλησιῶν χεῖρον ἔχειν διϊσταμένων καὶ τεμνομένων. καὶ γάρ πως ταῖς καινοτομίαις χαίρουσιν ἄνθρωποι, καὶ τὰ σφῶν ἰδίως περικερδαίνουσι. καὶ ῥᾷόν τι καταλῦσαι τῶν καθεστώτων, ἢ καταλυθὲν ἐπαναγαγεῖν. ὃ δὲ πλεῖον αὐτὸν ἐξῆμμεν αἱ Ταυριακαὶ πρόσοδοι καὶ πάροδοι, αὐτῷ μὲν ὁρώμεναι, ἐκείνῳ δὲ προσγενόμεναι, καὶ τὸν ἅγιον Ὀρέστην ἐκκαρποῦσθαι μέγα ἐτίθετο, ὡς καὶ τῶν ἡμιόνων λαβέσθαι ποτὲ τοῦ ἀνδρὸς, ἰδίαν ὁδὸν ὁδεύοντος, εἴργων τῆς προόδου μετὰ λῃστρικοῦ συντάγματος. καὶ ἡ σκῆψις ὡς εὐπρεπής. τὰ γὰρ πνευματικὰ τέκνα καὶ αἱ ψυχαὶ, καὶ ὁ τῆς πίστεως λόγος, καὶ ταῦτα τὰ ἀπληστίας ἐπικαλύμματα, πρᾶγμα τῶν εὐπορίστων, καὶ τὸ μὴ χρῆναι δασμοφορεῖν κακοδόξοις. πᾶς γὰρ ὁ λυπῶν, κακόδοξος. οὐ μὴν ὁ ἅγιος τοῦ Θεοῦ καὶ τῷ ὄντι Καππαδόκης ὄντως μητροπολίτης, ἢ συνεπτύχθη τοῖς πταίσμασιν, ἢ περιιδεῖν ταῦτα ἠνείχετο, ἢ μικρὰν τοῦ κακοῦ λύσιν ἐπινοεῖ. ἀλλὰ σκοπῶμεν, ὡς μεγάλην καὶ θαυμασίαν, καὶ τί γὰρ ἢ τῆς ἐκείνου ψυχῆς ἀξίαν. πόλιν ἀθήνην γὰρ

τῆς ἐκκλησίας κινεῖται τὴν στάσιν, καὶ τὴν συμφορὰν, ὡς κάλλιστα διατίθεται, πλείοσιν ἐπι-
σκόποις τὴν πατρίδα καταπυκνώσας. ἐξ οὗ τί γίνεται; τρία τὰ κάλλιστα· ψυχῶν ἐπιμέ-
λεια πλείων, καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς ἔχειν, καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον.
ταύτης τῆς ἐπινοίας δέδοικα, μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. ἢ οὐκ οἶδ᾽ ὅ,τι καὶ εἰπεῖν δὲ πρέ-
πον χρή. πάντα γὰρ τἀνδρὸς θαυμάζων, οὐ μὴν ὅσον εἰπεῖν δυνατὸν, οὐ τοῦτο ἐπαινεῖν
οὐκ ἔχω (καὶ γὰρ ὁμολογήσω τὸ πάθος) οὐδ᾽ ἄλλως τοῖς πολλοῖς ἀγνοούμενον, τὴν περὶ ἡμᾶς και-
νοτομίαν καὶ ἀπιστίαν, ἧς οὐδὲ ὁ χρόνος τὴν λύπην ἀνάλωσεν. ἐκεῖθεν γάρ μοι πᾶσα συνέπε-
σεν ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ σύγχυσις, καὶ τὸ φιλοσοφεῖν μὴ δυνηθῆναι, ἢ μὴ νομίζεσθαι. ὁ
καὶ βραχὺς τοῦ δευτέρου λόγος. πλὴν εἴ τις ἐκεῖνο δέξαιτο ἡμῶν τοῦ ἀνδρὸς ὑπὲρ ἀπολογου-
μένων, ὅτι μεῖζον φρονῶν ἢ κατὰ ἄνθρωπον, καὶ τὴν ἐνθάδε πρὶν ἀπαλλαγῆναι μετάστασιν, πάν-
τα ἐποιεῖτο τοῦ πνεύματος, καὶ φιλίαν αἰδεῖσθαι εἰδὼς, ἐνταῦθα μόνον ἠτίμαζεν ὅτε θεὸν ἔδει
προτιμηθῆναι, καὶ πλεῖον ἔχειν τῶν λυομένων τὰ ἐλπιζόμενα. δέδοικα μὲν οὖν μὴ ῥᾳθυ-
μίας ἔγκλημα φεύγων παρὰ τοῖς τὰ ἐκείνου πάντα ἐπιζητοῦσιν, ἀπληστίας περιπέσω γρα-
φῆ, παρὰ τοῖς ἐπαινοῦσι τὸ μέτριον, ὃ μηδὲ ἐκεῖνος ἠτίμαζε. τὸ πᾶν μέτρον ἄριστον, ἐν τοῖς μάλι-
στα ἐπαινῶν, καὶ παρὰ πάντα τὸν ἑαυτοῦ βίον φυλάξας. ὅμως δὲ περιφρονῶν ἀμφοτέρων
τούς τε λίαν συντόμους, καὶ τοὺς ἄγαν ἀπλήστους, ὧδέ πως τῷ λόγῳ χρήσομαι. ἄλλοι μὲν
οὖν, ἄλλοις κατορθοῦσιν. οἱ δὲ τινὰ τὴν τῆς ἀρετῆς ἰδέαν, ἢ τινὰ τῶν πλειόνων, ἅπαντα δὲ οὐδεὶς ἐ-
πῆλθε πρὸς τὸ ἀκρότατον, οὔκουν τῶν νῦν ἡμῖν γινωσκομένων, ἀλλ᾽ οὗτος ἄριστος ἡμῖν, ὃς
αὖ τὰ πλείω τυγχάνει κατορθωκὼς, ἢ οὗ δὴ μάλιστα. ὁ δὲ οὕτω δὴ πάντων ἀφίκετο, ὡς εἶναι
φιλοτιμία τις φύσεως. σκοπῶμεν δὲ οὕτως, ἀκτησίαν τις ἐπαινεῖ, καὶ βίον ἄσκευον, καὶ ἀπέριτ-
τον. ἐκεῖνο δὲ, τί ποτε ἦν πλὴν τοῦ σώματος, καὶ τῶν ἀναγκαίων τῆς σαρκὸς καλυμμάτων;
πλοῦτος δὲ, τὸ μηδὲν ἔχειν, καὶ ὁ σταυρὸς, ᾧ συνέζη μόνῳ, ὃν πολλῶν χρημάτων ἐνόμιζεν ἑαυτῷ
τιμιώτερον. ἅπαντα μὲν γὰρ οὐδ᾽ ἂν εἰ βούλοιτό τις δύναιτ᾽ ἂν κτήσασθαι, πάντων δὲ ἀ-
δεῶς καταφρονεῖν, καὶ οὕτω κρείττων τῶν πάντων φαίνεσθαι. οὕτω δὲ διανοηθεὶς, καὶ
οὕτως ἔχων, βακτηρίου μὲν οὐκ ἐδεήθη καὶ τῆς κοινῆς δόξης, οὐδὲ δημοσίου κηρύγματος τοῦ κρά-
τους κρατήσαντα τὸν Θηβαῖον ἐλευθεροῖ· εἶναι γὰρ οὐ δοκεῖν ἐσπούδαζεν ἄριστος, οὐδὲ πίθον ᾤκει καὶ
μέσην τὴν ἀγορὰν, ὥστε πᾶσι κατατρυφᾶν, καὶ τὴν εὐπορίαν τῶν ἀχρεῶν ποιούμενος. ἀφιλό-
τιμος δὲ πένης ἦν καὶ ἀνήροτος, καὶ πάντων ἐκβαλὼν ὅσα εἶχε, κοῦφος διέ-
πλει τὴν τοῦ βίου θάλασσαν. θαυμαστὸν ἡ ἐγκράτεια καὶ ὀλιγαρκία, καὶ τὸ μὴ κρατεῖσθαι
τῶν ἡδονῶν, μηδ᾽ ὡς ὑπὸ πικρᾶς καὶ ἀνελευθέρου δεσποίνης τῆς γαστρὸς ἄγχεσθαι; τίς οὕτω μᾶλ-
λον ἄτροφος ἦν, οὐ πολὺ δὲ εἰπεῖν καὶ ἄσαρκος. τὰς μὲν γὰρ πλησμονὰς καὶ τοὺς κόρους, τοῖς ἀ-
λογωτέροις ἀπέρριψε, καὶ ὧν αἴσθημα ποδώδης καὶ κάτω νενευκὼς ὁ βίος, αὐτὸς δὲ οὐδὲν ἥδει
μέγα τὴν μέχρι τοῦ λαιμοῦ ὁμοτιμίαν, ἀλλὰ τοῖς ἀναγκαίοις διέζη μόνον, ἕως ἐξῆν, καὶ μόνην
ἥδει τρυφὴν, τὸ μὴ τρυφῶν φαίνεσθαι, μηδὲ διὰ τοῦτο δεῖσθαι πλειόνων, ἀλλὰ πρὸς τὰ κρί-
να βλέπειν καὶ τὰ πτηνὰ, οἷς ἄτεχνον τὸ κάλλος, καὶ ἀΐδιος ἡ τροφὴ κατὰ τὴν μεγάλην παραί-
νεσιν τοῦ ἐμοῦ Χριστοῦ, τοῦ σάρκα δι᾽ ἡμᾶς πτωχεύσαντος, ἵν᾽ ἡμεῖς πλουτήσωμεν θεότητα. ἐν-
τεῦθεν αὐτῷ ὁ εἷς χιτὼν καὶ τριβώνιον, καὶ ἡ χαμευνία, καὶ ἡ ἀλουσία, καὶ ἡ ἀγρυπνία,
τὰ ἐκείνου σεμνολογήματα, καὶ τὸ ἥδιστον δεῖπνον καὶ ὄψον, ὁ ἄρτος καὶ οἱ ἅλες, ἡ καινὴ κα-
ρυκεία, καὶ ποτὸν νηφάλιόν τε καὶ ἄφθονον, ὃ γεωργοῦσι πηγαὶ μηδὲν πονουμένοις, ἐξ ὧν ἢ μεθ᾽
ὧν νοσοκομίαι καὶ ἰατρεῖαι, τὸ κοινὸν ἡμῶν ἐμφιλοσόφημα. ἔδει γάρ με τὴν ἀκμαίων οὐ ἴσον
ἔχειν, τοῖς ἄλλοις λειπόμενον. μέγα παρθενία καὶ ἀζυγία καὶ τὸ μετ᾽ ἀγγέλων τετάχθαι, καὶ
τῆς μοναδικῆς φύσεως. ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὃς καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννωμένους
ἡμᾶς, ἐκ παρθένου γεννᾶται, παρθενίαν νομοθετῶν. ὡς ἐνθένδε μετάγουσαν, καὶ κόσμον συντέ-
μνουσαν, μᾶλλον δὲ κόσμον κόσμῳ παραπέμπουσαν, τῷ ἐνεστῶτι τὸν μέλλοντα. τίς οὖν ἐκεί-
νου μᾶλλον ἢ παρθενίαν ἐτίμησεν, ἢ ἀσαρκίαν ἐνομοθέτησεν; οὐ τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι
μόνον, ἀλλὰ καὶ οἷς ἐσπούδασε. τίνος οἱ παρθενῶνες, καὶ τὰ ἔγγραφα διατάγματα; οἷς
πᾶσαν μὲν αἴσθησιν ἐσωφρόνιζε, πᾶν δὲ μέλος ἐρρύθμιζε, καὶ ὄντως παρθενίαν ἐπετήδευεν, εἴσω
τὰ κάλλη στρέφων ἀπὸ τῶν ὁρωμένων εἰς τὰ μὴ βλεπόμενα, καὶ τὸ μὲν ἔξωθεν ἀπομαραίνων,
καὶ τὴν ὕλην ὑποσπῶν τῆς φλογὸς, τὸ δὲ κρυπτὸν τῷ θεῷ δεικνὺς, ὃς μόνος τῶν καθα-
ρῶν ψυχῶν ἐστι νυμφίος, καὶ τὰς ἀγρύπνους ἑαυτῷ συνεισάγει ψυχὰς, ἐὰν μετὰ λαμπρῶν
τῶν λαμπάδων καὶ ἀφθόνως τῆς τοῦ ἐλαίου τροφῆς αὐτῷ ἀπαντῶμεν. τοῦ τοίνυν ἐρημικοῦ
βίου καὶ τοῦ μιγάδος μαχομένων πρὸς ἀλλήλους ὡς τὰ πολλὰ, καὶ διισταμένων, καὶ οὐδετέ-
ρου πάντως ἢ τὸ καλὸν ἢ τὸ φαῦλον ἀνεπίμικτον ἔχοντος· ἀλλὰ τοῦ μὲν ἡσυχίου μὲν ὄντος
μᾶλλον, καὶ καθεστηκότος, καὶ θεῷ συνάπτοντος, οὐκ ἀτύφου δὲ διὰ τὸ τῆς ἀρετῆς ἀβασάνιστον
καὶ ἀσύγκριτον, τοῦ δὲ πρακτικωτέρου μὲν μᾶλλον καὶ χρησιμωτέρου, τὸ δὲ θορυβῶδες οὐ φεύ-
γοντος.

γοντος, καὶ τούτους ἄριστα κατήλλαξεν ἀλλήλοις καὶ συνεκέρασεν· ἀσκητήρια καὶ μοναστήρια δειμάμενος μὲν, οὐ πόρρω δὲ τῶν κοινωνικῶν καὶ μιγάδων, οὐδὲ ὥσπερ τειχίῳ τινὶ μέσῳ ταῦτα διαλαβὼν, καὶ ἀπ' ἀλλήλων χωρίσας, ἀλλὰ πλησίον συνάψας καὶ διαζεύξας. ἵνα μήτε τὸ φιλόσοφον ἀκοινώνητον ᾖ, μήτε τὸ πρακτικὸν ἀφιλόσοφον. ὥσπερ δὲ γῆ καὶ θάλασσα τὰ παρ' ἑαυτῶν ἀλλήλαις ἀντιδιδοῦσαι, εἰς μίαν δόξαν θεοῦ συντρέχουσι. τί ἔτι; καλὸν φιλανθρωπία καὶ πτωχοτροφία, καὶ τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βοήθημα. μικρὸν ἀπὸ τῆς πόλεως πρόελθε, καὶ θέασαι τὴν καινὴν πόλιν, τὸ τῆς εὐσεβείας ταμιεῖον, τὸ κοινὸν τῶν ἐχόντων θησαύρισμα, εἰς ὃ τὰ περιττὰ τοῦ πλούτου, ἤδη δὲ καὶ τὰ ἀναγκαῖα ταῖς ἐκείνου παραινέσεσιν ἀποτίθεται, σῆτας ἀποσειόμενα, καὶ κλέπτας οὐκ εὐφραίνοντα, καὶ φθόνου πάλην καὶ καιροῦ φθορὰν διαφεύγοντα· ἐν ᾧ νόσος φιλοσοφεῖται, καὶ συμφορὰ μακαρίζεται, καὶ τὸ συμπαθὲς δοκιμάζεται. τί μοι πρὸς τοῦτο τὸ ἔργον, ἑπτάπυλοι Θῆβαι καὶ αἰγύπτιοι, καὶ τείχη Βαβυλώνια, καὶ Μαυσώλου Καρικὸς τάφος, καὶ πυραμίδες, καὶ κολοσσοῦ χαλκὸς ἄμετρος, ἢ ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων· ἄλλα τε ὅσα θαυμάζουσιν ἄνθρωποι, καὶ ἱστορίαις διδόασιν, ὧν οὐδὲν τοὺς ἐγείραντας, πλὴν δόξης ὀλίγης ὤνησεν. ἐμοὶ δὲ θαυμασιώτατον, ἡ σύντομος τῆς σωτηρίας ὁδὸς, ἡ ῥάστη πρὸς οὐρανὸν ἀνάβασις. οὐκ ἔτι πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν, ἄνθρωποι νεκροὶ πρὸ θανάτου, καὶ τεθνηκότες τοῖς πλείστοις τοῦ σώματος μέλεσιν. ἀπελαυνόμενοι πόλεων, οἰκιῶν, ἀγορῶν, ὑδάτων, αὐτῶν τῶν φιλτάτων, ὀνόμασι μᾶλλον ἢ σώμασι γνωριζόμενοι. οὐδὲ προτιθέντες συνόδοις τε καὶ συλλόγοις, κατὰ συζυγίας τι καὶ συνουσίας, μηκέτ' ἐλεούμενοι διὰ τὴν νόσον, ἀλλὰ μισούμενοι. σοφισταὶ μελῶν ἐλεεινῶν, εἴ τισι καὶ φωνὴ λείπεται. τί ἂν ἅπαντα ἐκτραγῳδοίην τὰ ἡμέτερα, οὐκ ἀρκοῦντος τοῦ λόγου τῷ πάθει. ἀλλ' ἐκεῖνός γε μάλιστα πάντων ἔπεισεν ἀνθρώπους ὄντας, ἀνθρώπων μὴ καταφρονεῖν, μηδ' ἀτιμάζειν Χριστὸν τὴν μίαν πάντων κεφαλὴν διὰ τῆς εἰς ἐκείνους ἀπανθρωπίας. ἀλλ' ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς, τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ δανείζειν θεῷ τὸν ἔλεον, ἐλέου χρήζοντας. διὰ τοῦτο οὐδὲ τοῖς χείλεσιν ἀπηξίου τιμᾶν τὴν νόσον, ὁ εὐγενής τε, καὶ τῶν εὖ γεγονότων καὶ τὴν δόξαν ὑπέρλαμπρος. ἀλλ' ὡς ἀδελφοὺς ἠσπάζετο, οὐχ ὅπερ ἄν τις ὑπολάβοι, κενοδοξῶν (τίς γὰρ τοσοῦτον ἀπεῖχε τοῦ πάθους;) ἀλλὰ τὸ προσιέναι τοῖς σώμασιν ἐπὶ θεραπείᾳ διὰ τῆς ἑαυτοῦ φιλοσοφίας τυπῶν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις, καὶ οὐχ ἡ μὲν πόλις οὕτως, ἡ χώρα δὲ καὶ τὰ ἐκτὸς, ἑτέρως· ἀλλὰ κοινὸν ἅπασιν ἀγῶνα προὔθηκε τοῖς τῶν λαῶν προεστῶσι, τὴν εἰς αὐτοὺς φιλανθρωπίαν, καὶ μεγαλοψυχίαν. καὶ ἄλλων μὲν οἱ ὀψοποιοὶ καὶ αἱ λιπαραὶ τράπεζαι, καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα, καὶ οἱ φαλόκαλοι δίφροι, καὶ τῆς ἐσθῆτος ὅσον μαλακόν τε καὶ περιρρέον. Βασιλείου δὲ οἱ νοσοῦντες, καὶ τὰ τῶν τραυμάτων ἄκη, καὶ ἡ Χριστοῦ μίμησις, οὐ λόγῳ μὲν, ἔργῳ δὲ λέπραν καθαίροντος. πρὸς ταῦτα, τί φήσουσιν ἡμῖν οἱ τὸν τῦφον ἐγκαλοῦντες ἐκείνῳ, καὶ τὴν ὀφρὺν, οἱ πικροὶ τῶν τοιούτων κριταὶ, καὶ τῷ κανόνι τοὺς οὐ κανόνας προσάγοντες. ἔστι λεπροὺς μὲν ἀσπάζεσθαι, καὶ μέχρι τούτου συνταπεινοῦσθαι, τῶν δὲ ὑγιαινόντων καθοφρυᾶσθαι; καὶ τήκειν μὲν τὰς σάρκας δι' ἐγκρατείας, τὴν ψυχὴν δὲ οἰδαίνειν κενῷ φρυάγματι· καὶ τοῦ μὲν Φαρισαίου καταγινώσκειν, καὶ διηγεῖσθαι τὴν ἐξ ὄγκου ταπείνωσιν, καὶ Χριστὸν εἰδέναι μέχρι δούλου μορφῆς κατελθόντα, καὶ τελώναις συνεσθίοντα, καὶ νίπτοντα τοὺς πόδας τῶν μαθητῶν, καὶ σταυρὸν οὐκ ἀπαξιοῦντα ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν. καί τοι τί τούτου παραδοξότερον, θεὸν σταυρούμενον βλέπειν, καὶ τοῦτον μετὰ λῃστῶν, καὶ ὑπὸ τῶν παριόντων γελώμενον, τὸν ἀνάλωτον καὶ τοῦ παθεῖν ὑψηλότερον, αὐτὸν δὲ ὑπερνεφεῖν, καὶ μηδένα γινώσκειν ὁμότιμον, ὃ δοκεῖ τοῖς ἐκείνῳ βασκαίνουσιν· ἀλλ' οἶμαι τὸ τοῦ ἤθους εὐσταθὲς καὶ βέβαιον καὶ ἀπεξεσμένον, τῦφον ὠνόμαζον. οἱ δ' αὐτοί μοι δοκοῦσι ῥᾳδίως ἂν, καὶ τὸ ἀνδρεῖον καλέσαι θρασὺ, καὶ δειλὸν τὸν περιεσκεμμένον, καὶ τὸν σώφρονα μισάνθρωπον, καὶ τὸν δίκαιον ἀκοινώνητον. καὶ γὰρ οὐ φαῦλος τοῦτο τινὲς πεφιλοσοφήκασιν, ὅτι παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ εἰσί πως ἀγχίθυροι, καὶ ῥᾷστον, ἄλλο τι ὄντα ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις. τίς γὰρ ἐκείνου μᾶλλον ἢ ἀρετὴν ἐτίμησεν, ἢ κακίαν ἐκόλασεν, ἢ χρηστὸς ὤφθη τοῖς κατορθοῦσιν, ἢ τοῖς ἁμαρτάνουσιν ἐμβριθὴς, οὗ καὶ τὸ μειδίαμα πολλάκις, ἔπαινος ἦν, καὶ τὸ σιωπᾶν, ἐπιτίμησις, οἰκείῳ συνειδότι τὸ κακὸν βασανίζουσα. εἰ δὲ μὴ στωμύλος τις ἦν, μηδὲ γελοιαστὴς, καὶ ἀγοραῖος, μηδὲ τοῖς πολλοῖς ἀρέσκων, ἐκ τοῦ πᾶσι πάντα γίνεσθαι, καὶ χαρίζεσθαι, τί τοῦτο οὐκ ἐπαινετὸς μᾶλλον ἢ μεμπτὸς τοῖς γε νοῦν ἔχουσιν; εἰ μὴ καὶ τὸν λέοντα αἰτιῷτό τις, ὅτι μὴ πιθήκειον βλέπει. ἀλλὰ βλοσυρὸν καὶ βασιλικὸν, οὐδὲ τὰ σκιρτήματα τὰ γενναῖα, καὶ μετὰ θαύματος ἀγαπώμενα, καὶ τοὺς ἐπὶ τῆς σκηνῆς θαυμάζοι, ὡς ἡδεῖς τε καὶ φιλανθρώπους, ὅτι τοῖς δήμοις χαρίζονται, καὶ κινοῦσι γέλωτα τοῖς ἐπὶ κόρρης ῥαπίσμασι καὶ ψοφήμασι. καί τοι καὶ εἰ τοῦτο ζητοίημεν, τίς μὲν οὕτως ἡδὺς ἐν ταῖς συνουσίαις ὅσα ἐμὲ γινώσκειν τὸν μάλιστα

ἐκείνου τὰ πεπραγμένα, τίς διηγήσασθαι χαριέστερος, τίς μετὰ σκῶψαι παιδευτικῶς, τίς δὲ καθάψασθαι ἀπαλῶς, καὶ μήτε τὴν ἐπιτίμησιν θράσος ποιήσασθαι, μήτε τὴν ἄνεσιν ἔκλυσιν. ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγεῖν, ἀμφοτέροις σὺν λόγῳ καὶ καιρῷ χρώμενος κατὰ τοὺς Σολομῶντος νόμους, τοῦ παντὶ πράγματι καιρὸν διατάξαντος. ἀλλὰ τί ταῦτα πρὸς τὴν ἐν λόγοις τοῦ ἀνδρὸς ἀρετήν, καὶ τὸ τῆς διδασκαλίας κράτος τὰ πέρατα οἰκειούμενον. ἔτι περὶ τοὺς πρόποδας τοῦ ὄρους στρεφόμεθα, τῶν ἄκρων ἀπολειπόμενοι, ἔτι πορθμὸν διαπλέομεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος. οἶμαι γὰρ εἴ τις ἐγένετο ἢ γενήσεται σάλπιγξ ἐπὶ πολὺ τοῦ ἀέρος φθάνουσα, ἢ θεοῦ φωνὴ τὸν κόσμον περιλαμβάνουσα, ἢ σεισμὸς οἰκουμένης ἔκ τινος καινοτομίας καὶ θαύματος, ταῦτα εἶναι τὴν ἐκείνου φωνὴν καὶ διάνοιαν, τοσοῦτον ἁπάντων ἀπολείπουσαν καὶ κάτω βεβῶσαν, ὅσον τὴν τῶν ἀλόγων φύσιν ἡμεῖς. τίς μὲν ἑαυτὸν ἐκάθηρε μᾶλλον τῷ πνεύματι, καὶ ἄξιον τοῦ διηγεῖσθαι τὰ θεῖα παρεσκεύασε; τίς δὲ μᾶλλον ἐφωτίσθη φῶς γνώσεως, καὶ διέκυψεν εἰς τὰ βάθη τοῦ πνεύματος, καὶ μετὰ θεοῦ τὰ περὶ θεοῦ διεσκέψατο; τίς δὲ λόγον εἶχεν ἀμείνω τὴν νοηθεῖσαν ἑρμηνεῦσαι; ὡς μὴ δ' ἑτέρῳ σκάζειν κατὰ τοὺς πολλούς, ἢ τῷ λέγειν οὐκ ἔχοντι, ἢ λόγῳ μὴ κατὰ τὸν νοῦν βεβηκότι, ἀλλ' ἀμφοτέρωθεν ὁμοίως εὐδοκιμεῖν, καὶ αὐτὸν ἑαυτῷ φαίνεσθαι καὶ ὄντως ἄρτιον. πάντα μὲν ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ τῷ πνεύματι μεμαρτύρηται, οὐχ ὡς ἀγνοοῦντι, ἀλλ' ὡς ἐντρυφῶντι τῇ θεωρίᾳ. πάντα δὲ ἐκείνῳ διηρεύνηται τὰ τοῦ πνεύματος, ἐξ ὧν ἦθος ἅπαν ἐπαίδευσε, καὶ ὑψηγορίαν ἐδίδαξε, καὶ τῶν παρόντων ἀπανίστησι, καὶ πρὸς τὰ μέλλοντα μετεσκεύασεν. ἡλίου μὲν ἐπαινεῖται παρὰ τοῦ Δαβίδ, κάλλος καὶ μέγεθος καὶ δρόμου τάχος καὶ δύναμις, λαμπροῦ ὡς νυμφίου, εὐμεγέθους ὡς γίγαντος. οὗ καὶ τὸ περιδιαβαίνειν, ἔχει δύναμιν τοσοῦτον, ὡς ἀπ' ἄκρου τὰ ἄκρα ἰσοτίμως καταφωτίζειν, καὶ μηδὲν ἐλαττοῦσθαι τὴν θέρμην τοῖς διαστήμασι. τοῦ δὲ κάλλος μὲν ἡ ἀρετή, μέγεθος δὲ ἡ θεολογία, δρόμος δὲ τὸ ἀεικίνητον καὶ μέχρι θεοῦ φέρον ταῖς ἀναβάσεσι. δύναμις δὲ, ἡ τοῦ λόγου σπορὰ καὶ διάδοσις. ὥστε ἔμοιγε οὐδὲ τοῦτο εἰπεῖν ὀκνητέον, τὸ εἰς πᾶσαν τὴν γῆν ἐξελήλυθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων τὴν δύναμιν, ὃ περὶ τῶν ἀποστόλων ὁ Παῦλος ἔφησε, παρὰ Δαβὶδ ἐκλεξάμενος. τίς μὲν ἄλλη συλλόγου σήμερον χάρις; τίς δὲ συμποσίων ἡδονή; τίς δὲ ἀγορῶν, τίς δὲ ἐκκλησιῶν, τίς τῶν ἐν τέλει καὶ τῶν μετ' ἐκείνους τρυφή; τίς μοναστῶν ἢ μιγάδων; τίς τῶν ἀπραγμόνων, ἢ τῶν ἐν πράγμασι; τίς τῶν τὰ ἔξωθεν φιλοσοφούντων, ἢ τὰ ἡμέτερα. μία καὶ διὰ πάντων ἡ μεγίστη, τὰ ἐκείνου συγγράμματα καὶ πονήματα. οὐδὲ γραφεῦσιν εὐπορία τις ἄλλη μετ' ἐκεῖνον, ἢ τὰ ἐκείνου συγγράμματα. σιωπᾶται τὰ παλαιὰ ὅσα ἐπονοῦ τοῖς θείοις λόγοις ἐνίδρωσαν, βοᾶται τὰ νέα, καὶ οὗτος ἄριστος ἡμῖν ἐν λόγοις, ὃς ἂν τὰ ἐκείνου μάλιστα τυγχάνῃ γινώσκων, καὶ διὰ γλώσσης φέρων, καὶ συνηχίζων ταῖς ἀκοαῖς. ἤρκεσε γὰρ εἷς ἀντὶ πάντων οὗτος τοῖς σπουδαιοτέροις εἰς παίδευσιν. ἐγὼ τοῦτο μόνον αὐτοῦ διηγήσομαι. ὅταν τὴν ἑξαήμερον αὐτοῦ μεταχειρίζωμαι, καὶ διὰ γλώσσης φέρω, μετὰ τοῦ κτίστου γίνομαι, καὶ γινώσκω κτίσεως λόγους, καὶ θαυμάζω τὸν κτίστην πλέον ἢ πρότερον, ὄψει μόνῃ διδασκάλῳ χρώμενος. ὅταν τοῖς ἀντιρρητικοῖς ἐντύχω λόγοις, τὸ Σοδομιτικὸν ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ καὶ παράνομοι, ἢ τὸν Χαλάνης πύργον κακῶς μὲν οἰκοδομούμενον, καλῶς δὲ λυόμενον. ὅταν τοῖς τοῦ πνεύματος, εὑρίσκω θεὸν ὃν ἔχω, καὶ παρρησιάζομαι τῇ ἀληθείᾳ, ἐπιβατεύων τῆς ἐκείνου θεολογίας καὶ θεωρίας. ὅταν ταῖς ἄλλαις ἐξηγήσεσιν, ἃς τοῖς μικρὰ βλέπουσιν ἀναπτύσσει, τρισσῶς ἐν ταῖς στερεαῖς ἑαυτοῦ πλαξὶ τῆς καρδίας ἀπογραψάμενος, πείθομαι μὴ μέχρι τοῦ γράμματος ἵστασθαι, μηδὲ βλέπειν τὰ ἄνω μόνον, ἀλλὰ καὶ περαιτέρω διαβαίνειν, καὶ εἰς βάθος χωρεῖν ἔτι ἐκ βάθους, ἄβυσσον ἀβύσσῳ προσκαλούμενος, καὶ φωτὶ φῶς εὑρίσκων, μέχρις ἂν φθάσω πρὸς τὸ ἀκρότατον. ὅταν ἀθλητῶν ἐγκωμίοις προσομιλῶ, παραφρονῶ τὸ σῶμα, καὶ σύνειμι τοῖς ἐπαινουμένοις, καὶ πρὸς τὴν ἄθλησιν διεγείρομαι. ὅταν ἠθικοῖς λόγοις καὶ πρακτικοῖς, καθαίρομαι ψυχὴν καὶ σῶμα, καὶ ναὸς θεοῦ γίνομαι δεκτικός, καὶ ὄργανον κρουόμενον πνεύματι, καὶ θείας ὑμνῳδὸν δόξης τε καὶ δυνάμεως. τούτῳ μεθαρμόζομαι, καὶ ῥυθμίζομαι, καὶ ἄλλος ἐξ ἄλλου γίνομαι, τὴν θείαν ἀλλοίωσιν ἀλλοιούμενος. ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, καὶ τῆς περὶ ταύτην τοῦ ἀνδρὸς μάλιστα μεγαλοφωνίας, ἔτι κἀκεῖνο προσθήσω τοῖς εἰρημένοις. χρησιμώτατον γὰρ τοῖς πολλοῖς τὸ μὴ βλάπτεσθαι, τὴν χείρω περὶ αὐτοῦ δόξαν ἔχοντας. πρὸς δὲ τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπηρεάζουσιν. ἐκεῖνος γὰρ ὁ συνήγορος τοῦ ὀρθοῦ λόγου, καὶ τῆς κατὰ τὴν ἁγίαν τριάδα συναφείας καὶ συνθεΐας. οὐκ οἶδ' ὅτι κυριώτερον εἰπεῖν καὶ σαφέστερον χρή, μὴ ὅτι θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπεπήδησεν, ἀλλὰ καὶ φυγὴν καὶ θάνατον, καὶ τὰς πρὸ τοῦ θανάτου κολάσεις προθύμως ἐδέξατο ἄν, καὶ ὡς κέρδος, οὐ κίνδυνον. δηλοῖ δὲ οἷς τε ἤδη πεπόνθει, οἷς τε ἀνέτλη, ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς

ἀληθείας

ἀληθείας κατακριθεὶς, τοσοῦτον ἐπραγματεύσατο μόνον ὅσον ἐν τῇ ἀκολούθων εἰπεῖν, ἀρχομένῳ τὸ πυκτίον ἀκολουθεῖν. οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει, τῶν ἀναγκαίων ἐνόμιζε, τῷ θείῳ δαβὶδ περὶ τούτου συμβούλῳ χρώμενος, καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν, καὶ τῆς τῶν αἱρετικῶν δυναστείας, ἕως ὁ τῆς ἐλευθερίας ἐπιλάβοι καιρὸς, καὶ δοῦ τῇ γλώσσῃ τὴν παρρησίαν. οἱ μὲν γὰρ ἐζήτουν λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ πνεύματος φωνῆς, ὡς ἐστὶ θεός. ὅπερ ὂν ἀληθὲς, ἀσεβὲς ἐκείνοις ὑπελαμβάνετο, καὶ τῷ κακῷ προστάτῃ τῆς ἀσεβείας, ἵνα τὸν μὲν τῆς πόλεως μετὰ τῆς θεολόγου γλώσσης ὑπερορίσωσιν, αὐτοὶ δὲ καταλαβόντες τὴν ἐκκλησίαν, καὶ τῆς ἑαυτῶν κακίας ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τοῖς λοιποῖς ἅπασιν, ὡς ἐκ τινὸς ἀκροπόλεως καταδράμωσιν. ὁ δὲ ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταυτὸν δυναμέναις, καὶ ταῖς ἐκ τῶν συλλογισμῶν ἀνάγκαις οὕτως ἤλεγχε τοὺς ἀντιλέγοντας, ὥστε μὴ ἀντιβαίνειν ἔχειν, ἀλλ' οἰκείαις συνδεῖσθαι φωναῖς, ὅπερ δὴ καὶ μεγίστη λόγου δύναμις καὶ σύνεσις. δηλώσει δὲ καὶ ὁ λόγος ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα ὡς ἐκ πυξίδος τοῦ πνεύματος, τὴν δὲ κυρίαν φωνὴν τέως ὑπερετίθετο παρά τε τοῦ πνεύματος αὐτοῦ, καὶ τῶν γνησίων τούτου συναγωνιστῶν χάριν αὐτῶν τῇ οἰκονομίᾳ μὴ δυσχεραίνειν, μηδ' μιᾶς ἀντεχομένους φωνῆς, τὸ πᾶν ἀπολέσαι δι' ἀπληστίας τῷ καιρῷ παρασυρείσης τῆς εὐσεβείας. αὐτοῖς μὲν γὰρ οὐδὲ μίαν εἶναι ζημίαν ὑπαλλαττομένων μικρὸν τῶν λέξεων, καὶ φωναῖς ἄλλαις τὸ ἴσον διδασκομένοις. οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον, ἢ πράγμασι, μηδὲ γὰρ τὸ ἰουδαίων ἔθνος ἀποβαλεῖν ἂν, εἰ τὴν τοῦ ἠλειμμένου φωνὴν ἀντὶ τοῦ χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι. τῷ δὲ κοινῷ μεγίστην ἂν βλάβην γενέσθαι, τῆς ἐκκλησίας καταληφθείσης. ἐπεὶ ὅτι γε πάντων μᾶλλον ᾔδει τὸ πνεῦμα θεὸν, δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν, εἴ ποτε καιρὸς ἦν, καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως ἀνωμολόγησε. σαφέστερον δὲ πεποίηκεν ἐν τοῖς πρὸς ἐμὲ λόγοις, πρὸς ὃν οὐδὲν ἀπόρρητον ἦν αὐτῷ περὶ τούτων κοινολογουμένῳ. μὴ ἁπλῶς τοῦτο ἀποφαινόμενος, ἀλλ' ὃ μήπω πρότερον πολλάκις πεποίηκεν, ἐπαρασάμενος ἑαυτῷ τὸ φρικωδέστατον, αὐτοῦ τοῦ πνεύματος ἐκπεσεῖν, εἰ μὴ σέβοι τὸ πνεῦμα μετὰ πατρὸς καὶ υἱοῦ ὡς ὁμοούσιον καὶ ὁμότιμον. εἰ δέ μέ τις δέξαιτο κοινωνὸν ἐκείνου καὶ τοῖς τοιούτοις, ἐξαγορεύσω τι καὶ τῶν τοῖς πολλοῖς πως ἀγνοουμένων, ὅτι τοῦ καιροῦ στενοχωροῦντος ἡμᾶς, ἑαυτῷ μὲν τὴν οἰκονομίαν ἐπέτρεψεν, ἡμῖν δὲ τὴν παρρησίαν. ἧς οὐδεὶς ἔμελλε κρίνειν, οὐδὲ ἀποβάλλειν τῆς πατρίδος ἀφανεῖς τε τιμημένους, ὡς ἐξ ἀμφοτέρων ἰσχυρὸν εἶναι τὸ καθ' ἡμᾶς εὐαγγέλιον. καὶ ταῦτα διῆλθον, οὐχ ἵνα τῆς ἐκείνου δόξης ὑπεραπολογήσωμαι. κρείττων γὰρ τῶν ἐγκαλούντων εἴπερ τινές εἰσιν ὁ ἀνήρ· ἀλλ' ἵνα μὴ τοῦτον ὅρον τῆς εὐσεβείας εἶναι νομίζοντες, τὰς ἐν τοῖς γράμμασι μόνας τοῦ ἀνδρὸς εὑρισκομένας φωνὰς, ἀσθενεστέραν τὴν πίστιν ἔχωσι, καὶ ἀπόδειξιν τῆς ἑαυτῶν κακουργίας τὴν ἐκείνου θεολογίαν, ἣν ὁ καιρὸς ἐποίει μετὰ τοῦ πνεύματος. ἀλλὰ τὸν τῶν γεγραμμένων νοῦν δοκιμάζοντες, καὶ τὸν σκοπὸν ἀφ' οὗ ταῦτα ἐγράφετο, μᾶλλον τῇ τε ἀληθείᾳ προσάγωνται, καὶ τοὺς ἀσεβοῦντας ἐπιστομίζωσιν. ἐμοὶ γ' οὖν εἴη καὶ ὅς τις ἐμοὶ φίλος, ἡ ἐκείνου θεολογία. καὶ τοσοῦτον θαρρῶ τῇ περὶ τὸ πρᾶγμα τοῦ ἀνδρὸς καθαρότητι, ὥστε καὶ τοῦτο κοινοποιοῦμαι πρὸς ἅπασι, κἀκείνῳ μὲν τὰ ἐμὰ, ἐμοὶ δὲ τὰ ἐκείνου παραλογίζοιτο παρά τε θεῷ καὶ τῶν ἀνθρώπων τοῖς εὐγνωμονεστέροις. οὐδὲ γὰρ τοὺς εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις, ὅτι οἱ μὲν τοῦ σαρκικοῦ τοῦ χριστοῦ πλέον ἐνησχολήθησαν, οἱ δὲ τῇ θεολογίᾳ προσέβησαν· καὶ οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν. οὕτω τὸ κήρυγμα διελόμενοι πρὸς τὸ χρήσιμον οἶμαι τοῖς δεχομένοις, καὶ οὕτω παρὰ τοῦ ἐν αὐτοῖς τυπούμενοι πνεύματος. φέρε δὴ πολλῶν ἐν τοῖς πάλαι καὶ νῦν γεγονότων ἀνδρῶν ἐπ' εὐσεβείᾳ γνωρίμων, νομοθετῶν, στρατηγῶν, προφητῶν, διδασκάλων, τῶν ἀνδρειωμένων μέχρις αἵματος, τοῖς ἐκείνοις τὰ ἡμέτερα θεωρήσαντες, καὶ ἐντεῦθεν τὸν ἄνδρα γνωρίσωμεν. ἀδὰμ ἠξιώθη θεοῦ χειρὸς, καὶ παραδείσου τρυφῆς, καὶ πρώτης νομοθεσίας. ἀλλ' ἵνα μή τι λέγω βλάσφημον αἰδοῖ τοῦ προπάτορος, τὴν ἐντολὴν οὐκ ἐφύλαξεν. ὁ δὲ καὶ ἐδέξατο ταύτην, καὶ διεσώσατο. καὶ τῷ ξύλῳ τῆς γνώσεως οὐκ ἐβλάβη, καὶ τὴν φλογίνην ῥομφαίαν παρελθὼν, εὖ οἶδα τοῦ παραδείσου τετύχηκε. ἐνὼς ἤλπισε πρῶτος ἐπικαλεῖσθαι τὸν κύριον. ὁ δὲ καὶ ἐπικέκληται, καὶ τοῖς ἄλλοις ἐκήρυξε, ὃ τοῦ ἐπικαλεῖσθαι πολὺ τιμιώτερον. ἐνὼχ μετετέθη μικρᾶς εὐσεβείας (ἔτι γὰρ ἐν σκιαῖς ἦν ἡ πίστις) ἆθλον δεξάμενος τὴν μετάθεσιν, καὶ τοῦ ἑξῆς βίου τὸν κίνδυνον διαπέφευγε. τῷ δὲ ὅλος ὁ βίος μετάθεσις ἦν τελείως ἐν βίῳ πλείω δοκιμασθέντος. νῶε κιβωτὸν ἐπιστεύθη, καὶ κόσμου δευτέρου σπέρματα ξύλῳ μικρῷ πιστευθέντα, καὶ καθ' ὑδάτων σωζόμενα. ὁ δὲ κατακλυσμὸν ἀσεβείας διέφυγε, καὶ κιβωτὸν σωτηρίας τὴν ἑαυτοῦ πεποίηκε πόλιν, κούφως τῶν αἱρετικῶν ὑπερπλέουσαν,

ἐξ οὗ

ἐξ οὗ κόσμον ὅλον ἀνεκαλέσατο. μέγας ὁ ἀβραάμ, καὶ πατριάρχης, καὶ θύτης καινῆς θυσίας, τὸν ἐκ τῆς ἐπαγγελίας τῷ δεδωκότι προσαγαγὼν ἱερεῖον ἑτοίμως, καὶ πρὸς τὴν σφαγὴν ἐπειγόμενον. ἀλλ᾽ οὐδὲ τὸ ἐκείνου μικρόν, ἑαυτὸν προσάγειν τῷ θεῷ, καὶ οὐδὲν ὡς ἰσότιμον ἀντιδοθῆναι. τί γοῦν καὶ ἦν ὥστε καὶ πληρωθῆναι τὸ κατάλλαγμα; ἰσαὰκ ἀπηγγέλθη καὶ πρὸ γενέσεως. ὁ δὲ αὐτεπάγγελτος ἦν, καὶ τὴν ῥεβέκκαν, λέγω δὴ τὴν ἐκκλησίαν, οὐ πόρρωθεν, ἀλλ᾽ ἐγγύθεν ἠγάγετο· οὐδὲ διὰ πρεσβείας οἰκετικῆς, ἀλλ᾽ ἐκ θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν. οὐδὲ κατεσοφίσθη περὶ τὴν τῶν τέκνων προτίμησιν· ἀλλ᾽ ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπαραλογίστως ἔνειμε, μετὰ τοῦ πνεύματος κρίσεως. ἐπαινῶ τὴν ἰακὼβ κλίμακα, καὶ τὴν στήλην ἣν ἤλειψε τῷ θεῷ, καὶ τὴν πρὸς αὐτὸν πάλην ἥτις ποτὲ ἦν. οἶμαι δὲ τοῦ ἀνθρωπείου μέτρου πρὸς τὸ θεῖον ὕψος ἀντιπαρέκτασις, ὅθεν καὶ ἄγει τὰ σύμβολα τῆς ἡττωμένης γενέσεως. ἐπαινῶ καὶ τὴν περὶ τὰ θρέμματα τοῦ ἀνδρὸς εὐμηχανίαν καὶ εὐημερίαν, καὶ τοὺς δώδεκα ἐξ αὐτοῦ πατριάρχας, καὶ τὸν τῶν εὐλογιῶν μερισμόν, σὺν τῇ ἀγεννεῖ προφητείᾳ τοῦ μέλλοντος. ἀλλ᾽ ἐπαινῶ καὶ τούτου τὴν οὐχ ὁραθεῖσαν μόνον, ἀλλὰ καὶ διαβαθεῖσαν κλίμακα τοῖς κατὰ μέρος εἰς ἀρετὴν ἀναβάσεσι, καὶ τὴν στήλην ἣν οὐκ ἤλειψεν, ἀλλ᾽ ἤγειρε τῷ θεῷ, τὰς τῶν ἀσεβῶν στηλιτεύσασαν, καὶ τὴν πάλην ἣν οὐκ ἐπάλαισε πρὸς θεόν, ἀλλ᾽ ὑπὲρ θεοῦ τὰς τῶν αἱρετικῶν καταβάλλουσαν, τήν τε ποιμαντικὴν τοῦ ἀνδρὸς ἐξ ἧς ἐπλούτησε, πλείω τῶν ἀσήμων προβάτων κτησάμενος τὰ ἐπίσημα, τήν τε καλὴν πολυτεκνίαν τῶν κατὰ θεὸν γεννηθέντων, καὶ τὴν εὐλογίαν ᾗ πολλοὺς ἐστήριξεν. ἰωσὴφ ἐγὼ μὲν σιτοδότης, ἀλλ᾽ αἰγύπτου μόνης, καὶ οὐ πολλάκις καὶ σωματικῶς. ὁ δὲ πάντων, καὶ ἀεί, καὶ πνευματικῶς, ὅπερ ἐμοὶ τῆς συμμετρίας ἐκείνης αἰδεσιμώτερον. μηδὲ ἰὼβ τοῦ αὐσίτου, ὃς ἐπειράσθη καὶ νενίκηκε, καὶ ἀναγόρευται λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων. μηδ᾽ ἐν τῶν πεσόντων πολλῶν ὄντως κατασεισθείς, ἀλλὰ πολλῷ τῷ περιόντι τὸν σφαστὴν καταπαλαίσας, καὶ τῶν φίλων τὴν ἀλογίαν ἐπιστομίσας, ἀγνοούντας τοῦ πάθους τὸ μυστήριον. μωυσῆς καὶ ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ. ὁ μέγας μωυσῆς μὲν αἰγυπτίους βασανίσας, λαὸν διασώσας ἐν σημείοις πολλοῖς καὶ τέρασι, τῆς νεφέλης εἴσω χωρήσας, νομοθετήσας τὸν διπλοῦν νόμον, τόν τε τοῦ γράμματος ἔξωθεν, καὶ ὅσος ἔνδοθεν τοῦ πνεύματος. ἀαρὼν δὲ μωυσέως ἀδελφὸς καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα, τοῦ λαοῦ προσευχόμενος καὶ προσθυόμενος, μύστης τῆς ἱερᾶς καὶ μεγάλης σκηνῆς, ἣν ἔπηξεν ὁ κύριος, οὐκ ἄνθρωπος. τούτων δ᾽ ἀμφοτέρων ζηλωτὴς ἐκεῖνος, βασανίζων μὲν οὐ σωματικαῖς μάστιξι, πνευματικαῖς δὲ καὶ λογικαῖς, ἔθνος αἱρετικὸν καὶ αἰγύπτιον, ἄγων δὲ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας. πλαξὶ δὲ νόμους ἐγγράφων, οὐ συντριβομέναις, ἀλλὰ σωζομέναις· οὐκ ἔτι σκιοειδεῖς, ἀλλὰ μᾶλλον πνευματικούς. εἰς δὲ τὰ ἅγια τῶν ἁγίων οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, πολλάκις δὲ καὶ καθ᾽ ἑκάστην ὡς εἰπεῖν εἰσιὼν τὴν ἡμέραν, ὅθεν τὴν ἁγίαν ἡμῖν ἀνακαλύπτει τριάδα, καὶ λαὸν καθαίρων οὐ προσκαίροις ῥαντίσμασιν, ἀλλ᾽ ἀϊδίοις ἁγιάσμασι. τί δ᾽ ἐκάλλιστον ἰησοῦ, στρατηγία καὶ κληροδοσία, καὶ γῆς τῆς ἁγίας κατάσχεσις. ὁ δὲ οὐκ ἔξαρχος; οὐ στρατηγὸς τῶν διὰ πίστεως σωζομένων, ὡς διανέμει τοῖς ἀγομένοις, ὥστε καὶ κεῖνον δύνασθαι τὴν φωνὴν εἰπεῖν, ὅτι σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις, καὶ ἐν ταῖς χερσί σου οἱ κλῆροί μου τῶν χαμαὶ ἐρχομένων, καὶ ἁρπαζομένων πολλῷ τιμιώτεροι, καὶ ἵνα σου κρείττους παραδράμωμεν, ἢ τῶν κριτῶν σου εὐδοκιμωτάτους. σαμουήλ, ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ, καὶ δοθεὶς πρὸ γεννήσεως, καὶ μετὰ τὴν γέννησιν εὐθὺς ἱερός, καὶ χρίων βασιλέας, καὶ ἱερέας, διὰ τοῦ κέρατος. οὗτος δὲ οὐκ ἐκ βρέφους θεῷ καθιερωμένος ἀπὸ μήτρας, καὶ μετὰ τοῦ διπλοΐδος ἐπιδιδόμενος τῷ βήματι, καὶ βλέπων τὰ ἐπουράνια, καὶ χριστὸς κυρίου, καὶ χρίσης τοὺς τελειουμένους ἐν πνεύματι; δαβὶδ ἐν βασιλεῦσιν ἀοίδιμος, οὗ πολλὰ μὲν ἱστορεῖται κατὰ τῶν ἐχθρῶν νῖκαι καὶ τρόπαια. ἡ πραότης δέ, τὸ ἐπισημότατον, καὶ πρὸ τῆς βασιλείας ἡ τῆς κινύρας δύναμις, καὶ πονηροῦ πνεύματος καταπαύουσα. σολομῶν πλάτος καρδίας ᾐτήσατο παρὰ θεοῦ, καὶ τυγχάνει, ἐπὶ πλεῖστον προελθὼν σοφίας καὶ θεωρίας, ὥστε γενέσθαι τῶν καθ᾽ ἑαυτὸν ἁπάντων εὐδοκιμώτατος. ὁ δὲ τοῦ μὲν τῷ πράῳ, τοῦ δὲ τῇ σοφίᾳ κατὰ τὸν ἐμὸν λόγον, οὐδὲν ἢ μικρῷ λείπεται· ὥστε καὶ βασιλέων θράσος δαιμονούντων καταμαλάσσειν, καὶ μὴ βασίλισσαν νότου μόνον, μηδὲ τὴν δεῖνα, ἢ τὴν δεῖνα κατὰ κλέος τῆς αὐτοῦ σοφίας ἐκ τῶν περάτων τῆς γῆς ἀπαντᾶν, ἀλλὰ καὶ πᾶσι τοῖς πέρασι τὴν ἐκείνου σοφίαν γνωρίζεσθαι. καὶ τὰ ἑξῆς τοῦ σολομῶντος, πᾶσι δὲ δῆλα, καὶ ἡμεῖς φειδώμεθα. ἐπαινεῖς ἠλίου τὴν πρὸς τοὺς τυράννους παρρησίαν, καὶ διὰ πυρὸς ἁρπαγήν; ἐλισσαίου τε τὴν καλὴν κληρονομίαν τὴν μηλωτήν, ᾗ τὸ ἠλίου πνεῦμα συνηκολούθησεν; ἐπαίνει καὶ ἐκείνου τὴν ἐν πυρὶ ζωήν, τῷ πλήθει λέγω τῶν πειρασμῶν, καὶ τὴν διὰ πυρὸς σωτηρίαν, καιόντος μέν, οὐ κατακαίοντος δέ, τὸ περὶ τὴν βάτον θαῦμα, καὶ τὸ καλὸν ἐξ ὕψους δέρος τὴν ἀσαρκίαν. ἐῶ τἄλλα, τοὺς δροσισθέντας ἐν πυρὶ νεανίας,

Abraham.

Isaac.

Iacob.

Iosephs.

Pontifices antiquitus in sancta sanctorum ingrediebantur semel quotannis.

Iesus Naue.

Samuel.

Solomon

Elias. Elisaeus.

Tres pueri in camino candentis.

μανίας, τὸν ἐν γαστρὶ κήτους εὐξάμενον προφήτην φυγάδα. καὶ ὡς ἀπὸ θαλάμου τοῦ θηρὸς προελθόντα· τὸν ἐν λάκκῳ δίκαιον λεόντων θράσος πεδήσαντα, ἢ τὴν τῶν ἑπτὰ Μακκαβαίων ἄθλησιν, σὺν ἱερεῖ καὶ μητρὶ τελειωθέντων ἐν αἵματι, καὶ παντοίοις βασάνων εἴδεσιν. ὧν ἐκεῖνος ζηλώσας τὴν καρτερίαν, καὶ τὴν δόξαν ἠνέγκατο. ἤδη δὲ τὴν νέαν μέτειμι διαθήκην, καὶ τοῖς ἐνταῦθα εὐδοκίμοις τὰ ἐκείνου παρεξετάσας, τιμήσω τὸν μαθητὴν ἐκ τῶν διδασκάλων. τίς Ἰησοῦ πρόδρομος, Ἰωάννης· ὡς φωνὴ λόγου, καὶ ὡς λύχνος φωτός. οὗ καὶ προεσκίρτησεν ἐν γαστρὶ, καὶ προέδραμεν εἰς ᾅδου, διὰ τὴν Ἡρώδου μανίαν προαναιρεθεὶς, ἵνα κἀκεῖ κηρύξῃ τὸν ἐρχόμενον. καὶ εἴ τῳ φαίνεται τολμηρὸς ὁ λόγος, ἐκεῖνο προεξεταζέτω τοῖς λεγομένοις, ὅτι μὴ προτιθεὶς, μηδὲ εἰς ἴσον ἄγων τὸν ἄνδρα τοῦ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας, ταύτην ποιοῦμαι τὴν ἐξέτασιν, ἀλλὰ ζηλωτὴν ἀποφαίνων, καί τι τοῦ χαρακτῆρος ἐκείνου ἐν ἑαυτῷ φέροντα. οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις, καὶ μικρὰ τῶν μεγίστων ἡ μίμησις. ἦ γὰρ οὐκ ἐναργὴς τῆς ἐκείνου φιλοσοφίας εἰκὼν ὁ ἀνήρ; καὶ οὗτος ἐρημον ᾤκησε, καὶ τούτῳ τρίχινον ἔσθημα ἦσαν αἱ νύκτες· ἀγνοούμενον, οὐκ ἐπιδεικνύμενον. καὶ οὗτος τὴν ἴσην τροφὴν ἠγάπησε, θεῷ καθαίρων ἑαυτὸν διὰ τῆς ἐγκρατείας. καὶ οὗτος Χριστοῦ κῆρυξ ἠξιώθη γενέσθαι, εἰ καὶ μὴ πρόδρομος. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν, οὐχ ἡ περίχωρος μόνον, ἀλλ' ἤδη καὶ ἡ ὑπερόριος. καὶ οὗτος μέσος τῶν δύο διαθηκῶν, τῆς μὲν καταλύων τὸ γράμμα, τῆς δὲ ἀναδεικνὺς τὸ πνεῦμα, καὶ ποιῶν πλήρωσιν τοῦ κρυπτομένου νόμου τὴν τοῦ φαινομένου κατάλυσιν. ἐμιμήσατο Πέτρου τὸν ζῆλον, Παύλου τὸν τόνον, τῶν ὀνομαστῶν καὶ μετωνομασμένων ἀμφοτέρων τὴν πίστιν, τῶν υἱῶν Ζεβεδαίου τὸ μεγαλόφωνον, πάντων τῶν μαθητῶν τὸ εὐτελὲς καὶ ἀπερίττον. ταύτῃ τοι καὶ κλεῖς οὐρανῶν πιστεύεται, καὶ οὐχ ὅσον ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ, μείζονα δὲ κύκλον τοῦ εὐαγγελίου περιλαμβάνει, καὶ υἱὸς βροντῆς οὐκ ὀνομάζεται μὲν, γίνεται δέ. καὶ ἐπὶ τὸ στῆθος Ἰησοῦ κείμενος, ἐκεῖθεν ἕλκει τοῦ λόγου τὴν δύναμιν, καὶ τὸ βάθος τῶν νοημάτων. Στέφανος μὲν γὰρ ἐκωλύθη γενέσθαι, εἰ καὶ πρόθυμος ἦν, ἐπισχὼν αἰδοῖ τοὺς λιθάζοντας. ἔτι δὲ συντομώτερον εἰπεῖν ἔχω, ἵνα μὴ τοῖς καθ' ἕκαστον ἐπεξίω περὶ τούτων. ἐκεῖνος γὰρ τὸ μὲν ἐξεῦρε τῶν καλῶν, τὸ δὲ ἐζήλωσε, τὸ δὲ ἐνίκησε. τῷ δὲ διὰ πάντων ἐλθεῖν τῶν νῦν, πάντων ἐκράτησεν. ἓν ἐπὶ πᾶσιν ἐρῶ καὶ σύντομον. τοσαύτη τις αὐτοῦ ἡ ἀρετὴ, καὶ ἡ τῆς δόξης περιουσία, ὥστε πολλὰ καὶ τῶν ἐκείνου μικρῶν, ἤδη δὲ καὶ τῶν σωματικῶν ἐλαττωμάτων, ἑτέροις εἰς εὐδοξίαν ἐπενοήθη. οἷον ὠχρότητά τε λέγω καὶ γενειάδα, καὶ βαδίσματος ἦθος, καὶ τὸ περὶ λόγον μὴ πρόχειρον, σύννουν τι ὡς τὰ πολλὰ, καὶ εἴσω συννενευκὸς, ὃ τοῖς πολλοῖς μὴ καλῶς ζηλωθὲν, μηδὲ νοηθὲν σκυθρωπότης ἐγίνετο. ἔτι δὲ εἶδος ἐσθῆτος, καὶ σκίμποδος σχῆμα, καὶ τρόπος βρώσεως, ὧν ἐκείνῳ οὐδὲν ἐκ σπουδῆς ἦν, ἀλλ' ἁπλῶς εἶχεν, καὶ συμπίπτον ὡς ἔτυχε, καὶ πολλοὺς ἂν ἴδοις Βασιλείους ἄχρι τῶν ὁρωμένων, τοὺς ἐν ταῖς σκιαῖς ἀνδριάντας. πολὺ γοῦν εἰπεῖν, ὅτι καὶ τὸ τῆς ἠχοῦς ὑστερόφωνον. ἐκείνη μὲν γὰρ εἰ καὶ τὰ τελευταῖα τῆς φωνῆς, ἀλλ' οὖν ἐναργέστερον ὑποκρίνεται. οἱ δὲ, πλεῖον ἀπέχουσι τοῦ ἀνδρὸς, ἢ ὅσον πλησιάζειν ἐπιθυμοῦσιν. ἐκεῖνο δὲ οὐκ ἔτι μικρὸν, ἀλλὰ καὶ μέγιστον εἰς φιλοτιμίαν εἰκότως, τὸ τυχεῖν ἐκείνῳ ποτὲ πλησιάσαντας, ἢ θεραπεύσαντας, ἤ τι τῶν παιδιᾶς ἢ σπουδῆς εἰρημένων ἢ πεπραγμένων, φέρειν ἀπομνημόνευμα. ὥσπερ δὴ καὶ τῷδε πολλάκις οἶδα καλλωπισάμενος, ἐπεὶ καὶ τὰ πάρεργα τοῦ ἀνδρὸς τῶν πονουμένων ἑτέροις, πολὺ τιμιώτερα καὶ περιφανέστερα. ἐπεὶ δὲ τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, ἐπόθει τὴν ἀνάλυσιν, καὶ ὁ τῶν στεφάνων ἐνειστήκει καιρὸς, κἀκεῖνο μὲν οὐκ ἤκουσεν, εἰς τὸ ὄρος ἀνάβηθι, καὶ τελεύτα. τελευτᾷ δὲ καὶ ἀνάβαινε πρὸς ἡμᾶς, θαυματουργεῖ τι καὶ ἐνταῦθα τῶν προειρημένων οὐκ ἔλαττον. νεκρὸς γὰρ ὢν ἤδη σχεδὸν, καὶ ἄπνους, καὶ τὸ πλεῖστον τοῦ βίου καταλελοιπὼς, εὐτονώτερος γίνεται περὶ τὴν ἐξιτήριον τῶν λόγων, ἵνα τοῖς τῆς εὐσεβείας συναπέλθῃ ῥήμασι, καὶ χειροτονίαις τῶν γνησιωτάτων αὐτοῦ θεραπευτῶν, τὴν χεῖρα δίδωσι καὶ τὸ πνεῦμα, ὥστε μὴ ζημιωθῆναι τὸ βῆμα τοὺς ἐκείνου μαθητὰς, καὶ τῆς ἱερωσύνης συλλήπτορας. τοῖς δὲ ἑξῆς ὀκνεῖ μὲν προσελθεῖν ὁ λόγος, προσβήσεται δὲ ὅμως, εἰ καὶ ἄλλοις μᾶλλον ἢ ἡμῖν πρέπων ὁ λόγος. οὐ γὰρ ἔχω φιλοσοφεῖν ἐν τοῖς πάθεσι, καὶ εἰ σφόδρα φιλοσοφεῖν ἐσπούδακα, τῆς κοινῆς μεμνημένος ζημίας, καὶ τοῦ καταλαβόντος πάθους τὴν οἰκουμένην. ἔκειτο μὲν ὁ ἀνὴρ τὰ τελευταῖα πνέων, καὶ παρὰ τῆς ἄνω χοροστασίας ἐπιζητούμενος. πρὸς ἣν ἐκ πλείονος ἔβλεπεν. ἐχεῖτο δὲ περὶ αὐτὸν πᾶσα ἡ πόλις, τὴν ζημίαν οὐ φέροντες, καὶ τῆς ἐκδημίας ὡς τυραννίδος καταβοῶντες, καὶ τῆς ψυχῆς λαμβανόμενοι, ὡς κατασχεῖν καὶ βιασθῆναι δυνάμενοι ἢ χερσὶν, ἢ δεήσεσιν. ἐποίει γὰρ αὐτοὺς καὶ παράφρονας τὸ πάθος, καὶ προσθεῖναί τι τῆς ἑαυτοῦ ζωῆς ἕκαστος ἐκείνῳ, εἴπερ οἷόν τι ἦν, πρόθυμος ἦν. ὡς δὲ ἡττήθησαν, ἔδει γοῦν αὐτὸν ἐλεγχθῆναι ἄνθρωπον ὄντα· καὶ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, τελευταῖον εἰπὼν τοῖς ἀπάγουσιν αὐτὸν ἀγγέλοις, οὐκ ἀηδῶς ἀναπέψυξεν, ἔστιν ἃ τοὺς παρόντας μυσταγωγήσας, καὶ βελτίους ποιήσας

ταῖς ἐπισκήψεσι. τότε δὴ θαῦμα γίνεται τῶν πώποτε γενομένων, ὀνομαστότατον. προεκομίζετο μὲν ὁ ἅγιος χερσὶν ὁσίων ὑψούμενος. ἐσπούδαζε δ' ἕκαστος, ὁ μὲν κρασπέδου λαβέσθαι, ὁ δὲ σκιᾶς, ὁ δὲ τοῦ ἱεροφόρου σκίμποδος καὶ ψαῦσαι μόνον. τί γὰρ ἐκείνου τοῦ σώματος ἱερώτερόν τι καὶ καθαρώτερον; ὁ δὲ τῶν ἀγόντων ἐλθεῖν πλησίον, ὁ δὲ τῆς θέας ἀπολαῦσαι μόνης, ὥς τι κἀκείνης ἐπιμηνύσης ὄφελος. πλήρεις ἀγοραί, στοαί, διώροφοι, τριώροφοι, τῶν ἐκεῖνον παραπεμπόντων, προηγουμένων, ἀλλήλοις ἐπεμβαινόντων, μυριάδες γένους παντὸς καὶ ἡλικίας ἀπαίσης οὐ πρότερον γινωσκόμεναι. ψαλμῳδίαι, θρήνοις ὑπερνικώμεναι. καὶ τὸ φιλόσοφον τῷ πάθει καταλυόμενον. ἀγὼν δὲ τοῖς ἡμετέροις πρὸς τοὺς ἐκτὸς, Ἕλληνας, Ἰουδαίους, ἐπήλυδας, ἐκείνοις πρὸς ἡμᾶς. ὅστις πλέον ἀπολαύσας μὲν, πλείονος μεταλάχῃ τῆς ὠφελείας. πέρας τοῦ λόγου, καὶ εἰς κινδύνους τελευτᾷ τὸ πάθος, συναπελθουσῶν αὐτῷ ψυχῶν οὐκ ὀλίγων, ἐκ τοῦ ὠθισμοῦ βίας καὶ συγκλονήσεως. αἳ καὶ τῆς τελευτῆς ἐμακαρίσθησαν, ὡς ἐκείνῳ συνέκδημοι, καὶ θύματα ἐπιτάφια, τάχα ἄν τις εἴποι τῶν θερμοτέρων. μόλις δὲ τὸ σῶμα διαφυγὸν τοὺς ἁρπάζοντας, καὶ νικῆσαν τοὺς προπέμποντας, οὕτω περὶ τάφῳ τῶν πατέρων δίδοται, καὶ πρόσκειται τοῖς ἱερεῦσιν ὁ ἀρχιερεύς. τοῖς κήρυξιν ἡ μεγάλη φωνὴ καὶ τοῖς ἐμοῖς ὠσὶν ἔνηχος. ὁ μάρτυς, τοῖς μάρτυσι. καὶ νῦν ὁ μὲν ἔστιν ἐν οὐρανοῖς. κἀκεῖ τὰς ὑπὲρ ἡμῶν οἶμαι προσφέρων θυσίας, καὶ τοῦ λαοῦ προσευχόμενος. οὐδὲ γὰρ ἀπολιπὼν ἡμᾶς, παντάπασιν ἀπολέλοιπεν. ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς συζυγίας, καὶ βίον ἕλκων ἀδέξιον, καὶ οὐκ εὐδρομοῦντα, δι' εἰκὸς τοῦ ἐκείνου κεχωρισμένον, οὐκ οἶδα εἰς ὅ τι τελευτήσω μετὰ τὴν ἐκείνου παιδαγωγίαν. ᾧ καὶ νῦν ἔτι νουθετοῦμαι, καὶ σωφρονίζομαι διὰ νυκτερινῶν ὄψεων, εἴ ποτε τοῦ δέοντος ἔξω πίπτοιμι. καὶ οὐκ ἐγὼ μὲν οὕτω θρήνους ἀναμίγνυμι τοῖς ἐπαίνοις, καὶ λογογραφῶ τὴν τοῦ ἀνδρὸς πολιτείαν, καὶ προτίθημι τῷ χρόνῳ κοινὸν ἀρετῆς πίνακα, καὶ πρόγραμμα σωτήριον, πάσαις ἐκκλησίαις, ψυχαῖς ἁπάσαις, πρὸς ὃν βλέποντες ἀπευθυνοῦσι μὲν τὸν βίον ὡς νόμον ἔμψυχον. ὑμῖν δὲ συμβουλεύσαιμ' ἂν ἄλλο τι τοῖς τὰ ἐκείνου τετελεσμένοις, ἢ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ ὡς ὁρῶντος καὶ ὁρωμένου, τῷ πνεύματι καταρτίζεσθαι. δεῦρο δὴ περιστάντες μοι πᾶς ὁ ἐκείνου χορός, ὅσοι τοῦ βήματος, καὶ ὅσοι τοῦ κάτω, ὅσοι τῶν ἡμετέρων, καὶ ὅσοι τῶν ἔξωθεν, τὴν εὐφημίαν μοι συνεργάζεσθε. ἄλλος ἄλλο τι τῶν ἐκείνου καλῶν διηγούμενοι καὶ ζητοῦντες. οἱ τῶν θρόνων, τὸν νομοθέτην. οἱ τῆς πολιτείας, τὸν πολιστήν. οἱ τοῦ δήμου τὴν εὐταξίαν, οἱ περὶ λόγους τὸν παιδευτήν, αἱ παρθένοι τὸν νυμφαγωγόν, αἱ ὑπὸ ζυγὸν τὸν σωφρονιστήν, οἱ τῆς ἐρημίας τὸν πτεροῦντα. οἱ τῆς ἐπιμιξίας, τὸν δικαστήν. οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν. οἱ τῆς θεωρίας, τὸν θεολόγον. οἱ ἐν εὐθυμίᾳ, τὸν χαλινόν. οἱ ἐν συμφοραῖς, τὴν παράκλησιν. τὴν βακτηρίαν ἡ πολιά, τὴν παιδαγωγίαν, ἡ νεότης, ἡ πενία, τὸν ποριστήν, ἡ εὐπορία, τὸν οἰκονόμον. δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τὸν πατέρα, καὶ πτωχοὶ τὸν φιλόπτωχον, καὶ τὸν φιλόξενον οἱ ξένοι, καὶ ἀδελφοὶ τὸν φιλάδελφον, οἱ νοσοῦντες τὸν ἰατρόν, ἣν βούλει νόσον καὶ ἰατρείαν, οἱ ὑγιαίνοντες τὸν φύλακα τῆς ὑγείας, οἱ πάντες τὸν πᾶσι πάντα γενόμενον, ἵνα κερδαίνῃ τοὺς πάντας ἢ πλείονας. ταῦτά σοι παρ' ἡμῶν ὦ Βασίλειε, τῆς ἡδίστης σοι ποτὲ γλώττης, καὶ ὁμοτίμου καὶ ἥλικος. εἰ μὲν τῆς ἀξίας ἐγγύς, σὴ τούτου χάρις. σοὶ γὰρ θαρρῶν τὸν περὶ σοῦ λόγον ἐνεστησάμην. εἰ δὲ πόρρω καὶ παρὰ πολὺ τῆς ἐλπίδος, τί χρὴ παθεῖν, καὶ γήρᾳ καὶ νόσῳ, καὶ τῷ σῷ πόθῳ τετρυχωμένον; πλὴν, καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν. σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ τὸν δεδομένον ἡμῖν παρὰ θεοῦ σκόλοπα τῆς σαρκὸς τὴν ἡμετέραν παιδαγωγίαν, ἢ στήσαις ταῖς σεαυτοῦ πρεσβείαις, ἢ πείσαις καρτερῶς φέρειν, καὶ τὸν πάντα βίον ἡμῖν διεξάγοις πρὸς τὸ λυσιτελέστατον. εἰ δὲ μετασταίημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ σκηναῖς. ὡς ἂν ἀλλήλοις συζῶντες καὶ συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τι καὶ τελεώτερον, ἧς νῦν μετρίως ἐδεξάμεθα τὰς ἐμφάσεις, ἐνταῦθα σταίημεν τοῦ ἐφίεσθαι, καὶ ταύτην λαβοίμεν ὧν ἐπολεμήσαμεν καὶ ἐπολεμήθημεν τὴν ἀντίδοσιν. σοὶ μὲν οὖν οὗτος παρ' ἡμῶν ὁ λόγος. ἡμᾶς δὲ τίς ἐπαινέσεται μετὰ σὲ τὸν βίον ἀπολείποντας, εἰ καί τι παράσχοιμεν ἐπαίνου τοῖς λόγοις ἄξιον; ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΑΘΑΝΑΣΙΟΝ ΑΡΧΙΕπίσκοπον ἀλεξανδρείας.

Θανάσιον ἐπαινῶν, ἀρετὴν ἐπαινέσομαι. ταυτὸν γὰρ, ἐκεῖνόν τε εἰπεῖν καὶ ἀρετὴν ἐπαινέσαι, ὅτι πᾶσαν ἐν ἑαυτῷ συλλαβὼν εἶχε τὴν ἀρετήν· ἢ τό γε ἀληθέστερον εἰπεῖν, ἔχει. θεῷ γὰρ ζῶσι πάντες οἱ κατὰ θεὸν ζήσαντες, κἂν ἐνθένδε ἀπαλλαγῶσι. καθ᾽ ὃ καὶ ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ ἀκούει θεὸς, ὁ θεὸς, ὡς οὐ νεκρῶν θεὸς, ἀλλὰ ζώντων. ἀρετὴν δὲ ἐπαινῶν, θεὸν ἐπαινέσομαι, παρ᾽ οὗ τοῖς ἀνθρώποις ἡ ἀρετὴ, καὶ τὸ πρὸς αὐτὸν ἀνάγεσθαι ἢ ἐπανάγεσθαι, διὰ τῆς συγγενοῦς ἡμῖν ἐλλάμψεως. πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων, οὐ μὲν οὖν ἔχοι τις εἰπεῖν ἡλίκων καὶ ὅσων ὧν ἐκ θεοῦ ἔχομέν τε καὶ ἕξομεν, τοῦτο μέγιστον καὶ φιλανθρωπότατον, ἡ πρὸς αὐτοῦ νεῦσις τε καὶ οἰκείωσις. ὅπερ γάρ ἐστι τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς θεός. ὁ μὲν γὰρ τὸν ὁρώμενον φωτίζει κόσμον, ὁ δὲ τὸν ἀόρατον· καὶ ὁ μὲν τὰς σωματικὰς ὄψεις ἡλιοειδεῖς, ὁ δὲ τὰς νοερὰς φύσεις θεοειδεῖς ἀπεργάζεται. καὶ ὥσπερ οὗτος τοῖς ὁρῶσι καὶ τοῖς ὁρωμένοις, τοῖς μὲν τὴν τοῦ ὁρᾶν, τοῖς δὲ τὴν τοῦ ὁρᾶσθαι παρέχων δύναμιν, αὐτὸς τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον· οὕτω θεὸς τοῖς νοοῦσι καὶ τοῖς νοουμένοις, τοῖς μὲν τὸ νοεῖν, τοῖς δὲ τὸ νοεῖσθαι δημιουργήσας, αὐτὸς τῶν νοουμένων ἐστὶ τὸ ἀκρότατον, εἰς ὃν πᾶσα ἔφεσις ἵσταται, καὶ ὑπὲρ ὃν οὐδαμοῦ φέρεται. οὐδὲ γὰρ ἔχει τι ὑψηλότερον, ἢ ὅλως ἕξει οὐδὲ ὁ φιλοσοφώτατος νοῦς καὶ διαβατικώτατος, ἢ πολυπραγμονέστατος. τοῦτο γάρ ἐστι τῶν ὀρεκτῶν ἔσχατον, καὶ οὗ γενομένοις πάσης θεωρίας ἀνάπαυσις. οὗ τινι μὲν οὖν ἐξεγένετο διὰ λόγου καὶ θεωρίας διασχόντι τὴν ὕλην, καὶ τὸ σαρκικὸν, τοῦτο εἴτε νέφος χρὴ λέγειν, εἴτε προκάλυμμα διαπτύξαντι, θεῷ συγγενέσθαι καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ κραθῆναι, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος οὗτος, τῆς τε ἐντεῦθεν ἀναβάσεως, καὶ τῆς ἐκεῖσε θεώσεως, ἣν τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ τριάδι νοουμένην ἑνότητα. ὅστις δὲ ὑπὸ τῆς συζυγίας χείρων ἐγένετο, καὶ τοσοῦτον τῷ πηλῷ συνεχέθη, ὡς μὴ δυνηθῆναι ἐμβλέψαι πρὸς τὰς τῆς ἀληθείας αὐγὰς, μηδὲ ὑπὲρ τὰ κάτω γενέσθαι γεγονὼς ἄνωθεν καὶ πρὸς τὰ ἄνω καλούμενος, ἄθλιος οὗτος εἶναι τῆς τυφλώσεως, κἂν εὐροῇ τοῖς ἐνταῦθα καὶ τοσούτῳ πλέον, ὅσῳ περ ἂν μᾶλλον ὑπὸ τῆς εὐροίας παίζηται, καὶ πείθηται, ἄλλο τι καλὸν νομίζειν παρὰ τὸ ὄντως καλὸν· πονηρὸν πονηρᾶς δόξης καρπὸν δρεπόμενος, ἢ ζόφον κατακριθῆναι, ἢ ὡς πῦρ ἰδεῖν, ὃν ὡς φῶς οὐκ ἐγνώρισε. ταῦτα ὀλίγοις μὲν ἐφιλοσοφήθη καὶ τῶν νῦν καὶ τῶν πάλαι (ὀλίγοι γὰρ οἱ τοῦ θεοῦ, εἰ καὶ πάντες πλάσματα) νομοθέταις, στρατηγοῖς, ἱερεῦσι, προφήταις, εὐαγγελισταῖς, ἀποστόλοις, ποιμέσι, διδασκάλοις, παντὶ πνευματικῷ πληρώματι καὶ συστήματι, ἐν δὲ τοῖς πᾶσι, καὶ τῷ νῦν ἐπαινουμένῳ. τίνας δὴ λέγω τούτους; ἐνὼχ ἐκεῖνον, τὸν νῶε, τὸν ἀβραὰμ, τὸν ἰσαὰκ, τὸν ἰακὼβ, τοὺς δώδεκα πατριάρχας, τόν τε μωυσέα, τὸν ἀαρὼν, τὸν ἰησοῦν, τοὺς κριτὰς, τὸν σαμουὴλ, τὸν δαβὶδ, τὸν σολομῶντα μέχρι τινὸς, τὸν ἠλίαν, τὸν ἐλισσαῖον, τοὺς πρὸ τῆς αἰχμαλωσίας προφήτας, τοὺς μετὰ τὴν αἰχμαλωσίαν. καὶ τὰ πληνταῖα δὴ ταῦτα τῇ τάξει καὶ πρῶτα τῇ ἀληθείᾳ, ὅσα περὶ τὴν χριστοῦ σάρκωσιν, ἤτοι πρόσληψιν, τὸν πρὸ τοῦ φωτὸς λύχνον, τὴν πρὸ τοῦ λόγου φωνὴν, τὸν πρὸ τοῦ μεσίτου μεσίτην, μεσίτην παλαιᾶς διαθήκης καὶ νέας, ἰωάννην τὸν πάνυ, τοὺς χριστοῦ μαθητὰς, τοὺς μετὰ χριστὸν ἢ λαοῦ προκαθεσθέντας, ἢ διὰ λόγου φανερωθέντας, ἢ διὰ σημείων γνωρισθέντας, ἤ τι λειωθέντας δι᾽ αἵματος. τούτων ἀθανάσιος, τοῖς μὲν ἡμιλλήθη, τῶν δὲ μικρὸν ἀπελείφθη, ἔστι δὲ οὓς καὶ ὑπερέσχεν, εἰ μὴ τολμηρὸν εἰπεῖν, καὶ τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾶον, τῶν δὲ τὸν ζῆλον, τῶν δὲ τοὺς κινδύνους, τῶν δὲ τὰ πλείω, τῶν δὲ ἅπαντα μιμησάμενος, καὶ ἄλλο ἀπ᾽ ἄλλου λαβὼν, ὥσπερ οἱ τὰς μορφὰς μὲν ὑπερβολῇ γράφοντες, καὶ εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συναγαγὼν, ἐν ἀρετῆς εἶδος ἐκ πάντων ἀπηκριβώσατο, τοὺς μὲν ἐν λόγῳ δεινοὺς τῇ πράξει, τοὺς πρακτικοὺς δὲ τῷ λόγῳ νικήσας. εἰ βούλει δὲ λόγῳ μὲν, τοὺς εὐδοκίμους ἐν λόγῳ, πράξει δὲ τοὺς πρακτικωτάτους ὑπερβαλὼν, καὶ τοὺς μὲν κατ᾽ ἀμφότερα μέσως ἔχοντας, τῷ περὶ τὸ ἕτερον ὑπερβάλλοντι. τοὺς δὲ καθ᾽ ἕτερον ἄκρους, τοῖς ἀμφοτέροις παραδραμὼν, καὶ εἰ μέγα τοῖς προλαβοῦσι τὸ παράδειγμα τοὔτῳ γενέσθαι τῆς ἀρετῆς, οὐχ ἧττον εἰς εὐφημίαν τῷ ἡμετέρῳ καλῷ, τὸ τοῖς μετ᾽ αὐτὸν γενέσθαι παράδειγμα. ταῦτα μὲν δὴ τὰ ἐκείνου λέγειν τε καὶ θαυμάζειν μακρότερον ἂν εἴη τυχὸν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου, καὶ ἱστορίας ἔργον, οὐκ εὐφημίας, ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τε καὶ ἥδυσμα τοῖς εἰς ὕστερον, εὐχῆς ἔργον ἐμοὶ, ὥσπερ ὃν ἐκεῖνος ἀντωνίου τοῦ θείου βίου συνέγραψε, τοῦ μοναδικοῦ βίου νομοθεσίαν, ἐν πλάσματι διηγήσεως. ὀλίγα δὲ ἐκ πολλῶν τῶν ἐκείνου διεξελθόντες, καὶ ὅσα σχεδιάζει ἡμῖν ἡ

αὐτὸν

Athanasius Antonii [illegible] vitam scripsit.

μνήμην νῦν ὡς γνωριμωτέροις, ἵνα τόν τε ἡμέτερον ἀφοσιωσώμεθα πόθον. καὶ τῇ πανηγύρει τὸ εἰκὸς ἐκπληρώσωμεν, τὰ πλείω δὲ τοῖς εἰδόσι παρῶμεν. οὐδὲ γὰρ ἄλλως ὅσιον, οὐδὲ ἀσφαλὲς, ἀσεβῶν μὲν βίους τιμᾶσθαι ταῖς μνήμαις· τοὺς δὲ εὐσεβείᾳ διενεγκόντας, σιωπῇ παραπέμψασθαι. καὶ ταῦτα ἐν πόλει, ἣν μόλις ἂν καὶ πολλὰ τῆς ἀρετῆς ὑποδείγματα σώσειεν. ὥσπερ τὰ ἱππικὰ καὶ τὰ θέατρα, οὕτω δὴ καὶ τὰ θεῖα παίζουσαν. ἐκεῖνος ἐτράφη μὲν εὐθὺς ἐν τοῖς θείοις ἤθεσι καὶ παιδεύμασιν. ὀλίγα τῶν ἐγκυκλίων φιλοσοφήσας, τοῦ μὴ δοκεῖν παντάπασι τῶν τοιούτων ἀπείρως ἔχειν, μηδὲ ἀγνοεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασεν. οὐ γὰρ ἠνέσχετο τὸ τῆς φύσεως εὐγενὲς ὂν φιλότιμον, ἐν τοῖς ματαίοις ἀσχοληθῆναι, οὐδὲ ταὐτὸ παθεῖν τῶν ἀθλητῶν τοῖς ἀπείροις, οἳ τὸν ἀέρα πλείω παίοντες ἢ τὰ σώματα, τῶν ἄθλων ἀποτυγχάνουσι, καὶ πᾶσαν μὲν παλαιὰν βίβλον, πᾶσαν δὲ νέαν ἐκμελετήσας, ὡς οὐδεμίαν ἕτερος, πλουτεῖ μὲν θεωρίαν, πλουτεῖ δὲ βίου λαμπρότητα, καὶ πλέκει θαυμασίως ἀμφότερα, τὴν χρυσῆν ὄντως σειρὰν, καὶ τοῖς πολλοῖς ἄπλοκον, βίῳ μὲν ὁδηγῷ θεωρίας, θεωρίᾳ δὲ σφραγῖδι βίου χρώμενος. ἀρχὴ γὰρ σοφίας φόβος κυρίου, οἷον τι πρῶτον σπάργανον. καὶ σοφία τὸν φόβον ὑπερβᾶσα, καὶ εἰς τὴν ἀγάπην ἀναβιβάσασα θεοῦ φίλους ἡμᾶς, καὶ υἱοὺς ἀντὶ δούλων ἐργάζεται. τραφεὶς δὲ οὕτω, καὶ παιδευθεὶς, ὡς ἔδει γε καὶ νῦν τοὺς λαοῦ προστήσεσθαι μέλλοντας, καὶ τὸ μέγα χριστοῦ σῶμα μεταχειρίζεσθαι, κατὰ τὴν μεγάλην τοῦ θεοῦ βουλήν τε καὶ πρόγνωσιν, ἣ πόρρωθεν καταβάλλεται τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις, τῷ μεγάλῳ βήματι τούτῳ ἐγκαταλέγεται καὶ τῶν ἐγγιζόντων εἷς τῷ ἐγγίζοντι θεῷ γίνεται, καὶ τῆς ἱερᾶς ἀξιοῦται στολῆς τε καὶ τάξεως, καὶ πᾶσαν τὴν τῶν βαθμῶν ἀκολουθίαν διεξελθὼν, ἵνα τὰ ἐν μέσῳ συντέμω, τὴν τοῦ λαοῦ προεδρίαν πιστεύεται. ταὐτὸν δὲ εἰπεῖν, τῆς οἰκουμένης πάσης ἐπιστασίαν. καὶ οὐκ ἔχω λέγειν πότερον ἀρετῆς ἆθλον, ἢ τῆς ἐκκλησίας πηγὴν καὶ ζωὴν τὴν ἱερωσύνην λαμβάνει. ἔδει γὰρ ἐκλείπουσαν ταύτην τῷ δίψει τῆς ἀληθείας, ὥσπερ τὸν ἰσμαὴλ ποτισθῆναι, ἢ ὥσπερ τὸν ἠλίαν ἐκ τοῦ χειμάρρου κατεψυγμένης ἀβροχίᾳ τῆς γῆς ἀναψύξαι, καὶ μικρὰ ἀναπνέουσαν ἀναζωπυρηθῆναι, καὶ σπέρμα τῷ ἰσραὴλ ὑπολειφθῆναι· ἵνα μὴ γενώμεθα ὡς σόδομα καὶ γόμορρα, ὧν περιβόητος μὲν ἡ κακία, περιβοητοτέρα δὲ ἡ ἀπώλεια, πυρὶ καὶ θείῳ κατακαυθεῖσα. διὰ τοῦτο ἠγέρθη κέρας σωτηρίας ἡμῖν ἤδη κεκλιμένοις, καὶ λίθος ἀκρογωνιαῖος, συνδέων ἑαυτῷ τε καὶ ἀλλήλοις ἡμᾶς, ἐνεβλήθη κατὰ καιρὸν, ἢ πῦρ καθαρτήριον τῆς φαύλης ὕλης καὶ μοχθηρᾶς, ἢ πτύον γεωργικὸν, ᾧ τὸ κοῦφον τῶν δογμάτων καὶ τὸ βαρὺ διακρίνεται. ἢ μάχαιρα τὰς τῆς κακίας ῥίζας ἐκτέμνουσα. καὶ ὁ λόγος εὑρίσκει τὸν ἑαυτοῦ σύμμαχον, καὶ τὸ πνεῦμα καταλαμβάνει τὸν ὑπὲρ αὐτοῦ πνέοντα. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα, ψήφῳ τοῦ λαοῦ παντὸς, οὐ κατὰ τὸν ὕστερον νικήσαντα πονηρὸν τύπον, οὐδὲ φονικῶς τε καὶ τυραννικῶς, ἀλλ' ἀποστολικῶς τε καὶ πνευματικῶς, ἐπὶ τὸν μάρκου θρόνον ἀνάγεται, οὐχ ἧττον τῆς εὐσεβείας ἢ προεδρίας ἐκείνου διάδοχος. τῇ μὲν γὰρ πολλοστὸς ἀπ' ἐκείνου, τῇ δὲ εὐθὺς μετ' ἐκεῖνον εὑρίσκεται, ἣν δὴ καὶ κυρίως ὑποληπτέον διαδοχήν. τὸ μὲν γὰρ ὁμόγνωμον καὶ ὁμόθρονον, τὸ δὲ ἀντίδοξον καὶ ἀντίθρονον, καὶ ἡ μὲν προσηγορίαν, ἡ δὲ ἀλήθειαν ἔχει διαδοχῆς. οὐ γὰρ ὁ βιαζόμενος, ἀλλ' ὁ βιασθεὶς διάδοχος, οὐδ' ὁ παρανομήσας, ἀλλ' ὁ προβληθεὶς ἔννομος· οὐδὲ ὁ τἀναντία δοξάζων, ἀλλ' ὁ τῆς αὐτῆς πίστεως. εἰ μὴ οὕτω τις λέγοι διάδοχον, ὡς νόσον ὑγείας καὶ φωτὸς σκότος, καὶ ζάλην γαλήνης, καὶ συνέσεως ἔκστασιν. ἐπεὶ δὲ οὕτω προβάλλεται, οὕτω καὶ τὴν ἀρχὴν διατίθεται. οὐ γὰρ ὁμοῦ τε καταλαμβάνει τὸν θρόνον, ὥσπερ οἱ τυραννίδα τινὰ ἢ κληρονομίαν παράδοξον ἁρπάσαντες, καὶ ὑβρίζει τὸν κόρον. ταῦτα γὰρ τῶν νόθων καὶ παρεγγράπτων ἱερέων ἐστὶ, καὶ τοῦ ἐπαγγέλματος ἀναξίων· οἱ μηδὲν τῇ ἱερωσύνῃ προσενεγκόντες, μηδὲ τοῦ καλοῦ προταλαιπωρήσαντες, ὁμοῦ τε μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι. χθὲς ἱερόσυλοι, καὶ σήμερον ἱερεῖς. χθὲς τῶν ἁγίων ἔξω καὶ μυσταγωγοὶ σήμερον. παλαιοὶ τὴν κακίαν, καὶ σχέδιοι τὴν εὐσέβειαν. ἔργον χάριτος ἀνθρωπίνης, οὐ τοῦ πνεύματος· οἳ ὅταν πάντα διεξέλθωσι βιαζόμενοι, τελευταῖον τυραννοῦσι καὶ τὴν εὐσέβειαν. ὧν οὐχ ὁ τρόπος τὸν βαθμὸν, ὁ βαθμὸς δὲ τὸν τρόπον πιστεύεται, παρὰ πολὺ τῆς τάξεως ἐναλλαττομένης. οἱ πλειόνων ὑπὲρ ἑαυτῶν ἢ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς θυσίας ὀφείλουσι, καὶ πάντως τῶν δύο τὸ ἕτερον ἁμαρτάνουσιν, ἢ τῷ δεῖσθαι συγγνώμης ἄμετρα συγγινώσκοντες, ὡς ἂν μή τι ἀνακόπτοιτο κακία καὶ διδάσκοιτο, ἢ τῇ τραχύτητι τῆς ἀρχῆς, τὰ ἑαυτῶν συγκαλύπτοντες. ὧν οὐδέτερον ἐκεῖνος, ἀλλ' ἦν ὑψηλὸς μὲν τοῖς ἔργοις, ταπεινὸς δὲ τῷ φρονήματι· καὶ τὴν μὲν ἀρετὴν ἀπρόσιτος, τὴν ἐντυχίαν δὲ καὶ λίαν εὐπρόσιτος, πρᾶος, ἀόργητος, συμπαθὴς, ἡδὺς τὸν λόγον, ἡδίων τὸν τρόπον, ἀγγελικὸς τὸ εἶδος, ἀγγελικώτερος τὴν διάνοιαν, ἐπιτιμῆσαι γαληνός.

Educatio.

Athanasius episcopus.

Πῦρ καθαρτήριον

χαλεπὸς, ἐπαινέσαι παιδευτικὸς, καὶ μηδέτερον τὴν καθ' ἑκάτερον τῇ ἀμετρίᾳ λυμαίνεσθαι, ἀλλὰ κρῖναι καὶ τὴν ἐπιτίμησιν πατρικὴν, καὶ τὸν ἔπαινον ἀρχικὸν, μήτε τὸ ἁπαλὸν ἔκλυτον, μήτε στύφον τὸ αὐστηρόν· ἀλλὰ τὸ μὲν ἐπιείκειαν, τὸ δὲ φρόνησιν, καὶ φιλοσοφίαν ἀμφότερα. ἐλάχιστα μὲν λόγου διὰ τὸν τρόπον δεόμενος ἀρκοῦντα πρὸς παιδαγωγίαν. ἐλάχιστα δὲ ῥάβδου διὰ τὸν λόγον. ἔτι δὲ ἐλάττω τομῆς, διὰ τὴν ῥάβδον μετρίως πλήττουσαν. τί ἄν ὑμῖν ἀναζωγραφοίην τὸν ἄνδρα; Παῦλος προλαβὼν γέγραφε, τοῦτο μὲν, ἐν οἷς τὸν ἀρχιερέα τὸν μέγαν τὸν διεληλυθότα τοὺς οὐρανοὺς ἀνυμνεῖ. τολμήσει γάρ μοι καὶ μέχρι τούτου ὁ λόγος. ἐπειδὴ χριστοὺς οἶδε, τοὺς ζῶντας κατὰ Χριστόν· τοῦτο δὲ ἐν οἷς Τιμοθέῳ πρὸς αὐτὸν γράφων νομοθετεῖ, τυπῶν διὰ τοῦ λόγου τὸν ἐπισκοπῆς προστησόμενον. εἰ γὰρ ὡς κανόνα τὸν νόμον παραθείης τοῦ ἐπαινουμένου, γνώσῃ σαφῶς τὴν εὐθύτητα. δεῦρο δή συμπανηγυρίσατέ μοι, περὶ τὸν λόγον κάμνοντι, καὶ τὰ πλείω μὲν παρατρέχειν ἐθέλοντι, ἄλλο τι δὲ ἐπ' ἄλλου κατατεμνομένῳ, καὶ οὐκ ἔχοντι τὸ νικῶν εὑρεῖν, ὥσπερ ἐν σώματι πανταχόθεν ἴσῳ τι καὶ καλῷ. ἀεὶ γάρ μοι τὸ παρατυχὸν, κάλλιον φαίνεται, καὶ τοῦτο συναρπάζει τὸν λόγον. δεῦρο οὖν μοι διέλεσθε τὰ ἐκείνου καλὰ, ὅσοι τῆς ἐκείνου ἐπαινέται καὶ μάρτυρες, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους ἄνδρες ὁμοῦ καὶ γυναῖκες, νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων, ἱερεῖς καὶ λαὸς, οἱ μοναδικοὶ καὶ μιγάδες, οἱ τῆς ἁπλότητος καὶ τῆς ἀκριβείας, ὅσοι τῆς θεωρίας καὶ ὅσοι τῆς πράξεως. ὁ μὲν ἐπαινείτω τὸν ἐν νηστείαις καὶ προσευχαῖς, ὡς ἀσώματόν τι καὶ ἄϋλον, ὁ δὲ τὸ ἐν ἀγρυπνίαις τε καὶ ψαλμῳδίαις εὔτονόν τι καὶ ἀήττητον. ἄλλος τὸ ἐν προστασίᾳ τῶν δεομένων, ἄλλος τὴν πρὸς τοὺς ὑπερέχοντας ἀντιτυπίαν, ἢ πρὸς τὸ ταπεινὸν συγκατάβασιν, αἱ παρθένοι τὸν νυμφαγωγὸν, αἱ ὑπὸ ζυγὸν τὸν σωφρονιστὴν, οἱ τῆς ἐρημίας τὸν πτερωτήν· οἱ τῆς ἐπιμιξίας, τὸν νομοθέτην· οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας, τὸν θεολόγον· οἱ ἐν εὐθυμίαις, τὸν χαλινόν· οἱ ἐν συμφοραῖς, τὴν παράκλησιν. τὴν βακτηρίαν ἡ πολιά. τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ πενία, τὸν ποριστήν· ἡ εὐπορία, τὸν οἰκονόμον· δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τὸν πατέρα, καὶ πτωχοὶ τὸν φιλόπτωχον, καὶ τὸν φιλόξενον οἱ ξένοι, καὶ ἀδελφοὶ τὸν φιλάδελφον. οἱ νοσοῦντες, τὸν ἰατρὸν, ἣν βούλει νόσον καὶ ἰατρείαν, οἱ ὑγιαίνοντες τὸν φύλακα τῆς ὑγείας, οἱ πάντες τὸν πᾶσι πάντα γενόμενον, ἵνα κερδήσῃ τοὺς πάντας, ἢ πλείονας. ταῦτα μὲν οὖν ὅπερ εἶπον ἄλλοι θαυμαζέτωσάν τε καὶ ὑμνείτωσαν, οἷς σχολὴ τὰ μικρὰ τῶν ἐκείνου θαυμάζειν. μικρὰ δὲ ὅταν εἴπω, αὐτὸν ἔχω διὰ συγκρίνων λέγω, καὶ τὰ ἐκείνου τοῖς ἐκείνου παρεξετάζων. οὐ γὰρ δεδόξασται τὸ δεδοξασμένον, καθ' ἡλίαν λαμπρὸν, εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης, ὥσπερ ἠκούσαμεν. ἐπεὶ καὶ ὀλίγα τῶν τούτου, ἑτέροις αὐτάρκη πρὸς εὐδοκίμησιν. ἡμῖν δὲ οὐ γὰρ αἰσχρὸν καταλεῖψαι τὸν λόγον, διακονεῖν τοῖς ἐλάττοσιν, ἐπ' αὐτὸ τὸ κυριώτατον τῶν ἐκείνου τρεπτέον. θεοῦ δὲ ἔργον ὑπὲρ οὗ καὶ ὁ λόγος, εἰπεῖν τι τῆς ἐκείνου μεγαλουργίας καὶ ψυχῆς ἄξιον. ἦν ὅτε ἤκμαζε τὰ ἡμέτερα, καὶ καλῶς εἶχεν, ἡνίκα τὸ μὲν περιττὸν τοῦτο καὶ κατεγλωττισμένον τῆς θεολογίας καὶ ἔντεχνον, οὐδὲ πάροδον εἶχεν εἰς τὰς θείας αὐλάς· ἀλλὰ ταὐτὸν ἦν, ψήφοις τι παίζειν τὴν ὄψιν κλεπτούσαις διὰ τάχος τῆς μεταθέσεως, ἢ κατορχεῖσθαι τῶν θεατῶν, παντοίοις καὶ ἀνδρογύνοις λυγίσμασι, καὶ περὶ θεοῦ λέγειν τι καὶ ἀκούειν καινότερον καὶ περίεργον· τὸ δὲ ἁπλοῦν τι καὶ εὐγενὲς τοῦ λόγου εὐσέβεια ἐνομίζετο. ἀφ' οὗ δὲ σέξτοι καὶ πύρρωνες, καὶ ἡ ἀντίθετος γλῶσσα ὥσπερ τι νόσημα δεινὸν καὶ κακόηθες ταῖς ἐκκλησίαις ἡμῶν εἰσεφθάρη, καὶ ἡ φλυαρία παίδευσις ἔδοξε. καὶ ὅ φησι περὶ Ἀθηναίων ἡ βίβλος τῶν πράξεων, εἰς οὐδὲν ἄλλο εὐκαιροῦμεν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, ὢ τίς Ἱερεμίας ὀδύρεται τὴν ἡμετέραν σύγχυσιν καὶ σκοτομήνην. ὁ μόνος εἰδὼς ἐξισῶσαι θρήνους πάθεσι. ταύτης τῆς λύσσης ἤρξατο μὲν Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος, ὃς καὶ δίκην ἔδωκε τῆς ἀκολάστου γλώσσης, τὴν ἐν βεβήλοις τόποις κατάλυσιν εὐχῆς ἔργον οὐ νόσου γενόμενος, καὶ τὴν Ἰούδα ῥῆξιν ἀντισώσας. ἐπ' ἴσῃ προδοσίᾳ τοῦ λόγου. διαδεξάμενοι δὲ ἄλλοι τὴν νόσον, τέχνην ἀσεβείας ἐδημιούργησαν, οἳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράψαντες, τοῦ γεννητοῦ οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ ἐκπορευτοῦ ἐξώρισαν τῆς θεότητος, ὀνόματος κοινωνίᾳ μόνον τὴν τριάδα τιμήσαντες, ἢ μηδὲ τοῦτο αὐτὴν τιμήσαντες, ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος, καὶ ὄντως ἄνθρωπος τοῦ θεοῦ, καὶ μεγάλη σάλπιγξ τῆς ἀληθείας· ἀλλ' εἰδὼς τὸ μὲν εἰς ἀριθμὸν ἓν τὰ τρία συστέλλειν ἄθεον ὂν καὶ τῆς σαβελλίου καινοτομίας, ὃς καὶ πρῶτος θεότητος συστολὴν ἐπενόησε. τὸ δὲ τὰ τρία διαιρεῖν φύσεσι, κατατομὴν θεότητος ἔκφυλον, καὶ τὸ ἓν καλῶς ἐτήρησε, θεότητί γε, καὶ τὰ τρία εὐσεβῶς ἐδίδαξεν ἰδιότησί γε, ὅτι τῷ ἐν συγχέας, ὅτι τοῖς τρισὶ διασπάσας, ἀλλ' ἐν ὅροις μείνας τῆς εὐσεβείας, τῷ φυγεῖν τὴν ἄμετρον εἰς θάτερα κλίσιν τε καὶ ἀντίθεσιν. δι' ὃ τοῦτο πρῶτον μὲν ἐν τῇ κατὰ νίκαιαν ἁγίᾳ ταύτῃ συνόδῳ. καὶ τῷ ἀριθμῷ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ λογάδων, οὓς τὸ πνεῦμα τὸ ἅγιον εἰς ἓν ἤγαγεν, ὅσον ἦν ἐπ' αὐτῷ

Areus.
Arei mors qualis.
Sancta Nicaena synodus 318 episcoporum.

τὴν νόσον ἔπεισιν. οὔπω μὲν τεταγμένος ἐν ἐπισκόποις, τὰ πρῶτα δὲ τεταγμένος τῶν συνε-
ληλυθότων. καὶ γὰρ ἦν ἀρετῆς οὐχ ἧττον, ἢ βαθμῷ φανερὰ προτίμησις· ἔπειτα τοῦ κακοῦ ἐμπαθεῖ-
τος ἤδη ταῖς αὔραις τοῦ πονηροῦ, καὶ τὸ πλεῖον ἐπιλαμβανόντος, ἐνταῦθά μοι καὶ τὰ δρά-
ματα, ὧν πᾶσα μικροῦ πλήρης γῆ τε καὶ θάλασσα. πολὺς δὲ περὶ αὐτὸν ὁ πόλεμος, ὡς
γενναῖον προστάτην τοῦ λόγου. πρὸς γοῦν τὸ ἀντιτεῖνον μάλιστα ἡ τῶν ἀντίταξις, καὶ ἄλλοθεν ἀλλό-
τι τῶν δεινῶν ἐπιφέρειν. εὑρετικὸν γὰρ κακοῦ ἡ ἀσέβεια, καὶ λίαν τολμηρὸν εἰς ἐγχείρησιν.
πῶς δὲ ἀνθρώπων ἔμελλον φείδεσθαι, οἱ θεότητος μὴ φεισάμενοι; μία δὲ προσβολῶν, καὶ
χαλεπωτάτη, συμφορώτατη καὶ αὐτοῖς τῶν δραμάτων· ἀλλά μοι τῇ [illegible]πειέσθω δ' ὁ φίλον ἐδά-
φος ἡ πατρίς· οὐ γὰρ τῆς ἀνεγκούσης, ἀλλὰ τῶν προσειλημμένων ἡ πονηρία. ἡ μὲν γὰρ ἱερά τε
καὶ πᾶσιν ἐπ' εὐσεβείᾳ γνώριμος, οἱ δὲ ἀνάξιοι τῆς τεκούσης αὐτοὺς ἐκκλησίας. φύεται δὲ καὶ
ἀμπέλῳ βάτος ἐνίοτε, καὶ ἰούδας τῶν μαθητῶν εἷς ὁ προδότης. εἰσὶ μὲν οὖν οἱ μηδὲ τὸν ὁμώ-
νυμον ἐμοὶ, τῆς αἰτίας ἀφιᾶσιν· ὃς κατὰ παιδεύσεως ὁρῶνται τῇ ἀλεξανδρέων ἐπιδημῶν τότε
πόλει, καὶ πάσης τῆς αὐτοῦ τυχὼν δεξιώσεως ἴσα, καὶ παίδων ὁ τιμιώτατος, καὶ τὴν τὰ
μέγιστα πιστευομένων εἷς ὤν, ἐπανίσταται ὥς φασι βουλεύεται τῷ πατρὶ καὶ προστάτῃ. καὶ ἦν
τὸ μὲν δρᾶμα ἑτέρων, ἡ δὲ χεὶρ ἀβέσσα λαβὼν μετ' αὐτοῦ ὡς ὁ λόγος. εἴ τις ἡμῶν οἶδε τὴν χεῖ-
ρα, ἣν ὁ ἄγνος κατεψεύσατο, καὶ τὸν ζῶντα νεκρὸν, καὶ τὴν ἄδικον ἐξορίαν, οἶδεν ὃ λέγω. πλὴν
τοῦτο μὲν ἑκὼν ἐπιλήσομαι. καὶ γὰρ οὕτως ἔχω ἐν τοῖς ἀμφιβόλοις, νεύειν χρῆναι πρὸς τὸ φι-
λάνθρωπον, καὶ ἀπογινώσκειν μᾶλλον, ἢ καταγινώσκειν τῶν ὑπαιτίων. ὁ μὲν γὰρ κακὸς τάχιστα
ἂν καταγνοίη καὶ τοῦ ἀγαθοῦ, ὁ ἀγαθὸς δὲ οὐδὲ τοῦ κακοῦ ῥᾳδίως, τὸ γὰρ εἰς κακίαν οὐχ ἑτοίμως,
οὐδ' εἰς ὑπόνοιαν εὐχερές. ὁ δὲ οὐκ ἔτι λόγος, ἀλλ' ἔργον ἐστὶν, οὐδὲ ὑπόνοιά τις ἀνεξέταστος, ἀλ-
λὰ πίστις κεκηρυγμένη, τέρας τι καππαδόκιον, ἐκ τῶν ἐσχατιῶν τῶν ἡμετέρων ὁρμώμενον, πονη-
ρὸν τὸ γένος, πονηρότερον τὴν διάνοιαν, οὐδὲ παντελῶς ἐλεύθερον, ἀλλ' ἐπίμικτον, οἷον τὸ τῶν ἡμιό-
νων γινώσκομεν. τὰ μὲν πρῶτα τραπέζης ἀλλοτρίας δοῦλον καὶ μάζης ὤνιον, πάντα ποιεῖν
καὶ λέγειν πρὸς τὴν γαστέρα μεμαθηκὸς, τὰ τελευταῖα δὲ καὶ πολιτείᾳ τῶν εἰσφθαρεὶς, καὶ πιστευθεὶς
ταύτης τὰ ἔσχατα, ὅσον ὑείων κρεῶν ὑποδοχεία γένεσθαι, οἷς τὸ στρατιωτικὸν τρέφεται, εἶτα κα-
κὸν περὶ τὴν πίστιν γενόμενον, καὶ τῇ γαστρὶ πολιτευσάμενον, ἐπειδὴ τὸ σῶμα ὑπελείπετο
μόνον, δρασμὸν ἐννοεῖ, καὶ ἄλλην ἐξ ἄλλης ἀμείβων χώραν καὶ πόλιν (οἷα τὰ τῶν φυγάδων)
τέλος ἐπὶ κακῷ τοῦ κοινοῦ τῆς ἐκκλησίας, οἷόν τις αἰγυπτιακὴ πληγὴ, τὴν ἀλεξανδρέων κα-
ταλαμβάνει. ἐνταῦθα τῆς ἄλης ἵσταται, καὶ τῆς κακουργίας ἄρχεται. καὶ ἦν τἄλλα μὲν
οὐδενὸς ἄξιος, οὐ λόγων ἐλευθερίων μετεσχηκὼς, οὐ τὴν συνουσίαν στωμύλος, οὐκ εὐλαβεί-
ας σχῆμα γοῦν τι καὶ πλάσμα κοινὸν περικείμενος, κακουργῆσαι καὶ συγχέαι πράγμα-
τα πάντων δεινότατος. ἴστε καὶ διηγεῖσθε πάντες, οἷα κατὰ τοῦ ἁγίου παρῳνεῖται. πα-
ραδίδονται γὰρ καὶ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα
οὗτοι δοκιμασθῶσι, καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ κατὰ τὸ γεγραμμένον. κατα-
γελῶνται δὲ ὅμως πρὸς τὸ παρὸν εὐσεβεῖς, ἕως ἡ χρηστότης τοῦ θεοῦ κρύπτεται, καὶ τὰ με-
γάλα ταμιεῖα τῶν εἰς ὕστερον ἑκατέροις ἀποκειμένων. τότε καὶ λόγος καὶ πρᾶξις καὶ
διανόημα, τοῖς δικαίοις σταθμοῖς τοῦ θεοῦ ταλαντεύονται. ὅταν ἀναστῇ κρῖναι τὴν γῆν,
τὴν βουλὴν καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτοῖς καὶ σωζό-
μενα. ταῦτά σε πειθέτω σε καὶ λέγων καὶ πάσχων ἰὼβ, ὡς ἦν ἄνθρωπος ἀληθινὸς, ἄμεμ-
πτος, δίκαιος, θεοσεβής· καὶ ὅσα μεμαρτύρηται. τοσαύταις δὲ πλήσσεται παρὰ τοῦ
ἐξῃτηκότος προσβολαῖς, καὶ οὕτως ἐπαλλήλοις καὶ φιλοτίμοις, ὥστε πολλῶν πολ-
λάκις ἐν τῷ παντὸς αἰῶνος κακοπαθησάντων, τὴν δὲ ὡς εἰκὸς καὶ ταλαιπωρησάντων,
μηδεμίαν εἶναι ταῖς ἐκείνου παραβαλεῖν συμφοραῖς. οὐ γὰρ μόνον χρήματα, κτήματα, εὐτε-
κνίαν, πολυτεκνίαν, ἃ πᾶσιν ἀνθρώποις ἐστὶ περισπούδαστα, οὐ ταῦτα ζημιοῦται μόνον, ὡς
μηδὲ θρηνοῖς χρῆσθαι χώραν διὰ τὸ συνεχὲς τῶν κακῶν, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα τελευ-
ταῖον πληγεὶς πληγὴν ἀνίατόν τι καὶ δυσθεώρητον, ἔχει μὲν προσθήκην τῆς συμφορᾶς, τὴν
γυναῖκα τὴν παραμυθουμένην τοῖς χείροσι. πληγῶσαι γοῦν ἐφιλονείκει, καὶ τὴν ψυχὴν πρὸς τῷ
σώματι. ἔχει δὲ καὶ τῶν φίλων τοὺς γνησιωτάτους τῶν ἀκλήρους κακῶν, ὡς αὐτός φησιν, οὐ θε-
ραπευτάς· οἳ τὸ μὲν πάθος ἑώρων, τὸ δὲ τοῦ πάθους ἀγνοοῦντες μυστήριον, οὐ βάσανον ἀρε-
τῆς, ἀλλὰ κακίας ἐπίπληξιν, τὴν πληγὴν ὑπελάμβανον. καὶ οὐκ ἐνόμιζον μόνον, ἀλλ' οὐ-
δὲ ἰσχυρῶς τὸ δεινὸν ὀνειδίζοντες, ὁπότε καὶ εἰ διὰ κακίαν ἔπασχε, σοφίζεσθαι δὲ λυ-
πηρὸν ἔδει τῆς παραμυθίας ῥήμασιν. οὕτω μὲν οὖν ὁ ἰὼβ καὶ τὰ πρῶτα τῆς περὶ αὐτὸν πραγμα-
τείας, ἀγὼν γὰρ ἀρετῆς ἦν καὶ φθόνου, τοῦ μὲν ὅπως τοῦ καλοῦ κρατήσῃ φιλονεικοῦντος,
τῆς δὲ ὅπως ἀήττητος διαμείνῃ πάντα φερούσης· καὶ τοῦ μὲν, ὅπως εὐοδώσῃ κακίαν ἀγω-
νιζομένου, διὰ τῆς τῶν κατορθούντων κολάσεως· τῆς δὲ, ὅπως κατάσχῃ τῶν ἀγαθῶν,

καὶ ταῖς

καὶ ταῖς συμφοραῖς τὸ πλέον ἔχοντας. τί δαὶ ὁ πρὸς αὐτὸν χρηματίζων διὰ λαίλαπος καὶ νεφῶν. ὁ βραδὺς εἰς κόλασιν, καὶ ταχὺς εἰς ἀντίληψιν· ὁ μὴ παντελῶς ἐπαφιεὶς ῥάβδον ἁμαρτωλῶν, κλήρῳ δικαίων, ἵνα μὴ κακίαν δίκαιοι μάθωσιν, οὐδὲ τέλει τὸν ἆθλον ἀναγορεύει τοῦ ἀθλητοῦ, λαμπρῷ τῷ κηρύγματι, καὶ γυμνοῖ τῆς πληγῆς τὸ ἀπόρρητον. οἴει με ἄλλως σοι κεχρηματικέναι λέγων, ἵνα ἀναφανῇς δίκαιος; τοῦτο τῶν τραυμάτων τὸ φάρμακον, οὗτος τῆς ἀγωνίας ὁ στέφανος. αὕτη τῆς ὑπομονῆς ἡ ἀντίδοσις. τὰ γοῦν ἑξῆς ἴσως καὶ μικρὰ καὶ μεγάλα ποιεῖ δοκεῖν, καὶ μικρῶν εἶναι οἰκονομηθέντα, καὶ ἐν διπλασίονι τῶν ἀφῃρημένων ἀντιλαμβάνει. οὐκοῦν οὐδὲ ταῦτα θαυμαστόν, εἰ [illegible] πλέονα ἔσχε γεώργιος, ἀλλ' ἐκεῖνο θαυμασιώτερον, εἰ μὴ ἐπηρεάσθη ταῖς ἐπηρείαις ὁ δίκαιος. οὐδὲ τοῦτο θαυμαστὸν ἄγαν· ἀλλ' ὅτι πλέον αἱ φλόγες ἤρκεσαν. ἐντεῦθεν ὁ μὲν ἦν ἐκποδών, καὶ τὴν φυγαδείαν ὡς κάλλιστα διατίθεται. τοῖς γὰρ ἱεροῖς καὶ θείοις τῆς κατ' Αἴγυπτον φροντιστηρίοις φέρων ἑαυτὸν ἐνδίδωσιν. οἱ κόσμου χωρίζοντες ἑαυτούς, καὶ τὴν ἐρημίαν ἀσπαζόμενοι, ζῶσι θεῷ παντὸς μᾶλλον τῶν στρεφομένων ἐν σώματι. οἱ μὲν τὸ πάντη μοναδικόν τι καὶ ἄμικτον διαθλοῦντες βίον, ἑαυτοῖς μόνοις προσλαλοῦντες καὶ τῷ θεῷ, καὶ τοῦτο μόνον κόσμον εἰδότες, ὅσον ἐν τῇ ἐρημίᾳ γνωρίζουσιν. οἱ δὲ νόμον ἀγάπης τῇ κοινωνίᾳ στέργοντες, ἐρημικοί τε ὁμοῦ καὶ μιγάδες, τοῖς μὲν ἄλλοις τεθνηκότες ἀνθρώποις καὶ πράγμασιν, ὅσα ἐν μέσῳ περιφέρεται στροβοῦντά τε καὶ στροβούμενα, καὶ παίζοντα ἡμᾶς ταῖς ἀγχιστρόφοις μεταβολαῖς, ἀλλήλοις δὲ κόσμος ὄντες, καὶ τῇ παραθέσει τὴν ἀρετὴν θήγοντες. τούτοις ὁμιλήσας ὁ μέγας, ὥσπερ τῶν ἄλλως ἁπάντων μεσίτης καὶ διαλλακτὴς ἦν, τὸν εἰρηνοποιήσαντα τῷ αἵματι τὰ διεστῶτα μιμούμενος. οὕτω καὶ τὸν ἐρημικὸν βίον, τῷ κοινωνικῷ καταλλάττει. δείκνυσιν ὅτι ἔστι καὶ ἱερωσύνη φιλόσοφος, καὶ φιλοσοφία δεομένη μυσταγωγίας. οὕτω γὰρ ἀμφότερα συνηρμόσατο, καὶ εἰς ἓν ἤγαγε καὶ πρᾶξιν ἡσύχιον, καὶ ἡσυχίαν ἔμπρακτον, ὥστε πεῖσαι τὸ μονάζειν, ἐν τῇ εὐσταθείᾳ τοῦ τρόπου μᾶλλον, ἢ τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεσθαι. καθὸ καὶ Δαβὶδ ὁ μέγας πρακτικώτατός τις ἦν ὁ αὐτὸς καὶ μονώτατος, εἴπερ τὸ κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω, τοῦτο σημαίνειν δοκεῖ, καὶ μέγα πρὸς ἀπόδειξιν τοῦ λόγου καὶ ἀξιόπιστον. διὰ τοῦτο τῶν ἄλλων ἀρετῇ κρατούντων, τῆς ἐκείνου διανοίας πλέον ἡττῶντο, ἢ ὅσον ἐκράτουν τῶν ἄλλων, καὶ ὀλίγα πρὸς ἱερωσύνης τελείωσιν συνεισφερόντων, πλείω πρὸς φιλοσοφίας συντέλειαν ἀντελάμβανον. καὶ τοῦτο ἦν νόμος αὐτοῖς, ὃ ἐκείνῳ ἐδόκει. καὶ τοῦτο ἀπώμοτον πάντων, ὃ μὴ ἐδόκει, καὶ πλάκας Μωσέως αὐτοῖς τὰ ἐκείνου δόγματα, καὶ πλέον τὸ σέβας, ἢ παρὰ ἀνθρώπων τοῖς ἁγίοις ὀφείλεται. οἵ γε καὶ ἡνίκα περιῄεσάν τινες, ὥσπερ θήραν τὸν ἅγιον ἀνιχνεύοντες, ἐπειδὴ πανταχοῦ τοῦτον ἀναζητοῦντες οὐχ εὕρισκον, λόγου μὲν οὐδὲ τοὺς πεμφθέντας ἠξίωσαν. προὔτεινον δὲ τοῖς ξίφεσι τοὺς αὐχένας, ὡς ὑπὲρ Χριστοῦ κινδυνεύοντες, καὶ τὸ παθεῖν τι τῶν ἀνηκέστων ὑπὲρ ἐκείνου, μεγίστην μοῖραν εἰς φιλοσοφίαν νομίζοντες, καὶ πολὺ τῶν μακρῶν νηστειῶν καὶ χαμευνιῶν, καὶ τῆς ἄλλης κακοπαθείας ἣν ἐκεῖνοι τρυφῶσιν ἀεί, ἐνθεώτερόν τι καὶ ὑψηλότερον. ὁ μὲν οὖν ἐν τούτοις ἦν, τὸ τοῦ Σολομῶντος ἐπαινῶν, καιρὸν εἶναι παντὶ πράγματι φιλοσοφήσαντος. καὶ διὰ τοῦτο ἀποκρύπτεται μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφεύγων, ἵνα συναναφανῇ τῷ τῆς εἰρήνης ἥκοντι. ὅπερ οὖν καὶ γίνεται μικρὸν ὕστερον. ὁ δὲ κατὰ τὴν πολλὴν ἤδη τοῦ κωλύσοντος ἐρημίαν, κατατρέχει μὲν Αἴγυπτον, λῃΐζεται δὲ Συρίαν τῷ κράτει τῆς ἀσεβείας. ἐπιλαμβάνεται δὲ καὶ τῆς ἑῴας ὅσον ἠδύνατο, τὸ ἀρρωστοῦν ἀεὶ προσλαμβάνων· ὥσπερ οἱ χείμαρροι τὰ συρρέοντα, καὶ τοῖς κουφοτέροις ἢ δειλοτέροις ἐπιφυόμενος. οἰκειοῦται δὲ τὴν βασιλέως ἁπλότητα. οὕτω γὰρ ἐγὼ καλῶ τὴν κουφότητα, αἰδούμενος τὴν εὐλάβειαν. καὶ γὰρ ἦν εἰ δεῖ τἀληθὲς εἰπεῖν, ζῆλον μὲν ἔχων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. ὠνεῖται δὲ τὴν ἐν τέλει, τοὺς φιλοχρύσους μᾶλλον ἢ φιλοχρίστους. εὐπορία γὰρ ἦν αὐτῷ τὰ τῶν πενήτων, κακῶς διαρπαζόμενα, καὶ τούτων μάλιστα τοὺς γυναικώδεις τι καὶ ἐν ἀνδράσιν ἀνάνδρους, καὶ ἀμφιβόλους μὲν τὸ γένος, προδήλους δὲ τὴν ἀσέβειαν, οἷς οὐκ οἶδ' ὅπως καὶ ὅθεν οἱ Ῥωμαίων βασιλεῖς τὰ τῶν γυναικῶν πιστευομένοις, τὰ τῶν ἀνδρῶν ἐγχειρίζουσι. ἐπὶ ταῦτα ἴασιν ὁ τοῦ πονηροῦ θεράπων, ὁ τῶν ζιζανίων σπορεύς, ὁ τοῦ ἀντιχρίστου πρόδρομος· χρώμενος μὲν ὅσα γλώσσῃ τῷ τότε λογίῳ ἐν ἐπισκόποις τῷ πρώτῳ, εἴπω λογίῳ φίλον καλεῖν τὸν οὐχ οὕτως ἀσεβῆ δογματιστήν, ὄντα ἐχθρὸν καὶ φιλόνεικον. τὸ γοῦν ὄνομα ἑκὼν ὑπερβήσομαι. αὐτὸς δ' ἦν ἀντιχειρὸς ὢν τῷ συστήματι, καὶ παρασύρων τῷ χρυσῷ τὴν ἀλήθειαν· ὃν δι' εὐσέβειαν συναγόμενον, ὄργανον ἀσεβείας οἱ πονηροὶ πεποίηνται. ταύτης ἀποτέλεσμα τῆς δυναστείας ἡ πρότερον μὲν τὴν τῆς ἁγίας καὶ καλλιπαρθένου Θέκλας Σελεύκειαν. μετὰ δὲ τοῦτο τὴν μεγαλόπολιν ταύτην καταλαβοῦσα σύνοδος, ἃς οὔτε τοῖς καλλίστοις πως γνωριζομένας, οὔτε τοῖς αἰσχίστοις ὀνομαστὰς πεποίηνται, εἴτε οὖν Χαλάνης πύργον, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν· ὡς ὤφελε

Athanasius exul in Aegyptum ad monachos in eremo degentes se confert

Imperator fit Arianus.

Eunuchi.

Eusebius Pamphili [illegible]

S. Thecla. Concilium Seleuciense Arianum.

ὡς ὤφελόν γε κἀκεῖνοι. ἐπὶ κακῷ γὰρ ἡ συμφωνία. ἔστι τὸ Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται. ἔστι τι ἄλλο τοιοῦτο τὴν σύνοδον ἐκείνην ὀνομαστέον, ἣ πάντα ἀνέτρεψε καὶ συνέχεε. τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς Τριάδος συνήγορον, καταλῦσαι. τῷ βελῶν χαράκωμα καὶ μηχανήμασι κατασεῖσαι τὸ ὁμοούσιον. τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοῖξαι, διὰ τῆς τῶν γεγραμμένων μεσότητος, πρόφασιν μὲν αἰδοῖ τῆς γραφῆς καὶ τῆς τῶν ἐγκρίτων ὀνομάτων χρήσεως. τὸ δὲ ἀληθὲς, τὸ ἔγγραφον ἀρειανισμὸν ἀντεισάγουσι. τὸ γὰρ ὅμοιον κατὰ τὰς γραφὰς, τοῖς ἁπλουστέροις δέλεαρ ἦν τῆς ἀσεβείας χαλκῷ περικείμενον. ἡ πρὸς πάντας ὁρῶσα τῶν περιόντων εἰκὼν, ὁ κοινὸς ἀμφοτέρων τῶν ποδῶν κόθορνος, ἡ κατὰ πάντα ἀνέμου λίκμησις, ἐξουσίαν λαβοῦσα τὴν ἔγγραφον κακουργίαν, καὶ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν. σοφοὶ γὰρ ἐγένοντο εἰς τὸ κακοποιῆσαι. τὸ δὲ καλοποιῆσαι, οὐκ ἔγνωσαν. ἐντεῦθεν ἡ σοφιστικὴ τῶν αἱρετικῶν κατάκρισις. οὓς λόγῳ μὲν ἀπεκήρυξαν, ἵν' ᾖ πιθανὸν αὐτοῖς τὸ ἐπιχείρημα. ἔργῳ δὲ προήγαγον εἰς τὸ ἔμπροσθεν, οὐκ ἀσέβειαν ἀμέτρους, ἀλλὰ συγγραφὴν ἄπιστον ἐγκαλέσαντες. ἐντεῦθεν οἱ βέβηλοι τῶν ὁσίων κριταὶ, καὶ ἡ καινὴ μίξις, ὄψις δημοσία, μουσικὰ προβλήματα, καὶ ἡ παραιρόμενος τῶν βεβιωμένων ἐξέτασις, καὶ οἱ μισθούμενοι συκοφάνται, καὶ ἡ ἐπὶ ἐκτοῖς κρίσις. καὶ οἱ μὲν ἐξωθούμενοι τῶν θρόνων ἀδίκως, οἱ δὲ ἀντεισαγόμενοι, καὶ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτούμενοι, ὥσπερ τι ἄλλο τῶν ἀναγκαίων. καὶ τὸ μέλαν ἕτοιμον, καὶ ὁ συκοφάντης ἐγγύς. ὃ δὴ καὶ ἡμῶν τῶν ἀκεραίων οἱ πλεῖστοι πεπόνθασι, διανοίᾳ μὲν οὐ πεσόντων, γράμματι δὲ παραχθέντων, καὶ εἰς τὸ ἐλθόντων τοῖς πονηροῖς κατὰ ἀμφότερα, καὶ τοῦ καπνοῦ γε εἰ καὶ μὴ τοῦ πυρὸς μετασχόντων. ὃ πολλάκις ἐδάκρυσα, ὁρῶν τὴν τότε χύσιν τῆς ἀσεβείας, καὶ τὸν νῦν ἐπαναστάντα διωγμὸν τοῦ ὀρθοῦ λόγου, παρὰ τῶν προστατῶν τοῦ λόγου. τῷ ὄντι γὰρ ποιμένες ἠφρονεύσαντο κατὰ τὸ γεγραμμένον, καὶ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου. ἐμόλυναν μερίδα ἐπιθυμητὴν, τὴν ἐκκλησίαν τοῦ θεοῦ λέγω. πολλοῖς ἱδρῶσι, καὶ σφαγίοις συνειλεγμένην. τοῖς πρὸ Χριστοῦ τε καὶ μετὰ Χριστὸν, καὶ αὐτοῖς τοῖς μεγάλοις τοῦ θεοῦ περὶ ἡμῶν παθέσι. πλὴν γὰρ ὀλίγων ἄγαν, καὶ τούτων ὅσοι διὰ σμικρότητα παρερρίφησαν, ἢ δι' ἀρετὴν ἀντέβησαν, οὓς ἔδει σπέρμα καὶ ῥίζαν ὑπολειφθῆναι τοῦ Ἰσραὴλ, ἵνα ἀναθάλῃ πάλιν, καὶ ἀναβιώσῃ ταῖς ἐπιρροίαις τοῦ πνεύματος, πάντες τοῦ καιροῦ γεγόνασι, τοσοῦτον ἀλλήλων διενηνοχότες, ὅσον τοὺς μὲν πρότερον, τοὺς δὲ ὕστερον τοῦτο παθεῖν. καὶ τοὺς μὲν προαγωνιστὰς καὶ προστάτας γενέσθαι τῆς ἀσεβείας, τοὺς δὲ ταχθῆναι τὰ δεύτερα, ἢ φόβῳ κατασεισθέντας, ἢ χρείᾳ δουλωθέντας, ἢ κολακείᾳ δελεασθέντας, ἢ ἀγνοίᾳ κλαπέντας, ὃ μετριώτατον. ἔστω καὶ τοῦτο αὐταρκὲς εἰς ἀπολογίαν τοῖς τοῦ λαοῦ προεστάναι πεπιστευμένοις. ὥσπερ γὰρ οὐχ αἱ αὐταὶ λεόντων τε καὶ τῶν ἄλλων ζώων ὁρμαὶ, οὐδὲ ἀνδρῶν, ἢ γυναικῶν, ἢ πρεσβυτέρων, ἢ νεωτέρων, ἀλλ' ἔστι καὶ ἡλικιῶν καὶ γενῶν οὐ μικρὸν τὸ διάφορον, οὕτως οὐδὲ ἀρχόντων ἢ ἀρχομένων. τοῖς μὲν γοῦν τοῦ λαοῦ τάχα ἂν καὶ συγγνώσκοιμεν ταῦτα παθοῦσιν, οὓς σώζει πολλάκις τὸ ἀβασάνιστον. διδασκάλῳ δὲ πῶς τοῦτο δώσομεν, ὃς καὶ τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῖ, εἰ μὴ ψευδώνυμος. πῶς γοῦν οὐκ ἄτοπον, Ῥωμαίων μὲν νόμον μηδενὶ ἀγνοεῖν ἐξεῖναι, μηδ' ἂν σφόδρα ᾖ τις ἀγροικίας καὶ ἀμαθέστατος· μηδὲ εἶναι νόμον τὸν βοηθοῦντα, τοῖς πταιομένοις δι' ἄγνοιαν, τοὺς δὲ τῆς εὐσεβείας ἀγνοεῖν μυσταγωγοὺς, τὰς τῆς εὐσεβείας ἀρχὰς, κἂν τἄλλα τυγχάνωσι τῶν ἁπλουστέρων ὄντες, καὶ μὴ βαθεῖς τὴν διάνοιαν. πλὴν ἔστω συγγνώμη τοῖς δι' ἄγνοιαν κατακολουθήσασι. τί δ' ἂν εἴποι τις περὶ τῶν ἄλλων, ὅσοι καὶ ἀγχινοίας μεταποιούμενοι, δι' ἃς εἶπον αἰτίας τῶν κρατούντων ἡττήθησαν. καὶ τὴν τῆς εὐσεβείας σκηνὴν ἐπὶ πολὺ παίξαντες, ὡς ἐφάνη τι τῶν ἐλεγχόντων, καὶ κατηνέχθησαν. ἔτι μὲν ἅπαξ τὸν οὐρανὸν καὶ τὴν γῆν σεισθῆναι τῆς γραφῆς ἀκούω λεγούσης, ὡς δὴ τοῦτο παθόντων καὶ πρότερον, οὕτω δηλουμένης οἶμαι, τῆς ἐπιφανοῦς τῶν πραγμάτων καινοτομίας, καὶ τὸν τελευταῖον σεισμὸν Παύλῳ πιστευτέον λέγοντι μὴ ἄλλον εἶναι, ἢ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν τοῦδε τοῦ παντὸς μεταποίησιν καὶ μετάθεσιν, εἰς τὸ ἀκίνητον καὶ ἀσάλευτον. τὸν δὲ νῦν τοῦτον σεισμὸν οὐδενὸς ἐλάττω τῶν προγεγενημένων ὑπολαμβάνω, καθ' ὃν κινεῖται μὲν ἀφ' ἡμῶν, ὅσον φιλόσοφον καὶ φιλόθεον, καὶ πρὸ καιροῦ τοῖς ἄνω πολιτευόμενον. οἳ καὶ τἄλλα ὄντες εἰρηνικοί τε καὶ μέτριοι, τοῦτό γε οὐ φέρουσιν ἐπιεικεῖς εἶναι, θεὸν προδιδόναι διὰ τῆς ἡσυχίας. ἀλλὰ καὶ λίαν εἰσὶν ἐνταῦθα, πολεμικοί τε καὶ δυσμαχώτατοι. τοιοῦτον γὰρ ἡ τοῦ ζήλου θερμότης, καὶ θᾶττον ἄν τι μὴ δέον προσκινήσειεν, ἢ δέον παραλείποι. συναπορρήγνυται δὲ, καὶ τῶν λαῶν οὐκ ἐλάχιστον. ὥσπερ αἱ ὀρνίθων ἀγέλαι, τοῖς προαναπτᾶσι συναναπταί, καὶ οὐδὲ νῦν ἔτι λήγει συναπτάμενον. τοῦτο ἀβασάνιστος ἡμῖν, ἕως περιῆν ὁ στῦλος τῆς ἐκκλησίας. καὶ τοῦτο ἐπειδή γε ταῖς ἐπηρείαις τῶν πονηρῶν ὑπεχώρησεν. ὥσπερ γὰρ οἱ φρούριόν τι τῶν καρτερῶν ἐξελεῖν βουληθέντες, ἐπειδὰν ἄλλως ἴδωσι δυσπρόσιτον καὶ δυσάλωτον ἐπὶ τὴν τέχνην χωροῦσιν.

εἶτα

Leges Romanas ignorare nemini licet.

ἔστι τις χρήμασιν ἢ δόλῳ τὸν φρούραρχον ὑποσπασάμενος, οὕτως ἤδη σὺν οὐδενὶ πόνῳ καὶ τῆς φρουρᾶς ἐκράτησεν. ἐβούλετο δὲ ὥσπερ οἱ τῷ σαμψὼν ἐπιβουλεύσαντες, τὴν κόμην πρότερον, ἐν ᾗ τὴν ἰσχὺν εἶχε, περιελόντες, τηνικαῦτα ὑπὸ χεῖρα τὸν κριτὴν ἔλαβον, εἶτ' ἐνέπαιζον ὅσα βουλομένοις ἦν, τῷ ἑλεῖν τὸν αἰδέσιμον δυναστείας ἀντίῤῥοπα. οὕτω γὰρ καὶ οἱ καθ' ἡμᾶς ἀλλόφυλοι, τὸ ἡμέτερον κράτος ἐκποδὼν ποιησάμενοι, καὶ τὴν δόξαν τῆς ἐκκλησίας ἀποκείραντες, οὕτως ἤδη τοῖς τῆς ἀσεβείας ἐντρυφῶσι δόγμασί τε καὶ πράγμασι. τούτῳ καὶ μεταλλάττει μὲν τὸν βίον ὁ τῆς [illegible] πρῶτος βεβαιωτὴς καὶ προστάτης, κακὸν οὐ κακῶς βασιλείας τὸ κεφάλαιον ἐπιθεὶς, καὶ ἀνόνητα μεταγνοὺς, ὥς φασιν, ἐπὶ ταῖς τελευταίαις ἀναπνοαῖς, ἡνίκα εὐγνώμων ἕκαστος τῷ ἴσῳ τοῦ κριτοῦ δὴ τὸ ἐκεῖ δικαστήριον. τρία γὰρ ταῦτά οἱ συνεγνωκέναι κακὰ, καὶ τὴν ἴσω τῆς βασιλείας ἀνάξια, τὸν τῶν συγγενῶν φόνον, καὶ τὴν ἀνάῤῥησιν τοῦ ἀποστάτου, καὶ τὴν καινοτομίαν τῆς πίστεως. καὶ ταύταις συναπελθεῖν λέγεται ταῖς φωναῖς. ἐξουσίαν δὲ αὖθις ὁ τῆς ἀληθείας λόγος λαμβάνει, καὶ παῤῥησίαν οἱ βιασθέντες αὐτόνομον, τοῦ ζήλου τὸν θυμὸν ἀνήγοντος, ὃ δὴ καὶ τὴν ἀλεξανδρέων ἔπαθε δῆμος (οἷος ἐκεῖνος περὶ τοὺς ὑβριστὰς) οὐκ ἐνεγκόντες τοῦ ἀνδρὸς τὴν ἀμετρίαν, καὶ διὰ τοῦτο ξένῳ μὲν θανάτῳ τὴν πονηρίαν, ξένῃ δὲ ὕβρει τὸν θάνατον στηλιτεύσαντες. ἴστε τὴν κάμηλον ἐκείνην καὶ τὸ ξένον φόρτον, καὶ τὸ καινὸν ὕψος, καὶ τὴν πρώτην τὴν πρόοδον. οἶμαι δὲ καὶ μόνην, τὰ μέχρι καὶ νῦν τοῖς ὑβρισταῖς ἀπειλούμενα. ἐπειδὴ ὁ τυφὼν τῆς ἀδικίας, ὁ τῆς εὐσεβείας φθορεὺς, ὁ τοῦ πονηροῦ πρόδρομος ταύτην ἐκπράττεται τὴν δίκην, ἐμοὶ μὲν οὐκ ἐπαινετὴν (οὐ γὰρ ἃ παθεῖν ἐκεῖνον ἐχρῆν, ἀλλ' ἃ ποιεῖν ἡμᾶς ἔδει σκοπεῖν) ἐκπράττεται δ' οὖν ὀργῆς πανδήμου καὶ φορᾶς ἔργον γενόμενος. ἐπάνεισι μὲν ἐκ τῆς καλῆς ἐκδημίας ὁ ἀθλητής· οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἐκείνου διὰ τὴν τριάδα καὶ μετὰ τῆς τριάδος φυγήν. οὕτω δὲ ἀσμένοις προσαπήντα τοῖς ἐν τῇ πόλει, καὶ μικροῦ τῇ αἰγύπτῳ πάσῃ, πανταχόθεν εἰς ταυτὸ συνδραμούσῃ, καὶ ἀπ' ἄκρων περάτων, ἵν' οἱ μὲν φωνῆς ἀθανασίου μόνης, οἱ δὲ τοῦ εἴδους ἐμφορηθῶσιν, οἱ δὲ ὃ περὶ τῶν ἀποστόλων ἀκηκόαμεν, τῇ σκιᾷ γοῦν ἁγιασθῶσι μόνῃ, καὶ τῷ κενῷ τύπῳ τοῦ σώματος, ὥστε πολλῶν πολλάκις καὶ πολλοῖς ἤδη γεγενημένων ἐκ τοῦ παντὸς χρόνου τιμῶν τε καὶ ἀπαντήσεων, οὐκ ἀρχικοῖς μόνον δημοσίοις καὶ ἰδιώταις, ἀλλὰ καὶ τὴν οἰκείαν τοῖς ἐπιφανεστέροις, μηδὲ μίαν ταύτης μνημονεύεσθαι πολυανθρωποτέραν. εἰ δὲ ἦν ταύτῃ μόνον παραβαλεῖν, αὐτὴν ἀθανάσιον καὶ τὴν αὐτοῦ προτέραν συντεθεῖσαν, ἐπὶ τῇ προτέρᾳ ταύτῃ εἰσόδῳ τι μικρὸν, ἡνίκα ἐκ τῆς αὐτῆς καὶ ἐπὶ τοῖς αὐτοῖς ἐπανῄει φυγῆς. φέρεται καὶ τοιοῦτός τις ἐπ' ἐκείνῃ τῇ τιμῇ λόγος. λεγέσθω γὰρ εἰ καὶ περιττότερον, διότι ἥδυσμά τι τῷ λόγῳ καὶ αὐτὸς ἐπεισόδιον. εἰσελαύνει τις τὴν δυσωπίαν τὴν μετ' ἐκείνην τὴν εἴσοδον. ἡμέτερος οὗτος ἦν. καππαδόκης γὰρ καὶ τὴν πατρίδα, τὸν φιλάγριον ἐκεῖνον οἶδ' ὅτι πάντες ἀκούετε, καὶ τὸν φίλτρον, διὸ οὐκ ἄλλο καὶ παρ' ἄλλον, καὶ ἡ τιμὴ καὶ τὸ φίλτρον, ἵνα μικρῷ λόγῳ παραστήσω, τὸ πᾶν γνώρισμα, ὃν δὴ ἡ ἀρχὴ πρεσβείᾳ τε τῆς πόλεως, καὶ ψήφῳ τοῦ βασιλέως, αὖθις ἐγχειρισθεῖσα τούτῳ συνῆγε τὸν δῆμον, ἐπειδὴ οἱ φασὶν τὸ πλῆθος ἄπειρον, καὶ οἷόν τι πέλαγος οὐχ ὁρίζον τοῖς ὀφθαλμοῖς, πρός τινα λέγεται τῶν ἑαυτοῦ συνήθων καὶ φίλων, ὃ φιλεῖ συμβαίνειν ἐν τοῖς τοιούτοις, ἀπεῖν· εἰπέ μοι ὦ βέλτιστε, ἤδη ποτὲ τεθέασαι δῆμον τοσοῦτον, καὶ οὕτως ἔμψυχον, ἐφ' ἑνὸς ἀνθρώπου τιμῇ χυθέντα; οὐ φάναι τὸν νεανίαν· ἀλλ' ἐμοὶ μὲν δοκεῖ, μηδ' ἂν αὐτὸν ταύτης τυχεῖν κωνστάντιον. ὡς τοῦ ἀκροτάτου τῆς τιμῆς δηλουμένου διὰ τοῦ βασιλέως. τὸν δὲ γελάσαντα μάλα κομψὸν καὶ ἡδὺ, τί τοῦτο ἔφης εἰπεῖν, ὡς δή τι λέγων μέγα καὶ θαυμαστόν; μόλις ἂν οἶμαι, καὶ ἀθανάσιον οὕτως εἰσαχθῆναι τὸν μέγαν, καὶ ἅμα ὅρκον τινὰ προσθεῖναι τὴν ἐπιχωρίαν, εἰς τὴν τοῦ λόγου βεβαίωσιν. ἐβούλετο δὲ ὁ λόγος αὐτοῦ, ὃ καὶ ὑμῖν οἶμαι δῆλον, καὶ βασιλέως αὐτοῦ ἔμπροσθεν ἄγειν, τὸν νῦν εὐφημούμενον. τοσοῦτον ἦν παρὰ πᾶσι τοῦ ἀνδρὸς τότε σέβας, καὶ τοσαύτη τῆς μνημονευομένης εἰσόδου νῦν ἡ κατάπληξις. κατὰ γοῦν γένη, καὶ ἡλικίας, καὶ τέχνας διαιρεθέντες (φιλοῦσι γὰρ μάλιστα ἡ πόλις αὕτη οὕτω διακοσμεῖσθαι, ὅταν τινὶ πλέκωσι τιμὴν δημοσίαν. πῶς ἂν παραστήσαιμι τῷ λόγῳ, τὸ μέγα ἐκεῖνο θέαμα) ποταμὸς ἦσαν εἷς. ποιητοῦ δὲ ἦν ἄρα καὶ τὸν νεῖλον εἰπεῖν τὸν χρυσοῤῥόαν ὄντως καὶ εὔσταχυν, ἔμπαλιν ἐκ τῆς πόλεως ἐπὶ τὴν χώραν ῥέοντα, ἡμερησίαν ὁδὸν οἶμαι καὶ περαιτέρω. δότε μοι μικρὸν ἔτι ἐντρυφῆσαι τῷ διηγήματι. ἐκεῖσε γὰρ εἰμὶ, καὶ οὐδὲ ἀπαχθῆναι τῶν λόγων τῆς πομπῆς ἐκείνης ῥᾴδιον. πῶλος μὲν ἦγεν αὐτὸν, καὶ μή μοι τῆς ἀγνοίας μέμψησθε, ὡς μικρὰ τὸν ἐμὸν ἰησοῦν ὁ πῶλος ἐκεῖνος, εἴτ' οὖν ὁ ἐξ ἐθνῶν λαὸς, ὃν εὖ ποιῶν ἐπιβαίνει τὰ τῆς ἀγνοίας δεσμὰ λύων, εἴτε τι ἄλλο βούλεται παραδηλοῦν ὁ λόγος. κλάδοι δὲ αὐτὸν ὑποδέχονται, καὶ στρωμνὰς ἱματίων πολυανθῶν τε καὶ ποικίλων προσῤῥιπτουμένων τε καὶ ὑποῤῥιπτουμένων. ἃ τοιαῦτα μόνον ἀτιμασθέντος τοῦ ὑψηλοῦ καὶ πολυτελοῦς καὶ τὸ ἴσον μὴ ἔχοντος, εἰκὼν καὶ αὕτη τῆς ἐπιδημίας χριστοῦ, καὶ οἱ προβοῶντες καὶ χορεύοντες. πλὴν ὅτι οὐ παίδων ὅμιλος μόνον τὸ εὐφημοῦν ἦν,

o ἀλλὰ

Constantij mors.

Tria peccata sibi conscia Constantius dixit.

Georgius ab Alexandrinis interfectus.

Athanasius redit.

Ingressum Athanasij cum Christi ingressu quodam modo confert.

Nota quid significarit id, quod Christus asino pullo solet insidere voluit

Θεοκάπηλοι, καὶ χριστέμποροι

ἀλλὰ καὶ πᾶσι γλῶσσα σύμφωνος καὶ ἀντίθετος, καὶ ὑπ' ἀλλήλων ἐπειγομένων. ἐῶ γὰρ λέγειν κρότους παντοδαπούς, καὶ μύρων ἐκχύσεις καὶ παννυχίδας, καὶ πᾶσαν φωτὶ καταστραπτομένην τὴν πόλιν, καὶ δημοσίας ἑστιάσεις καὶ οἰκιδίους, καὶ ὅσοις αἱ πόλεις τὰς φαιδρότητας ἐπισημαίνουσιν, ἃ τότε μετὰ ὑπερβολῆς ἐκείνῳ καὶ πέρα τοῦ εἰκότος ἐχαρίζετο. οὕτω τὴν ἑαυτοῦ πόλιν ὁ θαυμάσιος ἐκεῖνος, καὶ μετὰ τοιαύτης καταλαμβάνει τῆς πανηγύρεως. ἆρ' οὖν ἴδιον μὲν, ὥσπερ εἰκὸς, τὸν λαοῦ τοιούτου προεστηκότα. ἐδίδαξε δὲ οὐχ ὡς βεβίωκεν; ἠγώνισται δὲ οὐχ ὡς ἐδίδαξεν; ἐκινδύνευσε δὲ τῶν ὑπὲρ τοῦ λόγου τινὸς ἠγωνισμένων ἔλαττον; τετίμηται δὲ ὧν ἠγώνισται μεῖζον; κατῄσχυνε δέ τι τῶν τῆς εἰσόδου μετὰ τὴν εἴσοδον; οὐδαμῶς. πάντα δὲ ἀλλήλοις ἐχόμενα. ὥσπερ ἐν λύρᾳ μιᾶς, καὶ τῆς αὐτῆς ἁρμονίας, ὁ βίος, ὁ λόγος, οἱ ἀγῶνες, οἱ κίνδυνοι, τὰ τῆς ἐπανόδου, τὰ μετὰ τὴν ἐπάνοδον. ὁμοῦ τε γὰρ τὴν ἐκκλησίαν καταλαμβάνει, καὶ οὐ πάσχει ταυτὸν τοῖς δι' ἀμετρίαν ὀργῆς τυφλώττουσι. καὶ ὅ, τι ἂν ἐπιστῇ, τοῦτο παίουσι καὶ ἀπωθοῦσι. κἂν τι τῶν φειδοῦς ἄξιον ὂν τύχοι, τοῦ θυμοῦ δυναστεύοντος. ἀλλὰ τοῦτον μάλιστα εὐδοκιμήσεως καιρὸν εἶναι νομίσας, ἐπειδὴ τῶν πάσχοντα κακῶς ἀεὶ μετριώτερον, τῶν δὲ ἐν ἐξουσίᾳ τοῦ ἀντιφέρειν ἀκρατέστερον. οὕτω πρᾴως καὶ ἠπίως τοὺς τῶν λελυπηκότων μεταχειρίζεται, ὡς μηδὲ αὐτοῖς ἐκείνοις οἷόν τε εἶναι εἰπεῖν, ἀηδῆ γενέσθαι τοῦ ἀνδρὸς τὴν ἐπάνοδον. καθαιρεῖ μὲν γὰρ τὸ ἱερὸν, τῶν θεοκαπήλων καὶ χριστεμπόρων, ἵνα καὶ τοῦτο, τὸν Χριστοῦ μιμήσηται. πλὴν ὅσον οὐ φραγελλίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τοῦτο ἐργάζεται. καταλλάττει δὲ τοὺς στασιάζοντας, πρός τε αὐτοὺς καὶ ἑαυτὸν, οὐδενὸς τῶν συναιρόντων προσδεηθείς. λύει δὲ τοῖς ἠδικημένοις τὰς τυραννίδας, οὐδὲν διακρίνων τοὺς τοῦ αὐτοῦ μερίδος καὶ τοῦ ἐναντίας. ἀνίστησι δὲ τὸν πεπτωκότα λόγοις. παῤῥησιάζεται δὲ ἡ τριὰς πάλιν ἐπὶ τὴν λυχνίαν τεθεῖσα, καὶ λαμπρῷ τῷ φωτὶ τῆς μιᾶς θεότητος, τὰς πάντων ψυχὰς ἀναστράπτουσα. νομοθετεῖ δὲ τῇ οἰκουμένῃ πάλιν, ἐπιστρέφει δὲ πρὸς ἑαυτὸν πάντων διανοίας, τοῖς μὲν ἐπιστέλλων, τοὺς δὲ διδάσκων. ἔστι δὲ οὓς καὶ ἀκλήτους προσιόντας σοφίζων, νόμον ἕνα προτιθεὶς τὸ βούλεσθαι. καὶ γὰρ τοῦτο μόνον ἀρκοῦν ὑπέρεισμα πρὸς ὁδηγίαν τοῦ κρείττονος, ἐν κεφαλαίῳ δὲ εἰπεῖν δύο λίθων μιμεῖται φύσεις ἐπαινουμένων. γίνεται γὰρ τοῖς μὲν παίουσιν ἀδάμας, τοῖς δὲ στασιάζουσι μαγνῆτις, ἀῤῥήτῳ φύσεως βίᾳ τὸν σίδηρον ἕλκουσα, καὶ τῶν στεῤῥοτάτων ὑλῶν οἰκειουμένη. ἀλλ' οὐ γὰρ ἔμελλε ταῦτα ἄσειστος ὁ φθόνος, οὐδὲ τὴν ἐκκλησίαν ὁρᾶν αἴρεσθαι πάλιν ἐπὶ τῆς αὐτῆς δόξης, καὶ τῆς παλαιᾶς ὑγείας. τάχιστα τοῦ δεσπότου συνουλωθέντος, ὥσπερ ἐν σώματι, διὰ τοῦτο ἐπανίστησιν αὐτῷ τὸν συναποστάτην ἑαυτοῦ βασιλέα, καὶ τὴν κακίαν ὁμότιμον. χρόνῳ μόνῳ λειπόμενον, ὁ πρῶτος Χριστιανῶν βασιλέων, καὶ τὰ Χριστοῦ μανεὶς, καὶ ὃν ὠδίνε πάῤῥωθεν ἐν ἑαυτῷ βασιλίσκον τῆς ἀσεβείας ἀναῤῥήξας ἀθρόως, ἐπειδὴ καιρὸν ἔλαβεν. ὁμοῦ τε αὐτοκράτωρ ἀναδείκνυται, καὶ κακὸς μὲν περὶ τὸν τεθεικότα βασιλέα τὰ βασίλεια γίνεται, κακίων δὲ περὶ τὸν δεδωκότα θεὸν, καὶ διωγμὸν ἐννοεῖ τῶν πώποτε γεγονότων ἀπανθρωπότατον, δόλῳ τὸ πιθανὸν τῇ τυραννίδι μίξας. ἐφθόνει γὰρ τοῖς πάσχουσι, καὶ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς, ἀμφίβολον ἐποίει καὶ τὸ τῆς ἀνδρείας φιλότιμον, τὰς ἐν τοῖς λόγοις στροφὰς καὶ πλοκὰς, καὶ περὶ ἐκεῖνα σπουδάσας, καὶ τὸ οἰκεῖον αὐτῷ πονηρὸν, τῆς πολυτεχνίας μιμούμενος. οὗτος μικρὸν μὲν ἔργον ἐνόμισεν εἶναι, τὸ πάντων Χριστιανῶν περιέσεσθαι γένος. μέγα δὲ τὸ Ἀθανασίου κρατῆσαι, καὶ τῆς ἐκείνου περὶ τὸν λόγον ἡμῶν δυνάμεως. καὶ γὰρ ἑώρα μηδὲν ὂν αὐτῷ πλέον τῆς καθ' ἡμῶν ἐννοίας, διὰ τὴν τοῦ ἀνδρὸς ἀντιπαράταξιν καὶ ἀντίθεσιν, ἀεὶ τοῦ καινουμένου Χριστιανῶν ἀναπληρουμένου διὰ τῆς Ἑλληνικῆς προσθήκης, καὶ τῆς ἐκείνου συνέσεως, ὃ καὶ παράδοξον. ταῦτ' οὖν ἐννοῶν καὶ ὁρῶν ὁ δεινὸς ἐκεῖνος παραλογιστὴς καὶ διώκτης, οὐδὲ ἐπὶ τοῦ πλάσματος μένει, καὶ τῆς σοφιστικῆς ἀπλαθείας, ἀλλὰ τὴν πονηρίαν γυμνώσας, φανερῶς ὑπερορίζει τὸν ἄνδρα τῆς πόλεως. ᾔδει γὰρ τρισὶ παλαίσμασι τὸν γενναῖον νικήσαντα, πλείονος τυχεῖν καὶ τῆς ἀναῤῥήσεως. μικρὸν τὸ ἐν μέσῳ, καὶ πεδήσας μὲν ἡ δίκη δεῦρο τὸν ἀλιτήριον, ἐκεῖ δικάζει, καὶ βασιλεία φιλότιμον παραπέμψασα, νεκρὸν, ἐπανάγει μηδὲ ἐλεούμενον. ὡς δὲ ἐγὼ τινὸς ἤκουσα, μηδὲ ὑπὸ τάφῳ προσλαμβανόμενον, ἀλλ' ὑπὸ τῆς σεισθείσης δι' αὐτὸν γῆς ἀποσειόμενον καὶ ἀναβρασσόμενον, προοίμιον οἶμαι τῆς ἐκεῖθεν κολάσεως. ἀνίσταται δὲ βασιλεὺς ἕτερος, οὐκ ἀναιδὴς τῷ προσώπῳ κατὰ τὸν προειρημένον, οὐδὲ τοῖς πονηροῖς ἔργοις καὶ ἐπιστάταις ἐκθλίβων τὸν Ἰσραὴλ, ἀλλὰ καὶ λίαν εὐσεβής τε καὶ ἥμερος, ὃς ἵνα ἀρίστην ἑαυτῷ προκαταστήσηται τὴν τῆς βασιλείας κρηπῖδα, καὶ ὅθεν δὴ τῆς δυναμίας ἄρξηται, λύει μὲν τοῖς ἐπισκόποις τὴν ἐξορίαν, τοῖς τε ἄλλοις ἅπασι, καὶ πρὸ πάντων τῷ πρὸ πάντων τῇ ἀρετῇ, καὶ προδήλως ὑπὲρ τῆς εὐσεβείας τεθλιμμένῳ. ζητεῖ δὲ τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν ὑπὸ πολλῶν διεσπασθεῖσαν, καὶ συγχυθεῖσαν, καὶ εἰς πολλὰς δόξας καὶ μοίρας νενεμημένην, ὥστε μάλιστα μὲν τὸν κόσμον ὅλον οἷόν τε συμφωνῆσαι, καὶ εἰς ἓν ἐλθεῖν τῇ συνεργίᾳ τοῦ πνεύματος. εἰ δ' οὖν, ἀλλ' αὐτόν γε μετὰ τῆς βελτίστης

Gradatio admirabilis. vide[?] Basiliam 85.

Athanasius adamas, et magnes.

Julianus apostata.

Athanasius iterum in exilium pellitur.

Juliani mors.

Terra ipsa Juliani cadaver reiecit.

Jovinianus.

τῆς πίστεως γενέσθαι, κἀκείνῃ παρασχεῖν τοῦ κράτους, καὶ παρ' ἐκείνης αὖ τι λαβεῖν λίαν ὑψηλῶς τε καὶ μεγαλοπρεπῶς, περὶ τὴν μεγίστην διανοούμενος, ἔνθα δὴ καὶ μάλιστα δὴ ἐδείχθη τοῦ ἀνδρὸς ἡ καθαρότης, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. τῶν γὰρ ἄλλων ἁπάντων ὅσοι τοῦ καθ' ἡμᾶς λόγου τυχεῖν κεκριμένων, καὶ πολλῶν μὲν ὄντων τῶν περὶ τὸν υἱὸν ἀρρωστούντων, πλειόνων δὲ τῶν περὶ τὸ πνεῦμα τὸ ἅγιον, ἔνθα καὶ τὸ ἧττον ἀσεβεῖν, ἀσέβεια ἐνομίσθη, ὀλίγων δὲ τῶν κατ' ἀμφότερα ὑγιαινόντων, πρῶτος καὶ μόνος ἢ κομιδῇ σὺν ὀλίγοις ἀποτολμᾷ τὴν ἀλήθειαν, σαφῶς οὑτωσὶ καὶ διαρρήδην, τῶν τριῶν μίαν θεότητα καὶ οὐσίαν ἐγγράφως ὁμολογήσας, καὶ ὃ περὶ πολλῶν τῶν πατέρων ἀριθμῷ περὶ τὸν υἱὸν ἐχαρίσθη πρότερον, τοῦτο περὶ τοῦ ἁγίου πνεύματος αὐτὸς ἐμπνευσθεὶς ὕστερον, καὶ δῶρον βασιλικὸν ὄντως καὶ μεγαλοπρεπὲς τῷ βασιλεῖ προσκομίζων, ἔγγραφον τὴν εὐσέβειαν κατὰ τῆς ἀγράφου καινοτομίας. ἵνα βασιλεῖ μὲν βασιλεύς, λόγῳ δὲ λόγος, γράμματι δὲ γράμμα καταπαλαίηται. ταύτην μοι δοκοῦσιν αἰδούμενοι τὴν ὁμολογίαν οἵ τε τῆς ἑσπερίας, καὶ τῆς ἑῴας ὅσον βιώσιμον· οἱ δὲ μέχρι διανοίας ἀγαθοὶ τὸ εὐσεβεῖς, εἴ τι λέγουσιν αὐτοῖς πιστευτέον. περαιτέρω δὲ μὴ προάγειν, ὥσπερ τι νεκρὸν κύημα ταῖς μήτραις ἐναποθνῄσκον, οἱ δὲ μικρὸν ἐξάπτειν ὥσπερ σπινθῆρα, ὅσον ἀφοσιοῦσθαι τὸν καιρόν, ἢ τὴν ὀρθοδόξων τῶν θερμοτέρων, ἧς ἂν εἴην ἐγὼ μερίδος. οὐ γὰρ τολμῶ τι πλέον καυχήσασθαι, μηκέτι τὴν ἐμὴν δειλίαν οἰκονομῶν, ὡς δὴ τὴν τῶν συνετωτέρων διάνοιαν (ἱκανῶς γὰρ ᾠκονομήσαμεν, μήτε τὸ ἀλλότριον προσλαμβανόντων, καὶ τὸ ἡμέτερον φθειρόντων, ὃ κακῶν ὄντως ἐστὶν οἰκονόμων) ἀλλ' εἰς φῶς ἄγοντες τὸν τόκον, καὶ μηδὲ σπουδῆς ἐκτρέφειν, καὶ τοῖς ἅπασι τὴν ὄψεσι προσελθεῖς, ἀεὶ πλεονεκτούμενοι. τοῦτο μὲν οὖν ἧττον ἐκείνου θαυμάζειν ἄξιον. ὁ γὰρ ἔργῳ τῆς ἀληθείας προκινδυνεύσας, τί θαυμαστὸν εἰ γράμματι ταύτην καθωμολόγησεν; ὃ δὲ μάλιστα τοῦ ἀνδρὸς θαυμάζειν ἔπεισι, καὶ ζημία τὸ σιωπᾶν διὰ τὸν καιρὸν μάλιστα πολλὰς ποιοῦντος τὰς διαστάσεις, τοῦτ' ἔτι προσθήσω τοῖς εἰρημένοις. γένοιτο γὰρ ἄν τι παίδευμα καὶ τοῖς νῦν ἡ πρᾶξις, εἰ πρὸς ἐκεῖνον βλέποιμεν. ὡς γὰρ ὕδατος οὐ τοῦτο μόνον ὅσον ἡ χεὶρ ἀφῆκεν ἀρυομένη, ἀλλὰ καὶ ὅσον τῇ χειρὶ παρεξέδυ τῶν δακτύλων ἐκρέον, οὕτω καὶ ἡμῶν οὐχ ὅσον ἀσεβὲς χωρίζεται μόνον, ἀλλὰ καὶ ὅσον εὐσεβέστερον, οὐ περὶ δόγματα μόνον μικρῶν καὶ παροραθῆναι ἀξίων, ἧττον γὰρ ἂν ἦν τοῦτο δεινόν, ἀλλ' ἤδη καὶ περὶ ῥήματα τὴν εἰς τὴν αὐτὴν φέροντα διάνοιαν. τῆς γὰρ μιᾶς οὐσίας, καὶ τῶν τριῶν ὑποστάσεων λεγομένων μὲν ὑφ' ἡμῶν εὐσεβῶς, τὸ μὲν γὰρ τὴν φύσιν δηλοῖ τῆς θεότητος, τὸ δὲ τὰς τῶν τριῶν ἰδιότητας, νοουμένων δὲ καὶ παρὰ τοῖς Ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένοις διὰ στενότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν, διελεῖν ἀπὸ τῆς οὐσίας τὴν ὑπόστασιν, καὶ διὰ τοῦτο ἀντεισαγούσης τὰ πρόσωπα, ἵνα μὴ τρεῖς οὐσίαι παραδεχθῶσι, τί γίνεται; ὡς λίαν γελοῖον καὶ ἐλεεινόν, πίστεως ἔδοξε διαφορά, ἡ περὶ τὸν ἦχον μικρολογία. εἶτα σαβελλισμὸς ἐνταῦθα ἐπενοήθη τοῖς τρισὶ προσώποις, καὶ ἀρειανισμὸς ταῖς τρισὶν ὑποστάσεσι, τὰ τῆς φιλονεικίας ἀναπλάσματα. εἶτα τί; προστιθεμένου μικροῦ τινος ἀεὶ τοῦ λυποῦντος, ὃ λυπηρὸν ἡ φιλονεικία ποιεῖ, κινδυνεύει συναπορραγῆναι ταῖς συλλαβαῖς τὰ πέρατα. ταῦτ' οὖν ὁρῶν καὶ ἀκούων ὁ μακάριος ἐκεῖνος, καὶ ὡς ἀληθῶς ἄνθρωπος τοῦ θεοῦ καὶ μέγας τῶν ψυχῶν οἰκονόμος, οὐκ ᾠήθη δεῖν περιιδεῖν τὴν ἄτοπον οὕτω καὶ ἄλογον τοῦ λόγου κατατομήν, τὸ δὲ παρ' ἑαυτοῦ φάρμακον ἐπάγει τῷ ἀρρωστήματι. πῶς οὖν τοῦτο ποιεῖ; προσκαλεσάμενος ἀμφότερα τὰ μέρη οὕτω πρᾴως καὶ φιλανθρώπως, καὶ τὸν νοῦν τῶν λεγομένων ἀκριβῶς ἐξετάσας, ἐπειδὴ συμφρονοῦντας εὗρε, καὶ οὐδὲν διεστῶτας κατὰ τὸν λόγον, τὰ ὀνόματα συγχωρήσας, συνδεῖ τοῖς πράγμασι. τοῦτο τῶν μακρῶν πόνων καὶ λόγων λυσιτελέστερον, οὓς πάντες ἤδη λογογραφοῦσιν, οἷς τις καὶ φιλοτιμία συνέζευκται, καὶ διὰ τοῦτο ἴσως τι καὶ καινοτομεῖται περὶ τὸν λόγον, τοῦτο τῶν πολλῶν ἀγρυπνιῶν καὶ χαμευνιῶν προτιμότερον, ὧν μέχρι τῶν κατορθούντων τὸ κέρδος, τοῦτο τῆς ἀοιδίμου ἐξορίας καὶ φυγῆς τοῦ ἀνδρὸς ἐπάξιον. ὑπὲρ γὰρ ὧν ὑπέστη τὰ πάθη ἐκεῖνα, ταῦτα μετὰ τὸ παθεῖν ἐσπούδαζε. τὸ δ' αὐτὸ κἀν τοῖς ἄλλοις ποιῶν διετέλει, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ πλήττων μετρίως· καὶ τῶν μὲν τὸ νωθρὸν διεγείρων, τῶν δὲ τὸ θερμὸν κατείργων· καὶ τῶν μὲν ὅπως μὴ πταίσωσι προμηθούμενος, τῶν δὲ ὅπως διορθωθεῖεν πταίσαντες, μηχανώμενος. ἁπλοῦς τὸν τρόπον, πολυειδὴς τὴν κυβέρνησιν, σοφὸς τὸν λόγον, σοφώτερος τὴν διάνοιαν, πρὸς τοῖς ταπεινοτέροις, ὑψηλότερος τοῖς μετεωροτέροις, φιλόξενος, ἱκέσιος, ἀποτρόπαιος, πάντα εἷς ἀληθῶς, ὅσα μεμερισμένως τοῖς ἑαυτῶν θεοῖς Ἑλλήνων παῖδες ἐπιφημίζουσι. προσθήσω δὲ ζύγιον, ἢ [illegible], καὶ εἰρηναῖον, ἢ διαλλακτήριον, καὶ πομπαῖον τοῖς ἐκδημεῖν ἐπειγομένοις. ὦ πόσοις με περικλείεις ἡ τοῦ ἀνδρὸς ἀρετή, πάντα [illegible] καλεῖν ἐθέλοντα. ζήσας δὲ οὕτω, καὶ παιδευθεὶς καὶ παιδεύσας, ὥστε ὅρον μὲν ἐπισκοπῆς εἶναι τὸν ἐκείνου βίον καὶ τρόπον, νόμον δὲ ὀρθοδοξίας τὰ ἐκείνου δόγματα, τίνα μισθὸν τῆς εὐσεβείας κομίζεται; οὐδὲ

γὰρ τοῦτο τῶν ἰδίων ἄξιον. ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον, καὶ προστίθεται τοῖς πατράσιν αὐτοῦ, πατριάρχαις, καὶ προφήταις, καὶ ἀποστόλοις, καὶ μάρτυσι, τοῖς ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένοις. καὶ ἵνα εἴπω τινὰ βραχὺν ἐπιτάφιον, τιμᾶται τῶν ἐνδίων τιμῶν τὴν ἐξόδιον πολυτελεστέραν· πολλὰ μὲν κινήσας δάκρυα, μείζονα δὲ τῆς ὁρωμένης τὴν περὶ αὐτὸν δόξαν ταῖς ἁπάντων διανοίαις ἐναποθέμενος. ἀλλ' ὦ φίλη καὶ ἱερὰ κεφαλή, ὃς καὶ λόγῳ καὶ σιωπῇ μέγα, καὶ μετὰ τῶν ἄλλων συγκαλῶν διαφερόντως τιμήσεις. ἡμῖν μὲν ἐνταῦθα στήσεις τὸν λόγον, εἰ καὶ τῆς ἀληθείας ἐνδεέστερον, ἀλλὰ τοῦ γε πρὸς δύναμιν οὐκ ἀπολειπόμενον. αὐτὸς δὲ ἄνωθεν ἡμᾶς ἐποπτεύοις ἵλεως· καὶ τὸν λαὸν τόνδε διεξάγοις τέλεον, τελείας τῆς τριάδος προσκυνητήν, τῆς ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρουμένης καὶ σεβομένης, καὶ ἡμᾶς εἰ μὲν εἰρηνικῶς, κατάγοις καὶ συμποιμαίνοις· εἰ δὲ πολεμικῶς, ἀπάγοις ἢ προσλαμβάνοις, καὶ στήσαις μετὰ σεαυτοῦ καὶ τῶν οἵων σύ, καὶ μέγα οὐ τοῦτο αἰτούμενος, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν. ᾧ πᾶσα δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΚΥΠΡΙΑΝΟΝ ΛΟΓΟΣ,

ἐξ ἀγροῦ μετὰ μίαν τῆς μνείας ἡμέραν ἐπανήκοντος.

Νικρὸς Κυπριανὸς διέφυγεν ἡμᾶς, ὦ τῆς ζημίας, καὶ ὑμεῖς ἀνέχεσθε, οἱ πάντων μᾶλλον τὸν ἄνδρα θαυμάζοντες, καὶ τοὺς δι' ἐκεῖνον τιμῶντες ἐκεῖνον τιμαῖς τε καὶ πανηγύρεσι. Κυπριανόν, οὗ καὶ τοῖς τἄλλα ἐπιλήσμοσι μεμνῆσθαι τῶν ἀναγκαίων. εἴπερ τῶν ἀρίστων μάλιστα μνημονευτέον, ὧν τὸ μεμνῆσθαι ὅσιόν τε ὁμοῦ καὶ ὠφέλιμον, ἀλλ' ἀποδῶμεν σὺν τόκῳ τὸ χρέος, ἵν' ἄρα προσοφείλοντες εὐπορούντες φανῶμεν, ἀλλὰ μὴ πάντα ὦμεν ἐνδεεῖς τε καὶ ὀκνηροί. εἰ δὲ καὶ λίαν ὀκνηροί, οὐδ' οὕτω συγγνώσεται ἡμῖν καὶ τῆς ὑπερημερίας, καὶ τῆς ὀκνίας. ἐπεὶ καὶ πάντα μεγαλόψυχος ὁ ἀνὴρ καὶ φιλόσοφος. μόνον ἂν οὕτω μὴ διέφυγεν ἡμᾶς, εὐχαριστήσωμεν. εὐχαριστήσωμεν δέ· καὶ γὰρ ἄξιον. ἀρκεῖ που δὲ οὕτως, ὡς εἰς καλὸν ὑμῖν ἐπαινέσωμεν, καὶ καλοῖς μέτροις θεοῦ, τοῦ πάντα ἐν σταθμῷ καὶ μέτρῳ διοικοῦντός τε καὶ διευθύνοντος ἐκ τῆς ἡσυχίας ἐπὶ τὸν λόγον, ἐκ τοῦ φιλομάρτυρος ἐπὶ μάρτυρας, ἐκ τῆς σωματικῆς ἀνέσεως ἐπὶ τὴν πνευματικὴν ἑστίασιν. ἐπιδοῦμεν ὑμᾶς ὦ τέκνα, καὶ αὐτοὶ ἐπιδοίημεν ἂν τοῖς ἴσοις μέτροις. πέπεισμαι γάρ, ὁρᾶτε πατρὸς εὐγνωμοσύνην, καὶ τὸ ἐμαυτοῦ λέγω, καὶ τὸ ὑμέτερον μαρτυρῶ, καὶ τοῦτο τὸ διαζευχθέντες ἀλλήλων, ὅσον ἂν τὸν πόθον γνωρίσαι, καὶ δοκιμάζειν τῇ ἀποστάσει, καθάπερ οἱ ζωγράφοι τοὺς πίνακας, πάλιν συνήλθομεν, ὡς μέγα μνήμης ἐμπύρευμα καὶ βραχεῖα συνήθεια τοῖς τε ἀγαπητικοῖς τὸν τρόπον, καὶ θεοῦ μιμουμένοις φιλανθρωπίαν. πῶς δὲ οὐκ ἐμέλλομεν οἱ Χριστοῦ μαθηταί, τοῦ κενωθέντος δι' ἡμᾶς μέχρι δούλου μορφῆς, καὶ ξένους ὄντας τῶν οὐρανίων, πρὸς ἑαυτὸν συναγαγόντος, ἀνθέξεσθαί τε καὶ περιέξεσθαι ἀλλήλων, καὶ τηρήσειν τὴν ἑνότητα τοῦ πνεύματος, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ὃ νόμου καὶ προφητῶν ἐστι μυστήριον, εἴτ' οὖν κεφάλαιον. ἓν μὲν δὴ τοῦτο τῆς εὐφροσύνης καὶ πρῶτον, τὸ ὡς τάχιστα προσδραμεῖν ἀλλήλοις καὶ περιπτύξασθαι. οὐδὲ γὰρ φέρει τὴν ἀναβολὴν ὁ ζῆλος, καὶ βίος ὅλος ἡμέρα μία, τοῖς πόθῳ κάμνουσι. δεύτερον δέ, ὃ καὶ μέγιστον, τὸ μὴ κατόπιν ἑορτῆς δραμεῖν, μηδὲ μαρτύρων μυσταγωγίας ἀπολειφθῆναι, καὶ τῆς ἐντεῦθεν ἐγγινομένης ἡμῖν τρυφῆς τε καὶ ἀναψύξεως. ἐγὼ γὰρ τἄλλα μὲν ὁμολογῶ παντὸς εἶναι νωθέστερος, καὶ πάντα πόθον ἀπεσεισάμην, ἀφ' οὗ Χριστῷ συνεταξάμην, καὶ οὐδὲν αἱροῦμαι τῶν ὅσα τερπνὰ τοῖς ἄλλοις καὶ περισπούδαστα. οὐ πλοῦτος ὁ κάτω συρόμενος καὶ περιτρεπόμενος, οὐ γαστρὸς ἡδοναί, τὸ κόρος πατὴρ ὕβρεως, οὐκ ἐσθῆτες μαλακαί τε καὶ περιρρέουσαι, οὐ λίθων διαυγεῖαι καὶ χάριτες, οὐκ ἀκοὴν γοητεύουσαι, οὐκ ὀσφρήσεις ἐκθηλύνουσαι, οὐ κρότοι δήμων καὶ θεάτρων ἐκμαίνοντες, ὧν πάλαι τοῖς βουλομένοις παρεχωρήσαμεν, οὐχ ὅσα τῆς πρώτης γενέσεως ἡμῶν ἐξῆς ἀπολαύομεν ἔκγονα, ἀλλὰ καὶ πολλὴν εὐήθειαν καταγινώσκω τῶν κρατοῦσθαι τούτοις ἀνεχομένων, καὶ τὸ τῆς ψυχῆς εὐγενὲς διαφθείρειν, τῇ περὶ ταῦτα μικροπρεπείᾳ, καὶ ὡς ἴσων προστιθεμένων τοῖς φεύγουσιν. ἐκεῖνο δὲ λίαν ἀπλήστως ἔχω καὶ περιέχομαι, καὶ τὸ πάθος ἐμαυτοῦ ἀποδέχομαι. μαρτύρων τιμαῖς ἐπιτέρπομαι, καὶ ἀθλητῶν αἵμασιν ἐπαγάλλομαι, καὶ ἄλλων μὲν οἱ ἆθλοι καὶ τὸ κρατεῖν, ἐμοὶ δὲ οἱ στέφανοι. τοσοῦτον προαρπάζω τῆς εὐκοσμίας, καὶ οὕτως οἰκειοῦμαι τὰ κατορθώματα. πᾶσι μὲν δὴ μάρτυσι πανηγυριστέον, καὶ πᾶσιν ἀνοικτέον ἑτοίμως καὶ γλῶσσαν, καὶ ἀκοήν, καὶ διάνοιαν, καὶ λέγοντάς τι προθύμως τῶν αὐτῶν καὶ ἀκούοντας, καὶ πάντα ἐλάττω νομίζοντας τῆς ἐκείνων ἀθλήσεως. καὶ γὰρ οὕτως ἔχει, πολλῶν ὄντων ἡμῖν εἰς ὁδηγίαν τοῦ κρείττονος, καὶ πολλῶν τῶν πρὸς ἀρετὴν παιδευμάτων, λόγου, νόμου, προφητῶν, ἀποστόλων, αὐτῶν τῶν τοῦ Χριστοῦ παθημάτων, τοῦ πρώτου μάρτυρος καὶ τὸν σταυρὸν ἀναλαβόντος, κἀμὲ συναγαγόντος, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν, καὶ τὸν ὄφιν θριαμβεύσῃ, καὶ τὸ ξύλον ἁγιάσῃ, καὶ τὴν ἡδονὴν νικήσῃ, καὶ τὸν Ἀδὰμ ἀνασώσῃ, καὶ τὴν εἰκόνα τε

συζεῖ ἀνακαλέσηται, τοσούτην οὖσαν ἡμῖν, καὶ τοιαύτην, οὐδὲν ἔλαττον ἡμῖν εἰς παιδαγωγίαν οἱ μάρτυρες. ὁλοκαυτώματα λογικά, θύματα τέλεια, προσφοραὶ δεκταί, τῆς ἀληθείας κηρύγματα, τῆς ψευδοῦς στηλιτεύματα, νόμου συμπλήρωσις, τῆς γε πραγματικῶς νοουμένης, πλάνης κατάλυσις, κακίας διωγμός, ἁμαρτίας κατακλυσμός, κόσμου καθάρσιον. σὺ δέ μοι Κυπριανὲ τὸ τιμιώτατόν μοι καὶ πρᾶγμα καὶ ὄνομα, πλέον ἢ κατὰ τῶν ἄλλων μαρτύρων. φθόνος δ' οὐδεὶς περὶ μαρτύρων μάρτυσιν, ἐπεὶ σοῦ διαφερόντως ἐπημμαί τι τῆς ἀρετῆς, καὶ τῇ μνήμῃ κουφίζομαι. καὶ ὥσπερ ἐνθέων ὑφ' ἡδονῆς γίνομαι, καὶ τινα ζῆλον συνίημί τι τῇ μαρτυρίᾳ καὶ κοινωνῶ τῆς ἀθλήσεως, καὶ ὅλος πρὸς σὲ μεθίσταμαι. τάχα μὲν διὰ τὴν τῶν λόγων οἰκείωσιν, οἷς τοσοῦτον τῶν ἄλλων ἐκράτεις, ὅσον τὰ λογικὰ τῆς ἀλόγου φύσεως. συγχωρείσθω γὰρ οὐκ οἶδ' ὅπως φίλτερον τοῖς κατά τι συναπτομένοις, οὐχ ἧττον τοῖς λοιποῖς πράγμασιν, ἢ τοῖς τῆς ἀγχιστείας αἵματος. τάχα δὲ διὰ τὸ τῆς μεταβολῆς ἀθρόον τε καὶ παράδοξον, ὃ κρεῖττον λόγου καὶ παραδείγματος. ἐπεὶ ἡλίκον μὲν ἥλιος μετὰ νέφος, ὅν πως συνεκάλυπτεν. ἡλίκον δὲ τὸ ἔαρ, τὸ μετὰ χειμῶνος κατήφειαν. ἡδίων δὲ μειδιῶσα γαλήνη. καὶ θάλασσα ἐπαλωμένη καὶ ταῖς ἀκταῖς προσπαίζουσα μετὰ πνευμάτων στάσιν, καὶ ὠδίνοντα κύματα. οὗτος Κυπριανός, ὦ ἄνδρες, ἵνα οἱ μὲν εἰδότες ἥδιον γένησθε τῇ ὑπομνήσει, οἱ δὲ ἀγνοοῦντες μάθητε τὸ κάλλιστον τῶν ἡμετέρων διηγημάτων, καὶ τὴν κοινὴν χριστιανῶν φιλοτιμίαν. οὗτος ἐκεῖνος, τὸ μέγα ποτὲ Καρχηδονίων ὄνομα, νῦν δὲ τῆς οἰκουμένης ἁπάσης ὁ πλούτῳ περιφανής, ὁ δυναστείᾳ περίβλεπτος, ὁ γένει γνώριμος, εἴ γε μέγιστον εἰς εὐγένειαν ἀπόδειξιν, συγκλήτου βουλῆς μετουσία, καὶ προεδρία, ὁ τῆς νεότητος ἄνθος, τὸ τῆς φύσεως ἄγαλμα, ὁ τὴν λόγοις κράτιστος, τήν τε κατὰ φιλοσοφίαν, ὁ ὅσοι τῆς ἄλλης παιδεύσεως, καὶ τούτων ὁ βουλόμενος ὡς μᾶλλον μὲν τὸ ποικίλον ἢ τὸ ἄκρον, ἐν ἑκάστῳ θαυμάζεσθαι, μᾶλλον δὲ τὸ εὐδόκιμον ἐν ἑκάστῳ τῶν περὶ ταῦτα φιλομαθίας. ἵνα διέλω σαφέστερον, τῶν μὲν τῷ ποικίλῳ, τῶν δὲ τῷ ἄκρῳ. ἐστὶ δὲ ὧν ἀμφοτέροις, πᾶσι δὲ ταύτῃ ἐκράτει. τῶν μὲν οὖν λόγων, καὶ οἱ λόγοι μαρτυροῦσιν, οὓς πολλοὺς καὶ λαμπροὺς ἐκεῖνος ὑπὲρ ἡμῶν καταβέβληται. ἐπειδή γε μετελήλυθε θεοῦ φιλανθρωπίᾳ τῇ παιδεύσει, τοὺς κρίνοντας τὰ ταῦτα καὶ μετασκευάζοντος πρὸς τὸ βέλτιον, καὶ τῷ λόγῳ τὴν ἀλήθειαν ὑποκλίνων. ἐνταῦθα δὲ γενόμενος, οὐκ οἶδ' ὅπως χρήσωμαι τῷ λόγῳ, καὶ τίς γένωμαι, πῶς μὲν μακρὸν ἀποτείνω λόγον καὶ ταῦτα πλεῖστος ἔξω τοῦ καιροῦ, ταύτην τὴν Κυπριανοῦ μεμνημένος. πῶς δὲ μὴ τὰ μέγιστα ζημιώσω τοὺς παρόντας, τοῖς σιωπωμένοις. ἐν δὲ μέσῃ βαδίσω τοῦ καιροῦ, καὶ τῆς τῶν ἀκουόντων, οὕτω μοι δοκεῖ ποιητέον εἶναι. τὰ μὲν ἄλλα παρεῖναι τοῖς εἰδόσιν, ἐκδιδάσκειν τοὺς ἀγνοοῦντας, εἴπερ εἰσί τινες, ἵν' ἀμφότεροι εὐεργετῶνται ὁμοίως. καὶ οἱ διδάσκοντες τὰ ἐκείνου, καὶ οἱ μανθάνοντες. ἐπειδὴ καὶ τὸ μεμνῆσθαι τοῦ αἰδοῦς, ἁγιασμός, καὶ μέγιστον εἰς παράκλησιν ἀρετῆς ὁ λόγος. οἷος δὲ ἦν οὗτος τῶν ἐκείνου διὰ βραχέων ἐπιμνησθῆναι, καὶ τούτων ὅσα μηδὲ βουλομένῳ παρελθεῖν δυνατόν. μνησθήσομαι δὲ τοῦ προτέρου βίου καὶ ἥτις αὐτῷ γέγονεν ἐπιστροφῆς ὁδός, καὶ τίς ἡ κλῆσις, καὶ ἡ πρὸς τὸ κρεῖττον μετάθεσις. ἐκεῖνο μέν γε λίαν ἀγεννὲς καὶ μικρόψυχον οἴεσθαι καθυβρίζεσθαι τὸν ἀθλητήν, τῇ μνήμῃ τῶν σκαιοτέρων. ἐπεὶ οὕτω καὶ Παῦλος ἡμῖν οὐκ ἐπαινετὸς ὁ μέγας, καὶ Ματθαῖος ὁ τελώνης ἐν τοῖς κακίστοις, καὶ Κυπριανὸς αὐτός. ὁ μὲν τῶν προτέρων ἑαυτοῦ διωγμῶν μεμνημένος, καὶ τοῦ τοῦ ζήλου μετὰ θάρσους, ἵν' ἐκ τοῦ παρ' ἐλπίδα μᾶλλον δοξάσῃ τὴν εὐεργεσίαν. ὁ δὲ τὴν τελωνίαν ἑαυτοῦ προστιθεὶς ἐν τῇ τῶν μαθητῶν ἀπαριθμήσει, ὥσπερ ἄλλο τι τῶν τιμίων ἐπίσημον. ὁ δὲ καὶ μακρῷ λόγῳ στηλιτεύων τὴν προτέραν ἑαυτοῦ κακίαν, ἵνα καὶ τοῦτο θεῷ καρποφορήσῃ, τὴν ἐξαγόρευσιν, καὶ πολλοῖς ὁδὸς γένηται τῆς χρηστοτέρας ἐλπίδος, τῶν ἀπὸ κακίας ἐπιστρεφόντων. τίς οὖν ἡ κακία, καὶ σκοπεῖτε, ὅση καὶ ἡλίκη τὸ μέγεθος. δαιμόνων ἦν θεραπευτής, ὁ Χριστοῦ μαθητὴς ὕστερον. καὶ διώκτης πικρότατος, ὁ μέγας τῆς ἀληθείας ἀγωνιστής. καὶ λόγῳ καὶ ἔργῳ ταράσσων τὴν ἡμετέραν ὁδόν, διὰ τὸ ἐν ἀμφοτέροις κράτος. ὁ κράτιστος ἀμφότερα μετὰ τοῦτο χριστιανοῖς ὅσον κακὸν καὶ χρηστὰ τούτοις προσιέμενος, τῶν ἐκείνου τὸ γνωριμώτατον, ὅσῳ δεινότεροι καὶ ἀπληστίᾳ σώματος, ἣ καὶ τοὺς τἆλλα σοφοὺς ἐκμαίνειν δύναται, καὶ χεῖρον φονεῦ βιάζεται, καθάπερ ὑβριστὴς πῶλος τὸν λογισμὸν συναρπάζουσα. ἥκει δὲ ἡμῖν ἐπ' αὐτῷ τὸ κεφάλαιον ὁ λόγος. καὶ μὴ πρὸς τὰ πρῶτα τις ὁρῶν Κυπριανοῦ, ταῖς ἡδοναῖς ἐφιέτω, τοῖς δὲ τελευταίοις σωφρονιζέσθω. παρθένος τις ἦν κάλλει περίβλεπτος, τῶν εὐπατριδῶν καὶ κοσμίων, ἀπρεπὴς μὲν τὴν ὥραν τοῦ σώματος, ζηλωτὴ δὲ τὸν τρόπον. τήν τε γὰρ μορφὴν ἀξιέραστος ἦν, καὶ ψυχῆς ἀρετὴν ἀξιάγαστος. ταῦτα γὰρ ἡ φήμη διήγγελλεν, καὶ τῆς νεανίας ἐξεπλήττεν, ὁρῶντα μὲν κάλλος ἐξαίσιον, ἀκούοντα δὲ τρόπον ἐφάμιλλον. ἀκούει τις παρθένον, καὶ συναγάλλεσθε. μᾶλλον δὲ καὶ τῶν ὑπὸ ζυγόν, ὅσοι σώφρονές τε καὶ φιλοσώφρονες. κοινὸν γὰρ ἀμφοτέροις καλλώπισμα τὸ διήγημα. καὶ ἡ παρθένος καλὴ τῷ εἴδει σφόδρα. προσαδέτω ταύτῃ μεθ' ἡμῶν ὁ θεῖος Δαβίδ, πᾶσα ἡ δόξα λέγων τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. νύμφη Χριστοῦ

γνησία, κάλλος ἀπόβλεπτον, ἄγαλμα ἔμψυχον, ἀνάθημα ἄσυλον, τέμενος ἀνεπίβατον, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. προσαιδέτω γάρ τι καὶ Σολομῶν, μόνη Χριστῷ τηρουμένη. ταύτης ὁ μέγας ἐρᾷ Κυπριανὸς, οὐκ οἶδ' ὅθεν ἢ ὅπως τῆς πάντα ἀσφαλοῦς καὶ κοσμίας. ψαύουσι γὰρ ὀφθαλμοὶ λίχνοι καὶ τῶν ἀψαύστων, ὁ προχειρότατον ὀργάνων καὶ ἀπληστότατον. καὶ οὐκ ἐρᾷ μόνον, ἀλλὰ καὶ ἐπείρα. ὢ τῆς εὐηθείας, εἰ ταύτην συλήσειν ἤλπιζε· μᾶλλον δὲ τῆς ἀναισχυντίας, τοῦ τὰ τοιαῦτα τολμῶντός τε καὶ τολμᾶν πείθοντος. ἐκεῖνος καὶ εἰς τὸν παράδεισον ἀπ' ἀρχῆς παρεισδύνει κατὰ τοῦ πρώτου πλάσματος, καὶ μέσος ἀγγέλων ἵσταται τῶν Ἰὼβ ἐξεταστῶν, καὶ τὸ πλουταῖον κατ' αὐτοῦ τολμᾷ τοῦ δεσπότου, καταλύσοντος αὐτὸν καὶ θανατώσοντος, καὶ πεῖραν προσάγει τοῦ ἀπειράστου. ἐπειδὴ δεύτερον Ἀδὰμ εἶδεν τὸν Θεὸν τὸν φαινόμενον, ὡς καὶ τοῦτον καταπαλαίσων. ἠγνόει γὰρ ὁ πολυτροπώτατος ὅτι ἦν, προσδραμὼν ἀνθρωπότητι. τί οὖν θαυμαστὸν, εἰ καὶ διὰ Κυπριανοῦ πειρᾶται τῆς ἁγίας ψυχῆς, ἢ τοῦ ἀνεπάφου σώματος; πλὴν ὁ μὲν ἐπείρα, καὶ προαγωγῷ χρῆται οὐ γυναίῳ τινὶ παλαιῷ τῶν πρὸς ταῦτα ἐπιτηδείων, ἀλλὰ δαιμόνων τινὶ τῶν φιλοσωμάτων καὶ φιληδόνων. ἐπειδὴ ταχεῖαι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν αἱ ἀποστατικαὶ δυνάμεις καὶ φθοροποιαὶ, πολλοὺς κοινωνοὺς ζητοῦσαι τοῦ πτώματος. καὶ ὁ μισθὸς τῆς προαγωγίας, θυσίαι τε καὶ σπονδαὶ, καὶ ἡ δι' αἱμάτων καὶ κνίσσης οἰκείωσις, τοιοῦτος γὰρ ἤδη μισθὸς ἐστὶ τοῖς τὰ τοιαῦτα χαριζομένοις. ἡ δὲ ὡς ᾔσθετο τοῦ κακοῦ, καὶ τὴν ἐπιβουλὴν ἔγνω. ταχύτεραι γὰρ αἱ καθαραὶ ψυχαὶ καὶ θεοειδεῖς πρὸς θήραν, τοῦ ἐνεργοῦντος, κἂν ὅτι μάλιστα σοφιστικὸς ἢ ποικίλος τὴν ἐπιχείρησιν. τί ποιεῖ, ἢ τί ἀντιτεχνᾶται τῷ δημιουργῷ τῆς κακίας; πάντων ἀπογνοῦσα τῶν ἄλλων, ἐπὶ τὸν Θεὸν καταφεύγει, καὶ προστάτην ποιεῖται κατὰ τοῦ μισητοῦ πόθου τὸν ἑαυτῆς νυμφίον, ὃς καὶ Σωσάνναν ἐρρύσατο, καὶ Θέκλαν διέσωσε, τὴν μὲν ἀπὸ πικρῶν πρεσβυτέρων, τὴν δὲ ἀπὸ τυράννου μνηστῆρος, καὶ τυραννικωτέρου πατρός. τίνα τοῦτον; Χριστὸν, ὃς καὶ πνεύμασιν ἐπιτιμᾷ, καὶ κουφίζει βαπτιζομένους, καὶ ταράσσει πέλαγος, καὶ λεγεῶνα πνευμάτων τῷ βυθῷ δίδωσι· καὶ ῥύεται μὲν ἐκ λάκκου Δανιὴλ λέουσι προτεθέντα βορὰν, καὶ χειρῶν ἐκτάσει τοὺς θῆρας νικᾶσθαι παρέχει, ῥύεται δὲ ἀπὸ κήτους καταποθέντα φυγάδα προφήτην, κἂν τοῖς σπλάγχνοις τὴν πίστιν διασωζόμενον. σώζει δὲ ἀσυνέτους ἐν φλογὶ παῖδας, ἀγγέλῳ τὴν φλόγα καταψύξας, καὶ τοῖς τρισὶ παραζεύξας τὸν τέταρτον. ταῦτα καὶ πλείω τούτων ἐπιφημίζουσα, καὶ τὴν παρθένον Μαρίαν ἱκετεύουσα βοηθῆσαι παρθένῳ κινδυνευούσῃ, τὸ τῆς νηστείας καὶ χαμευνίας προβάλλεται φάρμακον. ὁμοῦ μὲν οὖν κάλλος μαραίνουσα, ὡς ἐπίβουλον· ἣ ἀποστερεῖ τῆς φλογὸς τὴν ὕλην, καὶ δαπανῶσα τὸ τῶν παθῶν ὑπέκκαυμα, ὁμοῦ δὲ τὸν Θεὸν ἱλεουμένη διὰ τῆς ταπεινώσεως. οὐδενὶ γὰρ οὕτω τῶν πάντων, ὡς κακοπαθείᾳ θεραπεύεται Θεὸς, καὶ δάκρυσιν ὁ φιλάνθρωπος ἀντιδίδοται. τὸ δὲ ἐντεῦθεν τὰ ἑξῆς, οἶδα γὰρ τοῦ διηγήματος, ἀγωνιᾶτε εἴ ὑπὲρ τῆς παρθένου καὶ τοῦ ἐραστοῦ δὲ οὐχ ἧττον, μὴ εἰς κακὸν ἀμφοτέροις ὁ πόθος ἔληξεν. ἀλλὰ θαρσεῖτε. πίστεως γὰρ ὁ πόθος πρόξενος γίνεται, καὶ παρθένον ἑαυτῷ μνηστεύων ὁ ἐραστὴς, ὑπὸ Χριστοῦ μνηστεύεται· καὶ ἡ μὲν τῶν παθῶν φλὸξ ἀποσβέννυται. ἡ δὲ τῆς ἀληθείας ἀνάπτεται. πῶς καὶ τίνα τρόπον; ἐνταῦθά μοι τοῦ διηγήματος ἥδιστον, νικᾷ ἡ παρθένος, νικᾶται ὁ δαίμων, ὁ προμνηστὴς πρόσεισι τῷ ἐραστῇ, καταμηνύει τὴν ἧτταν, ταπεινοφρονεῖται, δυσχεραίνει τῆς ὑπεροψίας, ἀμύνεται τὸν ὑπερόπτην. ἡ ἄμυνα δέ τις, εἰς ἑαυτὸν εἰσοικίζεται τὸν τέως θεραπευτὴν, ἵνα κακῷ τὸ κακὸν ἐκκρουσθῇ, ἢ λύσας λύσεως ἴαμα γένηται. τῆς παρθένου μὲν ἀποκρούεται. καθάπερ δή τι μηχάνημα τείχους ὀχυροῦ ἢ γενναίου, λόγῳ φυγὰς καὶ διώσεως. τῷ πέμψαντι δὲ προσπαλαίει. ὢ τοῦ θαύματος, πρὸς τὸν βαλόντα πάλιν ἀναστραφεὶς, καὶ συμπνίγων ὥσπερ τινὰ Σαοὺλ δεύτερον. τί οὖν ὁ ἄφρων ἐραστὴς, καὶ σώφρων ἐπίληπτος; ζητεῖ τοῦ κακοῦ τὴν λύσιν, εὑρίσκει. ἀμήχανον γὰρ ἅπαν οὐ πιεζόμενος. τίς ἡ λύσις; ἐπὶ τὸν τῆς παρθένου καταφεύγει Θεὸν, ὥσπερ Σαοὺλ τότε τὴν κιθάραν τοῦ Δαβὶδ, καὶ τὰ κρούσματα. πρόσεισι τῷ ποιμένι ταύτης, καθαίρεται ὥσπερ τοῦ πάθους διὰ τῆς πληγῆς, οὕτω τοῦ πονηροῦ πνεύματος διὰ τῆς εἰς Χριστὸν πίστεως μετατίθεται τὸ πάθος, ὁ πολὺ μὲν ἀποστερημένος καὶ ἀποπεμπόμενος. καὶ γὰρ ἐδόκει τὸ πρᾶγμα τῶν ἀπίστων εἶναι καὶ θαυμασίων, Κυπριανὸν ἐν Χριστιανοῖς ἀριθμηθῆναί ποτε, εἰ καὶ πάντες ἄνθρωποι. μετατίθεται δ' οὖν, καὶ ἀπόδειξις τῆς μεταβολῆς ἐναργής. περιτίθησι δημοσίᾳ τὰς γοητικὰς βίβλους, θριαμβεύει τοῦ πονηροῦ θησαυροῦ τὴν ἀσθένειαν, κηρύσσει τὴν ἄνοιαν, λαμπρὰν ἐξ αὐτῶν αἴρει τὴν φλόγα, πυρὶ δαπανᾷ τὴν μακρὰν ἀπάτην, ἣ μιᾷ φλογὶ σαθρὸς οὐκ ἐπήμυνεν. ἀφίσταται τῶν δαιμόνων, οἰκειοῦται Θεῷ. ὢ τῆς χάριτος, ὅσον Θεὸν εὑρίσκει πονηρῷ πόθῳ ἢ πνεύμασι, πρόβατον ἱερὸν τῆς ἱερᾶς γίνεται ποίμνης. ὡς δὲ ἐγώ τινος ἤκουσα, καὶ νεωκόρος, πολλὰ δεηθεὶς ἵνα φιλοσοφήσῃ τὸ ταπεινὸν, εἰς κάθαρσιν τῆς προτέρας ἀλαζονείας. εἶτα ποιμὴν, ἢ ποιμένων ὁ κράτιστός τε ἢ δοκιμώτατος. οὐ γὰρ τῆς Καρχηδονίων προκαθέζεται μόνον ἐκκλησίας, οὐδὲ τῆς ἐξ ἐκείνου καὶ δι' ἐκεῖνον περιβοήτου μέχρι νῦν

ἀφανῆς, ἀλλὰ καὶ πάσης τῆς ἱστορίας, σχεδὸν δὲ καὶ τῆς ἰώσης αὐτῆς, ὅστις τι καὶ βεβαίου λέξεως, ἐφ' ὅσον ἐκεῖνος ἦλθε τῷ θαύματι. οὕτω κυπριανὸς ἡμέτερος γίνεται. ταῦτα ὁ τῶν σημείων καὶ τεράτων θεός. ταῦτα ὁ τὸν ἰωσὴφ ἀγαγὼν εἰς αἴγυπτον ὤνιον, διὰ ἀδελφῶν ἐπηρείας, καὶ ἐν γυναικὶ δοκιμάσας, καὶ ἐν σιτοδοσίᾳ δοξάσας, καὶ ἐν ἐνυπνίοις σοφίσας, ἵν' ἐκ ξένης πιστευθῇ, καὶ ὑπὸ φαραὼ τιμηθῇ. καὶ πατὴρ γίνεται πολλῶν μυριάδων, δι' ἃς αἴγυπτος βασανίζεται, θάλασσα τέμνεται, ἄρτος ὕεται, ἥλιος ἵσταται, γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται. οἶδε γὰρ πόῤῥωθεν καταβάλλεσθαι τῶν μεγάλων πραγμάτων ἡ σοφία τὰς ὑποθέσεις, καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖσθαι, ἵνα καὶ μᾶλλον θαυμάζηται. ἀπόχρη καὶ ταῦτα τῶν κυπριανοῦ καλῶν, εἰς μέτρον εὐφημίας τελεωτάτης. νῦν δὲ τοσαῦτά ἐστι τὰ λειπόμενα καὶ τοιαῦτα, ὥστε εἰ καὶ μηδὲν αὐτῷ τῶν προειρημένων ὑπῆρχεν εἰς ἔπαινον, ἐξαρκεῖν τοῖς ἑξῆς νικᾶν ἅπαντας. ἵνα γὰρ τὰ ἐν μέσῳ σιωπήσω, τὴν τῶν χρημάτων περιφρόνησιν, τὴν τοῦ τύφου κατάλυσιν, τὴν τοῦ σώματος παιδαγωγίαν καὶ καθαρότητα τῶν πρότερον ὁρμῶν ἀντίπαλον, τὸ περὶ τὴν ἐσθῆτα φιλόσοφον, τὸ τὰς ἐντεύξεις ὑψηλόν τι ὁμοῦ καὶ φιλάνθρωπον, ὡς ἴσον ἀπέχειν εὐτελείας καὶ αὐθαδείας, τὰς χαμευνίας, τὰς ἀγρυπνίας, ἃς καί τινι τῶν τοιούτων ὀψιμαθὴς ὤν, πολὺ τῶν προειληφότων ἐκράτει, τὴν τῶν λόγων φιλοτιμίαν, ἐξ ὧν ἤδη ἅπαν ἐπαίδευσε, καὶ δογμάτων ἀπαιδευσίαν ἐκάθηρε. ὃ αἰδεσιμώτερον βίον ἐκόσμησε, ὃ τῆς ἀρχικῆς καὶ βασιλικῆς τελειότητος τὴν θεότητα τιμωμένην, ἔστι δὲ ὑφ' ὧν καὶ συναλειφομένην, εἰς τὸ ἀρχαῖον ἐπανήγαγεν ἐν ὅροις μένειν εὐσεβοῦς ἑνώσεώς τε καὶ συναριθμήσεως. ἵνα ταῦτα συνέλω διὰ τὴν ἀμετρίαν, τῇ τοῦ βίου καταλύσει συγκαταλύσω τὸν λόγον. ἐμαίνετο καθ' ἡμῶν διώκτης, καὶ πάσας ἰδέας κολάσεων ἐπενόει. καὶ τὰ μὲν ἤδη πεπλήρωτο τῶν δεινῶν, τὰ δὲ ἔμελλεν. ἦν δὲ ἀγώνισμα κοινὸν καὶ χριστιανοὺς ἑλεῖν, καὶ τοὺς πρὸ αὐτοῦ διώκτας ὑπερβαλεῖν. μᾶλλον δὲ οὐ χριστιανοὺς πάντας, ἢ κυπριανὸν μόνον ἑλεῖν τι καὶ πραγματεύσασθαι. ὅσῳ γὰρ εὐσεβείᾳ τι καὶ δόξῃ διαφέρειν τὸν ἄνδρα ἐγίνωσκε, τοσούτῳ καὶ τὴν νίκην ἑαυτοῦ περιφανεστέραν ἑώρα καὶ λαμπροτέραν, εἰ τούτου κρατήσειεν. ἐκείνου γὰρ χριστιανῶν μόνον ὑπάρχειν κρατεῖν. οὕτω δὲ καὶ φιλοσοφίας αὐτοῦ, καὶ λόγου, καὶ τῆς γλώσσης περιμελεῖ πρότερον, εἶτα ἀφώνους ἀπαγαγεῖν καὶ ἀλόγους τοὺς ὑπ' ἐκείνου ὁδηγουμένους, ἀρίστης ἐστὶ στρατηγίας ἐνόμιζεν. οὐκ ὀρθῶς μέν. οὐδὲ εὐσεβῶς ταῦτα διανοούμενος, οὐ μὴν παντάπασιν ἀλογίστως, πρός γε τὴν ἑαυτοῦ βούλησιν καὶ ἐπιχείρησιν. ἔδοξε δὲ τὸ ἔργον. ἐπειδὴ γὰρ ἅπαξ εἰς προσβολὴν δὲ καὶ πεῖραν, αἰδεσίμως τι καὶ γενναίως ἀντισχόμενος, ὥσπερ τις πέτρα πάραλος, κυμάτων ἐπιδρομὰς, πλῆθος ἐξουσίας ἐπ' αὐτοῦ κατακρίνεται, οὐ τὸ καθ' ἑαυτοῦ ἐστόρεσεν ὁ γενναῖος, οὐδὲ ἠγάπα σωζόμενος, οὐδὲ ἀσφάλειαν τῷ σώματι μᾶλλον τὴν ἀτιμίαν ἐνόμιζεν, ἢ ψυχῆς κίνδυνον τὴν ἡσυχίαν, καὶ εἰς περιορᾶν τοὺς ἄλλους τῷ καιρῷ κινδυνεύοντας, οὐκ ὄντος τοῦ παιδοτριβοῦντος, καὶ πρὸς τὸν ἀγῶνα θαῤῥύνοντος. οὐ γὰρ μικρὸν δύνασθαι καὶ λόγον εἰς ἀνδρείας προθήκην τοῖς ἀγωνιζομένοις, πρὸς δὲ τῆς ἀρετῆς στάδιον. διὰ τοῦτο τῷ σώματι μὲν ἀπὼν, τῷ πνεύματι δὲ παρὼν, καὶ τοῖς ἀθλοῦσι συνηγωνίζετο, καὶ τῇ γλώσσῃ μὲν βοηθεῖν οὐκ εἶχε, βοηθεῖ δὲ τῷ γράμματι. πῶς; ἀλείπτης ὑπερόριος γίνεται, τοὺς προτρεπτικοὺς συγγράφων, καὶ λογογραφῶν τῆς εὐσεβείας, καὶ πλείους ἐκεῖνος σχεδὸν ἐξ ἐπιστολῶν κοινῇ μάρτυρας μόνος, ἢ πάντες δι' ἑαυτῶν οἱ παρόντες τοῖς τότε κάμνουσι. πείθει γὰρ μὴ πατρίδα, μὴ γονεῖς, μὴ περιουσίαν, μὴ δυναστείαν, μὴ ἄλλό τι τῶν χαμαὶ κειμένων ἔμπροσθεν ἄγειν τῆς ἀληθείας, καὶ τῶν ἐκεῖθεν ἀποκειμένων ἄθλων τῆς ἀρετῆς, τοῖς ὑπὲρ τοῦ καλοῦ κινδυνεύουσι. καὶ τοῦτο ἦν πρᾶγμα τῶν ἀρίστων, αἵματος ὀλίγου βασιλείαν οὐρανῶν ὠνήσασθαι, καὶ δόξης ἀϊδιότητα τῶν προσκαίρων ἀντιλαβεῖν ἀγαθῶν. μίαν μὲν γάρ ἐστιν πατρίδα τοῖς ὑψηλοῖς τὴν νοουμένην ἱερουσαλὴμ, οὐ ταῖς μικροῖς ὅροις ἐνταῦθα διειλημμένας, καὶ πολλοὺς ἀμειβούσας οἰκήτορας. μίαν δὲ γονέων λαμπρότητα, τὴν τῆς εἰκόνος τήρησιν, καὶ πρὸς τὸ ἀρχέτυπον ἐξομοίωσιν, ὅσον ἐφικτὸν τοῖς σαρκὸς δεσμίοις, καὶ βραχεῖαν ἀπορροίαν τοῦ καλοῦ δέχεσθαι δυναμένοις. μίαν δὲ δυναστείαν, τὴν κατὰ τοῦ πονηροῦ κράτος, καὶ τὸ τῆς ψυχῆς ἀνάλωτον καὶ ἀήττητον, ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν, ἡνίκα κακία πρὸς ἀρετὴν ἀγωνίζηται, καὶ κόσμος πρὸς κόσμον, ὁ λυόμενος πρὸς τὸν ἑστῶτα, καὶ πικρὸς ἀγωνοθέτης πρὸς γενναίους ἀγωνιστὰς, καὶ βελίαρ πρὸς χριστὸν παρατάσσηται. διὰ ταῦτα καταφρονεῖν μὲν ξιφῶν αὐτοὺς ἔπειθε, ψυχρὸν δὲ νομίζειν τὸ πῦρ, ἀμβλεῖς δὲ ὄνυχας θηρῶν τῶν ἀγριωτάτων, λιμὸν δὲ ὑπολαμβάνειν τὴν ἀνωτάτω τρυφὴν, δάκρυα δὲ τῶν οἰκείων καὶ θρήνους καὶ οἰμωγὰς παραφέρειν, ὡς τοῦ πονηροῦ δελεάσματα, καὶ κωλύματα τῆς θείας ὁδοιπορίας. ταῦτα γάρ ἐστιν ἀνδρικῶν ψυχῶν καὶ γενναίων, καὶ λογισμοῦ σώφρονος, καὶ τὸ παράδειγμα ἐγγύθεν αὐτὸς ὁ ταῦτα λέγων καὶ γράφων, πάντα ἡγησάμενος σκύβαλα, ἵνα χριστὸν κερδήσῃ. οὕτω διανοούμενος κυπριανὸς, καὶ οὕτως ὁπλίζων τοῖς λόγοις πρὸς τὸν ἀγῶνα, πολλοὺς ἀθλητὰς ἀπειργάζετο, καὶ τίνα μισθὸν τούτων κομίζεται; ὡς δαψιλῆ καὶ φιλότιμον; μάρτυς αὐτὸς πᾶσιν,

πᾶσιν, οἷς προσέτυχε, γίνεται, ξίφει τὴν κεφαλὴν τμηθείς, καὶ ταῖς πολλαῖς βασάνοις ταύτην ἐπιτίθησι τὴν κορωνίδα. οὕτω χριστῷ προσάγεται, οὕτω πρὸς χριστὸν μετατίθεται, ὁ πολὺς ἐν ἀσεβείᾳ, καὶ πλείων ἐν εὐσεβείᾳ. κυπριανὸς ὁ μέγας καὶ διώκτης καὶ στεφανίτης, ὁ τὴν μεταβολὴν οὐχ ἧττον, ἢ τὴν ἀρετὴν θαυμάσιος. οὐ γὰρ οὕτω μέγα, τύχην ἀγαθὴν διασώσασθαι ὡς τὸ καινοτομῆσαι πρὸς εὐσέβειαν. τὸ μὲν γὰρ τῆς συνηθείας, τὸ δὲ τῆς εὐβουλίας. καὶ τοῦ μὲν τὰ πολλοῖς ὑπάρχοντα, τοῦ δὲ ὀλίγα τὰ παραδείγματα. ἀλλ᾽ ἵνα δὴ κἀκεῖνο τῶν ἐκείνου θαυμάτων μακρὸν ἔτι τῷ λόγῳ προσκαρτερήσωμεν, ἵνα τῷ ἀθλητῇ χαρισώμεθα. τοιαύτη μὲν ἡ τοῦ ἀνδρὸς πολιτεία, τοιοῦτος δὲ ὁ τῆς ἀθλήσεως τρόπος. ἐπεὶ δὲ καταλύει τὸν βίον, εἰ θέμις τοῦτο εἰπεῖν, ἀλλὰ μὴ πρὸς θεὸν ἐκδημίαν ὀνομάσαι τὸ ἐκείνου πρᾶγμα, ἢ πόθου πλήρωσιν, ἢ δεσμῶν λύσιν, ἢ βάρους διάζευξιν, θαυματουργεῖταί τι κἀνταῦθα τῶν προειληφότων ἄξιον. τὸ μὲν ὄνομα πολὺ παρὰ πᾶσι κυπριανοῦ, οὐ χριστιανοῖς μόνον, ἀλλὰ καὶ τοῖς τὰ ἐναντία ἡμῖν τεταγμένοις. πᾶσι γὰρ ὁμοίως τὸ καλὸν αἰδέσιμον. τὸ σῶμα δὲ ἀφανὲς ἦν, καὶ ὁ θησαυρὸς παρά τινι γυναίῳ τῶν θερμοτέρων εἰς εὐσέβειαν, καὶ τοῦτο ἤδη μακρόν, οὐκ οἶδ᾽ ὅτι τιμῶντος τοῦ θεοῦ τὴν φιλόθεον, καὶ διὰ τοῦτο παρεχομένην τοῦ μάρτυρος, ἔτι τὸν πόθον ἡμῶν γυμνάζοντος, εἰ μὴ φοβοίμεθα ζημιούμενοι, καὶ τῶν ἁγίων λειψάνων ἀποστερούμενοι. ἐπεὶ δὲ οὐκ ἠνέσχετο, τὸ πάντων ἀγαθόν, ἴδιον ποιήσασθαί τινος ὁ τῶν μαρτύρων θεός, οὐδὲ τὸ κοινὸν ζημιῶσαι τῇ πρὸς ἐκείνην χάριτι δημοσιεύει τὸ σῶμα δι᾽ ἀποκαλύψεως. καὶ ταύτην γυναίῳ τῶν ἀξίων τὴν τιμὴν κατατιθέμενος, ἵν᾽ ἀγαλλιῶσι καὶ γυναῖκες, ὥσπερ χριστὸν καὶ τεκοῦσαι πρότερον, καὶ τοῖς μαθηταῖς ἀπαγγείλασαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. οὕτω καὶ νῦν κυπριανόν, ἡ μὲν παραδέξασα, ἡ δὲ παραδοῦσα τὸ κοινὸν ὄφελος. τοῦτο τῶν ἐκείνου κατορθωμάτων τελευταῖον. οὕτως εἰς μέσον ἔρχεται ὁ τοῦ μὴ λαθεῖν ἄξιος, καὶ οὐ συγχωρεῖται φιλοσοφῆσαι τὴν ἑαυτοῦ κλοπήν, ἐπειδὴ καὶ τῶν ἤδη τοῖς σώμασι τιμῶν, κρείσσων ἐκεῖνος καὶ ὑψηλότερος. τὰ μὲν οὖν παρ᾽ ἡμῶν τοσαῦτα, καὶ οὐκ οἶδ᾽ ὅτι δεῖ πλείονα λέγειν. οὐδὲ γὰρ εἰ μακρὸν ἀποτείναιμεν λόγον, εἴποιμεν ἄν τι τῶν ἐκείνῳ προσόντων ἀξίως, καὶ ὧν ἕκαστος περὶ τοῦ ἀνδρὸς ὑπείληφεν. καὶ ταῦτα δέον ἀφοσιώσασθαι τὴν ὀφειλομένην ἐκείνῳ τιμὴν διήλθομεν. τὰ δὲ λοιπὰ παρ᾽ ὑμῶν αὐτῶν προσθετέον, ἵνα τι καὶ αὐτοὶ τῷ μάρτυρι προσενέγκητε, τὴν τῶν δαιμόνων καθαίρεσιν, τὴν τῶν νόσων κατάλυσιν, τὴν τοῦ μέλλοντος πρόγνωσιν. ἃ πάντα δύναται κυπριανοῦ καὶ ἡ κόνις μετὰ τῆς πίστεως, ὡς ἴσασιν οἱ πεπειραμένοι, καὶ τὸ θαῦμα μέχρις ἡμῶν παραπέμψαντες, καὶ τῷ μέλλοντι παραδώσοντες χρόνῳ. μᾶλλον δὲ τὰ μείζω τούτων προσενέγκατε, καὶ οἷα τὸν ἐκεῖνον γνησίως τιμῶντας εἰκός, σώματος κόλασιν, ψυχῆς ἀνάβασιν, κακίας ἀποφυγήν, ἀρετῆς ἐπίδοσιν. αἱ παρθένοι τὴν ἀσαρκίαν, αἱ γυναῖκες τὴν εὐκοσμίαν ἀρετῆς μᾶλλον ἢ σώματος, οἱ νέοι τὴν κατὰ τῶν παθῶν ἀνδρείαν, οἱ πρεσβῦται τὴν εὐβουλίαν, οἱ ἐν δυναστείᾳ τὴν εὐνομίαν, οἱ ἐν στρατηγίᾳ τὴν ἡμερότητα, οἱ ἐν λόγοις τὸ εὔλογον. εἴπω τι καὶ τῶν ἡμετέρων, οἱ ἱερεῖς τὴν μυσταγωγίαν, οἱ τοῦ λαοῦ τὴν εὐπείθειαν, οἱ ἐν πάθει τὴν παράκλησιν, οἱ ἐν εὐημερίᾳ τὸν φόβον, οἱ πλούσιοι τὴν μετάδοσιν, οἱ πένητες τὴν εὐχαριστίαν. πάντες τὴν κατὰ τοῦ πονηροῦ καὶ πικροῦ δράκοντος παράταξιν. ἵνα μὴ φαινόμενος βάλλῃ, μὴ τοξεύῃ κρυπτόμενος, μὴ ὡς σκότος πολεμῇ, μὴ ὡς ἄγγελος φωτὸς παίζῃ, καὶ κλέπτῃ πρὸς τὸ τῆς ἀπωλείας βάραθρον. ὅσοι ἂν ὀφθαλμοῖς ἀγρεύωνται, καὶ γλώσσῃ κρατηθῶσι, καὶ ἀκοῇ δελεασθῶσι, καὶ διὰ θυμοῦ ζέσαντος ἐμπρησθῶσι, καὶ γεύσει κατενεχθῶσι, καὶ ἀφῇ μαλακισθῶσι, καὶ τοῖς ὅπλοις τῆς σωτηρίας, ὅπλοις θανάτου χρήσασθαι. δέον τῷ θυρεῷ φραξαμένους τῆς πίστεως, στῆναι πρὸς τὰς μεθοδείας τοῦ πονηροῦ, καὶ μετὰ χριστοῦ νικήσαντας, καὶ μετὰ τῶν μαρτύρων ἀθλήσαντας, τῆς μεγάλης ἐκείνης ἀκοῦσαι φωνῆς· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἐπηγγελμένην ὑμῖν βασιλείαν, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία, καὶ χορευόντων χορεία τὴν ἀκατάλυτον. ἔνθα ἦχος ἑορταζόντων, καὶ φωνὴ ἀγαλλιάσεως, καὶ θεότητος ἔλλαμψις τελεωτέρα καὶ καθαρωτέρα, ἧς νῦν ἐν αἰνίγμασι καὶ σκιαῖς ἡ ἀπόλαυσις. τούτοις κυπριανὸς χαίρει μᾶλλον τιμώμενος, ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις. ταῦτα καὶ παρὼν ἐφιλοσόφει τῷ λόγῳ, ἅμα δὲ τῷ βίῳ, καὶ ἀπὼν πᾶσι διακελεύεται διὰ τῆς ἡμετέρας φωνῆς. ἣν μηδαμῶς ἀτιμάσητε, ἔπειτ᾽ ἄρα τι μέλει τῆς ἐκείνου καρτερίας ὑμῖν, καὶ τῶν ἐκείνου περὶ τῆς ἀληθείας ἀγωνισμάτων, κἀμοῦ τοῦ ταῦτα πρεσβεύοντος. αὗταί σοι τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί, ὦ θεία καὶ ἱερὰ κεφαλή. τοῦτό σοι καὶ τῶν λόγων γέρας, καὶ τῆς ἀθλήσεως, οὐ κότινος ὀλυμπικός, οὔτε μῆλα δελφικὰ παίγνια, οὐδὲ ἰσθμικὴ πίτυς, οὐδὲ νεμαίας σέλινα, δι᾽ ὧν ἔφηβοι δυστυχεῖς ἐτιμήθησαν, ἀλλὰ λόγος τὸ πάντων οἰκειότατον τοῖς λόγου θεραπευταῖς, εἴ γέ τι τῶν ἄθλων καὶ λόγων ἄξιον, τοῦ λόγου τὸ δῶρον. σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν ἵλεως, καὶ τὸν ἡμέτερον διεξάγοις λόγον καὶ βίον, καὶ τὸ ἱερὸν τοῦτο ποίμνιον ποιμαίνοις, ἢ συμποιμαίνοις,

τιμωμένοις, τά τε ἄλλα εὐθυμῶν ὡς οἷόν τε πρὸς τὸ βέλτιστον, καὶ τὰς βαρεῖς λύπας ἀποπεμπόμενος, τὰς ἀθρόας τῶν συλλαβῶν, καὶ τῶν λέξεων, καὶ τὴν τῆς ἁγίας τριάδος ἔλλαμψιν, ἧς σὺ νῦν παραστάτης, πλειοτέραν τε καὶ λαμπροτέραν ἡμῖν χαριζόμενος, ἣν προσκυνοῦμεν, ἣν δοξάζομεν, ᾗ συμπολιτευόμεθα, προσκυνοῦντες πατέρα ἐν υἱῷ, υἱὸν ἐν ἁγίῳ πνεύματι, ᾗ καὶ παρασταίημεν ὕστερον, εἰλικρινεῖς καὶ ἀπρόσκοποι, ἧς καὶ μεταλάβοιμεν τέλεοι τελείως, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΡΗΝΙΚΟΣ Α ΕΠΙ ΤΗ ΕΝΩΣΕΙ ΤΩΝ ΜΟΝΑΖΟΝΤΩΝ
μετὰ τὴν σιωπὴν ἐπὶ παρουσίᾳ τοῦ πατρὸς αὐτοῦ.

Λύει μου τὴν γλῶτταν ἡ προθυμία, καὶ ὑπερφρονῶ τὸν ἀνθρώπινον νόμον, διὰ τὸν νόμον τοῦ πνεύματος. καὶ δίδωμι τῇ εἰρήνῃ τὸν λόγον, οὔπω πρότερον ἐνδοῦναι συγχωρήσας. πρότερον μὲν γὰρ ἡνίκα ἐστασίαζε πρὸς ἡμᾶς τὰ μέλη, καὶ τὸ μέγα καὶ τίμιον σῶμα τοῦ Χριστοῦ διῃρεῖτο καὶ διεσκόπιστο· ὡς μικροῦ καὶ διασκορπίζεσθαι τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην, δίκην γῆς βάθος ἀρότρῳ ἠγνυμένον, καὶ κατὰ γῆς σκεδαννύμενον, καὶ τὸν ἄτμητον καὶ ἀμέριστον καὶ ὑφαντὸν δι᾽ ὅλου χιτῶνα κατατεμὼν ὁ πονηρός, ὅλον ἑαυτοῦ πεποίητο. τοῦτο δι᾽ ἡμῶν δυνηθεὶς, ὁ διὰ τὴν εἰς Χριστὸν σταυρωθεὶς ὑπ᾽ ἰσχύματος. τότε μὲν δὴ ἐδήμιζον φυλακὴν τοῖς χείλεσί μου, οὐδ᾽ ἄλλως προθύμοις οὖσι περὶ τὸν λόγον, ὅτι τῇ δι᾽ ἔργων φιλοσοφίᾳ κατέχειν πρῶτον ἐκρίνετο, εἶτα τὸ στόμα τῆς διανοίας ἀνοίξας ἑλκύσαι πνεῦμα. εἶτα ἐξερεύξασθαι λόγον ἀγαθόν, καὶ λαλεῖν θεοῦ σοφίαν τελείαν ἐν τοῖς τελείοις ἀκολουθίας τῆς πνευματικῆς ὑπελάμβανον, καὶ ὥσπερ καιρὸς ἐπὶ παντὶ πράγματι καὶ μικρῷ καὶ μείζονι. τὸ γὰρ τοῦ σολομῶντος, οὐ ἔχει καὶ λίαν ἐπεσκεμμένως, οὕτω καὶ λόγου καὶ σιωπῆς, εἰ καί τις ἄλλος καιρὸν ἐγίνωσκον. διὰ τοῦτο ἐκωφώθην καὶ ἐταπεινώθην πόρρω πάντων ἀγαθῶν γενόμενος, καὶ οἷόν τι νέφος τὴν ἐμὴν καρδίαν ὑποδραμὸν, συνεκάλυψε τὴν ἀκτῖνα τοῦ λόγου, καὶ τὸ ἄλγημά μου νυκτὸς καὶ ἡμέρας ἀνεκαινίζετο. καὶ πάντα μοι ἦν ὑπομνήματα καὶ ὑπομνήματα, τῆς τῶν ἀδελφῶν διαζεύξεως ἐν ἀλλοτρίοις ὁρώμενα, ἀγρυπνίαι, νηστεῖαι, προσευχαὶ, δάκρυα, τὰ γονάτων, στηθῶν ἐπὶ τιμήσεις, στεναγμὸς ἐκ βάθους ἀναπεμπόμενος, στάσις παννυχος, νοῦ πρὸς θεὸν ἐκδημία, θρῆνος ἐν δεήσει λεπτός, φάρμακον τοῖς ἀκηδίοις κατανύξεως, οἱ ψάλλοντες, οἱ δοξάζοντες, οἱ μελετῶντες τὸν νόμον κυρίου ἡμέρας καὶ νυκτὸς, οἱ τὰς ὑψώσεις τοῦ θεοῦ ἐν τοῖς λάρυγξι φέροντες. καὶ ταῦτα δὴ τὰ καλὰ τοῦ κατὰ θεὸν βίου προγράμματα καὶ μηνύματα, οἱ σιωπῶντες κήρυκες, αὐχμῶσα καὶ πιναρὰ κόμη, πόδες γυμνοὶ καὶ τοῖς ἀποστολικοῖς ἑπόμενοι, μηδὲν νεκρὸν φέροντες, κουρὰ σύμμετρος, περιβολὴ τῦφον κολάζουσα, ζώνη, τοῦ ἀκόσμου κοσμία, μικρόν τι τοῦ χιτῶνος ἀναστέλλουσα, καὶ ὅσον μὴ ἀναστέλλειν βάδισμα εὐσταθές, ὀφθαλμὸς οὐ πλανώμενος, μειδίαμα προσηνές, μᾶλλον δὲ ὁρμὴ μειδιάματος ἀκρασίαν γέλωτος σωφρονίζουσα, λόγος ὑπὸ λόγῳ κινούμενος, σιωπὴ λόγου τιμιωτέρα, ἔπαινος, ἀλλὰ τιμώμενος, ὁ πρὸς θεραπείαν, δι᾽ ὁδηγίαν τοῦ κρείττονος, ἐπίπληξις εὐφημίας ποθεινοτέρα. μέτρα κατηφείας καὶ ἀνέσεως, καὶ ἡ δι᾽ ἀμφοτέρων μίξις καὶ κρᾶσις, τὸ ἁπαλὸν τῷ γενναίῳ, τὸ αὐστηρὸν αἰδοῖ σύγκρασιν, ὡς μηδ᾽ ἕτερον ὑπὸ τοῦ ἑτέρου παραβλάπτεσθαι, ἀλλ᾽ ἀμφότερα δι᾽ ἀλλήλων εὐδοκιμεῖν, μέτρα τῆς εἰς τὸ κοινὸν ἐπιμιξίας καὶ ἀποχωρήσεως, τῆς μὲν τοὺς ἄλλους παιδαγωγούσης, τῆς δὲ τῷ πνεύματι μυσταγωγούσης· καὶ τῆς μὲν ἐν τῷ κοινῷ τὸ ἄκοινον φυλαττούσης, τῆς δὲ ἐν τῷ ἀμίκτῳ τὸ φιλάδελφον καὶ φιλάνθρωπον. καὶ ἃ μείζω τούτων ἔτι καὶ ὑψηλότερα, ὁ ἐν πενίᾳ πλοῦτος, ἡ ἐν ἀποικίᾳ κατάσχεσις, ἡ ἐν ἀτιμίᾳ δόξα, ἡ ἐν ἀσθενείᾳ δύναμις, ἡ ἐν ἀγαμίᾳ καλλιτεκνία, ἐπὶ τὸ κρείττονα τῶν ἀπὸ σαρκὸς ἀρχομένων, τὰ κατὰ θεὸν γεννήματα, οἱ τρυφῶντες, τῷ μὴ τρυφᾶν, οἱ ταπεινοὶ ὑπὲρ τὴν οὐρανίαν. οἷς μηδὲν ἐν κόσμῳ καὶ ὑπὲρ τὸν κόσμον, οἱ σαρκὸς ἔξω καὶ ἐν σαρκὶ, ὧν μερὶς κύριος. οἱ πτωχοὶ διὰ βασιλείαν, καὶ διὰ πτωχείαν βασιλεύοντες, οὗτοί με καὶ παρόντες, λαμπρὸν ἐποίουν, ἡ ἐμὴ περιουσία, τὸ ἐμὸν ἀγαθὸν ἐντρύφημα, καὶ ἀπόντες συνέστελλον. ταῦτά μοι συνεῖχε τὴν ψυχὴν, ταῦτα ἐτάραξεν, ἐκ τούτων ἐγὼ πενθῶν καὶ σκυθρωπάζων ἐπορευόμην. διὰ ταῦτα μετὰ τῶν ἄλλων τερπνῶν, καὶ τὸν λόγον ἀπεσεισάμην, ὅτι ἀπελάκτισαν οἱ ἠγαπημένοι, καὶ ἔστρεψαν ἐπ᾽ ἐμὲ νῶτα αὐτῶν καὶ οὐ πρόσωπα, καὶ γεγόνασι ποίμνιον ἐλευθεριώτερον τοῦ ποιμαίνοντος. ἵνα μὴ εἴπω πανικώτερον, ὅτι ἐστράφη εἰς πικρίαν ἐμοὶ ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὑπὸ καλῶν γεωργῶν κάλλιστα κεκαθαρμένη, καὶ ταῖς θείαις ληνοῖς γεωργοῦσα τὸ καλὸν γλεῦκος· ὅτι οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν, ὅτι διελέγοντο τὸν Χριστὸν οἱ λίαν φιλόθεοι καὶ φιλόχριστοι, καὶ ὑπὲρ τῆς ἀληθείας ἀλ-

ἀλλήλων κατεψευσάμεθα, καὶ διὰ τὴν ἀγάπην μῖσος ἐμελετήσαμεν, καὶ ὑπὲρ τῆς ἀκροτομίας διελύθημεν, καὶ ὑπὲρ τῆς πέτρας ἐσείσθημεν, ὅτε πλέον ἢ καλῶς εἶχεν, ὑπὲρ τῆς εἰρήνης ἐπολεμήσαμεν, καὶ ὑπὲρ τοῦ ὑψωθέντος ἐπὶ τὸ ξύλον κατελυόμεθα, καὶ ὑπὲρ τοῦ ταφέντος καὶ ἀναστάντος ἐθανατώθημεν. πρότερον δὲ ταῦτα. καὶ τί ἄν τις ἐν καιρῷ φαιδρότητος ἀναξαίνοι τὴν ἀηδίαν, ἐνδιατρίβων τοῖς λυπηροῖς, ὧν ἀπευκταία μὲν ἡ πεῖρα, φευκτὴ δὲ ἡ μνήμη. κρείττων δὲ σιωπὴ λόγου. τὸ συμπεσὸν ἡμῖν θραῦσμα, λήθης βάθει συγκαλύψωμεν, πλὴν εἴ τις διὰ τοῦτο καὶ μόνον ἀνακινοίη τὴν μνήμην τῶν λυπηρῶν, ἵνα τῷ ὑποδείγματι παιδευώμεθα. καὶ ὥσπερ ἐν τοῖς νοσήμασι φεύγωμεν τὰς αἰτίας, ἐξ ὧν εἰς ταῦτα ὑπήχθημεν. νυνὶ δὲ ἡνίκα ἀπέδρα ὀδύνη καὶ λύπη, καὶ στεναγμός, ἡνίκα γεγόναμεν οἱ τοῦ ἑνὸς ἕν, καὶ οἱ τῆς τριάδος σύμφυτοι, καὶ ὁμόψυχοι, καὶ ὁμότιμοι· οἱ τοῦ λόγου, τῆς ἀλογίας ἐκτός· οἱ τοῦ πνεύματος οὐ κατ᾽ ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις ζέοντες· οἱ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, οἱ τῆς σοφίας εὐσύνετοι, οἱ τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημονοῦντες, οἱ τῆς ὁδοῦ πάντες εὐθυποροῦντες, οἱ τῆς θύρας πάντες εἴσω· οἱ τοῦ προβάτου, καὶ τοῦ ποιμένος πρᾶοι, καὶ τῆς αὐτῆς μάνδρας, καὶ ποιμένος ἑνός· οὐκ ἐν σκηνώσει ποιμένος ἀπείρου ποιμαίνοντος, οὐδὲ καταφθείροντος τὰ πρόβατα τῆς νομῆς, οὐδὲ προκειμένου τοῖς λύκοις, καὶ τοῖς κρημνοῖς, ἀλλὰ καὶ λίαν πολυεσκεμμένου καὶ ἐπιστήμονος. ἡνίκα γεγόναμεν οἱ τοῦ παθόντος ὑπὲρ ἡμῶν συμπαθεῖς, καὶ ἀλλήλοις τὰ βάρη συνεπικουφίζοντες· οἱ τῆς κεφαλῆς σῶμα ἓν συναρμολογούμενοι καὶ συμβιβαζόμενοι κατὰ πᾶσαν συνάφειαν τὴν ἐν πνεύματι, ἡνίκα ὁ ποιῶν πάντα καὶ μετασκευάζων πρὸς τὸ λυσιτελέστερον, ἔστρεψε τὸν κοπετὸν εἰς χαρὰν ἡμῖν, καὶ τὸν σάκκον τὴν εὐφροσύνην ἀντέδωκε. τοιαῦτα συναποδύομαι τοῖς παρελθοῦσι τὴν σιωπήν, καὶ προσάγω τῷ παρόντι καιρῷ καὶ ἡμῖν τὸν λόγον, μᾶλλον δὲ τῷ θεῷ χαριστήριον θυσίαν οἰκειοτάτην, δῶρον χρυσοῦ καθαρώτερον, λίθων πολυτελῶν τιμαλφέστερον, ὑφασμάτων πολυτελέστερον, θυσίας νομικῆς ἁγιώτερον, πρωτοτόκων ἀπ᾽ ἀρχῆς ἱερώτερον, ἀρέσκον θεῷ ὑπὲρ μόσχον νέον, κέρασι καὶ ὁπλαῖς, ἁπλῶς καὶ ἀναισθήτοις ὑπὲρ θυμίαμα, ὑπὲρ ὁλοκαύτωμα, ὑπὲρ μυριάδας ἀρνῶν πιόνων. οἷς ὁ στοιχειώδης νόμος ἐκράτει τὸν ἔτι νήπιον Ἰσραήλ, ταῖς ἐν αἵμασι θυσίαις σκιαγραφῶν τὴν μέλλουσαν. τοῦτο προσφέρω θεῷ, τοῦτο ἀνατίθημι, ὃ μόνον ἐμαυτῷ κατέλιπον, ᾧ πλουτῶ μόνῳ. τὰ μὲν γὰρ ἄλλα παρῆκα τῇ ἐντολῇ, καὶ τῷ πνεύματι, καὶ τὸν πολύτιμον μαργαρίτην πάντων ὧν εἶχόν ποτε ἀντηλλαξάμην, καὶ γέγονα μεγαλέμπορος, μᾶλλον δὲ γενέσθαι δι᾽ εὐχῆς ἔχω τῶν μικρῶν, καὶ πάντως φθαρησομένων ὠνούμενος τὰ μεγάλα καὶ μὴ λυόμενα. τοῦ λόγου δὲ περιέχομαι μόνου ὡς λόγου θεραπευτής, καὶ οὐκ ἄν ποτε ἑκὼν τούτου τοῦ κτήματος ἀμελήσαιμι, ἀλλὰ καὶ τιμῶ καὶ ἀσπάζομαι. καὶ χαίρω μᾶλλον, ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις, οἷς οἱ πολλοὶ χαίρουσι. καὶ ποιοῦμαι παντὸς τοῦ βίου κοινωνὸν καὶ σύμβουλον ἀγαθὸν καὶ συνόμιλον, καὶ ἡγεμόνα τῆς ἄνω ὁδοῦ, καὶ συναγωνιστὴν πρόθυμον. καὶ ἐπειδὴ πάντα ἀτιμάζω τὸ πρὸς τὸ κάτω μέρος, εἰς τοῦτό μοι πᾶν ἐκνένευκε τὸ φίλτρον μετὰ θεόν. μᾶλλον δὲ καὶ εἰς τοῦτον, ὃ πρὸς θεὸν φέρει συνέσει, ἣ δὴ καὶ μόνη θεὸς καταλαμβάνεται γνησίως, καὶ τηρεῖται, καὶ ἐν ἡμῖν αὔξεται. εἶπον, τὴν σοφίαν ἐμὴν ἀδελφὴν εἶναι, καὶ ἐτίμησα ταύτην, καὶ περιέλαβον, ὡς ἣν ἐφίλησα ἐμοί, καὶ ζητῶ τῇ ἐμῇ κεφαλῇ τὸν στέφανον τῆς χάριτος καὶ τῆς τρυφῆς, ἃ δὴ σοφίας χαρίσματα καὶ λόγου τοῦ ἐν ἡμῖν τὸ ἡγεμονικὸν καταλάμποντος, καὶ φωτίζοντος ἡμῶν τὰ κατὰ θεὸν διαβήματα, τούτῳ χαλινῶ θυμὸν ἐκφερόμενον, τούτῳ κοιμίζω τήκοντα φθόνον, τούτῳ προσεπαύω λύπην ὀδυνῶσαν καρδίαν, τούτῳ σωφρονίζω διάχυσιν ἡδονῆς, τούτῳ μετρῶ μῖσος, ἀλλ᾽ οὐ φιλίαν. τὸ μὲν γὰρ μετρεῖσθαι δεῖ, τῆς δὲ μηδένα γινώσκειν ὅρον. οὗτος εὐποροῦντά με ποιεῖ μετρίως, καὶ πένητα μεγαλόψυχον· οὗτος ἐνδεομένῳ τι με πείθει συντρέχειν, καὶ πίπτοντι χεῖρα ὀρέγειν, καὶ ἀσθενοῦντι συνασθενεῖν, καὶ χαίροντι συνευφραίνεσθαι. μετὰ τούτου πατρὶς καὶ ξένη τὸ ἴσον ἐμοί, καὶ τόπων μεταστάσεις ἀλλοτρίων ὁμοίως, ἀλλ᾽ οὐκ ἐμῶν. οὗτός μοι διαιρεῖ κόσμους· καὶ τὸν μὲν ἀπάγει, τῷ δὲ προσίστησιν. οὗτός με καὶ διὰ τῶν δεξιῶν ὅπλων διεξάγει τῆς δικαιοσύνης οὐκ ἐπαιρόμενον, καὶ τοῖς ἀριστεροῖς καὶ τραχυτέροις συμφιλοσοφεῖ, τὴν οὐ καταισχύνουσαν ἐλπίδα παραζευγνύς, καὶ τὸ παρὸν κουφίζων τῷ μέλλοντι τούτῳ. καὶ νῦν δεξιοῦμαι τοὺς ἐμοὺς φίλους καὶ ἀδελφούς, καὶ προτίθημι τράπεζαν λογικήν, καὶ ἵστημι κρατῆρα πνευματικὸν καὶ ἀέναον, οὐχ οἷς ἡ κάτω τράπεζα κολακεύει τὴν καταργουμένην γαστέρα, καὶ ἀθεραπεύτους. ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι; ἐκαρτέρησα ὡσεὶ τίκτουσα, μὴ καρτερήσω διὰ παντός. τὸν μὲν γὰρ Ζαχαρίαν λύει τὴν σιωπὴν γεννηθεὶς ὁ Ἰωάννης. καὶ γὰρ οὐκ ἔπρεπε τὸν πατέρα τῆς φωνῆς σιωπᾶν, ταύτης προελθούσης, ἀλλ᾽ ὥσπερ ἀπιστηθεῖσαν τὴν γλῶσσαν ἔδησεν, οὕτω φανερωθεῖσαν

ἔδει

δοῦναι τῷ πατρὶ τὴν ἐλευθερίαν, ᾧ καὶ εὐηγγελίσθη, καὶ ἐγεννήθη φωνὴ, καὶ λύχνος λόγου, καὶ φωτὸς πρόδρομος. ἐμοὶ δὲ λύει τὴν γλῶσσαν, καὶ ὑψοῖ τὴν φωνὴν ὡς σάλπιγγος. ἡ παροῦσα εὐεργεσία, καὶ τὸ κάλλιστον τοῦτο θέατρον, τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα, συνηγμένα εἰς ἓν, καὶ ὑπὸ τὰς αὐτὰς ἀναπαυόμενα πτέρυγας, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ πορευόμενα ἐν ὁμονοίᾳ, καὶ μίαν ἁρμονίαν ἡρμοσμένα τὴν τοῦ καλοῦ καὶ τοῦ πνεύματος· ὅτι οὐκέτι φερόμεθα ἀλλήλων καὶ ἀγόμεθα, τοσοῦτον ὑπὸ τοῦ πονηροῦ κλαπέντες ἢ βιασθέντες, καὶ κατατοξευθέντες ἐν σκοτομήνῃ τὸν νοῦν, ἣν αὐτὸς ἡμῖν ἐπήγειρεν. ἢ οὐκ οἶδ' ὅτι χρὴ λέγειν, ὥστε καὶ τοῖς ἀλλήλων κακοῖς ἐπευφραίνεσθαι, καὶ μὴ νομίζειν τοῦ παντὸς εἶναι ζημίαν τὴν ἀλλήλων κατάλυσιν. ὅτι ἰούδας καὶ ἰσραὴλ, τίθενται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ ἱερουσαλὴμ καὶ σαμάρεια πρὸς μίαν τὴν ἄνω ἱερουσαλὴμ συνάγονται, καὶ οὐκέτι παύλου, καὶ ἀπολλὼ, καὶ κηφᾶ, ὑπὲρ ὧν καὶ καθ' ὧν ἡ φυσίωσις. πάντες δὲ χριστοῦ γινόμεθα· ἀλλ' ἐπειδὴ καὶ με, καὶ τὸν λόγον ἔχει τι, καὶ διὰ τῆς ἀγάπης οὐκ ἄκοντα τυραννήσαντες, φθέγξομαι μὲν, εἰ καὶ μόλις, ἐπειδὴ τοῦτο κελεύετε· φθέγξομαι δὲ εὐχαριστίας καὶ νουθεσίας ῥήματα· ἡ μὲν οὖν εὐχαριστία, τοιαύτη. τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου; τίς δὲ πάσας ἀκοὰς παραστήσει τὴν ᾠδὴν πᾶσιν αἴνεσιν; ὅτι γέγονε τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, ὃ ἐποίησας ἡμᾶς ὄντας παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς, ὅτι τοῦτον ἡμᾶς ἐκάκωσας· ἔδωκας, τὸ τῆς εἰρήνης ἀγαθὸν τῇ διαστάσει γνωρίζεσθαι, καὶ ἀλγεῖν ποιήσας, πάλιν ἀποκατέστησας. ὢ τοῦ παραδόξου τῆς ἰατρείας. παιδεύσας εἰς εἰρήνην διὰ τοῦ μίσους μισηθέντας ὡς τάχιστα, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον οἰκονομήσας, καὶ τοῦτο ἡμᾶς διαζεύξας. ὅσον θερμοτέρως προσφυῶμεν ἀλλήλοις. καθάπερ τῶν φυτῶν ἃ βίᾳ χερσὶ μετασπώμενα, εἶτα ἀφιέμενα, πρὸς ἑαυτὰ πάλιν ἀνατρέχει, καὶ τὴν πρὸ τοῦ ἑαυτῶν φύσιν, καὶ δείκνυσι τὸ οἰκεῖον, βίᾳ μὲν ἀποκλινόμενα, οὐ βίᾳ δὲ ἀνορθούμενα, ὅτι μηκέτι χεὶρ τὸν ὀφθαλμὸν περιφρονεῖ, μηδ' ὀφθαλμὸς χεῖρα. ὅτι μηκέτι ποσὶν ἐπανίσταται κεφαλὴ, μηδὲ κεφαλῆς ἀλλοτριοῦνται πόδες, οὐ μᾶλλον βλάπτοντες, ἢ βλαπτόμενοι τῇ ἀταξίᾳ, καὶ ἀναρχίᾳ, ἢ καὶ τοῦ παντός ἐστι σύγχυσις καὶ διάλυσις. ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, τάξει καὶ θεσμῷ φύσεως, τῷ δι' ἀλλήλων τὰ πάντα συνδήσαντι καὶ φυλάξαντι. καὶ πεφήναμεν ἓν σῶμα καὶ πνεῦμα ἓν, καθὼς καὶ κεκλήμεθα ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως. διὰ τοῦτο ὁ λαὸς, ὁ πτωχὸς, αἰνέσει σε. πλούσιος ἐξ ἀπόρου γινόμενος, ὅτι ἐθαυμάστωσας ἐφ' ἡμᾶς τὰ ἐλέη σου, καὶ προσέθετο ταῦτα τοῖς παλαιοῖς διηγήμασιν. οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· ὅτι κόκκον καταβαλὼν, στάχυν ἐκομισάμην. ὅτι πρόβατα ποθῶν, ποιμένας προσεκτησάμην. καὶ προσλήψομαί γε εὖ οἶδα τὴν ποιμένων τὸν τιμιώτατον, εἰ καὶ λόγοις τε ἐν πνευματικοῖς τὴν ποιμαντικὴν ἀναβάλλεται, πιστευθέντα μὲν τὸ πνεῦμα καὶ τὴν παλαιὰν τὴν ἐργασίαν, καὶ τοῦ ποιμνίου τὴν ἐπιμέλειαν, καὶ χρισθέντα τῷ χρίσματι τῆς ἱερωσύνης καὶ τελειώσεως. ἔτι δὲ ἀναβαλλόμενος τὴν ἐπιστασίαν ὑπὸ σοφίας, καὶ τὸν λύχνον ὑπὸ τῷ μοδίῳ κατέχοντα, ὃν θήσει μετ' ὀλίγον ἐπὶ τὴν λυχνίαν, πᾶσαν τῆς ἐκκλησίας ψυχὴν περιλάμψοντα, καὶ φῶς ταῖς τρίβοις ἡμῶν ἐσόμενον, ἔτι περισκοποῦντα νάπας καὶ ὄρη καὶ νάματα, καὶ τοῖς ἅρπαξι τῶν ψυχῶν λύκοις ἐπινοοῦντα θήρατρα. ἵν' ἐν καιρῷ εὐθέτῳ, καὶ τὴν βασιλείαν δέξηται, καὶ συμποιμαίνῃ τῷ ἀληθινῷ ποιμένι τὸ λογικὸν τοῦτο ποίμνιον, ἐν τόπῳ χλόης κατασκηνῶν τοῖς ἀειθαλέσι τοῦ θεοῦ λόγοις, καὶ ἐκτρέφων ὕδατι ἀναπαύσεως, ἑτοίμῳ πνεύματι. τοῦτο μὲν οὖν καὶ ἐλπίζομεν, καὶ εὐχόμεθα. ἐμοὶ δὲ ἤδη καιρὸς προσθεῖναι τῇ εὐχαριστίᾳ καὶ τὴν παραίνεσιν. ποιήσομαι δὲ καὶ ταύτην ὡς οἷόν τε βραχυτάτην. ἐπειδὴ τὸ πλεῖστον τῆς νουθεσίας διὰ τῶν ἔργων αὐτῶν προσειλήφαμεν. καὶ οὐ μακροτέρων δεῖ λόγων τοῖς πείρᾳ πεπαιδευμένοις. ἴδε μὲν ἀδελφοὶ, μήτι διαιρεθῶμεν τὸ πρῶτον, μήτι τὸ παλαιὸν ἡμῶν καταλυθῶμεν ἀξίωμα καὶ καλλώπισμα, ᾧ καί τοι μικρὰν οὖσαν ἡμῶν τὴν ποίμνην, καὶ μηδ' ὀνομάζεσθαι ἀξίαν ἐν ποιμνίοις ἀριθμουμένοις, τοῖς μεγίστοις εἶχον ἐξ ἴσου καὶ πλατυτάτοις. ἔστι δ' ὅν καὶ προτίθου ἐν τῇ δυνάμει τοῦ πνεύματος. καὶ γὰρ οὕτως εἶχον ἄλλου μὲν ἄλλο τι καλλώπισμα ἢ μικρὸν, ἢ μεῖζον. τῆς δὲ ἡμετέρας ποίμνης ἰδιώτατον ἦν, τὸ ἄρρηκτόν τι καὶ ἀστασίαστον. ὡς δὲ καὶ τὴν νῶε κιβωτὸν, πολλάκις ἡμᾶς ὀνομασθῆναι, μόνην διαφυγοῦσαν τὴν τοῦ κόσμου παντὸς ἐπίκλυσιν, καὶ τὰ σπέρματα τῆς εὐσεβείας ἐν αὐτῇ διασώζουσαν. ἐπειδὴ δὲ ἠλέγχθημεν ὄντες ἄνθρωποι, καὶ οὐ πάντη διεφύγομεν τοῦ πονηροῦ τὸν φθόνον, οὐδὲ τῆς πάντα κατεχούσης νόσου κρείττους πεφήναμεν, ἀλλὰ τῆς κοινῆς συμφορᾶς μέρος καὶ αὐτοὶ μετειλήφαμεν, καὶ τὴν καλὴν καὶ πατρῴαν κληρονομίαν

τὸ τῆς ὁμοπνοίας ἀγαθὸν οὐκ εἰς τέλος διεφυλάξαμεν, οὐ μικρὸν μὲν καὶ ταῦτα τῶν ἄλλων ἐπλεονεκτήσαμεν, ἔτι δεῖ καὶ καυχήσασθαι κατὰ τῆς ὑμετέρας ἔχθρας χριστῷ θαῤῥήσαντας, τὸ καὶ πλεῖστον ταῦτα παθεῖν, καὶ περὶ τοῦ διορθωθῆναι. τὸ μὲν γὰρ ἀῤῥωστῆσαι τῆς κοινῆς φύσεως, καὶ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης, ἣ πάντων ἅπτεται, καὶ τὴν λίαν ἰσομέτρως τὸ σῶμα καὶ τὴν διάνοιαν. τὸ δὲ θεραπευθῆναι, καὶ πρὸς ἀλλήλους ἐπανελθεῖν, τοῦτο λογισμοῦ, καὶ τῆς χάριτος, ἣ καλῶς τε δικαίως ἡμῖν ἐβράβευσε, καὶ κρεῖττον ἢ κατὰ τὰς ἡμετέρας εὐχὰς, καὶ τὰς τῶν ἄλλων ἐλπίδας. ἡμεῖς τε γὰρ τὰς δοθείσας τῷ τμήματι κεφαλὰς, ὡς ὑπὲρ εὐσεβείας καινοτομηθείσας, καὶ εἰς βοήθειαν τοῦ ὀρθοῦ λόγου κάμνοντος, ἐν χάριτι προσηκάμεθα, καὶ οὐχ ὡς ἐχθροὺς ἀπεγράψαμεν, ἀλλ' ὡς ἀδελφοὺς περιεπτυξάμεθα, μικρὸν ὑπὲρ κλήρου πατρικοῦ στασιάσαντας ἀδελφικῶς, ἀλλ' οὐ πονηρῶς. καὶ τῆς μὲν ἔχθρας ὑπεπηδήσαμεν, τὸν ζῆλον δὲ ἀπεδεξάμεθα. κρείσσων γὰρ ἐμπαθοῦς ὁμονοίας, ἡ ὑπὲρ εὐσεβείας διάστασις. καὶ διὰ τοῦτο προσθήκην ἑαυτῶν τὴν ὑφαίρεσιν πεποιήμεθα, κλέψαντες ἀγάπῃ τὴν καθ' ἡμῶν ἐπίνοιαν, καὶ τοσοῦτον τῆς τάξεως ἐναλλάξαντες, ὅσον μὴ τῇ ψήφῳ τὴν χάριν ἀκολουθῆσαι, τὴν δὲ ψῆφον τῇ χάριτι καὶ χρηστὸν ἀλλοτρίοις εἰς ταύτην προσχρήσασθαι, μικρόν τε προληφθέντες ὑπὸ τοῦ πνεύματος, ὑμεῖς τε τὴν κατὰ τοῦ γράμματος ἀφέντες ὑπόνοιαν, τῷ πνεύματι προσεδράμετε. τὸ μὲν ἀπλότητος οὐκ ἐπαινέσαντες ἤδη τῶν φαινομένων τὴν ῥημάτων ἀσέβειαν δὲ οὐκ ἐγκαλέσαντες, ἀλλ' εἰδότες, ὅτι ἄπιστος παρ' ἡμῖν ἡ τελειὰς, καὶ ἀσάλευτος. οὐδὲ γὰρ ἧττον ἢ ἐν αὐτῇ τῇ φύσει, καὶ τὸ περικόψαι τι τῶν τελείων ἢ ἀποξενῶσαι, ἴσον ἡμῖν καὶ τὸ πᾶν ἀνελεῖν, καὶ κατὰ πάσης χωρῆσαι γυμνῇ τῇ κεφαλῇ τῆς θεότητος, καὶ ταῦτα καὶ παρ' αὐτὴν ἄλλων ὑπεραπολογούμεθα τὴν διάστασιν· ἴσον ὅτι καὶ παρ' οἷς ἀνθρώπων. ὅσπερ δὴ καὶ μέγιστος τῆς ἀληθείας ἔλεγχος, οὐδ' ὑπὸ τοῦ καιροῦ νικωμένης, οὐδὲ τῆς ἔχθρας παντελῶς τὸ ἀνθηρὸν τῆς ἐν ἡμῖν ἀγάπης καταλυούσης. ὅτι τὸ μέγιστον ὑπὲρ ἡμῖν καὶ στασιάζουσιν ἡ ὁμοδοξία, καὶ τὸ συνῳδεῖν μὴ ἑτεροζυγοῦσι περὶ τὴν ἀλήθειαν, μηδ' ἐναντίως διακειμένοις, ἀλλὰ τῷ αὐτῷ χαρακτῆρι μεμορφωμένοις τῆς πίστεως, καὶ τῆς περὶ τῆς ἡμῶν ἐλπίδος. οὐδὲν γὰρ οὕτως ἱερὸν εἰς ὁμόνοιαν τοῖς γνησίοις τὰ πρὸς τὸν θεὸν, ὡς ἡ περὶ θεοῦ συμφωνία· καὶ οὐδὲν οὕτως ἕτοιμον εἰς διάστασιν, ὡς ἡ περὶ τούτου διαφωνία. καὶ γὰρ ὁ τὰ ἄλλα ἐπιεικέστατος, περὶ τοῦτο θερμότατος, καὶ ὁ πρᾶος ὄντως γίνεται μαχητὴς, ὅταν ἴδῃ τῇ μακροθυμίᾳ θεὸν ζημιούμενον, μᾶλλον δὲ θεὸν ζημιῶν περὶ ἑαυτοῦ πταίσματι, τῷ ἡμᾶς πλουτοῦσί τε καὶ πλουτίζονται. οὕτω μὲν οὖν ὅπερ εἶπον ἡμεῖς καὶ τῇ διαστάσει μετριώτεροι, ὡς περιφανέστεροι γενέσθαι, καὶ τὴν ὁμόνοιαν τῆς διαζεύξεως, καὶ μικροῦ τὸ μέσον καταπλῆσαι τοῖς ἀμφοτέρωθεν δεξιοῖς. ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ τὸ τάχος τῆς εἰρήνης πρὸς τὴν ἀσφάλειαν, εἰ μή τις καὶ λόγος ὁ ταύτην κρατῶν φανείη, καὶ θεὸς ἔλθοι τῷ λόγῳ σύμμαχος, περὶ οὗ καλὸν ἅπαν καὶ ἄρχεται, καὶ εἰς τέλος ἔρχεται. φέρε καὶ δι' εὐχῶν, καὶ διὰ λογισμῶν βεβαιωσώμεθα ταύτην εἰς δύναμιν· ἐκεῖνο πρότερον ἐνθυμηθέντες, ὅτι κάλλιστον μὲν τῶν ὄντων καὶ ὑψηλότατον θεὸς, εἰ μή τῳ φίλον, καὶ ὑπὲρ τὴν οὐσίαν ἄγειν αὐτὸν, ἢ ὅλον ἐν αὐτῷ τεθεῖσθαι τὸ εἶναι, παρ' οὗ καὶ τοῖς ἄλλοις. δεύτερον δὲ, ὅσαι ἐκ θεοῦ πρῶτα, καὶ περὶ θεὸν, τὰς ἀγγελικὰς λέγω δυνάμεις, τε οὐρανίους αἳ πρῶτα ἀπαυγάζονται τοῦ πρώτου φωτὸς, καὶ περὶ τῆς ἀληθείας λόγῳ τρανούμεναι, φῶς εἰσὶ τε αὐταὶ, τελέου φωτὸς ἀπαυγάσματα. τούτων δ' οὐδὲν οὕτως ἴδιον, ὡς τὸ ἄμαχόν τε καὶ ἀστασίαστον. οὔτε γὰρ ἐν θεότητι στάσις, ὅτι μηδὲ λύσις. λύσις γὰρ στάσεως ἔκγονον· ἀλλὰ τοσοῦτον τὸ τῆς ὁμονοίας καὶ πρὸς ἑαυτὴν, καὶ πρὸς τὰ δεύτερα, ὥστε καὶ προσηγορίαν τῷ θεῷ γενέσθαι μετὰ τῶν ἄλλων, καὶ πρὸ τῶν ἄλλων, οἷς χαίρει καλούμενος, τοῦτο τὸ πολυώνυμον· εἰρήνη γὰρ καὶ ἀγάπη, καὶ τὰ τοιαῦτα ὀνομάζεται, ἡμῖν παρέχων διὰ τῶν ὀνομάτων, ὡς θεοῦ ταύτην μεταπείθεσθαι τὴν ἀρετήν. ἄγγελος δὲ, ὁ μὲν στασιάσαι τολμήσας, καὶ ὑπὲρ τὴν ἀξίαν ἀρθῆναι κατὰ τοῦ κυρίου παντοκράτορος τραχηλιάσας, καὶ τὴν ὑπὲρ τὰ νέφη καθέδραν ἐνθυμηθεὶς ὡς ὁ λόγος, δίκην ἔδωκε τῆς ἀπονοίας ἀξίαν, σκότος ἀντὶ φωτὸς εἶναι κατακριθεὶς, ἢ τό γε ἀληθέστερον εἰπεῖν, ὑφ' ἑαυτοῦ γενόμενος. οἱ δὲ λοιποὶ μένουσιν ἐπὶ τῆς ἑαυτῶν ἀξίας. ἧς πρῶτοις τὸ εἰρηναῖοις καὶ ἀστασιάστοις, τὸ ἓν εἶναι λαβόντες παρὰ τῆς ἐπαινετῆς καὶ ἁγίας Τριάδος, παρ' ἧς καὶ τὴν ἔλλαμψιν, ἐπεὶ κἀκείνης εἷς θεός ἐστί τε, καὶ εἶναι πεπίστευται· οὐχ ἧττον διὰ τῆς ὁμονοίας, ἢ διὰ τῆς οὐσίας ταυτότητα. ὥστε θεοῦ μὲν καὶ τῶν θείων ἐγγὺς, ὅσοι τὸ τῆς εἰρήνης ἀγαθὸν ἀσπαζόμενοι φαίνονται· καὶ περὶ ἐναντίῳ τῇ στάσει, ἀπεχθανόμενοί τε καὶ διαφαίνοντες. τῆς δ' ἀντικειμένης μερίδος οἱ πολεμικοὶ τὸν τρόπον τε καὶ εὐδόκιμοι τῷ καινῷ θηρώμενοι, καὶ τῇ ἑαυτῶν αἰσχύνῃ καλλωπιζόμενοι, ἐπεὶ κἀκεῖνος αὐτός τε στασιάζει πρὸς ἑαυτὸν, καὶ περὶ πολυειδεῖ καὶ τοῖς πάθεσι, καὶ τοῖς ἄλλοις, ταῦτα τοῦτο ἐνεργεῖ, ὡς ἀνθρωποκτόνος

ποικίλος ἀπ' ἀρχῆς καὶ μισόκαλος, ἵν' ἐν σκοτομήνῃ κατατοξεύῃ τὸ κοινὸν σῶμα τῆς ἐκκλησίας, περὶ ζόφῳ τῆς στάσεως ἑαυτὸν ἐγκρύπτων, ὥσπερ οἶμαι καὶ τοῖς καθ' ἕκαστον προσεισι, σοφιστικῶς τὰ πολλὰ, καὶ πανούργως, καὶ δὴ χώραν ἐν ἡμῖν ἐπινοήσας διὰ τῆς τέχνης ἑαυτοῦ. ἵν' ὅλος εἰσπέσῃ καθάπερ ἀριστεὺς στρατῷ, τῷ παραρρηγνυμένῳ τοῦ τειχίου ἢ τῆς παρατάξεως. ἓν μὲν δὴ τοῦτο. καὶ τοσοῦτον εὐνοίας τε καὶ συμφωνίας ἀνάγκη· ἡ θεοῦ καὶ τῶν θείων μίμησις, πρὸς ἃ βλέπειν ἀσφαλὲς μόνα, τὴν κατ' εἰκόνα θεοῦ γενομένην ψυχὴν, ἵν' ὡς μάλιστα τὸ εὐγενὲς αὐτῇ διασώζηται διὰ τῆς πρὸς αὐτὰ νεύσεως, καὶ ὡς ἐφικτὸν ὁμοιώσεως. δεύτερον δὲ ἀναβλέψωμεν εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω θείας φωνῆς ἀκούοντες, καὶ καταμάθωμεν νόμους κτίσεως, ὅτι οὐρανὸς καὶ γῆ καὶ θάλασσα, καὶ ὁ σύμπας οὗτος κόσμος, τὸ μέγα στοιχεῖον τοῦ θεοῦ καὶ περιβόητον, ἐν ᾧ καὶ δηλοῦται θεὸς σιωπῇ κηρυττόμενος. ἕως μὲν εὐσταθεῖ καὶ εἰρηνεύει πρὸς ἑαυτὸν ἐν τοῖς ἰδίοις ὅροις μένων τῆς φύσεως, καὶ οὐδὲν τοῦ ἑτέρου καταξανίσταται, οὐδὲ τὴν τῆς εὐνοίας ἐκβαίνει δεσμῶν. οἷς ὁ τεχνίτης λόγος, τὸ πᾶν συνέδησε, κόσμος τέ ἐστιν ὅπερ λέγεται καὶ κάλλος ἀπρόσιτον. καὶ οὐδὲν μήποτε τούτου τις ἐπινοήσει λαμπρότερον ὕλης ἔργον, ἢ μεγαλοπρεπέστερον. ὁμοῦ δὲ τοῦ εἰρηνεύειν πέπαυται, καὶ τοῦ εἶναι κόσμος. ἢ γὰρ οὐ δοκεῖ σοι οὐρανὸς μὲν εὐτάκτως ἄγειν, καὶ γῆ κοινωνῶν, τῷ μὲν φωτὸς, τῇ δὲ ὑπὸ τῆς εὐνοίας κρατεῖσθαι νόμῳ. γῆ δὲ καὶ ἀὴρ, ἡ μὲν τροφὰς, ὁ δὲ τὸ ἀναπνεῖν χαριζόμενος ζώοις ἅπασι, καὶ διὰ τούτων τὸ ζῆν συνέχοντες, δοκοῦσι γονέων ἀπομιμεῖσθαι φιλοστοργίαν; ὧραι δὲ ἡμέρως κιρνάμεναι, καὶ κατὰ μικρὸν ἀλλήλαις ὑπεξιοῦσαι, καὶ τὸ τῶν ἄκρων αὐστηρὸν τῇ μεσότητι τιθασεύουσαι, πρός τε ἡδονὴν ἅμα καὶ χρείαν ἐπιτηδείως εἰρήνῃ βραβεύεσθαι. τί δαὶ ἡμέρα καὶ νὺξ, ἰσομοιρίαν πρὸς ἀλλήλας λαχοῦσαι καὶ περιτροπὴν ἔμμετρον· καὶ ἡ μὲν εἰς ἔργον ἡμᾶς ἐγείρουσα, ἡ δὲ ἀναπαύουσα. τί δαὶ ἥλιος καὶ σελήνη καὶ κάλλος ἀστέρων καὶ πλῆθος, ἐν τάξει φαινομένων τε καὶ ὑπαπιόντων. θάλασσα δὲ καὶ γῆ πῶς ἀλλήλαις ἐπιμιγνύμενα, καὶ διδόντα χρηστῶς καὶ ἀντιλαμβάνοντα, καὶ φιλανθρώπως τὸν ἄνθρωπον τρέφει, καὶ ἀνθρώπῳ τὰ παρ' ἑαυτῆς χορηγοῦντα πλουσίως καὶ φιλοτίμως. ποταμοὶ δὲ δι' ὀρέων καὶ πεδίων ἑλκόμενοι, καὶ οὐχ ὑπερβαίνοντες, ὅτι μὴ πρὸς τὸ χρήσιμον, οὐδὲ ἐπιστρέφοντες κατακλύσαι τὴν γῆν. στοιχείων δὲ μίξεις καὶ κράσεις, καὶ μέτρων συμμετρίαι καὶ συμφωνίαι. ζώων δὲ τροφαὶ, καὶ γενέσεις, καὶ οἰκήσεις μεμερισμέναι, καὶ τὰ κρατοῦντα, καὶ τὰ κρατούμενα, καὶ τὰ ὑπεζευγμένα ἡμῖν καὶ τὰ ἐλεύθερα. ταῦτα πάντα οὕτως ἔχοντα, καὶ κατὰ τὰς πρώτας αἰτίας τῆς ἁρμονίας, εἴπω συμφροίας τε καὶ συμπνοίας, εὐθυνόμενα τε καὶ διεξαγόμενα, τί ποτ' ἄλλο δοκεῖν ἕτερον, ἢ φιλίας τε καὶ ὁμονοίας εἶναι κηρύγματα, καὶ νομοθετεῖν ἀνθρώποις δι' ἑαυτῶν τὴν ὁμοψυχίαν. ὅταν δὲ στασιάσῃ πρὸς ἑαυτὴν ἡ ὕλη, καὶ δυσκάθεκτος γένηται, μελετῶσα τὴν λύσιν διὰ τῆς στάσεως, ἢ θεός τι παρασαλεύσῃ τῆς ἁρμονίας εἰς φόβον τῶν ἁμαρτανόντων, καὶ κόλασιν, ἢ θαλάσσης ὑπεξιούσης, ἢ γῆς βρασσομένης, ἢ ξένων ὑετῶν φερομένων, ἢ συγκαλυφθέντος ἡλίου, ἢ πλεοναζούσης ὥρας, ἢ πυρὸς ὑπερβλύζοντος, ἀκοσμία κατὰ τοῦτο καὶ φόβος περὶ τὸ πᾶν, καὶ τὸ τῆς εἰρήνης ἀγαθὸν τῇ στάσει δείκνυται. καὶ ἵνα παρῶ δήμους καὶ πόλεις καὶ βασιλείας, ἔτι δὲ χορὸν καὶ στρατὸν, καὶ οἴκους, καὶ νεῶν πληρώματα, καὶ συζυγίας, καὶ ἑταιρείας, ὑπὸ μὲν εἰρήνης συνεχομένας, ὑπὸ δὲ στάσεως καταλυομένας, ἴδε τὸν Ἰσραὴλ ἐμοὶ τῷ λόγῳ, καὶ τῶν ἐκείνου παθῶν ὑπομνήσαις ὑμᾶς, καὶ τῆς διασπορᾶς, καὶ τῆς ἄλης, ἣν τε νῦν ἔχουσι, καὶ ἣν ἐπὶ πλεῖστον ἕξουσι. πείθομαι γὰρ ταῖς περὶ αὐτῶν προρρήσεσιν. ἔπειτα ἐρευνῶμαι ἀκριβῶς εἰδότας ὑμᾶς, τί τῆς συμφορᾶς τούτων αἴτιον, ἵνα παιδευθῶμεν τοῖς τῶν ἄλλων κακοῖς τὴν ὁμόνοιαν. οὐχ ἕως μὲν εἰρήνην εἶχον, καὶ πρὸς ἀλλήλους, καὶ πρὸς θεὸν, αἰγυπτίῳ τῇ καμίνῳ τῇ σιδηρᾷ πιεζόμενοι, καὶ ὑπὸ τῆς κοινῆς θλίψεως συναγόμενοι. ἔστι γὰρ ὅτε καὶ τοῦτο φάρμακον ἀγαθὸν εἰς σωτηρίαν ἡ θλίψις, λαός τε ἅγιος ἤκουον, καὶ μερὶς κυρίου, καὶ βασίλειον ἱεράτευμα; καὶ οὐ τοῖς μὲν ὀνόμασιν οὕτω, τοῖς δὲ ἔργοις ἑτέρως· ἀλλὰ καὶ στρατηγοῖς εἵποντο ἀγομένοις ὑπὸ θεοῦ, καὶ στύλῳ πυρὸς καὶ νεφέλης ὡδηγοῦντο νυκτὸς καὶ ἡμέρας. καὶ θάλασσα μὲν αὐτοῖς διισταμένη φεύγουσι, πεινῶσι δὲ οὐρανὸς ἐξήρευγε τροφήν· πέτρα δὲ διψῶσιν ἐπήγαζε. πολεμοῦσι δὲ χειρῶν ἔκτασις ἀντὶ μυριάδων ἦν, δι' εὐχῆς ἐγείρουσα τρόπαια, καὶ ὁδοποιοῦσα τὰ ἔμπροσθεν. ποταμοὶ δὲ ὑπεχώρουν, τῇ συγγενεῖ μιμούμενοι θάλασσαν, καὶ στοιχεῖα ἵσταντο, καὶ τείχη σάλπιγξι κατεσείετο. καὶ τί δεῖ λέγειν αἰγυπτίων πληγὰς τούτοις χαριζομένας, καὶ θεοῦ φωνὰς ἐξ ὄρους ἀκουομένας, καὶ νομοθεσίαν διπλῆν, τῇ μὲν ἐν γράμματι, τῇ δὲ ἐν πνεύματι, καὶ τἄλλα οἷς ἐτιμᾶτο πάλαι παρὰ τῆς ἑαυτοῦ ἀξίας ὁ Ἰσραήλ. ἐπεὶ δὲ νοσεῖν ἤρξαντο, καὶ κατ' ἀλλήλων ἐμαίνοντο, καὶ διίσταντο εἰς μέρη πολλὰ τῶν σταυρῶν πρὸς τὴν ἐσχάτην αὐτῶν συνελαυνόντων, καὶ τῆς

ἀπονοίας ἣν κατὰ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἀπενοήθησαν, ὃν ἐν ἀνθρώπῳ Θεὸν ἀγνοήσαντες, καὶ τὴν ῥάβδον τὴν σιδηρᾶν πόῤῥωθεν ἀπειλουμένην αὐτοῖς, ἐφ' ἑαυτοὺς εἵλκυσαν, τὴν νῦν ἐπικρατοῦσαν ἀρχὴν λέγω καὶ βασιλείαν. τί γίνεται, καὶ τί πεπόνθασι; θρηνεῖ μὲν αὐτοὺς Ἱερεμίας ἐπὶ τοῖς προτέροις πάθεσι, καὶ τὴν ἐπὶ Βαβυλῶνα αἰχμαλωσίαν ὀδύρεται. καὶ γὰρ ἦν ὄντως κἀκεῖνα θρήνων καὶ ὀδυρμῶν ἄξια. πῶς δὲ οὐ τῶν μεγίστων τείχη κατεσκαμμένα, πόλις ἠδαφισμένη, ἁγίασμα κατηρημωμένον, ἀναθήματα σεσυλημένα, πόδες βέβηλοι καὶ χεῖρες, οἱ μὲν τοῖς ἀβάτοις ἐμβατεύοντες, αἱ δὲ καὶ τῶν ἀψαύστων κατατρυφῶσαι, προφῆται σιγῶντες, ἱερεῖς ἀγόμενοι, πρεσβῦται μὴ ἐλεούμενοι, παρθένοι καθυβριζόμεναι, νεότης πίπτουσα, πῦρ ἀλλότριον καὶ πολέμιον, αἵματος ποταμοὶ ἀντὶ τοῦ ὁσίου πυρὸς καὶ αἵματος. ναζιραῖοι κατασυρόμενοι, θρῆνοι τοῖς ὕμνοις ἀντιχειρόμενοι. καὶ ἵν' ἐξ αὐτῶν εἴπω τι τῶν ἱερεμίου θρήνων, υἱοὶ Σιὼν, οἱ τίμιοι καὶ ἐπηρμένοι χρυσίῳ, οἱ τρυφεροὶ καὶ κατακόρως ἀπαθεῖς, ξένην ὁδὸν ὁδεύοντες, καὶ ὁδοὶ Σιὼν πενθοῦσαι παρὰ τὸ μὴ εἶναι τοὺς ἑορτάζοντας. καὶ μικρὸν πρὸ τούτων, χεῖρες γυναικῶν οἰκτιρμόνων, αἳ τροφὴν ὀρέγουσαι τέκνοις τῆς πολιορκίας ἐπικρατούσης, ἀλλ' ἐπὶ τροφὴν ταῦτα σπαράττουσαι, καὶ λιμοῦ φάρμακον τὰ ἑαυτῶν ποιούμεναι φίλτατα. ταῦτα πῶς οὐ δεινὰ καὶ φοβερὰ δι' ὤτων, οὐ τοῖς πάσχουσι τότε μόνοις, ἀλλὰ καὶ νῦν τοῖς ἀκούουσιν. ἐγὼ γοῦν ὁσάκις ἂν ταύτην ἀναλάβω τὴν βίβλον, καὶ τοῖς θρήνοις συγγένωμαι (συγγίνομαι δ' ὁσάκις ἂν εὐημερίαν σωφρονίσαι θελήσω τῷ ἀναγνώσματι) ἐγκόπτομαι τὴν φωνὴν, καὶ συγχέομαι δάκρυσι, καὶ δὴ ὑπ' ὄψιν μοι τὸ πάθος ἔρχεται, καὶ συνθρηνῶ τῷ θρηνήσαντι. τὴν δὲ τελευταίαν αὐτῶν πληγήν τε καὶ μετανάστασιν, καὶ τὸ νῦν ἐπικείμενον αὐτοῖς τῆς δουλείας ζυγὸν, καὶ τὴν περιβόητον ὑπὸ Ῥωμαίοις ταπείνωσιν. ἧς οὐδὲν οὕτως ὡς ἡ στάσις αἴτιον, τίς θρηνήσει πρὸς ἀξίαν τῶν θρήνων γεγραφέναι εἰδότων, καὶ λόγον ἐξισοῦν πάθει. ποῖαι βίβλοι ταῦτα χωρήσουσι; μία στήλη τούτοις τῆς συμφορᾶς ἡ οἰκουμένη πᾶσα, καθ' ἣν ἐσπάρησαν, καὶ ἡ λατρεία πεπαυμένη, καὶ αὐτῆς τῆς Ἱερουσαλὴμ τὸ ἔδαφος, μόγις γινωσκόμενον. ἧς τοσοῦτον ἐπιβατὸν αὐτοῖς ἐστὶ μόνον, καὶ τοσοῦτον ἀπολαύουσι τῆς ποτὲ αὐτῶν δόξης, ὅσον ἐν ἡμέρᾳ φανέντες θρηνῆσαι τὴν ἐρημίαν. δεινοῦ δὲ ὄντως οὕτως τοῦ στασιάζειν, καὶ τοσούτων αἰτίου κακῶν, ὡς τά τε εἰρημένα δείκνυσι, καὶ διὰ πλειόνων ὑποδειγμάτων ἐστὶ μαθεῖν. ἔτι πολλῷ δεινότερον, τὸ καταλύσαντας μικροψυχίαν, καὶ τῶν τῆς εἰρήνης γευσαμένους καλῶν, πρὸς τὴν αὐτὴν νόσον πάλιν ὑπενεχθῆναι. καὶ πρὸς τὸν ἴδιον ἔμετον ἐπιστρέψαι τὸ δὴ λεγόμενον. μηδ' ὅσον τοὺς ἀνοήτους παιδεύει τῇ πείρᾳ σωφρονισθέντας. καὶ γὰρ ἐρῶ κούφους καὶ ἀνοήτους, οὐ τούτους ὑπολαμβανομένους, οἳ ἂν κακῷ τινι παραμείνωσιν, ἀλλὰ τοὺς ῥᾳδίως ἐπ' ἀμφότερα φερομένους, καὶ μεταῤῥέοντας, καθάπερ αὔρας μεταπιπτούσας, ἢ μεταβολὰς καὶ παλιῤῥοίας εὐρίπων, ἢ θαλάσσης ἄστατα κύματα. σκοπῶ δὲ κἀκεῖνο, ὅτι τοὺς μὲν ἐπὶ τῆς στάσεως μένοντας, ἡ γοῦν ἐλπὶς τῆς ὁμονοίας ῥᾷον τρέφει, καὶ τὸ πλεῖστον αὐτοῖς ἐπικουφίζει τῆς συμφορᾶς. μεγίστη γὰρ ἐπικουρία τοῖς ἀτυχοῦσι, μεταβολῆς ἐλπὶς, καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον. οἱ δὲ πολλάκις μὲν ὁμονοήσαντες, ἀεὶ δὲ πρὸς τὴν κακίαν πάλιν διορμήσαντες, ἀφῄρηνται μετὰ τῶν ἄλλων, καὶ τοῦ κρείττονος τὴν ἐλπίδα, οὐχ ἧττον τῆς στάσεως ἀδικοῦντες ἀεὶ τὴν ὁμόνοιαν, καὶ μηδ' ἑτέρῳ θαῤῥοῦντες, διὰ τὸ ἐν ἀμφοτέροις εὐκίνητον καὶ ἀστάθμητον. καὶ μηδεὶς οἰέσθω με λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον. οἶδα γὰρ ὥσπερ στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν, ἀλλὰ τὴν γε καλὴν καὶ ἐπὶ καλῷ καὶ Θεῷ συνάπτουσαν. εἰ δὲ δεῖ συντόμως διελέσθαι περὶ αὐτῶν, οὕτω γινώσκω, οὔτε νωθέστερον εἶναι τοῦ μετρίου καλὸν, οὔτε θερμότερον, ὡς ἢ δι' εὐκολίαν πᾶσι συμφέρεσθαι, ἢ δι' ἀταξίαν πάντων ἀποστατεῖν. ὁμοίως γὰρ καὶ τὸ νωθὲς, ἄπρακτον, καὶ τὸ εὐκίνητον ἀκοινώνητον. ἀλλ' οὗ μὲν ἂν ᾖ πρόδηλα τὰ τῆς ἀσεβείας καὶ πυρὶ, καὶ σιδήρῳ, καὶ καιροῖς καὶ δυνάσταις, καὶ πᾶσι πρότερον ὁμόσε χωρητέον, ἢ τῆς ζύμης μεταληπτέον τῆς πονηρᾶς, καὶ συγκαταβατέον τοῖς κακῶς ἔχουσι. καὶ οὐδὲν οὕτω τῶν ἁπάντων εὐλαβητέον, ὡς ἄλλο τι πλὴν Θεοῦ φοβηθῆναι, καὶ διὰ τοῦτο προδοῦναι τὸν περὶ πίστεως λόγον, καὶ τῆς ἀληθείας, ἀληθείᾳ δουλεύοντας. οὗ δὲ τὸ λυποῦν, ὑπόνοια καὶ φόβος ἀνεξέταστος, βελτίων τοῦ τάχους, ἡ μακροθυμία, καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις. καὶ πολλῷ κρεῖττον καὶ λυσιτελέστερον, ἐν τῷ κοινῷ σώματι μένοντας, καταρτίζειν ἀλλήλους ὡς ἀλλήλων μέλη, καὶ καταρτίζεσθαι, ἢ προκαταγνόντας διὰ τῆς ἀποστάσεως, καὶ τὸ ἀξιόπιστον, τῷ χωρισμῷ λύσαντας. ἔπειτα ἐξ ἐπιτάγματος, ὥσπερ τυράννους, ἀλλ' οὐκ ἀδελφοὺς νομοθετεῖν τὴν διόρθωσιν.

ταῦτα

ταῦτα εἰδότες ἀδελφοί, περιλαβώμεθα ἀλλήλων, περιπτυξώμεθα, γενώμεθα γνησίως, ἐν μιμησώμεθα τὸν τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντα, καὶ διὰ τοῦ αἵματος αὐτοῦ πάντα συναγαγόντα, καὶ εἰρηνεύσαντα. εἴπωμεν τῷ κοινῷ πατρὶ τούτῳ, τῇ σεμνῇ πολιᾷ, τῷ πράῳ καὶ ἠπίῳ ποιμένι. ὁρᾷς τὰ ἐπίχειρα τῆς ἀνεξικακίας; ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου ὃν τρόπον ἐπόθεις, καὶ ὃ προσευχῆς καί σοι μόνον ἦν τοῦ, νύκτας καὶ ἡμέρας. ἵν' εἰ γήρᾳ καλῷ καταλύσῃς τὴν παροικίαν, ἰδοὺ πάντες ἥκασι πρὸς σέ, καὶ ὑπὸ τὰς σὰς ἀναπαύονται πτέρυγας, καὶ τὸ ἑαυτῶν κυκλοῦσι θυσιαστήριον, μετὰ δακρύων ἀποφοιτήσαντες, καὶ μετ' εὐφροσύνης προστρέχοντες. χαῖρε καὶ κατατέρπου πατέρων ἄριστε καὶ φιλοτεκνότατε, ὃ πάντας αὐτοὺς ἐνδέδυσαι, καὶ περιβέβλησαι ὡς κόσμον νύμφη. φθέγξαι καὶ σὺ πρὸς ἡμᾶς· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. πρόσθες καὶ ἄλλην φωνὴν δεσποτικήν, καὶ μάλα οἰκείαν· οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. μηδὲ γὰρ ἀπόλοιτο μηδείς, ἀλλὰ πάντες μένοιμεν ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, σύμψυχοι τὸ ἓν φρονοῦντες, ὡπλισμένοι τὸν θυρεὸν τῆς πίστεως, περιεζωσμένοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ, ἕνα μόνον εἰδότες τὸν κατὰ τοῦ πονηροῦ πόλεμον, καὶ τοῖς ὑπ' ἐκείνου στρατηγουμένοις, μὴ φοβούμενοι τῶν δυναμένων ἀποκτεῖναι τὸ σῶμα, τῆς δὲ ψυχῆς λαβέσθαι μὴ δυναμένων· φοβούμενοι δὲ τὸν καὶ ψυχῆς καὶ σώματος κύριον, φυλάσσοντες τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν πατέρων ἐλάβομεν. προσκυνοῦντες πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα, ἐν υἱῷ τὸν πατέρα, ἐν πνεύματι τὸν υἱὸν γινώσκοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, οἷς συντετάγμεθα, πρὶν συνάψαι διαιροῦντες, καὶ πρὶν διελεῖν συνάπτοντες, οὔτε τὰ τρία ὡς ἕνα. οὐ γὰρ ἀνυπόστατα τὰ ὀνόματα, ἢ κατὰ μιᾶς ὑποστάσεως, ὡς εἶναι τὸν πλοῦτον ἡμῖν ἐν ὀνόμασιν, ἀλλ' οὐ πράγμασι, καὶ τὰ τρία ἕν. ἓν γὰρ οὐχ ὑποστάσει, ἀλλὰ θεότητι, μονὰς ἐν τριάδι προσκυνουμένη καὶ τριὰς εἰς μονάδα ἀνακεφαλαιουμένη, πᾶσα προσκυνητή, βασιλικὴ πᾶσα, ὁμόθρονος, ὁμόδοξος, ὑπερκόσμιος, ὑπέρχρονος, ἄκτιστος, ἀόρατος, ἀναφής, ἀπερίληπτος. πρὸς μὲν ἑαυτὴν ὅπως ἔχει τάξεως, αὐτὴ μόνη γινώσκουσα. σεπτὴ δ' ἡμῖν ὁμοίως καὶ λατρευτή, καὶ μόνη τοῖς ἁγίοις τῶν ἁγίων ἐμβατεύουσα, τὴν δὲ κτίσιν πᾶσαν ἐκτὸς ἐῶσα, τὴν μὲν τῷ πρώτῳ, τὴν δὲ τῷ δευτέρῳ διειργομένην καταπετάσματι· πρώτῳ μὲν τὴν οὐράνιον καὶ ἀγγελικὴν ἀπὸ τῆς θεότητος, δευτέρῳ δὲ τὴν ἡμετέραν ἀπὸ τῶν οὐρανίων. ταῦτα πράσσωμεν, καὶ οὕτως ἔχωμεν ἀδελφοί, καὶ τοὺς ἑτέρως φρονοῦντας, ὡς λύμην τῆς ἀληθείας, ἕως μὲν ἂν ᾖ δυνατόν, προσλαμβανώμεθα, καὶ θεραπεύωμεν· ἀνιάτως δ' ἔχοντας ἀποστρεφώμεθα, μὴ τῆς νόσου μεταλάβωμεν, πρὶν μεταδοῦναι τῆς ἑαυτῶν ὑγείας. καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν, τῆς πάντα νοῦν ὑπερεχούσης ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΡΗΝΙΚΟΣ Β. ΕΙΣ ΤΗΝ ΣΥΜΒΑΣΙΝ ΗΝ μετὰ τὴν στάσιν ἐποιησάμεθα οἱ ὁμόδοξοι.

Θερμὸς ὁ ζῆλος, πρᾶον τὸ πνεῦμα, φιλάνθρωπος ἡ ἀγάπη, μᾶλλον δὲ καὶ φιλανθρωπία. μακρόθυμος ἡ ἐλπίς, ὁ ζῆλος ἀνέπτη, τὸ πνεῦμα πραΰνει, ἡ ἐλπὶς ἀναμένει, ἡ ἀγάπη συνδεῖ, καὶ οὐκ ἐᾷ σκεδασθῆναι τὸ ἐν ἡμῖν καλόν. καὶ εἰ σκέδασις τῶν μὲν φύσεως, καὶ τελέως οἱ, ἢ οὖσα μένει, ἢ κινηθεῖσα καθίσταται, ἢ ἀπελθοῦσα ἐπάνεισι, καθάπερ τῶν φυτῶν ἃ βίᾳ χερσὶ μετασπώμενα, εἶτ' ἀφιέμενα, πρὸς ἑαυτὰ πάλιν ἐπανατρέχει καὶ τὴν προτέραν ἑαυτῶν φύσιν, καὶ δείκνυσι τὸ οἰκεῖον, βίᾳ μὲν ἀνακλινόμενα, οὐ βίᾳ δὲ ἀνορθούμενα· φύσει μὲν γάρ, πρὸς χεῖρον ἡ κακία, καὶ πολὺς ὁ ἐπὶ τὸ χεῖρον δρόμος, ῥοῦς κατὰ πρανοῦς τρέχων, ἢ καλάμη τις πρὸς σπινθῆρα καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη, καὶ γινομένη φλόξ, καὶ συνδαπανωμένη τῷ οἰκείῳ γεννήματι. φλὸξ γὰρ ὕλης γέννημα, καὶ δαπανᾷ τὴν ὕλην, ὡς τοὺς κακοὺς ἡ κακία, καὶ τῇ τροφῇ συναπέρχεται. εἰ δέ τις οἱ ἕξις καλοῦ τινὸς γένοιτο, καὶ ἀπ' αὐτοῦ πειθοῖ, τὸ μεταπεσεῖν ἐργωδέστερον, ἢ γενέσθαι ἀπ' ἀρχῆς ἀγαθόν. ἐπειδὴ χρόνῳ καὶ λόγῳ βεβαιωθὲν ἅπαν καλόν, φύσις καθίσταται, καθάπερ καὶ ἡ ἐν ἡμῖν ἀγάπη, μεθ' ἧς λατρεύομεν τῇ ὄντως ἀγάπῃ, καὶ ἣν ἠγαπήσαμεν, καὶ παντὸς τοῦ βίου προεστησάμεθα. ποῦ τοίνυν οἱ τὰ ἡμέτερα τηροῦντες ἐπιμελῶς, εἴ τι καὶ ὡς ἑτέρως ἔχοντα, οὐχ ἵνα κρίνωσιν, ἀλλ' ἵνα κακίσωσιν· οὐδ' ἵνα συμπαθῶσιν, ἀλλ' ἵν' ἐφησθῶσι· καὶ τὰ μὲν καλὰ συκοφαντῶσι, τὰ δὲ φαῦλα ἐκτραγῳδῶσι, καὶ ἀπο-

καὶ ἀπολογίαν ἔχουσι τῶν οἰκείων κακῶν, τὰ τῶν πλησίον πταίσματα, εἶτα δικαίως κρίνον-
ται. ἣν γάρ αὖ τι καὶ χολῆς ὄφελος κατὰ τὴν παροιμίαν, ὁ φόβος τῶν ἐχθρῶν ὑπάρχει εἰς τὸ
ἀσφαλεστέρους. νῦν δὲ μετὰ τῆς ἔχθρας καὶ τῆς ὑποσκοτούσης τοῖς λογισμοῖς κακίας, ὑφ' ἧς
οὐδ' ὁ ψόγος ἔχει τὸ ἀξιόπιστον. πῶς τοίνυν οἱ μισοῦντες ἐπίσης, καὶ διότι τι καὶ ἡμᾶς;
τοῦτο γὰρ ὧν πάσχομεν τὸ μεγαλοπρεπέστατον, ὅτι μετὰ θεοῦ κινδυνεύομεν; ποῦ ποτε ἡμῖν
οἱ τῶν μὲν ἰδίων πρᾶοι κριταί, τῶν δ' ἀλλοτρίων ἀκριβεῖς ἐξετασταί, ἵνα κἀνταῦθα ψεύ-
δωνται τὴν ἀλήθειαν; ποῦ ποτε ἡμῖν οἱ τὰ τραύματα ἔχοντες, καὶ τοὺς μώλωπας ὀνειδί-
ζοντες, οἱ τὰ προσκόμματα διασύροντες, καὶ τὰ πτώματα αὐτοὶ πάσχοντες; οἱ τῷ βορβό-
ρῳ ἐγκαλινδούμενοι, καὶ τοῖς σπίλοις ἡμῶν ἐπευφραινόμενοι. οἱ τὰς δοκοὺς τυφλώττον-
τες, καὶ τὰ κάρφη προφέροντες, ἃ μήτε λυπεῖ λίαν ἐγκείμενα, μήτε χαλεπὸν ἀποσμη-
χθῆναι καὶ ἀποφυσηθῆναι τῆς ὄψεως. δεῦρο μετάσχετε τῶν ἀπορρήτων τῶν ἡμετέρων, κα-
λούμενοι ἡμᾶς εἰς τὸ συνέδριον καὶ μισούμενοι. χρώμεθα δίαιτα ταῖς τοῖς ἐχθροῖς, ὦ τῆς αὐθα-
δείας, ἢ τῆς παρρησίας, ἣν ἀπειλῆτε ἡρμημένοι καὶ ἠπλωμένοι. τί τούτου παραδοξότερον, μα-
θόντες ἡμῶν τὴν ὑγίειαν ἐξ ὧν ἠρωτήσαμεν. οὐ γὰρ περὶ θεότητος διηνέχθημεν, ἀλλ' ὑπὲρ
εὐταξίας ἠγωνισάμεθα, οὐδ' ὁποτέραν δεῖ τῶν ἀσεβειῶν ἑλέσθαι μᾶλλον ἠμφισβητήσα-
μεν, εἴτε τὴν συναιροῦσαν θεόν, ἢ τὴν τέμνουσαν· εἴτε τὸ πνεῦμα μόνον ἀπὸ τῆς θείας οὐσίας,
εἴτε καὶ τὸν υἱὸν πρὸς τῷ πνεύματι, τὴν μίαν μοῖραν, ἢ τὰς δύο τῆς ἀσεβείας. ταῦτα γὰρ ὡς
ἐν κεφαλαίῳ περιλαβεῖν τὰ νῦν ἀρρωστήματα, ἐπειδὴ ἀναβάσεις ἐν τῇ καρδίᾳ τίθενται,
οὐχ ὁμολογίας, ἀλλ' ἀρνήσεως οὐδὲ θεολογίας, ἀλλὰ βλασφημίας. ἄλλος γὰρ ἄλλου φιλο-
τιμότερος ἐν τῷ πλήθει τῆς ἀσεβείας, ὥσπερ δεδοικότες, οὐ τὸ ἀσεβεῖν, ἀλλὰ τὸ μέτρια καὶ
ἑτέρων φιλανθρωπότερα. ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὑπὲρ μὲν θεότητος, συμφρονοῦμέν τε
καὶ συμβαίνομεν, οὐχ ἧττον ἢ πρὸς ἑαυτὴν ἡ θεότης. εἰ μὴ μέγα τοῦτο εἰπεῖν καὶ γεγόναμεν,
χεῖλος ἓν καὶ φωνὴ μία, ἐναντίως ἢ οἱ τὸν πύργον οἰκοδομοῦντες τὸ πρότερον. οἱ μὲν γὰρ ἐπὶ
κακῷ συνεφρόνουν. ἡμῖν δὲ ἐπὶ παντὶ βελτίστῳ τὰ τῆς ὁμονοίας, ἵν' ὁμοθυμαδὸν ἐν ἑνὶ στό-
ματι δοξάζωμεν τὸν πατέρα καὶ τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα. καὶ τοῦτο λέγηται περὶ ἡ-
μῶν, ὅτι ὄντως ὁ θεὸς ἐν ἡμῖν ἐστιν, ὁ τοὺς αἰνοῦντας αὐτὸν αἰνῶν, καὶ δοξάζων τοὺς δοξάζοντας·
καὶ μὴ λέγηται μόνον, ἀλλὰ καὶ πιστεύηται. ἀλλὰ δ' ἔστιν ὑπὲρ ὧν διηνέχθημεν. καὶ καλῶς γε
καὶ περὶ ταύτην, οὐ γὰρ ἀρνήσομαι· ἐχρῆν γὰρ μηδὲ μίαν διδόναι τῷ πονηρῷ πάροδον ἢ λα-
βήν, μηδὲ ταῖς πονηραῖς γλώσσαις ἐλευθερίαν· πλὴν οὐ τοσοῦτον, ὅσον δοκεῖ τοῖς τὰ ἡμέτερα
διαβάλλουσιν. ἐπειδὴ γὰρ ἔδει τι καὶ ἁμαρτάνειν ὄντας ἀνθρώπους, τοῦτό ἐστιν ὃ ἐπταίσαμεν,
λίαν φιλότιμοι γεγόναμεν. καὶ οὐκ ἔχομεν εὑρεῖν ἀγαθῶν δύο τὸ αἱρετώτερον, ἕως συνέ-
βημεν ἀμφότερα ἐπίσης θαυμάζειν. τοῦτο ἡμῶν τὸ ἔγκλημα, περὶ τούτου ἡμᾶς ὁ βουλόμενος
εὐθυνέτω, ἢ ἀφιέτω. τοῦτο τῶν αἱρετικῶν ἡ ἀσφάλεια. ὑπὲρ δὲ τούτου οὐδὲν οὐδ' αὖ σφόδρα
βούλησθε. μυῖαι σαπριοῦσιν ἔλαιον, φησὶν ὁ εἰπών, ἐννεκρούμεναί τι καὶ ἐνσηπόμεναι· τὰ δὲ
καλὰ ὁ φθόνος, βουλήσεται μέν, οὐ δυνήσεται δέ· πάντως γὰρ ἰσχυρότερον, ὡς τῷ Ἔσδρᾳ
καὶ μοὶ δοκεῖ ἡ ἀλήθεια. τὰ μὲν οὖν ἡμέτερα ἡμεῖς ἐν ἡμῖν αὐτοῖς καὶ διαλεψόμεθα καὶ δια-
λυσόμεθα. οὐ γὰρ οἷόν τι παῖδας πατράσι δικάζειν καλῶς, καὶ ἅμα τῆς κοινῆς τελειώσεως μετα-
τευχούσης, ὑπὲρ ἧς πολεμούμεθα, καὶ δι' ἣν οὐ πολεμήσομεν. ἐγὼ τῆς εἰρήνης ἐγγυητής, ὁ μικρὸς
τοῦ πρώτου πλάσματος. ἐπειδὴ ταπεινοῖς δίδωσι χάριν ὁ κύριος, ταπεινοῖ δ' ὑψηλοὺς ἕως
γῆς. ὑμῖν δὲ τί τοῦτο τοῖς κοινοῖς ἡμῶν διαλλακταῖς; διαλλακταὶ γάρ ἐστε, καὶ ἀκουσίως τοῦτο
χαρίζεσθε. οὐ γὰρ ὑμεῖς εὐσεβεῖς, εἰ κακοὶ περί τι μικρὸν ἢ μεῖζον ὑμεῖς. ἀλλ' ἡμεῖς μὲν οὐκ ἐπαι-
νετοὶ τῆς κακίας, εἴπερ τι πταίομεν· ὑμεῖς δ' οὐδὲν ἧττον ἀσεβεῖς, κἂν ἡμεῖς ἁμαρτάνωμεν, εἰ μὴ
καὶ μᾶλλον ὅσῳ καὶ πταιόντων ἐστὲ βαρύτεροι. καὶ ἵν' εἰδῆτε τὰ πάντα συμφρονοῦντας ἡ-
μᾶς, καὶ διὰ τοῦτον, ὅτι καὶ ἀεὶ συμφρονήσομεν μάθητε. πέπεικε μέν, ὡς οἶμαι, καὶ τὸ ὁρώ-
μενον, πατὴρ εὐγνώμων, καὶ παῖς εὐπειθής, ἀλλήλοις συγκαθεζόμενοι, καὶ συμπρέποντες. εἰ
ἔτι ζώπυρον ἐν ὑμῖν ὑπάρχει, εὐνοίας τι καὶ συμπνοίας, τοῦτο ἀνάψαντες. πεισάτω δὲ καὶ ὁ
λόγος. τοῦ μὲν δὴ ἀκηκόατε, καὶ τὸ θαῦμα ἐνηχεῖταί τι ταῖς ἐμαῖς ἀκοαῖς. καὶ οἶδ' ὅτι μεῖζον
ἐν ὑμῖν τοῦ εἰς τὸν ἀέρα χυθέντος, τὸ ἐν ταῖς ψυχαῖς ἀποκείμενον. ἡμῶν δ' ἀκούσατε πάλιν,
εἰ πάλιν ποθεῖτε. καὶ εἰ μή τῳ πρὸς ἀπόδειξιν ἱκανὰ τὰ δημοσιευθέντα πολλάκις. καὶ οἱ
πειρασμοί, καὶ οἱ λιθασμοί, οὓς τι ἤδη πεπόνθαμεν, καὶ οἷς ηὐτρεπίσμεθα· οὐ τὸ παθεῖν ζημί-
αν, τὸ δὲ μὴ παθεῖν κρίνοντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῶν ὑπὲρ Χριστοῦ κινδύνων γεγεύμεθα,
ὧν καὶ καρπὸν ἄριστον ἐνηγκάμεθα τὴν τοῦ λαοῦ τοῦδε συναύξησιν. τί οὖν βούλεσθε; ἐπειδὴ
τοῦτο, καὶ οὐδὲν δεῖ πραγμάτων ἡμῖν, οὐδὲ θεολογίας δευτέρας, καὶ φείδεσθε τῆς ἐμῆς ἀσθενείας,
ὑφ' ἧς καὶ ταῦτα μόλις ὑμῖν φθέγγομαι. ἢ δεῖ καθάπερ τοῖς βαρέσι τῶν ἀκοῶν πολλάκις
τὸν αὐτὸν ἐνηχεῖν λόγον, ἵνα γ' οὖν ἐπιμόνῳ τῆς φωνῆς, εἰς ὦτα λαλήσωμεν ἀκουόντων. δοκεῖ τί μοι
τὸν λόγον

ὧν λόγοι πλέον ἐκλάλησε διὰ τῆς ἡσυχίας. καὶ γὰρ τὴν σιωπὴν, συγκατάθεσιν εἶναι διδάσκει καὶ ἡ παροιμία. οὐκ οὖν δέξασθε λόγον ἀμφοτέρωσε, ἐκ μιᾶς ψυχῆς καὶ ἑνὸς στόματος. ἄχθομαι δ' ὅτι μὴ ἐπί τι ὄρος τῶν ὑψηλοτέρων ἀνελθὼν, μηδὲ φωνὴν λαβὼν τῆς ἐνθυμίας ἀξίαν, πᾶσιν ὁμοῦ τοῖς φρονοῦσι κακῶς ταῦτα φθέγγομαι, ὥσπερ ἐν κοινῷ θεάτρῳ τῇ οἰκουμένῃ, υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος, οὐ μίαν οὐδ' ἁπλῆν θεότητος φύσιν εἰσάγοντες, ἀλλ' ἤτοι τρεῖς ἀπεξενωμένας ἀλλήλων καὶ διεσπασμένας. οὐ θαυμαστὸν δ' εἰπεῖν καὶ μαχομένας ὑπερβολαῖς καὶ ἐλλείψεσιν. ἢ μίαν μὲν, μικροπρεπῆ δέ τινα καὶ στενὴν, οὐκ ἔχουσαν τὸ μεγάλην εἶναι ἀρχὴν, ὥσπερ οὐ δυνηθεῖσαν, ἢ οὐ θελήσασαν. καὶ τοῦτο διχῶς, ἢ διὰ φθόνον, ἢ διὰ φόβον· τὸ μὲν, ἵνα μή τι ὁμότιμον συνεισάγηται, τὸ δὲ, ἵνα μὴ ἐχθροὺς καὶ μαχομένους. καίτοι ὅσῳ τιμιωτέρους θεὸς κτισμάτων, τοσούτῳ μεγαλοπρεπέστερον τῇ πρώτῃ αἰτίᾳ, θεότητος εἶναι ἀρχὴν ἢ κτισμάτων, καὶ διὰ θεότητος μέσης ἐλθεῖν ἐπὶ τὰ κτίσματα· ἢ τοὐναντίον τούτων εἵνεκεν ὑποστῆναι θεότητα, ὃ δοκεῖ τοῖς λίαν ἐξεταστικοῖς τε καὶ μετεώροις. εἰ μὲν γὰρ ἐμέλλομεν υἱοῦ καὶ πνεύματος τὴν ἀξίαν ὁμολογοῦντες, ἢ ἄναρχα ταῦτα εἰσάγειν, ἢ εἰς ἑτέραν ἀρχὴν ἀνάγειν, δέος ἂν ἦν ὄντως μὴ ἀτιμασθῇ θεὸς, ἢ κινδυνεύσῃ περὶ ἡμῶν τὸ ἀντίθεον. εἰ δ' ὅσον ἂν ἐξαίρῃς τὸν υἱὸν ἢ τὸ πνεῦμα, οὐχ ὑπὲρ τὸν πατέρα θήσεις, οὐδὲ τῆς αἰτίας ἀπεξενώσεις, ἀλλ' ἐκεῖθεν ἀνοίγεις τὸ καλὸν γέννημα, καὶ τὴν θαυμασίαν πρόοδον. προσερήσομαί σε ὀλίγα, φιλαρχότατε σὺ καὶ φιλάναρχε, πότερος μᾶλλον ἀτιμάζει θεὸν, ὁ τοιαύτην τιθεὶς ἀρχὴν, οἵαν αὐτὸς εἰσάγεις, ἢ ὁ μὴ τοιαύτην, ἀλλ' ὁμοίαν τὴν φύσιν καὶ ὁμόδοξον, καὶ οἵαν ὁ ἡμέτερος βούλεται λόγος. ἀλλὰ σοὶ μὲν εἰς τιμὴν μέγα καὶ μέγιστος ὁ σὸς υἱός· καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν τὰ πάντα πατρῴζῃ, καὶ χαρακτὴρ ᾖ γνήσιος τοῦ γεννήσαντος. καὶ οὐκ ἂν δέξαιο μυρίων ἀνδραπόδων εἶναι μᾶλλον δεσπότης, ἢ ἑνὸς γεννήτωρ παιδός. περὶ θεοῦ δ' ἄλλο τι μεῖζον, ἢ υἱοῦ τυγχάνειν πατέρα, ὃ προσθήκη δόξης ἐστὶν, οὐχ ὑφαίρεσις. ὥστε καὶ προβολέα πνεύματος. ἢ ἀγνοεῖς, ὅτι σὺ μὲν κτισμάτων τιθεὶς ἀρχὴν τὴν ἀρχὴν (λέγω δὴ υἱοῦ καὶ πνεύματος) οὔτε τὴν ἀρχὴν τιμᾷς, καὶ ἀτιμάζεις τὰ ἐξ αὐτοῦ· τὴν μὲν, τὸ μικρῶν εἰσάγειν ἀρχὴν, καὶ ἀναξίαν θεότητος· τὰ δὲ, τὸ μικρὰ, καὶ μὴ κτίσματα μόνον, ἀλλὰ καὶ πάντων κτισμάτων χείρω ἀτιμότερα, εἴγε τούτων εἵνεκεν ὑπέστη, καί ἐστιν ὥσπερ ὄργανα τεχνίτῃ πρὸ τῆς τεχνητῆς πρότερον οὐκ ὄντα, οὐδ' ἂν ἄλλως γενόμενα. εἰ μὴ τὴν κτίσαι δι' αὐτῶν ἐβουλήθη θεὸς, ὡς οὐκ ἀρκοῦντος τοῦ βούλεσθαι. πᾶν γὰρ ὅ τινος εἵνεκεν, ἀτιμότερον ἐκείνου δι' ὃ γεγένηται. ἐγὼ δὲ θεότητος ἀρχὴν εἰσάγων ἄχρονον καὶ ἀχώριστον καὶ ἀόριστον, τήν τε ἀρχὴν τιμῶ, καὶ τὰ ἐκ τῆς ἀρχῆς ἐπίσης, τὴν μὲν ὅτι τοιούτων ἀρχὴ, τὰ δὲ ὅτι οὕτως, καὶ τοιαῦτα ἐκ τοιούτου, μήτε τῷ ποτὲ, μήτε τῇ φύσει, μήτε τῷ σεπτῷ διειργόμενα, ἓν ὄντα διῃρημένως, καὶ διαιρούμενα συνημμένως, εἰ καὶ παράδοξον τοῦτο εἰπεῖν, οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἢ καθ' ἑαυτὸ ἕκαστον νοούμενόν τε καὶ λαμβανόμενον, τριάδα τελείαν ἐκ τελείων τριῶν· μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον. πρώτη γὰρ ὑπερβαίνει δυάδος σύνθεσιν, ἵνα μήτε στενὴ μένῃ ἡ θεότης, μήτε εἰς ἄπειρον χέηται. τὸ μὲν γὰρ ἀφιλότιμον, τὸ δὲ ἄτακτον. καὶ τὸ μὲν ἰουδαϊκὸν παντελῶς, τὸ δὲ ἑλληνικὸν καὶ πολύθεον. σκόπει δὲ κἀκεῖνο, καὶ ἴσως οὐκ ἀπαιδεύτως, οὐδὲ ἀμαθῶς, ἀλλὰ καὶ λίαν ἐπεσκεμμένως, ὅτι σοὶ μὲν κίνδυνος οὐδὲ εἷς γεννητὸν εἰσάγοντι τὸν υἱόν. οὐ γὰρ μὴ πάθῃ τι γεννῶν ὁ ἀγέννητος τῶν σωματικῶν τε καὶ ὑλικῶν, ὅτι μηδὲ σῶμα. καὶ τοῦτο αἱ κοιναὶ περὶ θεοῦ παραχωροῦσιν ὑπολήψεις. ὥστε τί φοβούμεθα φόβον οὗ μή ἐστι φόβος, καὶ ἀσεβοῦμεν διὰ κενῆς ὃ δὴ λέγεται, ἐμοὶ δὲ κίνδυνος ζημιωθῆναι θεότητα, εἰ τὸ κτίσμα παραδεξαίμην. οὐ γὰρ θεὸς τὸ κτιζόμενον, οὐδὲ δεσποτικὸν τὸ ὁμόδουλον, κἂν τὰ πρῶτα φέρηται δουλείας καὶ κτίσεως. καὶ τοῦτο μόνον φιλανθρωπεύεται ὑβριζόμενον. ὁ γὰρ τῆς ὀφειλομένης ἀποστερῶν τιμῆς, οὐ μᾶλλον τιμᾷ τὸν διδόμενον, ἢ ἀτιμάζει τὸν ἀφαιρούμενον, κἂν προσποίησιν ἔχει τιμῆς τὸ γινόμενον. καὶ εἰ σοὶ πλάττητε πάθη περὶ τὴν γέννησιν, κἀμοὶ περὶ τὴν κτίσιν. οὐδὲ γὰρ τὸ κτιζόμενον. εἰ δὲ μὴ γένηται κατὰ σὲ, μηδὲ ἔκπτωσις κατὰ τὸν ἀληθῆ λόγον, δέξαι τοῦ λόγου σοι τὸ λειπόμενον, ὃ μικροῦ τὸ ἴσον λέγειν τολμῶσι διὰ τῆς προσηγορίας τοῦ κτίσματος. καὶ μὲν οὖν οὐδὲν ἂν ἐπιχειρήτους, οὐδ' ἐτόλμησεν τῷ κοινῷ βραβευτῇ καὶ διαιτητῇ τῆς θεότητος. οὐ γὰρ εἶχον ἄλλως εὐδοκιμεῖν, ἢ μακρὰν ἐκβάλλων θεὸν δεσποτείας, ὥσπερ ἐνταῦθα οἱ τυραννικοὶ τὸν τρόπον, καὶ πλεονεκτικοὶ τῶν ἀσθενεστέρων. ἐγὼ δὲ μίαν φωνὴν τὴν αὐτὴν καὶ σύντομον φθέγξομαι. τριὰς ὡς ἀληθῶς ἡ τριὰς ἀδελφοί, τριὰς δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις, ἢ τί κωλύει καὶ δεκάδα καὶ μυριάδα ὀνομάζειν, μηδὲ τοσούτων συντιθεμένων. πολλά γε τὰ ἀριθμούμενα, καὶ πλείω τούτων, ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἑνώσεις τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύ-

σεως. καὶ οὐκ ἐάσεις σκεδασθῆναι ἀριθμῷ λυομένῳ τὰ μὴ λυόμενα. οὕτω φρονοῦμεν καὶ οὕτως ἔχομεν, ὥστε ὅπως μὲν ἔχει ταῦτα πρὸς ἄλληλα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ τριάδι συγχωρεῖν εἰδέναι, καὶ οἷς ἂν ἡ τριὰς ἀποκαλύψῃ κεκαθαρμένοις, ἢ νῦν ἢ ὕστερον. αὐτοὶ δὲ μίαν καὶ τὴν αὐτὴν εἰδέναι φύσιν θεότητος, ἀνάρχῳ, καὶ γεννήσει, καὶ προόδῳ γνωριζομένην· ὡς νῷ τῷ ἐν ἡμῖν καὶ λόγῳ καὶ πνεύματι, ὅσα εἰκάσαι τοῖς αἰσθητοῖς τὰ νοητά, καὶ τοῖς μικροῖς τὰ μέγιστα. ἐπειδὴ μηδεμία εἰκὼν φθάνει πρὸς τὴν ἀλήθειαν, αὐτὴν ἑαυτῇ συμβαίνουσαν. ἀεὶ τὴν αὐτήν, ἀεὶ τελείαν, ἄποιον, ἄποσον, ἄχρονον, ἄκτιστον, ἀπερίληπτον· οὐδέποτε λείπουσαν ἑαυτῆς, οὔτε λείψουσαν, ζωὰς καὶ ζωήν, φῶτα καὶ φῶς, ἀγαθὰ καὶ ἀγαθόν, δόξας καὶ δόξαν, ἀληθινὸν καὶ ἀλήθειαν, καὶ πνεῦμα ἀληθείας, ἅγια καὶ αὐτοαγιότητα, θεὸν ἕκαστον, ἂν θεωρῆται μόνον, τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα· θεὸν τὰ τρία μετ᾽ ἀλλήλων νοούμενα, διὰ ταυτότητα τῆς κινήσεως καὶ τῆς φύσεως, οὔτε ὑπὲρ ἑαυτήν τι καταλείπουσαν, ἢ ὑπερβαίνουσαν ἄλλο τι. οὐ γὰρ ἦν. οὔτε μὴν ἑαυτήν τι καταλείψουσαν, ἢ ὑπερβησομένην. οὐκ ἔσται γάρ, οὔτε μὴν ἑαυτῆς τι παραδεχομένην ὁμότιμον. οὐ γὰρ ἐρανίζεταί τι τῶν κτιστῶν καὶ δούλων καὶ μετεχόντων καὶ περιγραπτῶν ἡ τῆς ἀκτίστου καὶ δεσποτικῆς, καὶ μεθεκτικῆς, καὶ ἀπείρου φύσεως. τὰ μὲν γὰρ πάντῃ πόρρω, τὰ δὲ προσεχῶς πλησιάζοντα καὶ πλησιάσοντα. καὶ τοῦτο οὐ φύσει, ἀλλὰ μεταλήψει καὶ τηνικαῦτα. ὅταν τὸ δουλεῦσαι καλῶς τῇ τριάδι, ὑπὲρ τὴν δουλείαν γένηται, εἴπερ μὴ καὶ τοῦτο αὐτῷ ἡ ἐλευθερία καὶ βασιλεία, τὸ γνῶναι καλῶς δεσποτείαν, ἀλλὰ μὴ φύρειν τὰ διεστῶτα, τοῦ ταπεινότητι. οἷς γὰρ τὸ δουλεῦσαι τοσοῦτον, πηλίκη τούτων ἡ δεσποτεία, καὶ εἰ τὸ γνῶναι μακαριότης, πηλίκον τὸ γινωσκόμενον; τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βούλεται, τοῦτο ἡ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ τὸ κοινὸν ὄνομα, πίστις καὶ ἀναγέννησις, ἄρνησις ἀθεΐας καὶ ὁμολογία θεότητος. τοῦτο γὰρ τὸ κοινὸν ὄνομα, ὥστε τὸ ἀτιμάζειν τι τῶν τριῶν ἢ χωρίζειν, ἀτιμάζειν ἐστὶ τὴν ὁμολογίαν· τὸ μὲν τὴν ἀναγέννησιν, τὸ δὲ τὴν θεότητα, τὸ δὲ τὴν θέωσιν, τὸ δὲ τὴν ἐλπίδα. ὁρᾶτε τί οὐ χαρίζεται ἡμῖν τὸ πνεῦμα θεολογούμενον, καὶ οἷα ζημιοῖ ἀθετούμενον. ἐῶ γὰρ λέγειν τὸν φόβον, καὶ τὴν ἀπειλουμένην ὀργήν, οὐ τοῖς τιμῶσιν, ἀλλὰ τοῖς ἀτιμάζουσι. ταῦτα ὡς ἐν βραχέσι πεφιλοσόφηται πρὸς ὑμᾶς δογματικῶς, ἀλλ᾽ οὐκ ἀντιλογικῶς· ἁλιευτικῶς, ἀλλ᾽ οὐκ ἀριστοτελικῶς· πνευματικῶς, ἀλλ᾽ οὐ κακοπραγμονικῶς· ἐκκλησιαστικῶς, ἀλλ᾽ οὐκ ἀγοραίως· ὠφελίμως, ἀλλ᾽ οὐκ ἐπιδεικτικῶς, ἵνα γνῶτε τὸ αὐτὸ φρονοῦντας ἡμᾶς, οἱ καθ᾽ ἡμῶν δημηγοροῦντες καὶ πανηγυρίζοντες, καὶ τοῦτο μόνον ὁμονοοῦντες, ἐν ἐμπνεομένοις, ἐμπνέοντας, καὶ μὴ καθάπερ οἱ λιμώττοντες ἀσθμολογῆτε τὰ μικρὰ ἡμῶν, εἴτε πταίσματα χρὴ λέγειν, εἴτε καὶ παίγνια, ὡς ἐστὶ τῆς ἄκρας κακοδαιμονίας, μὴ ἐν τοῖς ἰδίοις ἰσχυροῖς τὸ ἀσφαλὲς ἔχειν, ἀλλ᾽ ἐν τοῖς ἑτέρων σαθροῖς. ἰδοὺ δεξιὰς δίδομεν ἀλλήλοις, ἐν ταῖς ἡμετέραις ὄψεσιν. ἰδοὺ τῆς τριάδος τὰ ἔργα, τῆς ὁμοίως ἡμῖν δοξαζομένης τε καὶ προσκυνουμένης. τοῦτο ὑμᾶς χρηστοτέρους ποιήσει, καὶ ὀρθοδοξοτέρους, ὡς ὄφελόν γε καὶ ἀκουσθείημεν, καὶ γένοιτο τὴν ἡμέραν ταύτην, ἡμέραν γενέσθαι κλεινὴν ἁγίαν, μὴ ἀντιλογίας, ἀλλ᾽ εὐχαριστίας, μὴ πειρασμοῦ μνημόσυνον, ἀλλ᾽ ἑορτὴν ἐπινίκιον, ἵνα τὸ ἡμᾶς συμφρονεῖν ἀλλήλοις, καὶ μικροῦ πᾶσαν τὴν οἰκουμένην, ἧς τὰ μὲν ὑγιῶς ἔχει, τὰ δὲ νῦν ἀπέλαβε τὴν ὑγίειαν, τὰ δὲ ὑγιαίνειν ἄρχεται. τοῦτο καὶ ὑμῖν αἴτιον γένηται σωτηρίας καὶ ἀναπλάσεως. ὦ τριὰς ἁγία καὶ προσκυνητὴ καὶ μακρόθυμε. μακρόθυμος γὰρ εἶ ἤδη τοσοῦτον ἀνεχομένη τῶν σε τεμνόντων. ὦ τριάς, ἧς ἐγὼ κατηξιώθην, καὶ λάτρης εἶναι καὶ κῆρυξ ἐκ πλείονος ἀνυπόκριτος. ὦ τριὰς ἡ πᾶσί ποτε γνωσθησομένη, τοῖς μὲν τῇ ἐλλάμψει, τοῖς δὲ τῇ κολάσει, δέξαιο καὶ τούτους προσκυνητὰς σοὺς νῦν ὑβριστάς, καὶ μηδένα ζημιωθείημεν, μηδὲ τῶν ἐλαχίστων, κἂν ἐμέ τι ζημιωθῆναι δέοι τῆς χάριτος. οὐ γὰρ τολμῶ τοσοῦτον, ὅσον ὁ ἀπόστολος φθέγξασθαι, ἀλλ᾽ οὐ ταῦτα φίλα ὑμῖν. ἀναφαίνεται δ᾽ ἡ γλῶσσα, καὶ ὠδίνει τὴν ἀντίῤῥησιν; ὀψόμεθα καὶ ταύτην ποτέ, οἷς μᾶλλον ἡμῖν χολὴ πλείστη. γνωσόμεθα καὶ τὰ κομψὰ ὑμῶν γεννήματα, ἢ ἐξαμβλώματα, ἐπειδὰν τὰ ᾠὰ τῶν ἀσπίδων ῥήξαιτε, ἢ συντρίψαιτε λόγῳ σκληρῷ καὶ ἀντιτύπῳ, οὕτω καὶ ἀνεμιαῖα ταῦτα ἀπελέγξωμεν, καὶ τὸν ἐν αὐτοῖς τῆς ἀσεβείας κρυπτόμενον βασιλίσκον εἰς μέσους ἀγάγωμεν, εἰ καὶ βασιλίσκους, ἀλλὰ μικρόν τι καὶ ἀτελῆ, καὶ ἀκινδύνους, τοὺς ὠδῖσιν ἐναποθανόντα, καὶ πρὶν γεννηθῆναι οὐκ ὄντα καθ᾽ ὑμᾶς εἰπεῖν, ἵνα τί μικρὸν ὑμῖν καὶ χαρίσωμαι, οὐ μᾶλλον μισητὸν τῆς συλλήψεως, ἢ ἐλεεινὸν τῆς ἀμβλώσεως, τοῦτο διὰ τί ἡμῖν εὖ οἶδ᾽ ὅτι ὁ δοὺς ἡμῖν ἐπὶ ἀσπίδα καὶ βασιλίσκους ἐπιβαίνειν, καὶ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, ὃς καὶ συντρίψει τὸν σατανᾶν ἐν τάχει ὑπὸ τοὺς πόδας ἡμῶν, εἴτε ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα διὰ τὴν παλαιὰν λαμπρότητα, εἴτε ὡς ὄφιν φεύγοντα διὰ τὴν ὑστέραν σκολιότητα, καὶ τὴν εἰς τὸ χαμερπὲς μεταποίη-

στι, ἵνα μικρόν τι τῶν κακῶν ἀναπνεύσωμεν, ἀποδρασάσης πάντοθεν ὀδύνης καὶ λύπης καὶ στεναγμοῦ, νῦν τε καὶ ὕστερον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΡΗΝΙΚΟΣ Γ. ΛΕΧΘΕΙΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΟλει ἐπὶ τῇ γενομένῃ τοῦ λαοῦ φιλονεικίᾳ, περὶ ἐπισκόπων τινῶν διενεχθέντων πρὸς ἀλλήλους.

Εἰρήνη φίλη, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, ὃ νῦν ἔδωκα τῷ λαῷ καὶ ἀντέλαβον. οὐκ οἶδα εἰ παρὰ πάντων γνησίαν φωνὴν καὶ ἀξίαν τοῦ πνεύματος, ἀλλὰ μὴ δημοσίας συνθήκας ἀθετουμένας ὑπὸ θεῷ μάρτυρι, ὥστε καὶ μεῖζον εἶναι ἡμῖν τὸ κατάκριμα. εἰρήνη φίλη, τὸ ἐμὸν μελέτημα καὶ καλλώπισμα, ἣν θεοῦ τε εἶναι ἀκούομεν, καὶ ἧς θεὸν τὸν θεὸν καὶ αὐτὸ θεόν. ὡς τὸ· ἡ εἰρήνη τοῦ θεοῦ, καὶ ὁ θεὸς τῆς εἰρήνης, καὶ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ οὐδ᾽ οὕτως αἰδούμεθα. εἰρήνη φίλη, τὸ πρᾶγμα καὶ τὴν μὲν ἐπαινούμενον ἀγαθόν, ὑπ᾽ ὀλίγων δὲ φυλασσόμενον, ποῦ ποτε ἀπέλιπες ἡμᾶς, τοσοῦτον ἤδη χρόνον, καὶ πότε ἐπανήξεις ἡμῖν, ὡς σὲ ποθῶ καὶ ἀσπάζομαι διαφερόντως τῶν ἄλλων ἀνθρώπων, καὶ παροῦσαν ποθῶ. καὶ ἀποῦσαν ἀνακαλοῦμαι, πολλοῖς θρήνοις καὶ δάκρυσιν, οἵοις οὔτε Ἰακὼβ ἐπὶ τὸν Ἰωσὴφ ἐκεῖνον ὁ πατριάρχης, ὑπὸ μὲν τῶν ἀδελφῶν πεπραμένον, ὑπὸ δὲ θηρὸς ἡρπασμένον, ὡς ᾤετο. οὔτε Δαβὶδ Ἰωνάθαν τὸν ἑαυτοῦ φίλον, ἔργον πολέμου γενόμενον, ἢ τὸν υἱὸν Ἀβεσσαλὼμ ὕστερον. ὧν ὁ μὲν σπλάγχνοις πατρικοῖς ἀποκλαιόμενος, θηρίον ἥρπασεν ἔλεγε τὸν Ἰωσήφ. θηρίον πονηρὸν καὶ αἱμοβόρον, καὶ τὴν τοῦ παιδὸς ἐσθῆτα ᾑμαγμένην προθείς, ὡς τὰς τοῦ παιδὸς σάρκας περιέπτυσσε, αὐτοῦ καὶ φλεγόμενος καὶ παραμυθούμενος. ὁ δὲ νῦν μὲν τοῖς ὄρεσι καταρᾶται καθ᾽ ὧν ὁ πόλεμος, ὄρη τὰ Γελβουὲ λέγων, μὴ πέσοι ἐφ᾽ ὑμᾶς, μήθ᾽ ὑετὸς μήτε δρόσος, καὶ πῶς τόξον ἐπέστρεψεν Ἰωνάθαν καὶ δύναμις. νῦν δ᾽ ἀπολογεῖται, ὡς οὐδὲν ἠδικηκότι τῷ πατροφόνῳ, καὶ τῷ νεκρῷ ἐπάδεται, ἴσως καὶ κατὰ τοῦτο ὑπεραλγῶν τοῦ παιδός, ὅτι κατὰ τοῦ πατρὸς ἀνέτεινε τὰς χεῖρας. τοιοῦτο γὰρ καὶ ὁ πατήρ, ὃν ὡς ἐχθρὸν ἠμύνατο πολεμοῦντα, ὡς φίλον πενθεῖ τεθνηκότα, καὶ νικᾷ τὴν ἔχθραν ἡ φύσις, ἧς οὐδὲν βιαιότερον. ἐλεεινὸν δὲ καὶ ἡ Σιὼν ὑπὸ τῶν ἀλλοφύλων καταπατουμένη καὶ Ἱερουσαλὴμ ἠδαφισμένη, καὶ ὑπὸ ἐθνῶν πατουμένη, καὶ υἱοὶ Σιών, οἱ τίμιοι καὶ ἐπαρτοὶ χρυσίῳ, πορευόμενοι ἐν αἰχμαλωσίᾳ, καὶ νῦν ἔτι διεσπαρμένοι, καὶ λαὸς ὄντες τῆς οἰκουμένης ξένος καὶ πάροικος. δεινὸν δὲ καὶ τὰ νῦν ὁρώμενά τε καὶ ἀκουόμενα, πατρίδες αἰχμαλωτιζόμεναι, καὶ μυριάδες πίπτουσαι, καὶ καμμύουσα γῆ τοῖς αἵμασι, καὶ τοῖς πτώμασι, καὶ λαὸς ἀλλόγλωσσος, ὡς οἰκείαν διατρέχων τὴν ἀλλοτρίαν. οὐδ᾽ ἀνανδρίαν τῶν προμαχομένων κατηγορείτω μηδείς. οὗτοι γάρ εἰσιν οἱ μικροῦ πᾶσαν τὴν οἰκουμένην παραστησάμενοι. ἀλλὰ διὰ τὴν ἡμετέραν κακίαν, καὶ τὴν ἐπικρατοῦσαν κατὰ τῆς Τριάδος ἀσέβειαν. δεινὰ ταῦτα καὶ πόρρω δεινῶν. τίς ἀντερεῖ; τίς συμφορὰς δοκιμάζειν εἰδότων, ἐξ ὧν πεπόνθασιν, ἢ συμπεπόνθασιν. ἀλλ᾽ οὔπω τοσοῦτον οὐδέν, ὅσον εἰρήνη διωγμένη, καὶ ἡ τῆς ἐκκλησίας εὐπρέπεια περιῃρημένη, καὶ τὸ παλαιὸν ἀξίωμα καταλελυμένον· καὶ παρ᾽ ἃ τοσοῦτον ἡ τάξις ἀνατετραμμένη. ὥστε πρότερον μὲν ἐξ οὐ λαοῦ λαός, καὶ ἐξ οὐκ ἔθνους ἔθνος γεγόναμεν. νῦν δὲ κινδυνεύομεν, ἐκ λαοῦ μεγίστου καὶ ἐθνῶν, εἰς οὐ λαὸν πάλιν καὶ οὐκ ἔθνος ἀναλυθέντες γενέσθαι ὡς τὸ ἀπ᾽ ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδ᾽ εἰς σὸν ὄνομα καὶ τάγμα συνεληλύθαμεν. καὶ ὄντως κινδυνωδέστερον εἶναι δυσπραγεῖν εἰκῇ, ἢ εὐπραγίαν διασώσασθαι, ὁπότε καὶ ἡμεῖς ἡνίκα ἐπολεμούμεθα τοῖς διωγμοῖς ῥωσθέντες καὶ συναχθέντες ἡνίκα συνειχόμεθα, διελύθημεν. τίς δ᾽ οὐκ ἂν ὀδύραιτο εὖ φρονῶν τὰ παρόντα; τίς δαὶ λόγον εὑρήσει τῇ συμφορᾷ παρεσσομένοις· λῃσταῖς μὲν εἰρηνεύειν, οὓς κακία συνέδησε καὶ τοῖς τυραννίδι συμπεπαγμένοις ἢ κλοπῆς κοινωνοῖς, ἢ στάσεως συνωμόταις, ἢ μοιχείας συλλήπτορας. ἔτι δὲ χορῶν συστήματα, καὶ στρατῶν τάγματα, καὶ ναῶν πληρώματα. ἐῶ γὰρ λέγειν κλήρους ἐξ ἴσου διαιρουμένων, καὶ πολιτείας ἀντιθέντων, καὶ διαδοχὰς λειτουργιῶν, καὶ ἀρχὰς τάξει περιούσας. καὶ νόμῳ. καὶ τὴν πολυύμνητον δὴ ταύτην σοφιστικὴν ἢ γραμματικὴν ἵνα μὴ λέγω φιλοσοφίαν περὶ ἣν νέων φιλοτιμία λυσσᾷ τε καὶ μέμηνε. ταύτην μὲν ὁρᾶν ὀλίγα μὲν στασιάζουσαν, τὰ πλείω δὲ εἰρηνεύουσαν, ἡμᾶς δὲ ἀσυνθέτους εἶναι καὶ ἀσυνδέτους, ὥστε μήποτε δύνασθαι εἰς ταυτὸν ἐλθεῖν, μηδέ τινα λόγον φαίνεσθαι τῆς νόσου ταύτης θεραπευτικόν. ἀλλ᾽ ὑπὸ κακίας μυσταγωγοὺς καὶ μύστας ὄντας οὐκ ἀρετῆς. πολλὰ μὲν ποιεῖσθαι τὰ τῆς διαστάσεως ὑπεκκαύματα· μικρὰ δέ, ἢ μηδ᾽ ὅλως τῆς ὁμονοίας φροντίζειν βούλεσθαι. καίτοι τούτων μὲν στασιαζόντων, οὐκ εἰς μέγα ἡ στάσις φέρει, τινάς τε καὶ στασιάζειν ἡ συμφο-

νῦν ἅμαρτον. τὰς γὰρ ἤδη κατ' ἐμοῦ συστάσεις, τίς ἂν ἐπαινέσειεν εὖ φρονῶν. ἡμᾶς δὲ εἴ τις ἐξε-
τάσειε, τί ποτε τιμωμένοις ὑμῖν καὶ προσκυνουμένοις; πρόχειρον εἰπεῖν, ἡ ἀγάπη. ὁ γὰρ
θεὸς ἡμῶν ἡ ἀγάπη ἐστὶ, φησὶ τοῦ ἁγίου πνεύματος, καὶ τοῦτο χαίρει μᾶλλον ἀκούων ὁ
θεὸς, ἢ τί ἄλλῳ; τί δαὶ νόμου καὶ προφητῶν κεφάλαιον, οὐκ ἄλλο ἢ τοῦτο συγχωρήσει ὁ
εὐαγγελιστὴς ἀποκρίνασθαι. τί δὴ παθόντες οἱ τῆς ἀγάπης οὕτω μισοῦμέν τε καὶ μισού-
μεθα, καὶ οἱ τῆς εἰρήνης πολεμοῦμεν ἀκήρυκτά τε καὶ ἀκατάλλακτα, καὶ οἱ τοῦ ἀκρο-
γωνιαίου διϊστάμεθα, καὶ οἱ τῆς πέτρας σειόμεθα, καὶ οἱ τοῦ φωτὸς ἐσκοτίσμεθα καὶ οἱ
τοῦ λόγου τοσαύτης ἐσμὲν σιγῆς ἢ ἀλογίας, ἢ παραπληξίας. ἢ οὐκ οἶδ' ὅ, τι καὶ ὀνομάσω
μετοὶ, ὥστε τροφῆς μὲν καὶ ὕπνου καὶ ᾠδῆς κόρος ἐστὶ, καὶ τῶν αἰσχίστων ὡς λέγουσι, καὶ
πλησμονὴ πάντως, οὐ τῶν ἀλγεινῶν μόνον, ἀλλ' ἤδη καὶ τῶν ἡδίστων, καὶ πάντα ἐσάλ-
λαλα περιχωρεῖ τε καὶ περιτρέπεται. ἡμῖν δ' οὐδεὶς ὅρος τοῦ βάλλειν καὶ βάλλεσθαι,
οὐ τοῖς ἑτεροδοξοῦσι μόνον, καὶ κατὰ τὸν τῆς πίστεως λόγον διεστηκόσιν. ἧττον γὰρ ἦν ἀλγει-
νόν, καὶ ὁ ζῆλος ἀπολογία πραγμάτων ἐπαινουμένων· ἐὰν οἱ ὅροις ἴσοι ἦτε, ἤδη δὲ καὶ
τοῖς ὁμοδόξοις, καὶ πρὸς τοὺς αὐτοὺς, καὶ ὑπὲρ τῶν αὐτῶν στασιάζουσι. τοῦτο γὰρ τὸ μο-
χθηρότατον ἢ ἐλεεινότατον. καὶ τὸ αἴτιον τί; φιλαρχία τυχὸν, ἢ φιλοχρηματία, ἢ φθό-
νος, ἢ μῖσος, ἢ ὑπεροψία, ἢ τί τῶν ὅσα μηδὲ τοὺς ἀθέους ὁρῶμεν πάσχοντας. καὶ τὸ χεῖ-
ρον, ἡ τῶν ψήφων μετάθεσις· ὅταν ἄρχωμεν, εὐσεβεῖς ἐσμεν καὶ ὀρθόδοξοι, καὶ κατα-
φθεγγόμεθα ψευδῶς ἤδη τὴν ἀλήθειαν, ὡς ὑπὲρ πίστεως στασιάζοντες. καὶ τοῦτο μόνον ἐ-
παινετὸν ποιοῦμεν, ὡς οἱ κακοὶ, εἰ μὴ καὶ λίαν αἰσχρὸν, ὅτι τὴν κακίαν ἐνθειῶντες,
ἤδη σεμνότερον ὄνομα μεταβαίνομεν τὴν εὐσέβειαν. ἐμβρόντητε καὶ πολύτροπε εἴποι
τις ἂν, καὶ πλάσμα τοῦ πονηροῦ, καὶ τοῦ σοφιστοῦ τῆς κακίας, ὅς τις ποτὲ εἶ ὁ τοῦτο πά-
σχων, ἢ τό γε ἀληθέστερον εἰπεῖν, ἀνοητότατε, οὗτός σοι χθὲς ἦν εὐσεβὴς, καὶ πῶς ἀ-
σεβὴς σήμερον, μηδὲν προσθεὶς, μηδὲ ἀφελὼν, μήτε ῥήματι, μήτε γράμματι, ἀλλ'
ἤδη τὴν αὐτὴν ἑστάμενος, ὃς ἀναπνεῖ τὸν αὐτὸν ἀέρα, καὶ τοῖς αὐτοῖς ὄμμασι προβλέ-
πει τὸν αὐτὸν ἥλιον. εἰ βούλει δ' ὡς περὶ ἀνθρώπων, ἢ μέτρων ἐρωτηθεὶς, οὐκ ἄλλό τι
ἢ ταῦτ' ἀποκρίνεται ἀλλὰ καὶ πόρνος σοι σήμερον ὁ χθὲς Ἰωσήφ. προβαίνει γὰρ καὶ
μέχρι τούτων ἡ νόσος· ὥσπερ τις φλὸξ διὰ καλάμης θέουσα, καὶ τὰ κύκλῳ περι-
λαμβάνουσα. καὶ Ἰούδας σήμερον, ἢ Καϊάφας, ὁ χθὲς Ἠλίας, ἢ Ἰωάννης. ἤ τις ἄλλος
τῶν μετὰ Χριστοῦ τεταγμένων, καὶ τὴν αὐτὴν ζώνην περιεζωσμένων, καὶ τὸ αὐτὸ ἀμπεχο-
μένων φαιὸν, ἢ μέλαν τριβώνιον, ὃ σεμνότης βίου προβάλλεται. κατά γε τὸν ἐμὸν
νόμον καὶ λόγον, καὶ τὸ καλὸν αὐτὸς τὴν ὑψηλὴν, τὴν ὠχρότητα, ἢ τὸ τῆς φωνῆς εὔ-
τακτον καὶ ἡσύχιον, ἢ τὸ τοῦ βαδίσματος ἐμβριθές τε καὶ ἥμερον. χθὲς μὲν φιλο-
σοφίαν, σήμερον κενοδοξίαν προσηγορεύσαμεν, καὶ τὴν αὐτὴν κατὰ πνεῦμα τὴν ἢ νό-
σον δύναμιν· ποτὲ μὲν τῷ Ἰησοῦ, ποτὲ δὲ τῷ Βεελζεβοὺλ προσάψαμεν, καὶ χρώμε-
θα ταύτην οὐ δικαίᾳ στάθμῃ τῇ φιλονεικίᾳ καὶ τῷ θυμῷ. καὶ ὥσπερ ἡ αὐτὴ γῆ, ἕστηκε
μὲν τοῖς ἐρρωμένοις, καὶ οὐ σκοτοδινῶσι· κινεῖται δὲ τοῖς ἰλιγγιῶσι καὶ περιτρεπομένοις
τοῖς τὴν ἑαυτῶν πάθησιν ἤδη τὸ ὁρώμενον μεταβαίνοντος. εἰ βούλει δὲ, ὥσπερ τὸ αὐτὸ
τῶν κιόνων διάστημα, πλεῖον μὲν τοῖς ἐγγυτέρω καὶ προσέχουσιν, ἔλαττον δὲ τοῖς πορ-
ρωτέρω φαίνεται κλεπτομένου τοῦ ἀέρος τῷ διαστήματι, καὶ συναπτούσης τῆς ὄψεως
τὰ παχύτερα. οὕτω καὶ ἡμεῖς ῥαδίως ἐξαπατώμεθα διὰ τὴν ἔχθραν, καὶ περὶ τῶν
αὐτῶν οὐ τὰ αὐτὰ φίλοι τε ὄντες καὶ μὴ, γινώσκομεν, καὶ χειροτονεῖ ῥαδίως ἡμῖν πολ-
λοὺς μὲν ἁγίους, πολλοὺς δ' ἀθέους παρὰ τὸ εἰκὸς ὁ καιρός. μᾶλλον δὲ πάντας ἀθλί-
ους, οὐ μόνον τὸ πρὸς πονηρὸν παράδειγμα βλέπειν ἡμᾶς, ἐπειδὴ πρόχειρον ἡ κακία καὶ
δίχα τοῦ ἕλκοντος· ἀλλ' ὅτι καὶ πᾶσι πάντα συγχωροῦμεν ἑτοίμως ὑπὲρ οἷος τοῦ συμβαί-
νεσθαι, καὶ πρότερον μὲν οὐδὲ ῥῆμα τῶν περιττῶν τι φθέγγεσθαι τὴν ἀκινδυνίαν ἦν. νῦν
δὲ λοιδορούμεθα καὶ τοῖς ἀσεβεστάτοις. καὶ πρὶν μὲν οὐδ' ἀναγινώσκειν ἔξω νόμου ἐξῆν,
οὐδ' ὁμολογίας ἤδη καλεῖσθαι· τὸ δ' ἴσον, ὡς ἐμοὶ δοκεῖ, τὴν τοῦ λαοῦ συγκατάθεσιν. νῦν
δὲ καὶ τῇ ἀπορρήτῳ τοῖς βεβήλοις χρώμεθα διαιτηταῖς, ῥίπτοντες τὰ ἅγια τοῖς κυ-
σὶ, καὶ βάλλοντες τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰς ἀ-
κοὰς αὐτῶν ἑστιῶμεν ταῖς κατ' ἀλλήλων ὕβρεσι. καὶ οὐδ' ἐκεῖνο δυνάμεθα συνορᾶν, ὅτι
οὐκ ἀσφαλὲς ὅπλον ἐχθρῷ πιστεύειν, οὐδὲ μισοῦντι Χριστιανοὺς κατὰ Χριστιανῶν λόγους·
ὃ γὰρ σήμερον ὠνειδίσαμεν, αὔριον ὠνειδίσθημεν. καὶ σαίνει τὸν λεγόμενον ὁ ἐχθρός,
οὐχ ὅτι ἐπαινεῖ, ἀλλ' ὅτι ἀποσαυείζει πικρῶς, ἵν' ἐν καιρῷ τοὺς ἰοὺς ἐμέσῃ κατὰ
τοῦ πιστεύσαντος. τί ταῦτα πάσχομεν ὦ οὗτοι. καὶ μέχρι τίνος; πότε δὲ τῆς μέθης ἐκνή-
ψομεν, ἢ τὴν ὀφθαλμιῶντες τὴν λήμην περιαιρεσόμεθα, καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς
ἀναβλέ-

ἄγω.

κόρος

Pallid fuscu̅, aut nigru̅.

ἀναβλέψομεν, ποία σκοτόμαινα ταῦτα, τίς νυκτομαχία, τίς ζάλη φίλους, καὶ πολεμίους ὄψιν οὐ διακρίνουσα, διατί γεγόναμεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν; τίς ἡ φιλοτιμία τοῦ κακοῦ; πόθεν οὕτως ἀθάνατα κάμνομεν· μᾶλλον δὲ οὐδὲ κάμνομεν, ἀλλ' ἐῤῥώμεθα περὶ κακῶν, μαινομένους τὸ πάθος, καὶ ἡδόμεθα δαπανώμενοι, καὶ οὐδαμοῦ λόγος, οὐ φίλος, οὐ σύμμαχος, οὐκ ἰατρὸς, ἢ φαρμακεύων, ἢ ἐκτέμνων τὸ πάθος, οὐ παραστάτης ἄγγελος, οὐ θεὸς, ἀλλὰ πρὸς τοῖς ἄλλοις, καὶ τὴν τοῦ θεοῦ φιλανθρωπίαν ἡμῖν αὐτοῖς ἀπεκλείσαμεν, ἵνα κύριε ἀφέστηκας μακρόθεν, καὶ ἕως ἀποστρέφῃ εἰς τέλος, καὶ πότε ἐπισκοπὴν ἡμῶν ποιήσῃ, καὶ ποῦ προβήσεται ταῦτα καὶ στήσεται. δέδοικα μὴ καπνὸς ᾖ τοῦ προσδοκωμένου πυρὸς τὰ παρόντα, μὴ τούτοις ὁ ἀντίχριστος ἐπιστῇ, καὶ καιροὺς λάβῃ τῆς ἑαυτοῦ δυναστείας, τὰ ἡμέτερα πταίσματά τε καὶ ἀῤῥωστήματα. οὐ γὰρ ὑγιαίνουσι προσβαλεῖ τυχὸν, οὐδὲ τῇ ἀγάπῃ πεπυκνωμένοις. ἀλλὰ δεῖ μερισθῆναι τὴν βασιλείαν ἐφ' ἑαυτὴν, εἶτα παραδοθῆναι καὶ δεθῆναι τὸν ἰσχυρὸν ἐν ἡμῖν λογισμὸν, εἶτα τὰ σκεύη διαρπαγῆναι, καὶ ταῦτα παθεῖν ἡμᾶς ἃ νῦν ὁρῶμεν τὸν ἐχθρὸν παρὰ χριστοῦ πάσχοντα. διὰ ταῦτα ἐγὼ κλαίω, φησὶ ἱερεμίας ἐν θρήνοις, καὶ ζητῶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων ἀρκούσας τῷ πάθει, καὶ καλῶ τὰς σοφὰς, ἵνα τὸν θρῆνον ἐργάσωνται. καὶ τὴν κοιλίαν ἀλγῶ, καὶ μαιμάσσω τὰ αἰσθητήρια. καὶ οὐκ ἔχω πῶς κατακλίνω τὸ ἄλγος, καὶ τίσι ῥήμασι. διὰ ταῦτα σιωπᾶται τὰ παλαιὰ, καὶ κωμῳδεῖται τὰ νέα. κωμῳδία γὰρ τοῖς ἐχθροῖς, ἡ ἐμὴ τραγῳδία. διὰ τοῦτο τὴν ἐκκλησιαστικὴν ὀφείλομεν οὐκ ὀλίγους, καὶ τῇ σκηνῇ προστεθείκαμεν, καὶ ταῦτα ἐν τοιαύτῃ πόλει, ἣ σπουδάζει τὸ τὰ θεῖα παίζειν ὥσπερ τι ἕτερον, καὶ θᾶττον ἄν τι τῶν ἐπαινουμένων γελάσειεν, ἢ παρίδοι τι τῶν γελοίων ἀγέλαστον. ὥστε θαυμάσαιμ' ἂν, εἰ μὴ κἀμὲ γελάσαι σήμερον τὸν ταῦτα λέγοντα, τὸν εὐσεβείας ἐπ' ἄλλῳ κήρυκα, καὶ μὴ πάντα γελᾶν, ἀλλ' ἔστιν ἃ καὶ σπουδάζειν διδάσκοντα. καὶ τί γελᾶν λέγω; θαυμαστὸς εἰμὶ καὶ δίκαιος ἅπαντι θέλων εὐεργετεῖν βουλόμενος. τοιαῦτα γὰρ τὰ ἡμέτερα, ὡς ἐμέ γε λυποῦσιν, ὅτι ἐκκλησίαι κατεχόμεναι, ὃ τάχ' ἄν τις πάθοι τὴν μικροπρεπῆ τὴν διάνοιαν, οὔτε χρυσὸς ἄλλοις ῥέων, οὔτε γλῶσσαι πονηραὶ, τὸ ἑαυτῶν ποιοῦσαι, λέγουσαι κακῶς, ἐπειδὴ καλῶς οὐκ ἔμαθον. οὐ γὰρ δέος, μή που τόπῳ περιγράφηται τὸ θεῖον, ἢ ὤνιον γένηται, ἢ ὅλον ἢ τῶν εὐπορωτέρων. ἐμέ τι οὐκ ἀμείψονται οἱ εὐφημοῦντες, ἢ δυσφημοῦντες, ὥσπερ οἱ βορβόρῳ μύρον ἀναμιγνύντες, ἢ μύρῳ βόρβορον, καὶ τὰς ποιότητας τῇ ἐπιμιξίᾳ συγχέοντες, ἵνα δυσχεραίνω τὰς βλασφημίας ὡς μεθισταμένας, ἢ πάλαι ἂν κατέβαλον χρήματα τοῖς ἐπαινέταις, εἴ με βελτίω τοῖς ἐπαίνοις εἰργάζοντο. νῦν δὲ οὐχ οὕτω τοῦτο ἔχει, πόθεν, ἀλλ' ὅπερ εἰμὶ τοῦτο μένω καὶ δυσφημούμενος καὶ θαυμαζόμενος· βροτοῖς δ' ἄλλως τίκτεται λόγοις, φησὶ ἰακώβ, καὶ ὅσα πέτραν περιῤῥέων ἀφρὸς, ἢ πίτυν αὖραι, ἢ πνεῦ τῶν δασέων καὶ ὑψηλῶν. τοσαῦτα αἱ γλῶσσαι με περιῤῥέουσι, καὶ ἅμα φιλοσοφῶ τι τοιοῦτο πρὸς ἐμαυτόν· ὡς εἰ μὲν ψευδὴς ὁ κατηγορῶν, οὐκ ἐμοῦ μᾶλλον ὁ λόγος, ἢ ἐκείνου τοῦ λεγομένου ἅπτεται, καὶ ἐμὲ ὀνόματι βλασφημεῖ, εἰ δ' ἀληθὴς, ἐμαυτὸν μᾶλλον, ἢ τὸν λέγοντα αἰτιάσομαι. παρ' ἐμοῦ γὰρ ἐκείνῳ τὸ λέγειν, οὐκ ἐμοὶ τὸ εἶναι τοιούτῳ παρὰ τοῦ λέγοντος, καὶ παραδραμὼν τὰς φωνὰς, ὡς οὐδὲν οὔσας, ἐμαυτοῦ γενήσομαι· τοῦτο μόνον αὐτῶν κερδαίνων τῆς μοχθηρίας, τὸ βιοῦν ἀσφαλέστερον. τρίτον δ' ὃ καὶ μέγιστον ἔχει τι καὶ μεγαλοπρεπὲς, ἡ λοιδορία, ὅτι μετὰ θεοῦ βλασφημούμεθα. οἱ γὰρ αὐτοὶ, διότι τὰ τρία σέβουσι, καὶ τὸν θεολόγον ὑβρίζουσιν. οὐκοῦν τούτων οὐδὲν δεινὸν, καὶ οἱ πολλοὶ νομίζωσιν, ἀλλ' ὅτι μηδεὶς ἔτι πιστεύεται πιστὸς εἶναι, μηδὲ τὴν ἀρετὴν ἄτεχνος, καὶ σκηνῆς ἐλεύθερος, μηδ' ἂν σφόδρα ᾖ τὴν ψυχὴν ἐῤῥωμένος, καὶ γνήσιος εἰς εὐσέβειαν· ἀλλ' ὁ μὲν καὶ φανερῶς κακὸν, ὁ δὲ πλάσμα καὶ χρῶμα ἔχει τὴν ἐπιείκειαν, ἵνα κλέπτῃ περὶ φαινομένῳ. καὶ οἱ μὲν οὐ δοκοῦσι μάλα τινὸς διά τινας τοιούτων, οὐδὲ δυσγενεῖς ἢ δυσειδεῖς, ἢ ἄνανδροι, ἢ ἀκόλαστοι, πλειόνων οὕτως ἐχόντων, ἀλλὰ καθ' ἑαυτὸν ἕκαστος κρίνεται, καὶ οὐ κοινοῦται, οὔτε τὴν ψεγομένην οὐδὲν, οὔτε τὴν ἐπαινουμένην. τὸ δὲ τῆς κακίας, εἰς πάντας χεῖται ῥαδίως, καὶ κοινὴ κατηγορία τοῦ παντὸς, μὴ ὅτι τῶν πολλῶν, ἀλλὰ καὶ τὸ τινῶν γίνεται. καὶ τὸ δεινότατον, ὅτι μὴ μέχρις ἡμῶν ἵσταται μόνον, ἀλλ' ἐπὶ τὸ μέγα καὶ σεμνὸν ἡμῶν διαβαίνει μυστήριον. τῶν γὰρ τὰ ἡμέτερα κρινόντων ὃ πᾶσι μικροῦ συμβαίνει, τοῖς τῶν ἀλλοτρίων κριταῖς· οἱ μὲν ἐπιεικῶς εἰσὶν ἥμεροι καὶ φιλάνθρωποι, οἱ δὲ καὶ λίαν πικροὶ καὶ ἀγνώμονες. οἱ μὲν δι' ἡμᾶς αὐτοὺς κακίζουσι τῆς μοχθηρίας ἀφιέντες τὸ δόγμα τῆς μέμψεως· οἱ δὲ κατὰ παντὸς τὸν νόμον αὐτὸν ὡς κακίας διδάσκαλον, καὶ μάλισθ' ὅταν πολλοῖς ἐντύχωσι πονηροῖς τῶν προστασίαν ἠξιωμένων.

τί ταῦτα ὦ οὗτοι, καὶ μέχρι τίνος; οὐ σωφρονισθησόμεθα ὀψέ γ' οὕτως; οὐκ ἐκνήψομεν; οὐκ αἰσχυνούμεθα, οὐκ εἰ μή τι ἄλλο τὰς τῶν ἐχθρῶν φυλαξόμεθα γλώσσας· αἳ καὶ τὰ ψευδῆ ῥᾳδίως ἐπεγχλευάζουσιν; οὐ παυσόμεθα τῆς ἄγαν φιλονεικίας; οὐ γνωσόμεθα, τίνα μὲν ἡμῖν ἐφεκτὰ τῶν ζητουμένων, καὶ μέχρι τίνος; τίνα δ' ὑπὲρ τὴν ἡμετέραν δύναμιν; καὶ τίνα μὲν τοῦ παρόντος καιροῦ, καὶ τῆς κάτω συγχύσεως ἐπισκοτούσης τῇ διανοίᾳ; τίνα δὲ τοῦ μέλλοντος αἰῶνος, καὶ τῆς ἐκεῖθεν ἐλευθερίας, ἵνα τὰ μὲν στέργωμεν τέως, τοῖς δὲ καθαιρώμεθα, ὡς ὕστερον πληρωθησόμενοι καὶ στησόμενοι τῆς ἐφέσεως; οὐ διαιρήσομεν ἐν ἡμῖν αὐτοῖς, τίνα μὲν ἐστὶ ζητητέον παντάπασι, τίνα δ' ὑπὲρ ὧν μετρίως, τίνα δὲ συγχωρητέον καὶ παραιτητέον τοῖς φιλερίστοις ὅπως ἂν ἔχῃ, ὡς οὐδὲν τὸν λόγον ἡμῶν παραβλάπτοντα· καὶ τίνα μὲν τῇ πίστει δοτέον μόνῃ, τίνα δὲ καὶ τοῖς λογισμοῖς, ὑπὲρ δὲ τίνων καὶ πολεμητέον ἐκθύμως, λογικῶς, ἀλλ' οὐχ ὁπλιτικῶς; τὸ γὰρ καὶ χεῖρας ἀνταίρειν, παντελῶς ἔξω τῆς ἡμετέρας αὐλῆς, καὶ τοῖς μισοῦσιν ἡμᾶς ἀφετέον, οὐχ ἅμα μὲν ὅρον εὐσεβείας ἡγησόμεθα προσκυνεῖν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν μίαν ἐν τοῖς τρισὶ θεότητά τε καὶ δύναμιν, μηδὲν ὑπεραίροντες, μηδ' ὑποβαίνοντες, ἵνα μικρόν τι καὶ αὐτὸς μιμήσωμαι τοὺς περὶ ταῦτα σοφούς. τὸ μὲν γὰρ ἀδύνατον, τὸ δὲ ἀσεβές. μηδὲ μέγεθος ἐν ὀνόματος καινότησι διακόπτοντες; οὐδὲν γὰρ ἑαυτοῦ μεῖζον, ἢ ἔλαττον. τούτου γοῦν ὡρισμένου, καὶ τἄλλα ὁμονοήσωμεν. οἱ γοῦν τῆς αὐτῆς τριάδος, καὶ τοῦ αὐτοῦ σχεδὸν δόγματός τε καὶ σώματος. τάς τε πολλάς τε καὶ ἀχρήστους παραφυάδας καὶ παραδόξους τῶν νῦν ζητημάτων, ὥσπερ τι νόσημα κοινὸν ἐκκόψομεν τε καὶ ἀναιρήσομεν· οὐκ ἤρκει μοι. τὰ γὰρ ἐκ τῶν ἔξωθεν ἐῶ λέγειν, τὸ Μοντανοῦ πονηρὸν πνεῦμα κατὰ τοῦ ἁγίου πνεύματος, καὶ ἡ Ναβάτου θρασύτης, ἔτου ἀκάθαρτος καθαρότης, τῇ τοῦ ῥήματος εὐπρεπείᾳ, τοὺς πολλοὺς δελεάζουσα. καὶ ἡ Φρυγῶν εἰς ἔτι καὶ νῦν μανία, πλησιωτέρα τε τῶν πλουμένων, μικροῦ τοῖς παλαιοῖς παραπλήσια. ἡ γελαστὴ ἄνοια, πλουτούντων ἐν πολλοῖς τῆς ἀσεβείας ὀνόμασι, καὶ ἡ Σαβελλίου συναίρεσις, ἡ Ἀρείου διαίρεσις, καὶ ἡ τῶν νῦν σοφιστῶν ἐντεῦθεν ἀποδιαίρεσις, τοσοῦτον διαφερόντων ὅσον γλῶσσα λάλος τῆς ἀργοτέρας. ἀλλ' ἔτι καὶ ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς σχεδόν τι διαφερόμεθα, οἱ περὶ τὸ κεφάλαιον ὑγιαίνοντες καὶ ὑπὲρ τὴν αὐτὴν καὶ πρὸς αὐτοὺς στασιάζοντες. λέγω δὴ τὴν ἐν αὐχ. ἡμῖν ἐπανάστασιν ζυγομαχίαν ἀδελφικήν, ἧς καὶ θεὸς ἀτιμάζεται καὶ ἄνθρωπος· ὁ μὲν οὐδὲ γεννηθεὶς ὑπὲρ ἡμῶν ὅλως, οὐδὲ τῷ σταυρῷ προσηλωθείς, δηλονότι οὔτε ταφείς, οὔτε ἀναστάς, ἢ ποῖον ἔδοξε τῶν κακῶς φιλοχρίστων, ἀλλ' ἐνταῦθα μόνον ἠρκούμενος, οὐ τὸ τῆς τιμῆς ἀτιμίᾳ καθίστησι, καὶ διὰ τοῦτο εἰς δύο υἱοὺς τεμνόμενος ἢ συντιθέμενος· ὁ δὲ οὐ πλέως προσλαμβανόμενος ἢ τιμώμενος, ἀλλὰ τοῦ μεγίστου παραιρούμενος, καὶ ἀρχαιότερος, ὅπερ μέγιστον ἐν ἀνθρώπου φύσει, τὸ κατ' εἰκόνα καὶ ἡ τοῦ νοῦ δύναμις. χρὴ γὰρ ἐπειδὴ θεὸς πεπίστωται, διαιρεῖσθαι τὴν ἀνθρωπότητα, καὶ περὶ τὸν νοῦν ἀνοηταίνειν τοὺς τἆλλα σοφούς, καὶ μὴ ὅλον με σώζεσθαι, ὅλον παίζεσθαι καὶ κατακρίνεσθαι ἐκ τῆς τοῦ πρωτοπλάστου παρακοῆς καὶ κλοπῆς τοῦ ἀντικειμένου, ὡς ἐλαττοῦσθαι τοῦ μὲν θεοῦ τὴν χάριν, ἡμῖν δὲ τὴν σωτηρίαν. οὐ μόνον δὲ ἄλλο τι καὶ ὑπὲρ ἀνθρώπων ἡμῖν ὁ πόλεμος τοῖς παρὰ θεοῦ σεσωσμένοις. καὶ τοσοῦτον τὸ περιὸν ἡμῖν τοῦ στασιώδους, ὥστε καὶ τοὺς τῶν ἄλλων φιλοτιμίας τούτοις ἐπιχρώσομεν, καὶ ὑπὲρ ἀλλοτρίων θρόνων ἰδίας ἔχθρας αἰρόμεθα, δύο τὰ μέγιστα περὶ ἐν ἐξαμαρτανόντων, ἐνίων τι τὸ φίλαρχον ὑπεκκαιόντων, καὶ αὐτοὶ τοῦ οἰκείου πάθους ἔρεισμα τοῦτο λαμβανόντων, καθάπερ ἀκρωνιζόμενοι, τὰς πλησίον πέτρας, ἢ τῶν θάμνων τὰς στερροτέρας, δέον κἀκείνους ποιεῖν διὰ τῆς ἑαυτῶν ἀπραγμοσύνης ἀσθενεστέρους. οὕτω γὰρ ἂν μᾶλλον αὐτοῖς, ἢ πολεμοῦντες ὑπὲρ αὐτῶν ἐχαριζόμεθα. νῦν δὲ οἱ μὲν συμμαχοῦσι καὶ συμμαχοῦνται λίαν ἐλεεινῶς· ὥς γοῦν ἐμοὶ δοκεῖ, ὥστε καὶ εἰς δύο μοίρας ἀντιπάλους ἤδη τὸν κόσμον ἀποκριθῆναι, καὶ τοῦτο σὺν πόνῳ μόγις, καὶ κατὰ μικρὸν συναχθέντα, καὶ πολλῶν αἵμασιν. ὅσον δ' εἰρηνικόν τι καὶ μέσον, ὑπ' ἀμφοτέρων πάσχει κακῶς, ἢ καταφρονούμενον, ἢ καὶ πολεμούμενον. ὧν καὶ ἡμεῖς ὄντες σήμερον ἐν ταῦτα κατηγορούντων καὶ διὰ τοῦτο τὴν καθέδραν ταύτην δεξάμενοι τὴν ἐπίμαχον, καὶ ἐπίφθονον, θαυμαστὸν οὐδέν, εἰ ὑπ' ἀμφοτέρων ἐκτριβόμεθα. καὶ στάντες ἐκ τοῦ μέσου μετὰ τῶν πολλῶν ἰδεῖν τὰς καὶ πένθους, ἣν ἐγγύθεν ἀλλήλους βάλλωσι, σὲ παντὶ τῷ θυμῷ μηδ' ἐν ὅς ὄντος ἐν μέσῳ διατειχίσματος καὶ κωλύματος. ταῦτα οὐ δακρύειν καὶ στένειν, μάλιστα μὲν θεοῦ τοῦ ταῦτα συνδέοντος. ἔπειτα δὲ καὶ ἀνθρώπων, ὅσοις τὸ καλὸν διεσπούδασται, καὶ τὸ τῆς ὁμονοίας ἀγαθὸν γνωρίζεται, ἀπὸ μὲν τῆς τριάδος ἀρξάμενον, ἧς οὐδὲν οὕτως ἴδιον ὡς τὸ ἓν τῇ φύσει, καὶ πρὸς ἑαυτὴν εἰρηναῖον. μεταληφθὲν δὲ ὑπὸ τῶν ἀγγελικῶν, καὶ θείων δυνάμεων, αἳ καὶ πρὸς θεόν, καὶ πρὸς ἀλλή-

πρὸς ἄλληλα εἰρηνικῶς ἔχουσι, προελθὸν μέχρι πάσης τῆς κτίσεως, ἧς κόσμος ἐστὶ καὶ ἀστασίαστον, ἐν ἡμῖν δὲ πολιτευσόμενον, κατὰ μὲν ψυχὴν τῇ τῶν ἀρετῶν ἀντακολουθήσει καὶ κοινωνίᾳ, κατὰ δὲ σῶμα τῇ τῶν μελῶν ἢ τῶν στοιχείων πρὸς ἄλληλα εὐαρμοστίᾳ καὶ συμμετρίᾳ· ὧν τὸ μὲν κάλλος, τὸ δὲ ὑγίεια ἐστί τε καὶ ὀνομάζεται. ἐπαινῶν δὲ ἔγωγε, καὶ τὸ τοῦ σολομῶντος, ὥσπερ παντὶ πράγματι, οὕτω δὲ καὶ πολέμου καὶ εἰρήνης νομοθετοῦντος καιρὸν, ἐκεῖνο προστίθημι μόνον· ἀμφοτέρων μὲν τὸν καιρὸν τηρητέον. ἐπειδὴ καὶ πολεμεῖν ἐστὶν ὅτε καλῶς κατὰ τὸν ἐκείνου νόμον καὶ λόγον. ἕως δ' ἂν ἐξῇ, πρὸς τὴν εἰρήνην μᾶλλον ἀποκλιτέον· τοῦτο γὰρ ὑψηλότερόν τε καὶ θεοειδέστερον, ὡς ἴσασιν ἅπαντες. ἰδίᾳ μὲν ἄριστον ὑπολαμβάνειν τὸ τῆς ὁμονοίας, δημοσίᾳ δὲ μὴ λυσιτελέστατον, καὶ οἰκίαν μὲν καὶ πόλιν ταύτην ἄριστα διοικεῖσθαι, ἥτις ἂν μηδὲν ἢ ὡς ἐλάχιστα στασιάζῃ πρὸς ἑαυτήν. ἢ τοῦτο πάσχουσα, τάχιστα ἐπανήκοι καὶ θεραπεύοιτο, περὶ δὲ κοινῶν τῆς ἐκκλησίας, ἄλλο τι βέλτιον εἶναι καὶ περισπουδαστότερον, καὶ αὐτὸν μὲν ἕκαστον ὅπως ἂν πρὸς ἑαυτὸν εἰρηνεύῃ σπουδάζειν. εἰρήνη δὲ τοῦ καθ' ἕκαστον αἱρετὸν, καὶ ἡ κατὰ τῶν παθῶν δεσποτεία. πρὸς δὲ τοὺς ἄλλους, μὴ τὸν αὐτὸν φαίνεσθαι, ἀλλ' ἡγεῖσθαι δόξαν ἑαυτοῦ, τὴν τοῦ πλησίον καταλύειν, καὶ τὸν μὲν θεὸν πείθεσθαι κελεύειν καὶ τοῖς ἁμαρτάνουσιν εἰς ἡμᾶς, μὴ ὅτι ἑπτάκις, ἀλλὰ καὶ πολλάκις τοσοῦτον, ὡς τοῦ ἀφιέναι τὸ ἀφίεσθαι προξενοῦντος· ἡμᾶς δὲ καὶ τοῖς οὐδὲν ἀδικοῦσι, προθυμότερον ἐπηρεάζειν, ἢ παρ' ἄλλων εὐεργετεῖσθαι. καὶ τοσαύτην μὲν ἀξίαν τοῖς εἰρηνοποιοῖς ἀποκειμένην μακαριότητα, ὥστε καὶ υἱοὺς θεοῦ προσαγορεύεσθαι μόνους ἐν τῇ τάξει τῶν σωζομένων, αὐτοὺς δὲ καὶ φιλέχθρως ἔχοντας. ἔπειτα οἴεσθαι καὶ φίλα πράττειν θεῷ τῷ καὶ παθόντι δι' ἡμᾶς, ἵνα πρὸς ἑαυτὸν εἰρηνεύσῃ καὶ καταλύσῃ τὸν ἐν ἡμῖν πόλεμον. μηδαμῶς, ὦ φίλοι καὶ ἀδελφοί, οὕτω διανοώμεθα. αἰδεσθῶμεν τὸ δῶρον τοῦ εἰρηνικοῦ τὴν εἰρήνην, ἣν ἐν βίῳ δὲ ἀπιὼν ἀφῆκεν ἡμῖν, ὥσπερ ἄλλο τι ἐξιτήριον. εἶτα πόλεμον αἴδωμεν τὸν κατὰ τῶν ἀντικειμένων δυνάμεως. εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς, ἂν ἄρα δέχωνται. συγχωρήσωμεν τὰ μικρὰ, ἵνα μείζω ἀντιλάβωμεν τὴν ὁμόνοιαν. ἡττηθῶμεν, ἵνα νικήσωμεν, ὁρᾶτε νόμους ἀθλητικοὺς, καὶ παλαισμάτων ἀγωνίσματα, οἳ πολλάκις κατακεῖσθαι, πολλάκις νικῶσι τοὺς ὑποκειμένους. τούτους ζηλώσωμεν, μὴ τῶν δυστυχόντων τοὺς ἀπληστοτέρους, ἢ τῶν ἐμπόρων, ὧν οἱ μὲν ἀμέτρως ἐμφορηθέντες τῶν προκειμένων, οἱ δὲ τὴν ναῦν φορτίζοντες, θᾶττον ἐβράχησαν καὶ συγκατέδυσαν, ἢ τῆς ἀπληστίας ἀπέλαυσαν, ἵνα μικρὰ κερδάνωσι τὰ μεγάλα ζημιωθέντες. ἐγὼ μὲν οὖν ταῦτα καὶ βοῶ, καὶ διαμαρτύρομαι, καὶ τὸ τῆς γραφῆς ποιῶν οὐ παύσομαι, ἀλλὰ σιωπῶν οὐ σιωπήσομαι, καὶ δι' ἱδρῶσι λαῶν οὐκ ἀνήσω. καὶ γὰρ ἐκλείπει ἡ ψυχή μου ἰδεῖν τοὺς ἀναιρουμένους, οἳ τινες οὐ τραυματίαι μαχαίρας, οὐδὲ τραυματίαι λιμοῦ γινόμενοι, τραυματίαι δὲ φιλοδοξίας ἢ φιλαρχίας, ὡς μηδὲ τὸ ἐλεεῖσθαι μᾶλλον, ἢ τὸ μισεῖσθαι συμβαίνειν τοῖς πεπονθόσιν. ὑμεῖς δὲ ἂν μὲν δέξησθε τοὺς ἐμοὺς λόγους, τοῦτο ἄμεινον ἀμφοτέροις. εἰ δὲ διαπτύοιτε καὶ ἀποπέμποιτε νικῶντος τοῦ πάθους τὸν λογισμὸν, ἐμοὶ μὲν ἱκανῶς ἀφωσίωται καὶ τὰ πρὸς θεὸν, καὶ τὰ πρὸς ἀνθρώπους. οὐδὲν γ' οἶμαι πλεῖον ζητήσει τις, οὐδὲ τῶν σφόδρα εἰρηνικῶν τε καὶ φιλοθέων, ὑμεῖς δ' ἂν εἰδείητε τὰ ἑξῆς. οὐ γὰρ ἐγώ τι προσθήσω τῶν τραχυτέρων. ἐπειδὴ παίδων φείδεσθαι, πατρικὸς νόμος, ἀλλ' ἵλεω τύχοι τε καὶ εἰρηνικοῦ τοῦ μεγάλου κριτοῦ, νῦν τε καὶ ἐν ἡμέρᾳ ἀνταποδόσεως, ἐν αὐτῷ χριστῷ τῷ κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΙΤΕΥΟΜΕΝΟΥΣ ΝΑΖΙΑΝΖΟΥ ἀγωνιῶντας, καὶ τὸν ἄρχοντα ὀργιζόμενον.

ΤΗΝ κοιλίαν μου, τὴν κοιλίαν μου ἀλγῶ, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου μαιμάσσει, φησί που τὴν ἑαυτοῦ λόγων ἱερεμίας, ὁ τῶν προφητῶν συμπαθέστατος, ἀποκλαιόμενος τὸν ἰσραὴλ ἀπειθοῦντα, καὶ τῆς φιλανθρωπίας ἀλλοτριούμενον. κοιλίαν μὲν τὴν ἑαυτοῦ ψυχὴν ὀνομάζων κατὰ τοὺς τροπικοὺς νόμους. οὕτω γὰρ εὑρίσκω πολλοῦ τῆς γραφῆς, εἴτε ὡς ἀπόκρυφον καὶ ἀόρατον. τὸ γοῦν αὐτὸ καὶ ψυχῆς καὶ γαστρὸς τὸ κρύπτεσθαι· εἴτε ὡς χωρητικὴν καὶ δεκτικὴν, ἵν' οὕτως εἴπω τῆς ἐκ τοῦ λόγου τροφῶν. ὃ γὰρ ὄψον σώματι τροφὴ, τοῦτο ἐν ψυχῇ λόγος. αἰσθητήρια δὲ, τάχα μὲν τὰ τῆς ψυχῆς κινήματα καὶ ἐνθυμήματα, καὶ τούτων μάλιστα ὅσα ἐκ τῆς αἰσθήσεως, οἷς ὁ δίκαιος ταράσσεται, καὶ θερμαίνεται, καὶ ὁρμητικῶς ἔχει, καὶ οὐδὲ κατασχετός ἐστι διὰ τὴν ζέσιν τοῦ πνεύματος. τοῦτο γοῦν τὸ μαιμάσσειν, δι' ἣν προθυμία τις θυμῷ σύγκρατος. εἰ δὲ, ὥσπερ οὖν ἰδεῖν τὴν σωματικὴν αἰσθητηρίαν λαμβάνοι τις, οὐκ ἄπο σκοποῦ λήψεται,

καὶ ὀφθαλμῶν, καὶ ὤτων, οὐ μόνον ἀχθομένων τοῖς χείροσι, καὶ θεάμασι, καὶ ἀκούσμασιν· ἀλλὰ καὶ τὰ βελτίω ποθούντων, καὶ ἰδεῖν καὶ ἀκοῦσαι δὴ τὸ εὔσπλαγχνον· πλὴν ὅπως ἂν νοῆται ταῦτα, ὁ δίκαιος ἀλγεῖ καὶ μαιμάσσει, καὶ οὐ μετρίως φέρει τὰ πάθη τοῦ Ἰσραήλ, ὁποτέρως βούλει ταῦτα νοεῖν. εἴτε τὰ σωματικά, καὶ τοῦ σωματικῶς ὁρωμένου· εἴτε τὰ πνευματικά, καὶ τοῦ νοουμένου πνευματικῶς. ἐπεὶ καὶ πηγὴν δακρύων ὁ αὐτὸς προφήτης ἐπιζητεῖ, καὶ σταθμὸν ἔσχατον ἐπιποθεῖ, καὶ ἐρημίαν ἀσπάζεται, ἵνα κενώσῃ τὸ πολὺ τῆς λύπης, καὶ κουφισθῇ πως τῆς ἔνδον πληγῆς καθ' ἡσυχίαν θρηνήσας τὸν Ἰσραήλ. ὁ δ' αὐτὸς καὶ ὁ θεῖος Δαβίδ, οὐ μικρὸν ἔμπροσθεν, ἐπὶ τοῖς καθ' ἑαυτὸν δυσχεραίνων· τίς δώσει μοι φησὶ πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω. περιστερᾶς ἐπιζητεῖ πτέρυγας, εἴτε ὡς κουφοτέρας καὶ ταχυτέρας· πιστὸς γὰρ ἅπας δίκαιος. εἴτε ὡς τὸ πνεῦμα σκιαγραφούσας, ᾧ μόνῳ τὰ δεινὰ φεύγομεν, ἵν' ὡς πορρωτάτω γένηται ἀπὸ τῶν ὄντων κακῶν. εἶτα τὸ ἐν τοῖς στενοῖς φάρμακον, ἡ ἐλπίς. προσεδεχόμην φησὶ τὸν θεόν, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος· ὅπερ οὖν καὶ ἀλλαχοῦ ποιῶν φαίνεται, τάχιστα περὶ λυποῦντι τὸ ἴαμα προστιθείς, καὶ ἀγαθὸν ἡμῖν παρέχων παίδευμα καὶ λόγῳ καὶ ἔργῳ τῆς πρὸς τὰ δεινὰ μεγαλοψυχίας, ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου. ὁρᾷς ἀκηδίας καὶ ἀπογνώσεως; ἆρ' οὐκ ἔδεισας ὡς περὶ ἀθεραπεύτου τοῦ Δαβίδ; τί λέγεις, οὐ δέχῃ παράκλησιν; ἀπελπίζεις παραμυθίαν; οὐδεὶς θεραπεύσει σε, οὐ λόγος, οὐ φίλος, οὐ συγγενής, οὐ συμβουλεύων, οὐ συναλγῶν, οὐ τὰ καθ' ἑαυτὸν διηγούμενος, οὐ τὰ ἀρχαῖα λέγων, οὐ τὰ νῦν παρατιθείς. ὅσοι καὶ ἀπὸ χαλεπωτέρων κακῶν διεσώθησαν. ἔρριπται πάντα; οἴχεται; πολλὴ κένωσις; ἀπόλωλε πᾶσα ἐλπίς; κεῖσθαι δεῖ μόνον τὸ τέλος ἐκδεχόμενον; ταῦτα ὁ μέγας Δαβίδ, ὁ ἐν θλίψει πλατυνόμενος, ὁ καὶ σκιᾶς θανάτου κυκλούσης μετὰ τοῦ θεοῦ κατεξανιστάμενος. τί οὖν ἐγὼ πάθω, ὁ μικρός, ὁ ἀσθενής, ὁ γήινος, ὁ μὴ τοσοῦτος περὶ πνεύματι. Δαβὶδ ἀγωνιᾷ, καὶ τίς σώζεται; τίνα βοήθειαν εὕροιμι κακοπαθῶν, ἢ τίνα παράκλησιν; πρὸς τίνα καταφύγω στενοχωρούμενος; ἀποκρίνεταί σοι Δαβὶδ ὁ μέγας θεραπευτής, ὁ καὶ πνευμάτων πονηρῶν καταπαύων διὰ τοῦ ἐν αὐτῷ πνεύματος. πρὸς τίνα καταφεύξῃ; παρ' ἐμοῦ βούλει μαθεῖν. αὐτὸς δ' οὐκ ἐπίστασαι; τίς ὁ τὰς παρειμένας ἐκτείνων χεῖρας, καὶ γόνατα παραλελυμένα παρακαλῶν, καὶ διὰ πυρὸς ἄγων, καὶ σώζων δι' ὕδατος, οὐδὲν δεῖ σοι παρατάξεως, φησίν, οὐχ ὅπλων, οὐ τοξοτῶν, οὐχ ἱππέων, οὐ συμβούλων, οὐ φίλων, οὐκ ἐπικουρίας τῆς ἔξωθεν. ἔχεις ἐν σεαυτῷ τὴν συμμαχίαν, ἣν κἀγὼ καὶ πᾶς ὁ βουλόμενος. θελῆσαι δεῖ μόνον, ὁρμῆσαι μόνον. ἐγγὺς ἡ παράκλησις, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. ἐμνήσθην τοῦ θεοῦ, φησί, καὶ εὐφράνθην. τί μνήμης ἑτοιμότερον; μνήσθητι καὶ σύ, καὶ εὐφράνθητι. ὢ τῆς εὐπορίας τῆς ἰατρείας, ὢ τοῦ τάχους τῆς θεραπείας, ὢ τοῦ μεγέθους τῆς δωρεᾶς, οὐ κοιμίζει μόνον ὀλιγοψυχίαν καὶ λύπην μνημονευθεὶς ὁ θεός, ἀλλὰ καὶ εὐφροσύνην ἐργάζεται. βούλει καὶ ἄλλων ἀκοῦσαι φιλανθρωπίας ῥημάτων; ἐὰν ἐπιστραφείς, φησί, στενάξῃς πρὸς κύριον, τότε σωθήσῃ. ὁρᾷς τῷ στεναγμῷ τὴν σωτηρίαν συνεζευγμένην; καὶ ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. καὶ φθέγξεται τῇ ψυχῇ σου, σωτηρία σου εἰμὶ ἐγώ, οὐδὲν μέσον τῆς αἰτήσεως καὶ τῆς ἐπιτάξεως, οὐ χρυσός, οὐκ ἄργυρος, οὐ λίθοι τῶν διαφανῶν καὶ τιμίων, οὐχ ὅσοις ἄνθρωποι κάμπτονται πρὸς τὸ ἥμερον. ὅταν εἴπῃ Σοφονίας, ὡς παρὰ τοῦ θεοῦ λέγων, ὠργισμένου καὶ χαλεπαίνοντος, ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ διοδεύειν. ἐξέλιπον αἱ πόλεις αὐτῶν, διὰ τὸ μὴ ὑπάρχειν, μηδὲ κατοικεῖσθαι. ὅταν ἀπειλήσῃ τὰ φρικωδέστατα, ὅταν καταβάλῃ τῇ ἀθυμίᾳ, ὅταν ζόφον ἐργάσηται διὰ τῆς ἀπειλῆς, εὐθὺς ἐπάγει καὶ τὸ τῆς χρηστοτέρας ἐλπίδος φῶς. καὶ ἀνακτᾶταί με τούτοις τοῖς ῥήμασι· πλὴν εἶπα, φοβεῖσθέ με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς. καὶ ἔτι φαιδροτέροις μικρὸν προϊὼν καὶ φιλανθρωποτέροις, ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος· θάρσει Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου, κύριος ὁ θεός σου ἐν σοί, δυνατὸς σώσει σε, καὶ ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ συνάξει τοὺς συντετριμμένους, καὶ σώσει τοὺς ἐκπεπιεσμένους, καὶ τοὺς ἀπωσμένους εἰσδέξεται. ταῦτα καὶ οἱ ἅγιοι καὶ οἱ λογισμοὶ βούλονται, καὶ ὁ ἐμὸς ἀπαιτεῖ λόγος. ἀλλὰ δέξασθε λόγον φρονίμως, ὥς φησιν ὁ θεῖος Σολομών, ἵνα μὴ ἐμπεσόντες εἰς κακῶν βάθος καταφρονήσητε, μηδὲ ἀπὸ τῆς ἰδίας ἀμαθίας μᾶλλον, ἢ τῆς κατεχούσης δυσχερείας καταποθῆτε. κύκλος τίς ἐστιν, ἀδελφοί, τῶν ἀνθρωπίνων πραγμάτων, καὶ παιδεύει διὰ τῶν ἐναντίων ἡμᾶς ὁ θεός, ὥσπερ συνεστήσατο τὰ πάντα σοφῶς, καὶ συνέδησεν, οὕτω σοφῶς τὸ πᾶν διεξάγων καὶ κυβερνῶν, τοῖς ἀνεφίκτοις αὐτοῦ καὶ ἀνεξιχνιάστοις κρίμασιν, ἐν δὲ τοῖς πᾶσι καὶ τὰ ἡμέτερα. κινεῖται γάρ, ἵν' οὕτως εἴπω, τὸ πᾶν περὶ τὸ ἀκίνητον, καὶ σαλεύεται, λόγῳ μὲν οὐδαμῶς οὐ καθ' ἡμᾶς. ὁ γὰρ αὐτὸς ἐν πᾶσιν ἑστὼς καὶ ἀκίνητος, κἂν διαφεύγῃ τὴν ἡμετέραν αἴσθησιν, τοῖς δὲ καθ' ἑκάστην ἡμέραν ἀπαντῶσι τε καὶ συμπίπτουσι. καὶ τοῦτό ἐστι δόγμα οὐ

παλαιόν τι καὶ πάγιον, σκότος εἶναι ἀποκρυφὴν αὐτοῦ, πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων κεχυμένον. καὶ τὰ πολλὰ μὴ καθορᾶσθαι τῆς αὐτοῦ οἰκονομίας, πλὴν ὅσον ἐν ἀμυδροῖς αἰνίγμασι καὶ φαντάσμασιν· εἴτε τὸν τῦφον ἡμῶν συστέλλοντος, ἵν' εἰδῶμεν τὸ μηδὲν ὄντες πρὸς τὴν ἀληθινὴν σοφίαν καὶ πρώτην· ἀλλὰ πρὸς αὐτὸν νεύωμεν μόνον, καὶ ζητῶμεν ἀεὶ ταῖς ἐκεῖθεν αὐγαῖς ἐναστράπτεσθαι, εἴτε διὰ τῆς ἀνωμαλίας τῶν ὁρωμένων καὶ περιτρεπομένων, μετάγοντος ἡμᾶς ἐπὶ τὰ ἑστῶτα καὶ μένοντα, πλὴν οὐδὲν ἀκίνητον ὅπερ ἔφην, οὐδὲ ὁμαλὸν οὐδ' αὐταρκὲς, οὐδ' εἰς τέλος ὅμοιον, οὔτε τὸ εὐθυμεῖν, οὔτε τὸ ἀθυμεῖν, οὐ πλοῦτος, οὐ πενία, οὐ δύναμις, οὐκ ἀσθένεια, οὐ ταπεινότης, οὐ δυναστεία, οὐ τὸ παρὸν, οὐ τὸ μέλλον, οὐ τὸ ἡμέτερον, οὐ τὸ ἀλλότριον, οὐ μικρὸν, οὐ μεῖζον, οὐχ ὅτι ἂν εἴποι τις. καὶ τοῦτο ἴσον ἡ ἀνισότης ἔχει, τὴν περὶ πάντα μεταβολήν. περιχωρεῖ γὰρ τὰ πάντα ῥαδίως καὶ μεταχωρεῖ, καὶ αὐτίκα μεθίσταται, ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν, καὶ γράμμασι τοῖς καθ' ὕδατος, ἢ ἀνθρώπων εὐημερίᾳ. καὶ φθόνος μὲν εὐπραξίαν, συμφορὰν δὲ ἔλεος ἵστησι. καὶ τοῦτο σοφῶς κατά γε τὸν ἐμὸν λόγον καὶ θαυμασίως, ἵνα μήτε τὸ ἀλγεῖν ἀπαραμύθητον ᾖ, μήτε τὸ εὖ πράττειν ἀπαιδαγώγητον. σωφρόνων δὲ ἀνδρῶν, οἵτινες παιδεύονται ταῖς συμφοραῖς, καὶ ὡς χρυσὸς πυρὶ καθαιρόμενοι λέγουσιν· ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὡς τικτούσης τῆς ταπεινώσεως τὸ γνώσκειν τὰ δικαιώματα, καὶ τὸ τοῦ Πέτρου πάσχουσιν ἐπικαλεσαμένου τὴν σωτηρίαν ἐν τῷ μέλλειν καταδύεσθαι, μᾶλλόν τι προσχωροῦσι θεῷ διὰ τὸ ἀλγεῖν, καὶ τὸν εὐεργέτην οἰκειοῦνται διὰ τῆς θλίψεως. ἐπειδὴ κάμνουσα ψυχὴ, ἐγγύς ἐστι θεοῦ, καὶ τῷ χρῄζειν ἐπιστρέφει πρὸς τὸν δοῦναι δυνάμενον, τῷ ἀφθόνῳ τῆς δωρεᾶς τυχὸν καὶ καταφρονούμενον. διὰ τοῦτο ἀνανεύωμεν ἀδελφοὶ, ἐν παντὶ καιρῷ καὶ περιστάσει πάσῃ προβαλώμεθα τὴν καλὴν ἐλπίδα, μήτε ἐν ταῖς εὐθυμίαις ἀποβάλλωμεν τὸν φόβον, μήτε ἐν τοῖς λυπηροῖς τὸ εὔελπι. μνημονεύωμεν καὶ ἐν εὐδίᾳ τῆς ζάλης, καὶ ἐν χειμῶνι τοῦ κυβερνήτου. ἀλλὰ μὴ ταῖς θλίψεσιν ἐκκάμωμεν, μηδὲ γενώμεθα δοῦλοι κακοὶ, ἀγαθύνοντι μὲν ἐξομολογούμενοι τῷ δεσπότῃ, παιδεύοντι δὲ μὴ προσιέμενοι, καίτοι ποτὲ κρείσσων ὑγιείας πόνος, καὶ ὑπομονὴ ἀνέσεως, καὶ ἐπίσκεψις ἀμελείας, καὶ ἐπιστροφὴ συγχωρήσεως· εἰπεῖν συντόμως, μήτε διὰ τὰς συμφορὰς πτήξωμεν, μήτε διὰ τὸν κόρον ὑβρίζωμεν. ὑποταξώμεθα καὶ θεῷ, καὶ ἀλλήλοις, καὶ τοῖς ἐπὶ γῆς ἄρχουσι, θεῷ, διὰ πάντα, διὰ τὴν φιλαδελφίαν ἀλλήλοις, διὰ εὐταξίαν τοῖς ἄρχουσι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ περ ἂν ὦσιν ἡμερώτεροι καὶ χρηστότεροι. δεινὸν ἐπιείκειαν δαπανῆσαι τῷ συνεχεῖ τῆς συγγνώμης, ἵνα μὴ καὶ τῆς ἐκείνων τραχύτητος, αὐτοὶ δίκας ἀπαιτηθῶμεν, γαλήνην πνεύματι λύσαντες, καὶ φωτὶ ζόφον ἐπάγοντες, καὶ μέλιτι καταμιγνύντες ἀψίνθιον. ἔστι καὶ οὗτος εἷς τῶν ἡμετέρων νόμων, καὶ οὗτος τῶν ἐπαινουμένων καὶ κάλλιστα διατεταγμένων τῷ πνεύματι, τὸ δυνατὸν μηδὲ τοῦ καλοῦ δοκιμάσαντι καὶ νομοθετήσαντι, ὥσπερ δούλους ὑπακούειν δεσπόταις, καὶ γυναῖκας ἀνδράσι, καὶ κυρίῳ τὴν ἐκκλησίαν, καὶ μαθητὰς ποιμέσι, καὶ διδασκάλοις. οὕτω δὲ καὶ πάσαις ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν, ὡς ὑποτελεῖς φόρου τυγχάνοντας, καὶ μὴ κακοποιοῦντας μισεῖν τὸν νόμον, μηδ' ἀναμένειν τὴν μάχαιραν, ἀλλὰ τῷ φόβῳ καθαιρομένους ἐπαινεῖσθαι ὑπὸ τῆς ἐξουσίας, μία καὶ ἡ αὐτὴ στάθμη· ἀλλὰ φείδεται μὲν τοῦ ὀρθοῦ, περικόπτει δὲ τὸ περιττὸν, εἷς ἥλιος, ἀλλὰ φωτίζει μὲν τὴν ὑγιαίνουσαν ὄψιν, ἀμαυροῖ δὲ τὴν ἀσθενοῦσαν. βούλει τι καὶ τῶν ἡμετέρων εἴπω θαρρήσας; εἷς Χριστὸς, ἀλλ' εἰς πτῶσιν κεῖται καὶ ἀνάστασιν· πτῶσιν μὲν τοῖς ἀπίστοις, ἀνάστασιν δὲ τοῖς πιστεύουσι. καὶ τοῖς μὲν ἐστὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου, ὅσοι μὴ ἐγνώκασιν, οὐδὲ συνῆκαν, ἀλλ' ἐν σκότει διαπορεύονται, εἴτε εἰδώλοις θρησκεύοντες, εἴτε μέχρι τοῦ γράμματος διαβλέποντες, καὶ ὑπὲρ τοῦτο ἀναχθῆναι μήτε θέλοντες, μήτε ἰσχύοντες. τοῖς δὲ λίθος ἀκρογωνιαῖος, καὶ πέτρα ἐπαινουμένη, ὅσοι συνδεσμοῦνται τῷ λόγῳ, καὶ ἐπ' αὐτοῦ βεβήκασιν. εἰ βούλει δ' ὁ μαργαρίτης ἐκεῖνος, ὃν πάντων ὧν ἔχει ὠνεῖται ὁ καλὸς ἔμπορος. ἡμεῖς δὲ τοιοῦτό τι πάσχομεν ἀδελφοὶ, μὴ τὰ ἑαυτῶν κατορθοῦντες, ἀλλὰ πρὸς τὴν ἐξουσίαν δυσχεραίνοντες, ὥσπερ ἂν εἴ τις αἰτιῷτο τὸν ἀγωνοθέτην ὡς μοχθηρὸν, οὐ τοὺς ἐκπαλαίοντας, ἢ τὸν ἰατρὸν ἀμαθῆ καὶ θρασὺν ταῖς τομαῖς καὶ ταῖς καύσεσι κεχρημένον, αὐτὸς πονήρως διακείμενος, καὶ τῶν αὐστηροτέρων δεόμενος φαρμάκων. ταῦτά μοι πρὸς τοὺς ἀρχομένους παραμυθία τε ἅμα καὶ νουθεσία. ταῦτα ὁ πενιχρὸς ποιμὴν καταρτίζων τὸ μικρὸν ποίμνιον, ᾧ χαίροντι συνευθυμεῖν, καὶ σκυθρωπάζοντι συστέλλεσθαι, τῆς ἐμῆς ποιμαντικῆς νόμος. τί δαὶ ὑμεῖς οἱ δυνάσται καὶ ἄρχοντες; ἤδη γὰρ πρὸς ὑμᾶς ὁ λόγος μέτεισιν. ἵνα μὴ δόξωμεν πάντα τυγχάνειν ἄνισοι, καὶ τοῖς μὲν τὰ εἰκότα παραινεῖν, ὑμῶν δὲ τῇ δυναστείᾳ παραχωρεῖν, ὥσπερ αἰδοῖ τὴν κατὰ Χριστὸν ἡμῶν ἐλευθερίαν, ἢ δέει ἐκκλίνοντες, ἢ τῶν μὲν κήδεσθαι μᾶλλον, ὑμῶν δ' ἀμελεῖν, ὧν καὶ μᾶλλον φροντίζειν ἄξιον, ὅσῳ καὶ εἰς μείζω φέρουσα ἡ ῥοπὴ

ὅπη τέως ἂν ἔχῃ, καὶ πλέον τὸ κατορθούμενον. τὸ γὰρ ἐναντίον, ἀπείη καὶ ἡμῶν, καὶ τοῦ λόγου. τί οὖν φατε, καὶ τί διομολογησώμεθα πρὸς ἀλλήλους· ἆρα δέξεσθε σὺν παρρησίᾳ τὸν λόγον; καὶ ὁ τοῦ Χριστοῦ νόμος ὑποτίθησιν ὑμᾶς τῇ ἐμῇ δυναστείᾳ καὶ τῷ ἐμῷ βήματι. ἄρχομεν γὰρ καὶ αὐτοί. προσθήσω δ' ὅτι καὶ τὴν μείζονα καὶ τελεωτέραν ἀρχήν, ἢ δεῖ τὸ πνεῦμα ὑποχωρῆσαι τῇ σαρκί, καὶ τοῖς γηΐνοις τὰ ἐπουράνια; δέξῃ τὴν παρρησίαν. οἶδ' ὅτι πρόβατον εἶ τῆς ἐμῆς ποίμνης, τῆς ἱερᾶς ἱερόν, καὶ θρέμμα τοῦ μεγάλου ποιμένος, καὶ καλῶς ἄνωθεν ἠγμένον ὑπὸ τοῦ πνεύματος, καὶ τῷ φωτὶ τῆς ἁγίας καὶ μακαρίας Τριάδος, ὁμοίως ἡμῖν ἐλλαμπόμενος. διὰ τοῦτό μοι καὶ βραχὺς ὁ πρὸς σὲ λόγος καὶ σύντομος, Χριστῷ συνάρχεις, Χριστῷ καὶ συνδιοικεῖς, παρ' ἐκείνου σοι τὸ ξίφος, οὐκ εἰς ἔργον, ἀλλ' εἰς ἀπειλήν, ὃ καθαρὸν ἀνάθημα τῷ δεδωκότι φυλάσσοιτο. εἰκὼν εἶ τοῦ Θεοῦ, καὶ εἰκόνα διὰ χειρὸς ἄγεις, ἐνταῦθα οἰκονομουμένην, καὶ πρὸς βίον ἄλλον μεθισταμένην, εἰς ὃν πάντες μεταβησόμεθα, μικρὰ παίξαντες, ἐν τῷ τῆς ζωῆς τούτῳ, εἴτε δεσμωτηρίῳ, εἴτε σταδίῳ, εἴτε προχαράγματι, εἴτε σκιάσματι. τίμησον τὴν συμφυΐαν, αἰδέσθητι τὸ ἀρχέτυπον, γενοῦ μετὰ τοῦ Θεοῦ, μὴ τοῦ κοσμοκράτορος. μετὰ τοῦ Χριστοῦ δεσπότου, μὴ τοῦ πικροῦ τυράννου. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. ἐκεῖνος καὶ τὸν πρῶτον ἄνθρωπον διὰ τῆς παρακοῆς ἔπληξε, καὶ τὴν ἐπίμοχθον ζωὴν ἐπεισήγαγε, καὶ τὸ κολάζειν, καὶ τὸ κολάζεσθαι, διὰ τῆς ἁμαρτίας ἐνομοθέτησε. σὺ δὲ ἄνθρωπε τοῦ Θεοῦ, μνήσθητι τίνος εἶ ποίημα, καὶ ποῦ καλῇ, καὶ πόσα ἔχεις, καὶ πόσον ὀφείλεις, παρὰ τίνος σοι νόμος, λόγος, προφῆται, αὐτὸ τὸ εἰδέναι Θεόν, τὸ μὴ ἀπελπίζειν τὰ προσδοκώμενα. μίμησαι διὰ ταῦτα Θεοῦ φιλανθρωπίαν, τοῦτο ἔχει μάλιστα θεῖον ἄνθρωπος, τὸ εὖ ποιεῖν. ἔξεστί σοι Θεὸν γενέσθαι μηδὲν πονήσαντι, μὴ πρόοιο τὸν καιρὸν τῆς θεώσεως. ἄλλοι χρήματα κενοῦσιν, ἄλλοι σάρκας τῷ πνεύματι, καὶ νεκροῦνται Χριστῷ, καὶ κόσμου παντελῶς ἀπανίστανται. ἄλλοι καθιεροῦσι Θεῷ τὰ φίλτατα. καὶ τὴν Ἀβραὰμ θυσίαν πάντως ἀκήκοας, ὃς προθυμότερον ἐδίδου τῷ Θεῷ τὸν μονογενῆ, τὸν ἐκ τῆς ἐπαγγελίας, καὶ εἰς ὃν ἡ ἐπαγγελία, ἢ παρὰ Θεοῦ τὸ ἀπ' ἀρχῆς ἐκομίσατο. σὲ δὲ τούτων οὐδὲν αἰτοῦμεν, ἓν ἀντὶ πάντων εἰσένεγκε, τὴν φιλανθρωπίαν· ᾗ χαίρει Θεὸς μᾶλλον, ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις, δῶρον ἴδιον, δῶρον ἄμωμον, δῶρον φιλοτιμίαν Θεοῦ προκαλούμενον. μῖξον τῷ φόβῳ τὴν ἐπιείκειαν, κέρασον τῇ ἀπειλῇ τὴν ἐλπίδα, πολλὰ καὶ χρηστότητα κατορθοῦσαν οἶδα, δυσωποῦσαν εἰς ὀφειλομένην ἀντίδοσιν, ὅταν βιάζεσθαι παρὸν συγχωρήσαντος. δυσωπήσωμεν εὐνοίᾳ τὸν ἐλεούμενον, μηδέν σε πειθέτω τῆς ἀρχῆς ἀνάξιον, μηδὲ ἀποκλειέτω τὸν οἶκτον καὶ τὴν ἡμερότητα, μὴ καιρός, μὴ δυνάστης, μὴ φόβος, μὴ μειζόνων ἀρχῶν ἐλπίς, μὴ θρασύτης τῶν πλέον ἐχόντων, κτῆσαι τὴν εὔνοιαν ἐν τοῖς ἀναγκαίοις καιροῖς, τὴν ἄνω. χρῆσον Θεῷ τὸν ἔλεον, οὐδεὶς μετέγνω τῶν Θεῷ τι προεισενεγκάντων. πολύς ἐστιν εἰς ἀντίδοσιν, μάλιστα μὲν τοῖς ἐκεῖθεν ἀγαθοῖς ἀμειβόμενος τοὺς προκαταβαλόντας τι, καὶ προχρήσαντας· ἔστι δ' ὅτε καὶ τοῖς ἐνταῦθα πρὸς πίστιν τῶν ὕστερον, ἔτι μικρὸν καὶ ὁ κόσμος παρέρχεται, καὶ ἡ σκηνὴ καταλύεται. πραγματευσώμεθα τὸν καιρόν, τοῖς οὐχ ἑστῶσι τὰ μένοντα ὠνησώμεθα, ἕκαστος ἡμῖν ἐστιν ἐν ἐπιτιμίοις, καὶ ὁ χοῦς πολλὰ φέρει τὰ ὀφλήματα. συγχωρήσωμεν, ἵνα συγχωρηθῶμεν. ἀφῶμεν, ἵνα αἰτήσωμεν ἄφεσιν. ὁρᾷς ἐν τῷ εὐαγγελίῳ, χρεωφειλέτης εἰσάγεταί τις πολλῶν ταλάντων, καὶ ἀφίεται τοῦ χρέους. προσάγεται γὰρ ἀγαθῷ δεσπότῃ, καὶ συγχωρεῖται μέν, οὐ συγχωρεῖ δέ. δοῦλος γὰρ ἦν καὶ τὴν προαίρεσιν, ἀλλ' ἧς ἔτυχε φιλανθρωπίας πολὺ τὸ πλεῖον, ταύτης οὐ μεταδίδωσι τῷ ὁμοδούλῳ πολὺ τὸ ἔλαττον, οὐδ' εἰ μή τινι ἄλλῳ, τῷ τῆς μεγαλοψυχίας ἑπόμενος ὑποδείγματι πολὺ τὸ ἀλλότριον. καὶ ὁ δεσπότης ἀγανακτεῖ, καὶ τὸ ἑξῆς σιωπήσομαι, πολὺ ἄμεινον τῷ παντὶ προσφέρειν τῷ ἐκεῖσε λόγῳ τὴν ἐνταῦθα χρηστότητα. τί φῄς; ἔχομέν σε τοῖς λόγοις τούτοις, ὧν ἐραστὴς εἶ, πολλάκις καθωμολόγησας, ὦ κάλλιστε ἀρχόντων, ἐὰν δὲ προσθεῖναι καὶ ἡμερώτατε, ἢ δεῖ καὶ τὴν πολιάν σοι ταύτην εἰς ἱκετηρίαν προσαγαγεῖν, καὶ τὸν τῶν ἐτῶν ἀριθμόν, καὶ τὴν μακρὰν ἱερωσύνην, καὶ ἄσυλον ταύτην, ἣν αἰδοῦνται τυχὸν καὶ ἄγγελοι, καθαρῶς τῷ καθαρωτάτῳ λατρεύοντες, ὡς τῆς ἑαυτῶν λατρείας ἀξίαν. πείθει ταῦτα, ἢ τι τολμήσω καὶ μεῖζον, τὸ λυπηρὸν δέ με ποιεῖ τὸ ἀλγεῖν. Χριστὸν προσάγω σοι, καὶ τὴν Χριστοῦ κένωσιν τὴν ὑπὲρ ἡμῶν, καὶ τὰ τοῦ ἀπαθοῦς πάθη, καὶ τὸν σταυρόν, καὶ τοὺς ἥλους οἷς ἐλύθην ἐγὼ τῆς ἁμαρτίας, καὶ τὸ αἷμα, καὶ τὴν ταφήν, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἄνοδον, ἢ καὶ τὴν τράπεζαν ταύτην, ᾗ κοινῇ πρόσιμεν, καὶ τοὺς τύπους τῆς ἐμῆς σωτηρίας, οὓς ἀπὸ τοῦ αὐτοῦ τελῶ στόματος, ἀφ' οὗ ταῦτα πρὸς σὲ πρεσβεύω, τὴν ἱερὰν καὶ ἄνω φέρουσαν ἡμᾶς μυσταγωγίαν, εἰ καὶ μὴ δι' ἓν τούτων, ἀλλ' οὖν διὰ πάντα. δὸς καὶ ἡμῖν καὶ σαυτῷ τὴν χάριν, τὴν τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. καὶ τῷ καλῷ τούτῳ Χριστοῦ πληρώματι, ὃ νόμιζε ἡμῖν συμπρεσβεύειν, εἰ καὶ ἡμῖν παραχωρεῖ τῆς πρεσβείας.

πρεσβείας. ὡς αἱ δυσημοτέροις διὰ σοῦ τιμῶνται, καὶ ἅμα τῷ τῆς ἀρχῆς νόμῳ κατείργεται, ἐν τούτῳ κατὰ χρεὼς ἐπιλύεται. νίκησον ἡμᾶς φιλανθρωπίᾳ. ἰδοὺ προσάγω σοι τὸν ἐμὸν ἱκέτας, ἐναντίον θεοῦ καὶ ἀγγέλων, καὶ βασιλείας οὐρανῶν, καὶ τῆς ἐκεῖθεν αἰωνίου ἀποδόσεως. τίμησον τὴν ἐμὴν πίστιν, ἣν ἐπιστεύθην ἐν σοὶ καὶ ἐπίστευσα, ὡς ἂν καὶ ἡ τιμηθείη περὶ τὰ μείζω καὶ τελειότερα. κεφάλαιον δὲ τοῦ λόγου ἔχεις καὶ αὐτὸς ἐν οὐρανῷ κύριον, τουτέστι τύχοις περὶ σαυτὸν τοῦ κριτοῦ, οἷς δὲ περὶ ἂν αὐτὸς γίνῃ τοῖς ἀρχομένοις. τύχοιμεν δὲ πάντες καὶ τῶν ἐντεῦθεν χρηστῶν, καὶ τῶν ἐκεῖθεν ἀνεκπτώτων ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα, καὶ τὸ κράτος, ἡ τιμὴ καὶ βασιλεία, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, ὥσπερ ἦν καὶ πρῴην καὶ ἔσται καὶ νῦν, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου, περὶ φιλοπτωχίας.

ἀ Νδρες ἀδελφοὶ καὶ συμπένητες· πτωχοὶ γὰρ ἅπαντες, καὶ τῆς θείας χάριτος ἐπιδεεῖς, κἂν ἄλλος ἄλλου πλέον ἔχειν δοκῇ, μικροῖς μέτροις μετρούμενος, δέξασθε τὸν περὶ φιλοπτωχίας λόγον, μὴ πενιχρῶς, ἀλλὰ φιλοτίμως, ἵνα βασιλείας πλουτήσητε. συνεύξασθε δὲ, καὶ ἡμᾶς πλουσίως τοῦτον ὑμῖν χορηγῆσαι, καὶ θρέψαι τῷ λόγῳ τὰς ὑμετέρας ψυχὰς, καὶ διαθρύψαι πεινῶσι τὸν πνευματικὸν ἄρτον, εἴτε ἀπ᾽ οὐρανοῦ τροφὴν ὕοντας, κατὰ τὸν πάλαι μωϋσῆν ἐκεῖνον, καὶ ἄρτον ἀγγέλων χαριζομένους, εἴτε ἄρτοις ὀλίγοις ἐν ἐρημίᾳ τρέφοντας μέχρι κόρου, καὶ μυριάδας, κατὰ τὸν ἰησοῦν ὕστερον ὁ ἀληθινὸς ἄρτος, καὶ τῆς ἀληθινῆς ζωῆς αἴτιος. ἔστι μὲν οὖν οὐ πάνυ τι ῥᾴδιον, τὴν ἀρετὴν τὴν νικῶσαν εὑρεῖν, καὶ ταύτῃ δοῦναι τὰ πρεσβεῖα καὶ τὰ νικητήρια, ὥσπερ οὐδὲ ἐν λειμῶνι πολυανθεῖ καὶ εὐώδει, τὴν αἰδίως τὸ κάλλιστον καὶ εὐωδέστατον, ἄλλο τι ἄλλου τὴν ὄσφρησιν καὶ τὴν ὄψιν πρὸς ἑαυτὸ μεθέλκοντος, καὶ πρῶτον δρέπεσθαι πείθοντος. ὡς δ᾽ οὖν ἐμὲ, περὶ τούτων διελέσθαι, σκεπτέον οὕτως. καλὸν πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα. καὶ μάρτυς τῆς πίστεως ἀβραὰμ δικαιωθεὶς ἐκ πίστεως, τῆς ἐλπίδος, ἐνὼς, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τὸν κύριον, καὶ πάντες οἱ δίκαιοι διὰ τὴν ἐλπίδα, κακοπαθοῦντες. τῆς ἀγάπης, ὁ θεῖος ἀπόστολος, τολμήσας τι καὶ καθ᾽ ἑαυτοῦ διὰ τὸν ἰσραὴλ φθέγξασθαι. καὶ ὁ θεὸς αὐτὸς ἀγάπη καλούμενος. καλὸν ἡ φιλοξενία. καὶ μάρτυς ἐν μὲν δικαίοις, λὼτ ὁ σοδομίτης, καὶ οὐ σοδομίτης τὸν τρόπον. ἐν δὲ ἁμαρτωλοῖς, ῥαὰβ ἡ πόρνη, καὶ οὐ πόρνη τὴν προαίρεσιν, διὰ φιλοξενίαν ἐπαινεθεῖσά τε καὶ σωθεῖσα. καλὸν ἡ φιλαδελφία, καὶ μάρτυς ἰησοῦς, οὐκ ἀδελφὸς ἡμῶν κληθῆναι μόνον, ἀλλὰ καὶ παθεῖν ὑπὲρ ἡμῶν ἀνασχόμενος. καλὸν ἡ φιλανθρωπία, καὶ μάρτυς ὁ αὐτὸς ἰησοῦς, οὐ ποιήσας μόνον τὸν ἄνθρωπον ἐπ᾽ ἔργοις ἀγαθοῖς, καὶ τῇ εἰκόνι τῷ χοῒ συζεύξας, ὁδηγὸν τῶν καλλίστων, καὶ τῶν ἄνω πρόξενον, ἀλλὰ καὶ γενόμενος ὑπὲρ ἡμῶν ἄνθρωπος. καλὸν ἡ μακροθυμία, καὶ ὁ αὐτὸς μάρτυς, οὐ τὰς λεγεῶνας μόνον τῶν ἀγγέλων παραιτησάμενος κατὰ τῶν ἐπανισταμένων καὶ τυραννούντων, οὐδὲ τῷ πέτρῳ μόνον ἐπιτιμήσας αἰρομένῳ τὴν μάχαιραν, ἀλλὰ καὶ τὸ ὠτίον ἀποκαταστήσας τῷ πεπληγότι. τὸ δ᾽ αὐτὸ καὶ στέφανος ὕστερον ὁ τοῦ χριστοῦ μαθητὴς ὑπὲρ τῶν λιθαζόντων αὐτὸν προσευχόμενος. καλὸν ἡ πρᾳότης, καὶ μαρτυροῦσι μωϋσῆς καὶ δαβὶδ, ὅσον παρὰ τῶν ἄλλων μαρτυρηθείς τις, καὶ ὁ τούτων διδάσκαλος οὐκ ἐρίζων, οὐδὲ κραυγάζων, οὐδὲ ἐν ταῖς πλατείαις φωνὴν προϊέμενος, οὐδὲ ζυγομαχῶν πρὸς τοὺς ἄγοντας. καλὸν ὁ ζῆλος, καὶ μαρτυρεῖ φινεὲς τὴν μαδιανῖτιν τῷ ἰσραηλίτῃ συνεκκεντήσας, ἵνα ἐξέλῃ ὄνειδος ἐξ υἱῶν ἰσραὴλ, καὶ ὀνομασθεὶς ἐκ τῆς προαιρέσεως, καὶ μετ᾽ ἐκεῖνον οἱ λέγοντες, ζηλῶν ἐζήλωκα τῷ θεῷ κυρίῳ παντοκράτορι. καὶ, ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ. καὶ ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. καὶ οὐ λέγοντες τοῦτο μόνον, ἀλλὰ καὶ πάσχοντες. καλὸν ὑπωπιασμὸς σώματος, καὶ πειθέτω σε παῦλος ἑαυτὸν ἐπιπαιδαγωγῶν, καὶ φοβῶν διὰ τοῦ ἰσραὴλ τοὺς ἑαυτοῖς θαρροῦντας, καὶ φιλοῦντας τῷ σώματι, καὶ ἰησοῦς αὐτὸς νηστεύων καὶ πειραζόμενος καὶ νικῶν τὸν πειράζοντα. καλὸν προσευχὴ καὶ ἀγρυπνία, καὶ πειθέτω σε ἰησοῦς ἀγρυπνῶν πρὸ τοῦ πάθους καὶ προσευχόμενος. καλὸν ἁγνεία καὶ παρθενία, καὶ πειθέτω σε παῦλος περὶ τούτων νομοθετῶν, καὶ βραβεύων δικαίως γάμῳ καὶ ἀγαμίᾳ· καὶ ἰησοῦς αὐτὸς ἐκ παρθένου γεννώμενος, ἵνα καὶ γένεσιν τιμήσῃ, καὶ προτιμήσῃ παρθενίαν. καλὸν ἐγκράτεια, καὶ πειθέτω σε δαβὶδ, ἡνίκα τοῦ ἐν βηθλεὲμ ἐκράτησε φρέατος, μὴ πιὼν, ἀλλὰ σπείσας μόνον τοῦ ὕδατος, μηδὲ ἀνασχόμενος ἴδιον πληρῶσαι πάθος ἐν ἀλλοτρίῳ αἵματι. καλὸν ἐρημία καὶ ἡσυχία, καὶ διδασκέτω με ὁ κάρμηλος ἠλιοῦ, ἡ ἔρημος ἰωάννου, ἰησοῦ τὸ ὄρος, εἰς ὃ πολλάκις ἀναχωρῶν φαίνεται, καὶ καθ᾽ ἡσυχίαν ἑαυτῷ συγγινόμενος. καλὸν ἡ εὐτέλεια, καὶ διδασκέτω με ἠλίας ἀναπαυόμενος παρὰ χήρᾳ, ἰωάννης θριξὶ καμήλου σκεπόμενος, πέτρος ἀσσαρίου θέρμοις τρεφόμενος. καλὸν ἡ ταπεινο-

 φροσύνη,

φροσύνη, καὶ πολλὰ ταύτης, καὶ πολλαχόθεν τὰ ὑποδείγματα. καὶ πρὸ τῶν ἄλλων, ὁ πάντων σωτὴρ καὶ δεσπότης, οὐ ταπεινώσας ἑαυτὸν μόνον μέχρι δούλου μορφῆς, οὐδὲ τὸ πρόσωπον αἰσχύναις ὑποθεὶς ἐμπτυσμάτων, καὶ μετὰ ἀνόμων λογισθεὶς, ὁ τὸν κόσμον καθαίρων τῆς ἁμαρτίας· ἀλλὰ καὶ τῶν μαθητῶν νίψας τοὺς πόδας ἐν δουλικῷ τῷ σχήματι. καλὸν ἡ ἀκτημοσύνη καὶ χρημάτων ὑπεροψία, καὶ μαρτυρεῖ Ζακχαῖος, καὶ Χριστὸς αὐτός· ὁ μὲν, τῇ εἰσόδῳ Χριστοῦ μικροῦ πάντα καρποφορήσας, ὁ δὲ, τῷ πλουσίῳ τὸ τέλειον ἐν τούτῳ περιορίσας. καὶ συντομώτερον εἰπεῖν, καλὸν θεωρία, καὶ καλὸν πρᾶξις. ἡ μὲν, ἐντεῦθεν ἀνιστῶσα, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων χειροῦσα, καὶ τὸν νοῦν ἡμῶν πρὸς τὸ συγγενὲς ἐπανάγουσα· ἡ δὲ, Χριστὸν ὑποδεχομένη καὶ θεραπεύουσα, καὶ τοῖς ἔργοις τὸ φίλτρον ἐλέγχουσα. τούτων ἕκαστον μία τις σωτηρίας ὁδός, καὶ πρός τινα τῶν μονῶν πάντως φέρουσα τῶν αἰωνίων καὶ μακαρίων. ἐπειδὴ ὥσπερ διάφοροι βίων αἱρέσεις, οὕτω καὶ μοναὶ πολλαὶ παρὰ Θεῷ, κατὰ τὴν ἀξίαν ἑκάστῳ μεριζόμεναί τε καὶ διαιρούμεναι. καὶ ὁ μὲν τήνδε κατορθούτω τῆς ἀρετῆς, ὁ δὲ τήνδε, ὁ δὲ πλείους, ὁ δὲ τὰς πάσας, εἰ οἷόν τε. μόνον ὁδευέτω καὶ ἐφιέσθω τοῦ πρόσω, καὶ κατὰ πόδας ἑπέσθω τῷ καλῶς ὁδηγοῦντι, καὶ κατευθύνοντι, καὶ διὰ τῆς στενῆς ὁδοῦ καὶ πύλης ἐπὶ τὸ πλάτος ἄγοντι τῆς ἐκεῖθεν μακαριότητος. εἰ δὲ δεῖ Παύλῳ καὶ αὐτῷ Χριστῷ πειθομένους, πρώτην τε τῶν ἐντολῶν καὶ μεγίστην, ὡς κεφάλαιον νόμου καὶ προφητῶν, τὴν ἀγάπην ὑπολαμβάνειν, ταύτης τὸ κράτιστον εὑρίσκω φιλοπτωχίαν, καὶ τὴν περὶ τὸ συγγενὲς εὐσπλαγχνίαν τε καὶ συμπάθειαν. οὐδενὶ γὰρ οὕτω τῶν πάντων, ὡς ἐλέῳ, Θεὸς θεραπεύεται. ὅτι μηδὲ οἰκειότερον ἄλλο τούτου Θεῷ, ᾧ ἔλεος καὶ ἀλήθεια προπορεύονται, καὶ ᾧ προσοιστέον τὸν ἔλεον πρὸ τῆς κρίσεως. οὐδὲ ἄλλῳ τινὶ μᾶλλον ἢ φιλανθρωπία τῷ φιλανθρώπῳ ἀντιδίδοται παρὰ τοῦ δικαίως ἀντιμετροῦντος, καὶ τιθέντος ἐν ζυγῷ καὶ σταθμῷ τὸν ἔλεον. πᾶσι μὲν οὖν πτωχοῖς ἀνοικτέον τὰ σπλάγχνα, καὶ τοῖς καθ' ἡντιναοῦν αἰτίαν κακοπαθοῦσι, κατὰ τὴν, χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων κελεύουσαν ἐντολήν. καὶ προσοιστέον ἀνθρώποις ὄντας ἀνθρώποις, τὸν ἔρανον τῆς χρηστότητος, εἴτε διὰ χηρείαν χρήζοιεν ταύτης, εἴτε δι' ὀρφανίαν, εἴτε ἀπξενωσιν πατρίδος, εἴτε ὠμότητα δεσποτῶν, εἴτε ἀρχόντων θράσος, εἴτε φορολόγων ἀπανθρωπίαν, εἴτε λῃστῶν μιαιφονίαν, εἴτε κλεπτῶν ἀπληστίαν, εἴτε δήμευσιν, εἴτε ναυάγιον. πάντες γὰρ ὁμοίως ἐλεεινοί, καὶ οὕτω βλέποντες εἰς τὰς ἡμετέρας χεῖρας, ὡς ἡμεῖς εἰς τὰς τοῦ Θεοῦ, περὶ ὧν ἂν δεώμεθα. καὶ τούτων αὐτῶν οἱ παρὰ τὴν ἀξίαν κακοπαθοῦντες, τῶν ἐν ἔθει τοῦ δυστυχεῖν ὄντων ἐλεεινότεροι. ἐξαιρέτως δὲ τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου διεφθαρμένοις, καὶ μέχρι σαρκῶν καὶ ὀστέων, καὶ μυελῶν, ὡς ἡ κατά τινων ἀπειλή, βεβρωμένοις καὶ προδεδομένοις ὑπὸ τοῦ μοχθηροῦ καὶ ταπεινοῦ καὶ ἀπίστου τούτου σώματος, ᾧ πῶς συνεζύγην, οὐκ οἶδα, καὶ πῶς εἰκών τε εἰμὶ Θεοῦ, καὶ τῷ πηλῷ συμφύρομαι· ὃ καὶ εὐεκτοῦν πολεμεῖ, καὶ ἀνιᾷ πολεμούμενον. ὃ καὶ ὡς σύνδουλον ἀγαπῶ, καὶ ὡς ἐχθρὸν ἀποστρέφομαι. ὃ καὶ ὡς δεσμὸν φεύγω, καὶ ὡς συγκληρονόμον αἰσχύνομαι. τήκειν φιλονεικῶ, καὶ οὐκ ἔχω τίνι συνεργῷ πρὸς τὰ κάλλιστα χρήσομαι, ὡς εἰδὼς εἰς ὃ γέγονα, καὶ ὅτι δεῖ με πρὸς Θεὸν ἀναβαίνειν διὰ τῶν πράξεων. φείδομαι ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ Θεοῦ πίπτω βαρυνθεὶς ταῖς πέδαις κατασπώμενος ἢ κατεχόμενος εἰς ἔδαφος. ἐχθρός ἐστιν εὐμενής, καὶ φίλος ἐπίβουλος. ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως. ὃ φοβοῦμαι περιέπω, καὶ ὃ στέργω δέδοικα. πρὶν πολεμῆσαι, καταλλάσσομαι. καὶ πρὶν εἰρηνεῦσαι, διΐσταμαι. τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον; ἢ βούλεται μοῖρα ἡμᾶς ὄντας Θεοῦ, καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι, καταφρονῶμεν τοῦ κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ, πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος. ἵνα εἰδῶμεν οἱ αὐτοὶ μέγιστοί τε ὄντες καὶ ταπεινότατοι, ἐπίγειοι καὶ οὐράνιοι, πρόσκαιροι καὶ ἀθάνατοι, κληρονόμοι φωτὸς καὶ πυρὸς, εἴτ' οὖν σκότους, ὁποτέρως ἂν νεύσωμεν. τοιοῦτον τὸ κρᾶμα ἡμῶν, καὶ διὰ ταῦτα, ὡς γοῦν ἐμοὶ καταφαίνεται, ἵν' ὅταν ἐπαιρώμεθα διὰ τὴν εἰκόνα, διὰ τὸν χοῦν συστελλώμεθα. ταῦτα μὲν οὖν ὁ βουλόμενος φιλοσοφείτω, καὶ ἡμεῖς γε συμφιλοσοφήσομεν εὐκαιρότερον. νυνὶ δὲ ὅθεν λέγειν ὁ λόγος ὥρμηται, τὴν ἡμῶν περιαλγοῦντι σαρκῶν, καὶ τῆς ἡμῶν ἀσθενείας ἐν ἀλλοτρίοις πάθεσι θεραπευτέον ἀδελφοὺς τοὺς συγγενεῖς καὶ ὁμοδούλους. εἰ γὰρ καὶ ὡς ἐχθροῦ κατηγόρησα διὰ τὸ πάθος, ἀλλὰ καὶ ὡς φίλου περιέχομαι διὰ τὸν συνδήσαντα, καὶ θεραπευτέον οὐχ ἧττον τὰ τῶν πλησίον, ἢ ἑκάστῳ τὰ ἑαυτοῦ, τῶν τε ὑγιαινόντων, καὶ τῶν ὑπὸ τῆς αὐτῆς νόσου δαπανωμένων. πάντες γάρ ἐσμεν ἓν ἐν κυρίῳ, εἴτε πλούσιος, εἴτε πένης, εἴτε δοῦλος, εἴτε ἐλεύθερος, εἴτε ὑγιαίνων, εἴτε πονήρως ἔχων τοῦ σώματος, καὶ μία κεφαλὴ πάντων, ἐξ οὗ τὰ πάντα, Χριστός. καὶ ὅπερ ἐστὶν ἀλλήλοις τὰ μέλη, τοῦτο ἕκαστος ἑκάστῳ, καὶ πάντες ἅπασι. οὐκοῦν περιοπτέον, οὐδὲ ἀμελητέον τῶν προκαταπεσόντων εἰς τὴν κοινὴν ἀσθένειαν. οὐδὲ ἀγαπητὸν μᾶλλον, ὅτι εὖ ἡμῖν ἔχει τὰ σώματα, ἢ ἀνιαρὸν, ὅτι ἀθλίως τοῖς ἀδελφοῖς.

καὶ ἐγγυᾶσθαι μίαν ἀσφάλειαν εἶναι τὴν ἡμετέραν σαρκῶν τε καὶ ψυχῶν τὴν εἰς ἐκείνους φιλανθρωπίαν. σκοπῶμεν δὲ οὕτως, τοῖς μὲν ἄλλοις ἓν μόνον ἐλεεινὸν τὸ τῆς ἀχρείας, ὃ τάχ' ἂν ἢ χρόνος, ἢ πόνος, ἢ φίλος, ἢ συγγενὴς, ἢ καιροῦ μεταβολὴ λύσειε. τοῖς δὲ τούτοις μὲν οὐδενὸς ἧττον, εἰ μὴ καὶ μᾶλλον, ἄπεστι τὸ πονεῖν καὶ βοηθεῖν ἑαυτοῖς τοῖς οὐκ ἔχουσιν, ἀλλὰ καὶ τὰ ἀναγκαῖα μετὰ τῶν σαρκῶν ἀφῄρηνται. καὶ μείζων ἀεὶ τῆς ἀσθενείας αὐτοῖς μᾶλλον ὁ φόβος, ἢ ἡ τῆς ὑγείας ἐλπίς. ὥστε μικρὸν γοῦν τι βοηθεῖσθαι παρὰ τῆς ἐλπίδος, ἣ μόνον τοῖς ἀτυχοῦσιν ἐστὶ φάρμακον. πρὸς δὲ τῇ πενίᾳ καὶ ἡ νόσος κακὸν δεύτερον, καὶ κακῶν τὸ ἀπευκτότατον καὶ βαρύτατον, καὶ εἰς κατάρας τοῖς πολλοῖς προχειρότατον. καὶ τρίτον, τὸ μὴ προσιτοὺς αὐτοὺς εἶναι, μηδὲ θεατοὺς τοῖς πλείοσιν, ἀλλὰ φευκτοὺς καὶ βδελυκτοὺς, καὶ δι' ἀποτροπαίων, ὃ καὶ τῆς νόσου τούτοις βαρύτερον, ὅτι καὶ αἰσθάνονται διὰ τὴν συμφορὰν καὶ μισούμενοι. ἐγὼ μὲν οὐδὲ ἀδακρυτὶ φέρω τὸ τούτων πάθος, καὶ τῇ μνήμῃ συγχέομαι. πάθοιτε δὲ καὶ ὑμεῖς ταυτὸ, ἵνα τοῖς δάκρυσι τὰ δάκρυα φύγητε. καὶ πάσχουσί γε οἶδ' ὅτι τῶν παρόντων, ὅσοι φιλόχριστοι καὶ φιλόπτωχοι, καὶ θεοῦ, καὶ παρὰ θεοῦ τὸ ἐλεεῖν ἔχοντες. μαρτυρεῖτε δὲ καὶ ὑμεῖς τῶν παθῶν. πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν, καὶ πᾶσι, πλὴν τῶν εἰδότων, ἄπιστον. ἄνθρωποι νεκροὶ καὶ ζῶντες, ἠκρωτηριασμένοι τοῖς πλείστοις τοῦ σώματος μέρεσι. μήθ' οἵτινές ποτ' ἦσαν, μήθ' ὅθεν εἰσὶ μικροῦ γινωσκόμενοι. μᾶλλον δὲ τῶν ποτε ἀνθρώπων ἄθλια λείψανα, πατέρας καὶ μητέρας, καὶ ἀδελφοὺς, καὶ τόπους ἑαυτῶν γνωρίσματα λέγοντες. ἐγὼ τοῦ δεῖνος, καὶ ἡ δεῖνά μοι μήτηρ, καὶ τόδε μοι ὄνομα, καὶ σύ μοι φίλος ποτὲ καὶ γνώριμος. καὶ τοῦτο πράττουσιν. οὐ γὰρ ἔχουσι τῷ παλαιῷ χαρακτῆρι γινώσκεσθαι. ἄνθρωποι περικεκομμένοι, καὶ περιῃρημένοι χρήματα, συγγενεῖς, φίλους, αὐτὰ τὰ σώματα. ἄνθρωποι μόνοι τῶν πάντων ἐλεοῦντές τε ἑαυτοὺς καὶ μισοῦντες ὁμοίως. οὐκ ἔχοντες πότερα μᾶλλον θρηνήσωσι, τὰ μηκέτ' ὄντα τοῦ σώματος, ἢ τὰ μένοντα, ὅσα προανήλωσεν ἡ νόσος, ἢ ὅσα τῇ νόσῳ λείπεται. τὰ μὲν γὰρ ἀνήλωται δυστυχῶς, τὰ δὲ σώζεται δυστυχέστερον. τὰ μὲν οἴχεται πρὸ τὴν τάφον, τὰ δὲ οὐκ ἔστιν ὁ παραδώσει ταφῇ. καὶ γὰρ ὁ λίαν χρηστὸς καὶ φιλάνθρωπος, τούτοις ἐστὶν ἀναλγητότατος. καὶ ἐνταῦθα μόνον ἐπιλανθανόμεθα σάρκες ὄντες, καὶ τὸ σῶμα τὸ τῆς ταπεινώσεως περικείμενοι. καὶ τοσούτῳ ἀποδέομεν θεραπεύειν τῶν συγγενῶν, ὥστε καὶ τῶν ἡμετέρων σωμάτων ἀσφάλειαν εἶναι τὴν τούτων φυγὴν νομίζομεν. καὶ νεκρῷ μὲν ἤδη προσῆλθέ τις παλαιῷ, καὶ τούτῳ τυχὸν ὀδωδότι, καὶ ζώων ἀλόγων ἤνεγκεν ὀδωδότα σώματα, καὶ βορβόρου πλησθεὶς ἠνέσχετο. τούτους δὲ κατὰ κράτος φεύγομεν. ὢ τῆς ἀπανθρωπίας, ὅτι καὶ τὸν αὐτὸν αὐτοῖς ἀσπῶμεν ἀέρα, μικροῦ δυσχεραίνοντες. τί πατρὸς γνησιώτερον, καὶ τί μητρὸς συμπαθέστερον; ἀλλ' ἀποκλείεται γε τούτοις καὶ ἡ φύσις. καὶ πατὴρ παῖδα τὸν ἑαυτοῦ, ὃν ἐγέννησεν, ὃν ἀνέθρεψεν, ὃν ὀφθαλμὸν βίου μόνον ἔχειν ἐνόμισεν, ὑπὲρ οὗ πολλὰ θεῷ καὶ πολλάκις προσηύξατο, τοῦτον ὀδύρεται μὲν, ἀπελαύνει δέ. τὸ μὲν εἰκὼν, τὸ δὲ τυραννούμενος, καὶ μήτηρ μέμνηται μὲν τῶν ὠδίνων, καὶ τὰ σπλάγχνα σπαράσσεται, καὶ ἀνακαλεῖται λίαν ἐλεεινῶς, καὶ προθεῖσα θρηνεῖ, καθάπερ τεθνηκότα τὸν ζῶντα. τέκνον λέγουσα δυστυχοῦς καὶ ἀθλίας μητρὸς, ὃ μοι συνεμερίσατο πικρῶς ἡ νόσος. τέκνον ἐλεεινὸν, τέκνον οὐ γνωριζόμενον, τέκνον, ὃ κρημνοῖς καὶ ὄρεσι καὶ ἐρημίαις ἀνεθρεψάμην. μετὰ θηρίων οἰκήσεις, καὶ σκέπη σοι πέτρα, καὶ τῶν ἀνθρώπων μόνοι ὄψονταί σε οἱ εὐσεβέστατοι. καὶ ταῦτα δὴ τὰ τοῦ Ἰὼβ ἐλεεινὰ ῥήματα ἐπιφθέγγεται, ἵνα τί συνελάβου ἐν κοιλίᾳ μητρὸς, ἐκ γαστρὸς δὲ ἐξῆλθες, καὶ οὐκ εὐθὺς ἀπώλου, ὡς συνδραμεῖν τῇ γεννήσει τὴν τελευτήν; ἵνα τί δὲ οὐκ ἀπῆλθες ἄωρος, πρὶν γεύσασθαι τῶν τοῦ βίου κακῶν; ἵνα τί δέ σοι συνήντησαν γόνατα; τί δὲ σὺ τοὺς ἐθήλασας μαστοὺς, ἀθλίως ζήσεσθαι μέλλοντι, καὶ ζωὴν θανάτου χαλεπωτέραν; καὶ ταῦτα λέγει, καὶ ἐπαφίησι πηγὰς δακρύων, καὶ περιπλέξασθαι βούλεται μὲν ἡ δυστυχὴς, φοβεῖται δὲ τὰς τοῦ παιδὸς σάρκας, ὡς πολεμίας. πάνδημοι δὲ καταβοήσεις τε καὶ διώξεις, οὐ κατὰ τῶν ἀδικούντων, ἀλλὰ κατὰ τῶν δυστυχούντων γίνονται. καὶ φονέα μὲν ἤδη τις συνῳκίσατο, καὶ μοιχῷ μετέδωκεν, οὐ στέγης μόνον, ἀλλὰ καὶ τραπέζης. καὶ βίου κοινωνὸν τὸν ἱερόσυλον εἵλετο, καὶ τοῖς αὐτὸν διατεθεικόσι κακὸν ἐσπείσατο, τοῦ δὲ τὸ πάθος ὡς ἔγκλημα μηδὲν λυπήσαντος ἀπεστράφη. καὶ πλέον ἔχει νόσου κακία. καὶ τὸ μὲν ἀπάνθρωπον ὡς ἐλευθέριον ἀσπαζόμεθα, τὸ δὲ συμπαθὲς ὡς αἰσχρὸν ἀτιμάζομεν. ἀπελαύνονται πόλεων, ἀπελαύνονται οἰκιῶν, ἀγορᾶς, συλλόγων, ὁδῶν, πανηγύρεων, συμποσίων. ὢ τῶν παθῶν, αὐτῶν τῶν ὑδάτων. οὔτε πηγαὶ ῥέουσι τούτοις κοιναὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους, οὔτε ποταμοὶ πιστεύονται μηδὲν ὀφέλκεσθαι τοῦ μολύσματος. καὶ τὸ παραδοξότατον, οὓς δ' ἂν ὦσιν, ὡς ἄγη μὲν ἀπελαύνομεν, ὡς δὲ οὐδὲν λυποῦντας, πάλιν πρὸς ἡμᾶς αὐτοὺς ἐπιστρέφομεν. οὐκ οἴκησιν ἀπονέμοντες, οὐ τὰς ἀναγκαίας τροφὰς, οὐ θεραπείαν τοῖς τραύμασιν, οὐ σκέπην, τὴν νόσον εἰς δύναμιν περιστέλλοντες. διὰ τοῦτο περιπλανῶνται νύκτας καὶ ἡμέρας, ἄποροι καὶ γυμνοὶ καὶ ἀνέστιοι, τὴν νόσον ἐπιδεικνύντες, τὰ ἀρχαῖα ἐκδιηγούμενοι, τὸν πλάστην ἐπιβοώμενοι, χρώμενοι τοῖς ἀλλήλων μέλεσιν ἀντὶ τῶν ἀπόντων, σοφιστὰ μελῳδῶν ἑλκόντων ἔλεον, ἄρτου τι μικρὸν αἰτοῦντες,

ἢ ὄψιν τὸ βραχύτατον, ἢ ῥάκος τι τυχὸν βοήθημα τῆς αἰσχύνης, ἢ παραμυθίαν τοῖς ἕλκεσι,
καὶ φιλάνθρωπός ἐστιν αὐτοῖς, οὐχ ὃς πρὸς τὴν χρείαν ἤρκεσεν, ἀλλ᾽ ὅστις μὴ πικρῶς ἀπε-
πέμψατο. οἱ πολλοὶ δὲ αὐτῶν οὐδὲ ὑπ᾽ αἰσχύνης τὰς πανηγύρεις φεύγουσιν, αὐτὸ μὲν οὖν τοὐναν-
τίον, εἰς ταύτας ὠθοῦνται διὰ τὴν χρείαν, ταύτας δὴ λέγω τὰς πανδήμους καὶ ἱεράς, ἃς
ἡμεῖς ἐπὶ θεραπείᾳ τῶν ψυχῶν ἐξεύρομεν, ἢ κατά τι μυστήριον συνιόντες, ἢ τοῖς μάρτυσι τῆς
ἀληθείας πανηγυρίζοντες, ἵν᾽ ὧν τοὺς ἀγῶνας τιμῶμεν, μιμώμεθα τὴν εὐσέβειαν. καὶ αἰ-
σχύνονται μὲν τοὺς ἀνθρώπους διὰ τὴν συμφοράν, ὄντες ἄνθρωποι, καὶ βούλοιντ᾽ ἂν ὄρεσιν, ἢ
κρημνοῖς, ἢ ὕλαις, ἢ τὸ τελευταῖον νυκτὶ καὶ σκότῳ περικαλύπτεσθαι, ῥιπτοῦνται δὲ ὅμως εἰς
μέσον. φόρτος ἐλεεινὸς καὶ δακρύων ἄξιος. τάχα μὲν ἴσως καὶ κατὰ λόγον, ἵνα ἡμῖν ὦσι τῆς ἀσθενείας
ἡμῶν ὑπομνήματα, καὶ πείθωσι, μηδενὶ τῶν παρόντων καὶ ὁρωμένων ὡς ἑστῶτί τι προστίθεσθαι. ῥί-
πτοῦνται δὲ οἱ μὲν ἐπιθυμίᾳ φωνῆς ἀνθρωπίνης, οἱ δὲ προσόψεως, οἱ δὲ ἵνα βραχέα ζωῆς ἐ-
φόδια παρὰ τῶν τρυφώντων συλλέξωνται. πάντες δὲ, ἵνα τι ῥᾷον ζήσωνται, τῶν ἑαυτῶν θρή-
νων δημοσιεύοντες. τίς οὐ κατακλᾶται, τούτων τοῖς ὀδυρμοῖς οἰκτρὰν ξυνῳδίαν ἁρμο-
ζομένων; τίς ἀκοὴ φέρει τὸ ἄκουσμα; τίς ὄψις χωρεῖ τὸ θέαμα; οἱ μὲν κεῖνται μετ᾽ ἀλλήλων κα-
κῶς ὑπὸ τῆς νόσου συνεζευγμένοι, καὶ ἄλλος ἄλλο τι τῆς συμφορᾶς πρὸς τὸ ἐλεεινὸν ἐρανίζον-
τες, καὶ εἰσὶν ἀλλήλοις προσθήκη τῶν παθῶν, ἐλεεινοὶ τῆς ἀρρωστίας, τῆς συμπαθείας ἐλεεινό-
τεροι. περιΐστανται δὲ αὐτοὺς θέατρον συμμιγὲς συναλγούντων μὲν, ἀλλὰ πρόσκαιρα. οἱ δὲ
καλινδοῦνται πρὸς τοῖς ποσὶ τῶν ἀνθρώπων, ἡλίῳ καὶ κόνει, ἔστι δ᾽ ὅτε καὶ κρυμοῖς ἀγρίοις,
καὶ ὄμβροις, καὶ ταραχαῖς ἀνέμων παλαιόμενοι, παρὰ τοσοῦτον καὶ συμπατούμενοι, παρό-
σον καὶ ψαύειν αὐτῶν βδελυσσόμεθα. ἀντᾴδει δὲ τοῖς ἱεροῖς ἔνδον μέλεσιν ὁ τῶν αἰτούντων ὀδυρ-
μός, καὶ ταῖς μυστικαῖς φωναῖς θρήνων ἐλεεινὸς ἀντεγείρεται. τί δεῖ πάντα αὐτῶν προτιθέ-
ναι τὴν συμφορὰν ἀνθρώποις πανηγυρίζουσιν. ἴσως ἂν καὶ ὑμῖν κινήσαιμι θρῆνον, εἰ πάντα ἐκ-
τραγῳδεῖν ἐπιμελῶς, καὶ νικήσει τὴν ἑορτὴν τὸ πένθος. λέγω γὰρ οὖν ταῦτα, ἐπεὶ μηδέ πω
δύναμαι πείθειν ὑμᾶς ὡς ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα, καὶ κατήφεια πανηγύρεως, καὶ
γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινούμενον. οὗτοι δὲ οὖν ταῦτα, καὶ πολλῷ γε ὧν εἶπον ἀθλιώτερα,
οἱ κατὰ θεὸν ἡμῶν ἀδελφοί, κἂν μὴ βούλησθε, οἱ τὴν αὐτὴν ἡμῖν λαχόντες φύσιν, οἱ ἐκ τοῦ αὐ-
τοῦ πηλοῦ διηρτισμένοι, ἐξ οὗ τὸ πρῶτον γεγόναμεν. οἱ νεύροις καὶ ὀστέοις ἐνειρμένοι παραπλη-
σίως. οἱ δέρμα καὶ κρέας ἐνδεδυμένοι πᾶσιν ὁμοίως, ὥς που φησὶν ὁ θεῖος Ἰὼβ ἐμφιλοσο-
φῶν τοῖς πάθεσι, καὶ διὰ τῶν ὑμῶν τὸ φαινόμενον. μᾶλλον δὲ, εἰ χρὴ τὸ μεῖζον εἰπεῖν, οἱ τὸ κατ᾽
εἰκόνα καὶ λαχόντες ὁμοίως ἡμῖν, καὶ φυλάσσοντες ἴσως ὑπὲρ ἡμᾶς, εἰ καὶ τὰ σώματα δι-
φθαρῆσαν. οἱ τὸν αὐτὸν ἐνδεδυμένοι Χριστὸν κατὰ τὸν ἔσω ἄνθρωπον, καὶ τὸν αὐτὸν ἡμῖν πιστευθέντες
ἀρραβῶνα τοῦ πνεύματος. οἱ τῶν αὐτῶν ἡμῖν μεταχόντες νόμων, λογίων, διαθηκῶν, συ-
νάξεων, μυστηρίων, ἐλπίδων. ὑπὲρ ὧν Χριστὸς ὁμοίως ἀπέθανεν, ὁ πάσης αἴρων τὴν ἁμαρτίαν
τοῦ κόσμου. οἱ συγκληρονόμοι τῆς ἄνω ζωῆς, καὶ εἰ παρὰ πολὺ τῆς ἐνταῦθα διήμαρτον. οἱ συνθα-
πτόμενοι Χριστῷ, καὶ συνανιστάμενοι, εἴπερ συμπάσχουσιν, ἵνα καὶ συνδοξασθῶσι. τί δὲ ἡμεῖς;
οἱ τὸ μέγα καὶ καινὸν ὄνομα κεκληρωμένοι, τὸ καλεῖσθαι ἀπὸ Χριστοῦ, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον
ἱεράτευμα, ὁ περιούσιος λαὸς καὶ ἐξαίρετος, ὁ ζηλωτὴς καλῶν ἔργων καὶ σωτηρίων, οἱ Χρι-
στοῦ μαθηταὶ τοῦ πράου καὶ φιλανθρώπου, καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντος, τοῦ ταπεινώ-
σαντος ἑαυτὸν μέχρι τοῦ ἡμετέρου φυράματος, τοῦ δι᾽ ἡμᾶς πτωχεύσαντος τὴν σάρκα ταύτην
καὶ τὸ γεῶδες σκῆνος, καὶ ὀδυνηθέντος, καὶ μαλακισθέντος ὑπὲρ ἡμῶν, ἵνα ἡμεῖς πλουτήσωμεν
τὴν θεότητα. τί οὖν ἡμεῖς, οἱ τοσοῦτον εὐσπλαγχνίας καὶ συμπαθείας λαβόντες ὑπόδειγμα,
τί διανοησόμεθα περὶ τούτων; καὶ τί ποιήσομεν; περιοψόμεθα; παραδραμούμεθα; καταλείψο-
μεν ὡς νεκρούς, ὡς βδελυγμένους, ὡς ἑρπετῶν καὶ θηρίων τὰ πονηρότατα; μηδαμῶς, ἀδελ-
φοί. οὐ πρέπει ἡμῖν ταῦτα τῶν Χριστοῦ θρεμμάτων τοῦ ἀγαθοῦ ποιμένος, τοῦ τὸ πλανώμενον ἐπι-
στρέφοντος, καὶ τὸ ἀπολωλὸς ἐκζητοῦντος, καὶ τὸ ἀσθενὲς ἐνισχύοντος, οὔτε πρὸς τῆς ἀν-
θρωπίνης φύσεως, ἢ τὸ συμπαθὲς ἐνομοθέτησεν, ἐκ τῆς ἰδίας ἀσθενείας μαθοῦσα τὸ εὐσεβὲς
καὶ φιλάνθρωπον. ἀλλ᾽ οἱ μὲν ὕπαιθροι ταλαιπωρήσουσιν, ἡμεῖς δὲ οἰκήσομεν οἰκίας ὑπερλάμ-
πρους, λίθοις παντοίοις διηνθισμένας, καὶ χρυσῷ καὶ ἀργύρῳ καταστραπτούσας, καὶ ψηφῖδος
λεπτῆς διαθέσει, καὶ ποικιλίᾳ γραφῆς ὀφθαλμῶν ἀπατηλοῖς δελεάσμασι. καὶ τὰς μὲν
οἰκήσομεν, τὰς δὲ οἰκοδομήσομεν, καὶ τίσιν; οὐδὲ κληρονόμοις ἴσως ἡμῶν, ἀλλὰ ξένοις καὶ ἀλλο-
τρίοις. καὶ τούτων ἴσως οὐδὲ τοῖς ἀγαπῶσιν ἡμᾶς, ἀλλὰ τοῖς ἀπεχθεστάτοις καὶ φθονερωτά-
τοις, ὃ κακῶν ἔσχατον. καὶ οἱ μὲν ῥιγῶσιν ἐν τρυχίνοις καὶ διεσπασμένοις ῥάκεσι, μᾶλλον δὲ
οὐδὲ τούτων τυχὸν εὐπορήσουσιν. ἡμεῖς δὲ θρυψόμεθα ἡμᾶς αὐτοὺς ἐσθῆτι μαλακῇ καὶ περιρρέ-
ούσῃ, καὶ τοῖς ἐκ λίνου καὶ σηρῶν ἁβροῖς ὑφάσμασι, καὶ τοῖς μὲν ἀσχημονήσομεν μᾶλλον, ἤπερ ἐμπρέ-
ψομεν, οὔπω γὰρ ἐγὼ καλῶ πᾶν τὸ περιττὸν καὶ περίεργον, τὰ δὲ ἔνδον ἡμῖν ἀχρεῖσται

φοντις

φροντὶς ἄχρηστος καὶ ἀνόητος, ἐν τῇ δαπάνῃ καὶ χρόνου τοῦ ταῦτα καταναλίσκοντος,
καὶ οἱ μὲν οὐδὲ τῆς ἀναγκαίας τροφῆς εὐποροῦσιν. ὢ τῆς ἡμῶν τρυφῆς, καὶ τῆς ἐκείνων ταλαι-
πωρίας. ἀλλὰ κέονται πρὸ τῶν ἡμετέρων θυρῶν, ἐκλυόμενοι καὶ λιμώττοντες, οὐδὲ τὰς
πρὸς τὴν αἴτησιν ἀφορμὰς παρὰ τοῦ σώματος ἔχοντες. ἐστερημένοι φωνῶν μὲν εἰς τὸ ὀδύ-
ρασθαι, χειρῶν δὲ εἰς τὸ προτείνειν ἐφ' ἱκεσίᾳ, ποδῶν δὲ εἰς τὸ προσιέναι τοῖς ἔχουσιν, ἀναπνοῶν
δὲ εἰς εὐτονίαν τῆς θρηνῳδίας, τὸ βαρύτατον τῶν κακῶν κουφότατον κρίνοντες, τοῖς ὀφθαλ-
μοῖς μόνοις εὐχαριστοῦντες, ὅτι μὴ τὴν ἑαυτῶν λώβην βλέπουσιν. καὶ οἱ μὲν οὕτως. ὑμεῖς δὲ
ἀνακείμεθα λαμπροὶ λαμπρῶς ὑπὲρ στιβάδος ὑψηλῆς τε καὶ μετεώρου, καὶ τῶν πολυτελῶν καὶ
ἀψαύστων ἐπιβλημάτων, κἂν φωνῆς ἀκούσωμεν τὴν αἴτησιν δυσχεραίνοντες. δεῖ δὲ ἡμῖν τὸ μὲν
ἔδαφος εὐωδεῖν ἄνθεσι πολλάκις, καὶ τῆς ὥρας ἔξω, τὴν δὲ τράπεζαν καταρραίνεσθαι μύροις, καὶ
μύρων τοῖς εὐωδεστάτοις τε καὶ πολυτελεστάτοις, ἵνα καὶ μᾶλλον ἐκθηλυνώμεθα. παῖδας
δὲ παρεστάναι τοὺς μὲν ἐν κόσμῳ καὶ ἐφεξῆς, ἀνέτους τὰς κόμας καὶ θηλυδρίας, καὶ τὰ κατὰ πρόσω-
πον κουρᾷ περιειργασμένους πλέον, ἢ ὅσον συμφέρει λίχνοις ὀφθαλμοῖς κεκοσμημένους.
τοὺς δὲ τὰς κύλικας ἐπ' ἄκρων δακτύλων ἔχοντας, ὡς οἷόν τε εὐπρεπέστατά τε ὁμοῦ καὶ ἀ-
σφαλέστατα. τοὺς δὲ ὑπὲρ κεφαλῆς ἀνέμους ταῖς ῥιπίσι σοφιζομένους, καὶ ταῖς ἐκ χειρῶν
αὔραις τὸ πλῆθος τῶν σαρκῶν ἀναψύχοντας. καὶ τὰ ἐπὶ τούτοις, πλήθειν μὲν κρεῶν τὴν
τράπεζαν, πάντων χορηγούντων ἡμῖν τῶν στοιχείων πλουσίως, ἀέρος, γῆς, ὕδατος, καὶ στενοχω-
ρεῖσθαι τοῖς μαγείρων καὶ ὀψοποιῶν μαγγανεύμασιν. ἀγῶνα δὲ εἶναι πᾶσιν, ὅς τις ὡς μάλιστα τὴν
λίχνην ἡμῶν καὶ ἀχάριστον κολακεύσει γαστέρα. τὸ βαρὺ φορτίον καὶ ἀρχέκακον, τὸ ἀπληστό-
τατον θηρίον καὶ ἀπιστότατον, τὴν καταργουμένην αὐτίκα σὺν τοῖς καταργουμένοις βρώμα-
σι. καὶ τοῖς μὲν πολύ τι κέρδος ἐφ' ὕδατος, ἡμῖν δὲ καὶ μέχρι μέθης οἱ τοῦ οἴνου κρατῆρες, μᾶλ-
λον δὲ καὶ ὑπὲρ τὴν μέθην τοῖς γε ἀκολαστοτέροις. καὶ τὸν μὲν ἀποπεμπόμεθα τῶν οἴνων, τὸν δὲ
ἐγκρίνομεν ὡς ἀνθοσμίαν. περὶ δὲ τοῦ φιλοσοφοῦμεν. ζημίαν δὲ, εἰ μὴ προσείσαι τῷ ἐγχω-
ρίῳ καὶ τῶν ὀνομαζομένων ξένων τις, ὥσπερ τύραννος. δεῖ γὰρ ἡμᾶς ἁβροὺς καὶ τῆς χρείας πε-
ριττοτέρους εἶναι, ἢ νομίζεσθαι. ὥσπερ αἰσχυνομένους, εἰ μὴ κακοὶ νομιζοίμεθα, καὶ δοῦλοι γα-
στρὸς, καὶ τῶν ὑπὸ γαστέρα. τί ταῦτα ὦ φίλοι καὶ ἀδελφοί; τί νοσοῦμεν καὶ αὐτοὶ τὰς ψυ-
χὰς νόσον, πολὺ τῆς τῶν σωμάτων χαλεπωτέραν; ὅσῳ τὴν μὲν ἀκούσιον οἶδα, τὴν δὲ ἐρχομένην ἐκ
προαιρέσεως. καὶ τὴν μὲν τῇ ζωῇ ταύτῃ συγκαταλυομένην, τὴν δὲ συναπιοῦσαν ἡμῖν μεθι-
σταμένοις. καὶ τὴν μὲν ἐλεουμένην, τὴν δὲ μισουμένην, τοῖς γε νοῦν ἔχουσι. τί μὴ βοηθοῦμεν
τῇ φύσει καιρὸν ἔχοντες; τί μὴ περιστέλλομεν σάρκες ὄντες, τῆς σαρκὸς τὴν ταπείνωσιν; τί
τρυφῶμεν ἐν τοῖς τῶν ἀδελφῶν δυστυχήμασι; μή μοι γένοιτο μήτε πλουτεῖν, τούτων ἀπορου-
μένων, μήτε εὐεκτεῖν, εἰ μὴ βοηθοίην τοῖς τούτων τραύμασι, μὴ τροφῆς ἱκανῶς ἔχειν, μὴ σκέ-
πης, μὴ ὑπὸ στέγην ἀναπαύεσθαι, εἰ μὴ καὶ ἄρτον ὀρέξαιμι, καὶ μεταδοίην ἐσθῆτος εἰς δύνα-
μιν, καὶ ὑπὸ στέγην ἀναπαύσαιμι. ἀλλ' ἤτοι πάντα ἀποθέμενοι Χριστῷ, ἵνα γνησίως ἀκολουθή-
σωμεν αὐτῷ τὸν σταυρὸν ἀράμενοι, καὶ ἀναπτῶμεν ὡς κοῦφοι πρὸς τὸν ἄνω κόσμον, καὶ εὐστα-
λεῖς ὑπὸ μηδενὸς καθελκόμενοι, καὶ κερδήσωμεν ἀντὶ πάντων Χριστὸν, διὰ ταπεινώσεως ὑψω-
θέντες, καὶ διὰ πενίας πλουτήσαντες. ἢ Χριστῷ τὰ ὄντα συμμεριστέον, ἵνα πως καὶ τὸ ἔχειν
δὴ τοῦ καλῶς ἔχειν ἁγιασθῇ, ἐπὶ τοῦ κοινωνεῖν τοῖς μὴ ἔχουσιν. εἰ δὲ καὶ σπείραιμι ἐμαυτῷ μόνῳ,
σπείραιμι ἄρα, καὶ ἄλλοι φάγοιεν. καὶ ἵνα πάλιν εἴπω τὸ τοῦ Ἰὼβ, ἀντὶ πυροῦ ἐξέλθοι μοι κνί-
δη. ἀντὶ δὲ κριθῆς, βάτος. καύσων δὲ ἄνεμος ὑπολάβοι, καὶ ὑφέλοιτο λαῖλαψ τοὺς ἐμοὺς
πόνους, ἵνα εἰς κενὸν κοπιάσαιμι. εἰ δὲ καὶ ἀποθήκας οἰκοδομήσαιμι ἐκ τῶν μαμωνᾶ θησαυ-
ρίζων, καὶ μαμωνᾶ ταύτῃ τῇ νυκτὶ τὴν ψυχὴν ἀπαιτηθείην, λόγον ὑφέξων, ὧν κακῶς ἐθη-
σαύρισα, οὐ σωφρονισώμεθα; ὀψέ γ' οὖν. οὐ καταβαλοῦμεν τῆς ἀναλγησίας ἔτι, μὴ λέγω μικρο-
λογίαν, οὐ τὰ ἀνθρώπινα λογιούμεθα; οὐκ ἐν τοῖς ἑτέρων κακοῖς τὰ ἡμέτερα εὖ θησόμεθα;
φύσει μὲν γὰρ οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ ὁμαλὸν, οὐδὲ αὔταρκες, οὐδὲ ἐπὶ τῶν
αὐτῶν ἱστάμενον. ἀλλὰ κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐν
μιᾶς ἡμέρας πολλάκις, ἔστι δ' ὅτε καὶ ὥρας, φέρων μεταβολάς. καὶ αὔραις μᾶλλον ἔστι πιστεύ-
ειν οὐχ ἱσταμέναις, καὶ νηὸς ποντοπορούσης ἴχνεσι, καὶ νυκτὸς ἀπατηλοῖς ὀνείρασιν. ὧν πρὸς ὀλίγον
ἡ χάρις, καὶ ὅσα κατὰ ψαμάθων παῖδες τυποῦσι παίζοντες, ἢ ἀνθρώπων εὐημερία. σώφρο-
νες δὲ οἱ διὰ τὸ μὴ πιστεύειν τοῖς παροῦσι, τὸ μέλλον ἑαυτοῖς θησαυρίζοντες, καὶ διὰ τὸ τῆς ἀν-
θρωπίνης εὐπραγίας ἄστατον καὶ ἀνώμαλον, τὴν οὐ πίπτουσαν ἀγαπῶντες χρηστότητα. ἵνα
τριῶν γέ τι πάντως κερδάνωσιν· ἢ τὸ μή ποτε πρᾶξαι κακῶς, ἐπεὶ καὶ τοῖς ἐνταῦθα χρη-
στοῖς πολλάκις δεξιοῦται τὸ θεῖον τοὺς εὐσεβεῖς χρηστότητι τοῦ συμπαθοῦς προκαλούμενον· ἢ τὸ παῤ-
ῥησίαν ἔχειν ἐν ἑαυτοῖς πρὸς θεὸν, ὡς οὐ διὰ κακίαν, ἀλλὰ διά τινα οἰκονομίαν κακοπαθοῦν-
τες· ἢ τὸ πλεῖστον, ὡς ὀφειλομένην ἀπαιτεῖν τὴν παρὰ τῶν εὐπραγούντων φιλανθρωπίαν,

ἣν τοῖς

ἣν τοῖς χρήζουσι προσηνέγκαμεν ἀξίως αὐτοὶ πράττοντες. μὴ καυχάσθω, φησὶν, ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, μηδὲ ὁ δυνατὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, κἂν εἰς τὸ ἄκρον ὦσιν ἐληλακότες, ὁ μὲν σοφίας, ὁ δὲ πλουσίας, ὁ δὲ δυνάμεως. ἐγὼ δὲ προσθήσω καὶ τὰ τούτοις ἑπόμενα· μηδὲ ὁ περίβλεπτος ἐν τῇ δόξῃ, μηδὲ ὁ εὐεκτῶν ἐν τῇ ὑγείᾳ, μηδὲ ὁ καλὸς ἐν τῇ ὥρᾳ, μηδὲ ὁ νέος ἐν τῇ νεότητι, μηδὲ ἐν ἄλλῳ μηδενὶ τῶν ἐνταῦθα ἐπαινουμένων, εἰ δεῖ συνελόντα εἰπεῖν, ὑπὸ τούτου φυσώμενος. ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, μόνον ἐν τῷ συνιέναι καὶ ἐκζητεῖν τὸν Θεὸν, καὶ συναλγεῖν τοῖς πάσχουσι, καὶ πρὸς τὸ μέλλον ἑαυτῷ τι χρηστὸν ἀποτίθεσθαι. τὰ μὲν γάρ ἐστι ῥευστὰ καὶ πρόσκαιρα, καὶ ὥσπερ ἐν παιδιᾷ ψήφων ἄλλοτε εἰς ἄλλους μεταρριπτόμενα καὶ μεταπίπτοντα. καὶ οὐδὲν οὕτω τοῦ κεκτημένου ἴδιον, ὡς ἢ μὴ χρόνῳ παυθῆναι, ἢ φθόνῳ μετατεθῆναι. τὰ δὲ, ἑστῶτα καὶ μένοντα, καὶ οὔποτε ὑποχωροῦντα, οὐδὲ μεταπίπτοντα, οὐδὲ σφάλλοντα τὰς τῶν πεπιστευκότων ἐλπίδας. ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ μηδὲν τῶν ἐνταῦθα ἀγαθῶν εἶναι πιστὸν τοῖς ἀνθρώποις, μηδὲ πολυχρόνιον, ἀλλ' εἴπερ τι ἄλλο, καὶ τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ, καὶ τῇ πάντα νοῦν ὑπερεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι ἡμᾶς ἐν τοῖς ὁρωμένοις, ἄλλοτε ἄλλως μεταβαλλομένοις καὶ μεταβάλλουσι, καὶ ἄνω καὶ κάτω φερομένοις τε καὶ περιτρεπομένοις, καὶ πρὶν ληφθῆναι, ἀπιοῦσι καὶ φεύγουσιν. ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωροῦντες, πρὸς τὸ μέλλον μεθορμισώμεθα. τί γὰρ ἂν ἐποιήσαμεν, ἑστῶτος τοῦ εὖ πράττειν ἡμῖν, ὁπότε οὐ μένοντος, τοσοῦτον αὐτῷ προσδεδέμεθα; καὶ οὕτως ἡμᾶς ἡ περὶ τοῦτο ἡδονὴ καὶ ἀπάτη ἔχει δουλώσασα, ὥστε μηδὲν κρεῖττον, μηδὲ ὑψηλότερον τῶν παρόντων διανοεῖσθαι δύνασθαι, καὶ ταῦτα κατ' εἰκόνα Θεοῦ γεγονότας καὶ ἀκούοντας καὶ πιστεύοντας, τὴν ἄνω τε οὖσαν καὶ πρὸς ἑαυτὴν ἕλκουσαν. τίς σοφὸς καὶ συνήσει ταῦτα; τίς παραδραμεῖται τὰ παρατρέχοντα; τίς προσθήσεται τοῖς ἱδρυμένοις; τίς ἢ τὰ παρόντα, ὡς ἀπιόντα διανοηθήσεται; τίς ἢ τὰ ἐλπιζόμενα, ὡς ἱστάμενα; τίς διαιρήσει τὰ ὄντα καὶ τὰ φαινόμενα, καὶ τοῖς μὲν ἕψεται, τῶν δὲ ὑπερόψεται; τίς γραφὴν καὶ ἀλήθειαν; τίς τὴν κάτω σκηνὴν, καὶ τὴν ἄνω πόλιν; τίς παροικίαν καὶ κατοικίαν; τίς σκότος ἀπὸ τοῦ φωτός; τίς ἰλὺν βυθοῦ καὶ ἁγίαν γῆν; τίς σάρκα καὶ πνεῦμα; τίς Θεὸν καὶ κοσμοκράτορα; τίς θανάτου σκιὰν, καὶ ζωὴν τὴν αἰώνιον; τίς τοῖς παροῦσι τὸ μέλλον ὠνήσεται; τίς τῷ ῥέοντι πλούτῳ, τὸν μὴ λυόμενον; τίς τοῖς ὁρωμένοις, τὰ μὴ βλεπόμενα; μακάριος μὲν οὖν, ὅστις ταῦτα διακρίνων, καὶ διαιρῶν τῇ τομῇ τοῦ λόγου τῇ διαιρούσῃ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διατίθεται. ὥς που φησὶν ὁ θεῖος Δαβὶδ, καὶ τὴν κοιλάδα τοῦ κλαυθμῶνος ταύτην φεύγων, ὅσῃ δύναμις, τὰ ἄνω ζητεῖ, καὶ συσταυρούμενος κόσμῳ μετὰ Χριστοῦ, Χριστῷ συνανίσταται, καὶ Χριστῷ συνανέρχεται, τῆς οὐκέτι μεταπιπτούσης ζωῆς οὐδ' ἀπατηλῆς κληρονόμος. οὐ μηκέτι δάκνων ὄφις ἐπὶ ὁδοῦ, οὐδὲ τηρῶν πτέρναν καὶ κεφαλὴν τηρούμενος. τοῖς δὲ λοιποῖς ἡμῖν καλῶς ὁ αὐτὸς ἐμβοᾷ Δαβὶδ, ὥσπερ τις μεγαλοφωνότατος κῆρυξ ἀφ' ὑψηλοῦ τε καὶ πανδήμου κηρύγματος, βαρυκαρδίους τε ἀποκαλῶν, καὶ ἀγαπῶντας ψεῦδος, μὴ σφόδρα περιέχεσθαι τῶν ὁρωμένων. μηδ' ἄλλο τι ἢ κόρον σίτου καὶ οἴνου τὴν φθειρομένην, πᾶσαν τὴν ἐντεῦθεν εὐδαιμονίαν ὑπολαμβάνειν. καὶ τάχα που τοῦτο καὶ ὁ μακάριος ἐννοῶν ἀμῶς, καὶ τῶν χαμαὶ ἐρχομένων καὶ δοκούντων ἀγαθῶν, κατεξανιστάμενος ἐγγίσατε φησὶν ὄρεσιν αἰωνίοις, ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις. τοῦτο μὲν οὖν ἤδη καὶ τοῖς ῥήμασιν αὐτοῖς μικροῦ σύμφωνον, οἷς ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν διακελεύεται. τί λέγων, ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν· οὐ τοὺς τότε μαθητὰς μόνον ἐξ ἐκείνου μόνου τοῦ τόπου μεταπιθεὶς, ὡς ἂν οἰηθείη τις, ἀλλ' ἀεὶ καὶ πάντας τοὺς ἑαυτοῦ μαθητὰς ἀπὸ γῆς, καὶ τῶν περὶ γῆν εἰς οὐρανὸν ἕλκων καὶ τὰ οὐράνια. τοιγαροῦν ἀκολουθήσωμεν ἤδη τῷ λόγῳ, ζητήσωμεν τὴν ἐκεῖθεν ἀνάπαυσιν, ῥίψωμεν τὴν ἐντεῦθεν περιουσίαν. ὃ καλόν ἐστι ταύτης, τοῦτο μόνον κερδαίνωμεν. κτησώμεθα τὰς ἑαυτῶν ψυχὰς ἐν ἐλεημοσύναις, μεταδῶμεν τῶν ὄντων τοῖς πένησιν, ἵνα τὰ ἐκεῖθεν πλουτήσωμεν. δὸς μερίδα καὶ τῇ ψυχῇ, μὴ τῇ σαρκὶ μόνον. δὸς μερίδα καὶ τῷ Θεῷ, μὴ τῷ κόσμῳ μόνον. ὑφελέ τι τῆς γαστρὸς, τῷ πνεύματι καθιέρωσον. ἅρπασόν τι τοῦ πυρὸς, ἀπόθου μικρὸν ἀπὸ τῆς νεμομένης φλογός. ἅρπασον τοῦ τυράννου, καταπίστευσον τῷ δεσπότῃ. δὸς μερίδα τοῖς ἑπτὰ, τῷ βίῳ τούτῳ, καί γε τοῖς ὀκτὼ, τῷ μετὰ τοῦτον ἡμᾶς ἐκδεξομένῳ. δὸς ὀλίγον, παρ' οὗ τὸ πλεῖον ἔχεις. δὸς καὶ τὸ πᾶν τῷ τὰ πάντα χαρισαμένῳ. οὐδέποτε νικήσεις μεγαλοδωρεαῖς Θεὸν, κἂν πάντα προῇ τὰ ὄντα, κἂν τοῖς οὖσι σαυτὸν προσθῇς. καὶ τοῦτο γάρ ἐστι λαβεῖν, τὸ Θεῷ δοθῆναι, ὅσα ἂν εἰσενέγκῃς πλεῖον ἀεὶ τὸ λειπόμενον, καὶ οὐδὲν δώσεις ἴδιον, ὅτι πάντα παρὰ Θεοῦ. καὶ ὥσπερ οὐκ ἔστιν ὑπερβῆναι τὴν ἑαυτοῦ σκιὰν ὑποχωροῦσαν καθόσον προΐεμεν, καὶ τὸ ἴσον ἀεὶ προέχουσαν. οὐδ' ὑπὲρ τὴν κεφαλὴν γενέσθαι σώματος μέγεθος ὑπερκειμένην ἀεὶ τοῦ σώματος, οὕτως οὐδ' οἷς δίδομεν, νικῆσαι Θεόν, οὐ γὰρ ἔξω τι τῶν αὐτοῦ δίδομεν, οὐδὲ ὑπὲρ τὴν ἐκείνου φιλοτιμίαν.

λειτουργίαν. γνῶθι πόθεν σοι τὸ εἶναι, τὸ ἀναπνεῖν, τὸ φρονεῖν αὐτό, τὸ μέγιστον, τὸ γινώσκειν θεὸν, βασιλείαν οὐρανῶν ἐλπίζειν, ἀγγέλων ὁμοτιμίαν, δόξης θεωρίαν νῦν μὲν, τὴν ἐν ἐσόπτροις τε καὶ αἰνίγμασι, τότε δὲ τὴν πληρεστέραν τε καὶ καθαρωτέραν. υἱὸν γενέσθαι θεοῦ, συγκληρονόμον χριστοῦ, τολμήσας εἴπω, καὶ θεὸν αὐτόν. πόθεν σοι ταῦτα πάντα, καὶ παρὰ τίνος; ἢ ἵνα τὰ μικρὰ λέγω, καὶ τὰ ὁρώμενα, τίς ἔδωκέ σοι κάλλος οὐρανοῦ βλέπειν, ἡλίου δρόμον, σελήνης κύκλον, ἀστέρων πλῆθος, καὶ τὴν ἐν τούτοις πᾶσιν, ὥσπερ ἐν λύρᾳ, εὐαρμοστίαν καὶ τάξιν ὡσαύτως ἔχουσαν; ὡρῶν ἀλλαγάς, μεταβολὰς καιρῶν, ἐνιαυτῶν περιόδους, ἡμέρας καὶ νυκτὸς ἰσομοιρίαν, γῆς ἐκφύσεις, ἀέρος χύσιν, πλάτη θαλάσσης λελυμένης καὶ ἱσταμένης, βάθη ποταμῶν, ἀνέμων ῥεύματα; τίς ὑετὸν, γεωργίαν, τροφὰς, τέχνας, οἰκήσεις, νόμους, πολιτείας, βίον ἥμερον, οἰκείωσιν πρὸς τὸ συγγενές; πόθεν σοι τῶν ζώων τὰ μὲν ἡμερῶσθαι καὶ ὑπεζεῦχθαι, τὰ δὲ τροφὴν παραδέδοσθαι; τίς σε κύριον καὶ βασιλέα κατέστησε πάντων τῶν ἐπὶ τῆς γῆς; τίς, ἵνα μὴ καθ' ἕκαστον λέγω, πάντα, οἷς προέχει τῶν ἄλλων ἄνθρωπος, ἐδωρήσατο; οὐχ οὗτος, ὃς νῦν πρὸ πάντων καὶ ἀντὶ πάντων αἰτεῖ παρὰ σοῦ τὸ φιλάνθρωπον; εἶτα οὐκ αἰσχυνόμεθα, εἰ τοσαῦτα παρ' αὐτοῦ, τὰ μὲν λαβόντες, τὰ δ' ἐλπίζοντες, μηδὲ ἓν τοῦτο ἀποίσομεν τῷ θεῷ, τὸ φιλάνθρωπον; ἀλλ' ὁ μὲν τῶν θηρίων ἡμᾶς ἐχώρισε, καὶ λόγῳ μόνους τῶν ἐπὶ γῆς ἐτίμησεν, ἡμεῖς δ' ἡμᾶς αὐτοὺς ἀποθηριώσομεν; καὶ τοσοῦτον ὑπὸ τῆς τρυφῆς διεφθάρμεθα, ἢ μεμήναμεν, ἢ, οὐκ ἔχω τι λέγειν, ὥστε ὁμοῦ τῇ μάζῃ καὶ τοῖς πιτύροις, ἃ κακῶς ἴσως ἐμπρεισόμεθα, καὶ τὴν φύσιν εἶναι βελτίους αὐτὴν οἰησόμεθα; καὶ ὥσπερ ἦν τι τὸ παλαιὸν, ὅσον ἐν τοῖς μύθοις, ὡς ἀκούομεν, γένος γιγάντων καὶ τῶν λοιπῶν ἀνθρώπων, οὕτω καὶ ἡμεῖς τούτοις ἐσόμεθα ὑψηλοί τε καὶ ὑπὲρ ἄνθρωπον; δι' νεβρὼδ ἐκεῖνος ἢ τὸ τῶν ἐνὰκ γένος, ἐκθλίβων πάλαι τὸν ἰσραὴλ, ἢ δι' οὓς ὁ κατακλυσμὸς τὴν γῆν ἐκάθηρεν. καὶ ὁ μὲν οὐκ αἰσχύνεται πατὴρ ἡμῶν καλεῖσθαι, θεὸς ὢν καὶ δεσπότης, ἡμεῖς δὲ καὶ τὸ συγγενὲς ἀρνησόμεθα; μηδαμῶς ὦ φίλοι καὶ ἀδελφοί. μὴ γενώμεθα κακοὶ τῶν δοθέντων ἡμῖν οἰκονόμοι, ἵνα μὴ ἀκούσωμεν πέτρου λέγοντος. αἰσχύνθητε οἱ κατέχοντες τὰ ἀλλότρια, καὶ μιμήσασθε ἰσότητα θεοῦ, καὶ οὐδεὶς ἔσται πένης. μὴ κάμνωμεν θησαυρίζοντες καὶ φυλάσσοντες, ἄλλων πενίᾳ καμνόντων, μὴ ὀνειδίσῃ καὶ ἀπειλήσῃ πικρῶς ἡμῖν, ἔνθεν μὲν ὁ θεῖος ἀμὼς ἐν τούτοις τοῖς ῥήμασιν. ἄγε νῦν οἱ λέγοντες, πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπωλήσομεν καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρούς, καὶ τὰ ἐπὶ τούτοις. δι' ὧν τοῖς μέγα καὶ μικρὸν στάθμιον κτωμένοις, τὴν τοῦ θεοῦ μῆνιν ἐπανατείνεται. ἔνθεν δ' ὁ μακάριος μιχαίας, τάχα μὲν καὶ αὐτὴν τὴν τρυφὴν ἐπικόπτων, ὡς τοῦ κόρου τὴν ὕβριν τίκτοντος, καὶ τὸ κατασπαταλᾶν ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τοῖς πρώτοις τῶν μύρων θρύπτεσθαι, μόσχους τε ἁπαλοὺς ἐκ βουκολίων, καὶ ἐρίφους ἐκ ποιμνίων σιτεῖσθαι, καὶ πρὸς τὴν φωνὴν τῶν ὀργάνων ἐπικροτεῖν, καὶ ἔτι μᾶλλον τὸ οἴεσθαι, στάσιμόν τι τούτων εἶναι καὶ μόνιμον. τάχα δ' οὐχ οὕτως ταῦτα δεινὰ νομίζων, ὡς τὸ μηδὲν πάσχειν ἐπὶ τῇ συντριβῇ τοῦ ἰωσὴφ αὐτοὺς τρυφῶντας, ὅπερ γὰρ τῇ τῆς πλησμονῆς κατηγορίᾳ προσέθηκεν. ὃ μὴ πάθωμεν ἡμεῖς, μηδὲ τοσοῦτον τρυφήσωμεν, ὥστε καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας καταφρονεῖν τούτοις δυσχεραίνοντος, κἂν μὴ παραυτίκα, μηδὲ ὁμοῦ τῇ κακίᾳ τὴν ὀργὴν ἐπάγῃ τοῖς ἁμαρτάνουσιν. μιμησώμεθα νόμον θεοῦ τὸν ἀνώτατον καὶ πρῶτον, ὃς βρέχει μὲν ἐπὶ δικαίους καὶ ἁμαρτωλοὺς, ἀνατέλλει δὲ πᾶσιν ὁμοίως τὸν ἥλιον. γῆν δὲ χερσαίοις πᾶσιν ἥπλωσεν ἄνετον, καὶ κρήνας, καὶ ποταμοὺς, καὶ ὕλας. ἀέρα δὲ πτηνοῖς φύσει, καὶ ὕδωρ ὅσοις ὁ βίος ἔνυγρος. καὶ τὰς πρώτας τοῦ ζῆν ἀφορμὰς ἀφθόνους ἅπασιν ἐχαρίσατο. οὐ δυναστείᾳ κρατουμένας, οὐ νόμῳ περιγραφομένας, οὐχ ὁρίοις διειργομένας, ἀλλὰ καὶ κοινὰς τὰς αὐτὰς καὶ πλουσίας, καὶ οὐδὲν παρὰ τοῦτο ἐνδεεστέρας προέθηκεν. τό, τι τῆς φύσεως ὁμότιμον ἰσότητι τῆς δωρεᾶς τιμῶν, καὶ δεικνὺς τὸ πλοῦτον τῆς ἑαυτοῦ χρηστότητος. ἄνθρωποι δὲ χρυσὸν καὶ ἄργυρον, καὶ τῆς ἐσθῆτος, ὅση μαλακὴ, καὶ ὑπὲρ τὴν χρείαν καὶ τῶν λίθων τοὺς διαυγεῖς κατορύξαντες. εἴ τι ἄλλο τοιοῦτο, ἃ πολέμου καὶ στάσεων, καὶ τῆς πρώτης τυραννίδος ἐστὶ γνωρίσματα. ἔπειτα αἴρουσι τὴν ὀφρὺν ὑπ' ἀνοίας, καὶ τοῖς ἀτυχοῦσι τῶν συγγενῶν τὸν ἔλεον ἀποκλείουσιν, οὐδὲ τοῖς περιττοῖς εἰς τὰ ἀναγκαῖα βοηθεῖν ἐθέλοντες. ὢ τῆς ἀπαιδευσίας, ὢ τῆς σκαιότητος. οὐδ' εἰ μή τι ἄλλο, ἐκεῖνό γε ἐνθυμούμενοι, ὅτι πενία καὶ πλοῦτος, ἐλευθερία τε, ἣν φαμὲν, καὶ δουλεία, καὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ὕστερον ἐπεισῆλθον περὶ γένος τῶν ἀνθρώπων, ὥσπερ ἀρρωστήματά τινα τῇ κακίᾳ συνεισπεσόντα, κἀκείνης ὄντα ἐπινοήματα. ἀπ' ἀρχῆς δέ φησιν, οὐ γέγονεν οὕτως, ἀλλ' ὁ πλάσας ἀπ' ἀρχῆς τὸν ἄνθρωπον, ἐλεύθερον ἀφῆκε καὶ αὐτεξούσιον, νόμῳ τῷ τῆς ἐντολῆς μόνῳ κρατούμενον καὶ πλούσιον ἐν παραδείσου τρυφῇ, τοῦτο καὶ τῷ λοιπῷ γένει τῶν ἀνθρώπων βουληθεὶς τε καὶ χαρισάμενος διὰ τοῦ πρώτου σπέρματος. ἐλευθερία δὲ καὶ πλοῦτος, ἡ τῆς ἐντολῆς μόνη τήρησις ἦν, πενία δὲ ἀληθὴς καὶ δουλεία, ἡ ταύτης παράβασις, ἀφ' οὗ δὲ φθόνοι καὶ ἔριδες, καὶ ἡ δο-

λὰ ἡ τοῦ ὄφεως τυραννίς, ἀεὶ τῷ λίχνῳ τῆς ἡδονῆς ἐπισυρομένη, καὶ ἐπανιστῶσα τοῖς ἀσθενεστέροις τοὺς θρασυτέρους, ἐξέρρηξε τὸ συγγενὲς εἰς ὀνομάτων ἀλλοτριότητας. καὶ τὸ τῆς φύσεως εὐγενὲς πλεονεξία κατέτεμε, προσλαβοῦσα καὶ νόμον τῆς δυναστείας ἐπίκουρον. ἀλλὰ σύ, βλέπε μοι τὴν πρώτην ἰσονομίαν, μὴ τὴν τελευταίαν διαίρεσιν. μὴ τὸν τοῦ κρατήσαντος νόμον, ἀλλὰ τὸν τοῦ κτίσαντος. βοήθησον κατὰ δύναμιν τῇ φύσει, τὴν ἀρχαίαν ἐλευθερίαν τίμησον, αἰδέσθητι σεαυτόν, συγκάλυψον τοῦ γένους τὴν ἀτιμίαν, ἐπάρκεσον τῇ νόσῳ, τῇ ἐνδείᾳ παραμύθησαι. ὁ εὐρωστῶν, ὁ πλουτῶν, τῇ τοῦ νοσοῦντος, τὴν τοῦ πονουμένου. ὁ μὴ προσπταίσας, τὴν τοῦ πεσόντος καὶ συντριβέντος. ὁ εὐθυμῶν, τὴν τοῦ ἀθυμοῦντος. ὁ τοῖς δεξιοῖς εὐθυνόμενος, τὴν τοῦ τοῖς ἀριστεροῖς κάμνοντος. δός τι τῷ Θεῷ χαριστήριον, ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. ὅτι μὴ βλέπεις εἰς ἀλλοτρίας χεῖρας, ἀλλ' εἰς τὰς σὰς ἕτεροι. πλούτησον μὴ περιουσίαν μόνον, ἀλλὰ καὶ εὐσέβειαν. μὴ τὸ χρυσίον μόνον, ἀλλὰ καὶ τὴν ἀρετήν. μᾶλλον δὲ ταύτην μόνον. γενοῦ τοῦ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρηστότερος. γενοῦ τῷ ἀτυχοῦντι θεός, τὸν ἔλεον Θεοῦ μιμησάμενος. οὐδὲν γὰρ οὕτως, ὡς τὸ εὖ ποιεῖν, ἄνθρωπος ἔχει Θεοῦ. κἂν μὲν μείζω, ὁ δὲ ἐλάττω εὐεργετῇ, ἑκάτερος οἶμαι κατὰ τὴν ἑαυτοῦ δύναμιν. ὁ μὲν ἐποίησε, καὶ λύσας συνάγει πάλιν. σὺ δὲ πεσόντα μὴ περιίδῃς. ὁ μὲν ἠλέησεν εἰς τὰ μέγιστα, δοὺς ἐπὶ πᾶσι νόμον, προφήτας, καὶ πρὸ τούτων, τὸν φυσικὸν νόμον ἄγραφον, τὸν τῶν πραττομένων ἐξεταστήν, ἐλέγχους, νουθετήσεις, παιδαγωγήσεις, τὸ τελευταῖον, λύτρον ἑαυτὸν παραδοὺς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. χαρισάμενος ἀποστόλους, εὐαγγελιστάς, διδασκάλους, ποιμένας, ἰάσεις, τέρατα, ἐπάνοδον πρὸς ζωήν, θανάτου κατάλυσιν, τρόπαιον κατὰ τοῦ νικήσαντος, διαθήκην τὴν ἐν σκιᾷ, διαθήκην τὴν ἐν ἀληθείᾳ, πνεύματος ἁγίου μερισμόν, τὸ τῆς καινῆς σωτηρίας μυστήριον. σὺ δέ, εἰ μὲν δὲ τὰ μείζω δυνατὸς εἶ, καὶ οἷς εὐεργετεῖται ψυχή, πεπλούτικε γάρ σε καὶ ταῦτα πλούσιον ὁ Θεὸς ἂν θελήσειας, μηδὲ ταῦτα εὖ ποιεῖν ἀπόσχῃ τοῦ δεομένου. μᾶλλον δὲ πρῶτα καὶ μάλιστα περὶ αὐτοῦ τι σὺ δίδου, καὶ πρὶν αἰτηθῆναι. ὅλην τὴν ἡμέραν ἐλεῶν καὶ δανείζων τὸν λόγον, καὶ ἀπαιτῶν φιλοπόνως τὸ δάνειον μετὰ τόκου τῆς τοῦ ὠφελημένου προσθήκης, ἣν ἀεὶ τῷ λόγῳ προστίθησιν ὁ νουνεχῶς αὔξων ἑαυτῷ κατὰ μικρὸν τὰ τῆς εὐσεβείας σπέρματα. εἰ δὲ μή, τά γε δεύτερα καὶ μικρότερα, καὶ ὅσα εἰς δύναμιν ἥκει τὴν σήν. ἐπικούρησον, ὄρεξον τροφήν, ὄρεξον ῥάκος, προσένεγκε φάρμακον, κατάδησον τραύματα, ἐρώτησόν τι περὶ τῆς συμφορᾶς, περὶ καρτερίας φιλοσόφησον, πρόσελθε, θάρσησον. οὐ μὴ χεῖρόν τι σεαυτοῦ παρὰ τοῦτο γένῃ, οὐ μὴ μεταλάβοις τοῦ πάθους, κἂν οἱ λίαν ἁβροὶ τοῦτο νομίζωσι, λόγοις ματαίοις ἠπατημένοι. μᾶλλον δὲ ταύτην προβαλλόμενοι τὴν ἑαυτῶν εἴτ' εὐλαβείαν, εἴτε ἀσεβείας ἀπολογίαν, ἐπὶ τὴν δειλίαν, ὡς δή τι μέγα καὶ σοφὸν καταφεύγοντες. τοῦτο πειθέτωσάν σε καὶ οἱ λόγοι, καὶ ἰατρῶν παῖδες, καὶ σύνοικοι τούτων θεραπευταί. ὧν οὐδείς πω τοῖς τοιούτοις προσιὼν ἐκινδύνευσεν. σὺ τοίνυν εἰ καὶ τὸ πρᾶγμα φοβερὸν καὶ ὑπονοίας ἄξιον, ὦ δοῦλε Χριστοῦ, καὶ φιλόθεε, καὶ φιλάνθρωπε, μὴ πάθῃς μηδὲν ἀγεννές. τῇ πίστει θάρσησον. νικησάτω τὴν δειλίαν ὁ οἶκτος. ὁ τοῦ Θεοῦ φόβος, τὴν ἁπαλότητα. στήτω πρὸ τῶν φιλοσάρκων λογισμῶν ἡ εὐσέβεια. μὴ παρίδῃς. μὴ παραδράμῃς τὸν ἀδελφόν, μὴ ἀποστραφῇς ὡς ἄγος, ὡς μίασμα, ὡς ἄλλο τι τῶν φευκτῶν καὶ ἀπειρημένων. σόν ἐστι μέλος, καὶ εἰ τῇ συμφορᾷ κέκαμπται. σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς ὡς Θεῷ, καὶ εἰ λίαν παραβλέπεις μεγαλοψύχως. τάχα γάρ σε τούτοις δυσωπῶ τοῖς ῥήμασι. σοὶ πρόκειται φιλανθρωπίας ὑπόθεσις. κἂν εἰ ἀλλοτριοῖ σε τοῦ εὖ παθεῖν ὁ ἀλλότριος. πᾶς ὁ πλέων ἐγγύς ἐστι τοῦ ναυαγίου, καὶ τόσῳ μᾶλλον, ὅσῳ περ ἂν τολμηρότερον πλέῃ· καὶ πᾶς ὁ σῶμα περικείμενος, ἐγγύς ἐστι τῶν τοῦ σώματος κακῶν· καὶ τόσῳ μᾶλλον, ὅσῳ περ ἂν ὀρθότερος βαδίζῃ, καὶ μὴ βλέπει τοὺς πρὸ αὐτοῦ κειμένους. ἕως πλεῖς ἐξ οὐρίας, τῷ ναυαγοῦντι δὸς χεῖρα. ἕως εὐεκτεῖς καὶ πλουτεῖς, τῷ κακοπαθοῦντι βοήθησον. μὴ ἀναμείνῃς ἐπὶ σεαυτοῦ μαθεῖν, ὅσον ἐστὶ κακὸν ἀπανθρωπία, καὶ ὅσον ἀγαθὸν σπλάγχνα τοῖς χρήζουσιν ἀνοιγόμενα. μὴ βουληθῇς ἐπᾶραι χεῖρα Θεὸν κατὰ τῶν ὑψαυχενούντων, καὶ παρερχόντων τοὺς πένητας. ἐν ἀλλοτρίαις συμφοραῖς ταῦτα παιδεύθητι. δός τι καὶ μικρὸν τῷ δεομένῳ. οὐ γὰρ μικρὸν τῷ πάντων ἐνδεεῖ. ἀλλ' οὐδὲ Θεῷ, ἂν ᾖ κατὰ δύναμιν. δὸς ἀντὶ μεγάλου τὴν προθυμίαν. εἰ μηδὲν ἔχεις, δάκρυσον. μέγα τῷ ἀτυχοῦντι φάρμακον, ἔλεος ἀπὸ ψυχῆς εἰσφερόμενος. καὶ τὸ συναλγεῖν γνησίως, πολύ τι κουφίζει τῆς συμφορᾶς. οὐκ ἔστιν ἀτιμότερός σοι τοῦ κτήνους ὁ ἄνθρωπος, ὦ ἄνθρωπε, ὃ πεσὸν εἰς βόθρον, ἢ πλανηθέν, ἀνεγείρειν σε καὶ ἐπανάγειν ὁ νόμος διακελεύεται. εἰ μέν τι καὶ ἄλλο κρύπτων ἀπορρητότερον καὶ βαθύτερον, οἷα τὰ πολλὰ τοῦ νομικοῦ βάθους ὑπὲρ τοὺς πολλούς, οὐκ ἐμὸν τοῦτο εἰδέναι, ἀλλὰ τοῦ πάντα ἐρευνῶντος καὶ γινώσκοντος πνεύματος. ἐγὼ δὲ τοῦτο καταλαμβάνω, καὶ ὅσον εἰς τὸν ἐμὸν ἥκει λόγον, γυμνάζων ἡμᾶς ἀπὸ τῶν εἰς τὰ μικρὰ φιλανθρωπίας ἐπὶ τὴν τελεωτέραν καὶ μείζονα. πόσην γὰρ ὀφείλειν τοῖς ὁμοφύλοις καὶ ὁμοτίμοις, ἣ καὶ μέχρι τῶν ἀλόγων ἀπαιτουμένης ταῦτα παρ' ἡμῶν ὁ λόγος καὶ ὁ νόμος, καὶ τὴν ἀνθρώπων οἱ μετειό-

ται

ταῦτα τοι, τῶν οἷς τὸ εὖ ποιεῖν τοῦ πάσχειν τιμιώτερον, καὶ πολυπλασιαστότερος κέρδους ἔλεος. τί δ' ἂν εἴποις περὶ τῶν καθ' ἡμᾶς σοφῶν; ἐῶ γὰρ λέγειν τοὺς ἔξωθεν, οἳ συνηγόρους τοῖς πάθεσι θεοὺς εἰσάγοντες, καὶ τῷ κέρδει, ᾧ τὰ πλεῖστα νέμουσιν, ἤδη δὲ καὶ ὃ τούτου χεῖρόν ἐστι, καὶ ἀνθρωποκτονεῖν νομίζουσιν ἔστιν οἷς δαίμοσιν, ἢ τῶν οἷς ἔθνεσι. καὶ μέρος εὐσεβείας αὐτοῖς ἡ ἀπανθρωπία, καὶ ταῖς τοιαύταις θυσίαις αὐτοί τε χαίρουσι, καὶ τοὺς θεοὺς αὐτῶν οἴονται, πονηροὶ πονηρῶν ἱερεῖς τε καὶ μύσται γινόμενοι. ἀλλ' εἰσὶ τῶν ἡμετέρων τινὲς, ὃ καὶ δακρύειν ἄξιον, οἳ τοσοῦτον ἀπέχουσι συναλγεῖν καὶ βοηθεῖν τοῖς κάμνουσιν, ὥστε καὶ προσονειδίζουσι πικρῶς, καὶ ἐπεμβαίνουσι, καὶ φιλοσοφοῦσι κενά τε καὶ μάταια, τε φωνοῦσιν ὄντως ἐκ γῆς, καὶ εἰς ἀέρα λαλοῦσιν, καὶ οὐκ εἰς ἀκοὰς εὐσυνέτους, καὶ θείοις συντεθραμμένας δόγμασι. καὶ τολμῶσι λέγειν, ὅτι παρὰ θεοῦ τὸ ταλαιπωρεῖν ἐκείνοις, παρὰ θεοῦ δὲ τὸ εὖ πράττειν ἡμῖν. καὶ τίς εἰμι ἐγὼ δόγμα λύειν θεοῦ; καὶ θεοῦ φανῆναι χρηστότερος; καμνέτωσαν, ταλαιπωρείτωσαν, δυστυχείτωσαν. οὕτως ἔδοξεν. κἀνταῦθα μόνον εἰσὶ φιλόθεοι, ὅτε δεῖ φυλάττειν τοὺς ὀβολοὺς, καὶ κατὰ τῶν ἀθλίων νεανιεύεσθαι. ὅτι μὲν οὖν οὐκ ἐκ τοῦ θεοῦ τὸ εὖ πράττειν αὐτοῖς εἶναι νομίζουσι, δηλοῦσι σαφῶς ἐξ ὧν λέγουσι, τίς γὰρ ἂν οὕτω διανοηθείη περὶ τῶν δεομένων, θεὸν εἰδὼς χορηγὸν ὧν κέκτηται. τῶν γὰρ αὐτῶν ἐστιν ἔχειν τέ τι παρὰ θεοῦ, καὶ κεχρῆσθαι κατὰ θεὸν οἷς περ ἔχουσιν. εἰ δὲ καὶ παρὰ θεοῦ τὸ κακοπαθεῖν ἐκείνοις, οὔπω δῆλον. ἕως ἂν καὶ παρ' ἑαυτῆς ἡ ὕλη φέρει τὸ ἄτακτον, ὥσπερ ἐν ῥεύματι. καὶ τίς οἶδεν, εἰ ὁ μὲν διὰ κακίαν κολάζεται, ὁ δὲ ὡς ἐπαινούμενος αἴρεται; ἀλλὰ μὴ τοὐναντίον, ὁ μὲν διὰ πονηρίαν ὑψοῦται, ὁ δὲ δι' ἀρετὴν δοκιμάζεται. ὁ μὲν πλέον ἐπαιρόμενος, ἵνα καὶ πέσῃ χαλεπώτερον, ὅλην ἐώμενος πρότερον ὥσπερ ἵνα νόσον, ἐκρῆξαι τὴν ἑαυτοῦ κακίαν, ἵνα καὶ κολασθῇ δικαιότερον. ὁ δὲ καὶ παρὰ δόξαν πιεζόμενος, ἵνα ὥσπερ χρυσὸς ἐν καμίνῳ δοκιμασθεὶς τὴν κακίαν, εἴ τι καὶ μικρὸν ἔχει, τοῦτο ἐκτήξῃ. καθαρὸς γὰρ ἀπὸ ῥύπου παντελῶς οὐδείς. οὕτω ἐν γεννητῇ φύσει, ὥσπερ ἠκούσαμεν, εἰ καὶ φανῇ δοκιμώτερος. εὑρίσκω γάρ τι καὶ τοιοῦτον ἐν τῇ θείᾳ γραφῇ μυστήριον. καὶ μακρὸν ἂν εἴη πάσας ἀπαριθμεῖν τοῦ πνεύματος τὰς φωνὰς, αἵ με πρὸς τοῦτο φέρουσιν. ἀλλὰ τίς ἂν ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ βυθοῦ μῆκος ἀναμετρήσειε; τίς δ' ἂν τοῦ θεοῦ, τῆς περὶ πάντα σοφίας τὸ βάθος ἐξιχνιάσειεν, ὑφ' ἧς καὶ πεποίηκε τὰ πάντα, καὶ διοικεῖ τρόπον, ὃν αὐτὸς καὶ βούλεται καὶ ἐπίσταται; ἀρκεῖ γὰρ, κατὰ τὸν θεῖον ἀπόστολον, θαυμάζοντας μόνον, τὸ ταύτης δυσέκληπτον καὶ δυσθεώρητον παρελθεῖν. ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. καὶ τίς ἔγνω νοῦν κυρίου; εἰς δὲ τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς ἀφίκετο; φησὶν ὁ Ἰώβ. τίς σοφὸς καὶ συνήσει ταῦτα, καὶ οὐχὶ τῷ ἀνεφίκτῳ μετρήσει τὴν ὑπὲρ μέτρησιν; ἄλλος μὲν οὖν εἴη περὶ ταῦτα τολμηρὸς, καὶ γενναῖος, μᾶλλον δὲ εἴη μηδείς. ἐγὼ δὲ ὀκνῶ κακίᾳ δοῦναι πάντως τὴν ἐντεῦθεν κόλασιν, ἢ εὐσεβείᾳ τὴν ἄνεσιν. ἀλλ' ἔστι μὲν ὅτε καὶ πρὸς τὸ χρήσιμον ἡ κακίας ἐγκοπτομένης δυσπάθεια τῶν πονηρῶν, ἢ ἀρετῆς ὁδοποιουμένης εὐπάθεια τῶν βελτιόνων. οὐκ ἀεὶ δὲ, οὐδὲ πάντως. ἀλλ' ἐκείνου τοῦτο μόνον καιροῦ τοῦ μέλλοντος, καθ' ὃν οἱ μὲν τὰ τῆς ἀρετῆς ἆθλα, οἱ δὲ τῆς κακίας τὰ ἐπιτίμια δέξονται. ἀναστήσονται γὰρ οὗτοι φησὶν εἰς ἀνάστασιν ζωῆς, καὶ οὗτοι εἰς ἀνάστασιν κρίσεως. τὰ δ' ἐντεῦθεν, ἑτέρου τρόπου ἐστὶν καὶ ἀγωγῆς ἑτέρας. πάντα ἐκεῖσε φέρονται. ἐξ οὔσης ὁμαλόν τι παρὰ θεῷ πάντως καὶ τῆς δοκούσης ἡμῖν ἀνωμαλίας. ὥσπερ ἐν σώματι τὰς ἐξοχάς τε καὶ εἰσοχὰς, μεγέθη τε καὶ μικρότητας, καὶ γῆς ἐπαναστάσεις τε καὶ ὑφέσεις. ἐξ ὧν τὸ κάλλος τῇ πρὸς ἄλληλα κράσει συνιστάμενόν τε καὶ θεωρούμενον. ἐπεὶ καὶ τεχνίτην τὴν περὶ τὴν ὕλην πᾶσαν ἄτακτον καὶ ἀνώμαλον, λίαν ἔντεχνον ἦν, ἂν πρός τινα ἔργου κατασκευὴν εὐτρεπίσηται. τότε καὶ ἡμῖν καταλαμβανόμενόν τε καὶ ὁμολογούμενον, ὅτ' ἂν ἀπηρτισθὲν κάλλος τοῦ δημιουργήματος θεωρήσωμεν. ἀλλ' οὐκ ἐκεῖνος ἄτεχνος ἢ ὡς ἡμεῖς, οὔτε ταῦτα διοικεῖται ἀτάκτως, ὅτι μὴ καὶ ἡμῖν ὁ λόγος γνώριμος. ἀλλ' εἴ τινα δεῖ καὶ εἰκόνα λαβεῖν τοῦ ἡμετέρου πάθους, οὐ πόρρω τῶν ναυτιώντων ἐσμὲν καὶ ἰλιγγιώντων, οἳ στρέφεσθαι τὰ πάντα δοκοῦσιν, αὐτοὶ στρεφόμενοι. ὡς δὲ καὶ οὗτοι περὶ ὧν ὁ λόγος. οὐ γὰρ ἀνέχονται σοφώτεροι αὐτῶν εἶναι τὸν θεὸν ἂν πρός τι τῶν συμβαινόντων ἰλιγγιάσωσιν. ἢ καμεῖν περὶ τὸν λόγον δέον, ὡς τάχ' ἂν τῇ φιλοπονίᾳ εὑρεθησομένης τῆς ἀληθείας, ἢ σοφωτέροις ἑαυτῶν ταῦτα συμφιλοσοφεῖν καὶ πνευματικωτέροις. ἐπειδήπερ καὶ τοῦτο χάρισμά ἐστι, καὶ οὐχὶ πάντων ἡ γνῶσις. ἢ καθαρότητι βίου ταύτην θηρεύειν, καὶ παρὰ τῆς ὄντως σοφίας σοφίαν ἐπιζητεῖν. οἱ δὲ, ὢ τῆς ἀπαιδευσίας, ἐπὶ τὸ ἑτοιμότερον τρέπονται, καὶ ἀλογίαν τοῦ παντὸς καταψεύδονται, αὐτοὶ τὸν λόγον οὐκ ἐπιστάμενοι. καὶ εἰσὶ δι' ἀπαιδευσίαν σοφοὶ, ἢ διὰ σοφίαν, ἵνα οὕτως εἴπω, τὴν περιττὴν, ἄσοφοι καὶ ἀσύνετοι. ἐντεῦθεν οἱ μὲν τύχην τε καὶ αὐτόματον ἐδογμάτισαν, ὄντως αὐτόματα, καὶ ὡς ἔτυχεν ἀναπλασθέντα ἐπινοήματα. οἱ δὲ ἀστέρων τινὰ δυναστείαν, ἄλο-

γόν τι καὶ ἄλυτον, πλανᾶν ἐῶντες ὡς ἂν βούλωνται τὰ ἡμέτερα, μᾶλλον δὲ καὶ αὐτὸ τὸ πλέ-
κειν συνηναγκασμένων, καὶ πλανητῶν δή τινων καὶ ἀπλανῶν συνόδοις καὶ ἀποχωρή-
σεις, καὶ κινήσει τοῦ παντὸς κίνησιν. οἱ δὲ, ὅπῃ ἂν ἕκαστος ἐφαντάσθησαν, τὰς ταλαιπω-
ρίας τῶν ἀνθρώπων φέροντες, ἐπεισήγαγον, ὅσον αὐτὸ τὸ προνοίας ἀνέφικτόν τι καὶ
ἀθεώρητον, εἰς διαφόρους δόξας καὶ προσηγορίας καταμερίζοντες. εἰσὶ δὲ οἳ καὶ πε-
νίαν πολλὴν τῆς προνοίας καταγνῶσιν, τὰ μὲν ὑπὲρ ἡμᾶς ταύτῃ διοικεῖσθαι νομίζοντες,
ἄχρι δὲ ἡμῶν τῶν καὶ μάλιστα δεομένων κατάγειν αὐτὴν ἀρκτίζοντες, ὥσπερ δεδιότες,
μὴ τοὺς πλείονας εὐεργετῆσαι, ἀγαθώτερον ἀφανίσωσι τὸν εὐεργέτην, ἢ ὀκνηρὸς αὐ-
τοῖς ὁ θεὸς ᾖ χρειῶν πλειόνων. ἀλλ' οὗτοι μὲν, ὅπερ εἶπον, ἐρρίφθωσαν, ἐπεὶ καὶ καλῶς αὐ-
τῶν προλαβὼν ὁ λόγος ἠμύνατο. ἐματαιώθη γάρ φησιν, ἡ ἀσύνετος αὐτῶν καρδία. φά-
σκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ, μύθοις τισὶ
καὶ σκιαῖς τὴν διὰ πάντων πρόνοιαν καθυβρίζοντες. ἡμεῖς δὲ, μήτε αὐτοὶ ταῦτα τερα-
τευσώμεθα, εἴπερ τι μέλει τοῦ λόγου λογικοῖς οὖσιν ἡμῖν, καὶ λόγου θεραπευταῖς. μηδὲ τῶν οἰο-
μένων ἀποδεχώμεθα, κἂν εὐστομῶσι τῇ γλώττῃ ἐν τοῖς ἀτόποις λόγοις καὶ δόγμασι, καὶ
τοὺς κενοὺς τέρπωσιν. ἀλλὰ καὶ θεὸν εἶναι πάντων κτίστην καὶ δημιουργὸν πιστεύωμεν. πῶς
γὰρ ἂν ὑπέστη τὸ πᾶν, μή τινος οὐσιώσαντός τε καὶ συναρμόσαντος; καὶ πρόνοιαν συνεισά-
γωμεν τὴν τοῦδε τοῦ παντὸς συνεκτικήν τε καὶ συνδετικήν. ἐπεὶ καὶ προνοητὴν εἶναι τούτων
ὧν ποιητὴν εἶναι ἀναγκαῖον. εἰ μὴ μέλλοι τὸ πᾶν τῷ αὐτομάτῳ φέρεσθαι, ὥσπερ ὑπὸ λαί-
λαπος ναῦς, αὐτίκα λυθήσεσθαί τε καὶ διασπασθήσεσθαι διὰ τὴν ἀταξίαν τῆς ὕλης, καὶ
πρὸς τὴν ἀρχαίαν σύγχυσίν τε, καὶ ἀκοσμίαν ἐπαναχθήσεσθαι. καὶ ἡμετέροις μάλι-
στα ἐπιστατεῖν δεξώμεθα τὸ ἡμέτερον, εἴτε πενίαν, εἴτε πλοῦτον βούλει καλεῖν. κἂν διὰ τῶν
ἐναντίων ὁ βίος ἡμῖν διεξάγηται. διὰ τοῦτο τυχὸν καὶ ἀγνοούμενον, ἵνα τῷ δυσθεωρήτῳ, τὸν
ὑπὲρ πάντα λόγον θαυμάζωμεν. ἐπειδὴ τὸ μὲν ῥᾳδίως ληπτὸν, ἅπαν εὐκαταφρόνητον.
τὸ δὲ ὑπὲρ ἡμᾶς, ὅσῳ δυσεφικτότερον, τοσούτῳ θαυμασιώτερον. καὶ γυμνάζει τὸν πόθον
ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν. διὰ τοῦτο μήτε ὑγείαν πᾶσαν θαυμάζωμεν, μήτε νόσον δια-
πτύωμεν· μήτε πλούτῳ ῥέοντι προστιθώμεθα, καρδίᾳ πλέον, ἢ καλῶς ἔχει, τῇ ῥοῇ προσκεί-
μενοι, καὶ ὅλῃ τῇ ψυχῇ τι ταύτῃ προσαναλίσκοντες. μήτε πενίας καταξανιστώμεθα, ὡς ἀπο-
πτύστου πάντῃ καὶ κατακρίτου, καὶ τῆς μισουμένης μερίδος. ἀλλ' εἰδῶμεν καὶ ὑγείας περιφρο-
νεῖν ἀσυνέτου, ἧς καρπὸς ἁμαρτία, καὶ νόσον τιμᾶν ὁσίαν, αἰδούμενοι τοὺς διὰ πάθους νικήσαν-
τας. μή που τις καὶ Ἰὼβ τοῖς νοσοῦσιν ἐγκέκρυπται, πολύ τι τῶν ὑγιαινόντων αἰδεσιμώτε-
ρος, κἂν τῷ ἰχῶρι ζέῃ, κἂν ταλαιπωρῇ νυκτὸς καὶ ἡμέρας αἰθέριος, καὶ πληγῇ, καὶ γυναι-
κὶ, καὶ φίλοις στενοχωρούμενος. ὡς δὲ καὶ πλοῦτον ἄδικον ἀποπέμπεσθαι, δι' ὃν κάμινος ἐκεῖ
καίεται ὁ ἐν τῇ φλογὶ πλούσιος, καὶ προσαιτεῖ ῥανίδα μικρὰν ἀναψύξεως. καὶ πενίαν ἐπαι-
νεῖν εὐχάριστον καὶ φιλόσοφον, μεθ' ἧς Λάζαρος σώζεται, καὶ πλουτεῖ τὴν ἐν κόλποις Ἀ-
βραὰμ ἀνάπαυσιν. ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ ἀναγκαία τυγχάνειν ἡ φιλανθρω-
πία, καὶ τὸ πρὸς τοὺς δεομένους εὔσπλαγχνον, ἵνα τοὺς οὕτως ἔχοντας περὶ τούτων ἐπιστομί-
ζωμεν, καὶ μὴ λόγοις ματαίοις παραχωρῶμεν, νομοθετοῦντες καθ' ἡμῶν αὐτῶν τὴν ὠμό-
τητα. πάντων δὲ τῆς ἐντολῆς αἰδούμεθα πλέον, καὶ τὸ ὑπόδειγμα. τίς ἡ ἐντολὴ, καὶ σκοπεῖ-
τε τὸ ἐπίμονον αὐτῆς, καὶ τὸ γνήσιον. οὐ γὰρ ἅπαξ, οὐδὲ δὶς εἰπόντες τι περὶ τῶν δεομένων, οἱ τοῦ
πνεύματος ἀπηλλάγησαν· οὐδὲ οἱ μὲν, οἱ δὲ οὔ. ἢ μᾶλλον τινὲς, οἱ δὲ ἧττον, ὡς ἂν μὴ περὶ μεγά-
λου τινὸς, μηδὲ τῶν σφόδρα κατεπειγόντων, ἀλλὰ καὶ πάντες, καὶ μετὰ σπουδῆς ἕκαστος,
ἢ πρῶτον, ἢ ἐν πρώτοις τοῦτο διακελευόμενοι. καὶ ποτὲ μὲν προτρέποντες, ποτὲ δὲ ἀπει-
λοῦντες, ποτὲ δὲ ὀνειδίζοντες, ἔστι δ' ὅτε καὶ τοὺς κατορθοῦντας ἀποδεχόμενοι. ὡς ἂν τῇ
συνεχεῖ τῆς ὑπομνήσεως τὴν ἐντολὴν ἐνεργήσωσιν. οὐκ ἂν μὲν τῆς ταλαιπωρίας τῶν πτω-
χῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι φησὶ, λέγει κύριος. τίς ἂν δὲ δέδοικεν
ἀνιστάμενον κύριον; καὶ, ἀνάστηθι κύριε ὁ θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενή-
των. ἀπευξώμεθα τὴν τοιαύτην ὕψωσιν, καὶ μὴ βουληθῶμεν ἰδεῖν ἐπαιρομένην χεῖρα κατὰ
τῶν ἀπειθούντων. ἔτι δὲ μᾶλλον ἐπηρμένην τοῖς σκληροτέροις, καὶ οὐκ ἐπελάθετο τῆς
κραυγῆς τῶν πενήτων. καὶ, οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. καὶ, ὀφθαλμοὶ μὲν
αὐτοῦ ἐπὶ τὸν πένητα ἐπιβλέπουσιν. ὃ τοῦ βλεφάρου κρεῖττον καὶ κυριώτερον. τὰ βλέφα-
ρα δ' αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. ὁ ἐλάσσων ὡς ἂν εἴποι τις ἐπισκοπὴ καὶ δευτέ-
ρα. τάχα ἂν εἴποι τις ὑπὲρ τῶν ἀδικουμένων ταῦτα πτωχῶν καὶ πενήτων. οὐ διαφέρομαι.
ἀλλά σε γε καὶ τοῦτο ἐγκεντριζέτω πρὸς τὸ φιλάνθρωπον. ὧν γὰρ ἀδικουμένων τοσοῦτος ὁ
λόγος, τούτων καὶ εὖ πασχόντων δηλαδὴ πλεῖον ἡ χάρις. εἰ γὰρ ὁ ἀτιμάζων πένητα, πα-
ροξύνει τὸν ποιήσαντα αὐτὸν, τιμᾷ τὸν ποιητὴν ὁ περιέπων τὸ ποίημα. πάλιν, ὅτ' ἂν ἀκούσῃς,

πένης καὶ πλούσιος συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησε· μὴ τὸν μὲν πένητα, τὸν δὲ πλούσιον ὑπολάβῃς, ἵνα καὶ μᾶλλον καταξανίστῃς τοῦ πένητος. οὐ γὰρ δῆλον εἰ θεόθεν ἡ τοιαύτη διαίρεσις· πλάσμα δὲ θεοῦ φησὶν ὁμοίως ἀμφότεροι, κἂν τὰ ἔξωθεν ἄνισα. τοῦτο δὲ δυσωπείτω πρὸς τὸ συμπαθὲς καὶ φιλάδελφον. ἵνα ὅταν ὑπ᾽ ἐκείνου ἐπαρθῇς, ὑπὸ τούτου συσταλῇς, καὶ γένῃ σαυτοῦ μετριώτερος. τί ἔτι, ὁ ἐλεῶν πτωχὸν, θεῷ δανείζει φησίν. τίς οὐ δέχεται τοιοῦτον χρεώστην ἀποδώσοντα ἐν καιρῷ μετὰ τῆς ἐπικαρπίας τὸ δάνειον; ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. καθαρθῶμεν οὖν ἐλεήσαντες, ῥύψωμεν τῇ καλῇ πόᾳ τὰ τῆς ψυχῆς ῥύπη τε καὶ μολύσματα. καὶ λευκανθῶμεν, οἱ μὲν ὡς ἔριον, οἱ δὲ ὡς χιὼν κατὰ τὴν ἀναλογίαν τῆς εὐσπλαγχνίας. εἴπω τι καὶ φοβερώτερον. εἰ μὲν οὐδέν ἐστί σοι σύντριμμα, οὐδὲ μώλωψ, οὐδὲ πληγὴ φλεγμαίνουσα, οὐδὲ λέπρα τις ψυχῆς ἢ ἁφὴ σημασίας, ἢ τηλαυγὴς, ἃ μικρῶς μὲν ὁ νόμος ἐκάθαιρε, δεῖται δὲ χριστοῦ θεραπεύοντος, ἀλλά σύ γε τὸν ὑπὲρ ἡμῶν τραυματισθέντα καὶ μαλακισθέντα αἰδέσθητι. αἰδεσθήσῃ δὲ, ἂν φανῇς τοῦ χριστοῦ μέλει χρηστὸς καὶ φιλάνθρωπος. εἰ δὲ τοσοῦτον σὲ κατετραυμάτισε τυχὸν ὁ τῶν ἡμετέρων ψυχῶν λῃστὴς καὶ τύραννος, ἢ ἀπὸ ἱερουσαλὴμ εἰς ἱεριχὼ καταβαίνοντα, ἢ καὶ ἄλλοθί που λαβὼν ἄοπλόν τε καὶ ἀπαράσκευον, ὥς᾽ ἂν εἰκότως εἰπεῖν ἐκεῖνα, προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. εἰ μὲν οὕτως ἔχεις, ὡς μηδὲ τὴν θεραπείαν ἐπιζητεῖν, μηδὲ τὸν τρόπον εἰδέναι τῆς ἰάσεως, φεῦ τῆς πληγῆς οὕτως, καὶ τῆς εἰς βάθος ταλαιπωρίας. εἰ δὲ μήπω παντελῶς ἀπέγνωσαι, μηδ᾽ ἀνιάτως ἔχεις, πρόσελθε τῷ θεραπευτῇ, δεήθητι, θεράπευσον τὰ τραύματα διὰ τῶν τραυμάτων, κτῆσαι τῷ ὁμοίῳ τὸ ὅμοιον, μᾶλλον δὲ τοῖς ἐλάττοσι τὰ μείζονα θεραπεύθητι. εἰπὲ τῇ ψυχῇ σου, σωτηρία σου εἰμὶ ἐγώ, καὶ ἡ πίστις σου σέσωκέ σε, καὶ ἰδοὺ ὑγιὴς γέγονας. καὶ πάντα τὰ τῆς φιλανθρωπίας ῥήματα, μόνον ἂν ἴδῃ σε τοῖς ἀλγοῦσι φιλάνθρωπον. μακάριοι φησὶν οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. οὐ πολλοστὸς ἐν τοῖς μακαρισμοῖς ὁ ἔλεος. καὶ μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα. καὶ χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, καὶ ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος. ἁρπάσωμεν τὸν μακαρισμὸν, συνιέντες κληθῶμεν, χρηστοὶ γενώμεθα. μὴ διακοψάτω σου μηδὲ νὺξ τὸν ἔλεον. μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι. μή τι μέσον γινέσθω τῆς ὁρμῆς καὶ τῆς εὐεργεσίας. τοῦτο μόνον οὐκ ἐπιδέχεται ἀναβολὴν ἡ φιλανθρωπία. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. καὶ ταῦτα μετὰ προθυμίας. ὁ γὰρ ἐλεῶν, φησὶν, ἐν ἱλαρότητι, καὶ διπλασιάζεταί σοι τὸ ἀγαθὸν τῇ ἑτοιμότητι. τὸ γὰρ ἐν λύπῃ ἢ ἐξ ἀνάγκης, ἄχαρί τε καὶ ἀκαλλώπιστον. πανηγυριστέον δὲ, οὐ θρηνητέον τὴν εὐποιΐαν. ἐὰν ἀφέλῃς σύνδεσμον φησὶν, καὶ χειροτονίαν, μικρολογίαν δὲ λέγω, τοῦτο καὶ δοκιμασίαν, εἴτ᾽ οὖν ἀμφιβολίαν καὶ ῥῆμα γογγυσμοῦ, τί γενήσεται, ὢ μέγα τι καὶ θαυμάσιον, ὢ καὶ ὅσος ὁ τούτου μισθός. ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. τίς οὖν οὐκ ἐφίεται φωτὸς καὶ ἰάσεως; αἰδοῦμαι δὲ καὶ τὸ χριστοῦ [illegible], ὃ πρὸς πτωχοτροφίαν ἡμᾶς προκαλεῖ. καὶ τὴν παύλου καὶ πέτρου συμφωνίαν, ὅτι τὸ εὐαγγέλιον διελόμενοι τῶν πτωχῶν κοινωνοὺς ἐποιήσαντο. καὶ τὴν τοῦ νέου τελείωσιν, ἐν τῷ τὰ ὄντα δοῦναι πτωχοῖς ὁρισθεῖσαν καὶ νομοθετηθεῖσαν. οἴει μὴ ἀνάγκην εἶναί σοι τῆς φιλανθρωπίας, ἀλλ᾽ αἵρεσιν; μηδὲ νόμους, ἀλλὰ παραίνεσιν; σφόδρα καὶ αὐτὸς ἐβουλόμην τοῦτο, καὶ ὑπελάμβανον. ἀλλὰ φοβεῖ με ἡ ἀριστερὰ χεὶρ καὶ οἱ ἔριφοι, καὶ ἃ παρὰ τοῦ στήσαντος ὀνειδίζονται. οὐχ ὅτι διηρπάκασιν, οὐδ᾽ ὅτι ἱεροσυλήκασιν, ἢ μεμοιχεύκασιν, ἢ ἄλλο τι τῶν ἀπηγορευμένων πεποιήκασιν ταύτην τὴν τάξιν κατακριθέντες, ἀλλ᾽ ὅτι μὴ χριστὸν διὰ τῶν δεομένων τεθεραπεύκασιν. εἴ τι οὖν ἐμοὶ πείθεσθε δοῦλοι χριστοῦ καὶ ἀδελφοὶ, καὶ συγκληρονόμοι, ἕως ἔστι καιρὸς χριστὸν ἐπισκεψώμεθα, χριστὸν θεραπεύσωμεν, χριστὸν θρέψωμεν, χριστὸν ἐνδύσωμεν, χριστὸν συναγάγωμεν, χριστὸν τιμήσωμεν. μὴ τραπέζῃ μόνον, ὥς τινες, μηδὲ μύροις ὡς ἡ μαρία, μηδὲ τάφῳ μόνον, ὡς ἰωσὴφ ὁ ἀριμαθαῖος, μηδὲ τοῖς πρὸς τὴν ταφὴν ὡς νικόδημος ὁ ἐξ ἡμισείας φιλόχριστος, μηδὲ χρυσῷ καὶ λιβάνῳ καὶ σμύρνῃ, ὡς οἱ μάγοι πρὸ τῶν εἰρημένων, ἀλλ᾽ ἐπειδὴ ἔλεον θέλει καὶ οὐ θυσίαν ὁ πάντων δεσπότης, καὶ ὑπὲρ μυριάδας ἀρνῶν πιόνων ἡ εὐσπλαγχνία, ταύτην εἰσφέρωμεν αὐτῷ διὰ τῶν δεομένων, τῶν χαμαὶ σήμερον ἐρριμμένων. ἵνα ὅταν ἐνθένδε ἀπαλλαγῶμεν, δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς, ἐν αὐτῷ χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΠΕΡΙ δόγματος, ἤτοι θεολογίας λόγος πρῶτος.

Ταν ἴδω τὴν νῦν γλωσσαλγίαν, καὶ τοὺς αὐθημερινοὺς σοφούς, καὶ τοὺς χειροτονητοὺς θεολόγους, οἷς ἀρκεῖ τὸ θελῆσαι μόνον, πρὸς τὸ εἶναι σοφοῖς, ποθῶ τὴν αὐτόθι φιλοσοφίαν, καὶ σταθμὸν ἔσχατον ἐπιζητῶ κατὰ τὸν Ἱερεμίαν, καὶ ἐμαυτῷ μόνῳ συγγενέσθαι βούλομαι. οὐδὲν γάρ μοι δοκεῖ τοιοῦτο, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, μηδαμοῦ τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἀεὶ τὰς θείας ἐμφάσεις καθαρὰς ἐν ἑαυτῷ φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, οἷον ἔσοπτρον ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων καὶ ὄν, καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον, μέχρις ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, καὶ τύχωμεν τοῦ μακαρίου τέλους, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ. ὡς μόλις ἄν τις ἑαυτὸν ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀπορρήξας κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ σκότῳ συνεζευγμένου, ἢ θεοῦ τυχὸν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειεν. πρὶν δὲ ταύτην ὑπερσχεῖν ὅση δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τά τε ὦτα καὶ τὴν διάνοιαν, ἢ ψυχῆς ἐπιστασίαν δέξασθαι, ἢ θεολογίᾳ προσβάλλειν οὐκ ἀσφαλὲς εἶναι γινώσκω. καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος, ἵνα μή τι τοῦ δέοντος δειλότερος περιλάβοι τι, ἀλλὰ καὶ ἐπαινέσῃ τῆς προμηθείας. ἀκούω δὲ αὐτοῦ Μωυσέως ὡς ἥκει χρηματίζειν αὐτῷ ὁ θεός, ὅτι πλειόνων εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν σὺν τοῖς παισὶν αὐτοῦ τοῖς δύο τοῖς ἱερεῦσιν, οἱ μὲν λοιποὶ πάντες προσκυνῆσαι πόρρωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ Μωυσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαός. καὶ μικρὸν πρὸ τούτων τοὺς μὲν ἄλλους ἀστραπαὶ καὶ βρονταὶ καὶ σάλπιγγες, καὶ ὅλον καταπιεζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, καὶ τοιαῦτα δείματα, ἴσω κάτω, καὶ μέγα ἦν αὐτοῖς ἀκοῦσαι τῆς τοῦ θεοῦ φωνῆς μόνον, καὶ ταῦτα ἁγνισαμένοις. Μωυσῆς δὲ καὶ ἄνεισι, καὶ τὴν νεφέλην εἰσχωρεῖ, καὶ θεῷ συγγίνεται, καὶ δέχεται νόμον. τοῖς μὲν πολλοῖς τὸν τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλούς, τὸν τοῦ πνεύματος. γινώσκω δὲ Ἠλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον Ὀζάν τινα, τὸν μὲν καὶ ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀποτισθέντα δίκην, ἣν ἐτόλμησαν κατὰ τῶν θυσιῶν, καὶ ταῦτα οὐκ ἀντεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα. τὸν δὲ ὅτι τῆς κιβωτοῦ ψαῦσαι τολμήσαντα μόνον περισαλευθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιέσωσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάσσοντος δηλαδὴ τοῦ θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. οἶδα δ' ἐγὼ μηδὲ τῶν τοίχων τοῦ ἱεροῦ ψαῦσαι τοῖς πολλοῖς ὂν ἀσφαλές. καὶ διὰ τοῦτο ἑτέρων ἐδεήθησαν τοίχων τῶν ἔξωθεν. μηδὲ τὰς θυσίας αὐτὰς ὑφ' ὧν καὶ ὅτε καὶ οὐ μὴ καθῆκον ἦν ἀναλίσκεσθαι. τοσούτου δεῖν πρὸς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾶν θαρροῦντα ἢ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτόν, ἢ προσβλέπειν εἶναι παντός, ἢ προσάπτεσθαι. ταῦτα οὖν εἰδὼς ἐγώ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου θεοῦ καὶ θύματος, καὶ ἀρχιερέως, ὃς μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ θεῷ θυσίαν ζῶσαν, μᾶλλον δὲ ναὸς ἅγιος ἐγένετο θεοῦ ζῶντος καὶ ζῶν, πῶς ἢ αὐτὸς προχείρως ἐγχειρήσαιμι τοῖς περὶ θεοῦ λόγοις, ἢ ἀποδέξομαι τὸν ἐγχειροῦντα θρασέως, οὐκ ἐπαινῶ τὸν πόθον. φοβερὸν τὸ ἐγχείρημα. καὶ διὰ τοῦτο καθαρτέον ἑαυτὸν πρότερον, εἶτα τῷ καθαρῷ προσομιλητέον. εἰ μὴ μέλλοιμεν τὸ τοῦ Μανωὲ πείσεσθαι καὶ λέξειν ἐν φαντασίᾳ θεοῦ γενόμενοι· ἀπολώλαμεν ὦ γύναι, θεὸν ἑωράκαμεν. ἢ ὡς Πέτρος ἀποπέμψασθαι τῶν πλοίων τὸν Ἰησοῦν, ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας. ἢ ὡς ὁ ἑκατόνταρχος ἐκεῖνος, τὴν μὲν θεραπείαν ἀπαιτήσειν, τὸν θεραπευτὴν δὲ οὐκ εἰσδέξασθαι. λεγέτω τις καὶ ἡμῶν, ἕως ἐστὶν ἑκατόνταρχος, καὶ πλειόνων ἐν κακίᾳ κρατεῖ, καὶ ἔτι στρατευόμενος Καίσαρι τῷ κοσμοκράτορι τῶν κάτω συρομένων, οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὅταν δὲ Ἰησοῦν θεάσωμαι, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν ὡς ὁ Ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομορέαν ἀρθῶ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ μαράνας τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ Ἰησοῦν εἰσδέξομαι, καὶ ἀκούσομαι, σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ, καὶ τῆς σωτηρίας τεύξομαι, καὶ φιλοσοφήσω τὰ τελειότερα, σκορπίζων καλῶς ἃ κακῶς συνήγαγον, εἴτε χρήματα, εἴτε δόγματα. ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον, φέρε τι καὶ περὶ θεοῦ ὡς ἐν βραχεῖ διαλεχθῶμεν, καὶ τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι θαρρήσαντες, περὶ ὧν ὁ λόγος. εὔχομαι δὲ τὸ τοῦ Σολομῶντος παθεῖν, μηδὲ ἴδιον ἐννοῆσαι περὶ θεοῦ, μηδὲ φθέγξασθαι. ὅταν γὰρ λέγῃ· ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπου οὐκ ἔστιν ἐμοί, οὐκ ἀσυνεσίαν ἑαυτοῦ δήπου καταγινώσκων, τοῦτό φησι. πῶς γάρ, ὅς γε καὶ τοῦτο ᾔτησε παρὰ θεοῦ πρὸ παντὸς ἄλλου, καὶ ἔλαβε σοφίαν, καὶ θεωρίαν, καὶ πλάτος καρδίας ψάμμου πλουσιώτερόν τι καὶ δαψιλέστ-

ἀπελίστρον; καὶ ὁ τοσοῦτος σοφὸς, καὶ τοιαύτης τετυχηκὼς δωρεᾶς, πῶς ἀφορίσαιτο ἰσοῦν ταύτην ὀνομάζει, ὡς οὐκ ἔχων ἰδίαν δηλαδὴ φρόνησιν, ἀνδρούμενος δὲ τὴν θείαν τι καὶ πλεωτέραν; καὶ γὰρ ὁ Παῦλος λέγων, ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· οὐχ ὡς τὸ νεκρῶσαι πάντως ἑαυτὸν διαλέγεται, ἀλλ' ὡς ζῶντος κρείσσονα τὴν πολλῶν ζωὴν, τῷ μετειληφέναι τῆς ὄντως ζωῆς, καὶ μηδενὶ θανάτῳ περατουμένης. προσκυνοῦμεν οὖν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. καὶ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν Σαβελλίου νόσον νοσήσωμεν· οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ Ἀρείου μανῶμεν. τί γὰρ δεῖ καθάπερ φυτὸν ἑτεροκλινὲς πάντῃ καμπτόμενον, ἐπὶ μετάγειν εἰς τὸ ἕτερον μέρος διαστροφῇ τὴν διαστροφὴν διορθουμένους, ἀλλὰ μὴ πρὸς τὸ μέσον εὐθύνοντας, ἐν ὅροις ἵστασθαι τῆς εὐσεβείας; μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην. καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν. ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθείας, ψιλὰ ἡμῖν καταλιπεῖν τὰ ὀνόματα. τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ὑπολαμβάνουσι, καὶ μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένοις. φθίνοι γὰρ ἂν τὸ εἶναι ἅπερ ἐστὶν, εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα. μήτε εἰς τρεῖς ξένας καὶ ἀνομοίους οὐσίας καὶ ἀπερρηγμένας διαιρεθέντα, κατὰ τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν. ἢ ἀνάρχους καὶ ἀτάκτους, καὶ ὡς ἂν εἴποι τις, ἀντιθέους· ὧν μὲν εἰς Ἰουδαϊκὴν σμικρολογίαν κατακλεισθῆναι, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας. τῷ δὲ εἰς τὸ ἐναντίον μὲν, κακὸν δὲ ἴσον πεσεῖν, τρεῖς ἀρχὰς ὑποτιθεμένους, καὶ τρεῖς θεοὺς, ὃ τῶν προειρημένων ἀτοπώτερον. δέον μήτε οὕτως εἶναι τινὰς φιλοπάτορας, ὡς καὶ τὸ εἶναι πατέρα περιαιρεῖν. τίνος γὰρ ἂν καὶ εἴη πατὴρ, τοῦ υἱοῦ τὴν φύσιν ἀπεξενωμένου καὶ ἀπηλλοτριωμένου μετὰ τῆς κτίσεως; μήθ' οὕτω φιλοχρίστους, ὡς μήτε τοῦτο φυλάττειν, τὸ εἶναι υἱόν. τίνος γὰρ ἂν καὶ εἴη υἱὸς, μὴ πρὸς αἴτιον ἀναφερόμενος τὸν πατέρα; μήτε τῷ πατρὶ τὸ τῆς ἀρχῆς κατασμικρύνειν ἀξίωμα τὸ ὡς πατρὶ καὶ γεννήτορι. μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μὴ θεότητος ὢν αἴτιος τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης. ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, εἴτ' οὖν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. τηροῖτο δ' ἂν, ὡς ὁ ἐμὸς λόγος, εἷς μὲν θεὸς, εἰς ἓν αἴτιον καὶ υἱοῦ καὶ πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων. καὶ κατὰ τὸ ἓν καὶ ταυτὸ τῆς θεότητος, ἵν' οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα, καὶ τὴν τῆς οὐσίας ταυτότητα. αἱ δὲ τρεῖς ὑποστάσεις μηδεμιᾶς ἐπινοουμένης συναλειφῆς, ἢ ἀναλύσεως, ἢ συγχύσεως, ἵνα μὴ τὸ πᾶν καταλυθῇ δι' ὧν τὸ ἓν σεμνύνεται πλέον ἢ καλῶς ἔχει. αἱ δὲ ἰδιότητες πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου, καὶ λεγομένου. ἀρχῆς δὲ, ὡς αἰτίου, καὶ ὡς πηγῆς, καὶ ὡς ἀϊδίου φωτός. υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμῶς, ἀρχῆς δὲ τῶν ὅλων. ἀρχὴν δ' ὅταν εἴπω, μὴ χρόνον παρενθῇς, μηδὲ μέσον τι τάξῃς τοῦ γεγεννηκότος, καὶ τοῦ γεννήματος. μηδὲ διέλῃς τὴν φύσιν κακῶς παρεντιθεὶς τοῖς συναϊδίοις καὶ συνημμένοις. εἰ γὰρ χρόνος υἱοῦ πρεσβύτερον, ἐκείνου δηλαδὴ πρῶτος ἂν ἦν αἴτιος ὁ πατήρ. καὶ πῶς ποιητὴς χρόνων ὁ ὑπὸ χρόνον; πῶς δὲ καὶ κύριος πάντων, εἰ ὑπὸ χρόνου προείληπταί τε, καὶ κυριεύεται; ἄναρχος οὖν ὁ πατὴρ, οὐ γὰρ ἑτέρωθεν οὐδὲ παρ' ἑαυτοῦ τὸ εἶναι. ὁ δὲ υἱὸς, ἐὰν μὲν ὡς αἴτιον τὸν πατέρα λαμβάνῃς, οὐκ ἄναρχος. ἀρχὴ γὰρ υἱοῦ πατὴρ, ὡς αἴτιος. ἐὰν δὲ τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος. οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων δεσπότης. εἰ δὲ, ὅτι τὰ σώματα ὑπὸ χρόνον, διὰ τοῦτο ἀξιώσεις κεῖσθαι καὶ τὸν υἱὸν ὑπὸ χρόνον, περιθήσεις καὶ σῶμα τῷ ἀσωμάτῳ. καὶ εἰ ὅτι τὰ παρ' ἡμῖν γεννώμενα, οὐκ ὄντα ποτὲ, εἶτα γινόμενα, διὰ τοῦτο καὶ τὸν υἱὸν ἀναγκάσεις ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρεληλυθέναι. συγκρίνεις τὰ ἀσύγκριτα θεὸν καὶ ἄνθρωπον, σῶμα καὶ τὸ ἀσώματον. οὐκοῦν καὶ πείσεται καὶ λυθήσεται, ὅτι καὶ τὰ ἡμέτερα σώματα. σὺ μὲν οὖν ἀξιοῖς διὰ τοῦτο οὕτω γεννᾶσθαι θεὸν, διότι τὰ σώματα. ἐγὼ δὲ διὰ τοῦτο οὐχ οὕτως, ὅτι οὕτω τὰ σώματα, ὧν γὰρ τὸ εἶναι οὐχ ὅμοιον, τούτων οὐδὲ τὸ γεννᾶν ὅμοιον. εἰ μὴ καὶ τἄλλα δουλεύσῃ ταῖς ὕλαις. διὸ πάσχων καὶ λυπούμενος, καὶ πεινῶν καὶ διψῶν, καὶ ὅσα ἢ σώματος, ἢ τοῦ συναμφοτέρου πάθη. ἀλλὰ ταῦτα οὐ παραδέχεταί σου ὁ νοῦς. περὶ θεοῦ γὰρ ὁ λόγος. μὴ τοίνυν μηδὲ τὴν γέννησιν, ἀλλ' ἢ ὡς θεϊκὴν παραδέχου. ἀλλ' εἰ γεγέννηται, πῶς γεγέννηται; φησίν. ἀπόκριναί μοι ὦ διαλεκτικὲ σὺ καὶ ἄφυκτε. εἰ ἔκτισαι, πῶς ἔκτισαι, κἀμὲ ἀπαίτει τὸ, πῶς γεγέννηται; πάθος περὶ τὴν γέννησιν, πάθος καὶ περὶ τὴν κτίσιν. ἢ γὰρ οὐ πάθος ἡ ἀνατύπωσις καὶ ἡ φροντὶς καὶ ἡ τοῦ νοηθέντος ἀθρόως, εἰς τὸ κατὰ μέρος ἐξάπλωσις; χρόνος περὶ τὴν γέννησιν, ἐν χρόνῳ καὶ τὰ κτιζόμενα. τόπος ἐνταῦθα, τόπος ἐκεῖ. ἀτυχία περὶ τὴν γέννησιν, ἀτυχία καὶ περὶ τὴν κτίσιν. ταῦτα ἤκουσα φιλοσοφούντων ὑμῶν. ἃ εἰ ὁ νοῦς ὑπέγραψε, πολλάκις ταῦτα ἡ χεὶρ οὐκ ἐτέλεσεν. ἀλλὰ λόγῳ, φησὶ, τὸ πᾶν ὑπέστη καὶ βουλήματι. αὐτὸς γὰρ εἶπε καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ὅταν εἴπῃς λόγῳ τοῦ θεοῦ τὰ πάντα ἐκτίσθαι,

οὐ τὴν

οὐ τὴν ἀνθρωπίνην κτίσιν εἰσάγεις. οὐδὲ εἷς γὰρ ἡμῶν λόγῳ πράττει τὰ γινόμενα. οὐδὲ γὰρ ἂν ἦν ὑψηλότερον ἡμῶν, οὐδ' ἀπρακτότερον, εἰ τὸ λέγειν, ἔργου συμπλήρωσις ἦν. ὥστε εἰ καὶ λόγῳ κτίζεται τὰ κτιζόμενα, οὐκ ἀνθρώπινον αὐτῷ τὸ κτίζειν. εἰ γὰρ δέξον τὸν ἄνθρωπον λόγῳ τι πράττοντα, ἐδέξω, ὅτι οὐχ ὡς ἄνθρωπος κτίζει θεός. ἐπεὶ δεῖξόν μοι τὸν βουλήματι πόλιν, ἢ ἀναστήτω πόλις. θέλησον γεννᾶσθαί σοι υἱόν, καὶ παραστήτω παῖς. θέλησον ἄλλο τι τῶν πραττομένων, καὶ εἰς ἔργον ἡ βούλησις χωρησάτω. εἰ δὲ τοῦτ' οὐδ' ἕπεται τῷ βούλεσθαι, θεοῦ δὲ τὸ βούλεσθαι πρᾶξίς ἐστιν, ἄλλως μὲν ἄνθρωπος κτίζει, ἄλλως δὲ ὁ πάντων κτίστης θεός. πῶς οὖν κτίζει μὲν οὐκ ἀνθρωπικῶς, γεννᾷ δὲ ἀναγκάζεται ἀνθρωπικῶς; σὺ μὲν οὐκ ὤν, ἔπειτα ἐγένου, εἶτα γεννᾷς. διὸ τοῦτο οὐκ ὄντα εἰς τὸ εἶναι παράγεις. ἤ, ἵνα τι βαθύτερον εἴπω, τάχα οὐδ' αὐτὸς ἐξ οὐκ ὄντων παράγεις. ἐπεὶ καὶ ὁ Λευῒ φησίν, ἔτι ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, πρὶν εἰς τὸ εἶναι παρελθεῖν, καὶ μηδεὶς ἐπηρεαζέτω τῷ λόγῳ. οὐ γὰρ οὕτως ἐκ τοῦ πατρός φημι τὸν υἱὸν ὑπάρχειν, ὡς ἐν τῷ πατρὶ πρότερον ὄντα, μετὰ δὲ τοῦτο εἰς τὸ εἶναι ὁδεύσαντα. οὐδὲ γὰρ ἀτελῆ πρότερον, εἶτα τέλειον, ὥσπερ νόμος τῆς ἡμετέρας γενέσεως. ταῦτα τῶν ἐπηρεαζόντων ἐστίν. ταῦτα τῶν ἀντιπιπτόντων προχείρως πᾶσι τοῖς λεγομένοις. ἡμεῖς δὲ οὐχ οὕτω φρονοῦμεν, οὐχ οὕτω δοξάζομεν. ἀλλ' ὁμοῦ τῷ τὸν πατέρα εἶναι ἀγεννήτως. ἀεὶ δὲ ἦν. οὐχ ὑποπίπτει γὰρ εἰς τὸ μὴ εἶναι ποτὲ ὁ νοῦς. καὶ ὁ υἱὸς ἦν γεννητῶς. ὥστε συντρέχει τὸ εἶναι τοῦ πατρός, τῷ γεγεννῆσθαι τοῦ μονογενοῦς. ἐξ αὐτοῦ τι ὑπάρχοντος, καὶ οὐ μετ' αὐτόν, ἢ ἐπινοίᾳ μόνῃ τῇ τῆς ἀρχῆς. ἀρχῆς δέ, ὡς αἰτίου. πολλάκις γὰρ τὸν αὐτὸν ἀναστρέφω λόγον, διὰ τὸ παχύ σου καὶ ὑλικὸν τῆς διανοίας. εἰ δὲ οὐ πολυπραγμονεῖς τὴν τοῦ υἱοῦ εἴτε γέννησιν χρὴ λέγειν, εἴτε ὑπόστασιν, εἴτε τι ἄλλο κυριώτερον τούτων ἐπινοεῖ τις, νικᾷ γὰρ τὴν ἐμὴν διάνοιαν τὸ νοούμενον καὶ λεγόμενον, μηδὲ τοῦ πνεύματος περιεργάζου τὴν πρόοδον. ἀρκοῦμαι ἀκούειν, ὅτι υἱός, καὶ ὅτι ἐκ τοῦ πατρός. καὶ ὅτι ὁ μὲν πατήρ, ὁ δὲ υἱός, καὶ οὐδὲν παρὰ τοῦτο περιεργάζομαι. μὴ ταυτὸ πάθω ταῖς φωναῖς, αἳ τῷ ὑπερφωνεῖσθαι παντελῶς διαπίπτουσιν, ἢ τῇ ὄψει τείνων πρὸς ἡλιακὴν ἀκτῖνα. ὅσῳ γὰρ ἂν πλεῖον καὶ ἀκριβέστερον ἰδεῖν ἐθέλοι τις, τοσούτῳ τὴν αἴσθησιν παραβλάπτεται. καὶ τὸ ὁπωσοῦν ὁρᾶν ἀποστερεῖται, διὰ τοῦ πλείονος νικῶντος τὴν ὄψιν τοῦ ὁρωμένου, ἐὰν ὅλον ἰδεῖν ἐθελήσῃ, καὶ μὴ ὅσον ὁρᾶν ἀσφαλές. ἀκούεις γέννησιν, τὸ πῶς μὴ περιεργάζου. ἀκούεις ὅτι τὸ πνεῦμα τὸ προϊὸν ἐκ τοῦ πατρός, τὸ ὅπως μὴ πολυπραγμόνει. εἰ δὲ πολυπραγμονεῖς υἱοῦ γέννησιν, καὶ πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος, πῶς εἶ χοῦς καὶ εἰκὼν θεοῦ. τί τὸ κινοῦν σε, ἢ τὸ κινούμενον. πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται, πῶς ἡ αἴσθησις ἐν τῷ αὐτῷ μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται. πῶς ὁ νοῦς ἐν σοὶ μένει, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ. πῶς λόγῳ νόημα διαδίδοται. καὶ οὔπω τὰ μείζονα λέγω. τίς οὐρανοῦ περιφορά, τίς ἀστέρων κίνησις, ἢ τάξις, ἢ μέτρα, ἢ σύνοδος, ἢ ἀπόστασις. τίνες δ' ὅροι θαλάσσης, πόθεν δὲ ἀνέμων ῥεύματα, ἢ ὡρῶν περιτροπαί, ἢ ὄμβρων ἐπιχύσεις. εἰ τούτων μηδὲν κατενόησας ὦ ἄνθρωπε, κατανοήσεις δὲ ἴσως ποτέ, ὅταν ἀπολαύσῃς τοῦ τελείου, ὄψομαι γάρ φησι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, ὡς ἀπονοεῖσθαι τὰ νῦν ὁρώμενα μὴ εἶναι τὴν ἀλήθειαν, ἀλλὰ τῆς ἀληθείας ἰνδάλματα. εἰ σαυτὸν οὐκ ἔγνως, ὅστις εἶ, ὁ περὶ τούτων διαλεγόμενος, εἰ ταῦτα οὐ κατέλαβες, ὧν καὶ ἡ αἴσθησις μάρτυς, πῶς θεὸν ἀκριβῶς, ὅπερ τι καὶ ὅσον ἐστίν, εἰδέναι ὑπολαμβάνεις; πολλῆς τοῦτο τῆς ἀλογίας. ἀλλ' εἴ τι ἐμοὶ πείθῃ, τῷ μὴ θρασεῖ θεολόγῳ, τὸ μὲν κατέλαβες, τὸ δὲ καταλαμβάνειν διάθητι. τὸ μὲν ἀγάπησον ἐν σοὶ μένον, τὸ δὲ ἐν τοῖς ἄνω θησαυροῖς μενέτω. διὰ πολιτείας ἄνελθε, διὰ καθαρότητος κτῆσαι τὸ καθαρόν. βούλει θεολόγος γενέσθαι ποτὲ καὶ τῆς θεότητος ἄξιος; τὰς ἐντολὰς φύλαξον. διὰ τῶν προσταγμάτων ὅδευσον. πρᾶξις γάρ, ἐπίβασις θεωρίας. ἐκ τοῦ σώματος τῇ ψυχῇ φιλοπόνησον. ἆρα τίς ἐστιν ἀνθρώπων, ὃς ἀρθῆναι τοσοῦτον δύναται, ὥστε εἰς τὸ Παύλου μέτρον ἐλθεῖν; ἀλλ' ὅμως φησὶ βλέπειν δι' ἐσόπτρου καὶ αἰνίγματος, καὶ εἶναι καιρόν, ὅτε ὄψεται πρόσωπον πρὸς πρόσωπον. ἄλλου μὲν εἶ φιλοσοφώτερος ἐν λόγοις, θεοῦ δὲ πάντως κατώτερος. ἄλλου μὲν τυχὸν συνετώτερος, τῆς δ' ἀληθείας τοσοῦτον λείπῃ, ὅσον τὸ εἶναί σου δεύτερον τοῦ εἶναι θεοῦ. ἔχομεν ἐπαγγελίαν, γνώσεσθαί ποτε ὅσον ἐγνώσμεθα. εἰ μὴ δυνατὸν ἐνταῦθα ἔχειν τελείαν τὴν τῶν ὄντων γνῶσιν, τί μοι τὸ λειπόμενον; τί τὸ ἐλπιζόμενον; βασιλείαν οὐρανῶν πάντως ἐρεῖς. ἡγοῦμαι δὲ μὴ ἄλλο τι τοῦτο εἶναι, ἢ τὸ τυχεῖν τοῦ καθαρωτάτου τε καὶ τελεωτάτου. τελεώτατον δὲ τῶν ὄντων, γνῶσις θεοῦ. ἀλλὰ τὸ μὲν κατάσχωμεν, τὸ δὲ καταλάβωμεν, ἕως ἐσμὲν ὑπὲρ γῆς. τὸ δὲ ἐκεῖθεν ταμιευσώμεθα, ἵνα ταύτην σχῶμεν τῆς φιλοπονίας τὴν ἐπικαρπίαν, ὅλην τῆς ἁγίας τριάδος τὴν ἔλλαμψιν, ἥτις ἐστί, καὶ οἵα, καὶ ὅση, εἰ θέμις τοῦτο εἰπεῖν, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΓΡΗΓΟ-

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟγου, εἰς τοὺς μακκαβαίους λόγος.

Τί δὲ οἱ μακκαβαῖοι; τούτων γὰρ ἡ παροῦσα πανήγυρις, οὐ παρὰ πολλοῖς μὲν τιμωμένων, ὅτι μὴ μετὰ χριστὸν ἡ ἄθλησις. πᾶσι δὲ τιμᾶσθαι ἀξίων, ὅτι περὶ τὴν πατρίων ἡ καρτερία. καὶ οἱ πρὸ τῶν χριστοῦ παθῶν μαρτυρήσαντες, τί ποτε δράσειν ἔμελλον μετὰ χριστὸν διωκόμενοι, καὶ τὸν ἐκείνου ὑπὲρ ἡμῶν μιμούμενοι θάνατον; οἱ γὰρ χωρὶς ὑποδείγματος τοιοῦτοι, τοσοῦτοι τὴν ἀρετήν, πῶς οὐκ ἂν ὤφθησαν γενναιότεροι, μετὰ τοῦ ὑποδείγματος κινδυνεύοντες; καὶ ἅμα μυστικός τις καὶ ἀπόρρητος οὗτος ὁ λόγος, σφόδρα πιθανός, ἔμοιγ' οὖν, καὶ πᾶσι τοῖς φιλοθέοις, μηδένα τῶν πρὸ τῆς χριστοῦ παρουσίας τελειωθέντων, δίχα τῆς εἰς χριστὸν πίστεως τούτου τυχεῖν. ὁ γὰρ λόγος, ἐπαρρησιάσθη μὲν ὕστερον καιροῖς ἰδίοις, ἐγνωρίσθη δὲ καὶ πρότερον τοῖς καθαροῖς τὴν διάνοιαν, ὡς ἐκ πολλῶν δῆλον τῶν πρὸ ἐκείνου τετιμημένων. οὔκουν ὅτι πρὸ τοῦ σταυροῦ τοιοῦτοι παροπτέοι, ἀλλ' ὅτι κατὰ τὸν σταυρὸν ἐπαινετέοι, καὶ τῆς ἐν τοῖς λόγοις τιμῆς ἄξιοι. οὐχ ἵνα προσθήκην τῇ δόξῃ λάβοιεν, τίνα γάρ, ὧν ἡ πρᾶξις ἔχει τὸ ἔνδοξον; ἀλλ' ἵνα δοξασθῶσιν οἱ εὐφημοῦντες, καὶ ζηλώσωσι τὴν ἀρετὴν οἱ ἀκούοντες, ὥσπερ κέντρῳ τῇ μνήμῃ πρὸς τὰ ἴσα διανιστάμενοι. οὗτοι, τίνες μὲν ὄντες, καὶ ὅθεν, καὶ ἐξ οἵας ὁρμώμενοι τῆς ἀπαρχῆς ἀγωγῆς καὶ παιδεύσεως, εἰς τοσοῦτον ἀρετῆς καὶ δόξης προεληλύθασιν, ὥστε καὶ ταῖς ἐτησίοις ταύταις τιμᾶσθαι πομπαῖς τε καὶ πανηγύρεσι, καὶ μείζονα τῆς ὁρωμένης τὴν περὶ αὐτῶν δόξαν ἐναποκεῖσθαι ταῖς ἁπάντων ψυχαῖς. ἡ περὶ αὐτῶν βίβλος δηλώσει τοῖς φιλομαθέσι καὶ φιλοπόνοις, ἡ περὶ τοῦ αὐτοκράτορα εἶναι τῶν παθῶν τὸν λογισμὸν φιλοσοφοῦσα, καὶ κύριον τῆς ἐπ' ἄμφω ῥοπῆς, ἀρετήν τε φημὶ καὶ κακίαν. δήλοις τε γὰρ οὐκ ὀλίγοις ἐχρήσατο μαρτυρίοις, καὶ δὴ καὶ τοῖς τούτων ἀθλήμασιν. ἐμοὶ δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει. Ἐλεάζαρ οὗτος ἦν, τῶν πρὸ χριστοῦ παθόντων ἡ ἀπαρχή, ὥσπερ τῶν μετὰ χριστὸν στέφανος. ἀνὴρ ἱερεὺς καὶ πρεσβύτης, πολιὸς τὴν τρίχα, πολιὸς τὴν φρόνησιν. πρότερον μὲν καὶ προθυόμενος τοῦ λαοῦ, καὶ προσευχόμενος, νῦν δὲ καὶ τελεώτατον θῦμα προσάγων ἑαυτὸν τῷ θεῷ, παντὸς τοῦ λαοῦ καθάρσιον. προοίμιον ἀθλήσεως δεξιόν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις. προσάγει δὲ καὶ τοὺς ἑπτὰ παῖδας, τὰ τῆς ἑαυτοῦ παιδείας ἀποτελέσματα, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, πάσης νομικῆς ἱερουργίας λαμπροτέραν τε καὶ καθαρωτέραν. τὰ γὰρ τῶν παίδων, τῷ πατρὶ λογίζεσθαι, τῶν εὐνομωτάτων τε καὶ δικαιοτάτων. παῖδες ἐκεῖ γενναῖοι καὶ μεγαλόψυχοι, μητρὸς εὐγενοῦς εὐγενῆ βλαστήματα, φιλότιμοι τῆς ἀληθείας ἀγωνισταί. τῶν ἀντιόχου καιρῶν ὑψηλότεροι, τοῦ μωσέως νόμου μαθηταὶ γνήσιοι. τῶν πατρίων ἐθῶν ἀκριβεῖς φύλακες. ἀριθμὸς τῶν παρ' ἑβραίοις ἐπαινουμένων, κατὰ τῆς ἑβδοματικῆς ἀναπαύσεως μυστηρίῳ τιμώμενος. ἓν πνέοντες, πρὸς ἓν βλέποντες, μίαν ζωῆς ὁδὸν εἰδότες, τὸν ὑπὲρ τοῦ θεοῦ θάνατον. οὐχ ἧττον ἀδελφοὶ τὰς ψυχάς, ἢ τὰ σώματα. ζηλοτυποῦντες ἀλλήλους τῆς τελευτῆς. ὢ τοῦ θαύματος, προαρπάζοντες ὥσπερ θησαυροὺς τὰς βασάνους, τοῦ παιδαγωγοῦ νόμου προκινδυνεύοντες. οὐ τὰς προσαγομένας τῶν βασάνων μᾶλλον φοβούμενοι, ἢ τὰς λειπομένας ἐπιζητοῦντες. ἓν τοῦτο φοβούμενοι μόνον, μὴ ἀπείπῃ κολάζων ὁ τύραννος, καὶ ἀπέλθωσί τινες αὐτῶν ἀστεφάνωτοι, καὶ διαζευχθῶσι τῶν ἀδελφῶν ἄκοντες, καὶ τὴν κακὴν νίκην νικήσωσι, τὸ μὴ παθεῖν κινδυνεύσαντες. μήτηρ ἐκεῖ ἀνδρικὴ καὶ γενναία, φιλόπαις ὁμοῦ καὶ φιλόθεος, καὶ τὰ μητρῷα σπλάγχνα σπαρασσομένη παρὰ τὸ εἰκὸς τῆς φύσεως. οὐ γὰρ πάσχοντας ἠλέει τοὺς παῖδας, ἀλλ' ἠγωνία τὸ μὴ παθεῖν, οὐδὲ τοὺς ἀπελθόντας ἐπόθει μᾶλλον, ἢ προστεθῆναι τοὺς ὑπολειφθέντας ηὔχετο, καὶ τούτων ἦν αὐτῇ πλείων ὁ λόγος, ἢ τῶν μεθεστώτων. τῶν μὲν γὰρ ἀμφίβολος ἡ πάλη, τῶν δὲ ἀσφαλὴς ἡ κατάλυσις. καὶ τοὺς μὲν ἤδη τῷ θεῷ παρετίθετο, τοὺς δὲ ὅπως λάβοι θεὸς ἐφρόντιζεν. ὢ ψυχῆς ἀνδρείας, ἐν γυναικείῳ τῷ σώματι. ὢ θαυμασίας ἐπιδόσεως καὶ μεγαλοψύχου. ὢ τῆς ἀβραμιαίου θυσίας ἐκείνης, εἰ μή τι τολμητέον, καὶ μείζων. ὁ μὲν γὰρ ἕνα προσῆγε προθύμως, εἰ καὶ τὸν μονογενῆ, καὶ τὸν ἐκ τῆς ἐπαγγελίας, καὶ εἰς ὃν ἡ ἐπαγγελία, καὶ τὸ μεῖζον, ὅτι μὴ τοῦ γένους μόνον, ἀλλὰ καὶ τῶν τοιούτων θυμάτων, ἀπαρχὴ καὶ ῥίζα καθίστατο. ἡ δὲ, δῆμον ὅλον παίδων καθιέρωσε τῷ θεῷ, νικήσασα καὶ μητέρας καὶ ἱερέας τοῖς θύμασι προθύμοις εἰς σφαγήν, ὁλοκαυτώμασι λογικοῖς ἱερείοις ἐπειγομένοις. ἡ μαστοὺς προὐδείκνυ, καὶ ἀνατροφῆς ὑπεμίμνησκε, καὶ προέτεινε τὴν πολιάν, καὶ τὸ γῆρας αὐθ' ἱκετηρίας προὐβάλλετο. οὐ σωτηρίαν ζητοῦσα, τὸ δὲ παθεῖν ἐπείγουσα, καὶ κίνδυνον ἡγουμένη τὴν ἀναβολήν, οὐ τὸν θάνατον. ἣν οὐδὲ ἓν ἔκαμψεν, οὐδὲ ἐμαλάκισεν, οὐδὲ ἀτολμοτέραν ἐποίησεν οὐκ ἀρθρέμβολα προτεινόμενα, οὐ τροχοὶ περιβαλλόμενοι, οὐ τροχαντῆρες, οὐ καταπέλται, οὐκ ἀκμαὶ σιδηρῶν ὀνύχων, οὐ λέβητες ζέοντες, οὐ ξίφη

θηγόμενα, οὐ λέβητες ζέοντες, οὐ πῦρ ἐγειρόμενον, οὐ τύραννος ἀπειλῶν, οὐ δῆμος, οὐ δορυφόρος κατεπείγων, οὐ γυῖα δρώμενα, οὐ μέλη διασπώμενα, οὐ σάρκες ξαινόμεναι, οὐχ αἵματος ὀχετοὶ ῥέοντες, οὐ νεότης δαπανωμένη, οὐ τὰ παρόντα δεινά, οὐ τὰ προσδοκώμενα χαλεπά. καὶ ὃ τοῖς ἄλλοις βαρύτατόν ἐστιν ἐν τοῖς τοιούτοις, ἡ τοῦ κινδύνου παράτασις, τοῦτο ἐκείνῃ τὸ κουφότατον ἦν. ἐνετρύφα γὰρ τῷ θεάματι, καὶ γάρ πως καὶ τελέως ἐπῆν τοῖς πάθεσιν, οὐ τὸ ποικίλον τῶν προσαγομένων βασάνων μόνον, ὧν πασῶν ὡς οὐδὲ εἷς μιᾶς κατεφρόνουν. ἀλλὰ καὶ οἱ τοῦ διώκτου λόγοι πολυειδεῖς ὄντες, ὑβρίζοντος, ἀπειλοῦντος, θωπεύοντος. τί γὰρ οὐ κινοῦντος πρὸς τὸ τυχεῖν ὧν ἤλπιζε, καὶ μέντοι καὶ τῶν παίδων αἱ πρὸς τὸν τύραννον ἀποκρίσεις, τοσοῦτον ἔχουσαι τὸ σοφὸν ὁμοῦ καὶ γενναῖον, ὥστε μικρὰ μὲν εἶναι πρὸς τὴν ἐκείνων καρτερίαν, ἅπαντα τὰ τῶν ἄλλων καλὰ εἰς ἓν συναχθέντα, μικρὰν δὲ τὴν καρτερίαν πρὸς τὴν ἐκείνων ἐν λόγοις σύνεσιν, ὥστε τὴν αὐτὴν εἶναι μόνων, πάσχειν τι οὕτω καὶ φιλοσοφεῖν ἐν ταῖς ἀποκρίσεσι, πρὸς τὰς τοῦ διώκοντος ἀπειλάς, καὶ τῶν προτεινομένων φόβων, ὧν οὐδενὸς ἐπιστῶντο οἱ γενναῖοι παῖδες, καὶ ἡ γενναιοτέρα τεκοῦσα. ταύτην δὲ ἑαυτὴν ὑπεραιωθεῖσα, καὶ τῷ φίλτρῳ τὸν θυμὸν μίξασα, καλὸν ἐντάφιον δίδωσι τοῖς παισὶν ἑαυτήν, ἐπακολουθοῦσα τοῖς προαπελθοῦσι. καὶ τοῦτο πῶς; ἱκετηρίας τῶν κινδύνων χωρίσασα, ὡς ἂν μηδὲ σῶμα ψαύσειεν ἄναγνον ἁγνοῦ καὶ γενναίου σώματος. καὶ μὴν οἷον τὴν ἐπιταφίων; καλοὶ μὲν γὰρ καὶ οἱ τῶν παίδων πρὸς τὸν τύραννον λόγοι, καὶ καλῶν κάλλιστοι. πῶς γὰρ οὔ; μεθ' ὧν περιεποίξαντο, καὶ οἷς τὸν τύραννον ἔβαλλον. καλλίους δὲ οἱ τῆς μητρός, οἱ παρακλητικοὶ πρότερον, καὶ ὕστερον ἐπιτάφιοι. τίνες οὖν οἱ τῶν παίδων λόγοι; καλὸν γὰρ ἀπομνημονεῦσαι καὶ τὰ τούτων, ἵν' ἔχητέ τι νῦν, ὥσπερ ἀθλήσεως, οὕτω καὶ λόγων ἀθλητικῶν, ἐν τοῖς τοιούτοις καιροῖς ἄλλον μὲν ἄλλοι, καὶ ὡς ἕκαστον οἱ τοῦ διώκοντος λόγοι, ἢ τῶν κινδύνων ἡ τάξις, ἢ τῆς ψυχῆς τὸ φιλότιμον ὑπέλιζεν. ὡς δ' ἐν τύπῳ περιλαβεῖν, ὅσα κοινοὶ ἡμῖν αἴτιοι καὶ πάντες οἱ παρεστηκότες, εἷς μὲν βασιλεὺς ὁ θεὸς ὑπ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρεψόμεθα. εἷς δὲ νομοθέτης Μωϋσῆς, ὃν οὐ προδώσομεν, οὐδὲ καθυβρίσομεν, οὐ μὰ τῶν ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνων, καὶ τὰ πολλὰ θαύματα, οὐδ' ἂν ἡμῖν ἄλλος αἴτιος ᾖ ἀπειλῆς σοῦ χαλεπώτερος. μία δὲ ἀσφάλεια, τῶν ἐντολῶν ἡ τήρησις, καὶ τὸ μὴ περιγράψαι τὸν νόμον, ᾧ τετειχίσμεθα. μία δὲ δόξα, τῆς δόξης ἁπάσης ὑπεριδεῖν ἐπὶ τηλικούτοις. εἷς δὲ πλοῦτος, τὰ ἐλπιζόμενα. φοβερὸν δὲ οὐδέν, ἢ τὸ φοβηθῆναί τι πρὸ θεοῦ. μηδὲ ταύτην περιεπτοίημεθα τῶν λογισμῶν, καὶ οὕτως ὡπλίσμεθα. πρὸς τοιούτους σοι νεανίας ὁ λόγος. ἡδὺ μὲν καὶ ὁ κόσμος οὗτος, καὶ τὸ πατρῷον ἔδαφος, καὶ φίλοι, καὶ συγγενεῖς, καὶ ὁμηλικιῶται, καὶ ὁ ναὸς οὗτος, τὸ μέγα καὶ περιβόητον ὄνομα, καὶ πανηγύρεις πατρικαί, καὶ μυστήρια, καὶ ταῦτα οἷς ἡμεῖς τῶν ἄλλων διαφέρειν δοκοῦμεν, οὔπω δὲ ἥδιον θεοῦ, καὶ τῶν ὑπὲρ τοῦ καλοῦ κινδύνων. μὴ τοῦτο νομίσῃς. κόσμος τις γὰρ ἄλλος ἡμῖν, πολὺ τῶν ὁρωμένων ὑψηλότερός τε καὶ μονιμώτερος. πατρίς τε ἡ ἄνω Ἱερουσαλήμ, ἣν οὐδεὶς Ἀντίοχος πολιορκήσει, οὐδὲ προσδοκήσει στρατιᾷ, ἡ καρτερὰ καὶ ἀνάλωτος. συγγένεια δέ, ὁ ἐμπνεύσας, καὶ οἱ κατ' ἀρετὴν γεννηθέντες. φίλοι δέ, προφῆται καὶ πατριάρχαι, παρ' ὧν ἡμῖν καὶ ὁ τύπος τῆς εὐσεβείας. ἡλικιῶται δέ, οἱ σήμερον ἡμῖν συγκινδυνεύοντες, καὶ τὴν καρτερίαν ὁμόχρονοι. ναὸς δέ, οὐρανὸς μεγαλοπρεπέστερος. πανήγυρις δέ, ἀγγέλων χοροστασία. καὶ μυστήριον ἓν μέγα, καὶ μέγιστον, καὶ τοῖς πολλοῖς ἀπόκρυφον ὁ θεός, πρὸς ὃν βλέπει καὶ τὰ τῇδε μυστήρια. ταῦτα εἶναι ὑπαγόμενος ἡμῖν τὰ μικρά, καὶ τοῦ μηδενὸς ἄξια. οὐ γὰρ τιμησόμεθα τοῖς ἀτίμοις, οὐδὲ κερδανοῦμεν ἐπιζήμια. οὐχ οὕτως ἀθλίως ἐμπορευσόμεθα. ταῦτα καὶ ἀπειλῶν, ἢ αὐτὰ πειράσομεν, ἐλέγξειν σου τὴν ἀσθένειαν, καὶ πρὸς τούτῳ τὰ ἡμέτερα κολαστήρια. ἔχομεν καὶ ἡμεῖς πῦρ, ᾧ τοὺς διώκτας κολάζομεν. οἴει πρὸς ἔθνη καὶ πόλεις εἶναί σοι τὸν ἀγῶνα, καὶ βασιλέων τῶν ἀνανδροτάτων, ὧν οἱ μὲν κρατήσουσιν, οἱ δὲ ἴσως ἐπιθήσονται. οὐδὲ ὁ τηλικοῦτον αὐτοῖς ὁ κίνδυνος πρὸς νόμον θεοῦ παράταξιν, πρὸς πλάκας θεοῦ ἀρρήκτους, πρὸς πατέρα καὶ λόγῳ καὶ χρόνῳ τετιμημένα, πρὸς ἀδελφοὺς ἑπτὰ μιᾷ ψυχῇ συνδεδεμένους, ἑπτὰ τροπαίων σοι στηλιτεύοντας. ὧν κρατῆσαι μὲν οὐ μέγα, ἡττηθῆναι δὲ καὶ λίαν αἰσχρόν. ἐκείνων ἐσμὲν καὶ γόνος καὶ μαθηταί, οὓς στῦλος πυρὸς καὶ νεφέλης ὡδήγει, οἷς θάλασσα διΐστατο, καὶ ποταμὸς ἵστατο, καὶ ἥλιος ἀνεκόπτετο, καὶ ἄρτος ὗε, καὶ χειρῶν ἐκτάσεις ἐτροποῦντο μυριάδας, δι' εὐχῶν βάλλουσαι. ὧν θῆρες ἡττῶντο, καὶ πῦρ οὐχ ἥπτετο, καὶ βασιλεῖς ἀπήεσαν τὸ γενναῖον θαυμάζοντες. εἴπωμέν τι καὶ τῶν σοὶ γνωρίμων. Ἐλεάζαρ μύστης ἡμῶν, οὗ τὴν ἀνδρείαν ἔγνως. προηγωνίσατο πατήρ, ἐπαγωνιοῦνται παῖδες. ἀπῆλθεν ὁ ἱερεύς, ἐπακολουθήσει τὰ θύματα. πολλὰ δεδίττη, πρὸς πλείω παρεσκευάσμεθα. τί καὶ δράσεις ἡμᾶς ὑπερβαίνων ταῖς ἀπειλαῖς; τί καὶ πεισόμεθα; οὐδὲν ἱερώτερον τῶν τοιούτων παθῶν ἐτρίμων. ὦ δήμιοι, τί μέλλετε; τί δὲ ἀναδύεσθε; τί δὲ πρόσταγμα τὸ χρηστὸν ἀναμένετε; ποῦ τὰ ξίφη; ποῦ δεσμὰ; ἐξήτω τὸ τάχος. πλεῖον ἀναπτέσθω τὸ πῦρ, οἱ θῆρες

ἀγριέσθ-

ὀργίζεσθαι, αἱ στρέβλαι πολὺ δριμύτεραι. ταῦτα ἔστω βασιλικὰ καὶ πολυτελῆ ἑστία. ἐγὼ πρω-
τοτοκός εἰμι, πρῶτόν με καταθύσον. ἐγὼ τελευταῖος, ἡ τάξις ἀναμεμφθήτω. ἔστω τίς καὶ τῶν
μέσων ὁ πρότερος, ἵνα τιμηθῶμεν ἰσομοιρίᾳ. φάσκει δὲ, προσθήκης τι τυχὸν καὶ τῶν ἐναντίων. πά-
λιν καὶ πολλάκις ἐροῦμεν τὸν αὐτὸν λόγον. οὐ μιαροφαγήσομεν, οὐκ ἐνδώσομεν. θᾶττον σὺ σεβα-
σθήσῃ τὰ ἡμέτερα, ἢ τοῖς σοῖς ἡμεῖς ἕξομεν. κεφάλαιον τοῦ λόγου. ἢ καινότερα ἐπινόησον κο-
λαστήρια, ἢ τὰ παρόντα ἴσθι καταφρονούμενα. ταῦτα μὲν πρὸς τὸν τύραννον. ἃ δὲ ἀλλήλοις
διελέγοντο, ὥσπερ παρὰ τάξιν προτιμῶντες. ἃ δὲ παρεῖχον ὁρᾶν, ὡς καλά τι καὶ ἱερά, καὶ
παντὸς ἄλλου θεάματος καὶ ἀκούσματος, ἡδίω τοῖς φιλοθέοις. ἐγὼ γοῦν αὐτὸς ἐκείνης
ἐμπίπλαμαι μνημονεύων, καὶ μετ' αὐτῶν ἀθλοῦντα εἰμὶ τῇ διανοίᾳ, καὶ τῷ διηγήματι
καλλωπίζομαι. περιέβαλλον ἀλλήλους, περιεπτύσσοντο, πανήγυρις ἦν, ὡς ἐπ' ἄθλοις τε-
τελεσμένοις. ἴωμεν ἀδελφοὶ πρὸς τοὺς κινδύνους, ἐβόων, ἴωμεν ἐπειγόμεθα, ἕως ζέει καθ' ἡ-
μῶν ὁ τύραννος, μὴ ἵνα μαλακισθῇ, καὶ ζημιωθῶμεν τὴν σωτηρίαν. πανδαισία πρόκειται, μὴ
ἀπολειφθῶμεν. καλὸν μὲν καὶ συνοικοῦντες ἀλλήλοις ἀδελφοὶ, καὶ συμποσιάζοντας, καὶ
συνασπίζοντας, κάλλιον δὲ ὑπὲρ ἀρετῆς συγκινδυνεύοντας. εἰ μὲν οἷόν τε ἦν καὶ τοῖς σώμασιν
ἂν ἠγωνισάμεθα ὑπὲρ τῶν πατρίων, ἔστι δὲ οὗτος τῶν ἐπαινετῶν ὁ θάνατος. ἐπεὶ δὲ οὐ τούτου καιρὸς
αὐτὰ τὰ σώματα εἰσενέγκωμεν. τί γὰρ, κἂν μὴ νῦν ἀποθάνωμεν, οὐ τεθνηξόμεθα πάντως; οὐ
τῇ γενέσει τὰ ὀφειλόμενα λειτουργήσομεν; ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, σοφισώ-
μεθα τὴν διάλυσιν, τὸ κοινὸν ἴδιον ποιησώμεθα, θανάτῳ ζωὴν ὠνησώμεθα. μή τις τῶν ἡμῶν
ἔστω φιλόψυχος, μηδὲ ἄτολμος. ἀγνοάτω δὲ τῶν ἄλλων ὁ τύραννος, ἡμῖν ὁ τυχών. τοῖς
μὲν κινδύνοις τὴν τάξιν αὐτὸς ἐπιθήσει, ἡμεῖς δὲ ἐπιθήσωμεν τέλος τοῖς διωκομένοις. μη-
δὲ ἐν τούτῳ ἐξαφρώμεθα, τῇ ζέσει τῆς προθυμίας. καὶ ὁ πρῶτος ἔσται τοῖς ἄλλοις ὁδὸς,
καὶ ὁ τελευταῖος σφραγὶς ἀθλήσεως. ἡμῖν δὲ τοῦτο ἐμπεπήχθω πᾶσιν ὁμοίως, πανοικεσίᾳ
στεφανωθῆναι, καὶ μή τινα λαβεῖν μερίδα ἐξ ἡμῶν τὸν διώκτην, ἵν' ὡς πᾶσιν ἐγκαυχήσηται τῷ
ἑνὶ, φλεγμαίνων τῇ πονηρίᾳ. φανῶμεν ἀλλήλων ἀδελφοὶ, καὶ τῇ γενέσει, καὶ τῇ μεταστά-
σει, καὶ πάντες ὡς εἷς κινδυνεύσωμεν, καὶ αὐτὸ πάντων ἕκαστος. Ἐλεάζαρ ὑπόδεξαι, μῆτερ
ἐπακολούθησον, ἱέρευσαι λείψανον τῶν ἑαυτῆς νεκρῶν μεγαλοπρεπῶς, ἄν τι τοῖς τάφοις
ὑπολειφθῇ. δείκνυε τὰ ἡμέτερα, καὶ τοῖς ὕστερον δεικνύναι καὶ τοῖς θεαταῖς, τὸ τῆς μιᾶς γαστρὸς
εὐσεβὲς πολυανδρεῖον. οἱ μὲν δὴ ταῦτα καὶ εἰπόντες καὶ πράξαντες, καὶ ὡς συνόντες ἀλλή-
λων ἔχξαντες ἐν τάξει τῆς ἡλικίας, δὲ ἰσότητι τῆς προθυμίας διεκαρτέρουν. ἱερεῖ καὶ θαῦ-
μα τοῖς ὁμοφύλοις, φόβος δὲ καὶ κατάπληξις τοῖς διώκουσιν. ἡ δὲ πάντως τοῦ ἔθνους στρατεύ-
σαντος, ἀδελφῶν ἑπτὰ συμψυχίας ὑπὲρ εὐσεβείας ἀγωνιζομένων τοσοῦτον ἐπήνθησεν, ὥστε
μηδὲ πολλὴν τὴν ἄγαν ἔχειν ἔτι χρηστὰς τὰς ἐλπίδας. ἡ δὲ γενναία μήτηρ δὲ ὄντως ἐκείνων, τῶν
τοσούτων καὶ τοιούτων τὴν ἀρετὴν, τὸ μέγα τοῦ νόμου θρέμμα καὶ μεγαλόψυχον, πῶς μὲν
χαρᾷ δὲ φόβῳ σύμμικτος ἦν, καὶ δύο πάθη ἐν μετεχομένη χαρᾷ. διὰ τὴν αἰδεσίαν καὶ τὰ ὁ-
ρώμενα. φόβῳ, διὰ τὸ μέλλον καὶ τὴν ὑπερβολὴν τῶν κολάσεων, καὶ ὡς νεοττοὺς ὄρνις ὄφεως προ-
σερπύζοντος, ἢ τινος ἄλλου τῶν ἐπιβούλων περιίπτατο, περιέψυχεν, ἦν πεβόλ, συνηγωνίζετο. τί
μὲν οὐ λέγουσα, τί δὲ οὐ πράττουσα τῶν πρὸς νίκην ἐπαλειφόντων. ἥρπαζε τὰς ῥανίδας τοῦ αἵ-
ματος, ὑπεδέχετο τὰ λακίσματα τῶν μελῶν, προσεκύνει τὰ λείψανα. τὸν μὲν συνέλε-
γε, τὸν δὲ παρεδίδου, τὸν δὲ παρεσκεύαζεν. ἐπεφώνει πᾶσιν. εὖ γε ὦ παῖδες, εὖ γε ἀριστεῖς ἐμοὶ,
εὖ γε ἀσώματοι σχεδὸν ἐν σώμασιν, εὖ γε προστάται τοῦ νόμου καὶ τῆς ἐμῆς πολιᾶς, καὶ τῆς θρε-
ψαμένης ἡμᾶς πόλεως, καὶ εἰς τόδε ἀρετῆς προαγούσης. ἔτι μικρὸν, καὶ νενικήκαμεν. κεκμή-
κασιν οἱ βασανισταὶ, τοῦτο φοβοῦμαι μόνον. ἔτι μικρὸν, καὶ μακαρία μὲν ἐν μητράσιν ἐγώ. μα-
κάριοι δὲ ὑμεῖς ἐν νέοις. ἀλλὰ ποθεῖτε τὴν μητέρα, οὐκ ἀπολείψομαι ὑμῶν. τοῦτο ὑμῖν ὑπι-
σχνοῦμαι. οὐχ οὕτως ἐγὼ μισότεκνος. ἐπεὶ δὲ τελειωθέντας εἶδεν καὶ τὸ ἀσφαλὲς εἶχεν ἐκ
τῆς συμπληρώσεως, διαράσα τὴν κεφαλὴν μάλα φαιδρῶς, ὥσπερ τις ὀλυμπιονίκης, ἐν ὑ-
ψηλῷ τῷ φρονήματι, καὶ τὰς χεῖρας ἐκτείνασα, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ, εὐχαρι-
στῶ σοί φησι πάτερ ἅγιε, καὶ σοὶ παιδευτὰ νόμε, δὲ σοὶ πάτερ ἡμῶν καὶ προαγωνιστὰ τῶν τέ-
κνων τῶν ἐμῶν Ἐλεάζαρ, ὅτι τὸν τῶν ἐμῶν ὠδίνων καρπὸν παρεδέξασθε, καὶ ὅτι μήτηρ ἐγενόμην πα-
σῶν μητέρων ἱερωτέρα. οὐδὲν ὑπολειπόμενον κόσμῳ, πάντα θεῷ παρεδέδωκα, τὸν ἐμὸν θησαυ-
ρὸν, τὰς ἐμὰς γηροκόμους ἐλπίδας. ὡς μεγαλοπρεπῶς τετίμημαι, ὡς ὑπερβαλλόντως γε-
γηροκόμημαι. ἀπέχω τὰ τροφεῖα ὦ παῖδες, εἶδον ὑπὲρ ἀρετῆς ἀγωνιζομένους ὑμᾶς, πάν-
τας στεφανίτας ἐθεασάμην, ὡς εὐεργέτας ὁρῶ τοὺς βασανιστὰς μικροῦ καὶ τοῦ τυράννου
χάριτας ὁμολογῶ τῆς τάξεως, ὅτι με τελευταίαν ἐταμιεύσατο τοῖς κινδύνοις, ἵνα τὸν ἐμὸν
τόκον πρότερον θεατρίσασα, καὶ καθ' ἕκαστον τῶν παίδων ἀθλήσασα, οὕτως ἐπανέλθω
σὺν ἀσφαλείᾳ τελέα, τελέοις θύμασιν. οὐ σπαράξομαι κόμην, οὐ διαρρήξω χιτῶνα, οὐ

ξαίνω σπάργανα ὄνυξιν, οὐκ ἐγὼ θρηνῶ θρήνων, οὐ καλέσω τὰς συνθρηνούσας, οὐ συγκλείσω ἐμαυτὴν σκότῳ, ἵνα καὶ ἀὴρ συνθρηνήσῃ μοι, οὐκ ἀναμένω παρακλήτορας, οὐκ ἄρτον πένθιμον παραθήσομαι. ταῦτα γὰρ τῶν ἀγεννῶν μητέρων, αἳ σαρκῶν μόνον εἰσὶ μητέρες. αἷς οἴχονται παῖδες, αἳ δὲ σημεῖον τοῦ πένθους διηγήματος. ἐμοὶ δὲ οὐ τεθνήκασι φίλτατοι παίδων, ἀλλ' ἐκαρποφορήθησαν. οὐκ ἐκλελοίπασι, ἀλλὰ μεταλελύθασι. οὐ κατεξάνθησαν, ἀλλὰ συνεπάγησαν. οὐ θηρίον ἥρπασεν ὑμᾶς, οὐ κῦμα ἀπέκλυσεν, οὐ λῃστὴς διέφθειρεν, οὐ νόσος διέλυσεν, οὐ πόλεμος παρανάλωσεν, οὐκ ἄλλο οὐδὲν, ἢ μικρὸν, ἢ μεῖζον τῶν ἀνθρωπίνων. ἐθρήνησα ἂν καὶ μάλα σφοδρῶς, εἰ τοιοῦτον ὑμῖν τι συνέπεσεν. ἐφάνην ἂν τότε τοῖς δάκρυσιν, ὡς νῦν ὑπὲρ τοῦ μὴ δακρῦσαι, φιλότεκνος. ἔτι καὶ ταῦτα μικρά. ὄντως ἂν ὑμᾶς ἀπεκλαυσάμην, εἰ κακῶς ἐσώθητε, εἰ τῶν βασιλέων ἡττήθητε, εἴ πως ὑμῶν ἐκράτησεν, ὡς ἡττήθησαν νῦν οἱ διώκοντες. τὰ δὲ νῦν, εὐφημία, χαρὰ, δόξα, χοροστασίαι, φαιδρότητες τοῖς ὑπολειφθεῖσιν. ἐγὼ δ' ὑμῖν ἐπισπένδομαι, μεθ' φωνὰς ταχθησόμεθα, μετ' αὐτῆς δοξασθησόμεθα. πλὴν ὅσον ὁ μὲν εἷς, ἡμεῖς δὲ τοσοῦτοι ζηλωταὶ πορνοκτόνοι, οὐ σωμάτων πορνείας, ἀλλὰ ψυχῶν ἐκκοπτίζοντες. καὶ ὁ μὲν οἷα θεοδότητον, ἀρτιγεῖ ἢ καὶ ὅσον, ἐγὼ δ' αὐθαίρετος ἐπῆλθε, καὶ τέκνα ἑκόντας θεῷ καθιδρύωσα. συμπληρούτω μοι ὁ ἱερεμίας τὸ ἐπιτάφιον, οὐ θρηνῶν, ἀλλ' εὐφημῶν πλέον τὴν ὁσίαν. ὑπὲρ χιόνα ἐλάμψατε, ὑπὲρ γάλα ἐπυρώθητε, ὑπὲρ λίθον σάπφειρον τὸ σύνταγμα ὑμῶν, θεῷ καὶ γεγεννημένων καὶ δεδομένων. τί ἔτι; πρόσθετε ὦ τύραννε κἀμὲ τοῖς παισὶν, εἴ τις καὶ παρ' ἐχθρῶν χάρις, ἵν' ᾖ σοι σεμνότερον τὸ ἀγώνισμα. εἴθε μὲν καὶ διὰ πασῶν ἦλθον τῶν κολάσεων, ἵνα ἀναμίξω τὸν ἐμαυτῆς ἰχῶρας τοῖς ἐκείνων ἰχῶρσι, καὶ ταῖς σαρξὶ τὰς γηραιὰς σάρκας. ἀγαπῶ δὲ τοὺς παῖδας καὶ τὰ κολαστήρια. εἰ δὲ μὴ τάφον, ἀλλὰ τήν γε κόνιν, τῇ κόνει. καὶ τάφος εἷς ἡμᾶς ὑποδέξηται, μὴ φθονήσῃς τελευτῆς ὁμοτίμου, τοῖς ὁμοτίμοις τὴν ἀρετήν. χαίρετε ὦ μητέρες, χαίρετε ὦ παῖδες. οὕτως ἐκτρέφετε τὰ ἐξ ὑμῶν προελθόντα, οὕτως ἐκτρέφεσθε. καλὸν ὑπόδειγμα δεδώκαμεν ὑμῖν, πρὸς τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίζεσθαι. ταῦτα εἶπε, καὶ προστίθησι τοῖς παισὶν ἑαυτήν. τίνα τρόπον; ὡς ἐπὶ νυμφῶνα τὴν πυρκαϊὰν δραμοῦσα. ταύτην γὰρ κατεκρίθη, καὶ οὐδὲ τὸν ἄγοντα ἀναμείνασα, ἵνα μηδὲ σῶμα ψαύσειεν ἄναγνον, ἁγνοῦ καὶ γενναίου σώματος. οὕτως ἀπήλαυσε τῆς ἱερωσύνης Ἐλεάζαρ, μυηθεὶς ἃ μυήσας τὰ ἐπουράνια. καὶ οὐ τοῖς ἔξωθεν ῥαντισμοῖς τὸν ἰσραὴλ ἁγιάσας, ἀλλ' οἰκείοις αἵμασι. καὶ ποιήσας τὴν τελευτὴν τελευταῖον μυστήριον. οὕτω τῆς νεότητος οἱ παῖδες, οὐ ταῖς ἡδοναῖς δουλεύσαντες, ἀλλὰ τῶν παθῶν κυριεύσαντες, καὶ τὸ σῶμα καθαγνίσαντες, καὶ πρὸς ἀπαθῆ ζωὴν μεθιστάμενοι, οὕτως ἀπήλαυσε τῆς πολυτεκνίας ἡ μήτηρ, οὕτω καὶ ζῶσιν ἐκαλλωπίσατο, καὶ ἀπελθοῦσι συναπεπαύσατο, οὓς ἐγέννησε κόσμῳ, θεῷ παραστήσασα, καὶ τοῖς ἑαυτῆς ὠδῖνας, τοῖς ἄθλοις ἀπαριθμήσασα, καὶ τὸν τόκον τὴν ἀκολουθίαν, τοῖς θανάτοις γνωρίσασα. ἀπὸ γὰρ τοῦ πρώτου τῶν παίδων μέχρι τοῦ τελευταίου τὰ τῆς ἀθλήσεως. καὶ ὥσπερ ἐν κυμάτων ἐπαναστάσει, ἄλλος ἐπ' ἄλλῳ τὴν ἀρετὴν ἐπεδείκνυτο, καὶ τὸ πάσχειν ἦν προθυμότερος, τοῖς τοῦ προειληφότος κινδύνοις στομούμενος. ὥστε ἀγανακτεῖν τὸν τύραννον, ὅτι μὴ πλειόνων ἐγεγόνει μήτηρ. μᾶλλον δὲ αὐτὸς ἀπῆλθε καταισχυμμένος καὶ ἡττημένος. καὶ τότε πρῶτον ἔγνω, μὴ πάντα τοῖς ὅπλοις ἰσχύειν, ὁπότε παισὶν ἀόπλοις προσέβαλεν, καὶ μόνῃ τῇ εὐσεβείᾳ καθωπλισμένοις, καὶ ὑπὲρ πάντα πάσχειν προθυμοτέροις, ἢ σφαγὴν ἐκείνοις προσκευάζετο. τοῦτο τῆς ἰεφθάε θυσίας ἀσφαλέστερον, καὶ μεγαλοπρεπέστερον. οὐ γὰρ ἀναγκαίαν ἐποιήσατο τὴν ἐπίδοσιν, ὥσπερ ἐκεῖ ἐπαγγελίας θυμότης, καὶ νίκης ἔρως ἀπεγνωσμένης. ἀλλ' ἑκούσιος ἱερουργία, καὶ μισθὸν ἔχουσα μόνα τὰ ἐλπιζόμενα. τοῦτο τῶν Δανιὴλ ἄθλων οὐκ ἀτιμότερον, παραδοθέντος εἰς βορὰν λέουσι, καὶ τῇ τῶν χειρῶν ἐκτάσει τῶν θηρῶν νικήσαντος. τοῦτο τῶν ἐν ἀσσυρίᾳ νεανίσκων οὐ δεύτερον, οὓς ἄγγελος ἀνέψυξεν ἐν πυρὶ, τὸν πατρῷον νόμον μὴ καταλύσαντας, μηδὲ βοσκὴν προσιεμένους βέβηλον καὶ ἀλλότριον. τοῦτο τῶν ὕστερον ὑπὲρ Χριστοῦ θανάτων εἰς φιλοτιμίαν οὐκ ἔλαττον. οἱ μὲν γὰρ, ὃ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, τῷ Χριστοῦ κατηκολούθησαν αἵματι. καὶ θεὸς ἦν ὁδηγὸς τοῦ τοιούτων ἄθλων, τοσαύτην ὑπὲρ ἡμῶν εἰσενεγκὼν εἰσφοράν, καὶ οὕτω παράδοξον. τοῖς δὲ, οὐ πολλὰ οὐδὲ τοιαῦτα τὰ τῆς ἀρετῆς ὑποδείγματα. τούτων τὴν καρτερίαν ἐθαύμασε μὲν ἡ ἰουδαία πᾶσα, καὶ ὡς αὐτὴ στεφανωθεῖσα ἠγάλλετο, καὶ διηγωνίσατο. καὶ γὰρ ἦν ἀγὼν οὗτος, καὶ ἀγώνων μέγιστος τῶν πώποτε ἐπισχόντων τὴν πόλιν. ἢ καταλυθῆναι τὸν νόμον κατὰ τὴν ἡμέραν ἐκείνην, ἢ δοξασθῆναι. καὶ ὡς ἐπὶ ξυροῦ τὰ πράγματα εἱστήκει τότε παντὶ τῷ τῶν ἑβραίων γένει, τὰ τῆς ἐκείνων ἀθλήσεως. ἠγάσθη δὲ καὶ αὐτὸς ἀντίοχος, οὕτω μεταβαλὼν εἰς θαῦμα τὴν ἀπειλήν. ἴσασι γὰρ θαυμάζειν αἰδεῖσθαι ἀρετὴν καὶ πολέμιοι, ὅτ' ἂν τοῦ θυμοῦ λήξωσι, ἡ πρᾶξις ἐφ' ἑαυτῆς δοκιμάζηται. ὥστε καὶ ἀπῆλθεν ἄπρακτος, πολλὰ μὲν τὸν πατέρα σέλευκον ἐπαινέσας τῆς εἰς τὸ ἔθνος τιμῆς, καὶ τῆς εἰς τὸ ἱερὸν μεγαλοψυχίας. πολλὰ δὲ σίμωνα τὸν ἐπαγαγόντα μεμψάμενος, ὡς καὶ τῆς ἀπανθρωπίας αἴτιον, καὶ τῆς ἀδοξίας. τούτους μιμησώμεθα καὶ ἱερεῖς,

καὶ μητέ-

καὶ μητέρων καὶ παίδων, οἱ μὲν εἰς τὴν ἐλευθεροφυΐαν τοῦ πνευματικοῦ πατρὸς, καὶ λόγῳ καὶ ἔργῳ τὸ βέλτιστον παραδείξαντος. αἱ δὲ, τῆς γενναίας μητρὸς, ἀληθῶς φιλότεκνοι φανεῖσαι, καὶ Χριστῷ τὸν ἐξ αὐτῆς παραστήσασαι, ἵνα καὶ γάμος ἁγιασθῇ διὰ τῆς τοιαύτης θυσίας. οἱ δὲ τὸν ἱερὸν αἰδούμενοι παῖδας, καὶ τὴν νεότητα δαπανῶντες, οὐκ ἐν τοῖς αἰσχροῖς πάθεσιν, ἀλλ' ἐν τοῖς κατὰ τῶν παθῶν ἀγωνίσμασι, καὶ πρὸς τὴν καθ' ἡμέραν αὐτουργίαν γενναίως αἰθεζόμενοι, πᾶσι μέλεσι πολεμούμενοι, καὶ διαφόρως διώκοντες. πόθεν γὰρ ἀθληταῖς ἔχειν κατὰ πάντα καιρὸν καὶ τρόπον, καὶ γένος ἅπαν, καὶ ἡλικίαν ἅπασαν, καὶ φανερῶς πολεμουμένην, καὶ ἀφανῶς ἐπιβουλευομένην. καὶ βοηθεῖτε μὲν τοῖς παλαιοῖς διηγήμασι, βοηθεῖτε δὲ καὶ τοῖς νέοις. καὶ πανταχόθεν ὥσπερ αἱ μέλισσαι, συλλέγειν τὰ χρησιμώτατα, εἰς ἓν κηρίον φιλοτεχνίαν καὶ γλυκασμόν. ἵνα καὶ διὰ παλαιᾶς καὶ νέας εὐδοκιμῇ θεὸς ἐν ἡμῖν, ὁ ἐν υἱῷ καὶ πνεύματι δοξαζόμενος, καὶ γινώσκων τοὺς ἰδίους, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, ὁμολογούμενός τε καὶ ὁμολογῶν, δοξαζόμενος καὶ δοξάζων ἐν αὐτῷ τῷ Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΔΙΑΛΕΞΕΣΙΝ ΕΥΤΑΞΙΑΣ, ΚΑΙ ὅτι οὐ παντὸς ἀνθρώπου, οὔτε παντὸς καιροῦ τὸ περὶ θεοῦ διαλέγεσθαι.

Ἐπειδὴ συνεληλύθατε προθύμως, καὶ πολυάνθρωπος ἡ πανήγυρις, καὶ διὰ τοῦτο μάλιστα καιρὸς ἐργασίας, φέρε τι δῶμεν ὑμῖν ἐμπόρευμα, εἰ καὶ μὴ τῆς προθυμίας ἄξιον τῆς κτήσεως, ἀλλά γε τῆς δυνάμεως τῆς ἡμετέρας μὴ ἐνδεέστερον. ἡ μὲν γὰρ, ἀπαιτεῖ τὰ μείζω· ἡ δὲ εἰσφέρει τὰ μέτρια, καὶ κρεῖσσον οὐ κατὰ δύναμιν εἰσενεγκεῖν, ἢ τὸ πᾶν ἐλλείπειν. οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ' ὁ μὴ βουληθεὶς ὑπαίτιος, καὶ ἐν τοῖς θείοις ὁμοίως, καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν. εἰμὶ μὲν ποιμὴν ὀλίγος καὶ ποίμνης, καὶ οὔπω τοῖς ἄλλοις ἀρέσκων ποιμέσιν. οὐ γὰρ εἰπεῖν μέτριον, εἴτε δι' εὐδοκίαν καὶ τὸν ὀρθὸν λόγον, εἴτε διὰ μικροψυχίαν καὶ ὕβριν, οὐκ οἶδα τοῦτο. ὁ θεὸς οἶδε, φησὶν ὁ θεῖος ἀπόστολος, καὶ δηλώσει σαφῶς ἡ τῆς ἀποκαλύψεως ἡμέρα, καὶ τὸ τελευταῖον πῦρ, ᾧ πάντα κρίνεται ἢ καθαίρεται τὰ ἡμέτερα. πειράσομαι δ' ὅμως εἰς δύναμιν μὴ κατακρύπτειν τὸ χάρισμα, μηδ' ὑπὸ τὸν μόδιον τιθέναι τὸν λύχνον, μηδὲ καταχωννύειν τὸ τάλαντον, ὃ πολλάκις ἤκουσα παρ' ὑμῶν τὴν ἀργίαν ὀνειδιζόντων, καὶ δυσχεραινόντων τὴν σιωπήν, ἀλλὰ λόγοις ἀληθείας ἐκπαιδεύειν ὑμᾶς καὶ συναρμόζειν τῷ πνεύματι. πόθεν οὖν ἄρξομαι καταρτίζειν ὑμᾶς ἀδελφοί, καὶ τίσι λόγοις τιμήσω τοὺς ἀθλητὰς ὧν ἡ παροῦσα πανήγυρις. τί πρῶτον εἴπω, ἢ τί μέγιστον, τί μάλιστα συμφέρον ταῖς ὑμετέραις ψυχαῖς, ἢ τί τῷ παρόντι καιρῷ χρησιμώτατον; γνοίημεν δ' ἂν οὕτω. τί τῶν ἡμετέρων λόγων τὸ κάλλιστον; ἡ εἰρήνη. προσθήσω δ' ὅτι καὶ τὸ λυσιτελέστατον. τί δαὶ τὸ αἴσχιστον καὶ βλαβερώτατον; ἡ διχόνοια. ἐπεὶ δὲ τοῦτο ἠρώτησα καὶ ἀπεκρινάμην, προσθήσομαι καὶ τὸ δεύτερον. τί τὸ μάλιστα λῦσαν ἐκείνην, καὶ τί τὸ ταύτην εἰσαγαγόν; ἵν' ὥσπερ οἱ τοῖς νοσήμασι τὰ αἴτια ἀποκόψαντες, καὶ τὰς πηγὰς τῶν παθῶν ἐμφράξαντες ἢ ἀποξηράναντες, οὕτω καὶ τὰ ἐκεῖθεν ῥεύματα καὶ ἀποτελέσματα συνεκκόψωμεν. οὐδὲ γὰρ οἷόν τι γνῶναί τι περὶ τῆς τελευτῆς καλῶς, μὴ περὶ τῆς ἀρχῆς ὀρθῶς σκεψαμένους. βούλεσθε οὖν ὑμεῖς τὴν αἰτίαν εἰπεῖν καὶ γνῶναι, ἢ ἐμοὶ τῷ θεραπευτῇ παραχωρεῖτε, καὶ δηλῶσαι ταύτην καὶ διορθώσασθαι. καὶ γὰρ εἰπεῖν βουλομένων ἕτοιμος, καὶ ἀκούειν λεγόντων ἑτοιμότερος. παραχωρεῖτε μὲν εὖ οἶδ' ὅτι· καὶ γὰρ οὐ φαύλους ἰατροὺς ἡμᾶς τῶν τοιούτων ἴσως ὑπολαμβάνετε, οὐδ' ἀμαθεῖς θεραπείας ψυχῶν. εἴτε οὖν φαύλως, εἴτε ὀρθῶς, τοῦτο ὑπολαμβάνοντες, μὴ θαυμάσητε δὲ, εἰ παράδοξον ἐρῶ λόγον. καὶ γάρ ἐστι παράδοξος μὲν, ἀληθὴς δὲ ὥς ἐγώ γε φημὶ, καὶ ὑμεῖς συμφήσετε, ἂν διὰ πλειόνων μαθεῖν ἀναμείνητε. ἀλλὰ μὴ δ' ἐγκαλεῖτε πάντῃ, καὶ προεξαναστῆτε τοῦ λόγου διὰ θερμότητα. φύσεις θερμαὶ καὶ μεγάλαι τῆς ταραχῆς ταύτης αἴτιον, οὔτι γε ἁπλῶς διάπυροι καὶ μεγάλαι. μήπω γὰρ καταγνώσκωμεν τῆς θερμότητος, ἧς δίχα μέγα τι κατορθωθῆναι πρὸς εὐσέβειαν ἢ ἀρετὴν ἄλλην ἀμήχανον, ἀλλὰ γενναῖαι σὺν ἀλογίᾳ καὶ ἀμαθίᾳ, καὶ τῷ ταύτης ἐκγόνῳ κακῷ θράσει. θράσος δὲ ἀμαθίας ἔκγονον. αἱ μὲν γὰρ ἀσθενεῖς, καὶ πρὸς ἀρετὴν καὶ πρὸς κακίαν ὁμοίως νωθεῖς καὶ δυσκίνητοι, οὐδ' ἑτέρωσε μέγα νεύουσαι, οἷα τὰ τῶν ναρκώντων κινήματα. αἱ γενναῖαι δὲ, λόγου μὲν αὐτὰς παιδαγωγοῦντος καὶ διευθύνοντος, μέγα τι χρῆμα πρὸς ἀρετήν· ἐπιλειπούσης δὲ ἐπιστήμης καὶ λόγου, τὸ ἴσον εἰς κακίαν εὑρίσκονται. ἐπεὶ καὶ ἵππον θυμοειδῆ μὲν εἶναι χρὴ καὶ γενναῖον, τὸν ἐσόμενον νικηφόρον, εἴτε πολεμιστήριον, εἴτε ἁμιλλητήριον· εἰ δ' αὖ ὁ αὐτὸς, οὐδὲν ἀγαθοῦ, μὴ χαλινῷ παιδευθεὶς, καὶ γυμνασίᾳ φιλοπονωτέρᾳ μαθὼν ἡμερότητα. καὶ τοῦτό ἐστιν ὡς ἐπιτοπλεῖστον, ὃ διέσπασε μέλη, διέστησεν ἀδελφούς, πόλεις ἐτάραξε, δήμους ἐξέμηνεν, ὥπλισεν ἔθνη, βασιλεῖς ἐπανέστησεν, ἱερεῖς

λαῷ καὶ ἀλλήλοις, λαὸν ἑαυτῷ καὶ ἱερεῦσι, γονεῖς τέκνοις, τέκνα γονεῦσιν, ἄνδρας γυναιξί, γυναῖκας ἀνδράσι. πάντα τὰ τῆς εὐνοίας ὀνόματα, δούλους καὶ δεσπότας ἀλλήλοις, διδασκάλους καὶ μαθητάς, πρεσβύτας καὶ νέους, καὶ ὃν τῆς αἰδοῦς ἀτιμάζει νόμον τοῦ μεγίστου πρὸς ἀρετὴν βοηθήματος, ὃ τῆς αὐθαδείας εἰσήνεγκε. καὶ γεγόναμεν οὐ φυλὴ καὶ φυλὴ καθ' ἑαυτήν, ὃ πάλαι ὁ Ἰσραὴλ ὠνειδίζετο, οὐδὲ Ἰσραὴλ καὶ Ἰούδας, τὰ δύο τοῦ ἑνὸς ἔθνους καὶ μικροῦ τούτου τμήματα, κατ' οἴκους δὲ καὶ συζυγίας τὰς ἀναγκαίας, καὶ δὴ πρὸς ἑαυτὸν ἕκαστος ἐμερίσθημεν, ἡ οἰκουμένη πᾶσα, καὶ γένος ἅπαν ἀνθρώπων, ὅσον ὁ θεῖος λόγος ἐπέσπασε. καὶ γέγονεν ἀναρχία ἡ πολυαρχία, καὶ διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. καὶ ἐχρῆν, ἐπειδὴ τῶν ἐκτὸς ἐχθρῶν ἐκρατήσαμεν, ὑπ' ἀλλήλων ἡμᾶς καταλυθῆναι, καὶ καθάπερ τῶν μαινομένων τῶν ἰδίων σαρκῶν ἁπτομένων, μηδ' αἰσθάνεσθαι, ἀλλὰ χαίρειν τῷ κακῷ πλέον, ἢ ἀλγυνόντων ἕτεροι, καὶ κέρδος ποιεῖσθαι τὴν συμφοράν, καὶ ὥσπερ λατρείαν εἰσφέρειν θεῷ τὴν κατάλυσιν, καὶ διαιρεθῆναι, καὶ ἐμπρησθῆναι· οὐ τὴν ἐπαινετὴν διαίρεσιν, ἀλλὰ τὴν ψεκτήν· οὐδὲ τὸν καθάρσιον ἐμπρησμόν, ἀλλὰ τὸν ὀλέθριον. οὐ γὰρ ὁ τομὸς διαιρεῖ λόγος ἢ Χριστοῦ μάχαιρα τοὺς πιστεύοντας ἀπὸ τῶν ἀπίστων· οὐδὲ πῦρ βάλλεται καὶ ἀνάπτεται, ἢ δαπανῶσα τὴν ὕλην, καὶ ἐσθίουσα πίστις, καὶ ζέσις τοῦ πνεύματος· ἀλλ' ὑπεναντίως ἢ πρότερον δαπανώμεθα καὶ τεμνόμεθα. τοῦτό ἐστιν ὃ πολλὰ εἶναι μέρη τὴν μίαν ἐκκλησίαν πεποίηκε, καὶ διέστησεν οὐκ εἰς ἕνα Παῦλον, ἢ Κηφᾶν, ἢ Ἀπολλώ, ἢ τὸν δεῖνα φυτευτήν, ἢ τὸν δεῖνα ποτιστήν· πολλοὺς δ' ἀνέδειξε Παύλους καὶ Ἀπολλὼς καὶ Κηφᾶς, ἀφ' ὧν ἀντὶ Χριστοῦ καλούμεθα, τὸ μέγα καὶ κοινὸν ὄνομα, καὶ ὧν εἶναι λεγόμεθα, καὶ εἴθε τοσοῦτοι ἐχρῆν εἰπεῖν· ἀλλὰ καὶ πολλούς, ὃ φρίττω λέγων, Χριστοὺς αὖ θεούς, τὸν γεννώμενον, τὸν κτιζόμενον, καὶ τὸν ἀπὸ Μαρίας ἀρχόμενον, καὶ τὸν ἀναλύοντα ὅθεν εἰς τὸ εἶναι προῆλθε καὶ τὸν ἄνουν ἄνθρωπον, καὶ τὸν ὄντα, καὶ τὸν φαινόμενον· ὡς δὲ καὶ πολλὰ πνεύματα, τὸ ἄκτιστον καὶ τὸ ὁμότιμον, καὶ τὸ κτίσμα, καὶ τὸ ἐνέργημα, καὶ τὸ ψιλὸν ὄνομα. δέον ἕνα θεὸν πνεῦμα γινώσκειν, ἄναρχον καὶ ἀγέννητον, καὶ υἱὸν ἕνα γεγεννημένον ἐκ τοῦ πατρός, καὶ πνεῦμα ἓν ἐκ θεοῦ τὴν ὕπαρξιν ἔχον, παραχωροῦν τῷ πατρὶ μέν, ἀγεννησίας, υἱῷ δὲ, γεννήσεως. τὰ δ' ἄλλα σύμφυες καὶ σύνθρονον, καὶ ὁμόδοξον καὶ ὁμότιμον. ταῦτα εἰδέναι, ταῦτα ὁμολογεῖν, μέχρι τούτων ἵστασθαι, τὴν δὲ πολλὴν φλυαρίαν, καὶ τὰς βεβήλους κενοφωνίας τῶν λόγων, τοῖς σχολὴν ἄγουσιν ἀποτίθεσθαι. τί τὸ ταῦτα πάντα κεκινηκός; θερμότης χωρὶς λόγου καὶ ζῆλος ἡμᾶς ἄτακτος, καὶ πίστεως πλέον ἀκυβέρνητος. τοῦτο οὖν εἰδότες ἀδελφοί, μήτε νωθεῖς ὦμεν πρὸς τὸ καλόν, ἀλλὰ τῷ πνεύματι ζέωμεν· μήτε ὑπνώττωμεν κατ' ὀλίγον εἰς θάνατον, ἢ καθεύδουσιν ἡμῖν ἐπισπείρῃ τὰ πονηρὰ σπέρματα ὁ ἐχθρός. νωθεία γὰρ ὕπνου σύζυγος. μήτε διάπυροι σὺν ἀλογίᾳ καὶ φιλαυτίᾳ, ἵνα μὴ ἐκφερώμεθα, μηδὲ τῆς ὁδοῦ τῆς βασιλικῆς ἔξω πίπτωμεν. οὔ γέ τι πταίοντες πάντως, ἢ κέντρων δεόμενοι διὰ τὴν νωθείαν, ἢ κημιζόμενοι διὰ τὴν θερμότητα. ἀμφοτέρων δέ, ὅσον χρήσιμόν ἐστι λαβόντες· τοῦ μὲν τὸ πρᾶον, τοῦ δὲ τὸν ζῆλον. ἀμφοτέρων ὅσον ἐστὶ βλαβερὸν διαφύγωμεν, τοῦ μὲν τὸν ὄκνον, τοῦ δὲ τὸ θράσος, ἵνα μήτε τῷ ἐλλείποντι ὦμεν ἄκαρποι, μήτε τῷ πλεονάζοντι κινδυνεύωμεν. ὁμοίως γὰρ ἄχρηστα, καὶ νωθρότης ἄπρακτος, καὶ θερμότης ἀπαίδευτος. ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον. ὅπερ καὶ ὁ θεῖος Σολομὼν καλῶς ἐνιστάμενος, μὴ ἐκκλίνῃς, φησίν, εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά, μὴ δὴ τῆς ἐναντίας εἰς κακὸν ἴσον ἐμπέσῃς, τὴν ἁμαρτίαν. καίτοι γε τὸ φύσει δεξιὸν ἐπαινέσας, ὁδοὺς γάρ φησι τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός. διεστραμμέναι δέ εἰσιν, αἱ ἐξ ἀριστερῶν. πῶς οὖν ἐπαινεῖ τὸ δεξιόν, καὶ ἀπάγει τοῦ δεξιοῦ πάλιν; τούτου δηλαδὴ τοῦ φαινομένου δεξιοῦ καὶ οὐκ ὄντος. πρὸς ὃ βλέπων ἑτέρωθι, μὴ γίνου δίκαιος πολύ, φησί, μηδὲ σοφίζου περισσά· τὸ γὰρ αὐτὸ καὶ περὶ δικαιοσύνην, καὶ περὶ σοφίαν πάθος. θερμότης περὶ πρᾶξιν καὶ λόγους, ἔξω τοῦ καλοῦ, καὶ τῆς ἀρετῆς δι' ὑπερβολὴν πίπτουσα, ἣ καὶ τὸ ἐνδέον, καὶ τὸ ὑπερβάλλον ὁμοίως λυμαίνεται, ὥσπερ καὶ τῷ κανόνι πρόσθεσις ἢ ὑφαίρεσις. μηδεὶς οὖν ἔστω πλέον ἢ καλῶς ἔχει σοφός, μηδὲ τοῦ νόμου νομιμώτερος, μηδὲ λαμπρότερος τοῦ φωτός, μηδὲ τοῦ κανόνος εὐθύτερος, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος. ἔσται δὲ τοῦτο πῶς; ἐὰν εἰδῶμεν κόσμον, καὶ ἐπαινῶμεν φύσεως νόμον, καὶ ἑπώμεθα λόγῳ, καὶ μὴ ἀτιμάζωμεν εὐταξίαν. ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, καὶ ἐννοήσατε πῶς συνέστη τὸ πᾶν, καὶ ὅθεν, καὶ τί πρὸ τοῦ διακοσμεῖσθαι ἦν, καὶ τί νῦν ὄνομα τῷ παντί. τάξει τὰ πάντα διεκοσμήθη, καὶ ὁ διακοσμήσας λόγος, καίτοι γε ὡς ἓν τὰ πάντα καὶ ἀθρόως ὑποστῆναι δυνατὸς ἦν. ὁ γὰρ τοῖς οὐκ οὖσι τὸ εἶναι δούς, καὶ τοῖς γενομένοις τὰς ἰδέας καὶ τὰ χρώματα, οὐδ' ὁμοῦ τὸ πᾶν ἀναδεῖξαι καὶ διακοσμῆσαι ἀσθενὴς ἦν. ἀλλὰ διὰ τοῦτο πρῶτόν τι καὶ δεύτερον ἀριθμεῖται, καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἵνα τάξις εὐθὺς συνεισέλθῃ τοῖς κτίσμασι.

τάξις

τάξις τὸ πᾶν συνεστήσατο, τάξις συνέχει καὶ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια, τάξις ἐν νοητοῖς, τάξις ἐν αἰσθητοῖς, τάξις ἐν ἀγγέλοις, τάξις ἐν ἄστροις καὶ κινήσει καὶ μεγέθει καὶ σχέσει τῇ πρὸς ἄλληλα καὶ λαμπρότητι· ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων, ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ· τάξις ἐν ὥραις καὶ καιροῖς, ἐν κόσμῳ προϊοῦσί τε καὶ ὑπαπιοῦσι, καὶ διὰ τῆς μεσότητος τὸ αὐστηρὸν τιθασευούσῃ. τάξις ἐν ἡμέρας καὶ νυκτὸς μέτροις καὶ διαστήμασι. τάξις ἐν στοιχείοις, ἐξ ὧν τὰ σώματα. τάξις περιήγαγεν οὐρανόν, ἥπλωσεν ἀέρα, γῆν ὑπέθηκεν, ἢ καὶ ὑπερέθηκε. φύσιν ὑγρὰν ἔχεε, καὶ συνήγαγεν. ἀνέμους ἀφῆκε, καὶ οὐκ ἐπαφῆκεν· ὕδωρ ἔδησεν ἐν νεφέλαις, καὶ ὃ κατέχει. ἀλλ᾽ ἐπιχεῖ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, εὐτάκτως καὶ ὁμοτίμως. καὶ ταῦτα οὐκ ἐπ᾽ ὀλίγον, οὐδ᾽ εἰς ἕνα καιρὸν ἢ χρόνον, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς εἰς τέλος, τὴν αὐτὴν ὁδὸν εὐθυνόμενα καὶ περιπορευόμενα, πεπηγότα τε καὶ κινούμενα· τὰ μὲν τῷ λόγῳ, τὰ δὲ τῇ ῥύσει, ἕστηκεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. ὑπὲρ τῆς τάξεως καὶ εἴ τι γέγονεν ἢ γενήσεται, ὑπὲρ τοῦ ῥεύματος. καὶ τάξεως μὲν ἐπικρατούσης, κόσμος τὸ πᾶν, καὶ τὸ κάλλος ἀκίνητον. ἀταξία δὲ καὶ ἀκοσμία, ἐν μὲν ἀέρι τοὺς σκηπτούς, ἐν δὲ γῇ τοὺς σεισμούς, ἐν δὲ θαλάσσῃ τὰς ἐπικλύσεις, ἐν δὲ πόλεσι καὶ οἴκοις πολέμους, ἐν δὲ τοῖς σώμασι τὰς ἀρρωστίας, ἐν δὲ ταῖς ψυχαῖς τὰς ἁμαρτίας ἐκαινοτόμησε. ταῦτα πάντα οὐ τάξεως, οὐδὲ εἰρήνης, ἀλλὰ ταραχῆς καὶ ἀταξίας ὀνόματα. καὶ τὴν θρυλουμένην δὲ φθορὰν καὶ προσδοκωμένην, μὴ ἄλλο τι, ἀδελφοί, ἢ πλεονασμὸν ἀταξίας εἶναι νομίζωμεν. συνδεῖ μὲν γὰρ τάξις, λύει δὲ ἀταξία, ὅταν λῦσαι τὸ πᾶν ἢ μεταποιῆσαι παραστῇ τῷ συνδήσαντι. τάξις καὶ τοῖς ζώοις ἅπασι, γένεσιν καὶ τροφήν, καὶ τὰς κατ᾽ ἀλλήλων ἑκάστοις χώρας ἐνομοθέτησε, καὶ οὔτε δελφῖνα τις εἶδεν αὔλακα τέμνοντα, οὔτε βοῦν δι᾽ ὕδατος ὀλισθαίνοντα· ὥσπερ οὐδ᾽ ἥλιον ἐν νυκτὶ μειούμενον ἢ πληρούμενον, οὔτε σελήνην ἐν ἡμέρᾳ πυρσεύουσαν· ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. νὺξ καὶ ἄνθρωπος ὕπνῳ συστέλλεται, καὶ τὰ θηρία παρρησιάζεται, καὶ ζητεῖ τροφὴν ἕκαστον, τὴν διδομένην παρὰ τοῦ κτίσαντος. ἡμέρα, καὶ τὰ θηρία συνάγεται, καὶ ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν ἐπείγεται. καὶ ἀλλήλοις ὑποχωροῦμεν τάξει, νόμῳ καὶ λόγῳ φύσεως. προσθήσω τὸ μέγιστόν τε καὶ οἰκειότατον. τάξις ἐκ λογικοῦ τε καὶ ἀλόγου κράματος τὸν ἄνθρωπον, ζῶον λογικὸν συνεστήσατο, καὶ συνέδησε μυστικῶς τε καὶ ἀρρήτως τὸν χοῦν τῷ νοΐ, καὶ τὸν νοῦν τῷ πνεύματι· ἵνα θαυματουργήσῃ τι μεῖζον ἐν τῷ ἑαυτοῦ πλάσματι, τὸ αὐτὸ καὶ διεσώσατο καὶ διέλυσε. τὸ μὲν γὰρ ἐπεισήγαγε, τὸ δὲ ὑπεξήγαγεν. ὥσπερ ἐν ῥεύματι, καὶ τῷ θνητῷ τὴν ἀθανασίαν ἐπραγματεύσατο διὰ λύσεως. αὕτη καὶ τῶν ἀλόγων ἡμᾶς διέστησε, καὶ πόλεις ᾤκισε, καὶ νόμους ἔθετο, καὶ ἀρετὴν ἐτίμησε, καὶ κακίαν ἐκόλασε, καὶ τέχνας εὗρε, καὶ συζυγίαν ἡρμόσατο, καὶ τῷ περὶ τὰ γινόμενα φίλτρῳ τὸν βίον ἡμέρωσε. καὶ μεῖζόν τι τοῦ κάτω πόθου τοῦ σαρκικοῦ, τὸν πρὸς Θεὸν ἐνιδρύσατο. καὶ τί δεῖ καθ᾽ ἕκαστον λέγειν; τάξις μήτηρ τῶν ὄντων ἐστὶ καὶ ἀσφάλεια, καὶ τὸ τοῦ λόγου· μόνη καλῶς ἂν εἴποι τοῦ πάντα δημιουργήσαντος, εἰ λάβοι φωνήν. ὅτε τὸ πᾶν ὑπὸ τοῦ Θεοῦ καὶ ὑφίστατο, ἐγὼ ἤμην παρ᾽ αὐτῷ ἁρμόζουσα, ἡνίκα ἡτοίμαζε τὸν ἑαυτοῦ θρόνον ἐπ᾽ ἀνέμων, καὶ ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, ἡνίκα ἐθεμελίου τὴν γῆν, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τὰς ὑπ᾽ οὐρανόν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν δύναμιν ἐχαρίσατο. ἀλλ᾽ οὐ χρὴ ταῦτα πάντα διελθεῖν, καὶ πρὸς ὃ πάλαι ὁ λόγος ἠπείγετο· τάξις κἂν ταῖς ἐκκλησίαις, τὸ μὲν εἶναί τι ποίμνιον, τὸ δὲ ποιμένας διέταξε. καὶ τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι· καὶ τὸ μὲν οἷον εἶναι κεφαλήν, τὸ δὲ πόδας, τὸ δὲ χεῖρας, τὸ δὲ ὀφθαλμόν, τὸ δὲ ἄλλο τι τῶν μελῶν τοῦ σώματος, πρὸς τὴν τοῦ παντὸς εὐαρμοστίαν καὶ τὸ συμφέρον, ἢ προεχομένους, ἢ προέχοντα. καὶ ὥσπερ ἐν τοῖς σώμασιν, οὔτε ἀπέρρηκται ἀλλήλων τὰ μέλη, ἀλλ᾽ ἓν σῶμα τὸ πᾶν ἐστιν, ἐκ διαφόρων συγκείμενον· οὔτε ταυτὸ πάντα ἐνέργημα, εἰ καὶ ταυτὸν χρῄζειν ἀλλήλων εἰς ἀνάγκην εὐνοίας τε καὶ συνηθείας, καὶ ἰσοτιμίαν ἐν τοῖς ἀνίσοις. καὶ οὔτε ὀφθαλμὸς βαδίζει, ἀλλ᾽ ὁδηγεῖ· οὔτε πούς προβλέπει, ἀλλὰ μεταβαίνει καὶ μετατίθησιν· οὔτε γλῶσσα δέχεται φωνάς, ἀκοῆς γάρ· οὔτε ἀκοὴ φθέγγεται, γλώσσης γάρ. καὶ εἷς μέν, ὀσμῶν αἰσθητήριον· λάρυγξ δέ, σῖτα γεύεται, φησὶν ὁ Ἰώβ· χεὶρ δὲ τοῦ διδόναι καὶ τοῦ λαμβάνειν ὄργανον. νοῦς δὲ τοῖς πᾶσιν ἡγεμών, παρ᾽ οὗ τὸ αἰσθάνεσθαι καὶ εἰς ὃν ἡ αἴσθησις. οὕτω καὶ παρ᾽ ἡμῖν τῷ κοινῷ Χριστοῦ σώματι. οἱ γὰρ πάντες ἓν σῶμα ἐσμὲν ἐν Χριστῷ· οἱ δὲ καθ᾽ ἕνα, Χριστοῦ καὶ ἀλλήλων μέλη. τὸ μὲν γὰρ ἄρχει καὶ προκαθίζει, τὸ δὲ ἄγεται καὶ εὐθύνεται, καὶ οὔτε ταυτὸν ἀμφότερα ἐνεργεῖ, εἴπερ μὴ ταυτὸν ἄρχειν καὶ ἄρχεσθαι. καὶ γίνεται ἀμφότερα ἓν εἰς ἕνα Χριστόν, ὑπὸ τοῦ αὐτοῦ συναρμολογούμενα καὶ συνδεδεμένα πνεύματος. καὶ τοῖς ἀρχομένοις πάλιν, ὅσον τὸ μέσον, καὶ παιδεύσει καὶ ἀσκήσει καὶ ἡλικίᾳ διεστηκόσι, καὶ τοῖς ἄγουσι τὸ διάφορον, ὅσον καὶ πνεύματα προφητῶν προφή-

προφήταις ὑποτασσέσθω, Παύλου λέγοντος μὴ ἀμφίβαλλε. καὶ οὓς μὲν ἔθετο, φησὶν, ὁ θεὸς
ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκά-
λους· πρῶτον, διὰ τὴν ἀλήθειαν· δεύτερον, διὰ τὴν σκιάν· τρίτον, διὰ τὸ μέτριον τῆς ὠφελείας,
καὶ τῆς ἐλλάμψεως· καὶ τὸ μὲν πνεῦμα, ἕν· τὰ χαρίσματα δὲ, οὐκ ἴσα, ὅτι μηδὲ τὰ δοχεῖα τοῦ
πνεύματος. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας καὶ θεωρίας. ἄλλῳ δὲ λόγος
γνώσεως, ἢ ἀποκαλύψεως· ἄλλῳ, πίστις βεβαία καὶ ἀνενδοίαστος· ἄλλῳ δὲ, ἐνεργήματα δυνά-
μεων καὶ θαυμάτων ὑψηλοτέρων· ἄλλῳ δὲ, χαρίσματα ἰαμάτων, ἀντιλήψεις ἤγουν προστασίαι, κυ-
βερνήσεις, ἤγουν παιδαγωγίαι σαρκός, γένη γλωσσῶν, ἑρμηνεῖαι γλωσσῶν. τὰ μείζω χαρί-
σματα καὶ τὰ δεύτερα, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· ταύτην αἰδώμεθα τὴν τάξιν ἀδελφοί,
ταύτην φυλάττωμεν. ὁ μὲν ἔστω τις ἀκοὴ, ὁ δὲ γλῶττα, ὁ δὲ χεὶρ, ὁ δὲ ἄλλο τι. ὁ μὲν διδασκέτω, ὁ
δὲ μανθανέτω. ὁ δὲ ἐργαζέσθω τὸ ἀγαθὸν ταῖς ἰδίαις χερσὶν, εἰς μετάδοσιν τοῦ δεομένου καὶ
χρήζοντος. ὁ μὲν ἀρχέτω καὶ προβεβλήσθω· ὁ δὲ δικαιούσθω διὰ τῆς ὑπουργίας, καὶ ὁ διδά-
σκων ἐγκόσμως. προφῆται γὰρ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ ἀνὰ μέρος καὶ εἷς διερμηνευέ-
τω. ἄλλου δὲ ἀποκαλυφθέντος, ὁ πρῶτος ὑποχωρείτω, καὶ ὁ μανθάνων, ἐν εὐπειθείᾳ· καὶ ὁ χορη-
γῶν, ἐν ἱλαρότητι· καὶ ὁ ὑπουργῶν, ἐν προθυμίᾳ. μὴ πάντες ὦμεν γλῶσσα τὸ ἑτοιμότατον,
μὴ πάντες προφῆται, μὴ πάντες ἀπόστολοι, μὴ πάντες διερμηνεύωμεν. μέγα τὸ περὶ θεοῦ
λαλεῖν; ἀλλὰ μεῖζον τὸ ἑαυτὸν καθαίρειν θεῷ. ἐπειδὴ εἰς κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύ-
σεται, καὶ σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, καὶ τρυγήσατε καρπὸν ζωῆς, ἵνα φωτισθῶμεν
τῷ φωτὶ τῆς γνώσεως. καὶ Παῦλος διὰ μὲν τοῦ ἀγαπᾶν ἡμᾶς τὸν κύριον, ὑπὸ κυρίου γνωσθῆναι
βούλεται· διὰ δὲ τοῦ γινώσκεσθαι τὸ διδάσκεσθαι, καὶ ταύτην ὁδὸν βελτίονα οἶδεν εἰς γνῶσιν τῆς
φυσιούσης οἰήσεως. μέγα τὸ διδάσκειν, ἀλλὰ τὸ μανθάνειν ἀκίνδυνον. τί σεαυτὸν ποιεῖς ποιμέ-
να, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποὺς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν
στρατιώταις; τί τὰ μεγάλα, καὶ οὐκ ἀσφαλῆ κέρδη τῆς θαλάσσης ἐπιδιώκεις, ἐξὸν ἀκινδύνως
γεωργεῖν γῆν, εἰ καὶ κερδαίνοις ἐλάσσονα; καὶ εἰ μὲν ἀνὴρ εἶ κατὰ Χριστὸν, καὶ γεγύμνασταί σοι τὰ
αἰσθητήρια, καὶ λαμπρόν σοι τὸ φῶς τῆς γνώσεως, λάλει θεοῦ σοφίαν τὴν λαλουμένην ἐν τοῖς
τελείοις, καὶ τὴν ἀποκεκρυμμένην ἐν μυστηρίῳ, καὶ ταύτην ὅταν καιρὸν λάβῃς, καὶ πιστεύσῃς. τί
γὰρ ἔχεις παρὰ σαυτοῦ ὃ μὴ δέδοται, μηδὲ ἔλαβες; εἰ δὲ ἔστι νήπιος, εἰ καὶ χαμερπὴς τὴν διά-
νοιαν. καὶ τοῖς ὑψηλοτέροις προσβαίνειν οὐχ ἱκανὸς, γενοῦ Κορίνθιος, γάλακτι τράφηθι. τί
χρήζεις στερροτέρας τροφῆς, ἣν οὐκ ἀναλίσκει τὰ μέλη, καὶ ποιεῖ τροφὴν δι' ἀσθένειαν. φθέγ-
γου μὲν, εἴ τι κρεῖττον σιωπῆς ἔχεις. καὶ γὰρ τὸ τάξιν στέλλεσθαι χείλεσιν, ἐπαινοῦμεν, ἔγνως. ἀ-
γάπα δὲ ἡσυχίαν, ἔνθα κρεῖττον λόγου τὸ σιωπᾶν· καὶ τὰ μὲν εἰπεῖν, τὰ δὲ ἀκοῦσαι. καὶ τὰ μὲν
ἐπαινέσαι, τὰ δὲ μὴ πικρῶς ἀποπέμψασθαι. οὐκ ἴστε τὰ ἀγνοήματα τὰ ἡμέτερα ἀδελφοί, τῶν σοφ-
ῶς ἐνταῦθα προκαθεζομένων, καὶ ταῦτα νομοθετούντων ὑμῖν τοῖς πολλοῖς. τάχα δὲ οὐδὲ
ἡμῶν αὐτῶν οἱ πλείους γινώσκομεν, ὃ καὶ δακρύειν ἄξιον, ὅπως παρὰ θεῷ ταλανίζεται καὶ νόη-
μα πᾶν, καὶ λόγος καὶ πρᾶξις καὶ οὐ παρὰ θεῷ μόνον, ἀλλὰ καὶ τῶν ἀνθρώπων τοῖς πλείοσιν. οἳ
βραδεῖς μέν εἰσι τῶν ἰδίων κριταὶ, ταχεῖς δὲ τῶν ἀλλοτρίων ἐξεταστοί. καὶ ῥᾷον ἂν ἄλλοις τὰ μέ-
γιστα, ἢ τὰ ἐλάχιστα ἡμῖν συγχωρήσειαν, κἂν ὦσιν ἀμαθέστεροι, θᾶττον ἂν ἡμῶν ἀσέβειαν κα-
ταγνοῖεν, ἢ μετρίαν ἑαυτῶν ἄγνοιαν. οὐκ ἴστε τηλίκον ἐκ θεοῦ δῶρον ἡ σιωπὴ, καὶ τὸ μὴ ἀνάγκην
ἔχειν λόγου παντὸς, ὥστε κατ' ἐξουσίαν τὸ μὲν αἱρεῖσθαι, τὸ δὲ ἀποδιδράσκειν, καὶ ταμιεύειν ἑαυ-
τῷ καὶ λόγον καὶ σιωπήν. φύσει μὲν γὰρ ἅπας λόγος σαθρὸς καὶ εὐκίνητος, καὶ διὰ τὸν ἀντιπα-
χόμενον λόγον ἐλευθερίαν οὐκ ἔχων. ὁ δὲ περὶ θεοῦ τοσούτῳ μᾶλλον, ὅσῳ μεῖζον τὸ ὑποκείμενον.
καὶ ὁ ζῆλος πλείων, καὶ ὁ κίνδυνος χαλεπώτερος, καὶ τί φοβηθείς τις, τί θαρρήσομεν, νοῦν, ἢ
λόγον, ἢ ἀκοὴν, ἐν τρισὶ τούτοις τοῦ κινδύνου σαλεύοντος. καὶ γὰρ νοῆσαι χαλεπὸν, καὶ ἑρμηνεῦ-
σαι ἀμήχανον, καὶ ἀκοῆς κεκαθαρμένης ἐπιτυχεῖν ἐργωδέστερον. φῶς μὲν ὁ θεὸς, καὶ φῶς τὸ
ἀκρότατον οὗ βραχεῖά τις ἀπορροὴ καὶ ἀπαύγασμα κάτω φθάνον, φῶς ἅπαν κἂν ὑπέρλαμ-
προν φαίνηται, ἀλλ' ὁρᾷς, γνόφον πατεῖ τὸν ἡμέτερον, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, μέσον
αὐτοῦ τι καὶ ἡμῶν θείς, ὥσπερ Μωυσῆς πάλαι τὸ κάλυμμα ἑαυτοῦ τε καὶ τῆς πωρώσεως Ἰσρα-
ὴλ· ἵνα μὴ ῥᾳδίως ἴδῃ σκοτεινὴ φύσις τὸ ἀπόθετον κάλλος καὶ ὀλίγων ἄξιον, μηδὲ ῥᾳδίως ἐπι-
τυχοῦσα, ῥᾳδίως καὶ ἀποβάλλῃ διὰ τὴν εὐκολίαν τῆς κτήσεως. φῶς δὲ ὁμιλήσει φωτὶ, ἀεὶ πρὸς
τὸ ὕψος ἕλκοντι διὰ τῆς ἐφέσεως, καὶ νοῦς πλησιάσει τῷ καθαρωτάτῳ κεκαθαρμένος· καὶ τὸ
μὲν ἄρτι φανῇ, τὸ δὲ ὕστερον ἆθλον ἀρετῆς, καὶ τῆς ἐντεῦθεν πρὸς αὐτὸ νεύσεως, ἤγουν ἐξο-
μοιώσεως. βλέπομεν γὰρ ἄρτι, φησὶ, δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ, πρόσωπον πρὸς πρό-
σωπον. ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. καὶ τὸ τα-
πεινὸν ἡμῶν ὅσον, καὶ ἡ ἐπαγγελία πηλίκη, γνῶναι θεὸν τοσοῦτον ὅσον ἐγνώσμεθα. ταῦτα
Παῦλος ὁ μέγας κῆρυξ τῆς ἀληθείας, ὁ τῶν ἐθνῶν ἐν πίστει διδάσκαλος, ὁ τὸν πολὺν κύκλον
τοῦ εὐαγ-

τὸ εὐαγγέλιον πληρώσας. ὁ μὴ ἄλλῳ τινὶ ζῶν ἢ Χριστῷ, ὁ μέχρι τρίτου οὐρανοῦ φθάσας, ὁ τοῦ παραδείσου θεατής, ὁ ποθῶν διὰ τὴν τελειότητα τὴν ἀνάλυσιν. καὶ Μωϋσῆς μὲν μόλις εἶδε θεοῦ τὰ ὀπίσθια διὰ τῆς πέτρας· ἅ τινα ταῦτά ἐστι, καὶ εἴ τις ἡ πέτρα. καὶ ταῦτα, πολλὰ δεηθείς, ἵνα τυχὼν ἀποχρήσας, πλὴν ὅτι μὴ ὅσον ἐπόθησεν εἶδεν, ἀλλὰ πλέον τοῦ φανταθέντος ἦν ὃ διέφυγε. Μωϋσῆς ὁ τοῦ Φαραὼ θεός, ὁ τοσοῦτον ἄγων λαόν, ὁ τηλικαύτην σημείων ἐνδειξάμενος δύναμιν. σὺ δὲ τίνας ἔθρεψας ἐξ οὐρανοῦ, ποῖον ὕδωρ ἐκ πέτρας δέδωκας, ποίαν ἔρρηξας θάλασσαν ῥάβδῳ, ἵνα λαὸν διαγάγῃς ὡς διὰ ξηρᾶς τῆς ὑγρᾶς, τίνας ἐχθροὺς κατεπόντισας, τίνας στύλῳ πυρὸς καὶ νεφέλης ὡδήγησας, τίνα κατεπολέμησας Ἀμαλὴκ εὐχῇ καὶ χειρῶν ἐκτάσει, καὶ τῷ σταυρῷ προτυπουμένῳ πόρρωθεν μυστικῶς, ἵν᾽ ἡ σοι συμφορὰ τὸ μὴ τελείως καταλαβεῖν θεόν, καὶ διὰ τοῦτο πάντα δονῇ, καὶ ἄνω καὶ κάτω φέρῃ. ἐπεὶ δὲ Μωϋσέως ἐμνήσθην, ὃ ἔμαθον ἐντεῦθεν χαρισμάτων ἀκολουθίαν καὶ νόμον τάξεως. εἰ μὲν εἶ Μωϋσῆς, καὶ τῆς νεφέλης εἴσω χώρησον, καὶ λάλει θεῷ, καὶ φωνῆς ἄκουε, καὶ δέξαι νόμον, καὶ νομοθέτησον. εἰ δὲ Ἀαρών, συναναβῆθι μέν, ἀλλὰ τῆς νεφέλης ἔξω στῆθι πλησίον. εἰ δὲ Ἰθάμαρ τις ἢ Ἐλεάζαρ, καὶ τρίτος ἀπὸ Μωϋσέως, ἢ τῆς γερουσίας τις καὶ τῶν ἑβδομήκοντα, ἔτι πόρρωθεν στῆθι, καὶ τῇ τάξει τὸ τρίτον ἔχων. εἰ δὲ τοῦ λαοῦ καὶ τῶν πολλῶν εἷς, οὐ προσίεταί σε τὸ ὄρος, οὐ καὶ θηρίον θίγῃ, λιθοβοληθήσεται. κάτω μένων, καὶ μόνης ἄκουε τῆς φωνῆς, καὶ ταύτης, ἁγνίσας σεαυτὸν καὶ καθάρας ὡς διατέτακται. καὶ ἵνα σε παιδεύσω διὰ πλειόνων, τίς τῶν ἱερέων ἐτελείου τὰς χεῖρας; Μωϋσῆς. τίς τῶν τελουμένων ὁ πρῶτος; Ἀαρών. καὶ ἔτι πρὸ τούτων τίς τὰ πρὸς θεὸν ἦν, καὶ τίς αὐτὴ φωνὴ τοῦ λαοῦ; εἰς δὲ τὰ ἅγια τῶν ἁγίων εἰσῄει τίς, πλὴν εἷς, ἀεὶ δ᾽ οὗτος; οὐδαμῶς. ἀλλ᾽ ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ ἦν ὅτε. ἐφόρει δὲ τὴν σκηνὴν τίνες, πλὴν τῶν λευιτῶν, καὶ οὗτοι καθὼς διετέτακτο· οἱ μὲν τὰ τιμιώτερα ταύτης, οἱ δὲ τὰ δεύτερα. καθὼς ἦν τῶν φερόντων ἀξία. ἐπεὶ δὲ καὶ φυλάσσεσθαι ταύτην ἔδει, ἐφύλασσον. τίνες, καὶ πῶς; οἱ μὲν τόδε τὸ κλίτος, οἱ δὲ τόδε, καὶ οὐδ᾽ ἐν ἀόριστον οὐδὲ ἄτακτον, οὐδὲ τῶν ἐλαχίστων. ἡμεῖς δὲ ἂν μικροῦ δεξαρίου τύχωμεν, ἢ οὐδὲ τούτου πολλάκις, ἀλλ᾽ ὡς ἔτυχε, δύο ἢ τρία ῥήματα τῆς γραφῆς ἐκμελετήσωμεν, καὶ ταῦτα παρακεκομμένως καὶ ἀνοήτως. τοῦτο ἐκεῖνο, ἡ αὐθημερινὴ σοφία, καὶ ὁ ἐν Χαλάνῃ πύργος, ὃς κατὰ τὰς γλώσσας ἐμέρισε. καὶ ἀξιοῦσθαι δεῖ κατὰ Μωϋσέως, ἵνα κλείεσθαι μᾶλλον ἵνα ἀβάτων τῶν ὑβριστῶν ἵνα ἀβέβηλον, ὧν φύγωμεν τὴν αὐθάδειαν, καὶ μηδὲ τὴν ἀπόνοιαν μιμησώμεθα, μηδὲ τὸ τέλος δεξώμεθα. βούλει δὴ καὶ ἄλλην παραστήσω σοι τάξιν, καὶ ταύτην ἐπαινετὴν καὶ ταύτην ἀξίαν τῆς εἰς τὸ παντὸς μνήμης καὶ ὠφελείας; ὁρᾷς τῶν Χριστοῦ μαθητῶν πάντων ὄντων ὑψηλῶν καὶ τῆς ἐκλογῆς ἀξίων, ὁ μὲν πέτρα καλεῖται, καὶ τοὺς θεμελίους τῆς ἐκκλησίας πιστεύεται, ὁ δὲ ἀγαπᾶται πλέον, καὶ ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ ἀναπαύεται, καὶ φέρουσιν οἱ λοιποὶ τὴν προτίμησιν. ἀναβῆναι δὲ εἰς τὸ ὄρος δεῆσαν, ἵνα τῇ μορφῇ λάμψῃ καὶ τὴν θεότητα παραδείξῃ, καὶ γυμνώσῃ τὸν ἐν τῇ σαρκὶ κρυπτόμενον. τίνες συναναβαίνουσιν; οὐ γὰρ πάντες ἐπόπται τοῦ θαύματος. Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ πρὸ τῶν ἄλλων καὶ ὄντες καὶ ἀριθμούμενοι. παρεῖναι δὲ ἀγωνιῶντι, καὶ ἀναχωροῦντι μικρὸν πρὸ τοῦ πάθους, καὶ εὐχομένῳ, τίνες; οἱ αὐτοὶ πάλιν. αὕτη μὲν ἡ τοῦ Χριστοῦ προτίμησις. ἡ λοιπὴ δ᾽ εὐκοσμία καὶ τάξις, ὅση; ὁ μέν, Πέτρος ἐρωτᾷ, ὁ δὲ Φίλιππος, ὁ δὲ Ἰούδας, ὁ δὲ Θωμᾶς, ὁ δὲ ἄλλος τις, καὶ οὐδὲ τὸ αὐτὸ πάντες, οὐδὲ τὰ πάντα εἷς, ἀλλ᾽ ἕκαστος ἐν μέρει καὶ καθ᾽ ἕν, καὶ οὗ περ ἕκαστος ἔχρῃζεν, εἴποις ἄν. ἀλλ᾽ ἐκεῖνό γε τί σοι φαίνεται; βούλεταί τι Φίλιππος εἰπεῖν, καὶ οὐ θαρρεῖ μόνος, ἀλλὰ καὶ Ἀνδρέαν προσλαμβάνει. χρῄζει πυθέσθαι τι Πέτρος, καὶ Ἰωάννην προβάλλεται διὰ νεύματος. ποῦ τὸ αὐστηρὸν ἐν τούτοις, ποῦ δὲ τὸ φίλαρχον; πῶς ἂν μᾶλλον ἔδειξαν ὄντες μαθηταὶ Χριστοῦ, τοῦ πρᾴου καὶ ταπεινοῦ τὴν καρδίαν, καὶ δούλου δι᾽ ἡμᾶς τὸν αὐτοῦ δούλων, καὶ πᾶσαν τῷ πατρὶ τὴν δόξαν ἐν πᾶσιν ἀναπέμποντος, ἵν᾽ ἡμῖν δῷ τύπον εὐταξίας καὶ μετριότητος, ἣν τοσοῦτον ἀτιμάζομεν, ὥστε ἀγαπῴημεν ἄν, εἰ μὴ καὶ θρασύτεροι πάντων εἴημεν, οἱ γε τῶν μεγίστων, καὶ τοῖς μεγίστοις ταύτην ἐνδεικνύμενοι. οὐκ οἶδα ὅτι τὸ ταπεινόν, οὐκ ἐν τοῖς μικροῖς κρίνεται τοσοῦτον; γελοῖον γὰρ ἂν ἦν ἐνδείξειν, καὶ ψευδὴς μόρφωσις ἀρετῆς, ὅσον ἐν τοῖς μείζοσι δοκιμάζεται, καὶ ταπεινόφρων ἐμοί, οὐχ ὅστις περὶ ἑαυτοῦ μικρὰ διαλέγεται, ἵνα τοῦτο πρὸς ὀλίγους καὶ ὀλιγάκις, οὐδ᾽ ὅστις ταπεινῶς προσαγορεύει τὸν ἀτιμότερον· ἀλλ᾽ ὅστις μετρίως περὶ θεοῦ φθέγγεται, ἵνα τὰ μὲν εἰπεῖν οἶδε, τὰ δὲ κατέχειν, τῶν δὲ ὁμολογεῖν τὴν ἄγνοιαν, καὶ παραχωρεῖν τῷ λόγῳ τῷ πεπιστευμένῳ, ἵνα εἶναί τινα πνευματικώτερον δέχηται, καὶ διαβεβηκότα μᾶλλον ἐν θεωρίᾳ. αἰσχρὸν γὰρ αἰσθητὸς μὲν καὶ δίαιτης μὴ τὴν ὑψηλοτέραν αἱρεῖσθαι, ἀλλὰ τὴν εὐτελεστέραν, καὶ τύλοις γονάτων καὶ δακρύων πηγαῖς. ἔτι δὲ νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμευνίαις, κόπῳ καὶ πᾶσιν ὑπωπιασμοῖς τὸ ταπεινὸν ἐνδείκνυσθαι, ἵνα τὴν τῆς ἰδίας ἀσθενείας συναίσθησιν· αὐτοκράτορα δ᾽ εἶναι καὶ τύραννον ἐν τοῖς περὶ θεοῦ λόγοις, καὶ μηδενὶ τὸ παράπαν ὑφίεσθαι, καὶ τὴν ὀφρὺν αἴρειν ὑπὲρ πάντας νομοδιδασκάλους, οὔπω τὸ ταπεινὸν μετὰ τῆς εὐδοξίας ἔχει καὶ τὴν ἀσφάλειαν. τί οὖν σιωπησόμεθα περὶ θεοῦ, ἵνα τοῦτο

u κελεύεις;

κελεύεις; ὑπὲρ κρυφῇ τις τῶν θερμοτέρων. καὶ τί τοῦτο μᾶλλον, ἢ τότε φθέγξομαι, καὶ τοῦ διέ-
σπερμένου διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου, καὶ εὐλογήσω τὸν κύριον ἐν παντὶ
καιρῷ, καὶ ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, καὶ ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, καὶ τοιαῦ-
τα ἄλλα μεμελετημένα καὶ ὡρισμένα ῥήματα. πρὸς ὃν δεῖ πράως καὶ μὴ χαλεπῶς ἀπαντᾶ-
σθαι τοῖς λόγοις, οἳ τοῦτον διδάσκοντας εὐταξίαν. οὐ σιωπᾶν διακελεύομαι ὦ σοφώτατε·
ἀλλὰ μὴ φιλονείκως ἵστασθαι, οὐ κρύπτειν τὴν ἀλήθειαν, ἀλλὰ μὴ διδάσκειν παρὰ τοὺς νόμους.
ἐγὼ πρῶτος τὸν ἐπαινοῦντα τὴν ἐμὴν σοφίαν, καὶ τοῖς θείοις λόγοις ἀσχολουμένων, ἢ ἀσχολεῖ-
σθαί γε βουλομένων· καὶ μή ποτε πρὸ ταύτης τὴν βελτίω τῆς ἀσχολίας, μηδὲ ταλαίπωρος ὑπ-
αὐτῆς ἀκύζομαι τῆς σοφίας, ὡς σοφίαν καὶ παιδείαν ἐξουθενῶν. φεύγω δ' ὅμως τὸ ἄμετρον,
καὶ κολάζω τὴν ἀπληστίαν, ὡς ἀργὸς εἶναι μᾶλλον τοῦ δέοντος, ἢ περίεργος δέχομαι, ἂν μὴ
ἀμφότερα διαφεύγειν ἐξῇ, καὶ μετρίου τυγχάνειν, καὶ δειλότερος μᾶλλον τοῦ δέοντος, ἢ θρα-
σύτερος. σὺ δὲ ποιεῖς παραπλήσιον, ὥσπερ ἂν εἰ κωλύοντί με τροφῆς ἀμετρίαν, καὶ καθόλου
τροφὴν κωλύειν κατηγορῶ, ἢ καὶ τυφλότητα ἐπαινεῖν, σωφρόνως ὁρᾶν εἰσηγούμενον. εἰ ἔστι σοι
λόγος συνέσεως, ἀποκρίθητι φησί, καὶ οὐδεὶς ὁ κωλύων. εἰ δὲ μή, δεσμὸς κείσθω σοῖς χείλεσι,
πόσῳ μᾶλλον ἁρμόζει τοῦτο, τοῖς εἰς τὸ διδάσκειν ἑτοίμοις. εἰ μὲν ἔστι σοι καιρὸς δίδαξον, εἰ δὲ
μή, τὴν γλῶσσαν πέδησας, λῦσον τὴν ἀκοήν. μελέτα μὲν ἐν τοῖς θείοις, ἀλλ' ἔσω τῶν ὅρων
μένων. φθέγγου μὲν τὰ τοῦ πνεύματος, καὶ εἰ δυνατόν, μηδὲν ἄλλο· καὶ φθέγγου μᾶλλον ἢ ἀνα-
πνεῖ. καλὸν γὰρ τοῦτο καὶ ἔνθεον, τῇ μνήμῃ τῶν θείων ἀεὶ κατατρίζεσθαι πρὸς θεόν· ἀλλ' ἃ προ-
σετάχθης διανοούμενος, μὴ περιεργάζου πατρὸς φύσιν, υἱοῦ μονογενοῦς ὑπόστασιν, πνεύματος
δόξαν καὶ δύναμιν, τὴν μίαν ἐν τοῖς τρισὶ θεότητα καὶ λαμπρότητα, τὴν ἀμέριστον φύσιν καὶ
ὁμολογίαν καὶ δόξαν, καὶ τὴν πεπιστευκότων ἐλπίδα, ἔχου τῶν συντρόφων ῥημάτων. ὁ λό-
γος ἔσω τῶν σφωτέρων. ἀρκεῖ σοι τὸ θεμέλιον ἔχειν. ἐποικοδομείτω δὲ ὁ τεχνίτης, ἀρκεῖ σοι
ἄρτῳ τὴν καρδίαν στηρίζεσθαι· τὰ ὄψα δὲ τοῖς πλουσίοις συγχώρησον. οὐδεὶς κρίνει σε μὴ τρέ-
φοντα πολυτελῶς τὸν νοῦν ἐχόντων· ἀλλ' ἐὰν μὴ παράσχῃς ἄρτον, μηδὲ ποτίσῃς ὕδωρ ἐῶ τὸν
μαθητὴν χριστοῦ, εἴτ' ἄλλον τινὰ μέχρι τούτων δυνάμενος. μὴ ἴσθι ταχὺς ἐν λόγοις, ἡ σοφία
διακελεύεταί σοι. μὴ συμπλέκεσθαι πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος.
σοφία καὶ τὸ γινώσκειν ἑαυτόν, ἀλλὰ μὴ ὑπεραίρεσθαι, μηδὲ ταυτὸν ταῖς φωναῖς πάσχειν, αἳ
παντελῶς ἐκλείπουσιν, ἐὰν ὑπερφωνῶνται δι' ἀμετρίαν, κρεῖττον ὄντα σοφόν, ὑφίεσθαι δι'
ἐπιείκειαν, ἢ ἀμαθῶς ἔχοντα διὰ θράσος ὑπερεκτείνεσθαι. τὸ τάχος ἔσω σοι μέχρι τοῦ ὁμο-
λογεῖν, εἴ ποτε ταύτην ἀπαιτηθείης. τὸ δ' ὑπὲρ ταύτην εἶναι δειλότερος. ἐκεῖ μὲν γὰρ ἡ
βραδυτής, ἐνταῦθα δὲ ἡ ταχυτὴς ἔχει τὸν κίνδυνον. τί σοι δεινόν; ἐὰν μὴ πᾶσι λόγοις ἐνδυ-
ναστεύσῃς, καὶ τὴν προεδρίαν ἔχῃς ἐπὶ παντὸς προβλήματος ἢ ζητήματος. ἀλλ' ἕτεροί
σου φανῶσιν, ἢ σοφώτεροι, ἢ θερμότεροι. τῷ θεῷ χάρις, ὅτι καὶ τὰ ἐξαίρετα δίδωσι, καὶ διὰ τῶν
κοινῶν σώζειν ἐπίσταται. καὶ τοῦτο περὶ λόγων μόνον τὸ θαῦμα· ἀλλὰ καὶ περὶ τὴν δημιουργίαν
αὐτήν, εἴ ποτε κατανοήσαις. ὅτι ἐν τοῖς κτήμασι τὰ περιττὰ τινῶν ἐστίν, ἀλλὰ πάντων, καὶ κοι-
νὴ χάρις τοῦ εἴδους πλάσματος. ὅτι οὐ τῇ πίστει τὰ σώζοντα τῶν δυνατωτέρων, ἀλλὰ τῶν
βουλομένων. τί κάλλιον ἀέρος, πυρός, ὕδατος, γῆς, ὑετῶν, καρπῶν ἡμέρων τε καὶ ἀγρίων,
στέγης, ἐνδύματος. τούτων ἡ μετουσία κοινή, τῶν μὲν καὶ παντάπασι, τῶν δὲ μετρίως. καὶ
οὐδεὶς οὕτω τύραννος, ὥστε μόνος ἀπολαῦσαι τῆς κοινῆς ἀχάριτος. ἀνατέλλει τὸν ἥλιον ὁμό-
τιμος. βρέχει πλουσίοις καὶ πένησι, κοινὴ νυκτὸς καὶ ἡμέρας ἐναλλαγή, κοινὸν δῶρον ὑγεία,
κοινὸς ὅρος ζωῆς, κοινὸν μέτρον καὶ χάρις σώματος, κοινὸν αἰσθήσεων δύναμις. τάχα δὲ καὶ
πλεῖον ὁ πένης ἔχει, ὅτι ἐπὶ τούτοις πλεῖον εὐχαριστεῖ, καὶ ἀπολαύει ἴδιον τῶν κοινῶν, ἢ τῶν ἐκ
περιουσίας οἱ δυνατώτεροι. ταῦτα μὲν οὖν κοινὰ καὶ ὁμότιμα, καὶ θεοῦ δικαιοσύνης γνω-
ρίσματα. ὁ χρυσὸς δὲ καὶ οἱ διαφανεῖς λίθοι καὶ ἀγαπώμενοι, καὶ τῆς ἐσθῆτος ὅση μαλακὴ καὶ
περίεργος, καὶ ἡ φλεγμαίνουσα καὶ ἐκμαίνουσα τράπεζα, καὶ τὰ πολυτελῆ τῆς κτίσεως
ὁ πλοῦτος τῶν κεκτημένων, ὀλίγων ἐστὶν ἐγκαλλωπίσματα. τοῦτο καὶ περὶ τὴν πίστιν ἐγὼ θεω-
ρῶ· κοινά, νόμος, προφῆται, διαθῆκαι, λόγια διαθηκῶν, χάρις, παιδαγωγία, πλάσεις,
πάθη, χριστοῦ καινὴ κτίσις, ἀπόστολοι, εὐαγγέλια, διανομὴ πνεύματος, πίστις, ἐλπίς, ἀγάπη,
εἰς θεόν τε καὶ ἐκ θεοῦ καὶ οὐ πρὸς μέτρον ὡς ἡ τοῦ μάννα ποτὲ δωρεὰ τῷ ἀχαρίστῳ Ἰσραὴλ
καὶ ἀγνώμονι· ἀλλὰ καθ' ὅσον ἕκαστος βούλεται, ἀνάκλησις, ἔλλαμψις. ὀλίγη μὲν ἡ ἐντεῦ-
θεν, τελεωτέρα δὲ ἡ ἐλπιζομένη. τὸ μέγιστον, ἡ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐπίγνω-
σις, καὶ ὁμολογία τῆς πρώτης ἡμῶν ἐλπίδος. τούτων τί μεῖζον, τί δαὶ κοινότερον, τὰ δ' ὑ-
πὲρ ταῦτα. καὶ τῷ σπανίῳ τὸ τιμιώτερον ἔχει. ἀλλὰ τῷ γε ἀναγκαίῳ τὸ δεύτερον. ὧν
γὰρ ἄνευ τὸ εἶναι χριστιανὸν οὐχ οἷόν τε, ταῦτα τῶν ὀλίγοις ἐφικτῶν χρησιμώτερα. ὁ μέν τις
πλουτεῖ θεωρίᾳ, καὶ ὑπὲρ τοὺς πολλοὺς αἴρεται, καὶ πνευματικὰ συγκρίνει πνευματικοῖς,

καὶ ἀπ-

καὶ ἀπογράφεται τελείως ἐπὶ τὸ πλάτος τῆς καρδίας, ἐν ᾧ πάντας οἰκοδομοῦσι τὸν λόγον, καὶ ἐν πολλοὺς καὶ ἔτι τινὰς, ἀντὶ πλειόνων ἢ πάντων, καὶ οὐκ ἀνέχεται ποίας ὤν, καὶ ἐμβατεύει τοῖς βάθεσιν, αἰτείτω καὶ ὁδηγείσθω καὶ ὑπὸ τοῦ νοῦ φερέσθω. καὶ εἰ βούλεται μέχρις οὐρανοῦ τρίτου κατὰ τὸν Παῦλον, μόνον σὺν λόγῳ καὶ ἐπιστήμῃ. καὶ μὴ καταπιπτέτω διὰ τὴν ἔπαρσιν, μηδὲ παραφερέσθω διὰ τὸ ὕψος τῆς πτήσεως. τίς φθόνος ἐπαινετῆς ἀναβάσεως; καὶ τί πτῶμα τοιοῦτο, δι' ἔπαρσιν πολλοὶ πεπτώκασι, καὶ μὴ γνῶναι τῆς ἀνθρωπίνης ἀναβάσεως τὰ πέρατα, καὶ ὅσον ἔτι λείπεται τοῦ ἀληθινοῦ ὕψους ὁ πάντων ἀνώτατος. ὁ δὲ ὀλίγος ἐστὶ τὴν διάνοιαν, καὶ πένης τὴν γλῶτταν, καὶ οὐκ οἶδε λόγων στροφὰς, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα, καὶ τὰς Πύρρωνος ἐνστάσεις, ἢ ἐφέξεις, ἢ ἀντιθέσεις, καὶ τὰς Χρυσίππου συλλογισμῶν διαλύσεις, ἢ τὴν Ἀριστοτέλους τεχνῶν κακοτεχνίαν, ἢ τῆς Πλάτωνος εὐγλωττίας τὰ γοητεύματα, οἳ κακῶς εἰς τὴν ἐκκλησίαν ἡμῶν εἰσεφρύησαν, ὥσπερ αἱ αἰγυπτιακαὶ τινὲς μάστιγες. ἔχει δὲ καὶ οὗτος ὁδὸν σωθῆναι, καὶ διὰ τινῶν ῥημάτων, ὧν οὐδὲν τῆς χάριτος πλουσιώτερον. οὐ δεῖ σοι, φησιν, εἰς τὸν οὐρανὸν ἀνελθεῖν, ἵν' ἐκεῖθεν ἐκλύσῃς Χριστόν· οὐδ' εἰς τὴν ἄβυσσον κατελθεῖν, ἵν' ἐντεῦθεν αὐτὸν ἐκ νεκρῶν ἀναστήσῃς, ἢ τὴν πρώτην πολυπραγμονῶν φύσιν, ἢ τὴν τελευταίαν οἰκονομίαν. ἐγγύς σου, φησὶ, τὸ ῥῆμά ἐστιν. ἡ διάνοια ἐντὸς ἔχει τὸν θησαυρὸν, καὶ ἡ γλῶσσα, ἡ μὲν πιστεύουσα, ἡ δὲ ὁμολογοῦσα. τί τούτου συντομώτερον τοῦ πλούτου; τί ταύτης τῆς δωρεᾶς εὐκολώτερον; ὁμολόγησον Ἰησοῦν Χριστὸν, καὶ πίστευσον, ὅτι ἐκ νεκρῶν ἐγήγερται, καὶ σωθήσῃ. δικαιοσύνη μὲν γὰρ, καὶ τὸ πιστεῦσαι μόνον. σωτηρία δὲ παντελὴς, τὸ καὶ ὁμολογῆσαι καὶ προσθεῖναι τῇ ἐπιγνώσει τὴν παρρησίαν. σὺ τί μεῖζον σωτηρίας ζητεῖς; τὴν ἐκεῖθεν δόξαν τε καὶ λαμπρότητα. ἐμοὶ καὶ τὸ σωθῆναι μέγιστον, καὶ τὰς ἐκεῖθεν φυγεῖν βασάνους. σὺ βαδίζεις τὴν ἀτριβῆ καὶ ἀπρόσιτον, ἐγὼ τὴν τετριμμένην, καὶ ἣ πολλοὺς ἔσωσεν. οὐδὲν αὖ τῆς πίστεως ἡμῶν ἀδελφοὶ ἀδικώτερον, εἴγε εἰς τοὺς σοφοὺς ἔπεστι μόνον, καὶ τοὺς πλουσίους ἐν λόγῳ, καὶ ταῖς λογικαῖς ἀποδείξεσι. τοὺς πολλοὺς δὲ ὥσπερ καθάπερ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων ὁπόσα τίμια κάτω, καὶ περισπούδαστα τοῖς πολλοῖς, οὕτω δὴ καὶ ταύτης ἀποτυγχάνειν. καὶ τὸ μὲν ὑψηλόν τε, καὶ εἰς ὀλίγους φθάνον, φίλον ἦν θεῷ, καὶ οἰκεῖον. τὸ δὲ ἐγγυτέρω καὶ τοῖς πολλοῖς ἐφικτὸν ἀπόπτυστον, καὶ ἀπόβλητον. οὐδὲ γὰρ τῶν ἀνθρώπων οἱ μετριώτεροι τοῦτο πάσχουσιν αὖ, ὥστε μὴ τὰς ὑπὲρ δύναμιν ἀπαιτεῖν τιμὰς, ἀλλὰ χαίρειν μόνοις τοῖς προσέχουσι. μή τι γε δὴ θεὸς οὗ πολλῶν ὄντων ἐφ' οἷς θαυμάζεται, οὐδὲν οὕτως, ὡς τὸ πάντας εὐεργετεῖν ἰδιώτατον. μὴ ἀτίμαζε τὸ εἰωθὸς, μὴ θήρευε τὸ καινὸν, ἵν' εὐδοκιμήσῃς ἐν τοῖς πλείοσι. κρεῖσσον μικρὰ μετὰ ἀσφαλείας, ἢ μεγάλη μετὰ σαθρότητος. παιδευέτω σε τῇ συμβουλῇ Σολομών· καὶ κρείσσων ἄπορος πορευόμενος ἐν ἁπλότητι αὐτοῦ. μία καὶ αὕτη τῶν παροιμιῶν σοφῶς ἔχουσα· ὁ πένης ἐν λόγῳ καὶ γνώσει, καὶ τοῖς ἁπλοῖς ῥήμασιν ἐπερειδόμενος, καὶ ἐπὶ τούτων ὥσπερ ἐπὶ λεπτῆς σχεδίας διασωζόμενος, ὑπὲρ στρεβλόχειλον ἄφρονα, τῇ ἀποδείξει λόγου θαρροῦντα σὺν ἀμαθίᾳ, καὶ κενοῦντα τὸν σταυρὸν τοῦ Χριστοῦ. πρᾶγμά τι λόγου κρεῖττον διὰ τῆς ἐν λόγοις δυνάμεως. οὕτω τὸ ἀσθενὲς τῆς ἀποδείξεως, τῆς ἀληθείας ἐστὶν ἐλάττωσις. τί πρὸς οὐρανὸν ἀνίπτασαι, πεζὸς ὤν; τί πύργον οἰκοδομεῖς, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; τί καὶ σὺ μετρεῖς τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; στοιχεῖα μεγάλα, καὶ μόνα μετρητὰ τῷ κτίσαντι. γνῶθι σαυτὸν πρότερον, τὰ ἐν χερσὶ κατανόησον. τίς εἶ; καὶ πῶς ἐπλάσθης, καὶ πῶς συνέστης, ἵν' εἰκὼν ᾖς θεοῦ, καὶ τῷ χείρονι συνδεθῇς. καὶ τί σε κινεῖ; τίς ἡ περὶ σὲ σοφία; καὶ τί τῆς φύσεως τὸ μυστήριον; πῶς μετρῇ τόπῳ, καὶ νοῦς οὐ χωρίζεται, ἀλλ' ἐν ταυτῷ μένων πάντα ἐπέρχῃ; πῶς ὄψις ὀλίγη, καὶ ἐπὶ πλεῖστον φθάνουσα; καὶ πότερον παραδοχή τίς ἐστι τοῦ ὀφθέντος, ἢ πρὸς ἐκεῖνο διάβασις. πῶς δ' αὐτὸ καὶ κινεῖ καὶ κινεῖται, διὰ βουλήσεως κυβερνώμενον; τίς δαὶ ἡ πᾶσα κινήσεως; τίς ὁ τῶν αἰσθήσεων μερισμός; καὶ πῶς διὰ τούτων ὁ νοῦς ὁμιλεῖ τοῖς ἔξω, καὶ τὰ ἔξωθεν παραδέχεται; πῶς ἀναλαμβάνει τὰ εἴδη; καὶ τίς ἡ τήρησις τῶν ἀναληφθέντων, ἢ μνήμη; καὶ τίς ἡ τῶν ἀπελθόντων ἀνάληψις, ἢ ἀνάμνησις. πῶς λόγος νοῦ γέννημα, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ; καὶ πῶς λόγῳ νόημα διαδίδοται; πῶς δὲ φέρεται διὰ ψυχῆς σῶμα, καὶ πῶς ψυχὴ διὰ σώματος κοινωνεῖ πάθους; πῶς πήγνυσι φόβος, καὶ λύει θάρσος, καὶ συστέλλει λύπη, καὶ διαχεῖ ἡδονὴ, καὶ τήκει φθόνος, καὶ μετεωρίζει τῦφος, καὶ κουφίζει ἐλπίς; πῶς ἐκμαίνει θυμὸς, καὶ αἰδὼς ἐρυθαίνει δι' αἵματος, ὁ μὲν ζέοντος, ἡ δὲ ἀναχωροῦντος; καὶ πῶς οἱ χαρακτῆρες τῶν παθῶν ἐν τοῖς σώμασι; τίς ἡ τοῦ λογισμοῦ προεδρεία; καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ καὶ ἡμεροῖ τὰ τῶν παθῶν κινήματα; πῶς αἵματι κρατεῖται καὶ πνοῇ τὸ ἀσώματον; καὶ πῶς ἡ τούτων ἔκλειψις ψυχῆς ἐστιν ἀναχώρησις. ταῦτα ἢ τούτων τι κατανόησον ὦ ἄνθρωπε. οὔπω τι λέγω φύσιν, ἢ κίνησιν οὐρανοῦ, καὶ τάξιν ἀστέρων, καὶ μίξιν στοιχείων, καὶ ζώων διαφορὰς, καὶ δυνάμεων οὐρανίων ὑποβάσεις καὶ ὑπερθέσεις, καὶ πάντα εἰς ὅσα ὁ δημιουργικὸς λόγος καταμερίζεται, καὶ λόγους προνοίας καὶ διοικήσεως. καὶ τότε οὔπω λέγω

θαῤῥήσειν. ἀλλ' ἔτι φοβείσθω τι προσθεῖναι τοῖς ὑψηλοτέροις, καὶ τοῖς μᾶλλον ὑπὲρ τὴν ἐμὴν δύνα-
μιν. μάλιστα μὲν γὰρ, γυμνασία τοῦ περὶ τὰ μείζω φιλονεικίας, ἅπας λόγος, δυνάμεις καὶ φιλότι-
μος. καὶ δεῖ καθάπερ τοὺς παῖδας πλάττομεν ἐν τοῖς πρώτοις ἤθεσιν, ἵνα τὴν ὕστερον μοχθη-
ρίαν φύγωσιν, οὕτω δὴ καὶ τῷ λόγῳ. μηδὲ περὶ τὰ μικρὰ φαίνεσθαι θρασὺν καὶ ἀπαίδευτον, ἵνα
μὴ περὶ τὰ μείζω τῇ μελέτῃ καταχρήσηται. ῥᾷον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ, καὶ προσστῆ-
ναι διαφυγεῖν, ἢ προσχωρήσασαν αἰκίσασθαι καὶ φαυλίσαι ταύτης ἀκριβέστερον, ὥσπερ καὶ πέτραις
ἀπ' ἀρχῆς ὀρθαῖς καὶ καταχεῖν, ἢ φερομένην ἀνώσασθαι. εἰ δὲ ἀπληστότερος εἶ, καὶ κατέχειν τὴν νόσον
ἀδυνατεῖς, ταῦτα μελέτα, ἐν τούτοις ἴσθι. κενούσθω σοι τὸ φιλότιμον ἐν τοῖς ἀκινδύνοις. οὐ δέχῃ
τοῦτο, οὐδὲ ἡ γλῶσσά σου χαλινὸν ἔχει, οὐδὲ κρείττων εἶ τῆς φορᾶς. δεῖ δὲ ἀργυροειδῶς πάντως, καὶ
τοὺς περὶ τοὺς δυναμένους μὴ ὑφίεσθαι, ἔπειτα μὴ κατακενοῦν μέτρον οὐδὲν τῆς γνώσεως. καὶ πλεῖον ἐστὶν
μέγαν, ἢ ὅσον συμφέρον. σὺ δὲ μὴ κατακρίνῃς τὸν ἀδελφὸν, μηδὲ τὴν δειλίαν ἀσέβειαν ὀνομάσῃς.
μηδ' ἀπελάθης προπετῶς καταγνοὺς ἢ ἀγνοῶν, ὃ τὴν ἐπιείκειαν ὑποκρινόμενος. ἀλλ' ἐνταῦθα
μοι φαίνηθι ταπεινὸς, ἕως ἔξεστιν. ἐνταῦθα τὸν ἀδελφὸν προτίμησον, μὴ μετὰ τοῦ σκότους βλά-
ψῃς. ἐνταῦθα τὸ κατακρῖναι καὶ ἀτιμάσαι, ἐκβαλεῖν ἐστὶ Χριστοῦ, καὶ τῆς μόνης ἐλπίδος, καὶ τὸ λανθά-
νοντα σῖτον, καὶ σῖτον ἴσως σου τιμιώτερον συνεκκόψαι τοῖς ζιζανίοις. ἀλλὰ τὸ μὲν, ἐκεῖνον διόρθω-
σαι, καὶ τοῦτο πράως καὶ φιλανθρώπως, μὴ ὡς ἐχθρὸς, μηδ' ὡς ἀπότομος ἰατρὸς, μὴ ὡς ἐν τοῦτο
μόνον, εἰδὼς τὴν καῦσιν καὶ τὴν τομήν. τὸ δὲ σεαυτοῦ καταγνῶθι, καὶ τὴν ἀσθένειαν τῆς σῆς. τί γὰρ εἰ λη-
μῶν, ἢ ἄλλο τι πάσχων τὰς ὄψεις ἀμυδρὸν βλέπεις τὸν ἥλιον. τί δαὶ εἰ στρέφεσθαί σοι τὸ πᾶν
δοκεῖ, ναυτιῶντι τυχὸν ἢ μεθύοντι, καὶ τὴν σὴν ἄγνοιαν ἑτέρων ὑπολαμβάνεις, πολλὰ δεῖ στραφῆναι
καὶ παθεῖν, πρὶν ἄλλου καταγνῶναι δυσσέβειαν. οὐκ ἔστι ταὐτὸν φυτὸν ἐκτεμεῖν, ἢ ἄνθος τι τῶν προσκαί-
ρων, καὶ ἄνθρωπον. εἰκὼν εἶ θεοῦ, καὶ εἰκόνι θεοῦ διαλέγῃ, κρίνῃ καὶ αὐτὸς ὁ κρίνων, καὶ κρίνεις ἀλλό-
τριον οἰκέτην, καὶ ὃν ἄλλος οἰκονομεῖ. οὕτω δοκίμαζε τὸν ἀδελφόν σου, ὡς καὶ αὐτὸς ἐν τοῖς αὐτοῖς
μέτροις κρινόμενος. διὰ τοῦτο μὴ ταχέως τέμνε, μηδ' ἀλλοτριώσῃς τὸ μέλος, ἄδηλον, εἰ μὴ δια-
τέτευ προσλυμανεῖ τι τῷ ὑγιαίνοντι. ἀλλὰ νουθέτησον, ἐπιτίμησον, παρακάλεσον. ἔχεις ἰατρείας
κανόνα, Χριστοῦ μαθητὴς εἶ τοῦ πράου καὶ φιλανθρώπου, καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντος.
κἂν τὸ πρῶτον ἀπειθῇ, μακροθύμησον· κἂν τὸ δεύτερον, μὴ ἀπελπίσῃς, ἔτι καιρὸς θεραπεί-
ας. κἂν τὸ τρίτον, γενοῦ φιλάνθρωπος γεωργός. ἔτι τοῦ δεσπότου δεήθητι, μὴ ἐκκόψαι μηδὲ
μισῆσαι τὴν ἄκαρπον συκῆν καὶ ἀνόνητον, ἀλλ' ἐπιτρέψαι καὶ θεραπεῦσαι, καὶ περιβαλεῖν κο-
πρία. τὴν δι' ἐξαγορεύσεως, καὶ τῆς εἰς τὸ φανερὸν αἰσχύνης, καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρ-
θωσιν. τίς οἶδεν εἰ μεταβαλεῖ καὶ καρποφορήσει καὶ θρέψει τὸν Ἰησοῦν ἀπὸ Βηθανίας ἐπανερχόμε-
νον. οἷον ἐγκέ τι τὸ τοῦ ἀδελφοῦ δυσωδίας, ἢ οὔσης, ἢ δοκούσης, ὁ τῷ πνευματικῷ μύρῳ συγκεχρι-
σμένος, τῷ συντεθειμένῳ τέχνῃ μυρεψικῇ, ἵνα μεταδῷς τούτῳ τῆς σῆς εὐωδίας. οὐκ ἔστιν ἐχίδνης
ἰὸς ἡ κακία, τί ὅμοιον τῷ πληγῆναι παραβληθῆς ὀδύνας, ἢ καὶ διαφθαρῆς. καὶ διὰ τοῦτο
ᾗ σοι συγγνώμη φεύγοντι τὸ θηρίον ἢ ἀποκτείνοντι. ἀλλ' εἰ μὲν εἶ δυνατὸς, κἀκεῖνον θεράπευ-
σον· εἰ δὲ μὴ, τό γε ἀσφαλὲς ἔχεις, ἐν τῷ μηδὲν αὐτὸς τῆς μοχθηρίας μεταλαβεῖν. ὁ μὴ τίς ἐστιν
ἀηδὴς τοῦ ἐκείνου πάθους, ἵνα ἀπελάσει τυχὸν, τὸ σὸν εὐῶδες ὑπερνικῆσαι, ταχὺ ἂν ἠδέξω τί
τοιοῦτον ὑπὲρ τοῦ ὁμοδούλου καὶ συγγενοῦς, οἷόν τι Παῦλος ὁ Χριστοῦ καὶ διανοηθῆναι καὶ εἰπεῖν
ἐτόλμησεν, ἑαυτὸν εἰ οἷόν τι τὸν Ἰσραὴλ ἀντεισαχθῆναι Χριστῷ διὰ τὸ συμπαθὲς, ὅς γε καὶ ἐξ
ὑπονοίας πολλάκις μόνης ἀτιμάσεις τὸν ἀδελφόν. ὃν ἴσως ἐκέρδανας ἂν τῇ χρηστότητι,
τοῦτον ἀπολλύεις τῇ θρασύτητι, τὸ σὸν μέλος, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. εἰ τοίνυν καὶ ἰσχυ-
ρὸς εἶ, φησὶν ὁ Παῦλος περὶ βρωμάτων διαλεγόμενος, καὶ θαῤῥεῖς τῷ λόγῳ, καὶ τῷ γε-
ναίῳ τῆς πίστεως, ἀλλὰ καὶ τὸν ἀδελφὸν οἰκοδόμησον, μὴ τῷ βρώματί σου κατάλυε τὸν ὑπὲρ
Χριστοῦ τῷ κοινῷ πάθει τετιμημένον. καὶ γὰρ εἰ τὸ πρᾶγμα ἕτερον, ἀλλ' ὅ γε τῆς παραινέσεως
λόγος, ὁμοίως χρήσιμος. χρὴ δὲ καὶ νόμον κεῖσθαι περὶ ἡμῖν, καθάπερ τοῖς πάλαι σο-
φοῖς Ἑβραίων, ἔστιν ἃς τῶν ἱερῶν βίβλων μὴ ἐγχειρεῖσθαι τοῖς νέοις, ὡς οὐ λυσιτελούσας ταῖς ἀ-
στηρίκτοις ἔτι καὶ ἁπαλωτέραις ψυχαῖς, οὕτω μὴ παντὶ, μηδὲ πάντοτε, ἀλλ' ἔστιν ὅτε καὶ
οἷς, τὸν περὶ πίστεως συγχωρεῖσθαι λόγον, τοῖς μὴ παντελῶς ὀλιγώροις λέγω καὶ νωθροῖς
τὴν διάνοιαν, ἢ τοῖς μὴ λίαν ἀπλήστοις, καὶ φιλοτίμοις, καὶ θερμοτέροις τοῦ δέοντος εἰς εὐ-
σέβειαν. καὶ τοὺς μὲν τάττειν ἐνταῦθα, οὐ μήτε ἑαυτοὺς βλάψουσι, μήτε ἄλλους ταττόμενοι,
καὶ τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν τοὺς μετρίους ἐν λόγῳ, καὶ ὡς ἀληθῶς κοσμίους καὶ σώ-
φρονας. τοὺς πολλοὺς δ' ἀπάγειν τῆς ὁδοῦ ταύτης, καὶ τῆς νῦν κατεχούσης φιλολαλίας
καὶ ἀῤῥωστίας, καὶ ἐπ' ἄλλο τι τρέπειν ἀρετῆς εἶδος ἀκινδυνότερον. ἔνθα καὶ τὸ ὀλιγωρότε-
ρον ἧττον βλαβερὸν, καὶ τὸ ἄπληστον εὐσεβέστερον. εἰ μὲν γὰρ ὥσπερ εἷς κύριος, μία πί-
στις, ἓν βάπτισμα, εἷς θεὸς ὁ πατὴρ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν· οὕτω καὶ μία τις
ἦν σωτηρίας ὁδὸς, ἡ διὰ λόγου καὶ θεωρίας, καὶ ταύτης ἐκπεσόντας, ἔδει τοῦ παντὸς ἁμαρ-
τεῖν καὶ

τῶν καὶ ἄχρι φθάσωμαι θεοῦ, καὶ τῆς ἐκεῖθεν ἐλπίδος, οὐδεὶς ἂν ἦν ἔτι τοῦ συμβουλεύειν τὰ τοιαῦτα, ἔτι τοῦ πείθεσθαι σφαλερώτερον, εἰ δ' ὥσπερ ἐν τοῖς ἀνθρωπίνοις. πολλαὶ διαφοραὶ βίων καὶ προαιρέσεων, μειζόνων τε καὶ ἡττόνων, λαμπροτέρων καὶ σφαλερωτέρων, οὕτω καὶ τοῖς θείοις, οὐχ ἓν ἐστὶ τὸ σῶζον ὄν, οὐδὲ μία τῆς ἀρετῆς ὁδός, ἀλλὰ πλείονες, καὶ τὸ πολλὰς εἶναι μονὰς παρὰ τῷ θεῷ. ὅ ποτε δὴ τὸ θρυλλούμενον, καὶ τοῖς πάντων κέχυται γλώσσαις, οὐκ ἄλλο τι ἢ τοῦτο αἴτιον, τὸ πολλὰς εἶναι τὰς ἐκεῖσε φερούσας ὁδούς, τὰς μὲν ἐπικινδυνοτέρας καὶ λαμπροτέρας, τὰς δὲ ταπεινοτέρας τε καὶ ἀσφαλεστέρας. τί τὰς ἀσφαλεστέρας ἀφιέντες, τὴν μίαν ταύτην τρεπόμεθα, τὴν οὕτως ἐπισφαλῆ καὶ ὀλισθηράν, καὶ οὐκ οἶδ' ὅποι φέρουσαν; ἡ τροφὴ μὲν οὐχ ἡ αὐτὴ πᾶσι κατάλληλος. ἄλλῳ δ' ἄλλη κατὰ τὴν διαφοράν, καὶ τῶν ἡλικιῶν, καὶ τῶν ἕξεων. βίος δ' ὁ αὐτὸς πᾶσι συμφέρων ὁ λόγος. οὐκ ἔγωγε τοῦτο εἴποιμ' ἄν, οὐδὲ προσθοίμην τοῖς λέγουσιν. εἴ τι οὖν ἐμοὶ πείθεσθε νέοι καὶ γέροντες, ἄρχοντες καὶ ἀρχόμενοι, μοναστοὶ καὶ μιγάδες, τὰς μὲν ταπεινὰς καὶ ἀχρήστους φιλοτιμίας, χαίρειν ἐάσατε, αὐτοὶ δὲ δὴ βίου καὶ πολιτείας καὶ λόγων τῶν ἀκινδυνοτέρων τῷ θεῷ πλησιάζοντες, τύχοιτε τῆς ἐκεῖθεν ἀληθείας καὶ θεωρίας, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ ΗΡΩΝΑ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΑΠΟ τῆς ἐξορίας ἐπανελθόντα.

ΤΟΝ φιλόσοφον ἐπαινέσομαι, καὶ εἰ καὶ μὴ τῷ σώματι φιλόσοφόν τι. ἐπαινέσομαι δὲ καὶ λίαν εἰκότως· ὁ μὲν γὰρ φιλόσοφος, ἐγὼ δὲ σοφίας θεραπευτής, ὥστε μοι καὶ πρὸς λόγον ὁ ἔπαινος, ἵν' εἰ μηδὲν ἄλλο τοῦτό γε φιλοσοφήσω, τὸ θαυμάζειν φιλόσοφον. ἢ τί φιλοσοφικὸν ὡς ὁ ἐμὸς λόγος, ἢ τιμητικὸν φιλοσοφίας, εἴπερ μὴ μέλλοιμεν παντελῶς ἔξω τοῦ καλοῦ πίπτειν, μηδὲ ἀλογίαν καταχρηθήσεσθαι λογικοὶ γεγονότες, καὶ διὰ λόγου πρὸς λόγον ἀναβιβάζοντες. φιλοσοφείτω δὲ ἡμῖν ὡς ἐν τῷ ἄλλῳ ὁ ἀνήρ, τὸ ἐπαινεῖσθαι, καὶ καρτερείτω τὴν εὐφημίαν. οὐ γὰρ ἵνα χαρισώμεθα ἐπαινεσόμεθα. ἴσμεν τοῦ φιλοσόφου τὸ ἀφιλότιμον, καὶ πρός γε οὐδ' ἂν ὁ λόγος προσθείη τοῖς πράγμασιν, τὸ μὴ καὶ τῆς ἀξίας ἐλαττῶσαι διὰ τῆς ἀσθενείας τῆς ἑαυτοῦ, ἀλλ' ἵν' ἡμᾶς αὐτοὺς ὠφελήσωμεν. τοῦτο γὰρ οὐκ ἔτι πολυφωνήσει φιλοσοφία, ἤ γε τὸ ἐν ποιεῖν τι τὸν ἡμέτερον βίον, ἔργον καὶ σπούδασμα. πρῶτα δὲ τῶν εὐεργεσιῶν, τὸ ἐπαινεῖσθαι τὰ καλά. ζήλου γὰρ ὁ ἔπαινος πρόξενος· ζῆλος δὲ, ἀρετῆς. ἀρετὴ δὲ, μακαριότητος· ἡ δὲ, τὸ ἄκρον τῶν ἐφετῶν, καὶ εἰς ὃ τείνει πᾶσα σπουδαίου κίνησις. δεῦρο δὴ σὺ ὦ φιλοσόφων ἄριστε καὶ τελεώτατε, προσθήσω δὲ καὶ μάρτυρ τῆς ἀληθείας. δεῦρό μοι τῆς νόθου σοφίας ἔλεγχε τῆς ἐν λόγῳ κειμένης, καὶ δι' εὐγλωττίας γοητευούσης· ὑπὲρ δὲ τούτου, μηδὲν διαρθροῦσαι, μήτε δυναμένης, μήτε θελούσης, ὁ περιδέξιος τῇ ἀρετῇ, ὅσα τε θεωρίας, καὶ ὅσα πράξεως, ὁ τὰ ἡμέτερα φιλοσοφῶν ἐν ἀλλοτρίῳ τῷ σχήματι. τί χαίρεις ἢ οὐδὲ ἀλλοτρίῳ, εἴπερ ἀγγελικὸν ἡ λαμπροφορία, καὶ ἡ φαιδρότης, ὅταν τυπῶται σωματικῶς, σύμβολον οἶμαι τοῦτο τῆς κατὰ τὴν φύσιν αὐτῶν καθαρότητος. δεῦρό μοι φιλόσοφε καὶ σοφέ. μέχρι γὰρ τίνος τὸ φιλεῖν σοφίαν, εἰ μηδαμοῦ σοφία, καὶ κύον οὐ τὴν ἀναισχυντίαν, ἀλλὰ τὴν παρρησίαν· οὐδὲ τὸ γαστρίμαργον, ἀλλὰ τὸ ἐφήμερον· οὐδὲ τὴν ὑλακτικήν, ἀλλὰ τὴν φυλακὴν τοῦ καλοῦ. καὶ τὸ ὑπὲρ τῶν ψυχῶν ἄγρυπνον, καὶ τὸ σαίνειν μὲν, ὅσον κατ' ἀρετὴν οἰκεῖον· ὑλακτεῖν δὲ ὅσον ἀλλότριον. δεῦρό μοι στῆθι τῶν ἱερῶν πλησίον, καὶ τῆς μυστικῆς ταύτης τραπέζης, κἀμοῦ τοῦ διὰ τούτων μυσταγωγοῦντος τὴν θέωσιν, οἷς σε προσάγει λόγος καὶ βίος, καὶ ἡ διὰ τῶν παθῶν κάθαρσις. δεῦρο σε ἀναδήσω τοῖς ἡμετέροις στεφάνοις, καὶ ἀνακηρύξω λαμπρᾷ τῇ φωνῇ, οὐκ ὀλυμπιάδα μέσον, οὐδὲ ἐν θεάτρῳ μικρῷ τῆς Ἑλλάδος, οὐδὲ ἀγωνισάμενον παγκράτιον, ἢ πυγμήν, ἢ δίαυλον, ἢ τι τῶν μικρῶν ἀγωνισμάτων καὶ τῶν μικροῖς τοῖς ἄθλοις, οὐδὲ εἰς τιμὴν ἡρώων τινὸς ἢ δαιμόνων, συμφορᾷ καὶ μύθῳ τετιμημένων. τοιαῦτα γὰρ ἐκείνων τὰ σεμνά τε καὶ τίμια, χρόνον προσλαβόντα τῆς ἀνοίας ἐπίκουρον, καὶ συνήθειαν ἔννομον, ἀλλ' ἐναντίον θεοῦ καὶ ἀγγέλων, καὶ παντὸς τοῦ τῆς ἐκκλησίας πληρώματος, καὶ νενικηκότα τὸ ψεῦδος αἱρέσεων, εἰς τιμὴν θεοῦ ζῶντος, καὶ τὸ παθεῖν τοῖς οἰκείοις πάθεσιν ἐκδιδάσκοντος, καὶ τῶν ἄθλων οὐρανῶν βασιλείαν, καὶ θεὸν γενέσθαι τοῦ παθεῖν ὑψηλότερον. ἀλλὰ τίς ἡ ἀνάῤῥησις, εἰ δοκεῖ, συνεξετάσωμεν ποθεῖτε καὶ γνωριμώτερον. οὗτος τῆς ἀληθείας ἀγωνιστὴς ἀψευδέστατος, καὶ τὸ τελεώτατος ὑπέρμαχος ἄχρις αἵματος, καὶ τῶν διωκόντων, ὃ ποιεῖν καινῶς, τῷ πάσχειν προθυμότερος, διώκτης. οὐδεὶς γὰρ οὕτω νικᾷ τοὺς διώκοντας, ὡς προθυμίᾳ τοῦ πάσχοντος. εἰ δὲ τὴν τελευταίαν καὶ πλατυτέραν, οὗτος ἄριστος μὲν ἐξ ἀρίστων, καὶ ἐξ εὐγενῶν εὐγενέστατος. εὐγένειαν δὲ λέγω, οὐχ ἣν οἱ πολλοὶ νομίζουσιν. ἄπαγε, οὐ πρὸς ἡμῶν τοῦτο θαυμάζειν, οὐδὲ φιλόσοφον, τὴν ἐκ μύθων καὶ τάφων ἐρχομένην, καὶ πάλαι σεσηπυίας ὀφρύος. οὐδὲ τὴν ἐξ αἱμάτων καὶ γραμμάτων προσγινομένην, ἣν νύκτες χαρίζονται, καὶ βασιλέων ἴσως· οὐδὲ εὐγενῶν χεῖρες, προστασσόντων ὥσπερ ἄλλο τι τὴν εὐγένειαν· ἀλλ' ἣν εὐσέβεια χαρακτηρίζει καὶ τρόπος, καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἄνοδος, ὅθεν γεγόναμεν.

ταύτης ἀπόδειξις μία τῆς εὐγενείας. οὐ γὰρ ἀθλητὴς μόνον ἡμῖν ὁ γενναῖος, ἀλλὰ καὶ ἐκ μαρτύρων, ὥστε οἴκοθεν αὐτῷ τὸ τῆς ἀρετῆς παράδειγμα. πολίτης δὲ, σοφίας μὲν τῆς οἰκουμένης ἁπάσης. οὐδὲ γὰρ ἀνέχεται μικροῖς ὅροις, κοινικῇ περιγράφεσθαι. σώματι δὲ τῆς Ἀλεξανδρέων πόλεως, τῆς σὺν ἡμῖν ἢ μεθ' ὑμᾶς εὐθέως ἀριθμουμένης, ἧς πᾶσι παρὰ τὴν κρατούσης, θερμότης τὸ ἰδιαίτατον, καὶ ταύτης τὸ κάλλιστον, χριστιανισμὸς, καὶ ἡ περὶ τοῦτο διάθεσις, ἐκ προαιρέσεως μὲν ἀρξαμένη, τῇ δὲ φύσει βεβαιουμένη. τῇ δὲ εὐσεβείᾳ τὸ θερμὸν προσχωρῆσαν, ζῆλος ἐγένετο· ζῆλος δὲ, ἀσφάλεια πίστεως. τραφεὶς δὲ οὕτω καὶ παιδευθεὶς ὡς εἰκὸς ἦν ἐκ τοιούτων γεγονότα καὶ τοιοῦτον ἐσόμενον. ἐπειδὴ βίου αἱρέσεως καιρὸς ἐδόκει, τὴν κρηπῖδα τῆς πράξεως εὖ ἢ κακῶς ὑποτίθεμαι, εἶδέ τι μέγα καὶ νεανικὸν, καὶ τῶν πολλῶν ὑψηλότερον. τρυφὴν μὲν ἀτιμάζει καὶ περιουσίαν, καὶ δυναστείαν, τελείως ἢ τῶν ἄλλων οἱ ταῦτα προέχοντες· καὶ τὴν μὲν, ὡς πρότινα καταπάθεσαι, τὴν δὲ ὡς ἐσχάτην πενίαν, τὴν δὲ ὡς ἀσθενείαν τὴν αἰσθητὴν, διαπτύει καὶ ἀποπέμπεται. οὐδὲν γὰρ ἀγαθὸν εἶναι, ὃ μή τι βελτίους ποιεῖ τῶν κεκτημένων, ἀλλὰ καὶ χείρους ὡς τὰ πολλά. μήτι δὲ τέλεον παραμένει τοῖς ἔχουσι. φιλοσοφίαν δὲ προΐσταται τὴν δέσποιναν τῶν παθῶν, καὶ τῶν καλῶν προσβαίνει νεανικῶς, καὶ ἀπὸ τῆς ὕλης τέμνεται, πρὶν διαζευχθῆναι τῆς ὕλης, καὶ τῶν ἐρωμένων κατεξανίσταται. μεγέθει φύσεως καὶ προαιρέσεως εὐγενείᾳ, τοῖς ἑστῶσι προστιθέμενος. ἐπεὶ δὲ οὕτω διενοήθη. τοῦτο μὲν οὐδὲ βουλῆς ἠξίωσε, πότερα δεῖ τὴν φιλοσοφιῶν ἑλέσθαι μᾶλλον, τὴν ἔξω καὶ παίζουσαν τὰς τῆς ἀληθείας σκιὰς ἐν τῷ τῆς φιλοσοφίας σχήματι καὶ προβλήματι, ἢ τὴν ἡμετέραν, καὶ ταπεινὴν μὲν τῷ φαινομένῳ, ὑψηλὴν δὲ τῷ κρυπτομένῳ, καὶ πρὸς θεὸν ἄγουσαν, ἀλλὰ πάσαις ψήφοις αἱρεῖται τὴν ἡμετέραν, μηδὲν ὅλως εὐθὺς τὰ χείρω παρατραπεὶς τὴν διάνοιαν, μηδὲ ὑπὸ τῆς τῶν λόγων κομψείας παρασυρεὶς, ἣ φρονοῦσιν οἱ τὰ ἑλλήνων φιλοσοφοῦντες. ἐκεῖνο δὲ πρῶτον φιλοσοφεῖ, γνῶναι ἡμετέρων ὁδῶν τὴν αἱρετωτέραν τε καὶ λυσιτελεστέραν, ἐπίσης αὐτῷ τε καὶ πᾶσι χριστιανοῖς. πανταχοῦ γὰρ τῷ καθ' ἕκαστον καὶ τὸ κοινὸν συλλαμβάνειν, ψυχῆς εἶναι τελειωτάτης τε καὶ φιλοσοφωτάτης οἰόμενος. οὐδὲ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον ἕκαστον ἡμῶν, ἀλλὰ καὶ πᾶσιν, ὅσοι τῆς αὐτῆς μετέχουσι φύσεως, καὶ παρὰ τοῦ αὐτοῦ, καὶ εἰς τὰ αὐτὰ γεγόνασιν. ὁρῶνται τὸν μὲν ἐρημικὸν βίον, καὶ ἰδιάζοντα, καὶ τὴν πολλῶν ἔκφυγον καὶ ἀλλότριον, μέγα μὲν καὶ ὑψηλὸν, καὶ ὑπὲρ τὰ ἀνθρώπινα, μέχρις αὐτῶν δὲ μόνων τῶν κατορθούντων ἱστάμενον· καὶ ἔξω τῆς ἀγάπης κοινωνικὸν καὶ φιλάνθρωπον ἀπαρνούμενον, τὴν ἐν πρώτοις εἶναι τῶν ἐπαινουμένων ἐγίνωσκε, πρὸς δὲ καὶ ἀδοκίμαστον. ὡς οὔτε οἱ τοῖς πράγμασι γυμναζόμενον, οὔτε ἄλλοις παραμετρούμενον. τὸ δὲ κοινωνικὸν καὶ ἐπίμικτον, πρὸς τῇ βασάνῳ τῆς ἀρετῆς. ἔτι καὶ εἰς τὴν πολλῶν διατεῖνον, καὶ θείας οἰκονομίας ἐγγὺς, ἣ καὶ κατεκόσμησε τὸ πᾶν, καὶ φιλίᾳ συνέδησε, καὶ τὸ ἡμέτερον γένος ἐκπεσὸν τοῦ καλοῦ, διὰ τὴν ἐπεισελθοῦσαν κακίαν, ἐκ τῆς πρὸς ἡμᾶς ἐπιμιξίας καὶ ὁμιλίας, πάλιν ἀνεκαλέσατο. ταῦτα διανοηθείς τε καὶ ὁπλιζόμενος, καὶ ἅμα τὸν ἑλληνικὸν τῦφον κολάσαι τῶν καλῶν εἶναι νομίσας, οἱ τῷ τρίβωνι καὶ τῇ ὑπήνῃ τὸ σεμνὸν ὑποδύονται, τί ποιεῖ; καὶ πῶς τὴν φιλοσοφίαν μεταχειρίζεται; μέσην τινὰ χωρεῖ τῆς τε ἐκείνων ἀλαζονείας, καὶ τῆς ἡμετέρας σοφίας, καὶ τὴν μὲν τὸ σχῆμα καὶ τὴν σκηνὴν, ἡμῶν δὲ τὴν ἀλήθειαν καὶ τὸ ὕψος φιλοσοφεῖ· διὰ τοῦτο περιπάτων μὲν καὶ ἀκαδημίας, καὶ τὴν σεμνὴν στοὰν, καὶ τοῦ αὐτομάτου ἐπικούρου, μετὰ τὴν ἄτομον καὶ τῆς ἡδονῆς ὁρίῳ στέψας, ὅστις ἐκείνων τὸν ποιητὴν, ὡς ποῤῥωτάτω πέμπει καὶ ἀποκρούεται. κυνικῆς δὲ, τὸ μὲν ἄθεον διαπτύσας, τὸ δὲ ἀπέριττον ἐπαινέσας. τοῦτό ἐστιν, ὃ νῦν ὁρᾶτε, κύων κατὰ τὴν τῶν ὄντως κυνῶν, καὶ φιλόσοφος κατὰ τοὺς ἀσόφους, καὶ χριστιανὸς ὑπὲρ πάντας, καὶ νικήσας τὴν μὲν ἐκείνων αὐθάδειαν, τῇ τοῦ σχήματος ὁμοιότητι, τὴν δὲ παρ' ἡμῖν ἐστὶν ὧν τὴν ἀπειροκαλίαν, τῇ καινότητι τοῦ ἐνδύματος, δεικνὺς ὅτι μὴ ἐν μικροῖς τῶν εὐσεβῶν, μηδὲ ἐν τῷ κατηφεῖ τὸ φιλόσοφον, ἀλλ' ἐν ψυχῆς στεῤῥότητι καὶ διανοίας καθαρότητι, καὶ γνησίᾳ τῇ πρὸς τὸ καλὸν νεύσει. ὅπως ἂν τοῦ σχήματος ἔχωμεν, καὶ οἷς ποτ' ἂν ὁμιλῶμεν, εἴτε ἡμῖν αὐτοῖς μόνοις, συστέλλοντες τὸν νοῦν ἀπὸ τῶν αἰσθήσεων, εἴτε τοῖς πολλοῖς τε καὶ ὁμοφύλοις, ἰδιάζοντες ἐν τῷ κοινῷ, καὶ φιλοσοφοῦντες ἐν οὐ φιλοσοφοῦσιν, ὡς ἡ Νῶε κιβωτὸς ἐκείνη, ἐν κατακλυσμῷ κατακλυσμοῦ κουφοτέρα, καὶ ἡ τοῦ ὄρους βάτος, ἣν καίον τὸ πῦρ οὐ κατέτηκε, τὸ μέγα Μωϋσέως ὅραμα· οὔτι αὐτοί τι πάσχοντες τοῖς πολλοῖς· οὐ μᾶλλόν γε, ἢ ἀδάμας τοῖς παίουσι, καὶ δι' ἑαυτὴν τῶν ἄλλων βελτίους ποιοῦντες εἰς δύναμιν. ταύτης καρπὸς τῆς φιλοσοφίας, οὐ λόγῳ πλαττόμεναι πόλεις, σκινδαψοί τινες, ὡς αὐτοί φασι, ἢ τραγέλαφοι, ἃ γλῶσσα μόνη συντίθησιν. οὐδ' αἱ κατηγορίαι τινὲς καὶ ἀναλύσεις, καὶ μίξεις τὸ δὲ συμβάματα καὶ παρασυμβάματα, καὶ ἡ τεχνολογουμένη σοφία·

ὁρῶν δὲ

οὐδὲ

οὐδὲ γεγραμμέναι τινὲς οὐδαμοῦ κείμεναι, οὐδὲ ἀστέρων πλοκαὶ καὶ σχήματα κατὰ τῆς προνοίας ἐπινοούμενα. ταῦτα μὲν γὰρ αὐτῷ δεύτερα λόγου καὶ πάρεργα, καὶ τοσοῦτον παιζόμενα, ὅσον μὴ παίζεσθαι παρὰ τῶν εἰδέναι προσποιουμένων. τί δὲ τὸ πρῶτον καὶ σπουδαζόμενον; ἡ πρὸς ἄρχοντας δικαιολογία, ἡ πρὸς βασιλέας παῤῥησία κατὰ τὸν θεῖον Δαβὶδ λαλοῦντα ἐναντίον βασιλέων, καὶ μὴ αἰσχυνόμενον· δήμων ἀλογίαν συστέλλαι κυμαινομένων, δυναστῶν ὕβριν ἀγριαινόντων, οἴκων ἀῤῥωστίαν στασιαζόντων, ἀπαιδευσίαν ἀγροικιζόντων, πεπαιδευμένων ἀλαζονείαν, πλοῦτον ἐπαιρόμενον. κόρον ὑβρίζοντα, πενίαν κακουργοῦσαν, θυμὸν ἐκφερόμενον, καὶ τὸν λογισμὸν ἐκφέροντα, ἡδονῆς ἀμετρίαν, γέλωτος ἀκρασίαν, λύπης ἀδημονίαν παῦσαι, νεότητος ἀνωμαλίαν, γήρως μικροψυχίαν, χηρείας ἐρημίαν, ὀρφανίας ἀπόγνωσιν. ταῦτα τῶν συλλογισμῶν καὶ τῶν γραμμῶν, καὶ τοῦ κεχηνέναι πρὸς τοὺς ἀστέρας, ἆρ' οὐ μακρῷ προτιμήσει τις εὖ φρονῶν; ἐκεῖνο ἐνθυμηθείς, ὅτι συναγόντων μὲν ταῦτα, ἢ γεωμετρούντων, ἢ ἀστρονομούντων, οὐδὲν ἂν ὁ βίος ἡμῶν παρὰ τοῦτο ὠφεληθείη, ὅτι μὴ καὶ τὰ πάντα λυθήσεται. τούτων δὲ ὧν εἶπον ἀναιρουμένων, ἀταξία τὸ πᾶν καὶ σύγχυσις. ταῦτα τῆς ἀπαθοῦς ἀλαζονείας, καὶ τῆς διογένους ὠμοφαγίας, καὶ τῆς κράτητος κυνογαμίας τί χρὴ λέγειν ὅσῳ κρείττω καὶ ὑψηλότερα; πλὴν φειδόμεθα κἀκείνων αἰδοῖ τῆς προσηγορίας, ἵνα τι τοῦ αἰδοῦς ἀπολαύωσιν· ἡμεῖς δέ, ἵνα τὰ ἐν μέσῳ συνέλθωμεν, τὸ σῶφρον, τὸ ἐγκρατές, τὸ ἄτυφον, τὸ ἐπίχαρι, τὸ κοινωνικόν, τὸ φιλάνθρωπον. τἄλλα οἷς ὑπὲρ ἅπαντας ὁ ἀνήρ, ἤδη τὸ πλεῖστον μὲν τῇ τάξει, πρῶτον δὲ τῇ δυνάμει τεθέαμαι, ἣν ὅτε μάλιστα εἴχομεν ἀπὸ τῶν αἱρέσεων, ἡνίκα σίμωνες μὲν καὶ μαρκίωνες, οὐαλεντῖνοί τε καὶ βασιλείδαι καὶ κέρδωνες, κήρινθοί τε καὶ καρποκράτεις, καὶ πᾶσα ἡ περὶ ἐκείνους φλυαρία τε καὶ τερατεία, ἤδη πλεῖστον τὸν τῶν ὅλων θεὸν τεμόντες, καὶ ὑπὲρ τοῦ ἀγαθοῦ τῷ δημιουργῷ πολεμήσαντες, ἔπειτα καταποθέντες τῷ ἑαυτῶν βυθῷ, καὶ τῇ σιγῇ παραδοθέντες, ὥσπερ ἦν ἄξιον. μοντανοῦ δὲ τὸ πονηρὸν πνεῦμα, καὶ τὸ μανοῦ σκότος, καὶ ναυάτου θρασύτης ἢ καθαρότης· σαβελλίου τε ἡ κακὴ συνηγορία τῆς μοναρχίας, εἶξε καὶ ὑπεχώρησαν, ἡ μὲν εἰς ἀτιμοτέραν μοῖραν ἀποκριθεῖσα, ἡ δὲ καὶ παντάπασι περιφρονηθεῖσα καὶ παραῤῥιφεῖσα διὰ τὸ ἀσθενές. ἄλλο δὲ οὐδὲν ἐπελύπει τὴν ἐκκλησίαν. οἱ γὰρ διωγμοί, καὶ λαμπροτέραν αὐτὴν ἐποίουν τοῖς πάθεσιν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ δευτέρα ζάλη κατὰ τῆς ἐκκλησίας ἐγείρεται, ὁ τυφὼν τῆς ἀδικίας, τὸ πλήρωμα τῆς ἀσεβείας, ὁ λεγεὼν τῶν πνευμάτων, ἡ ἀντίχριστος γλῶσσα, ὁ ἀδικίαν εἰς τὸ ὕψος λαλήσας νοῦς, ἡ κατατομὴ τῆς θεότητος· οὗ δεινὴ μὲν ἡ ἐγχείρησις, δεινοτέρα δὲ ἡ τελευτή, καὶ τῆς ἰούδα προδοσίας ἀξία, ἣν ἐκεῖνος κατὰ τοῦ σωτῆρος ἡμῶν ἐτόλμησεν ἄρειος, ὁ καλῶς μετὰ τῆς μανίας ὀνομαζόμενος. οὗτος ἀπὸ τῆς ἀλεξανδρέων ἀρξάμενος πόλεως, κἀκεῖ τὸ δεινὸν ἐκμελετήσας, ἔπειτα ὥσπερ τις ἀγρία φλὸξ ἀπὸ μικροῦ τοῦ σπινθῆρος ἐπὶ πολὺ τῆς οἰκουμένης ἤδη δραμὸν, ὑπὸ τῶν πατέρων ἡμῶν καταλύεται, καὶ τοῦ εὐσεβοῦς ἀριθμοῦ τοῦ τότε καταλαβόντος τὴν νίκαιαν, καὶ ὅροις περιγράψαντος ὅρων τε καὶ ῥημάτων τὴν θεολογίαν στήσαντος, πάλιν πονηρᾷ βασιλείᾳ, καὶ πάλιν ἀνάπτει τὸ κακόν. καὶ ὥσπερ τὰ ὕπουλα τῶν τραυμάτων ἀναστομοῦται καὶ ἀναῤῥήγνυται. καὶ λύκοι βαρεῖς ἄλλος ἄλλοθεν διαλαβόντες ἡμᾶς, τὴν ἐκκλησίαν σπαράττουσιν. ἱερεῖς τε κατὰ τῶν ἱερέων ὑποπλισθέντες, καὶ δῆμοι δήμοις ἐπιμανέντες, καὶ βασιλεὺς ἀσεβεία διὰ τὴν παῤῥησίαν, καὶ κατὰ τῆς ὀρθῆς δόξης νομοθετῶν, καὶ οἱ μήτε ἄνδρες, μήτε γυναῖκες, παρ' αὐτῷ δυναστεύοντες. τίς ἂν τὰ τότε κακὰ πρὸς ἀξίαν ἐκτραγῳδήσειε; τὰς φυγάς, τὰς δημεύσεις, τὰς ἀτιμίας, τὰς ἐπὶ τῆς ἐρημίας συνάξεις, μυριάδων ὅλων καὶ πόλεων ὑπαιθρίων ταλαιπωρουμένων, καὶ ὑετοῖς καὶ χειμῶσι πιεζομένων, τὰς ἐντεῦθεν ἀπαναστάσεις. οὐδὲ γὰρ τὴν ἐρημίαν εἶχον ἀκίνδυνον, τὰ ἔτι τούτων χαλεπώτερα, τοὺς αἰκισμούς, τοὺς θανάτους, τὰς θριαμβεύσεις, ἐπισκόπων, φιλοσόφων, αἰδοίων, γυναικῶν, νέων, γεγηρακότων, τοὺς ἤδη νοσοῦντας τὰ δεινά, τοὺς προσεπινοοῦντας, τοὺς ὑπερβαλλομένους τῇ ἀσεβείᾳ δυνάστας, οἷς τοῦτο μόνον πολλάκις εἰς εὐδοκίμησιν ἤρκεσε, τὸ πικρότερον φανῆναι τῆς τοῦ κρατοῦντος βουλήσεως. ἄρτι μὲν ὁ λαμπρὸς διωγμὸς εἶχε τὸ δρᾶμα, καὶ πέρας καλῶς ἡμῖν ἡ δίκη τὸν ἀλιτήριον καταλύσασα, καὶ πολλῶν αἱμάτων ἐκπραξαμένη δίκην δι' ἑνὸς αἵματος. ἄρτι δὲ ὁ ἀπρεπὴς ἄρχεται, καὶ τὸ ἀμύνειν χριστιανοῖς πρόσχημα ἔχων τῆς ἀσεβείας τοῖς ἀληθῶς χριστιανοῖς ἐπιφύεται, καὶ τοσοῦτον ἐκείνου χαλεπώτερος γίνεται, ὅσῳ τότε μὲν ἡ ἄθλησις περιφανεστέρα καὶ λαμπροτέρα. νῦν δὲ καὶ τὸ παθεῖν ἀφιλότιμον, πλήν γε τοῖς εὐδικαίοις τῶν παθῶν λογισταῖς. βούλεσθε διηγήσωμαι τῷ θεάτρῳ καινόν, καὶ αὐτῷ γε ἴσως τῷ καρτερικωτάτῳ, καὶ τῶν παθῶν κρείσσονι. οἶδε τῶν τότε γενομένων ἐπιμαρτυρεῖ δὲ πολλοὶ τοῦ λόγου, καὶ ἤδη καὶ εἰς πολλοὺς ἦλθεν ἡ ῥαψῳδία τοῦ πάθους· οἶμαι δὲ καὶ ὁ μέλλων ἀπολήψεται χρόνος τοῦ καιροῦ τὸ διήγημα, πῶς φέρουσιν ἔχουσι τὴν πρεσβυτέρων [illegible],

καὶ ταῦτα οὐχ ὑπὲρ κακοῦ τινος, ἀλλ' ὑπὲρ πίστεως κινδυνεύοντα, καὶ τῷ πελάγει ἀφίεται,
οὐχ ἵνα σώσῃ τὸν ἐπιβάτην, ἀλλ' ἵνα ἀπολέσῃ. καὶ ὁ φόρτος πρόθυμος· εὐσεβεῖς γάρ, καὶ πῦρ τῷ φόρ-
τῳ συνέμπορον, καὶ τρυφᾷ τὸ καινὸν τῆς κολάσεως ὁ διώκτης. φεῦ τοῦ θεάματος, φεῦ τοῦ
δράματος, ἡ ναῦς πέλαγος, τὸ θέατρον ἐπὶ ταῖς ἀκταῖς, τῶν μὲν ἐφηδομένων, τῶν δὲ ὀδυρομέ-
νων. πῶς ἂν ἐν ὀλίγῳ τὸ πολὺ παραστήσαιμι; ἅπτεται τὸ πῦρ, δαπανᾶται ἡ ναῦς, συνδαπα-
νᾶται ὁ φόρτος, πῦρ ὕδατι μίγνυται, καὶ συντρέχει τὰ ἐναντία, εἰς εὐσεβῶν κόλασιν, τὰ δύο στοι-
χεῖα, ἓν σῶμα μερίζεται, καὶ πυρσὸς ὑπὲρ θαλάσσης αἴρεται ξένως. οὐ προσπελάζει μὲν τὰ χα-
λεπὰ ὡς ἡμέρῳ καὶ φιλανθρώπῳ. προσπελάσων δὲ, εὗρε θέαμα ἐλεεινόν τι καὶ ἄπιστον, αὐτὸ κυ-
βερνήτου πλοῖον, αὐτὸ χειμῶνος ναυάγιον. ἢ ὁ πρεσβύτερος κόνις, καὶ οὐδὲ κόνις ἀπαρὲς ἐν τοῖς
ὕδασι, καὶ οὐδὲ τούτου ἡ ἱερωσύνη ὅσον τε λαβεῖν τοῦ γοῦν εὐσχημονεστέρας τυχεῖν. εἰ δὲ μὴ πλου-
τεῖς, ἀλλὰ ταφῆς γε πάντως ἣ καὶ τοῖς ἀσεβέσιν ὀφείλεται. τοιοῦτος ὁ τῶν ἀσεβῶν στόλος, τοιοῦ-
τον τῶν εὐσεβῶν τὸ τέλος. καὶ ὕδατι μὲν πῦρ αἰώνιον εὐαγέστερον, οὐδὲ κολαστικὸν τοῦ τοιαῦτα τυ-
ραννοῦντος. ἀλλὰ τί μοι τὰ ἔξωθεν, ἐπ' αὐτὴν ἤδη βαδιστέον τὴν ἄθλησιν, καὶ τὸν στεφανίτην ὑ-
πὲρ εὐσεβείας ἀγῶνας, οὓς πᾶσι τοῖς προλαβοῦσιν ὥσπερ τινὰ σφραγῖδα καλὴν ἐπέθηκεν,
ἤκμαζε γὰρ ἐν τῇ σῇ πόλει, τὸ τῆς αἱρέσεως ταύτης κακόν, ὅθεν καὶ ἤρξατο. ἐπειδὴ τὸν μὲν ἅγιον
τοῦτον τῆς οἰκουμένης ὀφθαλμόν, καὶ ἀρχιερέα τῶν ἱερέων, τὸν τῆς ὁμολογίας καθηγητὴν
καὶ διδάσκαλον τοῖς ἑαυτοῦ περὶ τῆς εὐσεβείας ἀγῶσι, τὴν μεγάλην φωνὴν τὸ τῆς πίστεως ἔρει-
σμα, τὸν δεύτερον Χριστοῦ λύχνον καὶ πρόδρομον, εἰ θέμις τοῦτο εἰπεῖν, ἐν γήρᾳ καλῷ κοιμηθέν-
τα, καὶ παρὰ τὴν κατὰ θεὸν ἡμερῶν, μετὰ τὰς συκοφαντίας, μετὰ τοὺς ἄθλους. μετὰ τὴν πεσόν-
τος χεῖρα, μετὰ τοὺς ζῶντας νεκρούς, ἢ τελειὰς πρὸς ἑαυτὴν μετὰ τί θῆσιν ἢ συνίζησε καὶ ὑπὲρ
ἧς ἐκινδύνευσεν. ἀθανάσιον οἶδ' ὅτι πᾶς τις ἐν τοῖς λόγοις ἐπιγνώσεται. δεύτερα δέ τις αἰγύπτου
πληγὴ καὶ μάστιξ, ἑαυτὸν ἐπεισάγει τῇ ἐκκλησίᾳ, ὁ τῆς ἀληθείας προδότης, ὁ τῶν λύκων ποιμήν,
ὁ διὰ τῆς αὐλῆς ὑπερβαίνων λῃστής, ὁ δεύτερος ἄρειος, ἢ θολερὰ καὶ ἄποτος ἀναβλυτή, ὁ τῆς ἀθέου
πηγῆς δευτερεύων ποταμός ὀκνῶ γὰρ τὰς τότε παρανομίας εἰπεῖν καὶ μιαιφονίας. μεθ' ὧν τὸν
ἅγιον καταλαμβάνει θρόνον ἢ ὑπὲρ καὶ τῆς πονηρᾶς εἰσόδου τὰ προοίμια τὰ. ὀδύρομαι δ' ὅ-
μως ὀλίγα ἐκ πολλῶν, ἃ καὶ ὑμεῖς ὀδύρεσθέ τι καὶ προσοδύρεσθε τῷ θείῳ δαβὶδ συγχρωμέ-
νους· ὁ θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. ὧ τὰ ἕτε-
ρα ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου πετεινῶν βρώματα, καὶ θηρίων σπαράγματα. πρὸ
σθῶ δὲ περὶ αὐτῶν κἀκεῖνα, ὡς ἔλαθεν ἱερεὺς καὶ ἱερᾶς ᾠδῆς ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ
ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. πῶς γὰρ οὐκ ἐνεκαυχήσαν-
το; πῶς δὲ οὐκ ἐμίαναν τὸν ναὸν τὸν ἅγιον συμφοραῖς πολυτρόποις καὶ παντοίοις κακοῖς. ἐστρα-
τήγει μὲν ἀνὴρ ἄθεος καὶ παράνομος, οὐδὲ ὄνομα χριστιανοῦ πεπλασμένος (τοῦτο γὰρ τῆς ὕβρεως
τὸ δεινότατον) ἀλλ' ἐκ τῶν εἰδωλολατρῶν ἐπὶ τὸν τοῦ θεοῦ ναὸν ἐπειγόμενος ἐκ τῶν ἀκα-
θάρτων αἱμάτων, ἐπὶ τὰ μυσαρώτερά τι καὶ βδελυκτότερα. καὶ τοῦτο ἱεροσυλῶν ἴσως
τὴν καθ' ἡμέραν ὕβριν τοῖς δαίμοσι. παρεσκεύαστο δὲ δύναμις θυμῷ ζέουσα. στρατὸς ἀλ-
λόκοτος καὶ ἀνήμερος, κατὰ τὴν ἀπωλείαν καὶ ἀπηλλαγμένοι, ἐξωθεῖτο μὲν ὁ τοῦ ἁγίου διαδ-
όχου ἱερεύς, ὁ νόμῳ καὶ τάξει πνεύματος κεχρισμένος, καὶ πολιᾷ καὶ φρονήσει τιμώ-
μενος. ἐβασίλευε δὲ ταβεὴλ ὁ κληρονόμος τὴν ἀλλοτρίαν, κατὰ τῶν ἁγίων ὅπλα κατὰ τῶν ἀσύλων
μιαραὶ χεῖρες, κατὰ τῶν ᾠδῶν σάλπιγγες. σκόπει μοι τὰ τούτοις ἑπόμενα. πεπτωκυίας αἰδοῦς
ἐν τοῖς ἁγίοις, συμπατουμένας γυναῖκας, ἔστιν ἃς καὶ μετὰ τοῦ φόρτου τῆς φύσεως· τοὺς πρεσ-
βυτέρους τόκους καὶ ἀτόκους εἰπεῖν αἰσχρότερον. διελκομένας παρθένους οἰκτρῶς, αἰκιζομένας αἰ-
σχρότερον. αἰσχύνομαι καὶ γυναῖκας καὶ ἄνδρας εἰπεῖν τὸν τρόπον, καὶ γυμνῶσαι τῷ λό-
γῳ τὰ κρυπτὰ τῆς αἰσχύνης, οἷς καὶ τότε γυμνωθεῖσιν αἰσχύνομαι· τὰς μὲν κατὰ φερέτρων φε-
ρομένας τῆς εἰσόδου τοῦ ἱεροῦ· τὰς δὲ ἐκ τῶν ὑπερῴων κρημνιζομένας ἐπὶ τῇ ἁρπαγῇ τῶν ὁρω-
μένων· τὰς δὲ ταῖς κεφαλαῖς ἐπιθερμομένας τοὺς ἐπὶ τοῖς φόνοις, φόνους· τὰ ἐπὶ τοῖς πτώ-
μασι πτώματα, πατούμενα βεβήλοις ποσὶ τὰ ἅγια· θυσιαστήρια καθυβριζόμενα ῥήμασιν
ἀσελγέσι καὶ ᾄσμασιν. ὡς δὲ ἀκούω, τί τοῦτο ἡ τολμηρὰ γλῶσσα φθέγξεται; καὶ τοῖς ὑπὲρ
αὐτῶν ὀρχήμασι καὶ λυγίσμασι, διηκριβοῦσαι ἐπὶ τῶν ἱερῶν θρόνων γλώσσαις βλασφη-
μιῶν, μυστήρια κωμῳδούμενα, σιωπωμένας ψαλμῳδίας, οἰμωγὰς ἀντηχουμένας, αἱμά-
των ὀχετούς, δακρύων πηγάς, ἱερεῖς ἀγομένους, μονοτρόπων σπαρασσομένων, πάσαν τῆς ἀσεβεί-
ας καταδρομῆς τὴν εἰκόνα, ἣν ποτε τὴν ἁγίαν ἱερουσαλὴμ κατέδραμον ἣν μήτε λόγος ἀ-
ξίως παραστῆσαι, μήτε ἀκοὴ χωρῆσαι δύναται, μόνης δὲ τῆς ἱερεμίου καὶ ψυχῆς καὶ φωνῆς πρὸς
ἀξίαν ὀδύρεσθαι. ὃς καὶ πηγὰς δακρύων ἐπιζητεῖ, ἢ ἐκ τειχῶν προκαλεῖται θρήνων ἐπὶ
τοιούτοις πάθεσι, καὶ ὁδοῖς σιὼν ἐπιβάλλει πένθος οὐκ ἀγούσαις τοὺς ἑορτάζοντας. τοῦτο τὸ
δρᾶμα· εἰ δὲ μὲν ἑώα λῆξις, ἰθαγενὴς δὲ καὶ ἑσπέριος, ἢ τὰ σύμβολα τῆς ἀκριβείας ὁ φυγὰς ἱε-

ρῶς

φοὺς ἐθεράπευσε. τίνα τρόπον; προὔθηκε τῇ ἐκκλησίᾳ ῥωμαλέον, αὐτὶ τῶν νεκρῶν, τὴν ἠμαγμένην ἐσθῆτα, καὶ κινεῖ παίδευμα δάκρυα διὰ τῆς σιωπώσης κατηγορίας, ἵνα καὶ παραστήσῃ τὸ πάθος, καὶ τῶν δεινῶν ἐπίκουρον λάβῃ. ὥσπερ οὖν καὶ ἀλειφότα ἔγνωμεν, ἐπειδὴ φιλεῖ μάλιστα κάμπτεσθαι, τὸ προέχον πρὸς τὸ ἀσθενές, ἐκ δὲ εὐνοίας ἑκουσίου τῷ ἐλαττωμένῳ προστίθεσθαι. τοῦτο ἐνίκησε μέν, οὐδὲ τῶν ἄλλων εὐσεβῶν οὐδὲ εἷς. σὺ δὲ κινεῖ καὶ πλέον ὅσῳ καὶ τὸν λόγον πλειώτερος, καὶ τὸν ζῆλον θερμότερος. διὰ τοῦτο πολεμεῖς μὲν ὑπὲρ τοῦ λόγου, πολεμῇ δὲ ὑπὸ τῆς ἀσεβείας, καὶ πρὸς πολλοῖς ἄλλοις, οἷς ὑπὲρ τοῦ καλοῦ πράττων καὶ λέγων ἠγώνισαι, διδάσκων, νουθετῶν, ἐξαιρούμενος, ἐλέγχων, ἐπιτιμῶν, συγχέων ἰδιώτας, ἄρχοντας, ἰδίᾳ, δημοσίᾳ, κατὰ πάντα καιρὸν καὶ τόπον. τέλος, μανίᾳ συναρπασθεὶς δυσσεβοῦς ἐξουσίας. ὢ τῆς εὐγενοῦς συμφορᾶς, ὢ τῶν ἱδρώτων σου τραυμάτων. ξαίνῃ μὲν τὸ καλὸν σῶμα ταῖς μάστιξιν, ὥσπερ δὲ ἄλλου διὰ τὸν πάσχοντος. καὶ κάμπτει μὲν τὸ ὁρώμενον, οὐ καταβάλλει δὲ τὸ νοούμενον. ἐπιλιτεύεις τὴν ἀνδρείαν ἐν ταῖς ἀπαιτούντων ὄψεσι· γίνῃ δὲ καὶ σιγῶν, τῆς καρτερίας διδάσκαλος. ἐπειδή γε ἡ γλῶσσα κεκώλυται τὸ φθέγγεσθαι, εἶτα τι τῆς πατρίδος ὑπερορίζῃ, ὁ μηδὲ μίαν εἰδὼς οἰκείαν καὶ ἀλλοτρίαν, ἐμοὶ δοκεῖν, ἵνα καὶ ἄλλοι παιδευθῶσι διὰ σοῦ τὴν εὐσέβειαν. ἐκεῖνος σοι τὸ φυγαδευτήριον, ἡ ἀπαίδευτος ζημία. τὸ διὰ σὲ λοιποὺς εὐαγγέλιον χωρεῖν, μεταδοὺς ἡμῖν, καὶ τῆς τῆς ὑπερορίας σου καλῶν, ἐπειδή τι τῆς τῆς ἐπανόδου μετέδωκας. ποίησον ἡμῖν διάγραψον τὴν ἐπάνοδον. τίνας ἐκεῖ φιλοσοφεῖν ἐδίδαξας; τίνας ἐκάθηρας τῶν ἀσεβῶν ὑπολήψεων; τίνας τῇ εὐσεβείᾳ προσήγαγες; ὁρᾶν μοι δοκῶ σε ἐκεῖ παιδευτήριον, τὴν πόλιν σε τελευτὴν ἐπανήγειν. ἐπεὶ καὶ τοῦτο. εἶχες τινὰ παραμυθίαν τοῖς λειψάνοις τοῦ σώματος, ἢ καὶ τὴν πονίαν ἐφιλοσόφεις. εἶχες τινὰς κοινωνοὺς τῆς ἀθλήσεως, ἢ καὶ τοῦτο πειρώμενος ἐνήνεγκας. ἐπόθεις τοὺς ἀδελφοὺς τοὺς κοινωνούς σοι καὶ τῆς ἀγωνίας, καὶ τῆς καρτερίας, ἢ καὶ τῆς τούτων συνηθείας ἦς ὑψηλότερος. ἐκάμπτει σε γηραιᾶς μητρὸς ἐρημία, ἢ καὶ λίαν ἐθάρρεις, ὡς μέγιστον εἰς ἀσφάλειαν καταλιπὼν αὐτοῖς τὴν εὐσέβειαν. ἀλλ' ἐπειδή γε καλῶς ποιῶν ἐπανήκεις ἡμῖν, καὶ σὲ τοῖς ποθοῦσι πολλοῦ ὦν τὰ πάλιν ἀπέδωκεν ὁ δοξάζων τοὺς δοξάζοντας αὐτόν, καὶ παραζηλῶν τοὺς παραζηλοῦντας, ὁ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, καὶ τοῖς νεκροῖς ἐμπνέων ἀνάστασιν· ὁ Λάζαρον μὲν τεταρταῖον, σὲ δὲ ταραιτῇ ζωοποιῶν παρ' ἐλπίδας, καὶ συνάγων ὀστᾶ πρὸς ὀστᾶ, καὶ ἁρμονίαν πρὸς ἁρμονίαν, τὴν Ἰεζεκιὴλ ὄψιν, τοῦ προφητῶν θαυμασιωτάτου καὶ ὑψηλοτάτου. ἔχον μοι πάλιν τῆς αὐτῆς ἐργασίας καὶ παρρησίας, ἵνα μὴ δόξῃς ἐγκεκόφθαι τοῖς πάθεσι, μηδὲ προδιδόναι δειλίᾳ τὴν φιλοσοφίαν. σύγχει μὲν καὶ τὴν ἑλλήνων δεισιδαιμονίαν ὡς πρότερον, καὶ τὴν πολύθεον αὐτῶν ἀθεΐαν, καὶ τοὺς παλαιοὺς θεούς, καὶ τοὺς νέους, καὶ τοὺς αἰσχροὺς μύθους, καὶ τὰς αἰσχροτέρας θυσίας, πλὴν πλέον καθαιρόντων, ὡς αὐτῶν τινος λέγοντος ἤκουσα. λέγω δὴ σώμασι σώματα, τοῖς τῶν ἀλόγων ζώων τὰ ἑαυτῶν, καὶ τὰ σεμνὰ πλάσματα, καὶ τὰ ἀσχήμονα τερατεύματα. οἷς εἰ μὲν τὸ θεῖον δείξονται, τῆς κακοδαιμονίας· εἰ δὲ παραδεικνύουσι, τῆς ἀφελείας. διδασκέτωσαν γάρ τις ὁ λόγος. καὶ τί τὸ τῆς ἀσχημοσύνης τῆς περὶ ταῦτα μυστήριον; δεῖ γὰρ μηδὲ τὰς ἐμφάσεις τῶν καλῶν τὸ αἰσχρὸν ἔχειν, εἰ δὲ ἄλλο τι περὶ ταῦτα εἰκὸς φασί; τί τοῦτο; πειθέτωσαν, καὶ ἐκ ποίων λόγων ἢ θεολόγων; σύγχει δὲ καὶ τὰς τῶν αἱρέσεων ἐπαναστάσεις, καὶ τοσούτῳ θερμότερον, ὅσῳ προσπεπόνθας. γνησιώτερον γὰρ ἐκ τοῦ παθεῖν τὸ φιλόσοφον, ὥσπερ ψυχθεὶς σίδηρος ἔμπυρος, οὕτω τοῖς κινδύνοις στομούμενον. δείξον δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν, διδάσκων, ἕνα μὲν εἰδέναι θεὸν ἀγέννητον τὸν πατέρα· ἕνα δὲ γεννητὸν κύριον, τὸν υἱόν. θεὸν μέν, ὅταν καθ' ἑαυτὸν λέγηται προσαγορευόμενον κύριον δέ, ὅταν μετὰ πατρὸς ὀνομάζηται· τὸ μὲν διὰ τὴν φύσιν, τὸ δὲ διὰ τὴν μοναρχίαν. ἓν δὲ πνεῦμα ἅγιον, προελθὸν ἐκ τοῦ πατρὸς ἢ καὶ προϊόν, θεόν, τοῖς νοητῶς νοοῦσι τὰ προκείμενα. τοῖς μὲν ἀσεβέσι καὶ πολεμουμένοις, τοῖς δὲ ὑπὲρ τούτοις νοσουμένοις, τοῖς πνευματικωτέροις δὲ καὶ λεγομένοις, μήτε ὑπὸ ἀρχὴν ποιεῖν τὸν πατέρα, ἵνα μὴ τοῦ πρώτου τι πρῶτον εἰσαγάγωμεν, ἐξ οὗ καὶ τὸ εἶναι πρώτῳ περιτραπήσεται. μήτε ἄναρχον τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μὴ τὸ πατρὸς ἴδιον περιέλωμεν. οὐκ ἄναρχα γάρ. καὶ ἄναρχά πως, ὃ καὶ παράδοξον; οὐκ ἄναρχα μὲν γάρ, τῷ αἰτίῳ. ἐκ θεοῦ γάρ, εἰ καὶ μὴ μετ' αὐτόν, ὡς ἐξ ἡλίου φῶς· ἄναρχα δέ, τῷ χρόνῳ. οὐ γὰρ ὑπὸ χρόνον, ἵνα μὴ τὸ ῥέον ἢ τῶν ἑστώτων πρεσβύτερον, καὶ τῶν οὐσιῶν τὸ ἀνούσιον, μήτε ἀρχὰς τρεῖς, ἵνα μὴ ἑλληνικὸν ᾖ τὸ πολύθεον· μήτε μίαν μέν, ἰουδαϊκὴν δὲ στενήν τινα καὶ φθονερὰν καὶ ἀδύνατον, ἢ τῷ ἀναλίσκειν εἰς ἑαυτὴν θεότητα, ὃ τοῖς προάγουσι μὲν ἐκ τοῦ πατρὸς τὸν υἱόν, εἰς αὐτὸν δὲ πάλιν ἀναλύουσιν ἤρεσεν, ἢ τῷ καταβάλλειν τὰς φύσεις, καὶ ἀλλοτριοῦν θεότητος, ὃ τοῖς νῦν ἀρέσκει σοφοῖς, ὥσπερ δεδοικυῖαν μὴ ἀντεξάγηται, ἢ μηδὲν δυναμένην ὑπὲρ τὰ κτίσματα, μήτε ἀγέννητον τὸν υἱόν, εἷς γὰρ ὁ πατήρ, μήτε υἱὸν τὸ πνεῦμα, εἷς γὰρ ὁ μο-

νογενὴς, ἵνα καὶ ταῦτα θεϊκὸν ἔχωσι τὸ μοναδικόν. ὁ μὲν τῆς υἱότητος, τὸ δὲ τῆς προόδου καὶ οὐχ υἱότητος, ἀληθῶς πατέρα τὸν πατέρα, καὶ πολύ γε τῶν παρ' ἡμῖν ἀληθέστερον, ὅτι μόνως. ἰδιοτρόπως γὰρ, καὶ οὐχ ὡς τὰ σώματα, καὶ μόνος. οὐ γὰρ μετὰ συζυγίας, καὶ μόνου. μονογενοῦς γὰρ, καὶ μόνον οὐ γὰρ υἱὸς πρότερον, καὶ ὅλον πατέρα καὶ ὅλου. τὸ γὰρ ἡμέτερον ἄδηλον, καὶ ἀπ' ἀρχῆς. οὐ γὰρ ὕστερον, ἀληθῶς υἱὸν τὸν υἱὸν, ὅτι μόνου καὶ μόνος καὶ μόνως καὶ μόνον. οὐ γὰρ καὶ πατὴρ καὶ ὅλον υἱὸς, καὶ ὅλου, καὶ ἀπ' ἀρχῆς, οὔποτε τοῦ εἶναι υἱὸς ἠργμένος. οὐ γὰρ ἐκ μεταμελείας ἡ θεότης, οὐδὲ ἐκ προκοπῆς ἡ θέωσις, ἵνα λείπῃ ποτὲ, τῷ μὲν τὸ εἶναι πατρὶ, τῷ δὲ τὸ εἶναι υἱῷ. ἀληθῶς ἅγιον τὸ πνεῦμα τὸ ἅγιον. οὐ γὰρ καὶ ἄλλο τοιοῦτον, οὐδὲ οὕτως, οὐδὲ ἐκ προσθήκης ὁ ἁγιασμὸς, ἀλλ' αὐτοαγιότης, οὐδὲ μᾶλλον καὶ ἧττον. οὐδὲ ἀρξάμενον χρονικῶς ἢ παυσόμενον. κοινὸν γὰρ, πατρὶ μὲν καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, τὸ μὴ γεγονέναι καὶ ἡ θεότης. υἱῷ δὲ καὶ ἁγίῳ πνεύματι, τὸ ἐκ τοῦ πατρός. ἴδιον δὲ, πατρὸς μὲν, ἡ ἀγεννησία· υἱοῦ δὲ, ἡ γέννησις. πνεύματος δὲ, ἡ ἔκπεμψις. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλείψεις τοῖς μόνοις γινώσκειν ἄλληλα, καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρουμένοις, ἢ καὶ ἡμῶν τοῖς ἐκεῖσε ἐλλαμφθησομένοις ὕστερον. γενοῦ τι τῶν εἰρημένων πρότερον ἢ τοιοῦτος, καὶ τότε γνώσῃ τοσοῦτον, ὅσον ὑπ' ἀλλήλων γινώσκεσθαι. νῦν δὲ δίδασκε τοσοῦτον εἰδέναι μόνον· μονάδα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι προσκυνουμένην, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν, καὶ τὴν ἕνωσιν. μὴ φοβηθῇς τὰ πάθη γέννησιν ὁμολογῶν. ἀπαθὲς γὰρ τὸ θεῖον καὶ ἀγέννητον. ἐγώ σοι τούτου ἐγγυητὴς, ὅτι θεϊκῶς ἀλλ' οὐκ ἀνθρωπικῶς. οὐδὲ γὰρ τὸ εἶναι κατὰ σὲ αἰσθητόν. φοβήθητι χρόνον καὶ κτίσιν. οὐ γὰρ θεὸς ἐγένετο, μὴ θεῷ συνηγορῶν ἐξ ἀκαίρως θεὸν ἀπόλῃς, ὁμόδουλον ποιῶν τὸ ὁμόθεον, ὃ καὶ σὲ τῆς δουλείας ἐλευθεροῖ, ἀγνωμόνως ὁμολογῆς δεσποτείαν, μὴ φοβηθῇς τὴν πρόοδον. οὐ γὰρ ἀνάγκην ἔχει θεὸς, ἢ μὴ προβάλλειν, ἢ προβάλλειν ὁμοίως ὁ πάντα πλούσιος. φοβήθητι δὲ τὴν ἀλλοτρίωσιν, καὶ τὴν κειμένην ἀπειλὴν, οὐ τοῖς θεολογοῦσιν, ἀλλὰ τοῖς βλασφημοῦσι τὸ πνεῦμα τὸ ἅγιον. μήτε τὴν μοναρχίαν νοσηρῶς τιμήσῃς συναιρῶν ἢ πολυκόπτων θεότητα, μήτε τὸ τῆς τριθείας ἔγκλημα αἰσχυνθῇς. ἕως ἂν καὶ ἄλλος κινδυνεύῃ τὴν ἀθεΐαν. ἢ γὰρ συνέλυσας, ἢ συνηπόρησας, ἢ ὁ μὲν ἐν ἀνάγκαις μετὰ τῶν λογισμῶν καὶ θεότητι, σοὶ δὲ παραμένει θεότης. καὶ εἰ ὁ λόγος ἡττηθείη, κρεῖσσον ἀμεῖν ἐν τοῖς λογισμοῖς μετὰ τῆς ὁδηγίας τοῦ πνεύματος, ἢ προχείρως ἀσεβεῖν, τῇ ῥᾳστώνῃ διδόντα. διαπτύω μοι τὰς ἐνστάσεις καὶ τὰς ἀντιθέσεις τῆς νέας εὐσεβείας, καὶ τὴν μικρολόγον σοφίαν. καὶ διαπτύω πλέον, ἢ τὰ τῶν ἀραχνίων νήματα· μυίας μὲν κρατοῦντα, σφηξὶ δὲ ῥηγνύμενα, οὔπω λέγω δακτύλοις, οὐδὲ ἄλλῳ τινὶ τῶν βαρυτέρων σωμάτων. σὺ δίδασκε φοβεῖσθαι μόνον, τὸ λύειν τὴν πίστιν ἐν τοῖς σοφίσμασιν, οὐ δεινὸν ἡττηθῆναι λόγῳ, οὐ γὰρ παντὸς ὁ λόγος. δεινὸν δὲ ζημιωθῆναι θεότητι. πάντων γὰρ ἡ ἐλπίς. ταῦτα μὲν οὖν κατασκευῇ φιλοσοφήσεις οἶδ' ὅτι προθυμότερόν τι καὶ τελεώτερον. ἐγγύα τοί μοι τὰ σὰ τραύματα, καὶ τὸ σὸν σῶμα ὑπὲρ εὐσεβείας πεπονηκός, καὶ ἡμεῖς δὲ συμφιλοσοφήσομεν ὅση δύναμις. σὺ δὲ ὅταν ἐκδημήσῃς, τὴν καλὴν ἐκδημίαν, μέμνησό μοι τοῦ τελεί-δος ἐν σκηναῖς κατασκηνώσῃς, ἐπ' ὅλοις ἐν χειροποιήτοις οἰκεῖ θεὸς, καὶ τοῦ μικροῦ τούτου θρέψον, οὐκ ἐκ μικρῶν μὲν τῶν τῆς εὐσεβείας σπερμάτων, πλὴν ἔτι μικροῦ τε καὶ πενιχροῦ, καὶ κατ' ὀλίγον συναγομένου. ἐχρῆν ἤδη μὲν γὰρ ὡς συνάγοντα καλάμην ἐν ἀμήτῳ εἰδεῖν τὸ τοῦ προφήτου εἰπεῖν ἐν καιρῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγήτῳ, οὐχ ὑπάρχοντος βότρυος. ἀρχὰς τὴν συλλογὴν ἔσω, καὶ διὰ τοῦτο σπούδαζε πλεονεκτεῖσθαι ποιεῖν τὴν ἅλω, καὶ τὴν ληνὸν πληρεστέραν. διήγειρε καὶ τὴν ἡμετέραν κλῆσιν, καὶ τὴν ἄπιστον ἐπιδημίαν, ἣν οὐχ ὥστε συντρυφᾶν, ἀλλ' ὥστε συγκακοπαθεῖν πεποιήμεθα, ἵνα τῶν ὀδυνῶν μετεχόντες, καὶ τῆς δόξης μετάσχωμεν, τοῦτον σὺ τὸν λαὸν, ἔχεις συλλήπτορα ταῖς εὐχαῖς, τοῦτον συνέκδημον, τὸ στενὸν ἀριθμῷ ποίμνιον, καὶ οὐ στενὸν εὐσεβείᾳ, οὗ πλεῖον αἰδοῦμαι τὴν στένωσιν, ἢ τὴν ἑτέρων πλατύτητα. τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, μετὰ τοῦτον καὶ

τὸ ὕδωρ διαβῆναι, καὶ θύρας κλεισθήσεις, καὶ ἡμβλώσεις διανοίσας, οὕτως ἐκδη-
μεῖν, ὥσπερ ἔστειλας, καὶ πρὸς ἡμᾶς ἐπανήκειν πάλιν πλουσίως πλούσιος,
δεύτερος στεφανίτης, καὶ μεθ' ἡμῶν ἄδων τὸν ἐπινίκιον, νῦν τε
καὶ ὕστερον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΟΥΣ ΑΙΓΥΠΤΟΥ ΕΠΙΔΗΜΗΣΑΝΤΑΣ.

Τοὺς ἀπ' Αἰγύπτου προσφθέγξομαι. δίκαιον γάρ· ἐπειδὴ καὶ προθύμως συνεληλύθασι, τῷ ζήλῳ τὸν φθόνον νικήσαντες, Αἰγύπτου ταύτης, ἣν πλουτίζει μὲν ποταμὸς ἐκ γῆς ὕων καὶ πελαγίζων ὥρια, ἵνα καὶ αὐτὸς μικρόν τι μιμήσωμαι τῶν περὶ ταῦτα κομψῶν. πλουτίζει δὲ Χριστὸς ὁ ἐμός. πρότερον μὲν εἰς Αἴγυπτον φυγαδευόμενος, νῦν δὲ ἀπ' Αἰγύπτου χορηγούμενος. τότε μὲν ἐκ τῆς Ἡρώδου παιδοφονίας, νῦν δὲ ἐκ τῆς τῶν πατέρων φιλοτεκνίας, Χριστὸς ἡ καινὴ τροφὴ τῶν καλῶς πεινώντων, ἡ μείζων σιτοδοσία, πάσης τῆς ἱστορουμένης τε καὶ πιστευομένης. ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, τὴν ἀνώλεθρόν τε καὶ ἀκατάλυτον, περὶ οὗ καὶ νῦν ἀκούειν δοκῶ μοι λέγοντος τοῦ πατρός, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος εἰς πάντας ἀνθρώπους, ὑγιῶς πιστευόμενός τε καὶ κηρυσσόμενος. καὶ ὑμεῖς ἄριστοι καρποδόται πάντων μάλιστα τῶν νῦν ὀρθῶς πιστευόντων, ὅσα ἐμὲ γινώσκειν τὸν τῆς τοιαύτης τροφῆς, οὐκ ἐραστὴν μόνον, ἀλλὰ καὶ χορηγόν, καὶ οὐκ ἔνδημον μόνοις, ἀλλ' ἤδη καὶ ὑπερόριον. ὑμεῖς γὰρ τρέφετε μὲν σωματικῶς δήμους καὶ πόλεις, ἐφ' ὅσον ἐξικνεῖται ὑμῶν τὸ φιλάνθρωπον. τρέφετε δὲ πνευματικῶς, οὐ τὸν δεῖνα δῆμον, οὐδὲ τήνδε ἢ τήνδε τὴν πόλιν, μικροῖς ὅροις περιγραφομένην κἂν φρονῶσιν ὑπέρλαμπρον, ἀλλὰ μικροῦ πᾶσαν τὴν οἰκουμένην. καὶ θεραπεύετε, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἃ καὶ λιμώττειν οὐ μέγα, καὶ μὴ λιμώττειν ῥᾴδιον· ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου, ὃν καὶ πάσχειν ἐλεεινότατον. καὶ θεραπεύειν νῦν ἐργωδέστατον. ἐπειδὴ ἐπληθύνθη ἡ ἀνομία, καὶ ὀλίγους εὑρίσκω τῶν γνησίων ταύτης θεραπευτάς. τοιοῦτος Ἰωσὴφ ὁ ἡμέτερος σιτομέτρης. τοῦτο δὲ εἰπεῖν ὁ ἡμέτερος, ὃς καὶ προβλέπειν ᾔδει λιμὸν ὑπὸ σοφίας ὑπερβαλούσης, καὶ θεραπεύειν λόγοις οἰκονομίας, ταῖς καλαῖς τῶν βοῶν καὶ πίοσι, τὰς αἰσχρὰς καὶ ἀτρόφους ἰώμενος. καὶ Ἰωσὴφ ὁπότερον βούλει λαμβάνειν. εἴτε τὸν τῆς ἀθανασίας καὶ ἐραστὴν καὶ δημιουργὸν ἐπώνυμον, εἴτε τὸν ἐκείνου καὶ θρόνῳ, καὶ λόγῳ, καὶ πολιᾷ διάδοχον, τὸν νέον Πέτρον ἡμῖν, οὐχ ἧττον τῇ ἀρετῇ ἢ τῇ κλήσει, ὑφ' ὧν τὸ μέσον ἐξεκόπη καὶ συνετρίβη, κἂν ἔτι σπαίρῃ μικρά τε καὶ ἀσθενῆ, καθάπερ τὸ οὐραῖον διακοπέντος τοῦ ὄφεως· ὧν ὁ μὲν ἐν γήρᾳ καλῷ καταλύσας τὸν βίον μετὰ πολλοῖς τοῖς ἀγωνίσμασι καὶ ἀθλήμασιν, ἄνωθεν ἐποπτεύει, εὖ οἶδα, νῦν τὰ ἡμέτερα, καὶ χεῖρα ὀρέγει τοῖς ὑπὲρ τοῦ καλοῦ κάμνουσι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῶν δεσμῶν ἐστὶν ἐλεύθερος. ὁ δὲ μετὰ τὴν αὐτὴν κατάλυσιν ἢ ἀνάλυσιν, μετὰ τὴν αὐτὴν ἄθλοις ἐπείγεται, καὶ πλησιάζει μὲν ἤδη τοῖς ἄνω. τοσοῦτον δὲ μετὰ τῆς σαρκὸς ἔστιν ἔτι, ὅσον βοηθῆσαι τῷ λόγῳ τὰ τελευταῖα, καὶ τῆς ὁδοῦ γενέσθαι μετὰ δαψιλεστέρων τῶν ἐφοδίων. τούτων ὑμεῖς θρέμματα καὶ προβλήματα, τῶν μεγάλων καὶ δογματιστῶν καὶ ἀγωνιστῶν τῆς ἀληθείας καὶ νικητῶν. οὓς οὐ καιρός, οὐ δυνάστης, οὐ λόγος, οὐ φθόνος, οὐ φόβος, οὐ κατήγορος, οὐ συκοφάντης, οὐ φανερῶς πολεμῶν, οὐ λαθραίως ἐπιβουλεύων, οὐχ ἡμέτερος τῷ δοκεῖν, οὐκ ἀλλότριος, οὐ χρυσὸς ὁ ἀφανὴς τύραννος, ὃς νῦν τὰ πολλὰ μεταρριπτεῖ καὶ πεττεύει, οὐ θεραπεῖαι, οὐκ ἀπειλαί, οὐκ ἐξορίαι μακραί τε καὶ ἀριθμούμεναι. δημεύσεις γὰρ οὐκ ἐγένοντο μόνον ἀκτήμοσι, δι' ὃ τὸ μέγα πλοῦτον τὴν ἀκτημοσύνην, οὐκ ἄλλο οὐδὲν τῶν ἀπόντων, ἢ τῶν παρόντων, ἢ τῶν προσδοκωμένων ἔπεισεν, οὐδὲ ἀνέπεισε χείρους γενέσθαι, καὶ προδοῦναί τι τῆς τριάδος, καὶ ζημιωθῆναι θεότητα. τοὐναντίον μὲν οὖν ἐρρώσθησαν τοῖς κινδύνοις, καὶ φιλοτιμότεροι γεγόνασιν εἰς εὐσέβειαν. τοῦτο γάρ ἐστι παθεῖν ὑπὲρ Χριστοῦ τῷ φίλτρῳ προστίθησι, καὶ οἷον ἀρραβὼν γίνεται τῶν ἑξῆς ἄθλων τοῖς μεγαλόφροσι. τοιαῦτά σου, Αἴγυπτε, τὰ νῦν διηγήματά τε καὶ θαύματα. σὺ δέ μοι τῶν τράγων ἐπίδειξαι τῶν μενδησίων, καὶ τὸν μεμφίτην Ἄπιν, μόσχον σιτευτόν τινα καὶ πολύσαρκον, καὶ τὰς Ἴσιδος τελετάς, καὶ τὸν Ὀσίριδος σπαραγμόν, καὶ τὸν σεμνόν σου Σάραπιν, ξύλον προσκυνούμενον μετὰ μύθων καὶ χρόνου, καὶ τῆς τῶν προσκυνούντων ἀνοίας, ὡς ὕλην ἄγνωστόν τινα καὶ οὐρανίους, πλὴν ὕλην καὶ βοηθεῖται τῷ ψεύδει, καὶ τὰ ἔτι τούτων αἰσχρότερα, κνωδάλων τινῶν καὶ ἑρπετῶν πολυειδῆ πλάσματα. ὧν πάντων ὑπερῆρε Χριστὸς καὶ οἱ Χριστοῦ κήρυκες, ἄλλοι τε ἄλλως κατὰ τοὺς ἑαυτῶν ἕκαστοι χρόνους ἐκλάμψαντες. καὶ δὴ καὶ οἱ νῦν μνημονευθέντες πατέρες. ἀφ' ὧν σὺ γινώσκῃ μᾶλλον ἢ θαυμασία σήμερον, ἢ πάντων ὁμοῦ πάντων καὶ παλαιῶν καὶ νέων διηγημάτων, διὰ ταῦτά σε περιπτύσσομαι καὶ ἀσπάζομαι, λαῶν ἄριστε καὶ φιλοχριστότατε καὶ θερμότατε τὴν εὐσέβειαν, καὶ τῶν ἀγόντων ἄξιε. οὐ γὰρ ἔχω τι τούτου μεῖζον εἰπεῖν, οὐδὲ ὃ μᾶλλον ἂν ὑμᾶς ξενίσαιμι. ὃ δεξιοῦμαι ὀλίγα μὲν γλώσσῃ, τὰ πολλὰ δὲ διανοίας κινήμασι· λαὸς ἐμός. ἐμὸν γὰρ ὀνομάζω τὸν ὁμόφρονα καὶ ὁμόδοξον, καὶ παρὰ τῶν αὐτῶν πατέρων, καὶ τῆς αὐτῆς τριάδος προσκυνητήν· λαὸς ἐμός. ἐμὸς γάρ, κἂν μὴ δοκῇ τοῖς βα-

σκαίνουσι, καὶ ἵνα πληρῶσι μᾶλλον οἱ ἔξω παίζοντες. ἰδοὺ δίδωμι δεξιὰς κοινωνίας ἤδη τοσούτων μαρτύρων, ὁρατῶν τε καὶ ἀοράτων. καὶ ἀπωθοῦμαι παλαιὰν διαβολὴν ἰδίᾳ χρηστότητι. λαὸς ἐμός. ἐμὸς γάρ, εἰ καὶ τὸν μέγιστον ὁ μικρότατος σφετερίζομαι. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις. ὁμοτίμους ποιεῖ τοὺς ὁμόφρονας. λαὸς ἐμός. ἐμὸς δέ, εἰ καὶ πόρρωθεν, ὅτι θεϊκῶς συναπτόμεθα, καὶ τρόπον ἄλλον, ἢ ὃν αἱ παχύτητες. τὰ μὲν γὰρ σώματα τόπῳ συνάπτεται· ψυχαὶ δέ, πνεύματι συναρμόζονται. λαὸς ἐμός. ὁ πρότερον μὲν φιλοσοφῶν τὸ πάσχειν ὑπὲρ χριστοῦ, νῦν δὲ τὸ μὴ ποιεῖν, ἐὰν ἐμοὶ πείθησθε· ἀλλ' αὐταρκὲς κέρδος ἡγεῖσθαι τὴν τοῦ ποιεῖν ἐξουσίαν, καὶ ἡγεῖσθαι χριστῷ λατρείαν εἰσφέρειν, ὥσπερ τότε τὴν καρτερίαν, οὕτως ἐν τῷ παρόντι τὴν ἐπιείκειαν. λαὸς ἐφ' ὃν παρατέτακται ὁ κύριος τοῦ εὖ ποιῆσαι, ὥσπερ τοῦ κακοποιῆσαι τοὺς ἐναντίους. λαὸς ὃν ἐξελέξατο ἑαυτῷ κύριος ἐκ πάντων ὧν προσέβαλλε. λαὸς ὁ ἤδη τῶν χειρῶν κυρίου ἐζωγραφημένος· ᾧ σύ φησιν εἶ θέλημα ἐμὸν λέγει κύριος, καὶ αἱ πύλαι σου γλύμμα, καὶ ὅσα τοῖς ἐβζομένοις ὑστέροις. λαὸς· καὶ μή με θαυμάσητε τῆς ἀπληστίας, εἰ πολλάκις ὑμᾶς ἀναστρέφω. κατατρυφῶ γὰρ ὑμῶν τῇ συνεχείᾳ τῆς κλήσεως, ὥσπερ οἱ θεαμάτων τινῶν, ἢ ἀκουσμάτων, ἀπλήστως ἐμφορούμενοι. ἀλλ' ὦ θεοῦ λαὸς καὶ ἡμέτερος, καλὴ μὲν ὑμῶν καὶ ἡ πρώην πανήγυρις, ἣν ἤδη τῆς θαλάσσης ἐστήσασθε, καὶ εἴπερ ἄλλη τις ὀφθαλμῶν χάρις, ἡνίκα ἑώρων δενδρουμένην τὴν θάλασσαν, καὶ χειροποιήτῳ νέφει κεκαλυμμένην, καὶ κάλλος νεῶν καὶ τάχος, ὥσπερ εἰς πομπὴν ἐσταλμένας, καὶ πνεῦμα μετέωρον κατὰ πρύμναν ἱστάμενον, ὥσπερ δορυφοροῦν ἐπιτηδές, καὶ παραπέμπον τῇ πόλει, πόλιν πελαγίους. καλλίων δὲ ἡ νῦν ὁρωμένη, καὶ μεγαλοπρεπεστέρα. οὐ γὰρ τοῖς πολλοῖς φέροντες ὑμᾶς αὐτοὺς ἀνεμίξατε, οὐδὲ πλήθει τὴν εὐσέβειαν ἐμετρήσατε, οὐδὲ δῆμος γενέσθαι μᾶλλον ὀχλώδης ἠνέσχεσθε. ὦ λαὸς θεοῦ, λέγω κατατεθαρρημένος ἀλλ' ὅσον εἰκός, καὶ ἤσατε τὰ τοῦ καίσαρος ἐσσηγκότων, τῷ θεῷ τὰ τοῦ θεοῦ προσνέματε· τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον. καὶ τὸν δῆμον τοῖς ὑμετέροις θρέψαντες, ἥκετε καὶ αὐτοὶ παρ' ἡμῶν τραφησόμενοι. σιτοδοτοῦμεν γὰρ καὶ ἡμεῖς, καὶ σιτοδοσίαν ἴσως τῆς ὑμετέρας οὐ φαυλοτέραν. δεῦτε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν, κατὰ τὴν μετὰ τῆς σοφίας ὑμᾶς εἰς τὴν ἐμὴν τράπεζαν. ἐπαινῶ γὰρ τῆς εὐγνωμοσύνης, καὶ προστρέχω τῇ προθυμίᾳ, ὅτι ὡς ἤδη λιμὸν ἴδιον ἡμᾶς κατωπτήσατε, τῷ ὁμοίῳ προσδραμόντες, καὶ τὸ συγγενὲς τῆς πίστεως ἐτιμήσατε, καὶ τὴν ἀτόπων ἐνομίσατε. τοὺς μὲν ἀστέρας τὴν ἄνω συμφρονεῖν ἀλλήλοις, καὶ συναρμόζεσθαι, καὶ τὸ καθ' ἕκαστον σαθρὸν οἴεσθε διορθοῦσθαι τῷ κοινῷ τῆς συστάσεως. καθάπερ τὴν χοινίαν τὰ τῇ πλοκῇ δυναμούμενα. αὐτοὶ δὲ μὴ σωθῆναι, μηδὲ συνδεῖσθαι τοῖς ὁμογνώμοσιν, οἷς γε εἰκὸς μᾶλλον. αὐτοὶ γὰρ συνάγομεν καὶ θεότητα. καὶ ἵνα γε εἰδῆτε μὴ μάτην προσδραμόντες ἡμῖν, μηδὲ ὡς ξένοις καὶ ἀλλοτρίοις, ἀλλ' ἐν ὑμετέροις καταταχθέντες, καὶ καλῶς ὁδηγηθέντες ὑπὸ τοῦ πνεύματος, βραχέα περὶ θεοῦ φιλοσοφήσομεν ὑμῖν, καὶ γνωρίσατε τὰ ὑμέτερα, ὥσπερ οἱ τοῖς ἐπισήμοις τῶν ὅπλων τὸ οἰκεῖον διαγινώσκοντες. δύο διαφορὰς ἐν τοῖς οὖσι γινώσκω, τὰς ἀνωτάτω, δεσποτείαν τε καὶ δουλείαν, οὐχ ἃς παρ' ἡμῖν, ἢ τυραννὶς ἔτεμεν, ἢ πενία διέστησεν, ἀλλ' ἃς φύσις διώρισεν, εἴτω φίλον οὕτω καλεῖν. τὸ γὰρ πρῶτον καὶ ὑπὲρ τὴν φύσιν. τούτων δὲ ἡ μὲν ποιητική τέ ἐστι καὶ ἀρχικὴ καὶ ἀκίνητος, ἡ δὲ πεποιημένη, καὶ ὑπὸ χεῖρα, καὶ μεταπίπτουσα. καὶ ἔτι συντομώτερον εἰπεῖν, ἡ μὲν ὑπὲρ χρόνον, ἡ δὲ ὑπὸ χρόνον. καλεῖται δὲ ἡ μὲν θεός, καὶ ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ καὶ δημιουργῷ καὶ τελειοποιῷ, τῷ πατρὶ λέγω καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, ἃ μήτε οὕτως ἀλλήλων ἀπήρτηται, ὡς φύσει τέμνεσθαι· μήτε οὕτως ἐστένωται, ὡς εἰς ἓν πρόσωπον περιγράφεσθαι. τὸ μὲν γὰρ τῆς ἀρειανῆς μανίας. τὸ δὲ τῆς σαβελλιανικῆς ἀθεΐας ἐστίν. ἀλλ' ἔστι, τῶν μὲν πάντη διαιρετῶν ἑνικώτερα, τῶν δὲ τελείως μοναδικῶν ἀφθονώτερα. ἡ δὲ μεθ' ἡμῶν τέ ἐστι, καὶ καλεῖται κτίσις, κἂν ἄλλα ἄλλων ὑπεραίρῃ κατὰ τὴν ἀναλογίαν τῆς πρὸς θεὸν ἐγγύτητος. τούτων δὲ οὕτως ἐχόντων, ὅτῳ μὲν ἡ καρδία πρὸς κύριον, ἴτω μεθ' ἡμῶν, καὶ προσκυνῶμεν τὴν μίαν ἐν τοῖς τρισὶ θεότητα, μηδὲν ταπεινότητος ὄνομα τῇ ἀπροσίτῳ δόξῃ προσάγοντες, ἀλλὰ τὰς ὑψώσεις τοῦ ἑνὸς θεοῦ, ἐν τοῖς τρισὶ διὰ παντὸς, ἐν τῷ λάρυγγι φέροντες. ἧς γὰρ οὐδὲ μέγεθος φύσεως κυρίως ἐστὶν εἰπεῖν, διὰ τὸ ἄπειρον καὶ ἀόριστον, πῶς ταύτῃ ταπεινότητα ἐπισυνάξομεν; ὅστις δὲ ἀλλοτρίως ἔχει θεοῦ, καὶ διὰ τοῦτο τέμνει τὴν μίαν, καὶ ὑπὲρ πάντα τὰ ὄντα οὐσίαν εἰς ἀνισότητα φύσεων, θαυμαστὸν εἰ μὴ τῇ ῥομφαίᾳ τμηθήσεται, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων τεθήσεται, πονηρὸν δρεπομένου πονηρᾶς δόξης καρπόν, καὶ νῦν καὶ ὕστερον. περὶ μὲν γὰρ τοῦ πατρὸς τί χρὴ καὶ λέγειν; οὗ καὶ τὸ παρὰ πάντων συγκεχωρημένος φείδεσθαι, ταῖς φυσικαῖς ἐννοίαις προκατειλημμένον, εἰ καὶ

τῆς ἀτιμίας

τῆς ἀτιμίας τὰ πρῶτα ἠνέγκατο, πρῶτος τιμηθεὶς εἰς ἀγαθὸν καὶ δημιουργὸν παρὰ τῆς
ἀρχαίας καινοτομίας. περὶ δὲ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, σκοπεῖτε ὡς ἁπλῶς καὶ
συντόμως διαλεξόμεθα, εἰ μέν τις ἔχοι τούτων τι λέγειν τρεπτὸν ἢ ἀλλοιωτὸν, ἢ χρόνῳ, ἢ τόπῳ
ἢ δυνάμει, ἢ ἐνεργείᾳ μετρούμενον, ἢ οὐ φυσικῶς ἀγαθὸν, ἢ οὐκ αὐτοκίνητον, ἢ οὐκ αὐτεξούσιον, ἢ
λειτουργὸν, ἢ ὑμνωδὸν, ἢ φοβούμενον, ἢ ἐλευθερούμενον, ἢ οὐ συναριθμούμενον. δεικνύτω τοῦτο καὶ ἡμεῖς
στέρξομεν. συνδούλων σεμνότητι δοξαζόμενοι, εἰ καὶ θεὸν ζημιούμεθα. εἰ δὲ πάντα ὅσα ἔχει ὁ
πατὴρ τοῦ υἱοῦ ἐστι, πλὴν τῆς αἰτίας· πάντα δὲ ὅσα τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος, πλὴν τῆς υἱό-
τητος, καὶ τῶν ὅσα σωματικῶς περὶ αὐτοῦ λέγεται διὰ τὸν ἐμὸν ἄνθρωπον, καὶ τὴν ἐμὴν
σωτηρίαν, ἵνα τὸ ἐμὸν λαβὼν, τὸ ἑαυτοῦ χαρίσηται διὰ τῆς καινῆς ἀνακράσεως. παύσασθε πα-
ραληροῦντες. ἀφέ γοῦν ὦ σοφισταὶ κενῶν ῥημάτων αὐτοῦ πιπτόντως καὶ ἵνα τί ἀποθνήσκε-
τε οἶκος ἰσραὴλ, ἵν' ἐκ τῆς γραφῆς ὑμᾶς ὀδύρωμαι. ὡς ἔγωγε αἰδοῦμαι μὲν τὰς τοῦ λόγου
προσηγορίας τοσαύτας τε οὔσας καὶ οὕτως ὑψηλὰς καὶ μεγάλας, ἃς καὶ δαίμονες αἰ-
τράπτουσιν. αἰδοῦμαι δὲ τὴν ὁμοτιμίαν τοῦ πνεύματος, φοβοῦμαι δὲ τὴν ὡρισμένην ἀπει-
λὴν τοῖς εἰς αὐτὸ βλασφημοῦσι. βλασφημία δὲ, οὐχ ἡ θεολογία, ἀλλ' ἡ ἀλλοτρίωσις τῆς θεότη-
τος, καὶ τηρητέον ἐνταῦθα. ὅτι τὸ μὲν βλασφημούμενον ὁ κύριός ἐστι, τὸ δὲ ἐκδικούμενον,
τὸ πνεῦμα τὸ ἅγιον, δῆλον ὡς κύριος. οὐ φέρω ἀφώτιστος εἶναι μετὰ τὸ φώτισμα, παραχαράσ-
σων τι τῶν τριῶν εἰς ἃ βεβάπτισμαι, καὶ ὄντως ἐνταφιάζειν τῷ ὕδατι οὐκ εἰς ἀναγέννησιν, ἀλλ'
εἰς νέκρωσιν τελούμενος. τολμῶ τι φθέγξασθαι· ὦ τριὰς, καὶ συγγνώμη τῇ ἀφροσύνῃ. περὶ
ψυχῆς γὰρ ὁ κίνδυνος, εἰκών εἰμι καὶ αὐτὸς θεοῦ τῆς αὐτῆς δόξης, εἰ καὶ κάτω τέθειμαι. οὐ πείθο-
μαι τῷ ὁμοτίμῳ σώζεσθαι. εἰ μὴ θεὸς τὸ πνεῦμα τὸ ἅγιον, θεωθήτω πρῶτον, καὶ οὕτω θεούτω
με τὸν ὁμότιμον. νῦν δὲ τίς ἡ ἀπάτη τῆς χάριτος. μᾶλλον δὲ τῶν διδόντων τὴν χάριν, ὡς εἰς θεὸν
πιστεύειν καὶ ἀνελθεῖν ἄθεον. ἄλλο καθομολογῆσαι, καὶ ἄλλο διδάσκεσθαι, οἴμοι τῶν λόγων αἱ
κλοπαὶ καὶ ἀπάται, δι' ἄλλης ἐρωτήσεως καὶ ὁμολογίας εἰς ἄλλο φέρουσιν. οἴμοι τῆς λαμ-
πρότητος, εἰ μετὰ τὸ λουτρὸν μεμελάνωμαι, εἰ λαμπροτέρους ὁρῶ τοὺς οὔπω κεκαθαρμένους,
εἰ τῇ τοῦ βαπτιστοῦ κακοδοξίᾳ κινδυνεύομαι· εἰ ζητῶ πνεῦμα κρεῖττον, καὶ οὐχ εὑρίσκω. δός μοι λου-
τρὸν δεύτερον, καὶ περὶ τοῦ προτέρου κακῶς ἐννόησον. τί μοι φθονεῖς τῆς τελείας ἀναγεννήσεως;
τί με ποιεῖς ναὸν ὄντα τοῦ πνεύματος, ὡς θεοῦ κατοικητήριον κτίσματος; τί τὸ μὲν τιμᾷς τῶν ἐμῶν,
τὸ δὲ ἀτιμάζεις κακῶς θεότητι διαιρῶν, ἵν' ἐμοὶ τέλειος τὸ χάρισμα, μᾶλλον δὲ αὐτὸν ἐμὲ τῷ χα-
ρίσματι. ἢ τὸ πᾶν τίμησον, ὦ καινὲ θεολόγε, ἢ τὸ πᾶν ἀτίμασον, ἵνα καὶ ἀσεβῇς, ἀλλὰ συνα-
φῇ γε ἑαυτῷ ἦς, μὴ κρίνων ἀνίσως φύσιν ἀσώματον. κεφάλαιον δὲ τοῦ λόγου μετὰ τῶν χε-
ρουβὶμ δόξαζον, συναγόντων τὰς τρεῖς ἁγιότητας εἰς μίαν κυριότητα. καὶ τοσοῦτον παραδει-
κνύοντα τῆς πρώτης οὐσίας, ὅσον ὑπανοίγουσι τοῖς φιλοπόνοις αἱ πτέρυγες. μετὰ δαβὶδ φω-
τίσθητι πρὸς τὸ φῶς λέγοντος, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, διὰ ὥσπερ ἐν τῷ πνεύματι τὸν
υἱὸν, οὗ τί ἂν γένοιτο τηλαυγέστερον. μετὰ ἰωάννου βρόντησον τοῦ υἱοῦ τῆς βροντῆς, μηδὲν περὶ
θεοῦ ταπεινὸν ἢ χαμαὶ, μηδὲ ἀπὸ γῆς, ἀλλ' ὑψηλὸν καὶ μετέωρον, τὸν ἐν ἀρχῇ τε ὄντα, καὶ
πρὸς τὸν θεὸν ὄντα, καὶ θεὸν λόγον. θεὸν γινώσκων, καὶ θεὸν ἀληθινὸν, ἐξ ἀληθινοῦ πατρὸς, ἀλλ'
οὐ σύνδουλον ἀγαθὸν, υἱοῦ προσηγορίᾳ μόνῃ τι τετιμημένον, καὶ τὸν ἄλλον παράκλητον, δηλαδὴ
ἄλλον τοῦ λέγοντος. θεοῦ δὲ ὁ λόγος. καὶ ὅταν μὲν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν ἀναγνώσκῃς, τὸ
συναφὲς τῆς οὐσίας ἐνστεριζόμενος. ὅταν δὲ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ
ποιησόμεθα, τὸ διῃρημένον τῶν ὑποστάσεων λογιζόμενος. ὅταν δὲ τὸ πατρὸς καὶ υἱοῦ καὶ
ἁγίου πνεύματος ὄνομα, τὰς τρεῖς ἰδιότητας. μετὰ λουκᾶ ἐμπνεύσθητι, ταῖς πράξεσι τῶν
ἀποστόλων προσομιλῶν, τί μετὰ ἀνανίου τάττῃ καὶ σαπφείρας τῶν καινῶν νοσφιστῶν; εἴ γε και-
νὸν ὄντως ἡ τῶν ἰδίων κλοπὴ, καὶ ταῦτα νοσφιζόμενος, οὐκ ἀργύριον οὐδ' ἄλλο τι τῶν εὐτελῶν
καὶ μικρῶν, οἷον ἐπιδῶσαι χρυσίον, ἢ ψιλὸν, ἢ δίδραχμον, ὥς ποτε στρατιώτης ἄπληστος, ἀλλ'
αὐτὴν κλέπτων θεότητα, καὶ ψευδόμενος οὐκ ἀνθρώπῳ, ἀλλὰ θεῷ, ὅπερ ἤκουσας. τί μηδὲ τὴν ἐξου-
σίαν αἰδῇ τοῦ πνεύματος, ἐφ' οὓς θέλει καὶ ἰώππῃ καὶ ὅτε πνέοντος ἐπιδημεῖ τοῖς περὶ κορνήλιον πρὸ
τοῦ βαπτίσματος, ἄλλοις μετὰ τὸ βάπτισμα διὰ τῶν ἀποστόλων, ὥστε ἀμφοτέρωθεν, ἔκ τε ὧν ἐστὶ
φανερὰ, δεσποτικῶς ἀλλ' οὐ δουλικῶς, καὶ ἐξ ὧν ἐπιζητεῖται πρὸς τὴν τελείωσιν, τὴν θεότη-
τα μαρτυρεῖσθαι τοῦ πνεύματος. μετὰ παύλου θεολόγησον, τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέν-
τος. ποτὲ μὲν συναριθμοῦντος τὰς τρεῖς ὑποστάσεις, καὶ τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως
ταῖς τάξεσι, προαριθμοῦντος, ἀναριθμοῦντος, ὑπαριθμοῦντος τὸ αὐτὸ, ἵνα τί δηλώσῃ τὴν
ἰσοτιμίαν τῆς φύσεως. ποτὲ δὲ τῶν τριῶν μεμνημένου, ποτὲ δὲ τῶν, ἢ τινὸς, ὡς ἑπομένου πάν-
των τῶν λειπόντων. καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ θεοῦ τῷ πνεύματι διδόντος, ὡς οὐδὲν διαφέρον-
τος. ποτὲ δὲ ἀντὶ τοῦ πνεύματος τὸν χριστὸν ἐπιφέροντος, καὶ ὅτε μὲν διαιρεῖ τὰς ὑποστάσεις,
εἷς θεὸς λέγοντος ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς κύριος ἰησοῦς χριστὸς δι' οὗ τὰ πάντα,

λίαν προοιμιάσασθαι. τὸ δὲ τῶν νόμων οἷς δικάζειν ἐχρῆν συναισθέσθαι, ἵνα τὰ παλαιότερα λέγωμεν. ἢ ταῦτα μὲν τῆς αὐτῆς φατρίας, τίνας παραλαβὼν χεῖρας, ἢ ζῶντα ἢ τεθνηκότα ἀγαγὼν κατεδυσάμην, ἵνα τῇ πίστει πολεμικὰ δὴ τῆς ἐμπειρίας. τίνων ἐξουσίας ὡς ἀδελφεσίας ἐκέλευσα, καὶ οὐδὲ φιλοσόφων ἱερέων, ἢ λέσχην ἱερὰ συστήματα, ὅθεν τῶν οἰκείων ἐζήτουν. ὃν ὑμεῖς ποτε μὲν ὄντα, καὶ ἐκείνων ἐποίησα μάρτυρας ὑπὲρ τῆς καλῆς κινδυνευόντας. ἢ σοι ἐπεισήγαγον πόρνας ἀσελγείαις μικροῖς καὶ αἰσχίμοσι. τὴν γὰρ τῆς λόγων ἀσελγείαν ἐγκαλέσαιμι ἂν; τίνος τῶν βιοτεύων τῆς παιδείας ὑπερορίσας αὐτῶν αἰδόμενον χειρὶ τὴν ἐσθῆτα, ἵν᾽ ὡς ἐπισφαλῶς ἐρχθέντος οἱ ἀφιγμένοι αἶσις, καὶ ἀλλήλων διαζευχθέντος. τοῦτο γὰρ δὴ ὁ τῆς μακεδονίας βαρύτατον, λιμῷ καὶ δίψει κακοπαθήσωσι, ζοφὴν μετὰ ἐμοῦ, καὶ ταύτην δὴ σωτῆρα τῶν πόρων, καὶ οὐδὲ τῶν συναλγοῦντας ἑωρᾶτε, καὶ ταῦτα τινὸς, ὧν οὐκ ἦν ἄξιος ὁ καίμενος. οὕτω τιμᾶτε πίστιν ὑμεῖς, οὕτω ξενίζετε, ἀγνοεῖτε τὰ πλείω τούτων; ἢ λίαν εἰκότως διὰ τὸ πλῆθος τῶν δραμάτων, καὶ τοῦ ἐν τῷ πείειν ζυφῆς. ἀλλὰ τὸ πάλαι μνημονικώτερον. τί μοι τὰ πόρρω λέγειν, ἀλλὰ ποῦ ἐστιν καὶ τοῦ καιροῦ γε γίνεσθαι βιαιότεροι, καθάπερ οἱ κατὰ φαγμῶν ὠθούμενοι σίδηρα. ζητῶ μὲν τὸ χθὲς ὑμῶν σφαγεῖς, τὸν γέροντα τὸν ἀβραμιαῖον πατέρα, ὃν ἐκ τῆς ὑπερορίας ἀχθέντα, λίθοις ἐδεξιώσασθε. μεσούσης ἡμέρας ἐν μέσῃ πόλει· ὑμεῖς δὲ καὶ τοὺς φονεῖς, εἰ μὴ φορτικὸν εἰπεῖν, ἐξητήσασθε διακινδυνεύοντας. ποῖα τούτων ἴλεως ἔσομαί σοι φησί που τὸ γραφῆς ὁ θεός; τί τούτων ἐπαινέσω μᾶλλον ἢ ἐκ ποίων ὑμᾶς ἀναδήσωμαι; ἐπεὶ δὲ τοιαῦτα τὰ σά, ἃ οὕτως ἔχοντα, λέγε μοι καὶ τὰς ἐμὰς ἀδικίας, ἵν᾽ ἢ παιδεύσωμαι κακὸς ὤν, ἢ αἰσχύνωμαι, ὡς ἔγωγε μάλιστα μὲν εὔχομαι μηδὲν ἁμαρτεῖν· εἰ δ᾽ οὖν, καὶ ἀδικεῖν ἐπαναγκασθῇ, δευτέρα μοῖρα ἐστὶν αὕτη τοῦ εὖ φρονοῦντος. καὶ γὰρ εἰ μὴ κατήγορος ἐμαυτοῦ κατὰ τὸ δίκαιον ὢν ἀπολογίας γίνομαι, χαίρω γε ὑπ᾽ ἄλλου θεραπευόμενος. μικρά σοι φησὶν ἡ πόλις, καὶ οὐδὲ πόλις, ἀλλὰ χωρίον ξηρὸν, καὶ ἄχαρι, καὶ ὀλίγοις οἰκούμενον. τοῦτο τὸ πρὶν θαῦμα μᾶλλον ὦ βέλτιστε ἢ τὸ ἔγκλημα. εἰ παρὰ τοῦτο ὁ φθόνος ἐστὶ μετ᾽ ἄκρων, αἰσχύνομαι δυστυχῶν. λεγέσθω μὲν οὕτως. εἰ δ᾽ ἐκεῖνον φιλοσοφῶ, πότερον τοῦτ᾽ ἂν ἔγκλημα; εἰ μὴ καὶ δελφῖνα καταμέμφοιτό τις ὅτι μὴ χερσαῖος, καὶ τὸν βοῦν, ὅτι μὴ πελάγιος· καὶ τὴν μύρμηκα, ὅτι ἀμφίβιος. ἐκεῖνοι δέ φησι τείχη καὶ θέατρα, καὶ ἱππικά, καὶ βασίλεια, καὶ κάλλη στοῶν, καὶ μεγέθη, καὶ τὸ ἄπιστον τοῦτο ἔργον, ὁ ὑποχθόνιος καὶ ἀέναος ποταμός. καὶ ὁ λαμπρὸς στύλος οὗτος ὁ καὶ ἀπέβλεπτος, καὶ ἀγορὰ πλήθουσα, καὶ δῆμος κυμαίνων, καὶ συνέδριον εὐγενῶν συνέδριον ἐπαινούμενον. πῶς δὲ οὐ λέγεις καὶ θέσεως οἰκειότητα, καὶ γῆν καὶ θάλασσαν ὥσπερ ἁμιλλωμένας. πότερας αὐτῶν μᾶλλον ἡ πόλις, καὶ τοῖς παρ᾽ ἑαυτῶν ἀγαθοῖς τὴν βασιλίδα δεξιουμένας. τοῦτο δὴ ἀδικοῦμεν, ὅτι μεγάλοι μὲν ὑμεῖς καὶ ὑπέρλαμπροι, μικροὶ δὲ ἡμεῖς καὶ ἐκ μικρῶν ἥκοντες; πολλοὶ καὶ ἄλλοι τοῦτο ἀδικοῦσιν ὑμᾶς, μᾶλλον δὲ πάντες ὧν ὑπεραίρετε. καὶ δεῖ τεθνάναι ἡμᾶς, ὅτι μὴ πόλιν ἠγείραμεν, μηδὲ τείχη περιεβαλλόμεθα, μηδὲ ἱππικοῖς μεγαλαυχοῦμεν, μηδὲ σταδίοις τε καὶ κυνηγεσίοις, καὶ ταῖς περὶ ταῦτα μανίαις, μηδὲ λουτρῶν χάρισι καὶ λαμπρότητι, καὶ μαρμάρων πολυτελείαις, καὶ γραφαῖς καὶ κοντώσεσι χρυσαυγέσι τε καὶ πολυειδέσι μικροῦ μιμουμέναις τὴν φύσιν. θάλασσαι δὲ οὔπω περιεβαλλόμεθα, ἐξάμενοι ἡμῖν αὐτοῖς, οὐδὲ τὰς ὥρας ἐνδρασάμεθα. ὁ σὺ δηλαδὴ πεποίηκας, ὁ νέος δημιουργός, ἵν᾽ ὡς ἥδιστά τε ὁμοῦ καὶ ἀσφαλέστατα βιοτεύοιμεν. περὶ ἀέρος ἐβουλεύσασθε καὶ πιέσας. ὁ λέγων ἐμὸν ἐστὶ τὸ ἀργύριον, καὶ ἐμὸν ἐστὶ τὸ χρυσίον τὰς θεοῦ φωνὰς ὑμεῖς οὕτω πλούτῳ μέγα φρονοῦμεν, ὡς ῥᾷον τιμὴν προστίθεσθαι, τὸ ἡμέτερον ἐστὶ νομοθετήσας, οὔτε προσόδων ἀριθμοῦμεν ἐπουσίας τε καὶ ἡμερησίας, οὔτε βαπτίζεις ὄγκῳ φιλοτιμούμεθα, καὶ φαρμακείαις τῆς ἀναισθήτου γαστρός. οὐδὲν γὰρ ἐπαινοῦμεν τι τὴν μέχρι τῶν λαιμῶν ὁμοτιμίας, μᾶλλον δὲ ἀτίμως ὁμοίως καὶ ἀπελεύθερον· ἀλλὰ ζῶμεν οὕτως ἁπλῶς καὶ ῥᾳδίως καὶ μικρόν τι τῶν θηρίων, οἷς ὁ βίος ἄσκηνος καὶ αὐτοτελὴς διαφέροντες, ἢ καὶ τῆς ἐσθῆτος μὲν τὸ τρύχινον αἰτιᾶσθε, ἃ τοῦ προσώπου τὴν θέσιν οὐκ εὐφυῶς ἔχουσαν; ἐπεὶ ἃ τούτοις ὁρῶ τινὰς τῶν λίαν ταπεινῶν αἰρομένων, τὴν κεφαλὴν δὲ ἀφιέντας, καὶ οὐκ ἀνωθισμένας, ἃ καὶ τὸ ἐλαιοχρίστου οἱ παῖδες. τὸ γὰρ ἑξῆς σιωπήσομαι. ἀπαιδευσίαν δὲ οὐκ ἐγκαλέσεις, ἢ ὅτι τραχύ σοι δοκῶ καὶ ἄγροικον φθέγγεσθαι; τὸ δὲ μὴ στωμύλον εἶναί που θήσεις, μηδὲ γελοιαστήν τινα, καὶ τοῖς συνοῦσι κεχαρισμένον, μηδὲ ἀγοράζειν τὰ πολλά. μηδὲ λαλεῖν τε καὶ περιλαλεῖν, οἷς ἔτυχε καὶ ὡς ἔτυχεν, ὥστε ποιῆσαι φορτικοὺς καὶ τοὺς λόγους. μηδὲ τὴν νέαν ἱερουσαλήμ, τὴν ζεῦξιν περιεωνισκέπτεσθαι· μηδὲ οἰκίας ἐξ οἰκίας ἀμείβειν, θωπεύοντά τε καὶ γαστριζόμενον· ἀλλ᾽ οἴκοι τὰ πολλὰ μένειν, καὶ τρυφᾶν τε καὶ συνδρωπάζοντα, καὶ καθ᾽ ἡσυχίαν ἐμαυτῷ συγγενόμενον τῷ συγγενεστάτῳ τὴν πεπληρωμένως ἐξέτασιν, καὶ τοῦ δεδιέναι τυχὸν ἀξίαν, διὰ τὸ δύσχρηστον; πῶς ταῦτα συγχωρεῖς ἡμῖν καὶ οὐκ ἐγκαλεῖς ἡδὺς εἶ καὶ φιλάνθρωπος; ἐγὼ δὲ οὕτως ἀρχαίως ἔχω καὶ φιλοσόφως· ὥστε ἕνα μὲν οὐρανόν, καὶ κοινὸν ἅπασι τὸν αὐτὸν ὑπολαμβάνω. κοινὴν δὲ ἡλίου καὶ σελήνης περίοδον, κοινὴν δὲ ἀστέρων τάξιν καὶ θέσιν, κοινὴν δὲ ἡμέρας καὶ νυκτὸς ἰσομοιρίαν καὶ διαχρισίαν, ἔπι δὲ ὡρῶν ἀλλαγὰς καὶ ὑετοὺς καὶ καρποὺς, καὶ ἀέρος ζωτικὴν δύναμιν. ἐλευθέ-

δὲ ποτα-

δὲ ποταμῶν πᾶσιν ὁμοίως τὸ κοινὸν πλοῦτον καὶ ἄφθονον. μία δὲ καὶ ἡ αὐτὴ ἔστι γῆ, μήτηρ καὶ τάφος, ἐξ ἧς ἐλήφθημεν, καὶ εἰς ἣν ἀναστραφησόμεθα, μηδὲ πλέον ἀλλήλων ἔχοντες. καὶ ἔτι πρὸ τούτων, κοινὸν λόγος, νόμος, προφῆται, αὐτὰ τὰ Χριστοῦ πάθη, δι᾽ ὧν ἀνεπλάσθημεν, οὐχ ὁ μὲν, ὁ δ᾽ οὔ. πάντες δὲ οἱ τοῦ αὐτοῦ Ἀδὰμ μετέχοντες, καὶ ὑπὸ τοῦ ὄφεως παραλογισθέντες, καὶ τῇ ἁμαρτίᾳ θανατωθέντες, καὶ διὰ τοῦ ἐπουρανίου Ἀδὰμ ἀνασωθέντες, καὶ πρὸς τὸ ξύλον τῆς ζωῆς ἐπαναχθέντες, διὰ τοῦ ξύλου τῆς ἀτιμίας ὅθεν ἀπεπέσομεν. ἐπαίνει δέ με καὶ ἡ τοῦ Σαμουὴλ Ἀρμαθὲμ ἡ μικρὰ τοῦ μεγάλου πατρίς, οὐκ ἀτιμάσασα τὸν προφήτην, οὐδὲ τὴν ἑαυτῆς μᾶλλον, ἢ τὴν ἐκείνου γενομένην τιμιωτέραν, ἐξ ἧς ἐκεῖνος οὐδὲν ἐκωλύθη, καὶ θεῷ δοθῆναι πρὸ γενέσεως, καὶ χρηματίσαι βλέπων τὰ ἔμπροσθεν. οὐ μόνον δὲ, ἀλλὰ καὶ χρίειν βασιλέας καὶ ἱερέας, καὶ κρίνειν τοὺς ἐκ τῆς Λαμπρῶν πόλεων. περὶ δὲ τοῦ Σαοὺλ ἤκουον, ὅτι τὰς ὄνους τοῦ πατρὸς ζητῶν βασιλείαν εὗρε. καὶ Δαβὶδ αὐτὸς, ἐκ τῶν ποιμνίων τῶν προβάτων ἀναλαμβάνεται, καὶ ποιμαίνει τὸν Ἰσραήλ. τί δαὶ Ἀμὼς, οὐκ αἰπόλος ὢν καὶ κνίζων συκάμινα προφητείας πιστεύεται; καὶ πῶς τὸν Ἰωσὴφ παρέδραμον, ὃς καὶ δοῦλος ἐγένετο καὶ σιτοδότης Αἰγύπτου, καὶ πατὴρ πολλῶν μυριάδων, αἳ διὰ Ἀβραὰμ ἐπηγγέλθησαν Ἀβραὰμ ἵν᾽ εἴπω τι μεῖζον, οὐ μετανάστης; Μωυσῆς δὲ οὐκ ἔκθετος πρότερον, εἶτα νομοθέτης καὶ στρατηγὸς τῶν πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἐπειγομένων οὐ τὰ μεγάλα καὶ θαυμαστὰ διηγήματα. ἐπαίνει με καὶ ὁ Καρμήλιος Ἠλίου, ὃ τοῦ πυρὸς ἅρμα δεξάμενος. καὶ ἡ μηλωτὴ Ἠλισσαίου, πλείω δυνηθεῖσα, ἢ τὰ σηρῶν νήματα, καὶ ὁ βιασθεὶς εἰς ἐσθῆτα χρυσός. ἐπαίνει με καὶ ἡ ἔρημος Ἰωάννου, τὸν μέγιστον ἐν γεννητοῖς γυναικῶν ἔχουσα, μετὰ τῆς τροφῆς ἐκείνης καὶ τῆς ζώνης καὶ τοῦ ἐνδύματος. εἰ τολμήσαι τι καὶ ὑπὲρ ταῦτα, θεὸν εὗρον τῆς ἐμῆς ἀγροικίας συνήγορον. μετὰ Βηθλεὲμ ταχθήσομαι. μετὰ τῆς φάτνης ἀτιμασθήσομαι, δι᾽ ἣν σὺ θεὸν ἀτιμάζων, τί θαυμαστὸν εἰ ἐκ τῆς αὐτῆς αἰτίας περιφρονεῖς καὶ τὸν κήρυκα; προστίθει καὶ τοὺς ἁλιεῖς, καὶ τοὺς εὐαγγελιζομένους πτωχούς, πολλάκις πλουσίων προτιμηθέντας. ἀκούσῃ ποτὲ ταῖς πόλεσιν ἐπαιρόμενος, αἰδεσθήσῃ ποτὲ τὴν ἀπόπτυστον καὶ ἄτιμον ἐρημίαν. οὔπω λέγω χρυσὸν ἐν ψάμμοις τικτόμενον, καὶ λίθων διαφανεῖς πετρῶν προβλήματα καὶ διορύγματα. οἷς εἰ ἀντιθείην, καὶ ὅσα ἐν πόλεσιν ἄτιμα, τάχα ἂν οὐκ εἴης καλὸν τῆς παρρησίας ἀπολαύσειμι. ἀλλὰ καὶ ξένος ἡμῖν ὁ κῆρυξ καὶ ὑπερόριος, τάχα ἂν εἴποι τις τῶν σφόδρα περιττῶν τε καὶ φιλοστόργων. οἱ ἀπόστολοι δὲ, οὐ ξένοι τῶν πολλῶν ἐθνῶν τε καὶ πόλεων εἰς ἃς ἐμερίσθησαν, ἵνα πανταχοῦ δράμῃ τὸ εὐαγγέλιον; ἵνα μηδὲν ἀλαμπὲς ᾖ τοῦ τριαδικοῦ φωτὸς, καὶ τῆς ἀληθείας ἀφώτιστον, ὥστε καὶ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, λυθῆναι τὴν νύκτα τῆς ἀγνωσίας. ἵν᾽ ἡμεῖς μὲν, φησιν, εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, ἤκουσας Παύλου λέγοντος. ἔστω Πέτρου ἡ Ἰουδαία, τί Παύλῳ κοινὸν πρὸς τὰ ἔθνη, Λουκᾷ πρὸς Ἀχαΐαν, Ἀνδρέᾳ πρὸς τὴν Ἤπειρον, Ἰωάννῃ πρὸς Ἔφεσον, Θωμᾷ πρὸς Ἰνδικήν, Μάρκῳ πρὸς Ἰταλίαν; τί δαὶ τοῖς ἄλλοις πᾶσιν, ἵνα μὴ τὰ καθ᾽ ἕκαστον λέγω, πρὸς τοὺς οἷς ἐπεδήμησαν, ὥστε ἢ κἀκείνοις ἐπιτιμᾶν, ἢ κἀμοὶ συγχωρεῖν, ἢ δεῖξον, ὅτι τὸ ἀληθὲς λόγοις πρεσβεύων, ἀπεργάζῃ τὴν φλυαρίαν. ἐπεὶ δὲ μικροπρεπῶς διελέχθην σοι περὶ τούτων. φέρε φιλοσοφώτερον, καὶ μεγαλοπρεπέστερον. πᾶσι μία τοῖς ὑψηλοῖς πατρίς, ὦ οὗτος, ἡ ἄνω Ἱερουσαλήμ, εἰς ἣν ἀποτιθέμεθα τὸ πολίτευμα. πᾶσι γένος ἕν, εἰ μὲν τὰ κάτω βούλει σκοπεῖν, ὁ χοῦς· εἰ δὲ τὰ ὑψηλότερα, τὸ ἐμφύσημα οὗ μετειλήφαμεν, καὶ ὃ τηρεῖν ἐκελεύσθημεν. καὶ μεθ᾽ οὗ παραστῆναι με δεῖ λόγον ὑφέξοντα τῆς ἄνωθεν εὐγενείας καὶ τῆς εἰκόνος. πᾶς μὲν οὖν εὐγενὴς, ὁ ταύτην φυλάξας ἐξ ἀρετῆς, καὶ τῆς πρὸς τὸ ἀρχέτυπον ὁμοιώσεως, δυσγενὴς δὲ ἅπας ὁ τῇ κακίᾳ συγχέας, καὶ μορφὴν ἑτέραν μεταβαλὼν ἑαυτοῦ τὴν τοῦ ὄφεως. αἱ δὲ κάτω πατρίδες αὗται, καὶ τὰ γένη ταῦτα τῆς προσκαίρου ζωῆς ἡμῶν καὶ σκηνῆς γίνεται παίγνια. πατρίς τε γὰρ ἣν προκατέλαβεν ἕκαστος, ἢ τυραννήσας ἢ δυστυχήσας, ἧς πάντες ὁμοίως ξένοι καὶ πάροικοι, κἂν ἐπὶ πολὺ τὰ ὀνόματα παίξωμεν, καὶ γένος εὐγενὲς μὲν ἢ τὸ πάλαι πλούσιον, ἢ τὸ νῦν φυσώμενον, δυσγενὲς δὲ τὸ πενήτων πατέρων, ἢ διὰ συμφορὰν, ἢ δι᾽ ἐπιείκειαν. ἐπεὶ πῶς ἄνωθεν εὐγενὴς, οὗ τὸ μὲν ἄρχεται νῦν, τὸ δὲ καταλύεται καὶ τοῖς μὲν οὐ δίδοται, τοῖς δὲ χαρίζεται; οὕτως ἐγὼ περὶ τούτων ἔχω, καὶ διὰ τοῦτο σοὶ μὲν ἀφίημι ταῖς τάφοις μεγαλοφρονεῖν, ἢ τοῖς μύθοις. ἐγὼ δὲ πειρῶμαι ὡς οἷόν τε ἀνακαθαίρειν ἐμαυτὸν τῆς ἀπάτης, ἵν᾽ ἢ φυλάξω τὴν εὐγένειαν, ἢ ἀνακαλέσωμαι. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα, ἐπέστην ὑμῖν ὁ μικρὸς ἐγὼ καὶ κακόπατρις· καὶ τοῦτο οὐχ ἑκὼν οὐδ᾽ αὐτεπάγγελτος, κατὰ τοὺς πολλοὺς τῶν νῦν ἐπιπηδώντων ταῖς προστασίαις· ἀλλὰ κληθεὶς καὶ βιασθεὶς, καὶ κατακολουθήσας φόβῳ καὶ πνεύματι. ἢ μακρότερα πλεονεκτεῖν ἐνταῦθα διακενὸς, καὶ μηδὲν τῆς παλαιᾶς ἐλευθερίας ἀπολαύσειμι, ἀλλ᾽ ἐν ἀτεκνίᾳ τῆς ἐμῆς κατευχόμενοι ψυχῆς ἐπιτυχοίην, εἰ ψευδὴς ὁ λόγος· ἐπεὶ δὲ ἦλθον ἴσως οὐ μετὰ φαύλης τῆς ἐξουσίας, ἵνα μικρόν τι καυχήσωμαι

τὴν τῆς

τῆς ἀφροσύνης. τίνα τῶν ἀπολέστων ἐμιμησάμην; τί τῶν καιρῶν περιέληφα; καίτοι γε ταῦτα ἔχων τὰ ὑποδείγματα, ὧν καὶ δίχα, μὴ κακὸν εἶναι τῶν χαλεπῶν καὶ σπανίων. τίνων ἐκκλησιῶν ὑμῖν ἠμφισβητήσαμεν; ποίων χρημάτων; καίτοι γε τοῖς ἀμφότερα πλουτοῦσιν ὑπὲρ τὴν χρείαν, οἶδε ἐνδεεῖς ἀμφότερα. ποῖον Βασιλικὸν γράμμα διαπτυσθὲν ἐξελατυπήσαμεν; τίνας ἀρχόντων ἐθεραπεύσαμεν καθ' ὑμῶν; τίνων θρασύτητα κατεπεμπύσαμεν; τὰ δὲ εἰς ἐμέ, τίνα; εὔχομαι μὴ στήσης αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, καὶ τότε εἶπον. ἐμὸν ἆθλον γὰρ ἐν καιρῷ τῶν Στεφάνου ῥημάτων, καὶ νῦν προσδέχομαι. λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν. εἰ δὲ ὅτι τυραννούμενος, φέρω, τοῦτο ἀδικῶ. χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην, καὶ ὑπ' ἄλλων ἤνεγκα τυραννούμενος. καὶ χάρις ὅτι τὴν ἐπιείκειαν ἐνεκλήθην ὡς αἰτίαν. λογίζομαι γὰρ οὕτω λίαν ὑψηλοτέροις ἢ καθ' ὑμᾶς λογισμοῖς χρώμενος. πόσον μέρος ταῦτα τῶν ἐμπτυσμάτων Χριστοῦ καὶ ῥαπισμάτων, ὑπὲρ οὗ καὶ δι' ὃν οἱ κίνδυνοι. οὐδὲ ὡς οὐ τιμῶμαι πάντα, τοῦ ἀκανθίνου στεφάνου, ὃς τὴν νίκην τὴν ἡμῶν ἀπεστεφάνωσε, δι' οὗ καὶ μανθάνω τῇ τοῦ βίου τραχύτητι στεφανούμενος. οὐδὲ τοῦ καλάμου, δι' οὗ τὸ σαθρὸν κράτος ἐπαίσατο. μιᾶς τῆς χολῆς, οὐδὲ ὄξους, δι' ὧν τὴν πικρὰν γεῦσιν ἐθεραπεύθημεν. μιᾶς τῆς ἐν τῷ πάθει μακροθυμίας, εἰ φιλήματι προδοθῇ. ἐλέγχει μέν, οὐ πλήττει δέ· εἰ ἄφνω συλληφθῇ, ὀνειδίζει μέν, ἕπεται δέ. κἂν μάχαιραν μάλχου τέμνῃς τὸ ὠτίον διὰ ζῆλον, ἀγανακτήσει καὶ ἀποκαταστήσει. κἂν ἐν σινδόνι τις φύγῃ, προσστελεῖ. κἂν πῦρ αἰτήσῃς σοδομιτικὸν ἐπὶ τοὺς ἄγοντας, οὐκ ἐπικλύσει. κἂν λῃστὴν λάβῃ διὰ κακίαν κρεμάμενον, εἰς τὸν παράδεισον εἰσάξει διὰ χρηστότητα. πάντα ἔστω τὰ τοῦ φιλανθρώπου, φιλάνθρωπα, ὡς δὲ καὶ τῶν Χριστοῦ παθημάτων, οἷς τί τῶν μειζόνων αὖ δέοιμεν, εἰ Θεοῦ καὶ θανατωθέντος ὑπὲρ ἡμῶν, αὐτοὶ τοῖς ὁμοίοις μηδὲ τὰ σμικρὰ συγχωρήσομεν. πρὸς δὲ καὶ ταῦτα ἐλογιζόμην τι καὶ λογίζομαι, καὶ σκοπεῖτε, εἰ μὴ καὶ λίαν ὀρθῶς, ἃ καὶ πολλάκις ὑμῖν ἐφιλοσόφησα. ἔχουσιν οὗτοι τοὺς οἴκους, ἡμεῖς τὸν ἐνοικοῦντα· οὗτοι τοὺς ναούς, ἡμεῖς τὸν Θεόν· καὶ τὸ ναοὶ γενέσθαι Θεοῦ ζῶντος καὶ ζῶντες, ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά, θύματα τέλεια, θεοὶ διὰ Τριάδος προσκυνουμένης. οὗτοι δῆμον, ἡμεῖς ἀγγέλους· οὗτοι θράσος, πίστιν ἡμεῖς· οὗτοι τὸ ἀπειλεῖν, ἡμεῖς τὸ προσεύχεσθαι· οὗτοι τὸ βάλλειν, ἡμεῖς τὸ φέρειν· οὗτοι χρυσὸν καὶ ἄργυρον, ἡμεῖς λόγον κεκαθαρμένον. ἐποίησας σεαυτῷ διώροφα καὶ τριώροφα; γνῶθι τὰ ῥήματα τῆς γραφῆς· οἶκον πτηνὸν διεσταλμένοις θυρίσιν, ἀλλ' οὔπω ταῦτα τῆς ἐμῆς πίστεως ὑψηλότερα καὶ τῶν οὐρανῶν πρὸς οὓς φέρομαι. μικρόν μοι τὸ ποίμνιον; ἀλλ' οὐκ ἐπὶ κρημνῶν φερόμενον. στενή μοι ἡ μάνδρα; ἀλλ' οὐ λύκοις ἀνεπίβατος, ἀλλ' οὐ περιδεχομένη λῃστήν, οὐδὲ ὑπερβαινομένη κλέπταις καὶ ξένοις. ὄψομαι ταύτην εὖ οἶδα καὶ πλατυτέραν, πολλοὺς καὶ τῶν νῦν λύκων ἐν προβάτοις ἀριθμήσασθαί με δεῖ τυχὸν καὶ ποιμένας. τοῦτο εὐαγγελίζεταί μοι ὁ ποιμὴν ὁ καλός, δι' ὃν ἐγὼ τίθημι τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. οὐ φοβοῦμαι τὸ μικρὸν ποίμνιον· ἐπισκόπησον γάρ· ὅτι γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. τοιαῦτα τὰ Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα. τὰ πρόβατα τὰ ἐμά, τῆς φωνῆς μου ἀκούει, ἧς ἤκουσα παρὰ τῶν θείων λογίων, ἣν ἐδιδάχθην παρὰ τῶν ἁγίων πατέρων, ἣν ἐδίδαξα κατὰ πάντα καιρὸν ὁμοίως· οὐ συμμορφούμενος τοῖς καιροῖς, καὶ διδάσκων οὐ παύσομαι, μεθ' ἧς ἐγεννήθην καὶ ᾗ συναπέρχομαι. ταῦτα καλῶ καὶ κατ' ὄνομα οὐκ ἀνώνυμα γάρ. ὥσπερ οὐδὲ ἀστέρες ἀριθμούμενοι καὶ ὀνομαζόμενοι, καὶ ἀκολουθοῦσί μοι. ἐκτρέφω γὰρ ἐπὶ ὕδατος ἀναπαύσεως. ἀκολουθοῦσι δὲ καὶ παντὶ τοιούτῳ ποιμένι, οὗ τὴν φωνὴν ὁρᾶτε, ὅπως ἡδέως ἤκουσαν, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν· ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι διαγνωστικὴν ἕξιν ἔχουσιν ἤδη φωνῆς οἰκείας καὶ ἀλλοτρίας. φεύξονται Οὐαλεντίνου τὴν τοῦ ἑνὸς εἰς δύο κατατομήν, οὐκ ἄλλου τοῦ ἀγαθοῦ τὸν δημιουργὸν πιστεύοντες, καὶ τὸν Βυθὸν καὶ τὴν Σιγήν, καὶ τοὺς μυθικοὺς αἰῶνας, τὰ Βυθοῦ καὶ Σιγῆς ὄντως ἄξια. φεύξονται Μαρκίωνος τὸν ἐκ στοιχείων καὶ ἀριθμῶν θεόν· Μοντανοῦ τὸ πονηρὸν πνεῦμα καὶ γυναικεῖον· Μανέντος τὴν ὕλην μετὰ τοῦ σκότους· Ναυάτου τὴν ἀλαζονείαν, καὶ τὴν ἐν ῥήμασι καθαρότητα· Σαβελλίου τὴν ἀνάλυσιν, καὶ τὴν σύγχυσιν, καὶ τὴν ἵν' οὕτως εἴπω κατάποσιν, τὰ τρία συναιροῦντος εἰς ἕν, ἀλλ' οὐκ ἐν τρισὶν ὑφεστῶσι τὸ ἓν ὁρίζοντος. Ἀρείου τε τὴν ὑπ' Ἀρείῳ τῶν φύσεων ἀλλοτρίωσιν καὶ τὸν καινὸν ἰουδαϊσμόν, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντος· Φωτεινοῦ τὸν κάτω Χριστόν, καὶ ἀπὸ Μαρίας ἀρχόμενον. αὐτοὶ δὲ προσκυνοῦσι τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, μίαν θεότητα· Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν εἰ μὴ τραχύνῃ τὸ Πνεῦμα τὸ ἅγιον· μίαν φύσιν ἐν τρισὶν ἰδιότησι, νοεραῖς, τελείαις, καθ' ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς, καὶ οὐ θεότητι. τούτων παραχωρείτω μοι τῶν φωνῶν πᾶς ὁ ἀπειλῶν σήμερον, τῶν δὲ ἄλλων μεταποιείσθωσαν οἱ βουλόμενοι. οὐ δέχεται πῦρ υἱὸν ζημιούμενος, οὐδὲ υἱὸς τὸ πνεῦμα τὸ ἅγιον. ζημιοῦται δέ, εἰ ποτὲ

καὶ εἰ κτίσμα. οὐ γὰρ θεὸς τὸ κτιζόμενον. οὐ φέρω ζημιούμενος· οὐδὲ ἐγὼ τὴν τελείωσιν. εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἰ τοῦτο ἀκυρωθείη μοι. ποῖον ἕξω τὸ δεύτερον; τί φατε; οἱ καταβαπτιζόντων ἢ ἀναβαπτιζόντων; ἔστιν εἶναι πνευματικὸν δίχα πνεύματος; μετέχει δὲ πνεύματος ὁ μὴ τιμῶν τὸ πνεῦμα; τιμᾷ δὲ ὁ εἰς κτίσμα καὶ ὁμόδουλον βαπτιζόμενος; οὐκ ἔστιν, οὐχ οὕτω πολλὰ φρενῶν, οὐ ψεύσομαί σε πάτερ ἄναρχε, οὐ ψεύσομαί σε μονογενὲς λόγε, οὐ ψεύσομαί σε τὸ πνεῦμα τὸ ἅγιον. οἶδα τίνι ὡμολόγησα, καὶ τίνι ἀπεταξάμην, καὶ τίνι συνεταξάμην. οὐ δέχομαι τὰς πίστεως φωνὰς διδαχθῆναι, καὶ μαθεῖν ἄπιστος, ὁμολογῆσαι ἀλήθειαν, καὶ γενέσθαι μετὰ ψεύδους, ὡς τελειούμενος καταλυθῆν, καὶ ἀνελθεῖν ἀτελέστερος. ὡς ζητούμενος βαπτισθῆναι τῷ ὕδατι, καθάπερ τὰ ταῖς ὠδῖσιν οἷα προθανόντα κυήματα, καὶ σύνδρομον λαβόντα τῇ γεννήσει τὸν θάνατον. τί με ποιεῖς μακάριον ἐν ταὐτῷ καὶ ἄθλιον, νεοφώτιστον καὶ ἀφώτιστον, θεῖον καὶ ἄθεον, ἵνα ναυαγήσω καὶ τὴν ἐλπίδα τῆς ἀναπλάσεως. βραχὺς ὁ λόγος. μνήσθητι τῆς ὁμολογίας. εἰς τί ἐβαπτίσθης; εἰς πατέρα; καλῶς. πλὴν ἰουδαϊκὸν ἔτι. εἰς υἱόν; καλῶς· οὐκ ἔτι μὲν ἰουδαϊκόν, οὔπω δὲ τέλειον. εἰς τὸ ἅγιον πνεῦμα; ὑπερβολή γε. τοῦτο τὸ τέλειον. ἆρ' οὖν ἁπλῶς εἰς ταῦτα, ἢ καί τι κοινὸν τούτων ὄνομα. ναὶ κοινόν. τί τοῦτο; δηλαδὴ τὸ τοῦ θεοῦ. εἰς τοῦτο τὸ κοινὸν ὄνομα πίστευε καὶ κατευοδοῦ καὶ βασίλευε, καὶ μεταβαίης ἐντεῦθεν, εἰς τὴν ἐκεῖθεν μακαριότητα. ἡ δέ ἐστιν ὡς ἐμοὶ δοκεῖ, ἡ τούτων αὐτῶν ἐκτυπωτέρα κατάληψις, εἰς ἣν φθάσαιμεν καὶ ἡμεῖς, ἐν αὐτῷ χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ πατρί, καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ ΕΑΥΤΟΝ, ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΕΠΙθυμεῖν αὐτὸν τῆς καθέδρας κωνσταντινουπόλεως.

Γὼ θαυμάζω, τί ποτέ ἐστιν ὃ πρὸς τοὺς ἐμοὺς ἐπτόηθε λόγους, καὶ πόθεν τοσοῦτον ἤρασθε τῆς ἡμετέρας φωνῆς, τῆς ὑπερορίου καὶ μικρᾶς ἴσως, καὶ οὐδὲν ἐχούσης ἐράσμιον· ὥστε ταὐτόν μοι δοκεῖτε πρὸς ἡμᾶς πεπονθέναι, ὃ πρὸς τὴν μαγνῆτιν λίθον τὰ σιδήρεια. ἐμοῦ τε γὰρ κρεμασθεὶ καὶ ἀλλήλων εἰς τοῦ ἑνὸς ἐχόμενοι, καὶ θεοῦ πάντες ἐξ οὗ καὶ εἰς ὃν τὰ πάντα. ὢ τῆς θαυμασίας ἁλύσεως ἣν πλέκει τὸ πνεῦμα τὸ ἅγιον, δεσμοῖς ἀλύτοις συνηρτημένην. τὸ δὲ αἴτιον, οὔτε τι οἶδα ἐγὼ τῶν ἄλλων σοφώτερον, ὅσα ἐμαυτῷ συνεπίσταμαι. εἰ μή τις τοῦτο αὐτὸ ἐμὴν σοφίαν ὑπολαμβάνοι, τὸ εἰδέναι ὅτι μὴ σοφὸς εἴην, μηδὲ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας ἐγγύς, ὃ πολλῷ δέουσι, περὶ ἑαυτῶν ὑπολαμβάνειν οἱ νῦν σοφοί. ἐπειδὴ ῥᾷστον ἑαυτὸν ἀπατᾶν, καὶ οἴεσθαι εἶναί τι οὐδὲν ὄντα, ὑπὸ τῆς κενῆς δόξης φυσώμενον. ὅτι πρῶτος ὑμῖν τὸν ὀρθοδοξίας λόγον ἐκήρυξα, οὐ μάλιστα περιέχεσθε. ἴχνεσι δὲ ἀλλοτρίοις ἐπηκολούθησα, καὶ τούτοις ὑμετέροις. εἰ ἔσται γὰρ τὰ λυθέντα. εἴπερ ὑμεῖς ἀλεξάνδρου μαθηταὶ τοῦ πάνυ, τοῦ μεγάλου τῆς τριάδος ἀγωνιστοῦ τε καὶ κήρυκος. ὃς λόγῳ καὶ ἔργῳ τὴν ἀσέβειαν ἐξορίζοντος. μέμνησθε γὰρ τῆς ἀποστολικῆς ἐκείνης εὐχῆς, ἣ τὸν ἀρχηγὸν τῆς ἀσεβείας κατέλυσεν ἐν τόποις ἀξίοις τῶν τῆς γλώσσης ἀμαρτημάτων, ἵν' ὕβρεις ὕβρει ἀμυνῶνται, καὶ στηλιτευθῇ θανάτῳ δικαίῳ, θάνατος ψυχῶν ἄδικος. οὐ ξένην οὖν πηγὴν ὑμῖν ἐξερρήξαμεν, ὥσπερ ἣν μωσῆς ἀνέδειξεν ἀνύδροις τοῖς ἀπ' αἰγύπτου διωκομένοις, κεκρυμμένην δὲ καὶ συγκεχωσμένην ἀνεστομώσαμεν κατὰ τοὺς παῖδας ἰσαὰκ τοῦ μεγάλου, μὴ ὀρύσσοντας φρέατα μόνον ζῶντος ὕδατος, ἀλλὰ καὶ φρασσόμενα ὑπὸ τῶν φυλισταίων ἀνακαθαίροντας. ἀλλ' οὐδὲ τῶν κομψῶν τις καὶ ἰδίων ἐγώ, καὶ οἷος κολακείᾳ κλέπτειν τὴν εὔνοιαν, οἵους ὁρῶ πολλοὺς τῶν νῦν ἱερατεύειν ὑπισχνουμένων, οἳ τὴν ἁπλοῦν καὶ ἄτεχνον ἡμῶν εὐσέβειαν, ἔντεχνον πεποιήκασι, καὶ πολιτικῆς τι καινὸν εἶδος ἀπὸ τῆς ἀγορᾶς εἰς τὰ ἅγια μετενηνεγμένην καὶ ἀπὸ τῶν θεάτρων ἤδη τὴν τοῖς πολλοῖς ἀβέβηλον μυσταγωγίαν, ὡς εἶναι δύο σκηνάς, εἰ δεῖ τολμήσαντος τοῦτο εἰπεῖν, τοσοῦτον ἀλλήλων διαφερούσας, ὅσον τὴν μὲν πᾶσιν ἀνεῖσθαι, τὴν δὲ τισὶ καὶ τὴν μὲν γελᾶσθαι, τὴν δὲ τιμᾶσθαι καὶ τὴν μὲν θεατρικήν, τὴν δὲ πνευματικὴν ὀνομάζεσθαι. ὑμεῖς μάρτυρες, καὶ ὁ θεός, φησὶν ὁ θεῖος ἀπόστολος, ὡς οὐ τοιούτης ἡμεῖς τῆς μερίδος. ἀλλ' οἷοι σκαιότητος ἂν θᾶττον καὶ ἀγροικίας, ἢ θεραπείας καὶ ἀνελευθερίας ἔγκλημα δέξασθαι, οἵ γε καὶ πρὸς τοὺς λίαν αὐτεχομένους ἡμῶν ἐστὶν ὅτε καὶ ὅπου φαινόμεθα τραχυνόμενοι, ἄν τι μὴ κατὰ λόγον ἡμῖν ποιεῖν νομίζωνται. καὶ τοῦτο ἔδειξεν ἡ πρῴην γενομένη περὶ ἡμᾶς καινοτομία, ἡνίκα ζήλῳ καὶ θυμῷ ζέσαντες ὑμεῖς ὁ λαὸς βοώντων τε καὶ ὀδυρομένων ἤδη τὸν θρόνον τοῦτον ᾐτήκατε, τὸν οὐκ οἶδ' εἴτε τυραννικὸν χρὴ λέγειν, εἴτε ἀρχιερατικόν. ἐθίγετε δ' οὖν διὰ τὸν πόθον παρανομήσαντες, οἳ θαρροῦντόν τισι τῶν θερμοτέρων ἐδυσχεράναμεν, ὥστε ἀπαιτήσαι ἡμῶν, τὸ φίλτρον εἰς ἔχθραν τρέψαντες. οὐ γὰρ ἐξ ὧν χαριούμεθα σκοποῦμεν μᾶλλον, ἢ ἐξ ὧν ὠφελήσομεν. τίς οὖν ἡ αἰτία τοῦ τοσούτου περὶ ἡμᾶς πόθου, καὶ τοὺς λόγους τοὺς ἡμετέρους, αὐτοὶ βούλεσθε

δηλῶσαι

ἐπιζητεῖτε ταύτην καὶ περιεστήκατε, καὶ τὸ ὑμέτερον πάθος αὐτοὶ γνωρίζετε, ἢ δι' ἡμῶν ὥσπερ δημοσιεύετε, ὡς καὶ τὴν ἄλλων ἡμῖν χρῆσθε προθύμως ἐξηγηταῖς. ἡμέτερον οὐδ' ἔτι ποιεῖσθε τὸν λόγον ὅσον ἐκ τῆς ἡσυχίας. οὐκοῦν ἀκούσατε, καὶ σκοπεῖτε μὴ φαῦλος ἐγὼ τῶν τοιούτων εἰκαστής. ἐμοὶ δοκεῖτε μάλιστα μὲν ὡς αὐτοὶ καλέσαντες ἡμᾶς, οἰκείᾳ βουλῇ ἐν κρίσει, καὶ διὰ τοῦτο περιέπειν τὸ ὑμέτερον θήραμα. φύσις δὲ αὕτη πρὸς τὸ οἰκεῖον ἅπασιν εὐμενῶς ἔχειν, εἴτε κτῆμα, εἴτε γέννημα, εἴτε λόγον· καὶ δι' εὐνοίας ἑκουσίως χειροῦσθαι τοῖς ἑαυτῶν προβλήμασι. δεύτερον δέ, οὐδὲ οὕτως αἰδεῖσθαι ὡς τὸ μὴ ἰταμὸν ἡμῶν, μήτε βίαιον, μήτε θεατρικόν τε καὶ πανηγυρικόν, ἀλλ' ὑποχωρητικόν τε καὶ μέτριον, καὶ δι' ἄκοπον εἶναι τοῦ κοινῷ καὶ μονότροπον, καὶ συντομώτερον εἰπεῖν τι φιλόσοφον, οὐδὲ αὐτὸ τεχνικῶς καὶ πολιτικῶς ἡμῖν ἀθυρμένον, ἀλλ' ἁπλῶς καὶ πνευματικῶς τετιμημένον. οὐ γὰρ ἵνα ζητηθῶμεν ἀποκρυπτόμεθα, οὐδ' ἵνα πλείονος ἄξιοι δόξωμεν τιμῆς, ὥσπερ αἱ τὰς ὥρας μικρὸν προφαινόντων εἶτ' ἀποστελλόντων, ἵνα τὸ φαίγειν τὰς προσδείας, καὶ μὴ μεταποιεῖσθαι τὴν τοιαύτην τιμῶν, τῇ ἡσυχίᾳ δείξωμεν. τρίτον ὁρῶντες ἡμᾶς, οἷα πάσχομεν ὑπό τε τῶν ἔξωθεν πολεμούντων, καὶ τῶν οἴκοθεν ἐπιβουλευόντων. ἐπειδὴ κατὰ τὸν Δανιήλ, ἐξῆλθεν ἀνομία ἐκ πρεσβυτέρων, οἳ ἐδόκουν κρίνειν τὸν Ἰσραήλ, ᾗ ἐταλαίζομεν μὲν καὶ δυσχεραίνομεν, καὶ οὐκ ἔχειν ὅπως ἐπαμύνητε τυραννουμένῳ, μόνον δὲ αἰτεῖτε παρὰ τῶν εἰσφέρειν τὸν ἔλεον. ὁ οὖν οἶκτος τῇ αἰδοῖ συγκραθείς, φίλτρον ἐγένετο. καὶ διὰ τοῦτο περὶ ἐμὲ τιμῆς τὸ μυστήριον. ἐπεὶ δὲ οἱ λόγοι τὸ πολεμούμενον, καὶ ἡ περὶ τὴν καὶ ἐπίφθονος αὕτη γλῶττα, ἣν οἱ τοῖς ἔξωθεν παιδευθεῖσι λόγοις, τοῖς θείοις ἐξαγνίσαμεν, καὶ τὴν πικρὰν καὶ ἄποτον Μερρὰν διὰ τοῦ ζωῆς ξύλῳ κατεγλυκάναμεν. πεπόνθατέ τι πάθος ἱκανῶς ἐλευθέριον ὥσπερ στέργετε δι' ὃ πολεμούμεθα. τί γὰρ οὐ τὴν κεφαλὴν ἐπασπασάμεθα παίδευσιν; τί δὲ οὐ τὴν ξηράν τε καὶ κάτω βαίνουσαν; τί δαὶ ταύτῃ χαίροντας τοὺς πολλοὺς ὁρῶντες, ἐφιλοσοφοῦμεν ξένα καὶ ἔκφυλα, καὶ πρὸς τὰς ἀντιθέτους γλώσσας ἱστάμεθα, δέον θρασύτητι φθέγγεσθαι τῶν λογισμῶν, καὶ πίστιν ὀνομάζειν τὴν ἀλογίαν, ἣν ἠγάπησαν αὖ καὶ αὐτοί, εὖ ἴστε ἀληθὴς ὤν. ἐπειδὴ τοῦτο πρόχειρον τοῖς πολλοῖς εἰς ἀπολογίαν τῆς ἀμαθίας, εἰ λόγου ἔχοι τὴν σημείων τὴν δύναμιν. ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἢ δαπανήσειε τοὺς ἔχοντας, ὁ τῶν παρόντων ἰός, τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον· τὸ μέν, ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς· τὸ δέ, ὅτι τήκει τοὺς ἔχοντας. οὐ γὰρ τοῖς πρώτως ἐπαινέσασιν ἡμᾶς καταρῶμαι. οὐ γὰρ μέμφεσθε τῶν ἐπαίνων τὸ τέλος, ὡς τάχα ἄν τι καὶ λοιδορίας προσέθηκαν, ἵνα τὸν φθόνον ἐπισχῶσιν. οὗτος καὶ τὸν ἑωσφόρον ἐσκότισε καταπεσόντα δι' ἔπαρσιν. οὐ γὰρ ἤνεγκε θεῖος ὢν μὴ καὶ θεὸς νομισθῆναι. καὶ τὸν Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου δι' ἡδονῆς κλέψας καὶ γυναικός· ἐπείθη γὰρ ὡς θεὸς εἶναι βασκαίνεται, τοῦ τῆς γνώσεως ξύλου τέως εἰργόμενος. οὗτος καὶ τὸν Κάϊν ἀδελφοκτόνον ἐποίησεν, οὐκ ἐνεγκόντα θυσίαν ὁσιωτέραν. οὗτος καὶ ὕδατι κόσμον ἐκάλυψεν ἀκοσμοῦντα, καὶ Σοδόμων πυρὶ κατέκλυσεν. οὗτος καὶ Δαθὰν καὶ Ἀβειρὼν κατέχωσε, καὶ Μωσέως μανέντας καὶ Μαριὰμ ἐλέπρωσε κατὰ τοῦ ἀδελφοῦ μόνον γογγύσασαν. οὗτος καὶ προφητῶν αἵμασι τὴν γῆν ἐμίανε, καὶ Σολομῶντα γυναιξὶ κατέστησε τὸν σοφώτατον. οὗτος καὶ Ἰούδαν προδότην ἀπέδειξεν, ἀργυρίῳ μικρῷ κλαπέντα τὸν ἀγχόνης ἄξιον, καὶ Ἡρώδην παιδοφόνον, καὶ χριστοκτόνον Πιλᾶτον ἐδημιούργησεν. οὗτος καὶ τὸν Ἰσραὴλ ἐλίκμησε καὶ διέσπειρεν, ἐξ ἧς οὔπω καὶ νῦν ἀνανεύουσιν ἁμαρτίας. οὗτος καὶ τὸν ἀποστάτην ἡμῖν ἐπανέστησε τύραννον, οὗ καὶ νῦν ἔτι παραλυποῦσιν οἱ ἄνθρακες, εἰ καὶ τὴν φλόγα διαπεφεύγαμεν. οὗτος καὶ τὸ καλὸν σῶμα τῆς ἐκκλησίας κατέτεμεν εἰς διαφόρους καὶ ἀντιπάλους σπουδὰς μετρίους. οὗτος καὶ ἡμῖν τὴν Ἱερουσαλὴμ ἐπανέστησε τὸν δοῦλον τῆς ἁμαρτίας, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησιν. οὐ γὰρ φέρει τὴν τελείαν λαμπρυνομένην καὶ ὅλως θεότητι λάμπουσαν, καὶ τιμίους ποιοῦσαν ὑμῖν τοὺς γνησίους ἑαυτῆς κήρυκας. ἆρα φλυαρεῖν ὑμῖν δοκοῦμεν οὕτως εἰκάζοντες, ἢ καὶ λίαν ὀρθῶς τοῦ πόθου τὰς αἰτίας ὁ γραφεὺς λόγος ἀνεζωγράφησε. περὶ μὲν δὴ τούτων, οὕτω γινώσκω. ἐπεὶ δὲ καὶ ταῖς ὕβρεσιν ὁρῶ τινὰς δυσχεραίνοντας, καὶ συμφορὰν ἑαυτῶν ποιουμένους τὴν ἀτιμίαν τὴν ἡμετέραν, φέρε καὶ περὶ ταύτης βραχέα φιλοσοφήσωμεν. ἐγὼ γὰρ εἰ μὲν ἀνθρώπινόν τι καὶ μικρὸν εἰνοῶν, ἢ τοῦ καθέδρας ταύτης μεταποιούμενος, ἢ τὴν ἀρχὴν ἐπέστην ὑμῖν μετὰ τῆς ὁμιλίας ταύτης, καὶ τῶν ἐξηγουμένων τούτων, καὶ χρόνῳ καὶ νόσῳ μαχόμενος, ἢ νῦν ταύτας φέρω τὰς ἀτιμίας, αἰσχυνοίμην μὲν ἂν τὸν οὐρανόν, καὶ τὴν γῆν· ἃ καὶ τοῖς παλαιοῖς ἔθος μαρτύρεσθαι. αἰσχυνοίμην δ' ἂν τὴν καθέδραν ταύτην, καὶ τὸ ἱερὸν τοῦτο συνέδριον, καὶ τὸν ἅγιον τοῦτον καὶ νεοπαγῆ λαόν, ἐφ' ὃν τοσαύτη τῶν πονηρῶν δυνάμεων ἡ παράταξις, ἵνα πρὶν συστῆναι λυθῇ, καὶ πρὶν γεννηθῆναι πηρωθῇ κατὰ Χριστὸν ἤδη μορφούμενος. αἰσχυνοίμην δ' ἂν τοὺς ἐμοὺς καμάτους καὶ πόνους, καὶ τὸ ἴαμα τοῦτο τὸ τρύχινον. καὶ τὴν ἐρημίαν καὶ τὴν ἀναχώρησιν ᾗ συνεζήσαμεν. καὶ τὴν

ἀσυνθέτους βίους, καὶ τὴν εὐτελῆ τράπεζαν, μικρὸν τῆς τιμῆς ἀποδιδοῦσιν. ἀλθαίτωσαν δέ, καὶ ταῦτα περὶ ἡμῶν, ὅτι γυναικὸς ἀλλοτρίας ἐπεδημήσαμεν, οἱ μηδὲ ἰδίαν ἔχειν θελήσαντες. ἐχέτωσαν δὲ ἡμῶν καὶ Γαβαωνῖται πλέον, οὓς οὐδὲ εἰς ξυλοκόπων καὶ ὑδροφόρων οἶδ' ὅτι τὸ πνεῦμα τὸ ἅγιον παραδέχεται, μέχρις ἂν προσίωσι τοῖς ἱεροῖς, μετὰ τοιούτους τοῦ βίου καὶ τοῦ λόγου στιγματίας. εἰ δὲ περὶ λόγῳ συνηγορήσαντος ἥκομεν, καὶ τῇ χήρᾳ, καὶ τῇ αἰδεσίμῳ ποτὲ ἐκκλησίᾳ τὰ δυνατὰ συνασπίσαντος. οἵους τινὰς ἐπιτρόπους καὶ κηδεμόνας, ἄνευ νυμφαγωγήσαντος, ὃς καὶ ἄξιος τοῦ κάλλους φανῇ, καὶ πλείονα τὰ ἐξ ἀρετῆς ἔδνα προσενέγκῃ τῇ βασιλίδι. πότερον, ἐπαινετοὶ τῆς προθυμίας, ἢ ψεκτοὶ τῆς ἀπονοίας. ὅτι τοῖς ἀλλοτρίοις κρινόμεθα πάθεσιν. ὡς δὴ σύ γε ὦ βέλτιστε, καὶ εἰ νηὶ χειμαζομένῃ χεῖρα ὀρέγομεν, ἢ πολιορκουμένῃ πόλει, ἢ ὑπὸ πυρὸς οἰκίᾳ δαπανωμένῃ, ἢ σκάφεσι βοηθοῦντες, ἢ φάλαγξιν, ἢ στρατηγείοις ὀργάνοις, πάντως ἂν ἢ καταποντιστὰς ἡμᾶς ὠνόμασας, ἢ τῆς πόλεως, ἢ τῆς οἰκίας ἐραστάς, ἀλλ' οὐ προστάτας καὶ κηδεμόνας. ἀλλ' οὕτω, φησί, δοκεῖ τοῖς πολλοῖς. τί δέ μοι διαφέρει ὃ τοῦ εἶναι πλεῖον ὁ λόγος, μᾶλλον δὲ πῶς; τοῦτο γὰρ ἢ κατέκρινεν, ἢ ἐδικαίωσεν, ἢ ἄθλιον πεποίηκεν, ἢ μακαρίους· τὸ δὲ δοκεῖν, οὐδὲν πρὸς ἡμᾶς, ὥσπερ οὐδὲ ὄναρ ἀλλότριους. οὐχ οὕτω, φησί, δοκεῖ τοῖς πολλοῖς ἀνθρώποις. ἡ γῆ δέ, δοκεῖ τοῖς ἰλιγγιῶσιν, ἵσταται, τοῖς δὲ μεθύουσι, νήφειν οἱ νήφοντες. ἀλλ' οὐκ ἤδη κεφαλὴν βαδίζειν, ἢ περιτρέπεσθαι; τὸ μέλι δὲ οὐ πικρόν ἐστιν ὅτε καὶ οἷς νομίζεται, νοσοῦσί τε καὶ κακῶς διακειμένοις; ἀλλ' οὐ παρὰ τοῦτο τὰ πράγματα οὕτως ἔχει, ὡς δοκεῖ τοῖς πασχοῦσι. δεῖξον οὖν ὑγιαίνοντας τοὺς οὕτως ὑπειληφότας, καὶ τότε ἡμῖν παραίνεσον μετατίθεσθαι, ἢ καταγίνωσκε μὴ πειθομένων, ἀλλ' ἤδη τῆς αὐτῆς ἰσαμένων κρίσεως. οὐχ οὕτω δοκῶ τοῖς πολλοῖς; θεῷ δὲ οὕτω, καὶ οὐ δοκῶ, πεφανέρωμαι δὲ τῷ εἰδότι πάντα πρὶν γενέσεως αὐτῶν, τῷ πλάσαντι κατὰ μόνας τὰς καρδίας ἡμῶν, τῷ συνιέντι εἰς πάντα τὰ ἔργα ἡμῶν τὰ κινήματα, καὶ τὰ διανοήματα, μεθ' ὧν τὰ πραττόμενα, ὃν λανθάνει τῶν ὄντων οὐδέν, οὐδὲ λαθεῖν δύναται, ὃς ἑτέρως ὁρᾷ τὰ ἡμέτερα, ἢ ὡς ὁρῶσιν ἄνθρωποι. ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, θεὸς εἰς καρδίαν. ἤκουσας τῆς γραφῆς λεγούσης, καὶ πίστευε. οὗ φροντιστέον μᾶλλον, ἢ πάντων ὁμοῦ τῶν ἄλλων τοῖς γινομένοις ἐγχειροῦσιν. ἢ δύο μὲν ἀνθρώποις, περὶ τοῦ αὐτοῦ πράγματος συμβούλοις χρώμενος, συνετωτέρῳ τὲ καὶ ἀμαθεστέρῳ, οὐκ ἂν εὖ φρονεῖν ἔδοξας. εἰ τὸν συνετώτερον παρείς, τῷ ἀμαθεστέρῳ κατηκολούθησας. οὐδὲ γὰρ ὁ Ῥοβοὰμ ἐπῃνέθη ὅτι τὴν βουλὴν τῶν πρεσβυτέρων ἀτιμάσας, τὴν τῶν νεωτέρων ἔστησε. θεοῦ δὲ καὶ ἀνθρώπων ἐξεταζομένων, προτιμήσεις τὰ τῶν ἀνθρώπων; οὐ σύ γε ἂν ἐμοὶ πείθῃ, καὶ φρονῇς ἄμεινον. ἀλλ' αἰσχυνθήσῃ, φησί, ταῖς ὕβρεσιν. ἐγὼ δὲ ὑμῖν ὅτι αἰσχύνεσθε. εἰ μὲν γὰρ ὀρθῶς ταῦτα πάσχομεν, αἰσχυντέον ἡμῖν μᾶλλον, ἢ ὑμῖν ἐφ' ἡμῖν, οὐχ ὅτι ἀτιμαζόμεθα μᾶλλον, ἢ ὅτι ἐσμὲν ἀτιμίας ἄξιοι. εἰ δὲ ἀδίκως, τῶν ὑβριζόντων τὸ ἔγκλημα, καὶ ὑπὲρ ἐκείνων μᾶλλον, ἢ ὑπὲρ ἡμῶν ἀγανακτητέον. ἐκεῖνοι γὰρ οἱ κακῶς πάσχοντες. εἰ δέ με ὄντα κακόν, ἄριστον ὑπολαμβάνετε, τί με ποιεῖν ἐχρῆν, εἰ μᾶλλον κακόν, ἵνα πλέον ἀρέσκω σοι; οὐκ ἂν τοῦτο εἴη μοι τῷ συνεβούλευσα ὅπως οὐδὲ εἰ καταγελῶνταί με πάλιν ὑπολαμβάνεις, τοῦ καταγελᾶν δεῖ σε μεταθέσθαι. ζῶ γὰρ οὐ τί μᾶλλον, ἢ ἐμαυτῷ καὶ σύμβουλον ἔχω περὶ παντὸς τὸν λόγον, καὶ τὰ τοῦ θεοῦ δικαιώματα, ὑφ' ὧν ἁλίσκομαι μετὰ πολλάκις οὐδενὸς κατηγοροῦντος. ἀφίεμαι δὲ πολλῶν κατακρινόντων, καὶ τοῦτο μόνον οὐκ ἔστι διαφυγεῖν, τὸ ἔνδον καὶ ἐν ἐμοὶ αὐτῷ δικαστήριον, πρὸς ὃ δὴ βλέποντας μόνον τὴν εὐθεῖαν ὁδὸν ἰτέον. τὸ δοκεῖν δέ, ἂν μὲν ὑπάρχῃ, δεξόμεθα. ἢν ἔπω τί καὶ ἀνθρώπινον· ἂν δὲ ἀντιπίπτῃ, χαίρειν ἐάσομεν, καὶ οὐδὲν τοῦ εἶναι διὰ τὸ δοκεῖν ἀφαιρήσομεν. καὶ γὰρ οὕτως ἔχει. ὁ μέν τινος εἵνεκα τὸ καλὸν ἤδη τιθέμενος, οὐ βέβαιος εἰς ἀρετήν; ἐμοῦ τὲ γὰρ παρελθεῖν ἐκεῖνο, καὶ τοῦ καλοῦ στήσεται, ὥσπερ ὁ κέρδους οἶκον πλέων τοῦ πλεῖν, ἂν μὴ παρῇ τὸ κερδαίνειν. ὁ δὲ αὐτὸ δι' ἑαυτὸ τιμῶν τὲ καὶ περιέπων, ἐπειδὴ τοῦ ἔσω τὸ ὁρᾷ, ἔσωθεν ἔχει καὶ τὴν περὶ αὐτὸ προθυμίαν, ὥστε θεῖόν τι πάσχων, καὶ τὸ τοῦ θεοῦ δύνασθαι λέγειν. ἐγὼ δὲ ὁ αὐτός εἰμι, καὶ οὐκ ἠλλοίωμαι. οὐκ εὐμεταποιηθήσεται, οὐδὲ μετατεθήσεται, οὐδὲ συμμεταπεσεῖται τοῖς καιροῖς καὶ τοῖς πράγμασιν, ἄλλοτε ἄλλος γινόμενος, καὶ πολλὰς μεταλαμβάνων χρόας, ὥσπερ τὰς τῶν πετρῶν οἱ πολύποδες, αἷς ἂν ὁμιλῶσι. μενεῖ δὲ ὁ αὐτὸς ἀεὶ πάγιος ἐν οὐ πεπηγόσι, καὶ ἐν στρεφομένοις ἄστροφος. πέτρα τίς οἶμαι πρὸς ἐμβολὰς ἀνέμων τὲ καὶ κυμάτων, οὔτε τινασσομένη καὶ δαπανῶσα περὶ ἑαυτὴν τὰ προσπίπτοντα. ταῦτα μὲν εἰς τοσοῦτον. οὐδὲ γάρ μοι σχολὴ ταῖς γλώσσαις μάχεσθαι, καὶ ταῦτα ἴσως πλείω τοῦ δέοντος. ἤδη δέ μοι πρὸς ὑμᾶς ὁ λόγος τὸ ἐμὸν ποίμνιον. ὑμεῖς γένεσθέ μοι, φησὶν ὁ Παῦλος, δόξα καὶ χαρὰ καὶ καυχήσεως στέφα-

στέφανος. ὑμεῖς ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, ἵν' ὥσπερ τοῖς τεκτονικοῖς ἢ γραφικοῖς
ἀπαιτουμένοις λόγον, ἐξαρκεῖ δεῖξαι τὸ πεποιημένον ἢ γραφὴν ἀπαλλάξαι πραγμάτων.
ἔργον γὰρ λόγου, φησὶ, ἰσχυρότερον. οὕτω καὶ αὐτὸς ὑμᾶς ὑποδείξας, ὑπερέχω τὰς λοιδο-
ρίας. ὑπερέξω δὲ πῶς; πρῶτον μὲν, ἐὰν τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν,
ἀκλινῆ καὶ βεβαίαν φυλάττητε, μηδὲν προστιθέντες, μηδὲ ἀφαιροῦντες, μηδὲ σμικρύνοντες
τῆς μιᾶς θεότητος. τὸ γὰρ ἐλαττωθὲν, τοῦ παντός ἐστιν ἐλάττωσις. τοὺς δὲ ἄλλο τι φρονοῦν-
τας ἢ λέγοντας, ἢ φύσεων μέτροις τὸ ἓν διαλύοντας ἢ διατειχίζοντας, ὡς λύμην τῆς ἐκ-
κλησίας καὶ τῆς ἀληθείας ἰὸν, ἀποπέμπεσθε, μὴ μισοῦντες, ἀλλ' ἐλεοῦντες τοῦ πτώματος.
δεύτερον δὲ, εἰ τὴν πολιτείαν ἀκόλουθον τῷ ὀρθῷ λόγῳ παρέχοιτε, ἵν' ἦτε περιδέξιοι τὴν
ἀρετὴν, ἀλλὰ μὴ θατέρῳ λείποντες. οἱ βασιλεῖς, αἰδέσθητε τὴν ἁλουργίδα. νομοθετήσει
γὰρ καὶ νομοθέταις ὁ λόγος· γνώσκετε ὅσον τὸ πιστευθὲν ὑμῖν. καὶ τί τὸ μέγα περὶ ὑμᾶς
μυστήριον; κόσμος ὅλος ὑπὸ χεῖρα τὴν ὑμετέραν, διαδήματι μικρῷ, καὶ βραχεῖ ῥακίῳ
κρατούμενος. τὰ μὲν ἄνω, μόνου θεοῦ, τὰ κάτω δὲ καὶ ὑμῶν. θεοὶ γένεσθε τοῖς ὑφ' ὑμᾶς,
ἵν' εἴπω τι καὶ τολμηρότερον. καρδία βασιλέως ἐν χειρὶ θεοῦ, καὶ εἴρηται καὶ πεπίστευται. ἐν-
ταῦθα ἔστω τὸ κράτος ὑμῖν, ἀλλὰ μὴ τῷ χρυσῷ καὶ ταῖς φάλαγξιν. οἱ περὶ τὰ βασίλεια
καὶ τοὺς θρόνους, μὴ σφόδρα ταῖς ἐξουσίαις ἐπαίρεσθε, μηδὲ ἀθάνατα διανοεῖσθε, περὶ τῶν
οὐκ ἀθανάτων. πιστοὶ μένετε τοῖς βασιλεῦσι, θεῷ δὲ πρότερον, δι' ὃν καὶ τούτοις οἷς ἐπιστεύ-
θητε καὶ οἷς παρεδόθητε. οἱ τὸ γένος κομπάζοντες, τὸν τρόπον εὐγενίσατε. ἢ φθέγξο-
μαί τι τῶν ἀηδῶν μὲν, εὐγενῶν δέ. τότε γὰρ ἀληθῶς εὐγενέστατον ἦν ἄν τι τὸ ὑμέτερον, εἰ μὴ
καὶ δέλτοι τοὺς δυσγενεῖς ὑμῖν ἔγραφον. οἱ σοφοὶ καὶ φιλόσοφοι καὶ σεμνοὶ τὴν ὑπήνην καὶ
τὸ τριβώνιον. οἱ σοφισταὶ καὶ γραμματισταὶ, καὶ τῶν δημοσίων θηρευταὶ κρότων, οὐκ οἶδα
σοφοὶ κληθεῖεν εἰ τὸ πρῶτον λόγον οὐκ ἔχοντες. οἱ τὸν πλοῦτον, ἀκούσατε τοῦ λέγοντος,
πλοῦτος ἐὰν ῥέῃ μὴ προστίθεσθε καρδίαν, ἴστε θαρροῦντες ἀβεβαίῳ πράγματι, ἀποφόρτι-
ζέ τι τῆς νεὼς, ἵνα πλέῃς κουφότερος. ἐχθροῦ τι τυχὸν ὑφαιρήσεις, εἰς ὃν τὰ σὰ περιστήσεται.
οἱ περὶ τὴν τροφὴν, ὑφέλετέ τι τῆς γαστρὸς, δότε τῷ πνεύματι. ἐγγὺς ὁ πένης, τῇ νόσῳ βεβ-
θιον, εἰς τοῦτον ἀπόθεσθαί τι τῶν περιττῶν. τί καὶ σὺ κάμνεις ἀπεπτῶν, καὶ οὗτος πεινῶν,
καὶ σὺ κραιπαλῶν, καὶ οὗτος ὑδριῶν. καὶ σὺ κόρῳ βαρυνῶν, καὶ οὗτος περιτρεπόμε-
νος νόσῳ, μὴ περιίδῃς τὸν σὸν Λάζαρον ἐνταῦθα, μή σε ποιήσῃ τὸν ἐκεῖθεν πλούσιον. ὑμεῖς ἡ με-
γάλη πόλις, οἱ πρῶτοι μετὰ τὴν πρώτην εὐθέως. ἢ μηδὲ τοῦτο παραχωροῦντες, φαίνεσθέ
μοι πρῶτοι. μὴ τὴν κακίαν, ἀλλὰ τὴν ἀρετὴν· μὴ τὴν ἔκλυσιν, ἀλλὰ τὴν εὐνομίαν. ὡς ἔστιν
αἰσχρὸν, τῶν μὲν πόλεων κρατεῖν, τῶν δὲ ἡδονῶν ἡττᾶσθαι. ἢ τὰ μὲν ἄλλα σωφρονεῖν, περὶ δὲ
τοὺς ἱππικοὺς καὶ τὰ θέατρα, καὶ τὰ στάδια, καὶ τὰ κυνηγέσια τοσοῦτον μεμηνέναι, ὥστε
ταῦτα ποιεῖσθαι βίον, καὶ πόλιν εἶναι παίζουσαν τὴν πρώτην ἐν πόλεσιν, ἣν καὶ ταῖς ἄλ-
λαις τύπον εἶναι καλοῦ παντὸς πρεπωδέστερον. ἂν ταῦτα διαπράττοιτε, θεοῦ πόλις εἶτε, ὦ

τῶν χειρῶν τοῦ κυρίου ζωγραφηθεῖτε, καὶ πιστεύσασθε σὺν ἡμῖν τῷ μεγάλῳ πολι-
στῇ, λαμπροὶ λαμπρῶς ὕστερον τοῦτο ὑμᾶς εὐαγγελίζομαι ἐν αὐτῷ
χριστῷ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα, τιμὴ, κράτος εἰς
τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΕΑΥΤΟΝ ΕΞ ΑΓΡΟΥ ΕΠΑΝΗΚΟΝ-τα μετὰ τὰ κατὰ μάξιμον.

Πόθουν ὑμᾶς ὦ τέκνα, καὶ ἀντιποθούμην τοῖς ἴσοις μέτροις. πείθομαι γὰρ
εἰ δεῖ καὶ πίστιν προσθεῖναι τῷ λόγῳ, ναὶ τὴν ὑμετέραν καύχησιν ἀδελ-
φοὶ, ἣν ἔχω ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν. τοῦτον γάρ μοι πεποίηκε τὸν ὅρκον
τὸ πνεῦμα τὸ ἅγιον, ᾧ πρὸς ὑμᾶς κεκινήμεθα, ἵνα κατασκευάσωμεν κυρίῳ
λαὸν περιούσιον. σκοπεῖτε τὴν πίστιν ὅση· καὶ τῆς ἐμαυτοῦ πείθω καὶ ὑπὲρ ὑμῶν
διατείνομαι, καὶ θαυμαστὸν οὐδέν. ὧν γὰρ κοινὸν τὸ πνεῦμα, κοινὸν καὶ τὸ πάθος. οἷς δὲ τὸ πά-
σχειν ἴσον, ἴσον καὶ τὸ πιστεύειν. ὃ γὰρ μή τις πέπονθεν, οὐδ' ἂν ἑτέρῳ πιστεύσειεν· ὁ δὲ παθὼν, εἰς
συγκατάθεσιν ἑτοιμότερος. μάρτυς ἀόρατος ἀοράτου πάθους, μορφῆς ἀλλοτρίας, οἰκεῖον
ἔσοπτρον. διὰ τοῦτο οὐδὲ ἠνεσχόμην ἀποφοιτῆσαι ὑμῶν μακρότερα. καίτοι γε ἱκανῶς τοῖς ἐν-
ταῦθα δυσχεραίνων τε καὶ ἀχθόμενος, οὐχ οἷς αἱ πόλεις φέρουσι μόνον, δήμοις, θορύβοις, ἀγο-
ραῖς, θεάτροις, πλησμοναῖς, ὕβρεσιν, ἄγουσι καὶ ἀγομένοις, ζημιοῦσι καὶ ζημιουμένοις, πενθοῦσι καὶ
πενθουμένοις, κλαίουσι, χαίρουσι, γαμοῦσι, θάπτουσιν, εὐφημουμένοις, βλασφημουμένοις, ὕλῃ
κακίας, κόσμου βράσματι, ταῖς ἀγχιστρόφοις μεταβολαῖς. ὥσπερ ἐν εὐρίπῳ καὶ πνεύμασιν,
ἀλλὰ καὶ τούτοις ἤδη τοῖς σεμνοτέροις καὶ τιμιωτέροις τοῖς περὶ τὸ βῆμα τοῦτο λέγω, καὶ τὴν

ὑπερέξω lib. (?)

ἀγίαν τράπεζαν. ὧν ἡμεῖς τὸ κράτος ἔχειν δοκοῦντες, καὶ τὴν ἐγγίζοντα τῶν ὄντων θεῷ, δέ-
δοικα μὴ κακῶς ἐγγίζωμεν, καὶ ὡς κατάλαμψη πυρί, πῦρ οὐ φέροντες, πλὴν ἐπαγγέλλεσθαι ὑμῖν·
βίᾳ μὲν ἀφορμώμενον, οὐ βίᾳ δὲ προσορμώμενον, ἀλλὰ καὶ μάλα προθύμως, καὶ αὐτομάτοις πο-
σὶ τὸ τοῦ λόγου, τοῦ τι δύματος οὕτως ἄγοντος, καθάπερ δή τι ῥεῦμα. πρὸς μὲν τὸ αἴτιον βια-
ζόμεθα, εἰς δὲ τὸ πρακτικὸν ἐπειγόμεθα. οὗτος ἡμέρα μία, βίος ὅλος ἀνθρώπου, τοῖς πόθῳ κάμνουσι.
τὸ γοῦν τοῦ Ἰακὼβ, ἑτέρως ἔχειν μοι φαίνεται, ὃς ἔτη δεκατέσσαρα δουλεύων περὶ σύζυγα λαβεῖν
ὑπὲρ τῶν δύο παρθένων, οὐκ ἔκαμνεν. ἦσαν γὰρ αὐτῷ, φησί, αἱ πᾶσαι ἡμέραι ὡς ἡμέρα μία
διὰ τὸ ἀγαπᾶν αὐτάς. ἴσως ὅτι ἐν ὄψεσιν ἦν τοῦ ποθουμένου. ἢ ὅτι κοῦφον τὸ κάμνειν ἔρωτι, καὶ ἡ
ἀναβολὴ τὸ λυπηρὸν ἔχει. οὕτως τὸ ἔρημον εἰς ὀξύτητα, ἀργὸν εἰς ἐπιθυμίαν, ὥς τις ἔφη τῶν πρὸ
ἡμῶν. ἐγὼ γοῦν ἣν ἧκα τὴν ἡμέραν, ἐλάχιστα τοῦ πάθους ἐπαισθανόμενος· ἣν ἧκα ἐχωρίσθην,
ἔγνων τὸ πόθου τὸν δυνατὸν τύραννον· καινὸν δὲ, οὐδέν. εἰ γὰρ τοῦτο ὀδύρεται καὶ βουκό-
λος μόσχον τῆς ἀγέλης ἀποφοιτήσαντα, καὶ ποιμὴν πρόβατον ἐλλεῖψαν δεκάδι, καὶ ὄρνις
νοσσιὰν ἣν πρὸς ὀλίγον ἀπέλιπον. ὥστε οἱ μὲν ταῖς συνεχείαις λαβόντες, ἐπί τινα σκοπιὰν
ἀνελθόντες, πληροῦσι τῆς ἀθυμίας τοὺς δόνακας, καὶ ἀνακαλοῦνται ὡς λογικὰ τὰ πλα-
νώμενα· καὶ ὑπακούσωσι, χαίρουσι μᾶλλον, ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις ὧν οὐκ ἐφρόντισαν. τὸ
δὲ τρύζον ἤδη τὴν καλιὰν ἔπτη, καὶ τρύζον τε προσίπτει τοῖς νεοσσοῖς, καὶ περιΐπταται ταῖς
πτέρυξι. πηλίκον ἂν εἴη, δεξιῷ ποιμένι λογικὰ θρέμματα, καὶ ὧν τι προσκινδυνεύουσιν, ἐπεὶ
καὶ τοσοῦτο περὶ φίλτρῳ πρόσεισιν. ὡς ἐγὼ δέδοικα μὲν τοὺς βαρεῖς λύκους μὴ τὴν σκοτο-
μαίναν ἡμῶν τηρήσαντες, τὴν ποίμνην σπαράξωσι, λόγοις συναρπακτικοῖς καὶ βιαίοις.
ἐπειδὴ τὰς ἀκακείας τηροῦσι, τὸ φανερῶς ἰσχὺν οὐκ ἔχοντες. δέδοικα δὲ τοὺς λῃστὰς καὶ κλέ-
πτας, μὴ διὰ τῆς αὐλῆς ὑπερβαίνοντες, ἢ ἀναιδείᾳ συλήσωσιν, ἢ δι' ἀπάτης κλέψωσιν, ὥστε θῦ-
σαι καὶ ἀποκτεῖναι καὶ ἀπολέσαι, ἁρπάζοντες ἁρπάγματα, ψυχὰς καταδιώκοντες, ὥς τις
ἔφη τῶν προφητῶν. δέδοικα δὲ τὴν πάνθυρον, μή τις ἄκλειστον εὑρὼν τὴν χθὲς ἡμετέραν καὶ
πρώην· εἶτα ὡς ἴδιος εἰσελθὼν, ἐπιβουλεύσῃ ὡς ἀλλότριος. πολλαὶ γὰρ καὶ ποικίλαι τοῦ τὰ
τοιαῦτα ἐνεργοῦντος αἱ μεθοδεῖαι. καὶ οὐδεὶς οὕτως ἀρχιτέκτων οὐδὲ σοφὸς τοῦ ποικίλου, ὡς ὁ σοφο-
στὴς κακίας ὁ ἀντικείμενος. δέδοικα δὲ ἤδη καὶ κύνας, ποιμένας εἶναι βιαζομένους, καὶ τὸ πα-
ράδοξον, οὐδὲ εἰς ποιμαντικὴν εἰσενεγκόντας· ἢ τὸ κεῖραι κώμας, ἃς κακῶς ἤσκησαν. οἳ μήτε
κύνες ἔμειναν, μήτε ποιμένες γεγόνασι, πλὴν τοῦ σπαράξαι καὶ διαφθεῖραι καὶ διαλῦσαι
κόπον ἀλλότριον. ἐπειδὴ ῥᾷον ἀεὶ τὸ διαφθείρειν, τοῦ συντηρεῖν. καὶ γίνεται μὲν ἄνθρωπος
κόπῳ, φησὶν ὁ Ἰὼβ, καὶ ναυπηγεῖται ναῦς. καὶ οἰκία συνίσταται. ἀποκτεῖναι δὲ ἢ καταδῦσαι ἢ ἐμπρῆ-
σαι, τοῦ βουλομένου παντός. ὥστε μηδὲ νῦν μέγα φρονείτωσαν, οἱ τῇ ποίμνῃ τοὺς κύνας ἐπανιστά-
σαντες, οἱ πρόβατον μὲν οὐκ ἂν ἔχοιεν εἰπεῖν ὡς προσήγαγον ἢ διέσωσαν. οὐ γὰρ ἔμαθον καλὸν
ποιεῖν πονηρεύειν ἀσκήσαντες. εἰ δὲ τῇ ποίμνῃ ταράσσουσι, τοσοῦτο καὶ ζάλη μικρά, τοσοῦτο καὶ νόσος
ὀλίγη, τοσοῦτο δεινότερον ἢ ἀθρόως ἐπιπεσόν. στήτωσαν οὖν οἱ τῇ ἑαυτῶν αἰσχύνῃ μέγα λαμπρυνό-
μενοι, καὶ παυσάμενοι τῆς κακίας αὖ ἄρα δύνωνται. προσκυνησάτωσαν καὶ προσπεσέ-
τωσαν καὶ κλαυσάτωσαν ἐναντίον κυρίου τοῦ ποιήσαντος αὐτοὺς, καὶ τῇ ποίμνῃ μιχθήτωσαν,
ὅσοι μὴ παντελῶς ἀνίατοι. ταῦτα δεδιὼς ἐγὼ ποιμὴν καὶ περιεσκεμμένος, καὶ διὰ τοσοῦτον
τὴν ἀσφάλειαν, ὡς ῥᾳθυμίαν ἐγκαλούμενος. οὐ γάρ εἰμι ποιμὴν ἐκείνων τις τὸ γάλα κα-
τεσθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων, καὶ μόχθῳ κατέργα-
ζομένων, ἢ ἀπημπολούντων, καὶ λεγόντων· εὐλογητὸς κύριος, καὶ πεπλουτήκαμεν. ποιμαι-
νόντων ἑαυτοὺς οὐ τὰ πρόβατα, εἴ τι τῶν προφητικῶν φωνῶν μέμνησθε, δι' ὧν ἐκεῖνοι τοὺς κακοὺς
ποιμένας ἐλαύνουσιν· ἀλλ' ἐκείνων μᾶλλον τῶν δυναμένων εἰπεῖν μετὰ Παύλου· τίς ἀσθενεῖ, καὶ
οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐμὴ πύρωσις ἢ φροντίς; οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς.
καὶ ἐγενόμην συγκακούμενος τῷ καύσωνι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτὸς πιεζόμε-
νος. πατριάρχου φωνὴ ποιμένος οὐ τὰ ἐπίσημα πρόβατα, καὶ τοῖς ἐκεῖθεν λευκοῖς, ἐγκισ-
σῶν μελετήσαντα. οὕτω μὲν οὖν, καὶ διὰ ταῦτα ἐπέστην ὑμῖν οὕτως ἐχούσης. ἐπεὶ δὲ ἐπέ-
στην, δῶμεν λόγον ἀλλήλοις ὧν μεταξὺ κατωρθώσαμεν. ἐπειδὴ καλὸν μὴ ῥήματος μόνους
καὶ πράξεως, ἀλλὰ καὶ καιροῦ παντὸς καὶ ὥρας αὐτῆς τῆς ἀκαριαίου καὶ λεπτοτάτου, οἴ-
εσθαι λόγον ἀπαιτεῖσθαι ἡμᾶς. ὑμεῖς μὲν ἀπαγγείλατέ μοι τὴν ἐργασίαν τὴν ὑμετέραν,
ἐγὼ δὲ εἰς μέσον θήσω, ἃ καθ' ἡσυχίαν ἐμαυτῷ συγγενόμενος ἐφιλοσόφησα. τίνα μὲν θεω-
ρίαν τῶν ὑψηλῶν ἢ παρ' ἐμοῦ λαβόντες ἐφυλάξατε; ἢ παρ' ὑμῶν αὐτῶν εἰσοδίων ἐγκατέθετε ἢ περὶ θεο-
λογίας ἢ περὶ τῶν ἄλλων δογμάτων, ἃ πολλὰ καὶ πολλάκις ὑμῖν παρεθέμην; ζητῶ γὰρ οὐ τὸ δάνειον
μόνον, ἀλλὰ καὶ τὸν τόκον· οὐ τὸ τάλαντον μόνον, ἀλλὰ καὶ τὴν ἐργασίαν. μή τις κατακρύψας καὶ
κατορύξας τὸ πιστευθὲν ἔτι, καὶ καταψεύδεται τοῦ πιστεύσαντος, ὡς σκληροῦ τε καὶ τῶν ἀλλο-
τρίων ἐπιθυμοῦντος. τίνα δὲ πρᾶξιν τῶν ἐπαινουμένων, ἢ μηδὲ τῶν ἀριστερῶν γινωσκούσης
ἐκαρποφο-

ἐκαρποφορήσατε, ἢ ὥστε λάμπειν τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵν' ἐκ τοῦ καρποῦ τὸ δένδρον δειχθῇ, καὶ διὰ τὸν μαθητὴν ὁ διδάσκαλος γνωσθῇ, καὶ εἴπῃ τις τῶν ἐποπτευόντων τὰ ἡμέτερα· πολλοὶ δὲ εἰσιν, οἱ μὲν δι' εὐδοκίαν, οἱ δὲ καὶ περιεργίας, ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστιν, οὐ κηρυσσόμενος ὑγιῶς μόνον, ἀλλὰ καὶ λατρευόμενος. ὡς γὰρ οὐκ ἔστι χωρὶς πίστεως πρᾶξις ἔγκριτος, ἐπειδὴ καὶ δόξης ἕνεκεν οἱ πολλοὶ τὸ καλὸν ὠδίνουσι, φύσει ὡς οὕτως ἔχοντες· οὕτω καὶ πίστις χωρὶς ἔργων νεκρά. καὶ μή τις ὑμᾶς ἀπατάτω κενοῖς λόγοις τῶν πάντα συγχωρούντων ἑτοίμως, ὑπὲρ τοῦ ἀσεβεῖν ἐν τοῖς δόγμασι, καὶ φαῦλον καταβαλλόντων μισθὸν φαύλου πράγματος. δείξατε δὲ ἐκ τῶν ἔργων τὴν πίστιν, τῆς χώρας ὑμῶν τὸ γόνιμον, εἰ μὴ εἰς κενὸν ἐσπείραμεν, εἰ δράγμα τι ἐν ὑμῖν τοῦ πλῆσαι ἅλωνα, ἱκανὸν ἦ καὶ ἀποθήκης ἄξιον, ἵνα καὶ προθυμότερον ὑμᾶς γεωργήσωμεν. τίς εἰς ἑκατὸν καρποφορεῖ, τίς εἰς ἑξήκοντα; τίς δὲ τελευταῖον καὶ εἰς τριάκοντα; ἢ τίς ἔμπαλιν ἀπὸ τῶν τριάκοντα εἰς τὸν ἑξήκοντα προελθών; ἴσμεν γὰρ καὶ ταύτην ἐν τοῖς εὐαγγελίοις τὴν τάξιν, εἰς τὸν ἑκατὸν ἐτελεύτησεν, ἵνα προβαίνων ὡς ὁ Ἰσαὰκ μέγας γένηται, πορευόμενος ἐκ δυνάμεως εἰς δύναμιν, καὶ τὰς ᾠδὰς τῶν ἀναβαθμῶν ᾄδων, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος. ζητῶ τὸν καρπὸν πλεονάζοντα εἰς λόγον ἐμόν· ὑμέτερον γάρ, οὐκ ἐμὸν τὸ κέρδος· εἰ δὲ καὶ ἡμέτερον, ὅτι ὑμέτερον, ἀντιστρεφούσης τῆς ὠφελείας ἀφ' ὑμῶν εἰς ἡμᾶς, ὥσπερ ἐν ταῖς αὐγαῖς τῶν ἀνανακλάσεων. εἰ ἐπτωχοτροφήσατε, εἰ ἐξενοδοχήσατε, εἰ ἁγίων πόδας ἐνίψατε, εἰ τρυφώντων τῇ κατατετρυμμένῃ γαστρί. δεδόσθω γάρ, καὶ διὰ τὴν ἐν τῷ λόγῳ ἐντρυφήσατε. ὡς οὐκ ἔστι ταύτης τρυφή τις ἀμείνων, οὐδὲ μονιμωτέρα τοῖς τρυφᾶν ἐθέλουσιν, εἴ τινας τῶν λειτουργούντων τῷ θυσιαστηρίῳ καὶ καλῶς πεπεισμένους. εἴτε γάρ μοι καὶ τοῦτο εἰπεῖν, εἰς δύναμιν ἀνεπαύσατε, ἵν' ἀπερισπάστως μᾶλλον τῷ θυσιαστηρίῳ προσεδρεύωσι, καὶ μεταλαμβάνοντες τῶν ὑμετέρων τὰ παρ' ἑαυτῶν ἀντιπροσφέρωσιν, ὡς αἰσχρὸν ταῦτα καὶ ἡμᾶς ἀπαιτεῖν, καὶ μὴ παρέχειν ὑμᾶς. οὐκ ἐνουθέτησα δὲ ταῦτα, ἵνα οὕτως ἐν ἐμοὶ γένηται. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ κενωθῆναί μου τὸ καύχημα, καὶ ἀμισθόν μοι γενέσθαι τὸ εὐαγγέλιον, ἐνταῦθα καρπωσαμένῳ· τὸ μὲν γὰρ εὐαγγελίσασθαι, τῆς ἀνάγκης· ἡ φιλοτιμία δέ, τὸ ἀδάπανον. ἀλλ' ἵν' ὑμεῖς μάθητε χρηστόν τι ποιεῖν, διὰ τοῦ καὶ τῶν μικρῶν τινα εὖ ποιεῖν. ἐπειδὴ ὡς πάντα ὅσα ἐγὼ πλὴν ἁμαρτίας ἐγένετο δι' ἐμέ, οὕτω καὶ τὰ ἐλάχιστα τῶν ἐμῶν εἰς ἑαυτὸν ἀναδέχεται, καὶ στέγης μεταδόσεις, καὶ ἐνδύματος, καὶ ἐν φυλακῇ ἐπισκέψεις, καὶ ἀρρωστοῦντα ἴδῃς, τὸ φαυλότατον καὶ ποτηρίῳ ψυχροῦ μόνῳ καταψύξεις θελήσεις πιεζόμενος ὥσπερ ἐδεῖτο Λάζαρος τοῦ πλουσίου, ὁ κάμνων ἐν τῇ φλογὶ πλούσιος. καί τις τῶν ἐνταῦθα τρυφῆς ἀπολαβών, καὶ τὸν πυλωρὸν Λάζαρον πεινῶντα καὶ ἡλκωμένον, τότε ἐκεῖ ἐδεῖτο δεῖσθαι Λαζάρου καὶ μὴ τυγχάνειν. ἃ μὲν οὖν ὑμᾶς ἀπαιτοῦμεν, ταῦτά ἐστι, καὶ οἶδ' ὅτι οὐκ αἰσχυνεῖσθε, οὔτε ἡμῶν ἀπαιτούμενοι λέγειν, οὔτε παρὰ τῆς τελευταίας ἡμέρας, εἰς ἣν πάντα συνάγεται τὰ ἡμέτερα κατὰ τὸ εἰρημένον, κἀγὼ ἔρχομαι τὰ βουλεύματα, καὶ τὰς πράξεις ὑμῶν συναγαγεῖν. καὶ ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ, καὶ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ. τὰ δὲ ἡμέτερα καὶ ἃ παρὰ τῆς ἐρημίας ὑμῖν κομίζομεν, ἐπειδὴ καὶ Ἠλίας ἡδέως ἐνεφιλοσόφει τῷ Καρμήλῳ, καὶ Ἰωάννης τῇ ἐρήμῳ· καὶ Ἰησοῦς αὐτὸς τὰς μὲν πράξεις τοῖς ὄχλοις, τὰς εὐχὰς δὲ τῇ σχολῇ, καὶ ταῖς ἐρημίαις ὡς τὰ πολλὰ προσένεμε. τί νομοθετῶν, ὡς οἶμαι, τὸ χρῆναί τι καὶ ἡσυχάζειν, ὥστε ἀπερισπάστως προσομιλεῖν τῷ θεῷ, καὶ μικρὸν ἐπανάγειν τὸν νοῦν ἀπὸ τῶν πλανωμένων. οὐ γὰρ αὐτὸς ἐδεῖτο ἀναχωρήσεως. οὐδὲ εἶχεν εἰς ὃ συσταλῇ, θεὸς ὤν, καὶ πάντα πληρῶν, ἀλλ' ἵν' ἡμεῖς μάθωμεν καὶ πράξεως καιρὸν καὶ ἀσχολίας ὑψηλοτέρας. τίνα οὖν τὰ τῆς ἐμῆς ἐρημίας; βούλομαι γὰρ ὡς ἀγαθὸς ἔμπορος καὶ πανταχόθεν κερδαίνειν, κἀντεῦθέν τι προσενεγκεῖν ὑμῖν ἀξιόχρεων. ἐβάδιζον οὕτω κατ' ἐμαυτὸν ἤδη κλινούσης ἡμέρας. ἀκτὴ δὲ ἦν ὁ περίπατος. καὶ γάρ πως εἴωθα τῶν πόνων ἀεὶ ταῖς τοιαύταις διαλύσεσιν ἀνιέναι, ἐπεὶ μηδὲ νευρὰ φέρει τὸ σύντονον ἀεὶ τεινομένη, καὶ δεῖταί τι μικρὸν τὴν ἀγκύλην ἐκλύεσθαι, εἰ μέλλοι ταθήσεσθαι πάλιν, καὶ μὴ ἄχρηστος ἔσεσθαι τῷ τοξότῃ, μηδὲ ἀνόνητος ἐν καιρῷ χρήσεως. ἐβάδιζον οὖν. καὶ οἱ μὲν πόδες ἐφέροντο, ἡ δὲ ὄψις εἶχε τὴν θάλασσαν. ἡ δὲ ἦν θέαμα οὐχ ἡδύ. καίτοι γε ἄλλως ἥδιστον οὖσα, ὅταν γαλήνη πορφύρῃ, καὶ προσπαίζῃ ταῖς ἀκταῖς ἁπαλόν τι καὶ ἥμερον. ἀλλὰ τί τότε; φθέγγομαι γὰρ ἡδέως, καὶ τὰ ῥήματα τῆς γραφῆς, ἀνέμου μεγάλου πνέοντος διηγείρετό τε καὶ ἐπυργοῦτο, τῶν δὲ κυμάτων, ὃ φιλεῖ συμβαίνειν ἐν τοῖς τοιούτοις, τὰ μὲν πόρρωθεν ἀνιστάμενα καὶ κατὰ μικρὸν κορυφούμενα, εἶτ' ἐλαττούμενα πρὸς ταῖς ἀκταῖς ἐλύετο, τὰ δὲ ταῖς γείτοσι πέτραις προσπίπτοντα καὶ ἀποκρουόμενα, εἰς ἄχνην ἀφρώδη καὶ ψιλὴν ἐσκορπίζετο. ἔνθα κόχλακες μὲν καὶ φυκία καὶ κήρυκες, καὶ τῶν ὀστρέων τὰ ἐλαφρότατα ἐξωθεῖτο καὶ ἀπεπτύετο. ἔστι δὲ ἃ καὶ ἡρπάζετο πάλιν ἀναχωροῦντος τοῦ κύματος. αἱ δὲ ἕδραν ἄσειστοι καὶ ἀτίνακτοι, οὐδὲν γε ἧττον, ἢ διοχλοῦντος οὐδενός, πλὴν ὅσον τοῖς κύμασι βάλλεσθαι. ἐντεῦθεν οἶδά τι πρὸς φιλοσοφίαν

ὠφεληθείς,

ὠφεληθεὶς, καὶ οἷος ἐγὼ πάντα συντείνων πρὸς ἐμαυτὸν, καὶ μάλιστα εἰ τύχοιμι πρός τι τῶν συμβαινόντων ἰλιγγιάσας, ὃ καὶ νῦν πεπόνθειν. οὐ παρέργως ἐδεξάμην τὸ ὁρώμενον. καί μοι τὸ θέαμα, παίδευμα γίνεται. ἢ γὰρ οὐκ ἔφην ἐγὼ, θάλασσα μὲν ὁ ἡμέτερος βίος, καὶ τὰ ἀνθρώπινα. πολὺ γὰρ καὶ τούτῳ τὸ ἁλμυρὸν καὶ ἄστατον. πνεύματα δὲ, οἱ προσπίπτοντες πειρασμοὶ καὶ ὅσα τῶν ἀδοκήτων, ὅ μοι δοκεῖ καὶ ὁ θαυμασιώτατος Δαβὶδ κατανοήσας, οὕτω με κελεύειν λέγειν, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου, καὶ ῥῦσαί με ἐκ τῶν βαθέων τῶν ὑδάτων. ἦλθον δὲ εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. τῶν δὲ πειραζομένων οἱ μὲν ἐδόκουν μοι ὡς τὰ κουφότατα καὶ ἄψυχα παρασύρεσθαι, καὶ οὐδὲ μικρὸν ἀντέχειν πρὸς τὰς ἐπηρείας. οὐδὲ γὰρ ἔχειν ἐν ἑαυτοῖς στερρότητα, καὶ βάρος λογισμοῦ σώφρονος, καὶ τοῖς προσπίπτουσιν ἀντιβαίνοντος. οἱ δὲ εἶναι πέτρα τῆς πέτρας ἐκείνης ἄξιοι, ἐφ' ἧς βεβήκαμεν καὶ ἣν λατρεύομεν, ὅσοι φιλοσόφῳ χρώμενοι λόγῳ, καὶ ὑπερβεβηκότες τὴν τῶν πολλῶν ταπεινότητα, πάντα φέρουσιν ἀσείστως καὶ ἀτινάκτως, καὶ διαγελῶσι μᾶλλον, ἢ ἐλεοῦσι τοὺς σειομένους· τὸ μὲν ὑπὸ φιλοσοφίας, τὸ δὲ ὑπὸ φιλανθρωπίας· αὐτοὶ δὲ τῶν αἰσχρῶν τίθενται, ἅπαντα μὲν τὰ δεινὰ περιφρονεῖν, μᾶλλον δὲ μηδὲ δεινὰ οἴεσθαι, πρὸ ὄντων δ' ἐπέχεσθαι. καὶ ταῦτα, τίνων; τῶν περιερχομένων ὡς ἱσταμένων, καὶ τοῦ καιροῦ μὲν ἔξω φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλόσοφοι φαίνεσθαι, ὥσπερ ἂν εἴ τις ἄριστον ἑαυτὸν νομίζοι τῶν ἀθλητῶν, μηδὲ καταβαίνειν εἰς στάδιον, ἢ κυβερνήτην τὸν εὐδοκιμώτερον, ἐν μὲν ταῖς εὐδίαις, τῇ τέχνῃ μέγα φρονοῦντα, ἐν δὲ ταῖς ζάλαις μεθιέντα τοὺς οἴακας. ἐπεὶ δὲ ἅπαξ εἰς τοῦτο κατέστην τῶν λόγων, καὶ πρὸς ἑτέραν ἦλθον εἰκόνα, σφόδρα τοῖς παροῦσι συμβαίνουσαν, τάχα με γέροντα καὶ μυθολόγον νομίζοντες αὖ καὶ ὑμῖν ταύτην γνωριῶ. γνωριστέον δ' οὖν, ἐπεὶ καὶ τὴν γραφὴν οἶδα πολλάκις τοιούτοις χρωμένην εἰς σαφεστέραν διήγησιν. ἔστι τι μύθοις φυτὸν ὃ θάλλει τεμνόμενον, καὶ πρὸς τὸν σίδηρον ἀγωνίζεται. καὶ εἰ δεῖ παραδόξως εἰπεῖν περὶ παραδόξου πράγματος, θανάτῳ ζῇ, καὶ τομῇ φύεται, καὶ αὔξεται δαπανώμενον. ταῦτα μὲν ὁ μῦθος καὶ αὐτονομία πλάσματος. ἐμοὶ δὲ δοκεῖ σαφῶς τοιοῦτον εἶναί τι ὁ φιλόσοφος. ἐνευδοκιμεῖ τοῖς πάθεσι, καὶ ὕλην ἀρετῆς ποιεῖται τὰ λυπηρὰ, καὶ τοῖς ἐναντίοις ἐγκαλλωπίζεται, μήτε τοῖς δεξιοῖς ὅπλοις τῆς δικαιοσύνης αἰρόμενος, μήτε τοῖς ἀριστεροῖς καμπτόμενος, ἀλλ' ὁ αὐτὸς οὐκ ἐν τοῖς αὐτοῖς ἀεὶ διαμένων, ἢ καὶ δοκιμώτερος, ὥσπερ ἐν καμίνῳ χρυσὸς εὑρισκόμενος. σκοπῶμεν δὲ οὕτως, εὐπατρίδης ὅστις; οὔτε προσδέξεται τὴν εὐγένειαν τῷ αἵματι, ὥστε διχόθεν εὐδοκιμεῖν, καὶ γενεαλογούμενος, καὶ ὁρώμενος. δυσγενὴς τὴν αἰδεσίαν αὐτὰ ὢν πηλὸν, εἴπερ τι μέγα πηλὸς πηλοῦ διαφέρει; ἀντεισοίσει τὴν νοουμένην εὐγένειαν, καὶ ἣν ἕκαστος ἑαυτὸν διαπλάττει πρὸς τὸ χεῖρον ἢ βέλτιον, τῆς δὲ ἄλλης παραχωρήσεται, ὅση ἀναφέρεται ἢ γράφεται ὡς οὐδενὸς ἀξίας καὶ κίβδηλον. ἔστι γάρ τι γένος τετρασόν, τὸ μὲν ἄνωθεν ἠργμένον ὃ πάντες ἐσμὲν εὐγενεῖς ἐπ' ἴσης, ἐπεὶ κατ' εἰκόνα θεοῦ γεγόναμεν, τὸ δὲ ἀπὸ σαρκὸς ἐρχόμενον, οὐκ οἶδ' εἴ τις εὐγενὴς ἀπὸ φθορᾶς συνιστάμενον· τὸ δὲ ἀπὸ κακίας ἢ ἀρετῆς γνωριζόμενον, οὗ μᾶλλον καὶ ἧττον μεταλαμβάνομεν, ὅσον ἂν οἶμαι ἢ τηρῶμεν τὴν εἰκόνα, ἢ διαφθείρωμεν. ταύτην ἀγαπήσει τὴν εὐγένειαν ὅ γε ἀληθῶς σοφὸς καὶ φιλόσοφος. τὸ γοῦν τέταρτον γένος, τότε ἀξιώσω λόγου τὸ ἐν γράμμασι καὶ προστάγμασιν, ὅταν καὶ κάλλος ἀποδέξωμαι τὸ ἐν χρώμασι, καὶ πίθηκον αἰδεσθῶ, λέγοντα εἶναι κεκελευσμένον. νέος ὢν; κατὰ τῶν παθῶν ἀνδρισθήσεται, καὶ τοῦτο ἀγλαΐσει τῆς νεότητος, τὸ μὴ τὰ νέων παθεῖν, ἀλλὰ δεῖξαι πρεσβυτικὴν φρόνησιν, ἐν ἀκμαίῳ τῷ σώματι, καὶ χαιρήσει τῇ νίκῃ πλέον, ἢ οἱ ἐν ὀλυμπίᾳ στεφανούμενοι. νικήσει γὰρ ἐν κοινῷ θεάτρῳ τῇ οἰκουμένῃ, καὶ νίκην ἄπρατον. νεύει πρὸς γῆρας; ἀλλ' οὐχὶ γηράσει καὶ τὴν ψυχήν. δέξεται τὴν διάλυσιν ὡς προθεσμίαν ἀναγκαίαν ἐλευθερίας, ἡδέως πρὸς τὰ ἑξῆς μεταβήσεται, ἔνθα οὐκ ἔστιν ἄωρος, οὐδὲ πρεσβύτης, ἀλλὰ πάντες τὴν πνευματικὴν ἡλικίαν τέλειοι. ὡραῖος ἔλαχεν; ἀντιστίλψει τὸ κάλλος, τῷ κάλλει τὸ τῆς ψυχῆς, τῷ τοῦ σώματος. παρῆλθε τὸ ἄνθος ἀνεπηρέαστον; νοεῖ πρὸς ἑαυτὸν, οὐδὲ οἷον ἐρώμενος, αἰσχρὸς τὸ φαινόμενον; ἀλλ' εὐφυὴς τὸ κρυπτόμενον, ὥσπερ ἐν κάλυκι ῥόδον ἀεὶ θηρὸν οὐκ ἀεὶ θηρᾷ, καὶ αὐτὸ δέμας τὸ εὐωδέστατον, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὐδὲ καιρὸν δίδωσι τὸ ἐκτὸς καθορᾶσθαι, μεταστρέφων τὸν θεατήν. πρὸς τὸν ἐντὸς ἄνθρωπον εὐεκτεῖ; χρήσεται τῇ ὑγιείᾳ πρὸς τὸ βέλτιστον. νουθετήσει; πλέξει λόγῳ, παρρησιάσεται, ἀγρυπνήσει, χαμευνήσει, νηστεύσει, κενώσει τῆς ὕλης, θεωρήσει τὰ ἐπίγεια καὶ τὰ οὐράνια, τὴν πᾶσαν σπουδὴν μελετήσει τὸν θάνατον. ἔρως ἥξει; μαχήσεται. ἂν δὲ ἡττηθῇ, νικήσει λαβὼν τὸ μηκέτι μάχεσθαι. πλούσιος ἐστι; φιλοσοφήσει τὸ ἀπὸ πλουτεῖν, μεταδώσει τῷ δεομένῳ τῶν ὄντων, ὡς οἰκονόμος τῶν ἀλλοτρίων, ἵν' ἐκεῖνός τε εὖ πάθῃ τῇ μεταλήψει, καὶ αὐτὸς πρὸς θεὸν συναχθῇ, μηδὲν ἔχων, πλὴν τοῦ σταυροῦ καὶ τοῦ σώματος. πένεται; πλουτήσει θεὸν, καὶ τὸ καταγελᾷ τῶν ἐχόντων, ὡς ἀεὶ δὲ

κτωμέ

κεχωρισμένον, ἀεὶ δὲ ποριζομένων τοῦ δεῖσθαι τοῦ πλείονος, καὶ πινόντων ἵνα πλέον διψήσωσι. πεινήσει;
μηδὲ τὴν ἀργίαν τραφήσεται, οἷς ὁ βίος ἄπορος καὶ ἄπρακτος· μηδὲ ἡλίου ζήσεται τὰ
τῆς Σαρεφθίας. ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἐκλείψει, καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐλαττονήσει.
ὁ μὲν ἀεὶ πηγάσει, ἡ δὲ γεωργήσει πλουσίως, ἵνα τιμηθῇ χήρα φιλόξενος, καὶ τρέφει τὸν τρέ-
φοντα. διψήσει; κρῆναι τούτῳ καὶ ποταμοὶ τὸ ποτὸν, ποτὸν οὐκ εὐθύνσκον, οὐδὲ μετρούμενον, ἀεὶ
παρόντα ἐπὶ λίπῃ δι' ἀνομβρίαν, χειμάῤῥῳ τι χὸν τὸ ποθήσεται. ῥιγώσει; τοῦτο καὶ Παῦλος,
ἀλλ' ἐπὶ ποσόν. ἔστι δὲ καὶ πέτρας ἔνδυμα, πειθέτω σε ὁ Ἰὼβ λέγων, παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σκέ-
πην, πέτραν περιεβάλλοντο. σκόπει μοι καὶ τὰ τελεώτερα. λοιδορηθήσεται; νικήσει τῷ μὴ
ἀντιλοιδορεῖσθαι. διωχθήσεται; ἀνέξεται. βλασφημηθήσεται; παρακαλέσει. διαβληθήσεται;
προσεύξεται. τὴν δεξιὰν ῥαπισθήσεται; παρέξει καὶ τὴν ἑτέραν. εἰ τρίτην εἶχε, καὶ ταύτην
ἂν προσέβαλλε, ἵνα μᾶλλον διδάξῃ μακροθυμεῖν τὸν παίοντα, ἔργῳ παιδεύων ἃ μὴ λόγῳ
δυνατὸς ἦν. ὀνειδισθήσεται; τοῦτο καὶ ὁ Χριστός. τιμηθήσεται τῇ κοινωνίᾳ τοῦ πάθους. καὶ Σα-
μαρείτης ἀκούσει, καὶ δαιμονᾶν ἐγκληθῇ, μηδὲ θεοῦ πάντα δέξεται. πολλὰ ἔτι λείψει καὶ
πολλὰ πάθη, ὄξος, χολὴ, στέφανος ἀκάνθινος, σκῆπτρον καλάμινον, χλαμὺς κοκκίνη, σταυ-
ρός, ἧλοι, λῃσταὶ συσταυρούμενοι, παριόντες ὑβρίζοντες. δεῖ γὰρ πλέον θεὸν, ἐν τῷ πλεῖον φέ-
ρειν ἀτιμαζόμενον, οὐδὲν αἰσχρότερον φιλοσοφίας, οὐδὲν ἀληπτότερον, πάντα ἐνδώσει
πρότερον ἢ φιλόσοφος. ὄντως ἐστὶν ἄγριος ἐν ἐρήμῳ, φησὶν ὁ Ἰὼβ, ἄνετος καὶ ἐλεύθερος,
καταγελῶν πολυοχλίας πόλεως, μέμψιν φορολόγου μὴ ἀκούων, μονόκερώς ἐστι, ζῶον αὐ-
τόνομον. εἰ βουλήσεταί σοι δουλεῦσαι, εἰ δήσεις αὐτὸν ἐπὶ φάτνης, εἰ ὑπὸ ζυγὸν ἀχθήσεται,
ὅταν πάντα ἐξέργαται τὴν ἐπὶ γῆς κατεσκεύασται αὐτῷ πτέρυγος ὥσπερ ἀετοῦ, ἐπιστρέ-
ψει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ, πρὸς θεὸν ἀναπτήσεται. εἴπω τι κεφάλαιον. δύο ταῦ-
τα δυσκράτητα, θεὸς καὶ ἄγγελος, καὶ τὸ τρίτον φιλόσοφος, ἄϋλος ἐν ὕλῃ, ἐν σώματι
ἀπερίγραπτος, ἐπὶ γῆς οὐράνιος, ἐν πάθεσιν ἀπαθής. πάντα ἡττώμενος, πλὴν φρονή-
ματος, νικῶν τῷ νικᾶσθαι, τοὺς κρατεῖν νομίζοντας. ἐπειδὴ οὖν φιλόσοφον ἡμῖν ὁ λόγος
ἔγραψεν, ὅθεν εἶπον ἀρξάμενος. φέρε παρὰ τοῦτον, τὰ ἡμέτερα θεωρήσωμεν. δοκῶ γὰρ κἀγὼ
πνεῦμα θεοῦ ἔχειν, καὶ εἴ τινι τούτων χρηστὸς ἐγὼ καὶ ἀχρήσιμος· ἵν' εἰ μὲν ἡττώμενοι δοκοῖ-
εν οἱ μισοῦντες καὶ πολεμοῦντες, συγγινώσκοιντο γοῦν τῆς ἐγχειρήσεως, εἰ καὶ μὴ τῆς προ-
αιρέσεως. εἰ δὲ κρείττονα τὴν πολεμούντων καὶ ὑψηλότερον, ἢ τῆς κακίας ἀπαλλαγεῖν, ἢ και-
νοτέραν ὁδὸν τῆς ἀδικίας ἐπινοήσαι, τῆς παρούσης καταφρονουμένης, καὶ μὴ πρὸς τῇ κακίᾳ
καὶ ἄνοιαν ἐγκαλοῖντο ὡς ἀνομοιοῦντες διαμενοῦς, καὶ οὐδὲ εἰδότες ἀδικεῖν οὗ σπουδάζουσι.
τί γὰρ δὴ καὶ λυπήσουσιν ἐπὶ πάντα ἐλθόντες; ἴδωμεν ὅσα ἂν ἀδικηθείη παρὰ ἀνθρώπων
ἄνθρωπος. ἀπαίδευτον ὀνομάσουσι; μίαν σοφίαν οἶδα, τὸ φοβεῖσθαι θεόν. ἀρχὴ γὰρ σοφίας,
φόβος κυρίου. καὶ τέλος λόγου, τὸ πᾶν ἄκουε, τὸν θεὸν φοβοῦ. ταῦτα Σολομῶν ὁ σοφώτατος.
δεξάτωσαν οὖν ἄφοβον, ὃ νικησάτωσαν. τῆς δὲ ἄλλης σοφίας, τῆς μὲν παρέδραμον, τὴν δὲ προσ-
λαβεῖν εὔχομαι, καὶ ἐλπίζω θαῤῥῶν τῷ πνεύματι, πενίαν ἐγκαλέσουσι τὴν ἐμὴν περιου-
σίαν. εἰ γὰρ ἀποδυσαίμην καὶ τὰ ῥάκια ταῦτα, ἵνα γυμνὸς διαδράμω τὰς ἀκάνθας τοῦ
βίου. εἰ γὰρ καὶ τὸν βραχὺν χιτῶνα τοῦτον ὡς τάχιστα, ἵνα λάβω κουφότερον. φυγόπατριν ἀπο-
καλέσουσιν; ὡς μικρὰ φρονοῦσι περὶ ἡμῶν, ὄντες ὑβρισταὶ καὶ μισόξενοι. ἔστι γάρ μοι πατρὶς
ὦ οὗτοι περιγραπτός, ὦ πᾶσα πατρὶς καὶ οὐδὲ μία; σὺ δὲ οὐ ξένος καὶ παρεπίδημος; οὐκ
ἐπαινῶ σου τὴν κατοικίαν, ἂν οὕτως ἔχῃς, μὴ τῆς ἀληθινῆς πατρίδος ἐκπίπτῃς, εἰς ἣν ἀναπτῆ-
ναι χρὴ τὸ πολίτευμα. γῆρας δὲ οὐκ ὀνειδιοῦσιν ἡμῖν, καὶ τὸ νοσῶδες οὐχ ὅλον τοῦτο τῆς ὕλης
καὶ τῆς φύσεως. ἵνα εἰδῇς τι τῶν ἐμῶν ἀπορρήτων. ἔστιν ἢ καὶ λογισμὸς ἐδαπάνησεν, ἵνα μικρόν
τι καυχήσωμαι, οὐδὲ σὺ σφριγῶν μοι καὶ σαρκοτροφῶν ἡδὺ θέαμα, εἴθε τι καὶ πολιᾶς ἐπήν-
θει σοι καὶ ὠχρότητος, ἵνα πρεσβύτης γοῦν ᾖς σεμνὸς καὶ φιλόσοφος. τί ἔτι; θρόνων κα-
θαιρήσουσι; τίνων, ἆρ' ὧν ἡδέως ἐπέβην ἢ νῦν ἢ πρότερον; μακαρίζω δὲ τοὺς ἐπιβαίνοντας;
σὺ δέ μοι τοσούτων ἡδίων κριτής, οὕτως ἐπιβαίνων ἀναξίως; οὐδὲ τὰ πρότερον συμβάντα τὴν ἐ-
μὴν γνώμην ὑμῖν ἐδήλωσεν; ἢ καὶ κἀκεῖνα θρύψις τίς ἦν. καὶ τοῦ πόθου δοκιμασία, πάντα ἂν
οἱ τεχνικοὶ περὶ ἄλλων τὰ ἑαυτῶν, τὰ μὲν ὑπονοήσουσι, τὰ δὲ εἴποιεν. τί δαὶ ἡ συντέλεια; τί
δαὶ αἱ ἀραί, ἃς δημοσίᾳ κατ' ἡμῶν αὐτῶν πεποιήμεθα; τί δαὶ τὰ δάκρυα, καὶ τὸ ἐλεεινὸν
γενέσθαι ὑμῖν μικροῦ καὶ μισουμένους, διὰ τὴν οὖσαν προεδρίαν ἀποστερήσοιεν; ἦν, πό-
τε, καὶ τίς τὴν εὖ φρονούντων ἐνθυμήμασι; νῦν δὲ καὶ τὸ φεύγειν ὡς τοῦτο ἐμοὶ δοκεῖ πρῶτον συ-
νήθως, δι' ἣν πάντα δονεῖται, καὶ σείεται τὰ ἡμέτερα. δι' ἣν τὰ πέρατα τῆς οἰκουμένης ἐν
ὑποψίᾳ καὶ πολέμῳ, κωφῷ τινὶ καὶ οὐδὲ ὄνομα ἔχοντι. δι' ἣν κινδυνεύομεν ἀνθρώπων εἶναι, παρὰ
θεοῦ γεγονότες, καὶ τὸ μέγα Χριστιανῶν ἀποβαλεῖν ὄνομα. ὡς ὄφελόν γε μηδὲ ἦν προεδρία μη-
δέ τις τόπου προτίμησις καὶ τυραννικὴ προνομία, ἵν' ἐξ ἀρετῆς μόνης ἐγινωσκόμεθα. νῦν δὲ τὸ

δεξιὸν τοῦτο καὶ τὸ ἀριστερὸν, καὶ τὸ μέσον, καὶ τὸ ὑψηλότερον, καὶ τὸ χθαμαλώτερον, καὶ τὸ προσβαδίζειν ἢ συμβαδίζειν, πολλὰ πεποίηκε τὰ συντρίμματα ταῖς ἡμῶν διαιρέσεις, καὶ πολλοὺς εἰς βόθρον ὦσε, καὶ εἰς τὴν τῶν βρέφων χώραν ἀπήγαγεν. οὐ τῶν κάτω μόνον, ἀλλ' ἤδη καὶ τῶν ποιμένων, οἱ διδάσκαλοι τοῦ Ἰσραὴλ ὄντες, ταῦτα ἠγνόησαν. θυσιαστηρίων ἄρξομαι; ἀλλ' οἶδα καὶ ἄλλο θυσιαστήριον, οὗ τύποι τὰ νῦν ὁρώμενα, ἐφ' ὃ λαξευτήριον οὐκ ἀναβέβηκεν, οὐδὲ χεὶρ, οὐδὲ ἠκούσθη σίδηρος, ἤ τι τῶν τεχνιτῶν καὶ τεχνικῶν, ἀλλ' ὅλον τοῦ νοῦ τὸ ἔργον, καὶ διὰ θεωρίας ἡ ἀνάβασις. τούτῳ παραστήσομαι, τούτῳ θύσω δεκτὰ, θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα, κρείττονα τῶν νῦν προσαγομένων, ὅσῳ κρεῖττον σκιᾶς ἀλήθεια. περὶ οὗ μοι δοκεῖ καὶ Δαβὶδ, ὁ μέγας φιλοσοφεῖν λέγων, καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ τοῦ εὐφραίνοντος τὴν πνευματικήν μου νεότητα. τούτου μὲν οὐκ ἀπάξει με τοῦ θυσιαστηρίου πᾶς ὁ βουλόμενος. πόλεως ἀπελάσουσι; ἀλλ' οὐχὶ καὶ τῆς ἄνω κειμένης. τούτῳ διωκέτωσαν οἱ μισοῦντες ἡμᾶς, καὶ ὄντως πεπολεμήκασιν. ἕως δ' ἂν μὴ δύνωνται, φαντασίᾳ βάλλουσιν, ἢ κῦρος ποιοῦσιν ἢ παίζουσιν ἐνύπνια, οὕτως αὐτῶν ἐγὼ βλέπω τὸν πόλεμον. χρημάτων διαιρέσονται; τίνων ἀμέλει τῶν ἐμῶν, καὶ τῶν πτωχῶν πολλάκις πέπτωκεν, ὧν οὐκ ἀποβέβλημαι. εἰ δὲ τῶν τῆς ἐκκλησίας, τοῦτό ἐστιν ὑπὲρ οὗ πᾶς ὁ πόλεμος, δι' ἃ ζηλοτυπεῖ τὸ γλωσσόκομον ὁ κλέπτης, καὶ τὸν θεὸν προδίδωσι τριάκοντα ἀργυρίων, τὸ δεινότατον. τοιοῦτον γὰρ οὐχ ὁ προδιδόμενος, ἀλλ' ὁ προδιδοὺς ἄξιος. οἰκίας ἀποκλείσουσι, τρυφὰς περικόψουσι, φίλων ἀλλοτριώσουσι· πάνυ γοῦν ὡς ὁρᾷς πλείστων κατεφρονήσαμεν, καί τι γε προκαλουμένων· οὐ γὰρ ἀχαριστήσομεν. εἰ δὲ καὶ καταφρονήσομεν, τῷ φείδεσθαι μᾶλλον ἢ διὰ προσίεσθαι τὸ δὲ αἴτιον, οἶκός τις αὐτὴ παύσει ἡμᾶς εὐσεβὴς καὶ φιλόθεος, καὶ οἷος τῷ Ἐλισσαίῳ ὁ τῆς Σουμανίτιδος. συγγενῶν τὸ σῶμα, συγγενῶν τὸ πνεῦμα, πάντα φιλότιμος, τῶν εἰς καὶ ὁ λαὸς οὗτος ἐπάγει, κλέπτων ἔτι τὴν διωκομένην εὐσέβειαν, οὐκ ἀδεῶς, οὐδὲ ἀκινδύνως. ἀντιμετρήσει αὐτοῖς κύριος ἐν ἡμέρᾳ ἀνταποδόσεως, τρυφὴν δὲ εἰ διώκομεν, τρυφήσουσι καθ' ἡμῶν οἱ μισοῦντες ἡμᾶς. οὐ γὰρ ἄλλο τι μεῖζον ἐμαυτῷ καταρῶμαι. φίλοι δὲ, οἱ μὲν οὐδὲ παρόντες καλῶς, εὖ οἶδα φεύξονται ἡμᾶς. τὸ γὰρ συναδικεῖσθαι, καὶ συναλγεῖν πέπονθε. τῶν δὲ, ἤδη γεγυμνάσμεθα, καὶ ὑπερορώμενοι φέρειν τὴν ὑπεροψίαν. τῶν γὰρ φίλων καὶ τῶν πλησίον, οἱ μὲν καὶ φανερῶς ἐξ ἐναντίας ἤγγισαν καὶ ἔστησαν. οἱ δὲ τὸ φιλανθρωπότατον, ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἐν τῇ νυκτὶ ταύτῃ πάντες ἐσκανδαλίσθησαν. μικροῦ καὶ Πέτρος ἠρνήσατό με, καὶ τυχὸν οὐδὲ κλαίει πικρῶς, ἵνα θεραπεύσῃ τὴν ἁμαρτίαν. μόνος τολμηρὸς ἐγὼ καὶ θρασύτατος γέγονα, ὡς ἔοικε, μόνος εὔελπις ἐν τοῖς φοβεροῖς, μόνος καρτερικὸς, καὶ δημοσίᾳ προτιθέμενος, καὶ ἰδίᾳ καταφρονούμενος, καὶ ἀνατολῇ καὶ δύσει, τῷ πολεμεῖσθαι γνωριζόμενος, τῆς ἀγνοίας· ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. τοσοῦτον ἀπέχω τοῦ φοβερόν ἡγεῖσθαί τι τῶν παρόντων, ὥστε τὸ κατ' ἐμαυτὸν ἀφεὶς, θρηνῶ τοὺς λυπήσαντας, μέλη Χριστοῦ ποτὲ, μέλη τίμια ἐμοὶ, καὶ εἰ νῦν διεφθαρμένα, μέλη τῆς ποίμνης ταύτης, ἣν προδεδώκατε μικροῦ, καὶ πρὶν συναχθῆναι. πῶς διεσπάσθητε καὶ διεσπάσατε ὡς βοΐδια ἐκ δεσμῶν ἀνειμένα; πῶς θυσιαστήριον, θυσιαστήριον ἀντηγείρατε; πῶς ἐγένεσθε εἰς ἐρήμωσιν ἐξάπινα; πῶς καὶ αὐτοὶ νενέκρωσθε τῇ τομῇ, καὶ ἡμᾶς ἀλγεῖν πεποιήκατε; πῶς ἁπλότητι ποιμένων, εἰς ποίμνης διάλυσιν, κατεχρήσασθε; οὐδὲ γὰρ ἐκείνους μέμφομαι τῆς ἀπειρίας, ἀλλ' ὑμᾶς αἰτιάσομαι τῆς κακίας, τῇ διαφθορᾷ σου Ἰσραὴλ τίς βοηθήσει; τί φάρμακον εὕρωμαι συνεκτικόν. ποῖον ἐπίδεσμον; πῶς συνάψω τὰ διεστῶτα; τίσι δάκρυσι· τίσι λόγοις; τίσιν εὐχαῖς θεραπεύσω τὸ σύντριμμα, ἢ τάχα τὸν τρόπον τοῦτον, τριὰς ἁγία καὶ προσκυνητὴ καὶ τελεία, ἣν καλῶς ὑφ' ἡμῶν συναγομένη τε καὶ σεβομένη. σὸν τὸ ἔργον, σὸν τὸ κατόρθωμα, σὺ τούτους τε πάλιν ἀποκατάστησον ἡμῖν, τοσοῦτον διασείσας, ὅσον παιδεῦσαι τῷ χωρισμῷ πρὸς ὁμόνοιαν, καὶ ἡμῖν τῶν ἐντεῦθεν μόχθων, ἀντίδος τὰ ἐπινίκιά τε καὶ ἀσπασιαστά. τῶν δὲ ἔτι τὸ πρῶτον καὶ μέγιστον, ἐλλαμφθῆναί σοι τελειότερον καὶ καθαρώτερον, πῶς ἡ αὐτὴ καὶ μονὰς νοῇ καὶ τριὰς εὑρίσκῃ; πῶς τὸ ἀγέννητον καὶ τὸ γεννητὸν, καὶ τὸ προϊὸν μία φύσις, τρεῖς ἰδιότητες, εἷς θεὸς ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν, οὔτε ὑπερτιθέμενος, οὔτε μεριζόμενος, οὔτε μειούμενος, οὔτε τεμνόμενος, τὸ μὲν ἄρτι καταλαμβανόμενος, τὸ δὲ ζητούμενος, ποτὲ δὲ ὅλος εὖ τυχὸν καταληφθησόμενος, τοῖς οὕτω καλῶς ζητήσασι, διὰ βίου καὶ θεωρίας. ᾧ πᾶσα δόξα, τιμὴ, κράτος, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΣΥΝ-

ΣΥΝΤΑΚΤΗΡΙΟΣ ΕΙΣ ΤΗΝ ΤΩΝ ΡΝ ἐπισκόπων παρουσίαν.

Πῶς ὑμῖν τὰ ἡμέτερα, ὦ φίλοι ποιμένες καὶ συμποιμένες, ὧν ὡραῖοι μὲν οἱ πόδες, ὡς εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθά, μεθ' ὧν ἐληλύθατε· ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα ποιμένα ἐκδημοῦντα ἐπισκέψησθε. πῶς τὰ τῆς ἐκδημίας ὑμῖν ἔχει τῆς ἡμετέρας, καὶ τίς ὁ ταύτης καρπός, μᾶλλον δὲ τοῦ ἐν ἡμῖν πνεύματος, ᾧ κινούμεθά τε ἀεί, καὶ νῦν κεκινήμεθα, μηδὲν ἴδιον ἔχειν ἐπιθυμοῦντες, μήτ' ἴδιον ἔχοντες. ἆρά γε συνίετε παρ' ὑμῶν αὐτῶν καὶ καταμανθάνετε, καὶ λογισταὶ τῶν ἡμετέρων ἐστὲ χρηστότεροι, ἢ δεῖ, καθάπερ τῶν στρατηγίας ἢ δημαγωγίας, ἢ διοικήσεως χρημάτων λόγον ἀπαιτουμένων, δημοσίᾳ καὶ αὐτοὺς παρέχειν ὑμῖν τὰς εὐθύνας ὧν διῳκήκαμεν. οὐ γὰρ αἰσχυνόμεθα κρινόμενοι, ὅτι καὶ κρίνομεν ἐν τῷ μέρει, καὶ μετὰ τῆς αὐτῆς ἀγάπης ἀμφότερα. παλαιὸς δὲ ὁ νόμος, ἐπεὶ καὶ Παῦλος τοῖς ἀποστόλοις ἐκοινοῦτο τὸ εὐαγγέλιον οὐχ ἵνα φιλοτιμήσηται· πόῤῥω γὰρ τὸ πνεῦμα πάσης φιλοτιμίας· ἀλλ' ἵν' ἢ βεβαιωθῇ τὸ κατορθούμενον, ἢ διορθωθῇ τὸ ὑστερούμενον, εἰ ἄρα τι καὶ τοιοῦτον ἦν ἐν τοῖς ὑπ' ἐκείνου λεγομένοις ἢ πραττομένοις, ὡς αὐτὸς παραδηλοῖ περὶ ἑαυτοῦ γράφων. ἐπειδὴ καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται, κατὰ τὴν εὐταξίαν τοῦ πάντα καλῶς οἰκονομοῦντος καὶ διαιροῦντος πνεύματος. εἰ δὲ ἐκεῖνος μὲν ἰδίᾳ καὶ τισίν, ἐγὼ δὲ δημοσίᾳ καὶ πᾶσιν ὑπέχω λόγον, μηδὲν θαυμάσητε· κἂν χρῄζω μᾶλλον ὠφεληθῆναι τῇ τῶν ἐλέγχων ἐλευθερίᾳ, ἤπερ ἐκεῖνος. εἴ τι φαινοίμην ἐλλείπων τοῦ δέοντος, μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον, καὶ οὐκ ἔστιν ἄλλως ἀπολογήσασθαι, ἢ ἐν εἰδόσι τὸν λόγον ποιούμενον. τίς οὖν ἡ ἀπολογία; καὶ εἰ μὲν ψευδῆ, ἐλέγξατε· εἰ δὲ ἀληθῆ, μαρτυρήσατε ὑμεῖς, ὑπὲρ ὧν καὶ ἐν οἷς ὁ λόγος· ὑμεῖς γάρ μοι καὶ ἀπολογία καὶ μάρτυρες, καὶ καυχήσεως στέφανος, ἵνα τολμήσω κἀγώ τι τῶν τοῦ ἀποστόλου καινίσασθαι. τοῦτο τὸ ποίμνιον ἦν, ὅτε μικρόν τε καὶ ἀτελὲς ἦν, ὅσον ἐπὶ τοῖς ὁρωμένοις, κἂν οὐδὲ ποίμνιον, ἀλλὰ ποίμνης τι μικρὸν ἴχνος, ἢ λείψανον ἀσύντακτον, καὶ ἀνεπίσκοπον, καὶ ἀδέσποτον· μήτε νομὴν ἐλευθέραν ἔχον, μήτε μάνδραις περιεχόμενον, πλανώμενον ἐν ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἄλλο ἀλλαχοῦ διεσπαρμένον τε καὶ διεῤῥιμμένον, ὡς ἕκαστον ἔτυχε, σκοπούμενον ἢ νεμόμενον, καὶ διακλέπτον τὴν ἑαυτοῦ σωτηρίαν. οἷον ἐκεῖνο τὸ ποίμνιον, ὃ λέοντες ἐξῶσαν, ἢ ζάλη διέλυσεν, ἢ σκοτόμαινα διεσκέδασεν. ὃ θρηνοῦσι μὲν προφῆται τοῖς τοῦ Ἰσραὴλ ἀπεικάζοντες πάθεσι παραδιδομένου τοῖς ἔθνεσιν. ἐθρηνήσαμεν δὲ καὶ ἡμεῖς, ἐφ' ὅσον θρηνῶν ἐπράττομεν ἄξια. τῷ ὅτι γοῦν καὶ ἡμεῖς ἐξώσθημεν καὶ ἀπεῤῥίφημεν, καὶ ἐπὶ πᾶν ὄρος καὶ βουνὸν διεσπάρημεν, ὡς οὐκ ὄντος ποιμένος. καὶ πονηρός τις χειμὼν κατέσχε τὴν ἐκκλησίαν, καὶ δεινοὶ θῆρες ἐπιπεπτώκασιν, οἱ μηδὲ νῦν μετὰ τὴν αἰθρίαν ἡμῶν φειδόμενοι, ἀλλ' ἀναισχυντοῦντες εἰ ἦν καὶ τοῦ καιροῦ δυνατώτεροι, καὶ σκυθρωπή τις σκοτόμαινα ἐπέλαβε πάντα, καὶ συνέκαμψε πολὺ τῆς ἐν Αἰγυπτίων πληγῆς βαρυτέρα, τῆς ψηλαφητοῦ λέγω σκότους, ὑφ' οὗ μικροῦ μηδὲ ἀλλήλους ἰδεῖν ἠδυνήθημεν. τότε εἶπον τί συμπαθέστερον ὡς παρὰ τὸ πεπαιδευκότι θαρρήσας, Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ πατὴρ ἡμῶν εἶ, καὶ πρὸς σὲ βλέπομεν· ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. διὰ τοῦτο ἀπολογήσομαι, πλὴν κρίματα λαλήσω πρὸς σέ, φησὶν Ἱερεμίας. ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, ὅτε ἐπελάθου διαθήκης ἁγίας σου, καὶ ἀπέκλεισας ἀφ' ἡμῶν τὸ ἔλεος. διὰ τοῦτο ἐγενήθημεν ὄνειδος τῷ ἀγαπητῷ σου, οἱ τῆς τριάδος προσκυνηταί, οἱ τέλειοι τῆς τελείας θεότητος πρόσφυγες, καὶ μὴ τολμῶντές τι τῶν ὑπὲρ ἡμᾶς εἰς ἡμᾶς κατάγειν, μηδὲ τοσοῦτον ἐπαίρεσθαι κατὰ τὰς ἀθέους γλώσσας καὶ θεομάχους, ὥστε τὴν δεσποτείαν ποιεῖν ὁμόδουλον. ἀλλὰ παρεδόθημεν δηλαδὴ διὰ τὰς ἄλλας ἁμαρτίας ἡμῶν, καὶ τὸ μὴ ἀξίως τῶν ἐντολῶν σου ἀναστραφῆναι, ἀλλ' ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς πορευθῆναι. διὰ τί γὰρ ἕτερον αὐθένταις ἀδικωτάτοις καὶ πονηροτάτοις παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. ὁ πρῶτος Ναβουχοδονόσορ ἐξέθλιψεν ἡμᾶς, ὁ μετὰ Χριστὸν κατὰ Χριστοῦ μανείς, καὶ διὰ τοῦτο μισήσας Χριστόν, ὅτι δι' αὐτοῦ σέσωστο, καὶ τῶν ἱερῶν ἐλέγχων τὰς ἀθέους θυσίας ἀντιλαβών, κατέφαγέ με, ἐμερίσατό με, ἐκάλυψέ με σκότος λεπτόν, ἵνα μὴ ἀπὸ τῶν μηδὲ θρηνῶν τῆς γραφῆς, εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, καὶ χερσὶν ἀνόμων δικαίως αὐτὸν παρέδωκεν ἐκ τῆς πίστεως εἰς Πέρσας. οἷα τὰ θεοῦ κρίματα, καὶ ὑπὲρ αἱμάτων ἀνοσίων αἷμα ἐχύθη δίκαιον, οἱ τοῦ θεοῦ μόνον οὐδὲ μακροθυμήσει αἰσχυνομένοις τῆς δίκης, πα-

ῥαβραχὺ παρώκησε τῷ ἀδίκῳ ἡ ψυχή μου. ὁ δεύτερος, οὐδ' αὖ ἐκείνου φιλανθρωπότερος. ὅτι μὴ καὶ βαρύτερος, ὅσῳ τὸ Χριστοῦ φθόνας ὄνομα, ψευδόχριστος ἦν καὶ Χριστιανοῖς ὄνειδος, οἷς καὶ τὸ ποιεῖν ἄθλον, καὶ τὸ πάσχειν ἄδοξον, τὸ μηδὲ ἀδικεῖσθαι δοκεῖν, μηδὲ τὸ μεγαλοπρεπὲς ὄνομα προσεῖναι τὴν μαρτυρίαν, ἀλλὰ καὶ τοῦτο κλέπτεσθαι τὴν ἀλήθειαν. πάσχοντας ὡς Χριστιανούς, ὡς ἀσεβεῖς κολάζεσθαι. οἴμοι ὅτι ἐπλουτήσαμεν οἱ τοῖς κακοῖς, ὅτι πῦρ κατέφαγε τὰ ὡραῖα τῆς οἰκουμένης, τὰ κατάλοιπα τῆς κάμπης, κατέφαγεν ἡ ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος, κατέφαγεν ἡ ἐρυσίβη, εἶτα ὁ βροῦχος. εἶτα οὐκ οἶδ' ὅτι πρὸς τούτοις καὶ ἄλλο, ἐπ' ἄλλῳ κακῷ φυόμενον. τί ἄν τις ἐκτραγῳδοίη πάντα τὰ τοῦ καιροῦ κακά, καὶ τὴν τότε καταλαβοῦσαν ἡμᾶς εἴτε ἐπίπληξιν χρὴ λέγειν, εἴτε δοκιμασίαν καὶ πύρωσιν, πλὴν ὅτι διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ προέλθομεν εἰς ἀναψυχήν, εὐδοκίᾳ τοῦ σῴζοντος, ἀλλ' ὅ μοι λέγειν ἀπ' ἀρχῆς ὁ λόγος ὥρμητο. τοῦτο τὸ γεώργιον, ἦν ὅτε μικρόν τε καὶ πτωχὸν ἦν, καὶ οὐχ ὅπως Θεοῦ τοῦ τὸν κόσμον ὅλον γεωργήσαντός τε καὶ γεωργοῦντος, τοῖς καλοῖς τῆς εὐσεβείας σπέρμασί τε καὶ δόγμασιν, ὅλης οὐδὲ ποικτὸς οἷος τῶν ἰδίων καὶ μετρίων, ὡς γε ἐδόκει. ἀλλ' οὐδὲ γεώργιον ἄλσος, οὐδὲ ἀριθμητικόν, οὐδὲ ἄλλο τυχόν, οὐδὲ ἐπαίνου ἄξιον, οὐδὲ θημών, οὐδὲ δράγματα, ἢ δράγματα μικρά τε καὶ ἄωρα, καὶ οἷα τὰ ἐκ δωμάτων. μήτε χεῖρα πληροῦντα τοῦ θερίζοντος, μήτε τῶν παριόντων προκαλούμενα εὐλογίαν. τοιοῦτον ἡμῖν τὸ γεώργιον, τοσοῦτον τὸ θέρος. μέγα μὲν καὶ εὔσταχυ καὶ πίον τῷ θεωρητῇ τῶν κρυπτῶν, καὶ τοιούτου γεωργοῦ πρέπον εἶναι, ὃ πληθύνουσι καὶ λαλοῦσι ψυχῶν καρποὶ τῷ λόγῳ γεωργουμένων, οὐ μὴν γνωριζόμενον τοῖς πολλοῖς, οὐδὲ εἰς ἓν συναγόμενον, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενον, ὡς καλάμη ἐν ἀμήτῳ, καὶ ὡς ἐπιφυλλὶς ἐν τρυγήτῳ μὴ ὑπάρχοντος βότρυος. προσθήσειν μοι δοκῶ κἀκεῖνα καὶ λίαν κατὰ καιρόν. ὡς σκοπὸν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, καὶ ὡς ῥαγαμίαν ἢ δευτέραν ὥριμον, ἐν ἀώρῳ τοῦ βότρυι· εὐλογίαν μὲν κυρίου τετηρημένην, καὶ ἀπαρχὴν καθιερωμένην, πλὴν ὀλίγην ἔτι καὶ σπανίαν, καὶ οὐ πληροῦσαν στόμα ἐσθίοντος, καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ, καὶ ὡς ἱστὸν ἐπ' ὄρους, ἢ εἴ τι ἄλλο τῶν μοναδικῶν τε, καὶ οὐ πλείοσι θεωρουμένων. ταῦτα μὲν τὰ τῆς προτέρας πενίας καὶ κατηφείας, ἀφ' οὗ δὲ ὁ πτωχίζων καὶ πλουτίζων Θεός, ὁ θανατῶν καὶ ζωογονῶν, ὁ ποιῶν πάντα καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, ὁ ποιῶν ἐκ μὲν νυκτὸς ἡμέραν, ἐκ δὲ χειμῶνος ἔαρ, ἐκ δὲ ζάλης γαλήνην, ἐκ δὲ αὐχμοῦ, ἐπομβρίαν· καὶ τοῦτο δι' ἑνὸς δικαίου πολλάκις εὐχὴν ἐπὶ πολὺ δυσχεθοῦντος, ὁ ἀναλαμβάνων πτωχοὺς εἰς ὕψος, καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, ἐκεῖνο πρὸς αὐτὸν εἶπον, ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ Ἰσραήλ, καὶ οὐ μὴ προσθῶσιν ἔτι τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρεῖν, καὶ εἰπών, ἐπισκέψομαι, καὶ ἐπισκεψάμενος ἔσωσε, καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρὼν τῶν ἐκλεκτῶν αὐτοῦ. τί γίνεται; καὶ τί θαυματουργεῖται, αἱ βίβλοι καὶ μνῆμαι φθέγγονται. ἐκτὸς γὰρ τῶν κατὰ τὴν ὁδὸν θαυμασίων, καὶ τῆς μεγάλης ἐκείνης βομβήσεως, ἵν' εἴπω τί συντομώτατον. Ἰωσὴφ εἰς Αἴγυπτον εἷς, καὶ μυριάδες ἑξήκοντα μετ' ὀλίγον ἐξ Αἰγύπτου. τί τούτου θαυμασιώτερον, ἢ μεῖζον τῆς τοῦ Θεοῦ μεγαλονοίας τεκμήριον; ὅταν ἐκ τῶν ἀπόρων θέλῃ πόρον δοῦναι τοῖς πράγμασι, καὶ γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται, δι' ἑνὸς μισηθέντος; καὶ ὁ πλανηθείς, ἔθνη μεθίστησι, καὶ εἰς ἔθνος καθίσταται μέγα, καὶ ἡ μικρὰ παραφυὰς ἐκείνη, ἄμπελος εὐκληματοῦσα γίνεται. καὶ τοσαύτη, ὡς ἐπεμβαίνειν μὲν ποταμοῖς. ἐκτείνεσθαι δὲ μέχρι θαλάσσης, ἐξ ὁρίων εἰς ὅρια πλατυνομένην, καλύπτειν δὲ ὄρη τῷ ὕψει τῆς δόξης. κέδρων δὲ ὑπεραίρεσθαι, καὶ ταῦτα τῶν τοῦ Θεοῦ· ἅτινα δὴ τὰ ὄρη ταῦτα, καὶ ἅστινας τὰς κέδρους ὑποληπτέον. τοιοῦτόν ποτε τοῦτο τὸ ποίμνιον, καὶ τοιοῦτον νῦν, οὕτως ηὐξοῦν τε καὶ πλατυνόμενον· εἰ δὲ μή πω τελέως, ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος ἐπιδόσεσι προσθήκαις. καὶ προφητεύω δὲ ὅτι καὶ ὀδεύσω. τοῦτό μοι τὸ πνεῦμα προλέγει τὸ ἅγιον, εἴ τι προφητικὸς εἰμί, καὶ βλέπων τὰ ἔμπροσθεν, καὶ ἅμα τοῖς προλαβοῦσιν ἔχω θαῤῥεῖν, καὶ λογισμῷ γινώσκειν, ὡς λόγου σύντροφος. πολὺ γοῦν παραδοξότερον ἐξ ἐκείνου τοσαύτην γενέσθαι, ἢ τὴν νῦν οὖσαν εἰς ἄκρον προελθεῖν λαμπρότητος. ἐξ οὗ γὰρ συνάγεσθαι ἤρξατο παρὰ τοῦ ζωογονοῦντος τοὺς νεκρούς, ὀστᾶ πρὸς ὀστᾶ, καὶ ἁρμονία πρὸς ἁρμονίαν, καὶ τοῖς ξηροῖς ἐδόθη πνεῦμα ζωῆς καὶ παλιγγενεσίας, πέπεισμαι ὡς οἶδα πληρωθῆναι δεῖ τὴν ἀνάστασιν, ὥστε μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς οἱ παραπικραίνοντες, μηδὲ σκιᾶς κρατοῦντες, ἢ ἐνύπνιον ἐξαγγελλομένοις, ἢ αὔρας διαπνεούσας, ἢ νεὼς ἴχνη, καθ' ὕδατος ἔχειν τί νομιζέτωσαν, ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέδρος, τοῖς τῶν

ἄλλων

ἄλλοις καινοῖς παιδευέσθωσαν, καὶ μανθανέτωσαν, ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, οὐδὲ ἀνέξεται, μὴ ἐν ἐκστάσει διακόψαι κεφαλὰς δυναστῶν ὡς ὁ Ἀμβακούμ φησι, ἡ διακοπτομένη θεότης καὶ διαιρουμένη κακῶς, εἴς τε τὸ ἄναρχον καὶ τὸ ἀρχόμενον, ὡς ἂν μάλιστα καὶ θεότης ὑβρισθείη κατατεμνομένη, καὶ βαρυνθείη κτίσις ὁμομίᾳ θεότητος, δοκῶ μοι κἀκείνης ἀκούειν τῆς φωνῆς παρὰ τοῦ συνάγοντος τοὺς συντετριμμένους, καὶ τῶν πεπτωκότων ἀνορθουμένου, πλάτυνον τὰ σχοινίσματά σου ἔτι, ἐκπέτασον εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ πῆξον, τῶν αὐλαιῶν μὴ φείσῃ, ἐγὼ παραδίδωμί σε, καὶ ἐγὼ βοηθήσω σοι, ἐν θυμῷ μικρῷ ἐπάταξά σε, καὶ ἐν ἐλέει αἰωνίῳ δοξάσω σε, μεῖζον τοῖς μέτροις τῆς φιλανθρωπίας, ὑπὲρ τοῖς μέτροις τῆς παιδαγωγίας. ἐκεῖνα διὰ τὴν πονηρίαν, ταῦτα διὰ τὴν Τριάδα προσκυνουμένην· ἐκεῖνα διὰ τὴν κάθαρσιν, ταῦτα διὰ τὴν ἐμὴν δόξαν· ὡς δοξάζω τοὺς δοξάζοντας, καὶ παραζηλῶ τοὺς παραζηλοῦντας. ἰδοὺ ταῦτα ἐσφράγισται παρ' ἐμοί, καὶ οὗτος ἄλυτος νόμος ἀντιμετρήσεως. σὺ δέ μοι περιέχου τῶν τοίχων καὶ τῶν πλακῶν, καὶ τῆς κεκομψευμένης ψηφῖδος, καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων, καὶ χρυσῷ καταλάμπου καὶ περιλάμπου, τὸν μὲν ὡς ὕδωρ εὐπορῶν, τὸν δὲ ὡς ἄμμον ἐπισωρεύων, ἀγνοῶν ὅτι κρείσσων ὑπαίθριος πίστις, πολυτελοῦς ἀσεβείας, καὶ πλείους θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι κυρίου, πολλῶν ἀρνουμένων θεότητα, ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις, οἷος τοῦ Ἀβραάμ, ἢ καὶ τοὺς Σοδομίτας, οἷος τοῦ Λώτ; ἢ καὶ Μαδιηναίους, Μωσέως, τῶν παροίκων καὶ ξένων. τί δαὶ τοὺς μετὰ Γεδεὼν τριακοσίους τοὺς λάψαντας, τῶν ἀπεστραφότων χιλιάδων; τί δαὶ τοὺς οἰκογενεῖς Ἀβραάμ, τοὺς μικρὸν ὑπὲρ τοὺς τριακοσίους τὸν ἀριθμὸν τῶν πολλῶν βασιλέων, καὶ τῶν τοῦ στρατοῦ μυριάδων, ἃς καίπερ ὄντες ὀλίγοι, κατεδίωξαν καὶ ἐτρέψαντο. ἐκεῖνο δὲ πῶς νοεῖς, ὅτι ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. τί δαὶ τὸ κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βάαλ. οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ θεός. σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, θεὸς δὲ τοὺς σωζομένους, καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. οὐδὲν γὰρ οὕτω θεῷ μεγαλοπρεπές, ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία, τοῖς τῆς ἀληθείας δόγμασιν. ἄξιον μὲν γὰρ οὐδέν ἐστι τοῦ τὰ πάντα πεποιηκότος, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα, δοῦναι θεῷ, καὶ προσενεγκεῖν, μὴ ὅτι μιᾶς χειρὸς ἔργον ἢ περιουσίας, ἀλλ' οὐδ' εἰ πάσας τις τὰς ἐν ἀνθρώποις εὐπορίας ἢ χεῖρας εἰς ἓν συνενεγκὼν, τιμῆσαι θελήσειεν. οὐχὶ τὸν οὐρανόν, καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει κύριος; καὶ ποῖον οἶκον οἰκοδομήσετέ μοι, ἢ τίς τόπος τῆς καταπαύσεώς μου, ἐπεὶ δὲ τοῦ ἀξίου διαμαρτεῖν ἀναγκαῖον, ὃ δεύτερόν ἐστιν, αἰτῶ παρ' ὑμῶν, τὴν εὐσέβειαν, τὸν κοινὸν πλοῦτον ἐμοί τε καὶ ὁμότιμον, ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρόν, ὁ πάνυ πένης, ἂν ᾖ μεγαλόψυχος. προαιρέσεως γάρ, οὐκ εὐπορίας ἡ τοιαύτη φιλοτιμία· λήψομαι μὲν καὶ ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν εὖ ἴστε. πατεῖν τὴν αὐλήν μου. οὐ προσθήσεσθε, ἀλλὰ πατήσουσιν αὐτήν, τὸ δὲ πλεῖον τῶν ἐπιγνωκότων ἐμέ, καὶ τὸν μονογενῆ μου λόγον, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑγιῶς καὶ γνησίως. μέχρι τίνος κληρονομήσετε τὸ ὄρος τὸ ἅγιόν μου; μέχρι τίνος ἡ κιβωτὸς παρὰ τοῖς ἀλλοφύλοις. νῦν δὲ μικρὸν ἔτι ἐντρυφήσατε τοῖς ἀλλοτρίοις, καὶ τοῦ βούλεσθαι ἀπολαύσατε, ὃν ἂν τρόπον ἐβουλεύσασθε τοῦ ἀπώσασθαί με, κἀγὼ ἀπώσομαι ὑμᾶς λέγει κύριος παντοκράτωρ. ταῦτα καὶ ἀκούειν λέγοντος ἐδόκουν, καὶ τοιούτου αἰσθάνεσθαι, καὶ ἔτι πρὸς τούτοις· πρὸς μὲν τὸν λαὸν βοῶντος τὸν ἐξ ὀλίγου πολὺν ἤδη, καὶ συγκείμενον ἱκανῶς ἐκ διεσπαρμένου καὶ ἐξελεουμένου τυχὸν καὶ ἐπιφθόνου. πορεύεσθε διὰ τῶν πυλῶν μου καὶ πλατύνεσθε. μὴ διὰ παντὸς δεῖ κάμνειν ὑμᾶς ἐν σκηναῖς κατοικοῦντας, καὶ τοὺς θλίβοντας ὑμᾶς ὑπερευφραίνεσθαι; πρὸς δὲ τοὺς ἐφεστῶτας ἀγγέλους. πείθομαι γὰρ ἄλλους ἄλλης προστάτας εἶναι ἐκκλησίας, ὡς Ἰωάννης διδάσκει με διὰ τῆς ἀποκαλύψεως, ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε, ἵνα μηδὲν ᾖ σκῶλον, μηδὲ πρόσκομμα τῷ λαῷ τῆς θείας ὁδοῦ καὶ εἰσόδου. νῦν μὲν ὧδε τὰ χειροποίητα, μικρὸν δὲ ὕστερον ὧδε τὴν ἄνω Ἱερουσαλήμ, καὶ τὰ ἐκεῖσε ἅγια τῶν ἁγίων. ὃ τέλος οἶδα τῆς ἐνταῦθα κακοπαθείας καὶ συντονίας, τοῖς καλῶς ὁδεύουσιν, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς κλητοὶ ἅγιοι. λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, σχοίνισμα κυρίου τὸ κράτιστον, ἀπὸ σταγόνος ποταμὸς ὅλος, ἀπὸ σπινθῆρος λαμπὰς οὐράνιος, ἀπὸ κόκκου νάπυος, δένδρον πτηνῶν ἀνάπαυμα. τούτων δωροφοροῦμεν ὑμῖν ὦ φίλοι ποιμένες, τούτων προσάγομεν, τούτοις δεξιούμεθα τοὺς ἡμετέρους φίλους, καὶ ξένους.

καὶ συνεκδήμους τούτων οὐδὲν κάλλιον προσενεγκεῖν ἔχομεν ὑμῖν, οὐδὲ λαμπρότερον, ὧν
ἔχομεν δ' μεῖζον ἐπιζητεῖτε, ἵν' εἰδῆτε καὶ ξένους ὄντας ἡμᾶς, ὡς οὐκ οἴδατε. ἀλλὰ πτω-
χοὺς μὲν, πολλοὺς πλουτίζοντας. ταῦτα, εἰ μὲν μικρὰ καὶ οὐδενὸς λόγου, πεισθῆναι βού-
λομαι, ἵνα τὰ μείζω καὶ λόγου πλείονος. εἰ γὰρ τὴν πόλιν τῆς οἰκουμένης ὀφθαλμὸν, γῆς
καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας τε καὶ ἑσπερίου λήξεως, οἷον σύνδεσμον, εἰς ἣν τὰ παν-
ταχόθεν ἄκρα συντρέχει, καὶ ὅθεν ἄρχεται ὡς ἐμπορίου κοινοῦ τῆς πίστεως, εἰ δ' ταύτην στεῤ-
ῥάν τε καὶ ἀσφαλῆ τοῖς ὑγιαίνουσι λόγοις, τὴν οὕτω μεγάλην. καὶ ταῦτα, τοσαύταις σειομένην
γλώσσαις, καὶ οὕτω πανταχόθεν, σχολῇ γ' ἂν ἄλλο τι φανείη μέγα καὶ σπουδῆς ἄξιον. εἰ δὲ
τὴν ἐπαινουμένην, δότε τι καὶ ἡμῖν τῆς ἐπὶ τούτοις φιλοτιμίας, καὶ αὐτοὶ μερίδα τινὰ τοῖς
ὁρωμένοις τούτοις συνεισενηνέγμεθα. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, πᾶς ὁ τῶν
ἐμῶν λόγων ἐξετασμός. ἴδε τὸν στέφανον ἀντὶ παλαιοῦ τε τῆς δόξης, ἀντὶ τῶν μισθωτῶν Ἐ-
φραΐμ καὶ τῶν στεφάνων τῆς ὕβρεως. ἴδε πρεσβυτέρων συνέδριον, πολιᾷ καὶ συνέσει τε-
τιμημένους, διακόνων εὐταξίαν, οὐ πόῤῥω τοῦ αὐτοῦ πνεύματος, ἀναγνωστῶν εὐκοσμίαν,
λαοῦ φιλομάθειαν, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξὶ, τὴν ἀρετὴν ὁμοτίμους, καὶ αἰ-
δέσιμον, ὅσον ἐν φιλοσόφοις, ὅσον ἐν ἁπλουστέροις, πᾶσι σοφοῖς τὰ θεῖα· ὅσον ἐν ἀρχούσαις,
ὅσον ἐν ἀρχομένοις, ἐνταῦθα πᾶσι καλῶς ἀρχομένοις. ὅσον ἐν στρατιώταις, ὅσον ἐν εὐ-
γενέσιν, ὅσον ἐν λόγοις καὶ περὶ λόγους, πᾶσι θεοῦ στρατιώταις, ἡμέροις τἄλλα, πο-
λεμικοῖς ὑπὲρ πνεύματος. πᾶσι τὴν ἄνω τιμῶσι σύγκλητον. εἰς ἣν, οὐ τὸ γράμ-
μα ἀπάγει τὸ πεζὸν, ἀλλὰ τὸ ζωοποιοῦν πνεῦμα, ἅπασι λογίοις ὡς ἀληθῶς, καὶ τοῦ ὄν-
τως λόγου θεραπευταῖς. καὶ γυναικῶν ὅσον ὑπὸ ζυγὸν, θεῷ μᾶλλον ἢ σαρκὶ συνδεδε-
μένον, ὅσον ἄζυγον καὶ ἐλεύθερον, θεῷ τὸ πᾶν καθιερωμένον. ὅσον ἐν νέοις, ὅσον ἐν γέρου-
σιν, ὧν τὸ μὲν ἐπὶ γῆρας, καλῶς ὁδεύει. τὸ δὲ, βιάζεται μένειν ἀγήρατον, ταῖς κρείττο-
σι τὴν ἐλπίδων ἀνακαινούμενον. τούτου τοῦ στεφάνου ὁ λαχὼν, οὐ κατὰ τὸ κύριον λαχών. λα-
λέσθω δὲ ὅμως, κἀγώ τι συνεβαλόμην τοῖς πλείοσι. τούτων τίς καὶ τῶν ἐμῶν λόγων ἔρ-
γον, οὐχ οὓς ἐξέρριψαμεν, ἀλλ' οὓς ἠγαπήσαμεν, οὐδὲ τῶν πορνικῶν ὅστις ἔφη, διασύρων ἡ-
μᾶς τῶν πόρνων καὶ λόγον, καὶ τρόπον, ἀλλὰ καὶ λίαν σωφρόνων· τούτων τίς καὶ τοῦ
ἐμοῦ πνεύματος γέννημα καὶ καρπὸς, ὡς γεννᾷν οἶδε πνεῦμα, τῶν ἀπαυγασμένων σώ-
ματος. μαρτυρήσουσιν εὖ οἶδ' ὅτι καὶ ὑμῶν οἱ εὐγνώμονες, ἢ καὶ πάντες. ἐπεὶ καὶ πάν-
τες ἐγεωργήσαμεν, καὶ μισθὸς, ἡ ὁμολογία μόνη. οὐ γὰρ ἄλλο τι ἐπιζητοῦμεν ἢ ἐζητήσαμεν.
ἄμισθος γὰρ ἡ ἀρετὴ, ἵνα καὶ ἀρετὴ μένῃ, πρὸς δ' καλὸν μόνον βλέπουσα. βούλεσθε προ-
σθῶμεν τι καὶ νεανικώτερον; ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμερουμένας, καὶ τοὺς θεὸν τι
πολεμοῦντας, ἡμῖν ἡσυχάζοντας. καὶ τοῦτο τοῦ πνεύματος, καὶ τοῦτο τῆς γεωργίας τῆς ἡμε-
τέρας. οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολ-
λοὶ, μὴ τῷ λόγῳ μαχόμενοι. τοῖς δὲ λέγουσι, καὶ τὴν ἀσθένειαν ἔστιν ὅτε τὴν λογισμῶν ταῖς
ὕβρεσι συγκαλύπτοντες, ὥσπερ τὰς σηπίας λόγος, ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν, ἵνα τοὺς
θηρεύοντας διαφύγωσιν, ἢ τοὺς λανθάνουσαι θηράσωσιν. ἀλλὰ τὸ περὶ Χριστοῦ πολεμεῖν δεί-
κνυμεν ἐν τοῦ μάχεσθαι, κατὰ Χριστὸν τὸν εἰρηνικόν τε καὶ πρᾶον, καὶ τὰς ἀσθενείας ἡμῶν
βαστάσαντα, οὔτε εἰρηνεύομεν κατὰ τοῦ λόγου τῆς ἀληθείας ὑφιέντες τι διὰ δόξαν ἐπιει-
κείας. οὐ γὰρ κακῶς τὸ καλὸν θηρεύομεν, καὶ εἰρηνεύομεν ἐννόμως μαχόμενοι, καὶ ἔσω τῶν ἡμε-
τέρων ὅρων καὶ κανόνων τοῦ πνεύματος. περὶ μὲν οὖν τούτων οὕτω γινώσκω, καὶ νόμον τί-
θημι πᾶσι τοῖς ψυχῶν οἰκονόμοις, καὶ τοῦ λόγου ταμίαις. μήτε τοὺς σκληροὺς τραχύνειν,
μήτε τοὺς ὑπεσταλμένως κατεπαίρειν, ἀλλ' εὐλόγως εἶναι περὶ τὸν λόγον, μηδ' ἑτέρωσε μή-
που ὑπερβαίνοντας. δεῖ δὲ ἴσως προσθεῖναι ὑμῖν, καὶ τὸν τῆς πίστεως αὐτῆς ἐπιδέξασθαι λό-
γον, ἥ τίς ποτέ ἐστιν ἡ καθ' ἡμᾶς. ἐγώ τε γὰρ ἀγαπήσομαι τῆς συνεχεῖ τῆς μνήμης, ὅ, τε
λαὸς οὗτος ὀνήσεται, χαίρων εἴπερ ἄλλῳ τινὶ τοῖς τοιούτοις λόγοις, καὶ ὑμεῖς ἐπιγνώσε-
σθε, εἰ μὴ μάτην φθονούμεθα τῇ φανερώσει τῆς ἀληθείας, τοῖς μὲν ἁμιλλώμενοι, τοὺς δὲ
φθάνοντες. ὥσπερ γὰρ τῶν βρυχίων ὑδάτων τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς,
τὰ δὲ παφλάζει στενοχωρούμενα, καὶ τὴν ἔκρηξιν ὑπισχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλλει
δὲ ἔτι, τὰ δὲ καὶ ἀναῤῥήγνυνται· οὕτω καὶ τῶν φιλοσοφούντων περὶ θεοῦ, ἵνα μὴ λέγω τοὺς
παντελῶς ἀγνώμονας, οἱ μὲν παντὴ κρύφιον ὡς λανθάνουσαν ἔχουσιν ἑαυτοῖς τὴν εὐσέβειαν,
οἱ δὲ τοῦ ὠδῖνος ἐγγὺς, ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι, τὸ δὲ εὐσεβὲς οὐ παῤῥησιάζονται,
εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν, ἀλλὰ
τὴν μὲν διάνοιαν ὑγιαίνουσιν ὥς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν, οὐκ ἄλ-
λων προστασίαν ἐγχειρισθέντες, οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρὸν, οὐ στέγοντες τὴν

ὠδῖνα

ἀλλ' ἵνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι ἐπ' ἐκείνῃ νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειε, μεθ' ὧν ἐγὼ τὰ ποίμνια, ἢ οἱ πάντες μετ' ἐμοῦ τὴν καλὴν τόλμαν τολμῶντες, ὁμολογεῖν τὴν εὐσέβειαν. ἣν μὲν οὖν καὶ σύντονον πρόγραμμα τοῦ καθ' ἡμᾶς λόγου, καὶ ὥσπερ στηλογραφία τις πᾶσι γνώριμος, ὁ λαὸς οὗτος, γνήσιος ὢν τῆς Τριάδος προσκυνητής· ὡς θᾶττον ἄν τινα διαζευχθῆναι τῆς ζωῆς ταύτης, ἢ τι τῶν τριῶν ἓν διαζεῦξαι τῆς θεότητος· σύμφρονες, ὁμόζηλοι, ἓν λόγῳ πρός τε ἀλλήλους καὶ πρὸς ἡμᾶς, καὶ τὴν Τριάδα κρατούμενοι. τὰ δὲ καθ' ἕκαστον ἤδη ἐπέλθω συντόμως, ἄναρχον, καὶ ἀρχή, καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἷς Θεός. οὔτε τοῦ ἀνάρχου τὸ ἄναρχον φύσις, ἢ τὸ ἀγέννητον. οὐδεμία γὰρ φύσις τὸ μὴ τόδε ἐστίν, ἀλλ' ὅ τόδε. ἢ τοῦ ὄντος θέσις, οὐχὶ τοῦ μὴ ὄντος ἀναίρεσις, οὔτε ἡ ἀρχὴ τῷ ἀρχὴ εἶναι, τοῦ ἀνάρχου διείργεται. οὐ γὰρ φύσις αὐτῷ ἡ ἀρχή, ὥσπερ οὐκ ἐκείνῳ τὸ ἄναρχον. περὶ γὰρ τὴν φύσιν, οὐ ταῦτα φύσις, καὶ τὸ μετὰ τοῦ ἀνάρχου καὶ τῆς ἀρχῆς, οὐκ ἄλλο τι, ἢ ὅπερ ἐκεῖνα. ὄνομα δέ, τῷ μὲν ἀνάρχῳ πατήρ, τῇ δὲ ἀρχῇ, υἱός· τῷ δὲ μετὰ τῆς ἀρχῆς, πνεῦμα ἅγιον· φύσις δὲ τοῖς τρισὶ μία, Θεός. ἕνωσις δέ, ὁ πατήρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς. οὐχ ὡς συναλείφεσθαι, ἀλλ' ὡς ἔχεσθαι. μήτε χρόνου διείργοντος, μήτε θελήματος, μήτε δυνάμεως. ταῦτα γὰρ ἡμᾶς πολλὰ εἶναι πεποίηκεν, αὐτοῦ τε ἑκάστου πρὸς ἑαυτόν, καὶ πρὸς τὸ ἕτερον στασιάζοντος· οἷς δὲ ἁπλῆ φύσις καὶ τὸ εἶναι ταὐτόν, τούτοις καὶ τὸ εὖ κύριον. τὰς μὲν οὖν φιλονείκους ὧδε θάτερα μετακλίσεις τοῦ λόγου καὶ ἀντισηκώσεις, χαίρειν ἐάσωμεν, οὔτε τῶν υἱοσαβελλιζόντων κατὰ τὴν Τριάδα καὶ συναιρέσει κακῇ τὴν διαίρεσιν λυόντων, οὔτε τοῖς τρισὶν ἀρειανιζόντων κατὰ τὸ εἶδος, καὶ πονηρᾷ διαιρέσει τὸ ἓν ἀνατρεπόντων. οὐ γὰρ κακὸν κακῷ ἀλλάξασθαι τὸ ζητούμενον, ἀλλὰ τοῦ καλοῦ τὸ μὴ διαμαρτεῖν. ὡς ταῦτά γε τοῦ πονηροῦ παίγνια, κακῶς τὰ ἡμέτερα ταλαντεύοντος. αὐτοὶ δὲ τὴν μέσην βαδίζοντες καὶ βασιλικήν, ἐν ᾗ καὶ τὴν ἀρετὴν ἑστηκέναι ὡς δοκεῖ τοῖς ταῦτα δεινοῖς, πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, ὁμοούσιά τε καὶ ὁμόδοξα, ἐν οἷς καὶ τὸ βάπτισμα τὴν τελείωσιν ἔχει, ὀνόμασί τε καὶ πράγμασιν, οἶδας ὁ μυηθείς, ἄρνησις οὖν ἀθεΐας, καὶ ὁμολογία θεότητος, καὶ οὕτω καταρτιζόμεθα. τὸ μὲν ἕν, τῇ οὐσίᾳ γινώσκοντες, καὶ τῷ ἀμερίστῳ τῆς προσκυνήσεως. τὰ δὲ τρία, ταῖς ὑποστάσεσιν εἴτ' οὖν προσώποις, ὅ τισι φίλον. μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀγανακτείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασι. τί γάρ φατε οἱ τὰς τρεῖς ὑποστάσεις εἰσφέροντες, μὴ τρεῖς οὐσίας ὑπολαμβάνοντες λέγετε; μέγα οἶδ' ὅτι βοήσεται κατὰ τῶν οὕτως ὑπειληφότων. μίαν γὰρ καὶ τὴν αὐτὴν τῶν τριῶν δογματίζετε. τί δαὶ οἱ τὰ πρόσωπα, μὴ ἓν οἷόν τι σύνθετον ἀναπλάσσετε, καὶ τριπρόσωπον ἢ ἀνθρωπόμορφον ὅλως; ἄπαγε. καὶ ὑμεῖς ἀντιβοήσετε, μηδὲ πρόσωπον ὅ τί ποτέ ἐστιν ἴδοι Θεοῦ, ὅς, οὕτως ἔχει. τί οὖν ὑμῖν αἱ ὑποστάσεις βούλονται ἢ τὰ πρόσωπα, προσερήσομαι γάρ· τὸ τρία εἶναι τὰ διαιρούμενα, οὐ φύσεσιν, ἀλλ' ἰδιότησιν, ὑπερεῦγε. πῶς ἂν πάντες συμφρονοῖεν μᾶλλον καὶ τὸ αὐτὸ λέγοιεν, ἢ οὕτως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσιν. ὁρᾶτε οἷος ἐγὼ διαλλακτὴς ὑμῖν, πρὸς τὸν νοῦν ἄγων ἀπὸ τοῦ γράμματος, ὥσπερ τὴν παλαιὰν καὶ τὴν νέαν; ἀλλ' ἐπανιτέον μοι πάλιν πρὸς τὸν αὐτὸν λόγον. τὸ μὲν οὖν ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν, λεγέσθω τε καὶ νοείσθω, εἴτ' οὖν φίλοις δημιουργεῖν ὀνόματα. οὐ γὰρ δέδιμεν μή ποτε νοῆται σωματικῶς τὰ ἀσώματα. ὅπερ δοκεῖ τοῖς ἐπηρεασταῖς θεότητος. κτίσμα δέ, θεοὺς μὲν λεγέσθω. μέγα γὰρ ἡμῖν καὶ τοῦτο, Θεὸς δὲ μηδαμῶς, ἢ τότε δέξομαι κτίσμα εἶναι Θεόν, ὅταν κἀγὼ γένωμαι κυρίως Θεός. ἔχει γὰρ οὕτως· εἰ μὲν Θεός, οὐ κτίσμα. μεθ' ἡμῶν γὰρ τὸ κτίσμα, τῶν οὐ θεῶν. εἰ κτίσμα δέ, οὐ Θεός. ἤρξατο γὰρ χρονικῶς· ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν· οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν· τὸ δὲ μὴ κυρίως ὄν, πῶς Θεός; οὔτε οὖν κτίσμα τῶν τριῶν, οὐδὲ ἕν· οὔτε δὲ, τούτου χεῖρον, δι' ἐμὲ γενόμενον· ἵνα μὴ κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δὲ δι' ἐμέ, ὡς περιχειρ διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν, νικῶ τῇ αἰτίᾳ. ὅσῳ γὰρ κτισμάτων Θεὸς ὑψηλότερος, τοσοῦτον τοῦ διὰ Θεὸν ὑποστάντος ἐμοῦ, τὸ δι' ἐμὲ γενόμενον, ἀτιμότερον. πρὸς ταῦτα Μωαβίταις μὲν καὶ Ἀμμανίταις, μηδὲ εἰσιτητὸν εἰς ἐκκλησίαν ἔστω Θεοῦ, λόγοις διαλεκτικοῖς τε καὶ κακοπράγμοσιν. οἳ γέννησιν Θεοῦ πολυπραγμονοῦντες, καὶ πρόοδον ἄρρητον, κατεξανίστανται τολμηρῶς θεότητος. ὡς δέον, ἢ ἐφικτὰ μόνοις εἶναι τὰ ὑπὲρ λόγον, ἢ μηδὲ εἶναι, ὅτι μὴ αὐτοὶ κατειλήφασιν. ἡμεῖς δὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες τῆς σωτηρίας ἐχόμεθα, πάντα τολμῶντες πρότερον, ἢ κατὰ Θεοῦ τι καινίζεσθαι. τὰς μὲν δὴ μαρτυρίας, ἄλλοις παρήσομεν. πολλοῖς τε λογογραφηθείσας ἤδη πολλάκις, καὶ ἡμῖν οὐ παρέργως, καὶ ἅμα λίαν αἰσχρὸν ἔμοιγε νῦν, τὰς πίστεις συλλέγειν τῆς πάλαι πεπιστευμέ-

τῶν πιστευομένων. τάξις γὰρ οὐκ ἀρίστη διδάσκειν πρότερον, εἶτα μανθάνειν, μὴ ὅτι τὰ θεῖα καὶ τηλικαῦτα τὸ μέγεθος, ἀλλ' οὐδὲ ἄλλο τι τῶν μικρῶν καὶ τοῦ μηδενὸς ἀξίων. καὶ τὰ ἐκ τῆς γραφῶν προσκόμματα λύειν καὶ διαιρεῖν, οὐ τοῦ παρόντος καιροῦ. σπουδῆς δὲ τελεωτέρας καὶ μείζονος, ἢ κατὰ τὴν προῦσαν ὁρμὴν τῆς ὑποθέσεως. ὁ δ' οὖν λόγος ἡμῶν, ὡς ἐν κεφαλαίῳ περιλαβεῖν, ἐστὶν οὗτος. καὶ ταῦτα διῆλθον, οὐχ ἵν' ἀγωνίσωμαι πρὸς τὴν αὐτῶν θέσιν. πολλάκις γὰρ ἤδη διηγησάμεθα, εἰ καὶ μετρίως, ἀλλ' ἵν' ὑμῖν ἐπιδείξω τὸν χαρακτῆρα τῶν ἐμῶν διδαγμάτων, εἰ μὴ τῶν ὑμετέρων ἐγὼ συναγωνιστὴς καὶ κατὰ τὴν αὐτὴν καὶ ὑπὲρ τῆς αὐτῆς ἱστάμενος. οὗτος ὑμῖν, ὦ ἄνδρες, ὁ τῆς ἐμῆς ἀπόλογος παρουσίας. εἰ μὲν ἐπαινετῶς ἔχων, τῷ Θεῷ χάρις, καὶ ὑμῖν τοῖς καλέσασιν· εἰ δὲ τῆς ἐλπίδος ἐνδεέστερον, καὶ οὕτω χάρις. οὐ γὰρ πάντη ψευσθεὶς εὖ οἶδα, ὃ ὑμῖν οὐκ ἀπιστῶ λέγειν. μή τι τὸν λαὸν τοῦτον ἐπλεονεκτήσαμεν; μή τι τῶν ἡμετέρων ᾠκονομήσαμεν, ὃ τοὺς πολλοὺς ὁρῶ πάσχοντας; μή τι τὴν ἐκκλησίαν παρελυπήσαμεν; ἄλλοις μὲν ἴσως οἷς ἐφήμιλλον ὑμᾶς ᾑρηκέναι νομίζουσι, τὸν ἡμέτερον αἰτεσθήσομεν λόγον. ὑμᾶς δὲ οὐδέν, ὅσα ἐμαυτῷ συνεπίσταμαι. οὐκ οὖν ὑμῶν εἴληφα, φησὶ Σαμουὴλ ὁ μέγας, πρὸς τὸν Ἰσραὴλ, ὑπὲρ τοῦ βασιλέως διαφερόμενος, οὐ ψυχῶν ὑμῶν ἐξίλασμα. μάρτυς κύριος ἐν ὑμῖν, οὐ τοῦτο καὶ τό, πλείονα λέγων, ἵνα μὴ αὐτὸς ἀπηξιωμαι μακατ' ἐκεῖνον· ἀλλὰ καθαρὰν καὶ ἀκίβδηλον τὴν ἱερωσύνην ἐφύλαξα. εἰ δὲ δυναστείαν ἠγάπησα, ἢ θρόνων ὕψος, ἢ βασιλέων πατεῖν αὐλάς, μηδὲ ἄλλό τι λαμπρὸν ἔχοιμι, ἢ ῥίψαιμι κακλημένος. τί οὖν ἐστὶν ὃ φημι; οὐ γὰρ ἄμισθος ἐγὼ τῆς ἀρετῆς ἐργάτης, οὐδ' εἰς τοσοῦτον ἀρετῆς ἀφικόμην. δότε μοι τὸν τῶν πόνων μισθόν. τίνα τοῦτον; οὐχ ὃν ἄν τινες ὑπολάβοιεν τῶν πάντη ῥᾳδίων, ἀλλ' ὃν ἐμοὶ ζητεῖν ἀσφαλές. ἀναπαύσατε τῶν μακρῶν πόνων ἡμᾶς, αἰδέσθητε τὴν πολιὰν ταύτην, τιμήσατε τὴν ξενιτείαν, ἄλλον ἀντεισαγάγετε, τὸν ὑπὲρ ὑμῶν διωκόμενον. ὅστις καθαρὸς χεῖρας, ὅστις φωνὴν οὐκ ἀσύνετος, ὅστις ἱκανὸς τὰ πάντα ὑμῖν χαρίζεσθαι, καὶ συνδιαφέρειν τὰς ἐκκλησιαστικὰς φροντίδας. ἐπειδὴ τούτου μάλιστα νῦν ὁ καιρός. ἐμὲ δὲ ὁρᾶτε τὸ σῶμα ὡς ἔχει τοῦτο, καὶ χρόνῳ καὶ νόσῳ καὶ πόνῳ δεδαπανημένον. τί δεῖ γέροντος ὑμῖν δειλοῦ καὶ αὐχίδου, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν ἀποθνήσκοντος τὴν ἡμέραν, οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ ταῖς φροντίσιν· ὃς μόλις καὶ ταῦτα ὑμῖν διαλέγομαι. μὴ ἀπιστήσητε φωνῇ διδασκάλου. καὶ γὰρ οὐδὲ ἠπιστήσατέ πώποτε, κέκμηκα τὴν ἐπιείκειαν ἐγκαλούμενος, κέκμηκα καὶ λόγῳ καὶ φθόνῳ μαχόμενος, καὶ πολεμίοις, καὶ ἡμετέροις· οἱ μὲν τὰ στέρνα παίουσι, καὶ ἧττον ἐπιτυγχάνουσι. τὸ γὰρ προδήλως ἐχθρὸν εὐφύλακτον. οἱ δὲ τὰ νῶτα τηροῦσι, καὶ μᾶλλόν εἰσι λυπηροί. τὸ γὰρ ἀνύποπτον, κυριώτερον. εἰ δὲ καὶ κυβερνήτης ἦν, καὶ τὴν λίαν ἐπιστημόνων, εἶτα περὶ μὲν ἦν περὶ ἡμᾶς ἡ θάλασσα, καὶ περὶ τὴν ναῦν ζέουσα· πολλὴ δὲ τῶν ἐμπλεόντων ἡ στάσις, ἀλλήλοις περὶ ἄλλου ζυγομαχούντων καὶ ἀντικρουόντων ἀλλήλοις τε καὶ τοῖς κύμασι, τάχ' ἂν ἀντέσχον αὐτὸς ἐπὶ τῶν οἰάκων καθήμενος, ὥστε καὶ θαλάσσῃ καὶ τοῖς ἐμπλέουσι μάχεσθαι, καὶ διασώζειν ἀκινδύνως τὴν ναῦν ἐκ διπλοῦ τοῦ κλύδωνος. ὧν γὰρ παντὶ τρόπῳ συναγωνιζομένων, χαλεπὸν ἦν τῆς σωτηρίας, τούτων πῶς οἷόν τε ἀνταγωνιζομένων μὴ καταδύεσθαι; τί τἄλλα δεῖ λέγειν, ἀλλὰ πῶς οἴσω τὸν ἱερὸν τοῦτον πόλεμον; λεγέσθω γάρ τις καὶ πόλεμος ἱερός, ὥσπερ καὶ βαρβαρικός. πῶς συνάψω καὶ εἰς ἓν ἀγάγω τοὺς ἀντικαθεζομένους τε καὶ ἀντιποιμαίνοντας, καὶ τὸν συναπερρωγότα τούτοις λαὸν καὶ ἀντίθετον, ὥσπερ αὐτοῖς χάσμασι τῶν σεισμῶν, τὰ γειτονοῦντα καὶ πλησιάζοντα. ἢ ταῖς λοιμικαῖς νόσοις, τοὺς θεραπευτὰς καὶ οἰκείους. ἄλλοις ἀπ' ἄλλων διαδιδομένης εὐκόλως τῆς ἀρρωστίας. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ τῆς οἰκουμένης τμήματα, συμπεπόνθασι τοῖς στασιάζουσιν, ὥστε καὶ εἰς ἀντίπαλον μοῖραν διακριθῆναι, τότε ἑῷον καὶ τὸ ἑσπέριον, καὶ κινδυνεύειν τῆς γνώμης οὐχ ἧττον ἢ τῶν περάτων ταῦτα γενέσθαι τμήματα. μέχρι τίνος γὰρ ὁ ἐμὸς καὶ ὁ σὸς, καὶ ὁ παλαιὸς, καὶ ὁ νέος· ὁ λογιώτερος, ἢ ὁ πνεῦμα πικρότερος· ὁ εὐγενέστερος, ἢ ὁ δυσγενέστερος· ὁ τὸ πλῆθος πλουσιώτερος, ἢ ὁ πενέστερος. αἰσχύνομαι τὸ γῆρας ἄλλων, καλούμενος ὑπὸ Χριστοῦ σεσωσμένος. οὐ φέρω τοὺς ἱππικοὺς ὑμῶν καὶ τὰ θέατρα, καὶ τὴν ἀντιξέουσαν ταύτην μανίαν, οἵ τε δαπανήμασι καὶ σπουδάσμασι μεταζεύγνυμεν, ἀντιζεύγνυμεν, ἀντιφρυασσόμεθα, μικροῦ καὶ τὸν ἀέρα παίομεν ὥσπερ ἐκεῖνοι, καὶ βάλλομεν κόνιν εἰς οὐρανόν, ὥσπερ οἱ ἐξεστηκότες, καὶ ὑπ' ἄλλοις προσώποις, τὰς ἡμετέρας ἐκπληροῦμεν φιλονεικίας, καὶ κακοὶ γινόμεθα τῆς φιλοτιμίας διαιτηταί, καὶ κριταὶ τῶν πραγμάτων ἀγνώμονες. σήμερον σύνθρονοι καὶ ὁμόδοξοι, ἂν οὕτω φέρωσιν ἡμᾶς οἱ ἄγοντες. αὔριον ἀντίθρονοι καὶ ἀντίδοξοι, ἂν ἀντιπνεύσῃ τὸ πνεῦμα. μετὰ τῆς ἔχθρας, καὶ τῆς φιλίας καὶ τὰ ὀνόματα. καὶ τὸ δεινότατον, οὐκ αἰσχυνόμεθα τοῖς αὐτοῖς χρώμενοι τῶν ἐναντίων ἀκροαταῖς, οὐδὲ ἐπὶ τῆς αὐτῆς βεβήκαμεν, ἄλλοτε ἄλλους ποιούσης ἡμᾶς τῆς φιλονεικίας, οὐ εἴπω μεταβολαῖς τισὶν ἢ ἀμπώτισιν. ὥσπερ οὖν ἐν μειρακίων ἀγορᾷ παιζόντων ἐν μέσῳ καὶ παιζομένων, αἰσχρὸν ἂν ἦν

λίαν

λίαν καὶ οὐχ ἡμῶν, καταλιπόντας τὰς οἰκείας διατριβὰς, ἐκείνοις συμφέρεσθαι. οὐ γὰρ ὡραῖον γῆρας, παίδων ἀθύρματα. οὕτως οὐδ' εἰ φρόντι καὶ φρονουμένων τῶν ἄλλων, αὐτὸς τὸ βέλτιον τῶν πολλῶν γινώσκων. δεξαίμην ἂν ἐκείνων εἷς εἶναι μᾶλλον, ἢ ὅπερ εἰμὶ μετὰ τῆς ἀφανίας, ἐλεύθερος. πρὸς γὰρ αὖ τοῖς ἄλλοις, πάσχω τι καὶ τοιοῦτον, οὐ τὰ πολλὰ συμφέρομαι τοῖς πολλοῖς, οὐδὲ τὴν αὐτὴν βαδίζειν ἀνέχομαι· θρασέως μὲν ἴσως καὶ ἀμαθῶς, πάσχω δ' οὖν ὅμως. ἀνιᾷ μὲ τὰ τῶν ἄλλων τερπνὰ, καὶ τέρπομαι τοῖς ἑτέρων ἀνιαροῖς. ὥστε οὐκ ἂν θαυμάσαιμι οὐδὲ ἔσω, εἰ καὶ δεθείην ὡς δύσχριστος, καὶ ἀνοηταίνειν δόξαιμι τοῖς πολλοῖς, ὅ, τι λέγεται τῶν παρ' Ἕλλησι φιλοσοφησάντων παθεῖν, ἐγκληθεὶς ὡς μανίαν τὴν σωφροσύνην, ὅτι διεγέλα τὰ πάντα, γέλωτος ὁρῶν ἄξια τὰ τοῖς πολλοῖς σπουδαζόμενα. ἢ καὶ γλεύκους νομισθείην εἶναι μεστὸς, ὡς ὕστερον οἱ Χριστοῦ μαθηταὶ ἐκ τοῦ λαλεῖν γλώσσαις, ἀγνοηθέντος ὅτι πνεύματος δύναμις ἦν, οὐ φρενῶν ἔκστασις. σκοπεῖτε γὰρ καὶ ἡμῶν τὰ ἐγκλήματα. τοσοῦτος χρόνος, φησὶ, ἐξ οὗ τῆς ἐκκλησίας ἄγεις μετὰ τῆς τοῦ καιροῦ ῥοπῆς, καὶ τῆς τοῦ κρατοῦντος ὁρμῆς, ποσοῦ τοῦ πράγματος· τί τῆς μεταβολῆς ἡμῖν ἐπεσήμηνε; πόσοι καθ' ἡμῶν ἔμπροσθεν γεγόνασιν ὑβρισταί; τί δεινὸν οὐ πεπόνθαμεν; οὐχ ὕβρεις; οὐκ ἀπειλάς; οὐ φυγάς; οὐ χρημάτων ἁρπαγάς; οὐ δημεύσεις; οὐ πρεσβυτέρων ἐμπρησμὸν θαλάττιον; οὐ ναοὺς βεβηλουμένους ἁγίων αἵμασι, καὶ γενομένους ἀντὶ ναῶν πολυάνδρια; οὐ πρεσβυτέρων, οὐκ ἐπισκόπων, οἰκειότερον δὲ πατριαρχῶν εἰπεῖν σφαγὰς δημοσίας; οὐ τὸ πάντα τόπον ἄβατον εἶναι τοῖς ὀρθοδόξοις μόνοις; οὐχ ὅτι ἂν εἴποι τις τῶν δεινῶν; ὧν τί τοῖς πεποιηκόσιν ἀντιδεδώκαμεν. ἐπειδὴ τὸ ἐξεῖναι ποιεῖν, οὗ ποιῶν ἀντεγράφη, καὶ παιδεύειν ἔδει τοὺς ὑβριστάς· ἐῶ τἄλλα. τὰ δὲ ἡμέτερα, ἵνα μὴ τὰ σὰ λέγωμεν, οὐ δεδιώγμεθα; οὐχ ὑβρίσμεθα; οὐκ ἀπηλλάμεθα ἐκκλησιῶν, οἰκιῶν, τὸ πάντων αὐτῶν δεινότατον; οὐκ ἠνέγκαμεν δῆμον μαινόμενον, ὑπάρχους ὑβρίζοντας, βασιλέας ὑβριζομένους, καὶ μετὰ τῶν πραγμάτων; εἶτα τί; γεγόναμεν ἰσχυρότεροι, καὶ διαπεφεύγασιν οἱ διώκοντες. ἱκανὴ γὰρ αὐτάρκης ἐμοὶ τιμωρία κατὰ τῶν ἀδικούντων, ἡ τοῦ ἀντιποιεῖν ἐξουσία. τοῖς δὲ οὐχ οὕτω δοκεῖ. λίαν γάρ εἰσιν οἱ τελέως καὶ δίκαιοι περὶ τὴν ἀντίδοσιν, καὶ διὰ τοῦτο ἀπαιτοῦσι τὰ τοῦ καιροῦ. τίς ὕπαρχος, φησὶ, ἐζημίωται; τίς δῆμος σεσωφρόνισται; τίνων δήμων ἀνάπτει; τίνα φόβον ἡμῖν αὐτοῖς καὶ πρὸς τὸ μέλλον ἐχαρισάμεθα; τάχα δ' ἂν καὶ ταῦτα ἡμῖν ὀνειδίσαιεν. καὶ γὰρ ὠνειδίκασι, τὸ δὲ τῆς τραπέζης φιλότιμον, οὐδὲ τῆς ἐσθῆτος αἰδέσιμον. αἱ δὲ πρόοδοι, τὸ δὲ σοβαρὸν πρὸς τοὺς ἐντυγχάνοντας. ἠγνόουν γὰρ ὅτι πρὸς ὑπάτους ἡμῖν καὶ ὑπάρχους ἡ ἅμιλλα, καὶ στρατηγῶν τοὺς ἐπιδοξοτάτους, οἳ μὴ ἔχουσιν, ὅποι τὰ ἑαυτῶν ῥίψωσι. καὶ δεῖ περιστρέφειν μὲν ἡμῖν τὴν γαστέρα κατατρυφῶσι τῶν πτωχικῶν, ὡς δὲ εἰς τὰ περιττὰ κεχρῆσθαι τοῖς ἀναγκαίοις, καὶ τῶν θυσιαστηρίων κατερεύγεσθαι, ἵπποις δὲ φέρεσθαι τρυφεροῖς, καὶ δίφρων ὑπεραίρεσθαι περιλάμπρως, προπομπεύεσθαί τε καὶ περιπτύσσεσθαι, καὶ πάντας ὑποχωρεῖν ἡμῖν ὥσπερ θηρίοις καὶ περισχίζεσθαι, ἢ καὶ πόρρωθεν εἶναι δήλους ἐπερχομένους. εἰ ταῦτα δεινὰ γέγονε, παρελήλυθε, χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην· ἄλλον προστήσασθε τὸν ἀρέσκοντα τοῖς πολλοῖς, ἐμοὶ δὲ τὴν ἐρημίαν καὶ τὴν ἀγροικίαν καὶ τὸν θεὸν, ᾧ μόνῳ καὶ διὰ τῆς εὐτελείας ἀρέσομεν. δεινὸν εἰ στερησόμεθα λόγων καὶ συλλόγων καὶ πανηγύρεων καὶ τῶν κρότων τούτων ὑφ' ὧν πτερούμεθα, καὶ οἰκείων καὶ φίλων, καὶ τιμῶν, καὶ κάλλους πόλεως, καὶ μεγέθους, καὶ τοῦ πανταχόθεν περιλαμπούσης ἀστραπῆς τοὺς πρὸς αὐτὰ βλέποντας, ἀλλὰ μὴ εἴσω συννενευκότας. ἀλλ' οὔπω τοσοῦτον, ὅσον εἰ θορυβήσομαι καὶ χρανθήσομαι τοῖς ἐν μέσῳ ταραχαῖς καὶ βρασμοῖς, καὶ ταῖς πρὸς τοὺς πολλοὺς μετακλίσεσιν. οὐ γὰρ ζητοῦσιν ἱερέας, ἀλλὰ ῥήτορας· οὐδὲ ψυχῶν οἰκονόμους, ἀλλὰ χρημάτων φύλακας· οὐδὲ θύτας καθαρούς, ἀλλὰ προστάτας ἰσχυρούς. ἀπολογήσομαί τι περὶ αὐτῶν, οὕτως ἡμεῖς αὐτοὺς ἐπαιδεύσαμεν, οἱ πᾶσι πάντα γινόμενοι, οὐκ οἶδα πότερον ἵνα σώσωμεν πάντας, ἢ ἀπολέσωμεν. τί φατέ; πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις, καὶ νενικήκαμεν, ἢ δεῖ καὶ στερροτέρων λόγων ἡμῖν πρὸς τὸ πείθειν. ναὶ πρὸς τῆς τριάδος αὐτῆς, ἣν πρεσβεύομεν καὶ πρεσβεύετε, πρὸς τῆς κοινῆς ἡμῶν ἐλπίδος, καὶ τῆς τοῦ λαοῦ τοῦδε συμπήξεως, δότε μοι τὴν χάριν ταύτην, μετ' εὐχῶν ἡμᾶς ἀποπέμψατε. αὕτη γενέσθω μοι τῆς ἀθλήσεως ἡ ἀνάρρησις. δότε μοι τὸ γράμμα τῆς ἀφέσεως, ὥσπερ τοῖς στρατιώταις οἱ βασιλεῖς· καὶ εἰ βούλεσθε, μετὰ δεξιᾶς τῆς μαρτυρίας, ἵν' ἔχω τὸ ἐντίμιον. εἰ δὲ μὴ ὅπως βούλεσθε, οὐδὲν περὶ τούτου διοίσεται, ἕως ἂν θεὸς ἴδῃ τὰ ἡμέτερα, ὅπως ἂν ἔχῃ. τίνα οὖν ἀντικαθίζομεν; ἄξεται ἑαυτῷ κύριος ποιμένα εἰς προστασίαν, ὡς πρόβατον εἶδον εἰς ὁλοκάρπωσιν, ἓν τοῦτο ἐπιζητῶ μόνον, τῶν φθονουμένων ἔστω τίς, μὴ τῶν ἐλεουμένων, μὴ τῶν πάντα πᾶσι χαριζομένων· ἀλλ' ἔστω ἃ καὶ προσκρούειν εἰδότων ὑπὲρ τοῦ βελτίονος. τὸ μὲν γὰρ ἐνταῦθα ἥδιστον, τὸ δὲ ἐκεῖθεν λυσιτελέστατον. ὑμεῖς μὲν οὖν τοὺς προπεμπτηρίους ἡμῖν μελετήσατε λόγους. ἐγὼ δὲ ὑμῖν ἀποδώσω τὸν συντακτήριον. χαίροις ἀναστα-

σία μοι τῆς εὐσεβείας ἐπώνυμε. σὺ γὰρ τὸν λόγον ἡμῖν ἐξανέστησας, ἔτι καταφρονούμενον, τὸ τῆς κοινῆς νίκης χωρίον, ἡ νέα σιλώμ, οὗ πρῶτον τὴν σκηνὴν ἐπήξαμεν, τεσσαράκοντα ἔτη περιφερομένην ἐν τῇ ἐρήμῳ. σύ τε ὁ μέγας ναὸς οὗτος καὶ περιβόητος, ἡ νέα κληρονομία, τὸ νῦν μέγας εἶναι παρὰ τοῦ λόγου λαβών, ὃν ἰεβοὺς πρότερον ὄντα, ἱερουσαλὴμ πεποιήκαμεν. ὑμεῖς τε ὅσοι μετὰ τοῦτον εὐθὺς τοῖς κάλλεσιν, ἄλλος ἄλλο τι τῆς πόλεως μέρος διειληφότες ὥσπερ σύνδεσμοί τινες, καὶ τὸ γειτονοῦν οἰκειούμενοι, οὓς μὲν τῆς ἀσθενείας ταύτης. οὐχ ἡμεῖς, ἡ χάρις δὲ σὺν ἡμῖν ἐπλήρωσε τοῖς ἀπεγνωσμένοις. χαίρετε ἀπόστολοι, ἡ καλὴ μετοικία, οἱ ἐμοὶ διδάσκαλοι τῆς ἀθλήσεως, εἰ καὶ μὴ πολλάκις ὑμῖν ἐπανηγύρισα, ἴσως τι τοῦ ὑμετέρου παύλου σατᾶν περιφέρων τῷ σώματι πρὸς τὸ συμφέρον, δι᾽ ὃν νῦν ὑμῶν ἀπανίσταμαι. χαῖρέ μοι ὦ καθέδρα, τὸ ἐπίφθονον ὕψος τοῦτο καὶ ἐπικίνδυνον, ἀρχιερέων συνέδριον, ἱερέων, αἰδοῖ καὶ χρόνῳ τετιμημένων, ὅσοι τε ἄλλοι περὶ τὴν ἱερὰν τράπεζαν λειτουργικοὶ θεοῦ, καὶ ἐγγίζοντι θεῷ ἐγγίζοντι. χαίρετε ναζιραίων χοροστασίαι, ψαλμῳδιῶν ἁρμονίαι, στάσεις πάννυχοι, παρθένων σεμνότης, γυναικῶν εὐκοσμία, χηρῶν, ὀρφανῶν συστήματα, πτωχῶν ὀφθαλμοὶ πρὸς θεὸν καὶ πρὸς ἡμᾶς βλέποντες. χαίρετε οἶκοι φιλόξενοι καὶ φιλόχριστοι, καὶ τῆς ἐμῆς ἀσθενείας ἀντιλήπτορες. χαίρετε τῶν ἐμῶν λόγων ἐρασταί, καὶ δρόμοι καὶ συνδρομαί, καὶ γραφίδες φανεραὶ καὶ λανθάνουσαι. καὶ ἡ βιαζομένη κιγκλὶς αὕτη τοῖς ἐπὶ τὸν λόγον ὠθιζομένοις. χαίρετε ὦ βασιλεῖς καὶ βασίλεια, ὅσον τε περὶ τὸν βασιλέα θεραπευτικὸν καὶ οἰκίδιον· εἰ μὲν καὶ βασιλεῖ πιστόν, οὐκ οἶδα, θεῷ δὲ τὸ πλεῖον ἄπιστον. κροτήσατε χεῖρας, ὀξὺ βοήσατε, ἄρατε εἰς ὕψος τὸν ῥήτορα ὑμῶν. σεσίγηκεν ὑμῖν ἡ πονηρὰ γλῶσσα καὶ λάλος, οὐ μὴν σιγήσεται. μαχήσεται γὰρ διὰ χειρὸς καὶ μέλανος. τὸ δὲ νῦν ἔχον, σεσιγήκαμεν. χαῖρε ὦ μεγαλόπολι καὶ φιλόχριστε. μαρτυρήσω γὰρ τἀληθῆ, καὶ εἰ μὴ κατ᾽ ἐπίγνωσιν ὁ ζῆλος, πεποίηκε χρηστοτέρους ὑμᾶς, ἡ διάζευξις. πρόσιτε τῇ ἀληθείᾳ. μετασκευάσθητε ὀψὲ γοῦν, τιμήσατε θεόν, πλέον τῆς συνηθείας. οὐχ ἡ μετάθεσις τὸ αἰσχρὸν ἔχει, ἀλλ᾽ ἡ τοῦ κακοῦ τήρησις, τῇ ἀπωλείᾳ. χαίροις ἀνατολὴ καὶ δύσις, ὑπὲρ ὧν καὶ ὑφ᾽ ὧν πολεμούμεθα, μάρτυς ὁ εἰρηνεύων ὑμᾶς, ἂν ὀλίγοι μιμήσωνται τὴν ἐμὴν ὑποχώρησιν. οὐ γὰρ καὶ τὸν θεὸν ἀπολοῦσιν, οἱ τῶν θρόνων παραχωροῦντες, ἀλλ᾽ ἕξουσι τὴν ἄνω καθέδραν, ἣ πολὺ τούτων ὑψηλοτέρα τε καὶ ἀσφαλεστέρα. ἐπὶ πᾶσι καὶ πρὸ πάντων βοήσομαι. χαίρετε ἄγγελοι τῆσδε τῆς ἐκκλησίας ἔφοροι, καὶ τῆς ἐμῆς παρουσίας καὶ ἐκδημίας, εἴπερ ἐν χειρὶ θεοῦ τὰ ἡμέτερα. χαῖρέ μοι ὦ τριάς, τὸ ἐμὸν μελέτημα καὶ καλλώπισμα, καὶ σώζοιο τοῖσδε, καὶ σώζοις τούσδε, τὸν ἐμὸν λαόν. ἐμὸς γάρ, κἂν ἄλλως οἰκονομώμεθα, καὶ ἀγγέλλοιό μοι διαπαντὸς ὑψουμένη καὶ αὐξουμένη, καὶ λόγῳ καὶ πολιτείᾳ. τεκνία, φυλάξατέ μοι τὴν παρακαταθήκην, μέμνησθέ μου τῶν λιθασμῶν. ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν, ἀμήν.

ΕΙΣ ΤΗΝ ΧΕΙΡΟΤΟΝΙΑΝ ΔΟΑΡΩΝ, ΟΜΙΛΙΑ

ἐκδοθεῖσα εὐλαλίῳ ἐπισκόπῳ.

Δέξασθε τὸν ὑμέτερον λόγον ἀδελφοί, κἂν ἐλάχιστος ᾖ, κἂν παρὰ πολὺ τῆς ἀξίας λειπόμενος, πλὴν ὅμως, σταθμίζειν οἶδεν ὁ δεσπότης θεός, τῇ δικαίᾳ κρίσει τὸν ἔλεον. δέχεται μὲν καὶ παῦλον τῇ φυτείᾳ ὡς παῦλον, καὶ ἀπολλὼ τὴν ἀρδείαν, καὶ τὰ δύο λεπτὰ τῆς χήρας, καὶ τοῦ τελώνου τὴν ταπείνωσιν, καὶ τοῦ μανασσῆ τὴν ἐξαγόρευσιν. δέξασθε λόγον πάντων τοῦ ἐσχάτου ποιμένος. δέξασθε φωνὴν εὐχαριστήριον ἐπὶ τοῖς ὁρωμένοις θαύμασι, μικροὶ μὲν ἡμεῖς καὶ ἐλάχιστοι ἐν υἱοῖς ἰσραήλ. εὐχαριστεῖν δὲ πλουσίως, οὐδὲν κωλύει καὶ τοὺς μικρούς· τῆς μὲν οὖν τελεωτέρας εὐφημίας, ἀποδώσουσι τῷ θεῷ πάντως οἱ τελεώτεροι. ἡμεῖς δέ, τὴν κατὰ δύναμιν εἰσοίσομεν σήμερον. τοιγαροῦν ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν. ἐκυμαινόμεθα, ἐπολεμούμεθα, ἐξεθύμεθα, τὰ μὲν ἤδη παρῆλθε τῶν δεινῶν, τὰ δὲ ἤμελλον. ἀλλὰ τίς ἔστησε τὴν καταιγίδα εἰς αὔραν; τίς συνέτριψεν ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον; τίς τοὺς ἐζωσμένους καὶ ἀπερριμμένους ἡμᾶς εἰσεδέξατο; οὐχὶ σὺ ὁ θεὸς ὁ ἐνεργήσας ταῦτα; κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ. οὗτος ἔτεμε θάλασσαν, οὗτος ἔθρεψεν ἐν ἐρήμῳ λαὸν φυγάδα ξένον, ὑετὸν χαρισάμενος, οὗτος πέτρας ἐπήγασεν. οὗτος κατεπολέμησε τὸν ἀμαλὴκ χειρῶν ἐκτάσει καὶ μυστικῷ σχήματι. τοῦτο γὰρ ἴσχυσεν ἱερέως χεῖρες, ἐπὶ τοῦ ὄρους αἰρόμεναι καὶ εἰς εὐχὴν τυπούμεναι, ὃ πολλαὶ μυριάδες οὐκ ἴσχυσαν. οὗτος τείχη κατέσεισεν ἀμάχως καὶ ἀπολέμως. καὶ ἵνα τὰ τελευταῖα λέγω, οὗτος κατηγωνίσατο τὸν γολιὰθ διὰ τοῦ μεγάλου δαβὶδ τολμήσαντα, τὸν ἐπηρμένον καὶ ἀλαζόνα καὶ ἀπόγονον τῶν γιγάντων. διὰ ταῦτα ὁμοθυμαδὸν λέγομεν, εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσι, καὶ χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων, ἄλλα τε ὅσα ψυχὴ πολυχαρὴς ἐπὶ τοῦ θεοῦ μεγαλοδωρεᾷ φθέγγεται. οὐκ ἤλθομεν βαλεῖν μάχαιραν, ἀλλ᾽ εἰρήνην· οὐκ ἤλθομεν ἐπ᾽ ἀτιμίᾳ τοῦ μεγάλου ποιμένος, τοῦ τῆς λαμπρᾶς προκαθεζομένου πόλεως. τίμιον ἡμῖν

κεφαλὴ

κεφαλὴν γινώσκομεν, ἅγιον καλοῦμεν καὶ ἀδικούμενοι· μόνον ἔστω φιλότεκνος, καὶ πάσης προνοῶν ἐκκλησίας. προσθήκην ἱερέων ἐπραγματευσάμεθα, οὐχ ὑφαίρεσιν· αἱρετικῶν ἀνατροπὴν, οὐκ ὀρθοδόξων ἐλάττωσιν. τί φὴς ὦ πάντων δειλαιὲ καὶ ἀθέων, καὶ στρατηγὲ ἀσεβὲς ὁ νιστής; ὁ κατὰ μωυσέως τολμήσας, καὶ χεῖρας ἐπαφεὶς ἡμῖν, ὥσπερ ἐκεῖνοι τὰς γλώσσας μεγάλῳ θεράποντι, οὐκ ἔφριξας; οὐκ ἐτράπης; οὐκ ἐξερρύησάν σοι τοῦτο διανοουμένῳ κατὰ γῆς αἱ σάρκες; εἶτα τὰς χεῖρας ταύτας ἀνατείνεις θεῷ; εἶτα δῶρα προσάξεις; εἶτα ὑπερεύξῃ λαοῦ; φοβοῦμαι μήποτε τοσοῦτον ἡ ῥομφαία τοῦ θεοῦ καταπωθῇ καὶ ἠρεμήσειεν. ὅτι δ' ὦ κειμένῃ σὺ μέγα τι ἐχαρίσω, καὶ σαυτὸν τὰ μέγιστα ἐζημίωσας, ἀλλοτριώσας σεαυτὸν τῆς τοῦ θεοῦ χάριτος. νῦν δ' ὦ ποιμένων ἄριστε καὶ τελειότατε, δεῦρό μοι καὶ τὸν σὸν ἀπολάμβανε λαόν, σὺν ἡμῖν δὲ καὶ πρὸ ἡμῶν, ὃν οἰκειοῖ σοι τὸ πνεῦμα τὸ ἅγιον, ὃν προσάγουσιν ἄγγελοι, ὃν ὁ βίος καὶ ὁ τρόπος ἐπιστώσεν. εἰ δὲ διὰ πειρασμῶν καὶ κωλυμάτων τὴν τῶν θρόνων κληρονομεῖς, μὴ θαυμάσῃς, οὐδὲ τὸ μέγα χρῆμα ἀδόκιμον, οὐδὲ ἀβασάνιστον. ἕπεται γὰρ φύσει, τοῖς μὲν ταπεινοῖς τὸ ῥᾴδιον, τοῖς δὲ ὑψηλοῖς τὸ δυσκίνητον. ἤκουσας τοῦ εἰπόντος, ὅτι δεῖ ἡμᾶς διὰ πολλῶν θλίψεων εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εἰπὲ καὶ αὐτὸς, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. ὦ τοῦ θαύματος, τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. ἔα λοιπὸν τοὺς πολεμοῦντας, καὶ τοὺς χάσκοντας ὡς κύνας ὑλακτοῦντας διακονεῖς. ἡμεῖς δὲ μὴ πολεμώμεθα. δίδασκε τοίνυν, προσκυνεῖν θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν τὸ πνεῦμα τὸ ἅγιον, ἐν τρισὶν ὑποστάσεσιν, ἐν μιᾷ δόξῃ τε καὶ λαμπρότητι. τὸ ἀπολωλὸς ἐκζήτει, τὸ ἀσθενὲς ἐνίσχυε, τὸ ἰσχυρὸν φύλαττε. τοσαύτην ἀπαιτοῦμέν σε τὴν ἐν τοῖς πνευματικοῖς εὐδοκίμησιν, ὅσην ἐπὶ τῶν κοσμικῶν συνέγνωμεν. τὴν μὲν οὖν τελειοτέραν ὅπλισιν δέξαιο παρὰ τῶν μειζόνων στρατηγῶν, δι' ἧς δυνήσῃ τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. καὶ παραστῆσαι τῷ κυρίῳ λαὸν περιούσιον, ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα, ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΡΟΣ ΠΑΡΘΕΝΟΝ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.

Παρθένε νύμφη χριστοῦ, δόξαζέ σου τὸν νυμφίον ἀεὶ, καθαίρε σεαυτὴν ἐν λόγῳ καὶ σοφίᾳ, ἵνα λαμπρὰ τῷ λαμπρῷ συζήσῃς τὸν αἰῶνα· κρείσσων γὰρ αὕτη πολλῷ τῆς φθαρτῆς συζυγίας, ἐν σώματι. τὰς νοερὰς δυνάμεις ἐμιμήσω, ἀγγελικὴν μετῆλθες ἐπὶ γῆς πολιτείαν, δεσμὸς ἐνταῦθα καὶ λύσις, καὶ σώματα ἐκ σωμάτων· ἄνω δὲ ἑστῶσα μονὰς, οὔποτε λυομένη, οἱ πρῶτοι φέρουσιν ἀκτῖνα τῆς καθαρᾶς τριάδος. πνεῦμα καὶ πῦρ λειτουργοὶ τῶν θεοῦ προσταγμάτων. ὕλη δὲ μίξιν ὑπήριον ἀεὶ ῥέουσα φύσις, ἣν μέτρον ὥρισε θεὸς, γάμον νομοθετήσας. σὺ δὲ θεῷ γονεῦσιν φυγοῦσα τοῖς ἄνω συνηρμόσθης. ὡς νοῦς ἁρμόζεται νῷ τὴν θείαν ἁρμονίαν, καὶ σαρκὶ πολεμοῦσα βοηθεῖς τῇ εἰκόνι. πνοὴ γὰρ ἔφυς θεοῦ, τῷ χείρονι συνδεθεῖσα, ὥστε ἐκ πάλης καὶ νίκης τὸ στέφος ἀπολαβεῖν, ἄνω θεῖσα τὸ χοῦν, καλῶς ὑποτάξασα τῷ πνεύματι. αἰνείσθω σοι καὶ γάμος. ἡ πρὸ γάμου ἀφθορία. γάμος συγγνώμη πάθους, ἁγνεία δὲ λαμπρότης. γάμος πατὴρ ἁγίων, ἁγνεία δὲ θυσία. τούτων καὶ τότε καιροῖς ἐτίμων τοῖς ὑστέροις, ἀδὰμ ἐν παραδείσῳ, μωσῆς νόμῳ προσάγων, ζαχαρίας ὁ πατὴρ τοῦ προδρόμου. γάμος καὶ παρθενία, ῥίζα τοῦ θεοῦ νύμφης, ἀλλ' ἔστιν ὅμως σαρκὸς καὶ βρασμάτων δουλεία, ὅτε ἦν νόμος καὶ σκιαὶ καὶ πρόσκαιροι λατρεῖαι, τότε εἶχε πρῶτα ὁ γάμος, ὡς ἔτι νηπιώδης. ὅτε δὲ ὑπεξῆλθε τὸ γράμμα, ἀντεισήχθη δὲ τὸ πνεῦμα, καὶ χριστὸς ἔπαθε σαρκὶ προελθὼν ἐκ παρθένου, τότε ἐξέλαμψεν ἁγνεία, συντέμνουσα τὸν κόσμον· ἐπειδὴ δεῖ μεταβῆναι χριστῷ συνανελθόντα. καλῶς ὁδεύεις παρθένε εἰς ὄρος, ἀποσώζου, μὴ πρὸς σόδομα βλέψῃς, μὴ στήλη ἁλὸς παγῇς, μήτε λίαν σε σαρκὸς ἐκφοβείτω φύσις, μήτε θαρρήσῃς ἄγαν, ὥστε ποτὲ ἐκλυθῆναι· ἀσινθὲς αὐάπτει καλάμην, σβεννύει δὲ ὕδωρ φλόγα. ἔχεις φάρμακα πολλὰ τῆς σεμνῆς παρθενίας. θεοῦ σε πόθος πηγνύτω, νηστεία σε κενούτω, ἀγρυπνία, προσευχὴ, δάκρυα, χαμευνία, ἔρως ὅλος πρὸς θεὸν γνησίως τεταμένος, πάντα κοιμίζων πάθος ἀλλότριον τῷ ἄνω· ὁ πίπτων ἐγειρέσθω, ὁ ναυαγῶν ἐλεείσθω, σὺ δ' οὖν πλοῖον τὸ ἴσον πεπίστευσαι τῆς ἐλπίδος, οὐ τῶν κάτω δ' ἐπίπνει, τῶν δὲ ἄνω φερομένων, ὀλίγοι περιορῶσιν, οἱ πλεῖστοι δὲ εὐδρομοῦσιν. ἔπεσεν ἑωσφόρος, ἀλλ' οὐρανὸς ἀγγέλων. ἰούδας ἦν προδότης, οἱ δὲ ἕνδεκα λαμπτῆρες. μόνον ὅλην σαυτὴν ἁγνὴν τήρει τῷ θεῷ, μήπως ἀπολέσῃς χριστοῦ τὸν ἄσπιλον χιτῶνα, ὄμμα σοι σωφρονείτω, γλῶσσα παρθενευέτω, μὴ νοῦς πέρνος, μὴ γέλως, μὴ παρὰ τὰ καθήκοντα βαίνων τὴν πιναρὰν στολὴν, καὶ τὴν αὐχμηρὰν κόμην. μᾶλλον αἰδοῦμαι μηδὲ γραφῶν, καὶ τῶν σηρικῶν εὐκοσμίας. καλὸν ἄνθος ἡ αἰδὼς, καὶ μέγας κόσμος ὠχρότης, καὶ πλέγμα καλὸν ἀρεταὶ, πάσαις σε στεφανοῦσαι. ἄλλος δὲ χρώμασιν εἰκόνα τὴν ἐκ θεοῦ νοθευέτω, πίναξ ἔμψυχος, αἰσχρὸς κατήγορος τοῦ ἔνδον. σὺ δὲ ἣν ἔχεις εὐμορφίαν, νεκρούσθω σοι τὸ πλεῖστον. κάλλος δὲ λάμπρυνε ψυχῆς ἐκ θεοῦ κοσμουμένης, ὄψιν δ' ἀρρένων φεῦγε, εἰ θέμις

καὶ σοφόνων, μή σε τῆς πλάκης ἡ πληγὴ ἐκ μέσου τῆς βελίου. ὄμμα δ' ὄμμασι μὴ δίδου, μὴ πλέκε λόγῳ λόγον, μὴ [illegible] διδότω παῤῥησίαν, μηδ' οἷ σοι καὶ τῇ γεύσει ξύλον τοῦ κατακρίτου. μή σε τοῦ ξύλου τῆς ζωῆς ὁ ὄφις ἔξω βάλῃ, καὶ τοῦ τρυφῆς πεδίου τοῦ θείου, μὴ συνοικοῦσα, προστάτην χριστὸν ἔχουσα νυμφίον, ζήλωσον τὴν ἁγνείαν. τί μοι σάρκας φυσῶσα, πρὸς σάρκας ἀποστρέφεις; οὐ πάντων τὴν σὴν λαμπρότητα χωροῦσι, ὡς ῥόδον ἐν ἀκάνθαις, οὕτως ἐν πολλοῖς στρέφῃ, καὶ πονηρῶν ἐπαίνων παγίδων διαβαίνεις. ὁ μὲν γὰρ ἐγείρει παστάδας, ἡ δ' ἐκκομίζει νυμφίον. ἄλλος γίνεται πατήρ, ἄλλος ἄπαις ἀθρόως, ὅθεν καὶ κενὸν ὠδίνας ἀτέλεστα πολλάκις, ὅθεν ζῆλος σύζυγοι κλαπῆναί τι φιλία. ἐκθρέψαι δὲ καὶ παιδεῦσαι, ἔπειτα ἀπημαθῆναι, καὶ πικρὰς ἀπολαβεῖν τῶν πόνων αἱ ἀποδόσεις. σοὶ δὲ μέριμνα μία, πρὸς θεὸν ἀεὶ βλέπειν. ἡ χρεία δ' ἴσα, ὀλίγη μάζα καὶ μικρὰ σκέπη, ἀφ' ἧς πεῖραν καὶ χριστῷ προσάγει ὁ πειράζων. λίθους αἰτεῖν εἰς ἄρτους πεινῶντι μεταστρέψαι, ὧν μή ποτε ἕνεκα μηδ' οἵ τι τὴν αἰσχρὰν ὑπομένεις, οὐκ ἐκλείψει σοι καψάκης ἐλαίου πτωχευούσῃ. κόραξ σε θρέψει καθάπερ ἠλίαν ἐν δρύμῳ. οἶδας θῆκλαν ἐκ πυρὸς καὶ θηρίων φυγοῦσαν, παῦλον πεινῶντα τὸν μέγαν, ἐργοῦντα προθύμως, ἵνα σὺ μάθῃς παρθένε, πρὸς θεὸν μόνον βλέπειν, ὃς ἐν δρύμῳ τρέφει οἶδα καὶ μυριάδας. μαραίνεται τὸ κάλλος, ἡ δόξα παραλείχει, ὁ πλοῦτος ἄπιστον ῥεῦμα, τὸ δὲ ναοῦ δὲ ὀλίγον. σὺ δὲ τοῦ ταπεινοῦ κόσμου τὰς στροφὰς ἐκφυγοῦσα, εἴσελθε εἰς τὰ ἅγια τῶν ἁγίων γελῶσα, καὶ σὺν ἀγγέλοις χορεύσεις, τὴν ἄπαυστον χορείαν. κρείσσονα τόπον λαχοῦσα, υἱῶν καὶ θυγατέρων. ἀλλ' ὦ παρθένοι, χριστὸν μένουσαι γρηγορεῖτε, καὶ φαιδραῖς τὸν νυμφίον δέξασθε ταῖς λαμπάσιν, ἵνα συνεισέλθητε εἰς κάλλος τοῦ νυμφῶνος ἔνδον, καὶ μιγῆτε τοῖς αὐτῷ μυστηρίοις.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ, ΟΤΕ ΕΤΕλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, καὶ τὰ ἑξῆς.

Τοὺς ἁλιέας προσλαβόμενος Ἰησοῦς, καὶ αὐτὸς σαγηνεύει, καὶ τόπον ἐκ τόπου ἀμείβει. τίνος ἕνεκεν; οὐ μόνον ἵνα κερδαίνῃ πλείονας τῇ φιλοθέῳ τῆς ἐπιφοιτήσεως. ἀλλ' ἐμοὶ δοκεῖ, καὶ τόπους ἁγιάσῃ πλείονας. γίνεται τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδαίνῃ· τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ· τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς σώσῃ. γίνεται τὰ πάντα πᾶσιν, ἵνα τοὺς πάντας κερδαίνῃ. τί δὲ λέγω τοῖς πᾶσι τὰ πάντα, ὃ μηδὲ παῦλος περὶ αὐτοῦ ἰσχύσειεν εἰπεῖν, τοῦτο εὑρίσκω, τὸν σωτῆρα πάσχοντα. οὐ γὰρ Ἰουδαῖος γίνεται μόνον, οὐδ' ὅσα τῶν ἀτόπων τε καὶ μοχθηρῶν ὀνομάτων εἰς ἑαυτὸν ἀναδέχεται, ἀλλὰ καὶ ὃ τούτων πάντων ἀτοπώτερον, καὶ αὐτοαμαρτία καὶ αὐτοκατάρα, οὐκ ἔστι μὲν, ἀκούει δέ. πῶς γὰρ ἁμαρτία, ὁ καὶ ἡμᾶς τῆς ἁμαρτίας ἐλευθερῶν; πῶς δὲ κατάρα, ὁ ἐξαγοράζων ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου. ἀλλ' ἵνα καὶ μέχρι τούτου τὸ ταπεινὸν ἐπιδείξηται, τυπῶν ἡμᾶς εἰς ταπείνωσιν τὴν ὕψους πρόξενον. ὅπερ οὖν εἶπον, ἁλιεὺς γίνεται, πᾶσι συγκαταβαίνει, σαγηνεύει, πάντα στέγει, ἵν' ἐκ βάθους τὸν ἰχθὺν ἀνενέγκῃ τὸν νηχόμενον ἐν τοῖς ἀστάτοις, καὶ ἁλμυροῖς τοῦ βίου κύμασι τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ νῦν ὅτε ἐτέλεσε τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. γαλιλαίας ἐπιδημεῖ, καλῶς, ἵνα ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἴδῃ φῶς μέγα. εἰς τὴν Ἰουδαίαν μεθίσταται, ἵνα πείσῃ τοὺς γράμματος ἐξαναστάντας, ἀκολουθῆσαι τῷ πνεύματι. νῦν μὲν ἐπ' ὄρους διδάσκει, νῦν δὲ ἐν πεδίοις διαλέγεται, νῦν δὲ εἰς πλοῖον μεταβαίνει, νῦν δὲ ἐπιτιμᾷ ζάλαις. τάχα καὶ ὕπνου δέχεται, ἵνα καὶ ὕπνον εὐλογήσῃ. τάχα καὶ κοπιᾷ, ἵνα καὶ τὸν κόπον ἁγιάσῃ. τάχα καὶ δακρύει, ἵνα τὸ δάκρυον ἐπαινετὸν ἀπεργάσηται. μεταβαίνει τόπον ἐκ τόπων ὁ μηδενὶ τόπῳ χωρούμενος, ὁ ἄχρονος, ὁ ἀσώματος, ὁ ἀπερίληπτος, ὁ αὐτὸς ὢν καὶ γίνεται, ὁ ὑπὲρ χρόνον ὢν, ὁ ὑπὸ χρόνον ἔρχεται, καὶ ἀόρατος ὢν ὁρᾶται. ἐν ἀρχῇ ἦν, καὶ πρὸς τὸν θεὸν ἦν, καὶ θεὸς ἦν, τρίτον τὸ ἦν τῷ ἀριθμῷ βεβαιούμενον, ὃ ἦν ἐκένωσε, καὶ ὃ μὴ ἦν προσέλαβεν· οὐ δύο γενόμενος, ἀλλ' ἓν ἐκ τῶν δύο γενέσθαι ἀνασχόμενος. θεὸς γὰρ ἀμφότερα, τό τε προσλαβὸν καὶ τὸ προσληφθέν, δύο φύσεις εἰς ἓν συνδραμοῦσαι, οὐχ υἱοὶ δύο. μὴ καταψευδέσθω ἡ σύγκρασις. οὗτος ὁ τηλικοῦτος, ὁ τοσοῦτος. ἀλλὰ τί πέπονθα, πάλαι ἐμπίπτω εἰς ἀνθρώπινα ῥήματα. πῶς εἴπω τὸ ἁπλοῦν τοσοῦτον; πῶς δὲ τὸ ἄποσον τηλικοῦτον. ἀλλὰ δότε συγγνώμην τῷ λόγῳ, ὀργάνῳ βραχεῖ, περὶ τῶν μεγίστων φθέγγομαι, καὶ τοῦτο οἴσει ὁ πολὺς, ὁ μακρόθυμος, ἡ ἀνείδεος φύσις καὶ ἀσώματος, τοὺς ὡς περὶ σώματος, καὶ τῆς ἀληθείας ἀσθενεστέρους. εἰ γοῦν σάρκα ἐδέξατο, καὶ ἐν τοιοῦτον φέρεται λόγον, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ, οὗ δὴ πλείων ἡ ἐρημία, εἰ μὴ τῆς ἰδίας ἕνεκεν περιωπῆς, εἰ μὴ συγκατέβη τῇ ἀσθενείᾳ, εἰ ὅπερ ἦν ἔμενεν ἀπρόσιτον ἑαυτὸν φυλάττων καὶ ἀπερίληπτον. ὀλίγοι ἂν ἠκολούθησαν τυχὸν, οὐκ οἶδα δὲ εἰ καὶ ὀλίγοι, τάχα μόνος μωυσῆς, καὶ οὗτος τοσοῦτον, ὥστε μόλις ἰδεῖν θεοῦ τὰ ὀπίσθια. τὴν μὲν γὰρ νεφέλην διέσχεν, ἔξω τοῦ σωματικοῦ βάρους γενόμενος, ἢ συσταλεὶς ἀπὸ τῶν αἰσθήσεων, ὑπὸ δὲ λεπτότητα ἢ ἀσωματότητα, ἢ οὐκ οἶδα πῶς ἄν τις ὀνομάσειε;

σεις; πῶς αὐτὸ ἐθεάσατο, σῶμά τε ὤν, καὶ αἰσθητοῖς ὀφθαλμοῖς προσβάλλων. ἀλλ' ἐπειδὴ κατὰ τοῦτο δι' ὑμᾶς, ἐπειδὴ κατὰ Χριστόν. κένωσιν δὲ λέγω τῆς δόξης, διὸ ὕφεσίν τε καὶ ἐλάττωσιν, διὰ τοῦτο χωρητὸς γίνεται. δότε δέ μοι συγγνώμην μεταξὺ καὶ πάθος τι ἀνθρώπινον πάλιν πάσχοντι. θυμοῦ πληροῦμαι καὶ λύπης ὑπὲρ ἐμοῦ Χριστοῦ. συμπάσχοιτε δὲ καὶ ὑμεῖς, ὅταν ἴδω διὰ τῶν ἀτιμαζόμενόν μου τὸν Χριστόν, δι' ὃ μάλιστα τιμᾶσθαι δίκαιος ἦν. διὰ τοῦτο τί; ἄτιμος ἐστί μοι, ὅτι δι' ἐμὲ ταπεινός; διὰ τοῦτο κτίσμα, ὅτι τοῦ κτίσματος κύριος; διὰ τοῦτο ὑπὸ χρόνον, ὅτι τὸν ὑπὸ χρόνον ἀνέστησε πάλιν, πάντα φέρει, πάντα διέχει. καὶ τὸ θαυμαστόν, ῥαπίσματα ἤνεγκεν, ἐμπτύσματα ἠνέσχετο, χολῆς ἐγεύσατο διὰ τὴν ἐμὴν γεῦσιν. φέρει καὶ νῦν λιθαζόμενος, οὐ μόνον ὑπὸ τῶν ἐπηρεαζόντων, ἀλλὰ καὶ ὑφ' ἡμῶν αὐτῶν τῶν εὐσεβεῖν δοκούντων. τὸ γὰρ τῶν ἀσωμάτων διαλεγομένους σωματικοῖς κεχρῆσθαι ὀνόμασι, τυχὸν ἐπηρεαζόντων, τυχὸν λιθαζόντων. ἀλλὰ συγγνώμη πάλιν λέγω τῇ ἀσθενείᾳ. λιθάζομεν γὰρ οὐχ ἑκόντες, ἀλλὰ τὸ φθέγγεσθαι ἄλλως οὐκ ἔχοντες, οἷς δὲ ἔχομεν, χρώμενοι. λόγος ἀκούεις, καὶ ὑπὲρ λόγον εἶ· ὑπὲρ φῶς εἶ, καὶ φῶς ὀνομάζῃ. πῦρ ἀκούεις, οὐκ αἰσθητὸς ὤν, ἀλλ' ὅτι τῆς κούφης καὶ μοχθηρᾶς ἀνακαθαίρεις ὕλην. μάχαιρα, ὅτι τέμνεις τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος. πτύον, ὅτι ἀνακαθαίρεις τὴν ἅλω, καὶ ὅσον κοῦφόν τε καὶ ἀνεμιαῖον ἀποπεμπόμενος, ὅσον βαρὺ καὶ εἰς τὰς ἀποθήκας τὰς ἄνω ἀνατίθεσαι. ἀξίνη, ὅτι τὴν ἄκαρπον ἐκκόπτεις συκῆν μετὰ πολὺ μακροθυμήσας, ὅτι τὰς ῥίζας ἐκτέμνεις τῆς πονηρίας. θύρα, διὰ τῆς εἰσαγωγῆς ὁδός, ὅτι δι' αὐτοῦ προσήχθημεν. πρόβατον, ὅτι θῦμα· ἀρχιερεύς, ὅτι προσφέρεις τὸ σῶμα. υἱός, ὅτι πατρός. πάλιν κινῶ τὰς γλώσσας, πάλιν κατὰ Χριστοῦ τινὲς μαίνονται. μᾶλλον δὲ κατ' ἐμοῦ, ὃς ἠξιώθην τοῦ λόγου γενέσθαι κῆρυξ, ὡς Ἰωάννης γίνομαι φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἐρήμῳ ποτὲ καὶ ἀνύδρῳ, νῦν δὲ καὶ λίαν οἰκουμένῃ. πλὴν ὅπερ ἔλεγον, ἵνα πρὸς τὸν ἐμὸν ἀναδράμω λόγον. διὰ τοῦτο ἠκολούθουν αὐτῷ ὄχλοι πολλοί, ὅτι ταῖς ἀσθενείαις συγκατέβαινε ταῖς ἡμετέραις. εἶτα τί; προσῆλθον αὐτῷ, φησίν, οἱ Φαρισαῖοι, πειράζοντες αὐτὸν καὶ λέγοντες, εἰ ἔξεστιν ἀνθρώπῳ κατὰ πᾶσαν αἰτίαν ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ. πάλιν Φαρισαῖοι πειράζουσι, πάλιν οἱ τὸν νόμον ἀναγινώσκοντες, τὸν νόμον οὐ γινώσκουσι· πάλιν οἱ ἐξηγηταὶ τοῦ νόμου τυγχάνοντες, ἄλλων διδασκάλων δέονται. οὐκ ἤρκει Σαδδουκαῖοι πειράζοντες περὶ ἀναστάσεως, καὶ νομικοὶ πυνθανόμενοι περὶ τελειότητος, καὶ Ἡρωδιανοὶ περὶ κήνσου, καὶ περὶ ἐξουσίας ἕτεροι, ἀλλὰ καὶ περὶ γάμου τις πάλιν ἐρωτᾷ τὸν ἀπείραστον, τὸν κτίστην τῆς συζυγίας, τὸν ἐκ τῆς πρώτης αἰτίας τὸ πᾶν τῶν ἀνθρώπων γένος τοῦτο συστησάμενον. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; οἶδεν ἐνίας μὲν τῶν ἐρωτήσεων διαλύειν, τινὰς δὲ ἐπιστομίζειν, ὅτε ἐρωτᾶται ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, διὰ τὸ ἄγαν ἀπαίδευτον τῶν ἐρωτησάντων. καὶ αὐτὸς ἀντερωτᾷ, τὸ βάπτισμα τὸ Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; καὶ ἀμφοτέρωθεν συμποδίζει τοὺς ἐρωτῶντας, ὥστε δυνάμεθα καὶ ἡμεῖς μιμούμενοι Χριστὸν ἔστιν ὅτε τοὺς περιέργους ἡμῖν διαλεγομένους ἐπιστομίζειν, καὶ ἀτοπωτέροις ἀντερωτήμασι λύειν τῆς ἀτοπίας τῶν ἐρωτήσεων. ἐσμὲν γὰρ καὶ ἡμεῖς σοφοὶ τὰ μάταια, ἔστιν ὅτε ἵνα τὰ τῆς ἀφροσύνης καυχήσωμαι. ὅτε δὲ ἐρώτησιν ὁρῶ λογισμοῦ δεομένην, τότε οὐκ ἀπαξιοῖ τοὺς ἐρωτῶντας συνετῆς ἀποκρίσεως. τὸ ἐρώτημα ὃ ἐρωτήσας, τοῦτο σωφροσύνην τιμᾶν μοι δοκεῖ, καὶ ἀπόκρισιν ἀπαιτεῖ φιλάνθρωπον. σωφροσύνην, περὶ ἣν ὁρῶ τοὺς πολλοὺς κακῶς διακειμένους, καὶ τὸν νόμον αὐτῶν ἄνισον καὶ ἀνώμαλον. τί δήποτε γὰρ τὸ μὲν θῆλυ ἐκόλασε, τὸ δὲ ἄρρεν ἐπέτρεψε, καὶ γυνὴ μὲν κακῶς βουλευσαμένη περὶ κοίτης ἀνδρὸς μοιχᾶται, καὶ πικρὰ ἐντεῦθεν τὰ τῶν νόμων ἐπιτίμια· ἀνὴρ δὲ καταπορνεύων γυναικὸς ἀνεύθυνος. οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. ἄνδρες ἦσαν οἱ νομοθετοῦντες, διὰ τοῦτο κατὰ γυναικῶν ἡ νομοθεσία, ἐπεὶ καὶ τοῖς πατράσιν ὑπεξουσίαν δεδώκασι τὰ τέκνα. τὸ δὲ ἀσθενέστερον, ἀθεράπευτον εἴασεν. θεὸς δὲ οὐχ οὕτως, ἀλλὰ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἥτις ἐστὶν ἐντολὴ πρώτη, ἵνα εὖ σοι γένηται. καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὁμοίως καὶ τὸ ἀγαθὸν ἐτίμησε, καὶ τὸ κακὸν ἐκόλασε. καὶ εὐλογία πατρός, στηρίζει οἴκους τέκνων. κατάρα δὲ μητρός, ἐκριζοῖ θεμέλια. καὶ ὅρα τὸ ἴσον τῆς νομοθεσίας. εἷς ποιητὴς ἀνδρὸς καὶ γυναικός, εἷς χοῦς ἀμφότεροι, εἰκὼν μία, νόμος εἷς, θάνατος εἷς, ἀνάστασις μία. ὁμοίως ἐξ ἀνδρὸς καὶ γυναικὸς γεγόναμεν, ἓν χρέος παρὰ τῶν τέκνων τοῖς γονεῦσιν ὀφείλεται. πῶς οὖν σὺ σωφροσύνην μὲν ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; πῶς ὃ μὴ δίδως αἰτεῖς; πῶς ὁμότιμον σῶμα ὤν, ἀνίσως νομοθετεῖς; εἰ δὲ τὸ χεῖρον σκοπεῖς, ἥμαρτεν ἡ γυνή, τοῦτο καὶ ὁ Ἀδάμ. ἀμφοτέρους ὁ ὄφις ἠπάτησεν, οὐ τὸ μὲν ἀσθενέστερον εὑρέθη, τὸ δὲ ἰσχυρότερον, ἀλλὰ τὰ βελτίω λογίζῃ. ἀμφοτέρους σώζει Χριστὸς τοῖς πάθεσιν. ὑπὲρ ἀνδρὸς σὰρξ ἐγένετο; τοῦτο καὶ ὑπὲρ γυναικός. ὑπὲρ ἀνδρὸς ἀπέθανε; καὶ ἡ γυνὴ διὰ θανάτου σώζεται, ἐκ σπέρματος Δαβὶδ ὀνομάζεται. τιμᾶσθαι ἴσως οἴει τὸν ἄνδρα, ἀλλ' ἐκ παρθένου γεννᾶται, τοῦτο καὶ ὑπὲρ γυναικῶν. ἔσονται μὲν οὖν οἱ δύο, φησίν, εἰς σάρκα μίαν, καὶ ἡ μία σὰρξ ἐχέτω τὸ ὁμότιμον. Παῦλος δὲ καὶ

τῷ ὑπὸ ζεύγματι τὴν σωφροσύνην νομοθετεῖ. πῶς καὶ τίνα τρόπον; τὸ μυστήριον τοῦτο μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς χριστὸν καὶ τὴν ἐκκλησίαν, καλὸν τῇ γυναικὶ χριστὸν αἰδεῖσθαι διὰ τοῦ ἀνδρός, καλὸν καὶ τῷ ἀνδρὶ τὴν ἐκκλησίαν μὴ ἀτιμάζειν διὰ τῆς γυναικός. ἡ γυνή, φησιν, ἵνα φοβῆται τὸν ἄνδρα, καὶ χριστὸν γάρ. ἀλλὰ καὶ ὁ ἀνήρ, ἵνα θάλπῃ τὴν γυναῖκα· καὶ γὰρ χριστὸς τὴν ἐκκλησίαν. μᾶλλον δ' ἔτι καὶ προσφιλοπονήσωμεν τῷ ῥητῷ. ἄμελγε γάλα, καὶ ἔσται βούτυρον. ἐξέταζε, καὶ τυχὸν ἂν εὕροις τι ἐν αὐτῷ τροφιμώτερον. δοκεῖ μοι παραιτεῖσθαι τὴν διγαμίαν ἐνταῦθα ὁ λόγος. εἰ μὲν γὰρ δύο χριστοί, δύο καὶ ἄνδρες, δύο καὶ γυναῖκες· εἰ δὲ εἷς χριστός, μία κεφαλὴ τῆς ἐκκλησίας, καὶ μία σάρξ. ἡ δευτέρα δὲ ἀπαρνείσθω. εἰ δ' ἑτέρους δὲ αὖ κωλύσει, τῆς τρίτης τίς λόγος; τὸ πρῶτον νόμος, τὸ δεύτερον συγχώρησις, τὸ τρίτον παρανομία. ὁ δὲ ὑπὲρ τοῦτο χοιρώδης, οἷος οὐδὲ πολλὰ ἔχων τῆς κακίας τὰ παραδείγματα. ὁ μὲν νόμος κατὰ πᾶσαν αἰτίαν τὸ ἀποστάσιον δίδωσι. χριστὸς δὲ οὐ κατὰ πᾶσαν αἰτίαν, ἀλλὰ συγχωρεῖ μὲν μόνον χωρίζεσθαι τῆς πόρνης, τὰ δὲ ἄλλα πάντα φιλοσοφεῖν κελεύει, καὶ τὴν πόρνην, ὅτι νοθεύει τὸ γένος. τὰ δ' ἄλλα καρτερῶμεν καὶ φιλοσοφῶμεν. μᾶλλον δὲ καρτερεῖτε καὶ φιλοσοφεῖτε, ὅσοι τοῦ γάμου ζυγὸν ἐδέξασθε. ἐὰν ἀρχιγραφὰς ἴδῃς ἢ ὑπογραφὰς ἀπρεπεστέρας καὶ γλώσσας προπετεῖς, σοβαρὸν ἀεὶ γέλωτα πορνικόν, κατηφῆ πλάσιν· ἐὰν δὲ σπατάλην ἢ τὸ πότον ἄμετρον, σύστελλον. ἐὰν δὲ προόδους ἀκαίρους, πέδησον. ἐὰν ὀφθαλμὸν μετέωρον, κόλασον. μὴ τέμῃς δὲ προπετῶς, μὴ χωρίσῃς. ἄδηλον τί κινδυνεύει τὸ τέμνον, ἢ τὸ τεμνόμενον. ἡ πηγή, φησι, τοῦ ὕδατός σου ἔστω σοι ἰδία, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. καὶ πῶλος σῶν χαρίτων, καὶ ἔλαφος σῆς φιλίας, ὁμιλείτω σοι. σὺ τοίνυν μὴ γίνου ποταμὸς ἀλλότριος, μηδὲ ἄλλοις ἀρέσκειν σπούδαζε μᾶλλον, ἢ τῇ σῇ γυναικί. εἰ δὲ ἀλλαχοῦ φέρῃ, καὶ τὸν σὸν μέλει νομοθετεῖς τὴν ἀσέλγειαν. οὕτω μὲν ὁ σωτήρ. τί δὲ οἱ φαρισαῖοι; τραχὺς τούτοις ὁ λόγος φαίνεται. καὶ γὰρ τὰ ἄλλα τῶν καλῶς ἐχόντων ἀπιστεῖ καὶ τοῖς τότε φαρισαίοις καὶ τοῖς νῦν. φαρισαῖον γάρ, οὐ τὸ γένος μόνον, ἀλλὰ καὶ ὁ τρόπος ἐργάζεται. οὕτω καὶ ἀσσύριον οἶδα, καὶ αἰγύπτιον, τὸν τῇ προαιρέσει μετὰ τούτων ταττόμενον. τί οὖν οἱ φαρισαῖοι; εἰ οὕτω, φασὶν, ἐστὶν ἡ αἰτία μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. νῦν δὲ τοῦτο καταμανθάνεις ὦ φαρισαῖε, ὅτι οὐ συμφέρει γαμῆσαι. πρότερον δὲ οὐκ ἠπίστω, ἡνίκα τὰς χηρείας ἑώρας, καὶ τὰς ὀρφανίας, καὶ τοὺς ἀώρους θανάτους, καὶ τὰ διάδοχα τῆς κρότης πένθη, καὶ τοὺς ἐπὶ τοῖς θαλάμοις τάφους, καὶ τὰς ἀτεκνίας, καὶ τὰς κακοτεκνίας, καὶ τοὺς ἀτελεῖς τόκους καὶ ἀμήτορας, καὶ πᾶσαν τὴν περὶ ταῦτα κωμῳδίαν ἢ τραγῳδίαν. ἀμφότερα γὰρ εἰπεῖν οἰκειότατον. συμφέρει γαμῆσαι, κἀγὼ δέχομαι. τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. συμφέρει δὲ τοῖς μετρίοις, οὐ τοῖς ἀπλήστοις. καὶ πλέον ἢ δεῖ τῆς σαρκὸς τιμᾶν βουλομένοις, ὅταν τοῦτο μόνον ὁ γάμος ᾖ, γάμος καὶ συζυγία, καὶ παίδων διαδοχῆς ἐπιθυμία, καλὸν ὁ γάμος. πλείονας γὰρ εἰσάγει τοὺς εὐαρεστοῦντας θεῷ. ὅταν δὲ ὕλην ἐξάπτῃ, καὶ ταῖς ἀκάνθαις περιβάλλῃ, καὶ τῆς κακίας ὁδὸς γένηται, τότε κἀγὼ φθέγγομαι, οὐ συμφέρει γαμῆσαι. καλὸν ὁ γάμος, ἀλλ' οὐκ ἔχω λέγειν ὅτι καὶ ὑψηλότερον παρθενίας. οὐδὲ γὰρ ἂν ἦν τι μέγα ἡ παρθενία, μὴ καλοῦ καλλίων τυγχάνουσα. μὴ δὴ χαλεπαίνετε ὅσαι ὑπὸ ζυγόν, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις, ἀλλ' ἀλλήλαις συνδεσμεῖσθε καὶ παρθένοι καὶ γυναῖκες, καὶ ἓν ἐστὲ ἐν κυρίῳ καὶ ἀλλήλων καλλώπισμα. οὐκ ἂν ἦν ἄγαμος, εἰ μὴ γάμος. πόθεν γὰρ εἰς τοῦτον παρῆλθε τὸν βίον ὁ παρθένος. οὐκ ἂν ἦν γάμος σεμνός, μὴ παρθένον καρποφορῶν τῷ θεῷ καὶ τῷ βίῳ. τίμησον καὶ σὺ τὴν μητέρα τὴν σήν, ἐξ ἧς γέγονας. τίμησον καὶ σὺ τὴν ἐκ μητρὸς καὶ μητέρα, μήτηρ δὲ οὐκ ἔστι. χριστοῦ δὲ νύμφη ἐστί, τὸ δὲ φαινόμενον κάλλος οὐ κρύπτεται, τὸ δὲ ἀφανὲς θεῷ βλέπεται. πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη, εἴτ' οὖν πράξεσιν, εἴτε καὶ θεωρήμασι. καὶ ἡ ὑπὸ ζυγὸν ἔστω τι χριστοῦ. καὶ ἡ παρθένος ὅλη χριστοῦ. ἡ μὲν μὴ παντελῶς ἐνδεσμείσθω κόσμῳ, ἡ δὲ μηδ' ὅλως γινέσθω τοῦ κόσμου. ὃ γάρ ἐστι τῇ ὑπὸ ζυγὸν τὸ μέρος, τοῦτο παντελὲς τῇ παρθένῳ. ἀγγέλων ἐπανῄρησαι πολιτείαν, μετὰ τῶν ἀζύγων ἐτάχθης, μὴ ναυαγήσῃς εἰς σάρκα, μὴ κατενεχθῇς εἰς ὕλην, μὴ τῇ ὕλῃ γαμηθῇς, κἂν ἄλλως ἄγαμος μένῃς. ὀφθαλμὸς πορνεύων οὐ φυλάσσει τὴν παρθενίαν. γλῶττα πορνεύουσα, τῷ πονηρῷ μίγνυται. πόδες ἄτακτα βαίνοντες, ἐγκαλοῦσι νόσον, ἢ κινοῦσι νόσον. παρθενευέτω καὶ ἡ διάνοια. μὴ ῥεμβέσθω, μὴ πλανάσθω, μὴ τύπους ἐν αὐτῇ φερέτω πονηρῶν πραγμάτων, καὶ ὁ τύπος μέρος πορνείας ἐστί. μὴ εἴδωλα ποιείτω τῇ ψυχῇ τὰ μισούμενα. ὁ δὲ εἶπεν αὐτοῖς, οὐ πάντες χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται. ὁρᾶτε τοῦ πράγματος τὸ ὑψηλόν; μικροῦ καὶ ἀχώρητον εὑρίσκεται. πῶς γὰρ οὐ κρεῖττον σαρκός, τὸ ἐκ σαρκὸς γεννώμενον, μὴ γεννᾶν εἰς σάρκα; πῶς γὰρ οὐκ ἀγγελικὸν τὸ σαρκὶ συνδεδεμένην, μὴ κατὰ σάρκα ζῆν, ἀλλ' εἶναι τῆς φύσεως ὑψηλοτέραν. ἡ σὰρξ πρὸς κόσμον προσέδησεν, ἀλλ' ὁ λογισμὸς πρὸς θεὸν ἀνήγαγεν. ἡ σὰρξ ἐβάρησεν, ἀλλ' ὁ λογισμὸς ἐπτέρωσεν. ἡ σὰρξ ἔδησεν, ἀλλ' ὁ πόθος ἔλυσεν. ὅλη τέτασο πρὸς θεὸν ὦ παρθένε τῇ ψυχῇ. τοῦτο γὰρ

αὐτὸ

αὐτὸ καὶ ὁράσει νομοθετῶ καὶ γυναιξί. καὶ μή τί σοι φανῇ τῶν ἄλλων καλῶν, ὅσα τοῖς πολλοῖς, οὐ γένος, οὐ πλοῦτος, οὐ θρόνος, οὐ δυναστεία, οὐδ' ἡ ἐν εὐχροίᾳ καὶ συνθέσει μελῶν φαινόμενον κάλλος, χρόνου καὶ νόσου παίγνιον. εἰ δὲ ὅλην ἐκοίνωσας πρὸς θεὸν τοῦ φίλτρου τὴν δύναμιν, εἰ μὴ δύο σοι εἴη τὰ ποθούμενα, καὶ τὸ ῥέον καὶ τὸ μένον καὶ τὸ ὁρώμενον, καὶ τὸ ἀόρατον. ἆρα ἐστὶ τοσοῦτον ἐτρώθης τῷ ἐκλεκτῷ βέλει, καὶ τοῦ νυμφίου τὸ κάλλος κατέμαθες, ὥστε καὶ δύνασθαι λέγειν ἐκ τοῦ νυμφικοῦ δράματός τε καὶ ᾄσματος, ὅτι γλυκασμὸς εἶ καὶ ὅλος ἐπιθυμία. ὁρᾶτε τὰ ἐμπεριλαμβανόμενα τοῖς μολιβδίνοις ὀχετοῖς ῥεύματα, ὅτι τῷ λίαν στενοχωρεῖσθαι, καὶ πρὸς ἓν φέρεσθαι, τοσοῦτον ἐκβαίνει τὴν ὕδατος πολλάκις φύσιν, ὥστε καὶ πρὸς τὸ ἄνω χωρεῖν ἀεὶ τὸ κάτωθεν ὠθούμενον. οὕτως ἐὰν σφίγξῃς τὸν πόθον καὶ ὅλη θεῷ συναφθῇς, ἄνω χωρήσεις, οὐ μὴ κάτω πέσῃς, οὐ μὴ διαχυθῇς. ὅλη Χριστοῦ μενεῖς, μέχρις ἂν καὶ Χριστὸν ἴδῃς τὸν σὸν νυμφίον. ἀπρόσιτον ἑαυτὴν φύλαττε, καὶ λόγῳ, καὶ ἔργῳ, καὶ βίῳ, καὶ διανοήματι, καὶ κινήματι. πανταχόθεν ὁ πονηρὸς περιεργάζεταί σε, πάντα κατασκοπεῖ, ποῦ βάλῃ, ποῦ τρώσῃ, μή τι τῶν γυμνουμένων εὕρῃ καὶ πρὸς πληγὴν ἕτοιμον. ὅσῳ καθαρωτέραν ὁρᾷ, τοσούτῳ μᾶλλον ἀπιλῶσαι φιλονεικεῖ. ἐπεὶ καὶ ἐσθῆτος λαμπρᾶς οἱ σπῖλοι περιφανέστεροι, μὴ ὀφθαλμὸς ὀφθαλμὸν ἑλκέτω, μὴ γέλως γέλωτα, μὴ συνήθεια νύκτα, μὴ νὺξ ἀπώλειαν. τὸ γὰρ κατὰ μέρος ὑφελκόμενον καὶ βλεπόμενον, ἀναίσθητον μὲν τῇ πρὸς τὸ παρὸν ἔχει βλάβην, εἰς τὸ κεφάλαιον δὲ τῆς κακίας ἀπαρτίζεται. οὐ πάντες, φησί, χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. τὸ δέδοται, ὅταν ἀκούσῃς, μηδὲ αἱρετικὸν πάθῃς, μὴ τὰς φύσεις εἰσαγάγῃς, μὴ τοὺς χοϊκοὺς καὶ πνευματικοὺς μέσους. εἰσὶ γὰρ οὕτω τινὲς διακείμενοι κακῶς, ὥστε οἴεσθαι, τοὺς μὲν παντάπασιν ἀπολλυμένης εἶναι φύσεως, τοὺς δὲ σωζομένης· τοὺς δὲ οὕτως ἔχειν, ὅπως ἂν ἡ προαίρεσις ἄγῃ πρὸς τὸ χεῖρον ἢ βέλτιον. ἐπιτηδειότητα μὲν γὰρ ἄλλον ἄλλου μᾶλλον ἢ ἔλαττον ἔχειν, κἀγὼ δέχομαι, οὐκ ἀρκεῖν δὲ μόνην τὴν ἐπιτηδειότητα πρὸς τελείωσιν, λογισμὸν δὲ εἶναι τὸν ταύτην ἐκκαλούμενον, ἵνα ἡ φύσις εἰς ἔργον προέλθῃ, καθάπερ λίθος πυρίτης σιδήρῳ κρουσθείς, καὶ οὕτω σίδηρος γένηται. ὅταν ἀκούσῃς οἷς δέδοται, πρόσθες, δέδοται μὲν τοῖς καλουμένοις καὶ τοῖς οὕτω νεύουσι. καὶ γὰρ ὅταν ἀκούσῃς, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ, συμβουλεύω σοι ταυτὸν ὑπολαβεῖν. ἐπειδὴ γάρ εἰσί τινες οἱ τοσοῦτοι μεγαλοφρονοῦντες τοῖς κατορθώμασιν, ὥστε τὸ πᾶν ἑαυτοῖς διδόναι, καὶ μηδὲν τῷ ποιήσαντι καὶ σοφίσαντι, καὶ χορηγῷ τῶν καλῶν, διδάσκει τούτους ὁ λόγος, ὅτι καὶ τὸ βούλεσθαι καλῶς, δεῖται τῆς παρὰ θεοῦ βοηθείας. μᾶλλον δὲ αὐτὸ τὸ προαιρεῖσθαι τὰ δέοντα, θεῖόν τι καὶ ἐκ θεοῦ δῶρον φιλανθρωπίας. δεῖ γὰρ καὶ τὸ ἐφ' ἡμῖν εἶναι, καὶ τὸ ἐκ θεοῦ σώζεσθαι. διὰ τοῦτο, φησίν, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος μόνον, ἀλλὰ καὶ τοῦ ἐλεοῦντος θεοῦ. εἶτα ἐπειδὴ καὶ τὸ βούλεσθαι παρὰ θεοῦ, τὸ πᾶν εἰκότως ἀνέθηκε τῷ θεῷ. ὅσον ἂν δράμῃς, ὅσον ἂν ἀγωνίσῃ, χρῄζεις τοῦ διδόντος τὸν στέφανον. ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν. οἶδα, φησίν, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος, οὐδὲ τῶν μαχομένων ἡ νίκη, οὔτε τῶν εὐπλοούντων οἱ λιμένες, ἀλλὰ θεοῦ, καὶ νίκην ἀπεργάσασθαι, καὶ εἰς λιμένας ἀποσῶσαι τὸ σκάφος. καὶ τοῦτο ἀλλαχοῦ λεγόμενον, καὶ νοούμενον, καὶ ἴσως ἀναγκαῖον προσθεῖναι, καὶ τὸ ἐπελθὸν τοῖς εἰρημένοις, ἵνα τὸν ἐμὸν πλοῦτον, καὶ ὑμῖν χαρίσωμαι. ἤτησεν ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου φιλοτεκνότητι παθοῦσα, καὶ τὸ μέτρον ἀγνοοῦσα τῶν αἰτουμένων, πολλὴν συγγνωστὴν δι' ὑπερβολὴν φίλτρου, καὶ ὀφειλομένην εὔνοιαν τέκνοις. οὐδὲν γὰρ μαζοῦ εὐσπλαγχνότερον, καὶ τοῦτο λέγω, ἵνα τιμᾶσθαι νομοθετῶ καὶ μητέρας. ἤτησεν οὖν τὸν Ἰησοῦν ἡ μήτηρ ἐκείνων, οἷα ἐκ δεξιῶν καθίσαι, καὶ οἷα ἐξ ἀριστερῶν. ἀλλὰ τί ὁ σωτήρ; ἐρωτᾷ τὸ πρῶτον, εἰ τὸ ποτήριον δύνανται πιεῖν, ὃ αὐτὸς πίνειν ἤμελλεν. ὡς δὲ καὶ τοῦτο ὡμολογήθη, καὶ ὁ σωτὴρ ἐδέξατο τὸ ἤδη καὶ κατένευσε τῶν αὐτῶν τελειουμένων, μᾶλλον δὲ τελειωθήσεσθαι μελλόντων. τί φησί; τὸ μὲν ποτήριον πίονται, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἀριστερῶν, οὐκ ἔστιν ἐμόν, φησί, τοῦτο δοῦναι, ἀλλ' οἷς δέδοται. οὐδὲν οὖν ὁ ἡγεμὼν νοῦς; οὐδὲν ὁ πόνος, οὐδὲν ὁ λόγος, οὐδὲν ἡ φιλοσοφία, οὐδὲν τὸ νηστεῦσαι, οὐδὲν τὸ χαμευνῆσαι, τὸ ἀγρυπνῆσαι, τὸ πηγὰς στάξαι δακρύων, τοῦτ' οὐδέν, ἀλλὰ κατά τινα ἀποκλήρωσιν Ἱερεμίας ἁγιάζεται, καὶ ἄλλοι ἐκ μήτρας ἀλλοτριοῦνται; φοβοῦμαι μὴ καὶ ἄτοπός τις εἰσέλθῃ λογισμός, ὡς τῆς ψυχῆς ἀλλαχοῦ πολιτευσαμένης, εἶτα τῷ σώματι τούτῳ ἐνδεθείσης, καὶ ἐκ τῆς ἐκεῖσε πολιτείας, τοὺς μὲν λαβόντας τὴν προφητείαν, τοὺς δὲ κατακρινομένους, ὅσοι κακῶς βεβιώκασιν· ἀλλ' ἐπειδὴ τοῦτο ὑπολαβεῖν λίαν ἄτοπον, καὶ οὐκ ἐκκλησιαστικόν· ἄλλοι μὲν γὰρ περὶ τῶν δογμάτων παιζέτωσαν, ἡμῖν δὲ τὰ τοιαῦτα παίζειν οὐκ ἀσφαλές. κἀκεῖ πρόσθες καὶ οἷς δέδοται, πρόσθες τὸ τοῖς οὖσιν ἀξίοις, οἳ τὸ εἶναι τοιοῦτοι, οὐ μόνον παρὰ τοῦ πατρὸς εἰλήφασιν, ἀλλὰ καὶ ἑαυτοῖς δεδώκασιν. εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν, καὶ τὰ ἑξῆς, σφόδρα ἐβουλόμην ἀνδρικόν τι περὶ τῶν εὐνούχων ἔχειν εἰπεῖν. μὴ μέγα φρονείτωσαν οἱ ἐκ φύσεως εὐνοῦχοι. τὸ γὰρ τῆς σωφροσύνης, ἴσως ἀκούσιον.

οὐ γὰρ ἦλθον εἰς βάσανον, οὐδὲ τὸ σωφρονεῖν ἐδοκιμάσθη διὰ τῆς πείρας. τὸ μὲν γὰρ ἐκ φύσεως ἀγαθὸν, ἀδόκιμον· τὸ δὲ ἐκ προαιρέσεως, ἐπαινετόν. τίς πυρὶ χάρις τοῦ καίειν; τὸ γὰρ καίειν ἐκ φύσεως ἔχει. τίς ὕδατι τοῦ κάτω φέρεσθαι; τοῦτο γὰρ ἔχει παρὰ τοῦ δημιουργήσαντος. τίς χιόνι τῆς ψυχρότητος χάρις, ἢ περὶ ἡλίῳ τοῦ φαίνειν; φαίνει γὰρ κἂν μὴ βούληται. χάρισαί μοι τὸ βούλεσθαι τὰ βελτίονα. χάρισαι δὲ ἐὰν σὰρξ γενόμενος, πνευματικὸς γένῃ, ἐὰν τῇ μολυβίδι σαρκὸς ἑλκόμενος, πτερωθῇς ὑπὸ τοῦ λόγου· ἐὰν οὐράνιος εὑρεθῇς, ταπεινὸς γεγονώς· ἐὰν σαρκὶ συνδεθεὶς, ὑπὲρ σάρκα φανῇς. ἐπειδὴ οὖν τὸ σωματικῶς φρονεῖν οὐκ ἐπαινετὸν, ἀλλ' ὅτι αἰτία τῶν εὐνούχων, μὴ πορνεύσητε, ὑπὸ πνεύματος τελειούμενοι, μὴ ὁμότιμον ἑαυτοῖς τὸ πνεῦμα ποιήσητε. εἰ ἔτι ἀνθρώποις ἤρεσκον, ὁ Παῦλος φησὶ, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. εἰ κτίσματι ἐλάτρευον, οὐκ ἂν χριστιανὸς ὠνομαζόμην. εἰς τί γὰρ ὁ χριστιανὸς τίμιον, οὐχ ὅτι θεὸς ὁ Χριστὸς, εἰ μὴ τοῦτο ὡς ἄνθρωπος πάθω, φιλία πρὸς αὐτὸν συγκεκραμένος. καίτοι καὶ Πέτρον τιμῶ, ἀλλ' οὐκ ἀκούω Πετριανός· καὶ Παῦλον, Παυλιανὸς δὲ οὐκ ἤκουσα. οὐ δέχομαι παρὰ ἀνθρώπων ὀνομάζεσθαι, παρὰ θεοῦ γεγονώς. οὕτως εἰ μὲν ὅτι θεὸν ὑπείληφας, διὰ τοῦτο καλῇ χριστιανὸς, καὶ καλοῖο καὶ μένοις ἐπὶ τῷ ὀνόματι ἢ τῷ πράγματι. εἰ δὲ ὅτι στέργεις Χριστὸν, διὰ τοῦτο ἐξ ἑαυτοῦ καλῇ, οὐδὲν πλέον νέμεις αὐτῷ τῶν ἄλλων κλήσεων, αἳ ἀπό τινος ἐπιτηδεύματος ἢ πράγματος τίθενται. ὁρᾶτε τοὺς περὶ τὰς ἱπποδρομίας ἐσπουδακότας τούτους, οἳ ἀπὸ τῶν χρωμάτων ὀνομάζονται, καὶ τῶν μερίδων αἷς συνεστήκασιν. ὑμεῖς ἴστε τὰ ὀνόματα, κἂν ἐγὼ μὴ λέγω. εἰ οὕτως ἀκούεις χριστιανὸς, μικρὰ λίαν ἡ προσηγορία, κἂν ἐπ' αὐτῇ καλλωπίζῃ. εἰ δὲ ὅτι καὶ θεὸν ὑπείληφας, δεῖξον τοῖς ἔργοις ὡς ὑπείληφας. εἰ κτίσμα ὁ θεὸς, ἔτι καὶ νῦν λατρεύεις τῇ κτίσει παρὰ τὸν κτίστην. εἰ κτίσμα τὸ πνεῦμα τὸ ἅγιον, μάτην ἐβαπτίσθης, καὶ τοῖς μὲν δυσὶ μέρεσιν ὑγιαίνεις. μᾶλλον δὲ οὐδὲ ἐκείνοις. περὶ δὲ ἓν, παντελῶς κινδυνεύεις. ὑπόθου μαργαρίτην εἶναι τὴν τελειάδα, πάντα χόθον ὅμοιον καὶ ἰσοστίλβοντα, ἐπὰν τι πάθῃ τοῦ μαργαρίτου, ἡ πᾶσα τοῦ λίθου χάρις ἠφάνισται. οὕτως ὅταν ἀτιμάζῃς υἱὸν ἵνα τιμήσῃς πατέρα, οὐ δέχεταί σου τὴν τιμήν. ἐπ' ἀτιμίᾳ τοῦ υἱοῦ, ὁ πατὴρ οὐ δοξάζεται. εἰ σοφὸς υἱὸς εὐφραίνει πατέρα, πόσῳ μᾶλλον ἡ τοῦ υἱοῦ τιμὴ μὴ τοῦ πατρὸς γίνεται. εἰ δὲ καὶ τοῦτο δέξαι, τὸ τέκνον μὴ δοξάζου ἐπ' ἀτιμίᾳ πατρὸς, οὕτως οὐδὲ πατὴρ ἐπ' ἀτιμίᾳ τοῦ υἱοῦ δοξάζεται. εἰ ἀτιμάζεις τὸ πνεῦμα τὸ ἅγιον, οὐ δέχεταί σου τὴν τιμὴν ὁ υἱός. εἰ γὰρ καὶ μὴ ὡς υἱὸς ἐκ τοῦ πατρὸς, ἀλλ' οὖν ἐκ τοῦ αὐτοῦ πατρός. ἢ τὸ πᾶν τίμησον, ἢ τὸ ὅλον ἀτίμασον, ἵνα ἀκόλουθος σεαυτῷ τυγχάνοις. οὐ δέχομαί σου τὴν ἐξ ἡμισείας εὐσέβειαν. ὅλον εὐσεβῆ μὲν εἶναί σε βούλομαι. ἀλλὰ καθὼς βούλομαι, σύγγνωθι τῷ πάθει. ἀλγῶ καὶ ὑπὲρ τῶν μισούντων, μέλος ἦς ἐμὸν, καὶ εἰ νῦν ἀπετμήθη, μέλος καὶ γενήσῃ τυχὸν, διὰ τοῦτο καὶ φιλανθρώπως φθέγγομαι. ταῦτα διὰ τοὺς εὐνούχους, ἵνα περὶ θεότητα σωφρονῶσιν. οὐ γὰρ ἡ περὶ σῶμα μόνον ἁμαρτία πορνεία καὶ μοιχεία λέγεται, ἀλλὰ καὶ ὁτιοῦν ἡμαρτῶν, καὶ μάλιστα ἡ περὶ τὸ θεῖον παρανομία. πόθεν παράγομεν τοῦτο; τυχὸν ἀπαιτεῖς. ἐπόρνευσαν φησὶν, ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. ὁρᾷς καὶ πρᾶξιν πορνείας ἀναίσχυντον. καὶ ἐμοιχῶντο, φησὶ, τῷ ξύλῳ. ὁρᾷς καὶ θρησκείας τινὰ μοιχαλίδα; μὴ τοίνυν μοιχεύσῃς κατὰ ψυχὴν, σωφρονῶν τῷ σώματι. μὴ δείξῃς τὸ ἀκούσιον τῇ σαρκὶ σωφρονεῖν, ἐξ ὧν οὐ σωφρονεῖς, ἐν οἷς πορνεῦσαι δυνατός εἶ. τί πεποιήκατε τὴν ἀσέβειαν ὑμετέραν; τί πάντως εὐθὺ τὸ χεῖρον φέρεσθε, ὡς τοῦτο ὂν λοιπὸν, ἢ εὐνοῦχον ἢ ἀσεβῆ καλεῖσθαι. γένεσθε μετὰ τὴν αἰδῶ, δεῖ γοῦν ἀνδρικόν τι φρονήσατε, φύγετε τὰς γυναικωνίτιδας, μὴ προσεθίστω περὶ αἰσχρῶν τοῦ ὀνόματος, τὸ αἰσχρὸν τοῦ κηρύγματος. βούλεσθε μικρὸν ἔτι τῷ λόγῳ προσπαρτερήσομεν, ἣ κέρον ἔχει τὰ εἰρημένα, πλείω τιμηθῶσιν καὶ οἱ εὐνοῦχοι τοῖς ἑξῆς. ἐπαινετὸς γὰρ ὁ λόγος. εἰσὶ γὰρ εὐνοῦχοι, φησὶν, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν, χωρείτω. δοκεῖ μοι τῶν σωματικῶν ἀποστὰς ὁ λόγος, τυποῦν δὲ τῶν σωμάτων τὰ ὑψηλότερα. τὸ μὲν γὰρ μέχρι τῶν σωματικῶν εὐνούχων στῆσαι τὸν λόγον, τυχὸν μικρόν τι καὶ λίαν ἀσθενὲς καὶ ἀνάξιον λόγου. δεῖ δὲ ἡμᾶς ἐπινοῆσαί τι τοῦ πνεύματος ἄξιον. δοκοῦσι τοίνυν οἱ μὲν ἐκ φύσεως νεύειν πρὸς τὸ ἀγαθόν. φύσεως δὲ ὅταν εἴπω, οὐκ ἀτιμάζω τὴν προαίρεσιν, ἀλλ' ἀμφότερα τίθημι, τήν τε πρὸς τὸ καλὸν ἐπιτηδειότητα, καὶ τὴν εἰς ἔργον ἄγουσαν τὸ ἐκ φύσεως ἐπιτήδειον. ἕτεροι δὲ εἰσί τινες οὓς ὁ λόγος καθαίρει τῶν παθῶν ἐκτέμνων, τούτους ἡγοῦμαι εἶναι τοὺς ὑπὸ τῶν ἀνθρώπων εὐνουχιζομένους, ὅταν ὁ διδασκαλικὸς λόγος διελὼν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, καὶ τὸ μὲν ἀποτεμνόμενος, τὸ δὲ νομοθετήσας, ὡς τὸ, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, τὴν πνευματικὴν σωφροσύνην δημιουργήσῃ. ἐπαινῶ καὶ τοῦτον τὸν εὐνουχισμόν. καὶ λίαν ἐπαινῶ, τούς τε διδασκάλους ὁμοίως καὶ τοὺς διδασκομένους, ὅτι οἱ μὲν καλῶς ἐξέτεμον, οἱ δὲ κάλλιον ἐξετμήθησαν. καὶ εἰσὶν οἵτινες ἑαυτοὺς εὐνούχισαν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.

ἱερέων. ἄλλοι διδασκάλων μὲν οὐκ ἐπέτυχον, ἑαυτῶν δὲ γεγόνασιν ἐπαινετοὶ διδάσκαλοι. οὐκ ἐδίδαξέ σε μήτηρ τὸ δέον, οὐκ ἐδίδαξέ σε πατήρ, οὐ πρεσβύτερος, οὐκ ἐπίσκοπος, οὐκ ἄλλος τις τῶν τὸ διδάσκειν πεπιστευμένων· ἀλλὰ τὸν ἐν σοὶ λόγον κινήσας, ἀλλὰ τὸν σπινθῆρα τοῦ καλοῦ διὰ τῆς προαιρέσεως ἀνάψας, σαυτὸν εὐνουχίσας. τὴν ῥίζαν ἐξέτεμες, τὰ ὄργανα τῆς κακίας ἐξώλεσας. τοσαύτην ἕξιν ἐκτήσω τῆς ἀρετῆς, ὥστε καὶ σχεδὸν ἀδύνατόν σοι γενέσθαι τὴν περὶ τὰ χείρω φοράν. διὰ τοῦτο ἐπαινῶ, καὶ τοῦτον τὸν εὐνουχισμόν, καὶ τυχὸν μᾶλλον τῶν ἄλλων. ὁ δυνάμενος χωρεῖν, χωρείτω. εἰ βούλει δέξαι μαρτυρίαν, ἢ ἐπακολούθησον τῷ διδασκάλῳ, ἢ γενοῦ σαυτοῦ διδάσκαλος. ἓν αἰσχρὸν μόνον, μὴ τμηθῆναι τὰ πάθη. περὶ δὲ τοῦ τμηθῆναι τὰ πάθη, μηδὲν διαφέρον. καὶ ὁ διδάσκων πλάσμα θεοῦ, καὶ σὺ γέγονας ἐκεῖθεν. κἂν τε ὁ διδάσκαλος ἁρπάσῃ τὴν χάριν, κἂν τε γένηται σὺν τῷ καλῶς, καλῶς ὅμοιός ἐστι. μόνον ἐκτέμνωμεν ἑαυτοὺς τῶν παθῶν, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ. μόνον ἀκολουθῶμεν τῇ εἰκόνι, μόνον αἰδώμεθα τὸ ἀρχέτυπον. ἔκτεμνε τὰ σωματικὰ πάθη, ἔκτεμνε καὶ τὰ ψυχικά. ὅσῳ γὰρ τιμιώτερον ψυχὴ σώματος, τοσούτῳ τιμιώτερον καθᾶραι ψυχὴν ἢ σῶμα. εἰ δὲ ἡ τοῦ σώματος κάθαρσις τῶν ἐπαινετῶν, σκόπει μοι πόσον ἡ τῆς ψυχῆς μείζων τε καὶ ὑψηλοτέρα. ἔκτεμνε τὴν ἀρειανὴν ἀσέβειαν, ἔκτεμνε τὴν σαβελλίου κακοδοξίαν, μήτε συνάψῃς πλέον ἢ καλῶς ἔχει, μήτε διέλῃς κακῶς, μήτε εἰς ἓν πρόσωπον συνέλῃς τὰ τρία, μήτε ἐργάσῃ τρεῖς ἀλλοτριότητας φύσεων, καὶ τὸ ἓν ἐπαινετὸν κατὰ τὸ νοούμενον, καὶ τὰ τρία κατὰ τὸ διαιρούμενα, ὅταν προσώπων, ἀλλὰ μὴ θεότητος ἡ διαίρεσις ᾖ. ταῦτα καὶ λαϊκοῖς νομοθετῶ. ταῦτα καὶ πρεσβυτέροις ἐντέλλομαι, ταῦτα καὶ τοῖς ἄρχειν πεπιστευμένοις. βοηθήσατε τῷ λόγῳ πάντες ὅσοις τὸ δύνασθαι. βοηθεῖν ἐκ θεοῦ μέγα. φόνον ἐπισχεῖν καὶ μοιχείαν κολάσαι, καὶ κλοπὴν σωφρονίζειν· πολλῷ μᾶλλον ἀσέβειαν νομοθετεῖσθαι, καὶ ὑγιῆ λόγον χαρίσασθαι. οὐ τοσοῦτον ὁ ἐμὸς λόγος δυνήσεται πολεμῶν ὑπὲρ τῆς τριάδος, ὅσον τὸ πρόσταγμα. ἐὰν ἐπιστομίζῃς τοὺς κακῶς ἐξηγουμένους, ἐὰν βοηθῇς τοῖς διωκομένοις, ἐὰν τοὺς φονευτὰς ἐπέχῃς, ἐὰν κωλύῃς τὸ φονεύεσθαι. λέγω δὲ οὐ τὸν σωματικόν, ἀλλὰ καὶ τὸν ψυχικόν. πᾶσα γὰρ ἁμαρτία, θάνατός ἐστι ψυχῆς. μέχρι τούτων ὁ λόγος εἴρηται. λοιπὸν δὲ ἔστω ὑπὲρ τῶν συνεληλυθότων εὐχή. ἄνδρες ὁμοῦ καὶ γυναῖκες, ἀρχόμενοί τε καὶ ἄρχοντες, πρεσβῦται καὶ νεανίσκοι μετ' ἡβηδόν, παντὸς γένους ἡλικίας. ταῦτα μὲν φέρετε ζημίαν τὴν εἰς χρήματα, τὴν εἰς σώματα· ἓν δὲ μὴ δέξησθε μόνον, τὴν θεότητα ζημιούμενοι. προσκυνῶ πατέρα, προσκυνῶ τὸν υἱόν, προσκυνῶ τὸ πνεῦμα τὸ ἅγιον. μᾶλλον δὲ προσκυνοῦμεν, ἐγὼ καὶ πρὸ πάντων ὁ ταῦτα λέγων, ἐπὶ καὶ μετὰ πάντας, καὶ σὺν πᾶσιν ἐν αὐτῷ τῷ κυρίῳ τῷ χριστῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΡΟΣ ΕΥΑΓΡΙΟΝ ΜΟΝΑΧΟΝ, ΠΕρὶ θεότητος.

Σφόδρα σε θαυμάζω καὶ λίαν ἐκπλήττομαι τῆς κεφαλαιότητος, ὅπως τοιούτων θεωρημάτων καὶ τηλικούτων ζητήσεων αἴτιος καθίστασαι, ταῖς ἀκριβέσιν ἐρωτήσεσιν, εἰς ἀνάγκην ἡμᾶς τοῦ λέγειν καὶ ἀγωνίαν ἀποδείξεως περιστήσας, ἐρωτήσεις ἀναγκαίας καὶ χρησίμους ἡμῖν ἐπάγων. πᾶσα δηλονότι λοιπὸν ἀνάγκη, κατόπιν τῶν ἐρωτήσεων ἡμᾶς ἐναργεῖς ποιεῖσθαι τὰς ἀποκρίσεις. καὶ νῦν τοίνυν τὸ προσενεχθὲν ἐρώτημα παρὰ σοῦ, τοιόνδε. καὶ περὶ τοῦδε ἦν, ὡς τίνα τρόπον ἂν εἴη πατρός τε καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἡ φύσις, ἣν ἄν τις ὀρθῶς, οὐσίαν μᾶλλον ἢ φύσιν καλοίη. πότερον ἁπλῆ τις ἢ σύνθετος. εἰ μὲν γὰρ ἁπλῆ, πῶς τὸν τρεῖς ἐπιδέξεται, τῶν προειρημένων, ἀριθμόν. τὸ γὰρ ἁπλοῦν, μονοειδὲς καὶ ἀναρίθμητον. τὸ δὲ ἀριθμοῖς ὑποπῖπτον, ἀνάγκη τέμνεσθαι, κἂν μὴ ἀριθμοῖς ὑποβάλληται· τὸ δὲ τεμνόμενον, ἐμπαθές. πάθος γὰρ ἡ τομή. εἰ τοίνυν ἁπλῆ τοῦ κρείττονος ἡ φύσις, περιττὴ τῶν ὀνομάτων ἡ θέσις. εἰ δὲ τῶν ὀνομάτων ἀληθὴς ἡ θέσις, καὶ δεῖ τοῖς ὀνόμασι πείθεσθαι, τὸ μονοειδὲς καὶ ἁπλοῦν εὐθὺς ἐκποδὼν οἴχεται. τίς οὖν ἂν εἴη τοῦ πράγματος ἡ φύσις ταῦτα πρὸς ἡμᾶς ἔφασκες. ὧν τὰς ἀποδείξεις, ὁ τῆς ἀληθείας ἀκριβῶς παραστήσει λόγος. οὐ πίστεως ἀναποδείκτου φαντασίαν ἀχρεία τῆς ἀποδείξεως ἀλόγως προεισαγόμενος. οὐδὲ μύθων παλαιῶν ὑπηρετείαις τὸ σαθρὸν τῆς πεποιθήσεως ἑαυτοῦ καλύπτειν πειρώμενος, ἀλλὰ ζητήσεως ἀκριβοῦς κατανοήσει, καὶ λογισμῶν ὀρθότητι, τὴν τοῦ θεωρήματος πίστωσιν, εἰς τοὐμφανὲς προτιθέμενος. ἄγε δὴ λοιπὸν ἡμῖν ὁ λόγος ἐν τούτοις, θεασάσθω. καὶ πῶς δεῖ τὸ θεῖον ὑπολαμβάνειν φασκέτω. πότερον ἁπλοῦν, ἢ πεπλεγμένον. οὕτω γὰρ ἡμᾶς καὶ λέγειν ἡ τῶν ὀνομάτων τριὰς, καὶ πιστεύειν βιάζεται, καὶ τούτοις ἀποχρησάμενοί τινες σαθρά, καὶ παντάπασιν ἕωλα συνεστήσαντο δόγματα, τὴν οὐσίαν ὁμοῦ τῇ τῶν ὀνομάτων ὑπονοίᾳ, πάθος διαιρέσεως ὑπομένειν δοξάζοντες· ἀλλ' ἐκείνους μὲν ὡς αὐτός, φής, ἐατέον, σαθρῶς περὶ τῆς ὑπο-

λάμψας αὐτὴν συνεγείρουσαν δόγματι. περὶ δὲ τὴν ὀρθὴν τῆς ἐπιγνώσεως κατάληψιν, τὴν ἑαυτῶν διάνοιαν ἐπιστρέψωμεν. ὁ τοίνυν ἐστὶ θεὸς, πρότερον ἐπισκεψώμεθα, καὶ εἶθ᾽ οὕτως ἐπὶ τὰς ἀποδείξεις ἀκριβῶς ἥξομεν. ἁπλῆ παντῶς ἐστὶ καὶ ἀμερὴς ὑσία, τὸ ἁπλοῦν δὲ ἀσώματον ἐκ φύσεως ἐκτυχὼν. ἀλλ᾽ ἴσως καὶ ὁ τῆς διαιρέσεως τῶν ὀνομάτων λόγος αἴτιπτίπτει μοι λόγος, τὸν περὶ τρεῖς ἀριθμὸν, τὸ τοῦ κρείττονος μονοειδὲς ἀφαιρούμενος. ἆρ᾽ οὖν διὰ τὸ μονοειδὲς ἐκφυγεῖν ἡμᾶς τὴν ὁμολογίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐπαναγκαστέον μὴ γένοιτο. τὴν γὰρ ἀμερῆ τοῦ κρείττονος οὐσίαν, οὐ καταβλάψει τῶν ὀνομάτων ἡ θέσις. τὰ γὰρ νοητὰ, καὶ μυριώνυμα μὲν ἐπειδὴ παμπληθέσι καθ᾽ ἕκαστον ἔθνος ὀνόμασι κέκληται. προσηγορίας δὲ πάσης ἐκτὸς, ἐπειδὴ κύριον ὄνομα τῶν νοητῶν τε καὶ ἀσωμάτων, ὑδ᾽ ἁπλῶς γοῦν κυρίως ἐπικληθῆναι, τὰ μηδὲ ἀφεσιν ἡμετέραις ὑποπίπτοντα, μηδ᾽ ὅλως ἀνθρωπίνοις αἰσθητηρίοις ἅπτεσθαι δυνάμενα. λαμβανέσθω δὲ ἡμῖν τὸ βραχύτατον τῶν νοητῶν μόριον ἡ ψυχὴ, πρὸς τὴν παντὸς ἀκριβῆ νόησιν. ψυχὴ μὲν γὰρ, ὀνόματι θηλυκῷ προσαγορεύεται. πάσης δὲ θηλυδριώδους φύσεως ἀφέστηκεν, οὔτε ἄρρεν, οὔτε θῆλυ κατ᾽ οὐσίαν ὑπάρχουσα. καὶ λόγος δὲ ὁμοίως ὁ πρὸς αὐτῆς ἀποκυϊσκόμενος, ἀρρενικὸν μὲν ἔχει τοὔνομα. πάσης δὲ καὶ αὐτὸς ὡς φαμὲν ἀρρενοθήλεος ἐκτὸς ἐστὶ σωματότητος. εἰ δὲ τὰ τῶν νοητῶν ἔσχατα, ψυχὴ καὶ λόγος κύριον οὐ κέκτηται τοὔνομα, πῶς ἂν τὰ πρῶτα καὶ πάντων ὑπέκεινα τῶν νοητῶν νοητὰ, κυρίοις ὀνόμασιν ἐπικεκλῆσθαι φήσομεν. ἀλλ᾽ ἡ μὲν ὀνομασία χρησίμη, διὰ τὸ ἀναγκαῖον εἰς ἐπίνοιαν ἡμᾶς ἄγουσα τῶν νοητῶν. τινὲς δὲ ταῖς προσηγορίαις ὁμοῦ καὶ τὴν οὐσίαν παχυμερῶς συνδιαιρεῖσθαι δοξάζοντες, ἀνάξια παντάπασι τῶν θείων ταῖς ἑαυτῶν ἐννοίαις δοξάζουσιν. εἰδέναι δὲ ἀκόλουθον ἡμᾶς τοὺς τῆς ἀληθείας ἐπιγνώμονας, ὡς ἀδιαίρετός ἐστι καὶ μονοειδὴς, ἡ θεία τε καὶ ἀμερὴς τοῦ κρείττονος οὐσία· πρὸς δὲ τὸ χρήσιμον τῆς ἡμετέρας τῶν ψυχῶν σωτηρίας, καὶ μερίζεσθαι ταῖς ὀνομασίαις δοκεῖ, καὶ διαιρέσεως ἀνάγκῃ ὑφίστασθαι, καθὼς ἔφαμεν. ὃν τρόπον γὰρ ἡ ψυχὴ νοητή τις ὑπάρχουσα, νοημάτων ἀπείρων ἀποκυΐσκει πλῆθος· ὅμως οὔτε νοήματος διαιρεῖται πάθει, οὔτε τῷ πλήθει τῶν νοημάτων ψυχὴ διὰ τὰ φθάσαντα πτωχεύει ποτέ. πλουσιωτέρα δὲ μᾶλλον, ἢ πενεστέρα γίνεται· ὃν τρόπον δὲ καὶ ὁ προφορικὸς οὗτοσὶ καὶ κοινὸς ἅπασιν ἡμῖν λόγος, ἀδιαίρετος μὲν ἐστὶ τῆς προσενεγκαμένης ψυχῆς, καὶ ταῖς ψυχαῖς δὲ τῶν ἀκροωμένων ἐνδον ἧττον ἐντὸς καθίσταται, κἀκείνης μὴ χωριζόμενος καὶ τούτοις εἰσοικιζόμενος, ἕνωσιν δὲ μᾶλλον ἢ διαίρεσιν αὐτῶν τε καὶ τῶν ἡμετέρων ψυχῶν ἐργαζόμενος, οὕτω μοι νόει καὶ τὸν υἱὸν τοῦ πατρὸς μὴ χωρισθέντα πώποτε, καὶ τοῦτο δὲ πάλιν τὸ πνεῦμα τὸ ἅγιον, ὁμοίως ἐν τῷ νῷ τὴν ἐνθύμησιν. ὡς γὰρ οὐκ ἔστι μεταξὺ νοῦ καὶ ἐνθυμήσεως, καὶ ψυχῆς διαίρεσιν ἐπινοηθῆναί τινα, καὶ τομὴν, οὕτως οὐδὲ τοῦ ἁγίου πνεύματος, καὶ τοῦ σωτῆρος, καὶ τοῦ πατρὸς, ἐν μέσῳ τομὴν ἢ διαίρεσιν ἐπινοηθῆναί ποτε. διότι τῶν νοητῶν ὡς ἔφαμεν καὶ θείων, ἀδιαίρετος ἡ φύσις, ἢ καὶ ὃν τρόπον οὐχ οἷόν τε πάλιν ὁμοίως ἐν μέσῳ κύκλου καὶ τῆς ἀκτῖνος διαίρεσιν εὑρέσθαι, διὰ τὸ ἀπαθὲς καὶ ἀσώματον ἁπλοῦν τε καὶ ἀμερὲς, ἀλλ᾽ ἡ μὲν ἀκτὶς συνῆπται τῷ κύκλῳ, τοῦμπαλιν δὲ ὁ κύκλος, οἷόν τις ὀφθαλμὸς πεταννὺς ἐπιχεῖ τῷ παντὶ τὰς ἀκτῖνας, καταλυσμὸν ὥσπερ τινὰ φωτὸς ἡμῖν ἐργαζόμενος, καὶ πελαγίζων ἀθρόως τὴν διακόσμησιν, οὕτω δὴ καὶ οἱονεί τινες τοῦ πατρὸς ἀκτῖνες ἀποστέλλουσιν ἐφ᾽ ἡμᾶς, ὅ, τε φεγγώδης ἰησοῦς καὶ τὸ πνεῦμα τὸ ἅγιον. ὥσπερ γὰρ αἱ τοῦ φωτὸς ἀκτῖνες ἀμέριστον ἔχουσαι κατὰ φύσιν τὴν πρὸς ἄλληλα σχέσιν, οὔτε τοῦ φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀποτέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν τοῦ φωτὸς ἀποστέλλουσι· τὸν αὐτὸν τρόπον καὶ ὁ σωτὴρ ὁ ἡμέτερος, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἡ δίδυμος τοῦ πατρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν διακονεῖται τῆς ἀληθείας τὸ φῶς, καὶ τῷ πατρὶ συνήνωται. ὃν τρόπον δὲ κατά τινος ὑδάτων πηγῆς νεκταρώδους ἀφθόνως προϊεμένης ὕδωρ, συμβαίνει ῥεύματι παμπληθεῖ, καὶ ῥεῖθρον ἀνατάξαν, εἰς ποταμοὺς δύο τῷ ῥεύματι τέμνεσθαι. μίαν ἐξ ἑνὸς ὀφθαλμοῦ τῆς πηγῆς τὴν ῥοὴν ἐξ ἀρχῆς ἐσχηκὸς· διέρχεται δὲ τῶν ποταμῶν χωρισθέντων τοῖς εἴδεσι, βλαβὲν δὲ ὅμως οὐδὲν εἰς τὴν οὐσίαν ἐκ τῆς διαιρέσεως. τῇ μὲν γὰρ τῶν ποταμῶν θέσει τὸ ῥεῖθρον διῄρηται, τὴν δὲ τοῦ χυμοῦ ποιότητα μίαν καὶ τὴν αὐτὴν κέκτηται. καὶ γὰρ ἀχρηματίζεσθαι πόρρω που τῶν ποταμῶν ἕκαστος τῶν προειρημένων δοκεῖ, καὶ τῆς πηγῆς ἀφεστάναι μακρὰν, τὴν γοῦν ἀρχὴν τῇ μητρὶ πρὸς τὸ διηνεκὲς τῆς πηγῆς συνηνωμένην ἔχει. παραπλησίως οὖν καὶ ὁ τῶν ἀγαθῶν ἁπάντων θεὸς, ὁ τῆς ἀληθείας πρύτανις, ὁ τοῦ σωτῆρος πατὴρ, τὸ πρῶτον αἴτιον τῆς ζωῆς, καὶ τὸ τῆς ἀθανασίας φυτὸν, ἡ τῆς ἀιζώου πηγὴ, διέρχεται τινα τοῦ τε υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος τὴν νοητὴν εἰς ἡμᾶς ἀποστέλλουσα χάριν, οὔτ᾽ αὐτός τι πέπονθεν εἰς τὴν οὐσίαν βλαβὲς (οὐ γὰρ μείωσιν ὑπέστη κενὰ διὰ τὴν εἰς ἡμᾶς ἐκείνων ἄφιξιν) καὶ μέχρις ἡμῶν προσεχώρησαν, καὶ τοῦ πατρὸς, οὐδὲν ἧττον

ἀχώριστοι

ἀποχηματίζεσθαι

ἀγνοεῖ τοι καθεστήκασιν. ἀμυδρῶς γάρ, ὡς ἔφαμεν ἐξ ἀρχῆς, ἡ τῶν κρειττόνων φύσις. πλεῖστα μὲν οὖν ὦ τιμιώτατε δυνατὸν ἦν εὑρεῖν καὶ πλείονα τῶν εἰρημένων, πρὸς ἀπόδειξιν ἐναργῆ τῆς ἀναγκαιοτάτης πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἑνώσεως, ὃν τρόπον ἔχειν αὐτὴν ὑπολαμβάνειν δεῖ. ἀλλ᾽ ἐπειδὴ σοί τε καὶ τοῖς γε παραπλησίοις ῥᾷον ἐξ ὀλίγων τὰ πλεῖστα καταμανθάνειν, τοῦτο χαίρειν ἐνταῦθα τὸν περὶ τούτου στῆσαι τοῦ διαγράμματος δίκαιον ᾠήθην λόγον.

ΚΑΤΑ ΕΥΝΟΜΙΑΝΩΝ ΠΡΟΣΔΙΑΛΕΞΙΣ.

Πρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος, καὶ ἵνα ἀπὸ τῆς γραφῆς ἄρξωμαι. ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν. εἰσὶ γὰρ εἰσί τινες οἱ τὴν ἀκοὴν προσκνώμενοι, καὶ τὴν γλῶσσαν. ἤδη δὲ ὡς ὁρῶ καὶ τὴν χεῖρα, ταῖς βεβήλοις κενοφωνίαις, καὶ ἀντιθέσεσι τῆς ψευδωνύμου γνώσεως, καὶ ταῖς εἰς οὐδὲν χρήσιμον φερούσαις λογομαχίαις. οὕτω γὰρ ὁ παῦλος καλεῖ, πᾶν τὸ ἐν λόγῳ περιττὸν καὶ περίεργον, ὁ τοῦ συντετμημένου λόγου κήρυξ καὶ βεβαιωτής, ὁ τῶν ἁλιέων μαθητὴς καὶ διδάσκαλος. οὗτοι δέ, περὶ ὧν ὁ λόγος, εἴθε μέν, ὥσπερ τὴν γλῶσσαν εὔστροφον ἔχουσι, καὶ δεινὴν ἐπιθέσθαι λόγοις εὐγενεστέροις τε καὶ δοκιμωτέροις· οὕτω τι καὶ περὶ τὰς πράξεις ἠσχολοῦντο. μικρὸν γοῦν, καὶ ἴσως ἧττον ἂν ἦσαν σοφισταὶ καὶ κυβισταὶ λόγων ἄτοποι καὶ παράδοξοι, ἵν᾽ εἴπω τι καὶ γελοίως περὶ γελοίου πράγματος. ἐπεὶ δὲ πᾶσαν εὐσεβείας ὁδὸν καταλύσαντες, πρὸς ἓν τοῦτο βλέπουσι μόνον, ὅ τι δήσουσιν ἢ λύσουσι τῶν προβαλλομένων, καθάπερ ἐν τοῖς θεάτροις οἱ τὰ παλαίσματα δημοσιεύοντες, καὶ τῶν παλαισμάτων οὐχ ὅσα πρὸς νίκην φέρει κατὰ νόμον ἀθλήσεως, ἀλλ᾽ ὅσα τὴν ὄψιν κλέπτει τῶν ἀμαθῶν τὰ τοιαῦτα καὶ συναρπάζει τὸν ἔπαινον, καὶ δεῖ πᾶσαν μὲν ἀγορὰν περιβομβεῖσθαι τοῖς τούτων λόγοις. πᾶν δὲ συμπόσιον ἀποκναίεσθαι φλυαρίᾳ καὶ ἀηδίᾳ, πᾶσαν δὲ ἑορτὴν καὶ πένθος ἅπαν, τὴν μὲν ἀνέορτον εἶναι καὶ μεστὴν κατηφείας, τὸ δὲ παραμυθεῖσθαι συμφορᾷ μείζονι, τοῖς ζητήμασι, πᾶσαν δὲ διοχλεῖσθαι γυναικωνῖτιν ἁπλότητι σύντροφον, καὶ τὸ τῆς αἰδοῦς ἄνθος ἀποσυλᾶσθαι τῇ περὶ λόγον ταχυτῆτι, ἐπειδὴ ταῦτα οὕτω, καὶ τὸ κακὸν ἄσχετον, καὶ ἀφόρητον, καὶ κινδυνεύει τεχνύδριον εἶναι τὸ μέγα ἡμῶν μυστήριον, φέρε τοσοῦτον γοῦν ἡμῶν ἀνασχέσθωσαν οἱ κατάσκοποι σπλάγχνοις πατρικοῖς κινουμένων, καὶ ὅ φησιν ὁ θεῖος Ἱερεμίας, σπαρασσομένων τὰ αἰσθητήρια. ὅσον μὴ τραχέως τὸν περὶ τούτων δέξασθαι λόγον. καὶ τὴν γλῶσσαν μικρὸν ἐπισχόντες αὐτῶν, εἰ ἄρα καὶ δύνανται, τῇ ἀκοῇ ἡμῖν ὑποθέτωσαν. πάντως δέ, οὐδὲν ζημιωθήσεσθε. ἢ γὰρ εἰς ὦτα ἐλαλήσαμεν ἀκουόντων, καὶ τινὰ καρπὸν ἔχει ὁ λόγος, τὴν ὠφέλειαν τὴν ὑμετέραν. ἐπειδὴ σπείρει μὲν ὁ σπείρων τὸν λόγον ἐπὶ πᾶσαν διάνοιαν. καρποφορεῖ δὲ ἡ καλή τε καὶ γόνιμος, ἢ ἀπήλθετε καὶ τοῦτο ἡμῶν διαπτύσαντες. καὶ πλείονα λαβόντες ὕλην ἀντιλογίας τε καὶ τῆς καθ᾽ ἡμῶν λοιδορίας, ἵνα καὶ μᾶλλον ὑμᾶς αὐτοὺς ἑστιάσητε. μὴ θαυμάσητε δέ, εἰ παράδοξον ἐρῶ λόγον, καὶ παρὰ τὸν ὑμέτερον νόμον, οἳ πάντα εἰδέναι τε καὶ διδάσκειν ὑπισχνεῖσθε λίαν νεανικῶς καὶ γενναίως, ἵνα μὴ λυπῶ λέγων ἀμαθῶς καὶ θρασέως. οὐ παντός, ὦ οὗτοι, τὸ περὶ θεοῦ φιλοσοφεῖν. οὐ παντός, οὐχ οὕτω τὸ πρᾶγμα εὔωνον. καὶ τῶν χαμαὶ ἐρχομένων. προσθήσω δέ, οὐδὲ πάντοτε, οὐδὲ πᾶσιν, οὐδὲ πάντα, ἀλλ᾽ ἔστιν ὅτε, καὶ οἷς, καὶ ἐφ᾽ ὅσον. οὐ πάντων μέν, ὅτι τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, καὶ πρὸ τούτων καὶ ψυχήν, καὶ σῶμα κεκαθαρμένων, ἢ καθαιρομένων τὸ μετριώτατον. μὴ καθαρῷ γὰρ ἅπτεσθαι καθαροῦ, τυχὸν οὐδὲ ἀσφαλές. ὥσπερ οὐδὲ ὄψει σαθρᾷ, ἡλιακῆς ἀκτῖνος. ὅτε δέ, ἡνίκα ἂν σχολὴν ἄγωμεν ἀπὸ τῆς ἔξωθεν ἰλύος καὶ ταραχῆς. καὶ μὴ τὸ ἡγεμονικὸν ἡμῶν συγχέηται τοῖς μοχθηροῖς τύποις, καὶ πλανωμένοις, οἷον γράμμασι πονηροῖς, ἀναμιγνύντων κάλλη γραμμάτων, ἢ βορβόρῳ μύρου εὐωδίαν. δεῖ γὰρ τῷ ὄντι σχολάσαι καὶ γνῶναι θεόν. καὶ ὅταν λάβωμεν καιρόν, κρίνειν θεολογίας εὐθύτητα. τίσι δέ; οἷς τὸ πρᾶγμα διὰ σπουδῆς, καὶ οὐχ ὡς ἕν τι τῶν ἄλλων καὶ τοῦτο φλυαρεῖται ἡδέως, μετὰ τοὺς ἱππικούς, καὶ θέατρα, καὶ τὰ ᾄσματα, καὶ τὴν γαστέρα, καὶ τὰ ὑπὸ γαστέρα, οἷς καὶ τοῦτο μέρος τρυφῆς, ἡ περὶ ταῦτα ἐρεσχελία καὶ κομψεία τῶν ἀντιθέσεων. τίνα δὲ φιλοσοφητέον, καὶ ἐπὶ πόσον; ὅσα ἡμῖν ἐφικτά, καὶ ἐφ᾽ ὅσον ἡ τοῦ ἀκούοντος ἕξις ἐφικνεῖται, καὶ δύναμις. ἵνα μὴ καθάπερ αἱ ὑπερβάλλουσαι τῶν φωνῶν, ἢ τῶν τροφῶν, τὴν ἀκοὴν βλάπτωσιν, ἢ τὰ σώματα. εἰ βούλει δέ, τῶν φορτίων τὰ ὑπὲρ δύναμιν, τοὺς ὑποβαίνοντας. ἢ τὴν γῆν τῶν ὑετῶν οἱ σφοδρότεροι, οὕτω δὴ καὶ οὗτοι τοῖς στερροῖς, ἵν᾽ οὕτως εἴπω τῶν λόγων καταπιεσθέντες καὶ βαρυνθέντες, ζημιωθεῖεν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. καὶ οὐ λέγω τοῦτο μὴ δεῖν πάντοτε μεμνῆσθαι θεοῦ, μὴ πάλιν ἐπιφυέσθωσαν ἡμῖν οἱ πάντα εὔκολοι καὶ ταχεῖς. μνημονευτέον γὰρ θεοῦ μᾶλλον,

ἢ ἀνασπαστέον. καὶ εἰ οἷόν τε τοῦτο εἰπεῖν, μηδὲ ἄλλο τι ἢ τοῦτο πρακτέον. κατὰ γὰρ τὴν ἐπαινέτων ἐμοὶ τὸν νόμον, ὃς μελετᾶν ἡμέρας, καὶ νυκτὸς διακελεύεται, καὶ ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας διηγεῖσθαι, καὶ εὐλογεῖν τὸν κύριον ἐν παντὶ καιρῷ. εἰ δεῖ καὶ τὸ Μωσέως εἰπεῖν, κοιταζόμενον, διανιστάμενον, ὁδοιποροῦντα, ὁτιοῦν ἄλλο πράττοντα, καὶ τῇ μνήμῃ τυποῦσθαι πρὸς καθαρότητα, ὥστε οὐ τὸ μεμνῆσθαι διηνεκῶς κωλύω τοῦ θεοῦ, ἀλλὰ τὸ θεολογεῖν δέ, οὐδὲ τὴν θεολογίαν ὥσπερ ἀσεβές, ἀλλὰ τὴν ἀκαιρίαν. οὐδὲ τὴν διδασκαλίαν, ἀλλὰ τὴν ἀμετρίαν. ἢ μέλιτος μὲν πλησμονὴ καὶ κόρος, ἔμετον ἐργάζεται. καίπερ ὄντος μέλιτος, καὶ καιρὸς ἐπὶ παντὶ πράγματι ὡς Σολομῶντι κἀμοὶ δοκεῖ, καὶ τὸ καλὸν οὐ καλόν, ὅταν μὴ καλῶς γίνηται. ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον. καὶ γυναικὶ κόσμος ἀνδρεῖος, ἢ γυναικεῖος ἀνδράσι, καὶ πένθει, γεωμετρία, καὶ πότῳ δάκρυον. ἐνταῦθα δὲ μόνον τὸν καιρὸν ἀτιμάσομεν, οὗ μάλιστα τιμητέον τὸ εὔκαιρον; μηδαμῶς, ὦ φίλοι καὶ ἀδελφοί. ἀδελφοὺς γὰρ ὑμᾶς ἔτι καλῶ, καίπερ οὐκ ἀδελφικῶς ἔχοντας. μὴ οὕτω διανοώμεθα, μὴ δὲ καθάπερ ἵπποι θερμοὶ καὶ δυσκάθεκτοι, τὸν ἐπιβάτην λογισμὸν ἀπορρίψαντες, καὶ τὴν καλῶς ἄγχουσαν εὐλάβειαν ἀποπτύσαντες, πόρρω τῆς νύσσης θέωμεν, ἀλλ' ἔσω τῶν ἡμετέρων ὅρων φιλοσοφῶμεν. καὶ μὴ εἰς Αἴγυπτον ἐκφερώμεθα, μηδὲ εἰς Ἀσσυρίους κατασυρώμεθα, μηδὲ ᾄδωμεν τὴν ᾠδὴν κυρίου, ἐπὶ γῆς ἀλλοτρίας πάσης ἀκοῆς λέγω ξένης τε καὶ ἡμετέρας ἐχθρᾶς καὶ φιλίας, εὐγνώμονος καὶ ἀγνώμονος, ἢ λίαν ἐπιμελῶς τηρεῖ τὰ ἡμέτερα. καὶ βούλοιτο ἂν τὸν σπινθῆρα τῶν ἐν ἡμῖν κακῶν γενέσθαι φλόγα. ἐξάπτει τε καὶ ἀναρριπίζει, καὶ εἰς οὐρανὸν αἴρει ταῖς παρ' ἑαυτοῦ αὔραις λανθάνουσα. καὶ ποιεῖ τῆς Βαβυλωνίας φλογὸς τὰ κύκλῳ καταφλεγούσης, ὑψηλοτέραν. ἐπειδὴ γὰρ οὐκ ἐν τοῖς ἑαυτῶν δόγμασιν ἔχουσι τὴν ἰσχύν, ἐν τοῖς ἡμετέροις σαθροῖς ταύτην θηρεύουσι. καὶ διὰ τοῦτο ὥσπερ αἱ μυῖαι τοῖς τραύμασιν, οὕτω τοῖς ἡμετέροις ἐπιτίθενται, εἴτε ἀτυχήμασι χρὴ λέγειν, εἴτε ἁμαρτήμασιν. ἀλλ' ἡμεῖς γε μὴ ἐπὶ πλεῖον ἡμᾶς αὐτοὺς ἀγνοήσωμεν, μηδὲ τὸν περὶ ταῦτα κόσμον ἀτιμάσωμεν. ἀλλ' εἰ μὴ τὴν ἔχθραν καταλύσασθαι δυνατόν, ἐκεῖνό γε συμβῶμεν ἀλλήλοις, μυστικῶς τὰ μυστικὰ φθέγγεσθαι, καὶ ἁγίως τὰ ἅγια· καὶ μὴ ῥιπτεῖν εἰς βεβήλους ἀκοὰς τὰ μὴ ἔκφορα· μηδὲ σεμνοτέρους ἡμῶν ἀποφαίνωμεν τοὺς προσκυνοῦντας τοῖς δαιμονίοις, καὶ τῶν αἰσχρῶν μύθων καὶ πραγμάτων θεραπευτάς, οἳ θᾶττον ἂν τοῦ αἵματος, ἢ λόγων ἔστιν ὧν μεταδοῖεν τοῖς ἀμυήτοις. ἀλλ' εἰδῶμεν ὥσπερ ἐσθῆτος καὶ διαίτης, καὶ γέλωτος, καὶ βαδίσματος οὖσάν τινα κοσμιότητα, οὕτω καὶ λόγου καὶ σιωπῆς, ὅτι καὶ λόγον πρεσβεύομεν μετὰ τῶν ἄλλων τοῦ θεοῦ προσηγοριῶν καὶ δυνάμεων. ἔστω καὶ τὸ φιλόνεικον ἡμῶν ἔννομον. τί γένηται ἀκούσας θεοῦ καὶ κτίσιν, καὶ θεὸν ἐξ οὐκ ὄντων, καὶ τομήν, καὶ διαίρεσιν, καὶ ἀνάλυσιν, ὁ πικρὸς τῶν λεγομένων ἀκροατής; τί δικαστὰς τοὺς κατηγόρους καθίζομεν; τί τὰ ξίφη τοῖς ἐχθροῖς ἐγχειρίζομεν; πῶς οἴει δέξεσθαι τὸν περὶ τούτων λόγον, ἢ μετ' οἵας τῆς διανοίας, ὁ τὰς μοιχείας ἐπαινῶν, καὶ τὰς παιδοφθορίας, καὶ προσκυνῶν τὰ πάθη. καὶ μηδὲν ὑπὲρ τὸ σῶμα ἐννοηθῆναι δυνάμενος. ὁ χθὲς καὶ πρώην ἑαυτῷ στήσας θεούς, καὶ τούτους ἐπὶ τοῖς αἰσχίστοις γνωριζομένους. οὐχ ὑλικῶς; οὐκ αἰσχρῶς; οὐκ ἀμαθῶς; οὐχ ὡς εἴωθεν; οὐ συνήγορον τῶν οἰκείων θεῶν, καὶ παθῶν τὴν σὴν θεολογίαν ποιήσεται; εἰ γὰρ αὐτοὶ ταῖς φωναῖς ταύταις ἐπηρεάζομεν, σχολῇ γ' ἂν ἐκείνους πείσομεν φιλοσοφεῖν ἐν τοῖς ἡμετέροις. καὶ εἰ παρ' ἑαυτῶν εἰσιν εὑρεταὶ κακῶν, πότε ἂν τῶν δεδογμένων ἀπόσχοιντο. ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος. ταῦτα οἱ πλεῖον ὑπὲρ τοῦ λόγου μαχόμενοι, ἢ ὅσον ἀρέσκει τῷ λόγῳ. καὶ ταὐτὸν πάσχοντες τοῖς μαινομένοις, οἳ τοὺς ἰδίους οἴκους ἀνάπτουσιν, ἢ τοὺς παῖδας σπαράττουσιν, ἢ τοὺς γονέας περιελαύνουσιν, ὡς ἀλλοτρίους νομίζοντες. ἐπεὶ δὲ ἀπεσκευασάμεθα τοῦ λόγου τὸ ἀλλότριον, καὶ εἰς τὴν ἀγέλην τῶν χοίρων, ἀπεπεμψάμεθα τὸν πολὺν λεγεῶνα κατὰ βυθῶν χωρήσαντα, ὃ δεύτερόν ἐστι, πρὸς ἡμᾶς αὐτοὺς ἴδωμεν. καὶ ξέσωμεν εἰς κάλλος ὥσπερ ἀνδριάντα τὸν θεολόγον. ἐκεῖνο δὲ πρότερον λογισώμεθα, τίς ἡ τοσαύτη περὶ τὸν λόγον φιλοτιμία καὶ γλωσσαλγία; τίς ἡ καινὴ νόσος αὕτη καὶ ἀπληστία. τί τὰς χεῖρας δήσαντες, τὰς γλώσσας ὡπλίσαμεν; οὐ φιλοξενίαν ἐπαινοῦμεν, οὐ φιλαδελφίαν, οὐ φιλανδρίαν, οὐ παρθενίαν, οὐ πτωχοτροφίαν θαυμάζομεν, οὐ ψαλμῳδίαν, οὐ παννυχίδα στάσιν, οὐ δάκρυον, οὐ τὸ σῶμα νηστείαις ὑποπιέζομεν, οὐ δι' εὐχῆς πρὸς θεὸν ἐκδημοῦμεν, οὐ τῷ κρείττονι τὸ χεῖρον ὑποζεύγνυμεν, τὸν χοῦν λέγω τῷ πνεύματι. ὡς ἂν οἱ τῷ κράματι δικαίως δικάζοντες, οὐ μελέτην θανάτου τὸν βίον ποιούμεθα, οὐ τῶν παθῶν δεσπόται καθιστάμεθα. μεμνημένοι τῆς ἄνωθεν εὐγενείας, οὐ θυμὸν τιθασσεύομεν, οἰδοῦντα καὶ ἀγριαίνοντα· οὐκ ἔπαρσιν καταβάλλουσαν, οὐ λύπην ἀλόγιστον, οὐχ ἡδονὴν ἀπαίδευτον, οὐ γέλωτα πορνικόν, οὐκ ὄψιν ἄτακτον, οὐκ ἀκοὴν ἄπληστον, οὐ λόγον ἄμετρον, οὐ διάνοιαν ἔκτοπον, οὐχ ὅσα παρ' ἡμῶν ὁ πονηρὸς καθ' ἡμῶν λαμβάνει, διὰ τῶν θυρίδων, ὡς ἡ γραφή φησιν, ἤτοι αἰσθητηρίων εἰσάγων θάνατον.

πᾶσι μὲν

σοὶ μὲν οὖν τοὐναντίον, καὶ τοῖς ἄλλοις πάθεσιν, ἐλευθερίαν δεδώκαμεν. ὥσπερ οἱ βασιλεῖς τὰς ἐπινικίους ἀφέσεις μόνον ἂν πρὸς ἡμᾶς νεύωσι, καὶ κατὰ θεοῦ φέρωνται θρασύτερον. καὶ κακὸν, οὐ καλοῦ πράγματος, μισθὸν ἀποδίδομεν, τῆς ἀσεβείας, τὴν παῤῥησίαν. καίτοι γε ὦ διαλεκτικὲ καὶ λάλε, ἐρωτήσω σέ τι μικρὸν, σὺ δὲ ἀπόκριναι, φησὶ τῷ ἰὼβ, ὁ διὰ λαίλαπος καὶ νεφῶν χρηματίζων. πότερον πολλαὶ μοναὶ παρὰ τῷ θεῷ, ὅπερ ἀκούεις, ἢ μία; πολλαὶ δώσεις δηλαδὴ, καὶ οὐ μία. πότερον δὲ πληρωθῆναι δεῖ πάσας, ἢ τὰς μὲν, τὰς δ' οὐχ ὡς εἶναι κενὰς καὶ μάτην ἡτοιμασμένας. καὶ πάσας. οὐδὲν γὰρ εἰκῆ τῶν παρὰ θεοῦ γενομένων. ταύτην δὲ, ὅτι ποτὲ δοκεῖς τὴν μονὴν, ἔχοις ἂν εἰπεῖν, ἆρα τὴν ἐκεῖθεν ἀνάπαυσίν τε καὶ δόξαν, τὴν ἀποκειμένην τοῖς μακαρίοις, ἢ ἄλλό τι; οὐκ ἄλλό τι, ἢ τοῦτο. ἐπειδὴ τοῦθ' ὡμολογήσαμεν, κἀκεῖνο προσεξετάσωμεν. ἔστι τί, τὸ ταύτας προξενοῦν τὰς μονὰς ὡς ὁ ἐμὸς λόγος, ἢ οὐδέν; ἔστι πάντως. τί τοῦτο; οὐ διάφοροι εἰσὶ πολιτεῖαι καὶ προαιρέσεις, ἡ ἄλλην ἀλλαχοῦ φέρουσα κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, ὅπερ καὶ ὁδοὺς ὀνομάζομεν. πάσας οὖν ὁδευτέον, ἢ τινὰς τῶν ὁδῶν τούτων. εἰ μὲν οἷόν τε, τὸν αὐτὸν πάσας· εἰ δὲ μὴ, ὅτι πλείστας· εἰ δὲ μὴ, τινάς· εἰ δὲ μηδὲ τοῦτο, μέγα κἂν εἰ μίαν διαφερόντως, ὥς γέ μοι φαίνεται. ὀρθῶς τοῦτο ὑπολαμβάνεις. τί οὖν ὅταν ἀκούσῃς, μίαν ὁδὸν εἶναι, καὶ ταύτην στενὴν, τί σοι φαίνεται δηλοῦν ὁ λόγος; μίαν μὲν, διὰ τὴν ἀρετήν. μία γὰρ, κἂν εἰς πολλὰ σχίζηται. στενὴν δὲ, διὰ τοὺς ἱδρῶτας, καὶ τὸ μὴ πολλοῖς εἶναι βατὴν, ὡς πρὸς τὸ πλῆθος τῶν ἐναντίων, καὶ ὅσοι διὰ τῆς κακίας ὁδεύουσιν. οὕτω κἀμοὶ δοκεῖ. τί δῆτα ὦ βέλτιστε, εἴπερ τοῦτο οὕτως ἔχει, ὥσπερ τινὰ πενίαν καταγνόντες τοῦ ἡμετέρου λόγου, πάσας τὰς ἄλλας ὁδοὺς ἀφέντες, πρὸς μίαν ταύτην φέρεσθε καὶ ὠθεῖσθε, τὴν διὰ λόγου καὶ θεωρίας, ὡς αὐτοὶ οἴεσθε. ὡς δὲ ἐγώ φημι, ἀδολεσχίας καὶ τερατείας. ἐπιτιμάτω παῦλος ὑμῖν, τοῦτο πικρῶς ὀνειδίζων μετὰ τὴν ἀπαρίθμησιν τῶν χαρισμάτων, ἐν οἷς, φησι, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται; καὶ τὰ ἑξῆς. ἔστω δὲ, ὑψηλὸς σὺ, καὶ ὑψηλῶν ὑπὲρ, καὶ ὑπὲρ τὰς νεφέλας εἰ βούλει, ὁ τῶν ἀθεάτων θεατὴς, ὁ τῶν ἀῤῥήτων ἀκροατὴς, ὁ μετὰ ἠλίαν μετάρσιος, καὶ ὁ μετὰ μωυσέα θεοφανείας ἠξιωμένος, καὶ μετὰ παῦλον οὐράνιος. τί καὶ τοὺς ἄλλους αὐθημερὸν πλάττεις ἁγίους, καὶ χειροτονεῖς θεολόγους, καὶ οἷον ἐμπνεῖς τὴν παίδευσιν, καὶ ποιεῖς λογίων ἀμαθῶν πολλὰ συνέδρια, τοῖς ἀραχνίοις ἐνδεσμεῖς τοὺς ἀσθενεστέρους, ὡς δή τι σοφὸν καὶ μέγα. τί σφηκιὰς ἐγείρεις κατὰ τῆς πίστεως; τί σχεδιάζεις ἡμῖν διαλεκτικῶν ἀνάδοσιν; ὥσπερ οἱ μῦθοι πάλαι τοὺς γίγαντας; τί τῶν ἀνδρῶν ὅσον κοῦφον, καὶ ἄνανδρον ὥσπέρ τινα συρφετὸν εἰς μίαν χαράδραν συναγαγὼν καὶ κολακείᾳ πλέον θηλύνας, καινὸν ἐργαστήριον ἐδημιούργησας, οὐκ ἀσόφως τὴν ἄνοιαν αὐτῶν ἐκκαρπούμενος; ἀντιλέγεις καὶ τούτοις, καὶ οὐδαμοῦ σοι τἆλλα; καὶ τὴν γλῶσσαν δεῖ δυναστεύειν πάντως, καὶ οὐ κατέχεις τὴν ὠδῖνα τοῦ λόγου; ἔχεις καὶ ἄλλας ὑποθέσεις πολλάς τε καὶ φιλοτίμους. ἐκεῖ τρέψον μετὰ τοῦ χρησίμου τὴν νόσον. βάλλε μοι πυθαγόρου τὴν σιωπὴν, καὶ τοὺς κυάμους τοὺς ὀρφικοὺς, καὶ τὴν περὶ τὸ αὐτὸς ἔφα καινοτέραν ἀλαζονείαν. βάλλε μοι πλάτωνος τὰς ἰδέας, καὶ τὰς μετενσωματώσεις, καὶ περιόδους τῶν ἡμετέρων ψυχῶν, καὶ τὰς ἀναμνήσεις, καὶ τοὺς οὐ καλοὺς διὰ τῶν καλῶν σωμάτων ἐπὶ ψυχὴν ἔρωτας· ἐπικούρου, τὴν ἀθεΐαν, καὶ τὰς ἀτόμους, καὶ τὴν ἀφιλόσοφον ἡδονήν· ἀριστοτέλους, τὴν μικρολόγον πρόνοιαν, καὶ τὸ ἔντεχνον, καὶ τοὺς θνητοὺς περὶ ψυχῆς λόγους, καὶ τὸ ἀνθρωπικὸν τῶν δογμάτων· τῆς στοᾶς, τὴν ὀφρῦν· τῶν κυνῶν, τὸ λίχνον τε καὶ ἀγοραῖον. βάλλε μοι τὸ κενὸν, τὸ πλῆρες τῶν ληρημάτων, ὅσα περὶ θεῶν ἢ θυσιῶν, περὶ εἰδώλων, περὶ δαιμόνων, ἀγαθοποιῶν τε καὶ κακοποιῶν, ὅσα περὶ μαντείας, θεαγωγίας, ψυχαγωγίας, ἄστρων δυνάμεως, τερατεύονται. εἰ δὲ σὺ, ταῦτα μὲν ἀπαξιοῖς λόγου, ὡς μικρά τε καὶ πολλάκις ἐληλεγμένα, περὶ δὲ τὰ σὰ στρέφῃ, καὶ ζητεῖς τὸ ἐν τούτοις φιλότιμον, ἐγώ σοι κἀνταῦθα παρέξομαι πλατείας ὁδούς. φιλοσόφει μοι περὶ κόσμου ἢ κόσμων, περὶ ὕλης, περὶ ψυχῆς, περὶ λογικῶν φύσεων βελτιόνων τε καὶ χειρόνων, περὶ ἀναστάσεως, κρίσεως, ἀνταποδόσεως, χριστοῦ παθημάτων. ἐν τούτοις γὰρ καὶ τὸ ἐπιτυγχάνειν οὐκ ἄχρηστον· καὶ τὸ διαμαρτάνειν, ἀκίνδυνον. θεῷ δὲ ἐντευξόμεθα νῦν μὲν ὀλίγα, μικρὸν δὲ ὕστερον, ἴσως τελεώτερον. ἐν αὐτῷ τῷ χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ, ΛΟΓΟΣ δεύτερος.

Πέρας ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον, οἷόν τε εἶναι χρὴ διαλεχθέντες, καὶ οἷς φιλοσοφητέον, καὶ ἡνίκα, καὶ ὅσον, ὅτι ὡς οἷόν τε καθαρόν, ἵνα φωτὶ καταλαμβάνηται φῶς, καὶ τοῖς ἐπιμελεστέροις, ἵνα μὴ ἄγονος ᾖ, εἰς ἄγονον χώραν ἐμπίπτων ὁ λόγος. καὶ ὅταν γαλήνην ἔχωμεν ἔνδον ἀπὸ τῆς ἔξω περιφορᾶς, ὥστε μὴ καθάπερ οἱ λυττῶντες, τῷ πνεύματι διακόπτεσθαι, καὶ ὅσον ἐχωρήσαμεν, ἢ χωρούμεθα, ἐπειδὴ ταῦτα οὕτω, καὶ νεώσαμεν ἑαυτοῖς θεῖα νεώματα, ὥστε μὴ σπείρειν ἐπ᾽ ἀκάνθαις, καὶ τὸ πρόσωπον τῆς γῆς ὡμαλίσαμεν, τῇ γραφῇ τυπωθέντες τε καὶ τυπώσαντες, φέρε τοῖς τῆς θεολογίας ἤδη προσβῶμεν λόγοις, προστησάμενοι τοῦ λόγου, τὸν πατέρα καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, περὶ ὧν ὁ λόγος. ὥστε τὸν μὲν εὐδοκεῖν, τὸν δὲ συνεργεῖν, τὸ δὲ ἐμπνεῖν, μᾶλλον δὲ μίαν ἐκ τῆς μιᾶς θεότητος γενέσθαι τὴν ἔλλαμψιν, ἑνικῶς διαιρουμένην, καὶ συναπτομένην διαιρετῶς, ὃ καὶ παράδοξον. αἰτοῦντι δέ μοι προθύμως ἤδη τὸ ὄρος, ἢ τό γε ἀληθέστερον εἰπεῖν, προθυμουμένῳ τε ἅμα καὶ ἀγωνιῶντι, τὸ μὲν διὰ τὴν ἐλπίδα, τὸ δὲ διὰ τὴν ἀσθένειαν, ἵνα τῆς νεφέλης εἴσω γένωμαι, καὶ θεῷ συγγένωμαι. τοῦτο γὰρ κελεύει θεός. εἰ μέν τις Ἀαρών, συνανίτω, καὶ στηκέτω πλησίον, κἂν ἔξω μένειν τῆς νεφέλης δέῃ, τοῦτο δεχόμενος. εἰ δέ τις Ναδάβ, ἢ Ἀβιούδ, ἢ τῆς γερουσίας, ἀνίτω μέν, ἀλλὰ στηκέτω πόρρωθεν, κατὰ τὴν ἀξίαν τῆς καθάρσεως. εἰ δέ τις τῶν πολλῶν καὶ ἀναξίων ὕψους τοιούτου καὶ θεωρίας, εἰ μὲν ἄναγνος πάντη, μηδὲ προσίτω. οὐ γὰρ ἀσφαλές. εἰ δὲ πρόσκαιρα γοῦν ἡγνισμένος, κάτω μενέτω, καὶ μόνης ἀκουέτω τῆς φωνῆς καὶ τῆς σάλπιγγος, τῶν ψιλῶν τῆς εὐσεβείας ῥημάτων, καὶ καπνιζόμενόν τε τὸ ὄρος βλεπέτω, καὶ καταστραπτόμενον, ἀπειλήν τε ὁμοῦ καὶ θαῦμα τοῖς ἀνιέναι μὴ δυναμένοις. εἰ δέ τις θηρίον ἐστὶ πονηρὸν καὶ ἀνήμερον, καὶ ἀνεπίδεκτον πάντη λόγων θεωρίας καὶ θεολογίας, μὴ ἐμφωλευέτω ταῖς ὕλαις κακούργως καὶ κακοήθως, ἵνα τινὸς λάβηται δόγματος ἢ ῥήματος, ἀθρόον προσπηδῆσαν, καὶ σπαράξῃ τοὺς ὑγιαίνοντας λόγους ταῖς ἐπηρείαις. ἀλλ᾽ ἔτι πόρρωθεν στηκέτω καὶ ἀποχωρείτω τοῦ ὄρους, ἢ λιθοβοληθήσεται καὶ συντριβήσεται, καὶ ἀπολεῖται κακὸς κακῶς. λίθοι γὰρ τοῖς θηριώδεσιν, οἱ ἀληθεῖς λόγοι καὶ στερροί. εἴτε πάρδαλις εἴη, συναποθνησκέτω τοῖς ποικίλμασιν. εἴτε λέων ἁρπάζων καὶ ὠρυόμενος, καὶ ζητῶν ἥν τινα βρῶσιν ποιήσηται, τῶν ἡμετέρων ψυχῶν ἢ λέξεων. εἴτε σῦς καταπατῶν τοὺς καλούς τε καὶ διαυγεῖς μαργαρίτας τῆς ἀληθείας. εἴτε λύκος Ἀραβικὸς καὶ ἀλλόφυλος, ἢ καὶ τούτων ὀξύτερος τοῖς σοφίσμασιν. εἴτε ἀλώπηξ, δολερά τις ψυχὴ καὶ ἄπιστος, καὶ ἄλλοτε ἄλλη τοῖς καιροῖς, καὶ ταῖς χρείαις συμμορφουμένη, ἣν νεκρὰ τρέφει, καὶ ὀδώδοτα σώματα, ἢ ἀμπελῶνες μικροί, τῶν μεγάλων διαπεφευγότων. εἴτε τι ἄλλο τῶν ὠμοβόρων, καὶ ἀποβλήτων τῷ νόμῳ, καὶ οὐ καθαρῶν εἰς βρῶσίν τε καὶ ἀπόλαυσιν. βούλεται γὰρ τούτων ἀποχωρήσας ὁ λόγος, οὕτω πλαξὶ στερραῖς καὶ λιθίναις ἐγγράφεσθαι, καὶ ταύταις ἀμφοτέρωθεν, διά τε τὸ φαινόμενον τοῦ νόμου, καὶ τὸ κρυπτόμενον. τὸ μὲν τοῖς πολλοῖς, καὶ κάτω μένουσι, τὸ δὲ τοῖς ὀλίγοις καὶ ἄνω φθάνουσι. τί τοῦτο ἔπαθον, ὦ φίλοι, καὶ μύσται, καὶ τῆς ἀληθείας συνερασταί; ἔτρεχον μέν, ὡς θεὸν καταληψόμενος, καὶ οὕτως ἀνῆλθον ἐπὶ τὸ ὄρος, καὶ τὴν νεφέλην διέσχον εἴσω γενόμενος ἀπὸ τῆς ὕλης καὶ τῶν ὑλικῶν, καὶ εἰς ἐμαυτὸν ὡς οἷόν τε συστραφείς. ἐπεὶ δὲ προσέβλεψα, μόλις εἶδον θεοῦ τὰ ὀπίσθια. καὶ τοῦτο τῇ πέτρᾳ σκεπασθείς, τῷ σαρκωθέντι δι᾽ ἡμᾶς λόγῳ. καὶ μικρὸν διακύψας, οὐ τὴν πρώτην τε καὶ ἀκήρατον φύσιν, καὶ ἑαυτῇ, λέγω δὴ τῇ τριάδι γινωσκομένην, καὶ ὅση τοῦ πρώτου καταπετάσματος εἴσω μένει, καὶ ὑπὸ τῶν χερουβὶμ συγκαλύπτεται, ἀλλ᾽ ὅση τελευταία, καὶ εἰς ἡμᾶς φθάνουσα. ἡ δέ ἐστιν, ὅσα ἐμὲ γινώσκειν, ἡ ἐν τοῖς κτίσμασι, καὶ τοῖς ὑπ᾽ αὐτοῦ προβεβλημένοις καὶ διοικουμένοις μεγαλειότης, ἢ ὡς ὁ θεῖος Δαβὶδ ὀνομάζει, μεγαλοπρέπεια. ταῦτα γὰρ θεοῦ τὰ ὀπίσθια, ὅσα μετ᾽ ἐκεῖνον ἐκείνου γνωρίσματα. ὥσπερ αἱ καθ᾽ ὑδάτων ἡλίου σκιαὶ καὶ ἐμφάσεις ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον, ἐπεὶ μὴ αὐτὸν προσβλέπειν οἷόν τε, τῷ ἀκραιφνεῖ τοῦ φωτὸς νικῶντα τὴν αἴσθησιν. οὕτως οὖν θεολογήσεις. κἂν ᾖς Μωυσῆς, καὶ Φαραὼ θεός, κἂν μέχρι τρίτου κατὰ τὸν Παῦλον οὐρανοῦ φθάσῃς, καὶ ἀκούσῃς ἄρρητα ῥήματα, κἂν ὑπὲρ ἐκεῖνον γένῃ, ἀγγελικῆς τινος ἢ ἀρχαγγελικῆς στάσεώς τε καὶ τάξεως ἠξιωμένος. καὶ γὰρ εἰ οὐράνιον ἅπαν, καὶ ὑπερουράνιόν τι, καὶ πολὺ τῆς φύσεως ὑψηλότερον ἡμῶν, καὶ ἐγγυτέρω θεοῦ, πλεῖον ἀπέχει θεοῦ, καὶ τῆς τελείας καταλήψεως, ἢ ὅσον ἡμῶν ὑπεραίρει τοῦ συνθέτου τε καὶ ταπεινοῦ, καὶ κάτω βρίθοντος κράματος. ἀρκτέον οὖν οὕτω πάλιν. θεὸν νοῆσαι μὲν χαλεπόν, φράσαι δὲ ἀδύνατον, ὥς τις τῶν παρ᾽ Ἕλλησι θεολόγων ἐφιλοσόφησεν, οὐκ ἀτέχνως ἐμοὶ δοκεῖν, ἵνα καταληφθῆναι δόξῃ, τῷ χαλεπὸν εἰπεῖν, καὶ διαφύγῃ τῷ ἀνεκφράστῳ τὸν ἔλεγχον, ἀλλὰ

ἀλλὰ φράσαι μὲν ἀδύνατον, ὡς ὁ ἐμὸς λόγος· νοῆσαι δὲ, ἀδυνατώτερον. τὸ μὲν γὰρ νοηθὲν, τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντῃ τὰ ὦτα διεφθαρμένῳ, καὶ νωθρῷ τὴν διάνοιαν. τὸ δὲ τοσοῦτο πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν πάντως ἀδύνατον καὶ ἀμήχανον, μὴ ὅτι τοῖς καταβεβλημένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις, καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει, καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ, καὶ τὸ παχὺ τοῦτο σαρκίον, πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν, οὐκ οἶδα εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσιν, αἳ διὰ τὸ πλησίον εἶναι θεοῦ, καὶ ὅλῳ τῷ φωτὶ καταλάμπεσθαι, τυχὸν ἂν καὶ τρανοῖντο, εἰ καὶ μὴ πάντῃ, ἀλλ' ἡμῶν γε τελεώτερόν τι καὶ ἐκτυπώτερον· καὶ ἄλλων ἄλλαι πλεῖον ἢ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς τάξεως. τοῦτο μὲν οὖν ἐνταῦθα κείσθω. τὸ δὲ ἡμέτερον, οὐχ ἡ εἰρήνη τοῦ θεοῦ μόνον ὑπερέχει πάντα νοῦν καὶ κατάληψιν, οὐδὲ ὅσα τοῖς δικαίοις ἐστὶν ἐν ἐπαγγελίαις ἀποκείμενα, τὰ μήτε ὀφθαλμοῖς ὁρατὰ, μήτε ὠσὶν ἀκουστὰ, μήτε διανοίᾳ θεωρητὰ, κατὰ τὰ μικρὸν γοῦν, οὐδὲ ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις. καὶ γὰρ καὶ ταύτης, πείσθητι τὰς σκιὰς ἔχειν μόνον, ὅταν ἀκούσῃς· ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, καὶ τὸν ἐν αὐτοῖς πάγιον λόγον, ὡς οὐχὶ νῦν ὁρῶν. ὀψόμενος δὲ ἔστιν ὅτε. ἀλλὰ πολὺ πρὸ τούτων ἡ ὑπὲρ ταῦτα, καὶ ἐξ ἧς ταῦτα φύσις ἄληπτός τε καὶ ἀπερίληπτος. λέγω δὲ, οὐχ ὅτι ἔστιν, ἀλλ' ἥτις ἐστίν. οὐ γὰρ κενὸν τὸ κήρυγμα ἡμῶν, οὐδὲ ματαία ἡ πίστις ἡμῶν, οὐδὲ τοῦτό ἐστιν ὃ δογματίζομεν. μὴ πάλιν τὴν εὐγνωμοσύνην ἡμῶν ἀθεΐας λάβῃς ἀρχὴν καὶ συκοφαντίας, καὶ κατεπαρθῇς ὡς ὁμολογοῦντι τὴν ἄγνοιαν. πλεῖστον γὰρ διαφέρει τοῦ εἶναί τι πεπεῖσθαι, τὸ τί ποτέ ἐστι τοῦτο εἰδέναι. τοῦ μὲν γὰρ εἶναι θεὸν, καὶ τὴν πάντων ποιητικήν τε καὶ συνεκτικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος. ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα καὶ πεπηγόσι καλῶς καὶ ὁδεύουσι, καὶ ἀκινήτως ἵνα οὕτως εἴπω κινουμένοις καὶ φερομένοις. ὁ δὲ διὰ τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τούτων συλλογιζόμενος. πῶς γὰρ ἂν καὶ ὑπέστη τόδε τὸ πᾶν ἢ συνέστη, μὴ θεοῦ τὰ πάντα καὶ οὐσιώσαντος, καὶ συνέχοντος. οὐδὲ γὰρ κιθάραν τις ὁρῶν κάλλιστα ἠσκημένην, καὶ τὴν ταύτης εὐαρμοστίαν, καὶ εὐταξίαν, ἢ τῆς κιθαρῳδίας αὐτῆς ἀκούων, ἄλλο τι ἢ τὸν τῆς κιθάρας δημιουργὸν, καὶ τὸν κιθαρῳδὸν ἐννοήσει, καὶ πρὸς αὐτὸν ἀναδραμεῖται τῇ διανοίᾳ, κἂν ἀγνοῶν τύχῃ ταῖς ὄψεσιν, οὕτω καὶ ἡμῖν τὸ ποιητικὸν, δῆλον. καὶ τὸ κινοῦν, καὶ τηροῦν τὰ πεποιημένα, κἂν μὴ διανοίᾳ περιλαμβάνηται, καὶ λίαν ἀγνώμων, ὁ μὴ μέχρι τούτων προϊὼν ἑκουσίως καὶ ταῖς φυσικαῖς ἑπόμενος ἀποδείξεσιν. ἀλλ' οὐδὲ τοῦτο εἶναι θεὸν, ὅπερ ἐφαντάσθημεν, ἢ ἀνετυπωσάμεθα, ἢ λόγος ὑπέγραψεν. εἰ δέ τις ἐν περινοίᾳ τούτου ποτὲ καὶ ἐπὶ ποσὸν ἐγένετο, τίς ἡ ἀπόδειξις; τίς οὕτως εἰς ἔσχατον σοφίας ἀφίκετο; τίς τοσούτου χαρίσματος ἠξιώθη ποτέ; τίς οὕτω τὸ στόμα τῆς διανοίας ἤνοιξε, καὶ εἵλκυσε πνεῦμα, ἵνα τῷ τὰ πάντα ἐρευνῶντι καὶ γινώσκοντι, καὶ τὰ βάθη τοῦ θεοῦ πνεύματι, θεὸν καταλάβῃ. καὶ μηκέτι τοῦ πρόσω δέηται, τὸ ἔσχατον ὀρεκτὸν ἔχων ἤδη, καὶ εἰς ὃ πᾶσα σπεύδει καὶ πολιτεία τοῦ ὑψηλοῦ καὶ διάνοια. τί γάρ ποτε ὑπολήψῃ τὸ θεῖον; εἴπερ ὅλως ταῖς λογικαῖς πιστεύεις ἐφόδοις. ἢ πρὸς τί σε ὁ λόγος ἀνάξει βασανιζόμενος, ὦ φιλοσοφώτατε σὺ, καὶ θεολογικώτατε, καὶ καυχώμενε εἰς τὰ ἄμετρα. πότερον σῶμα, καὶ πῶς τὸ ἄπειρον, καὶ ἀόριστον, καὶ ἀσχημάτιστον, καὶ ἀναφὲς, καὶ ἀόρατον, ἢ καὶ ταῦτα σώματα, τῆς ἐξουσίας. οὐ γὰρ αὕτη φύσις σωμάτων. ἢ σῶμα μὲν, οὐχί. ταῦτα δὲ τῆς παχύτητος, ἵνα μηδὲν πλέον ἡμῶν ἔχῃ τὸ θεῖον. πῶς γὰρ σεπτὸν, εἰ περιγραπτόν; ἢ πῶς φεύξεται τὸ ἐκ στοιχείων συγκεῖσθαι, καὶ εἰς αὐτὰ πάλιν ἀναλύεσθαι, καὶ ὅλως λύεσθαι. σύνθεσις γὰρ, ἀρχὴ μάχης. μάχη δὲ, διαστάσεως. ἡ δὲ, λύσεως. λύσις δὲ ἀλλότριον πάντῃ θεοῦ, καὶ τῆς πρώτης φύσεως. οὐκοῦν διάστασις, ἵνα λύσις· οὐδὲ μάχη, ἵνα μὴ διάστασις· οὐδὲ σύνθεσις, ἵνα μὴ μάχη. διὰ τοῦτο οὐδὲ σῶμα, ἵνα μὴ σύνθεσις, ἐκ τῶν τελευταίων ἐπὶ τὰ πρῶτα ὁ λόγος ἀνιὼν, οὕτως ἵσταται. πῶς δὲ καὶ σωθήσεται, τὸ διὰ πάντων διήκειν, καὶ πληροῦν τὰ πάντα θεὸν, κατὰ τὸ, οὐχὶ τὸν οὐρανὸν, καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος; καὶ πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην. εἰ τὸ μὲν περιγράφει, τὸ δὲ περιγράφοιτο. ἢ γὰρ διὰ κενοῦ χωρήσει τοῦ παντὸς, καὶ τὰ πάντα οἰχήσεται ἡμῖν. ἵν' ὑβρισθῇ θεὸς καὶ σῶμα γενόμενος, καὶ οὐκ ἔχων ὅσα πεποίηκεν. ἢ σῶμα ἐν σώμασιν ἔσται ὅπερ ἀδύνατον, ἢ πλακήσεται καὶ ἀντιπαρατεθήσεται, ἢ ὥσπερ ὅσα τῶν ὑγρῶν μίγνυται, καὶ τὸ μὲν τέμνει, τὸ δὲ τμηθήσεται, ὃ καὶ τῶν Ἐπικουρείων ἀτόμων ἀτοπώτερόν τι καὶ γραωδέστερον. καὶ οὕτω διαπεσεῖται ἡμῖν, καὶ σῶμα οὐχ ἕξει, οὐδὲ πῆξίν τινα ὁ περὶ τοῦ σώματος λόγος. εἰ δὲ ἄϋλον φήσομεν, εἰ μὲν τὸ πέμπτον, ὥς τισιν ἔδοξε, καὶ τὴν κύκλῳ φορὰν φερόμενον, ἔστω μὲν ἄϋλόν τι καὶ πέμπτον σῶμα. εἰ βούλονται δὲ, καὶ ἀσώματον, κατὰ τὴν αὐτόνομον αὐτῶν τοῦ λόγου φορὰν καὶ ἀνάπλασιν. οὐδὲν γὰρ νῦν περὶ τούτου διοίσομαι.

κατὰ τί δὲ τῶν κινουμένων ἔσται καὶ φερομένων. ἵνα μὴ λέγω τὴν ὕβριν, εἰ τὰ αὐτὰ τοῖς πεποιημένοις ὁ ποιητικῶς κινηθήσεται, καὶ τοῖς φερομένοις ὁ φέρων, εἴ γε καὶ τοῦτο δώσουσι. τί δαὶ τὸ, τοῦτο πάλιν κινοῦν; τί δὲ τὸ, πᾶν κινοῦν, καὶ ἐκεῖνο τί. καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο, εἰς ἄπειρον. πῶς δαὶ οὐκ ἐν τόπῳ πάντως, εἴ γε φερόμενον. εἰ δὲ, ἄλλο τι παρὰ τὸ πέμπτον φήσουσιν, εἰ μὲν ἀγγελικὸν, πόθεν ὅτι ἄγγελοι σώματα, καὶ τίνα ταῦτα, καὶ πόσον ὑπὲρ ἄγγελον, εἰ θεὸς, οὗ λειτουργὸς ἄγγελος. εἰ δὲ ὑπὲρ ταῦτα, πάλιν εἰσήχθη σωμάτων ἑσμὸς ἀλόγιστος, καὶ φλυαρίας βυθὸς, οὐδαμοῦ στῆναι δυνάμενος. οὕτω μὲν οὖν, οὐ σῶμα ἡμῖν ὁ θεός. οὐδὲ γὰρ ἤδη τις τοῦτο τῶν θεοπνεύστων εἶπεν ἢ παρεδέξατο, οὐδὲ τῆς ἡμετέρας αὐλῆς ὁ λόγος. λείπεται δὴ, ἀσώματον ὑπολαμβάνειν. ἀλλ' εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικόν τε καὶ περιεκτικὸν, ὥσπερ οὐδὲ τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον καὶ τὸ ἄφθαρτον, καὶ ὅσα περὶ θεοῦ, ἢ περὶ θεὸν εἶναι λέγεται. τί γὰρ ὄντι αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν ὑπόστασιν, ὑπάρχει, τὸ μὴ ἀρχὴν ἔχειν μηδὲ ἐξίστασθαι, μηδὲ περατοῦσθαι, ἀλλ' ὅλον τὸ εἶναι περιλαμβάνειν, λείπεται προσφιλοσοφεῖν τε καὶ προσεξετάζειν τὸν γε νοῦν θεοῦ ἀληθῶς ἔχοντι καὶ τελεώτερον, τὴν θεωρίαν. ὡς γὰρ οὐκ ἀρκεῖ τὸ, σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ, καὶ τὸ περὶ ὃ ταῦτα παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελέως καὶ ἀρκούντως τὸ νοούμενον παραστήσεσθαι (ἢ γὰρ ἄνθρωπος, ἢ βοῦς, ἢ ἵππος τοῦτο τὸ σῶμα τὸ καὶ γεννώμενον, καὶ φθειρόμενον) οὕτως οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν, ἃ μή ἐστιν ὁ τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν. ἀλλὰ δεῖ πρὸς τῷ εἰπεῖν ἃ μή ἐστι, καὶ ὅ ἐστιν εἰπεῖν. ὅσῳ καὶ ῥᾷον ἕν τι περιλαβεῖν, ἢ τὰ πάντα καθ' ἕκαστον ἀπειπεῖν, ἵν' ἐκ τε τῆς ἀναιρέσεως ὧν οὐκ ἔστι, καὶ τῆς οὗ ἐστι θέσεως, περιληφθῇ τὸ νοούμενον. ὁ δὲ, ἃ μὲν οὐκ ἔστι λέγων, σιωπῶν δὲ ὅ ἐστι, παραπλήσιον, ὥσπερ ἂν, εἴ τις τὰ δὶς πέντε ὅσα ἐστὶν ἐρωτώμενος, ὅτι μὲν οὐ δύο λέγοι, οὐδὲ τρεῖς, οὐδὲ τέσσαρες, οὐδὲ πέντε, οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα, οὐδ' ἵνα συνελὼν εἴπω τῶν ἐντὸς δεκάδος ἢ δεκαδικῶν ἀριθμῶν. ὅτι δὲ ἐστι δέκα, μὴ λέγοι, μηδὲ ἐπέχοι τὸν νοῦν, τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον. πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ ὅ ἐστιν εἰπεῖν, ὅσα οὐκ ἔστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀναιρεῖν ἃ μὴ ἔστιν, ὅ ἐστιν ἐνδείξασθαι. ἢ τοῦτο μὲν παντὶ δῆλον. ἐπεὶ δὲ ἀσώματον ἡμῖν τὸ θεῖον, μικρόν τι προσεξετάσωμεν. πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου. εἰ μὲν γὰρ οὐδαμοῦ, ζητήσειε τις ἂν τῶν ἄγαν ἐξεταστικῶν, πῶς ἂν καὶ εἴη. εἰ γὰρ τὸ μὴ ὂν, οὐδαμοῦ, τὸ μηδαμοῦ, τυχὸν οὐδὲ ὄν. εἰ δέ ἐστί που, πάντως ἐπείπερ ἔστιν, ἢ ἐν τῷ παντὶ, ἢ ὑπὲρ τὸ πᾶν. ἀλλ' εἰ μὲν ἐν τῷ παντὶ, ἢ τινὶ, ἢ πανταχοῦ. καὶ εἰ μὲν ἔν τινι, ὑπ' ἐλάττονος περιγραφήσεται τοῦ τινός. εἰ δὲ πανταχοῦ, ὑπὸ πλείονος καὶ ἄλλου πολλοῦ. λέγω δὲ τὸ περιεχόμενον τοῦ περιέχοντος. εἰ τὸ πᾶν ὑπὸ τοῦ παντὸς μέλλει περιεχήσεσθαι, καὶ μηδένα τόπον εἶναι περιγραφῆς ἐλεύθερον. ταῦτα μὲν εἰ ἐν τῷ παντὶ, καὶ ποῦ, πρὶν γενέσθαι τὸ πᾶν. οὐδὲ γὰρ τοῦτο μικρὸν, εἰς ἀπορίαν. εἰ δὲ ὑπὲρ τὸ πᾶν, ἆρ' οὐδὲν ἦν τὸ διεῖργον αὐτὸ τοῦ παντός. ποῦ δὲ τὸ ὑπὲρ τοῦτο, καὶ πῶς ἂν νοηθείη τὸ ὑπεραῖρον, καὶ ὑπεραιρόμενον, οὐκ ὄντος ὅρου τινὸς τοῦ τέμνοντος ταῦτα καὶ διορίζοντος. ἢ χρὴ πάντως εἶναι τὸ μέσον, καὶ ᾧ περατοῦται τὸ πᾶν καὶ τὸ ὑπὲρ τὸ πᾶν. καὶ τί ἄλλο τοῦτο, ἢ τόπος ἐστὶν ὃν περιεφύγομεν, καὶ οὔπω λέγω τὸ, περιγραπτὸν πάντως εἶναι τὸ θεῖον, καὶ εἰ διανοίᾳ καταληπτόν. ἓν γὰρ περιγραφῆς εἶδος, καὶ ἡ κατάληψις. τίνος οὖν ἕνεκεν ταῦτα διῆλθον καὶ περιεργότερον ἴσως, ἢ κατὰ τὰς τῶν πολλῶν ἀκοὰς, καὶ κατὰ τὸν νῦν κεκρατηκότα τύπον τῶν λόγων, ὃς τὸ γενναῖον καὶ ἁπλοῦν ἀτιμάσας, τὸ σκολιὸν καὶ γριφῶδες ἐπεισήγαγεν, ὡς ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεσθαι, λέγω δὲ τὸ ἐνεργοῦν τὰ τοιαῦτα δόγματα σκότος, ἐκ τοῦ ζόφου τῶν λεγομένων. οὐ γὰρ ἵνα καὶ αὐτὸς παράδοξα λέγειν δόξω, καὶ περιττὸς φαίνωμαι τὴν σοφίαν, πλέκων συνδέσμους, καὶ διαλύων κρατούμενα, τοῦτο δὴ τὸ μέγα θαῦμα τοῦ Δανιήλ. ἀλλ' ἵν' ἐκεῖνο δηλώσαιμι, ὅ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε. τοῦτο δὲ τί ἦν; τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ θεῖον, μηδὲ ὅλον ὅσον ἐστὶ φαντάζεσθαι, καὶ τοῦτο οὔτε διὰ φθόνον. μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος τῆς γε ἀπαθοῦς καὶ μόνης ἀγαθῆς καὶ κυρίας, καὶ μάλιστα τῶν ἑαυτοῦ κτισμάτων περὶ τὸ τιμιώτατον. τί γὰρ λόγῳ, πρὸ τῶν λογικῶν ἐπεὶ καὶ αὐτὸ τὸ ὑποστῆναι, τῆς ἄκρας ἀγαθότητος, οὔτε εἰς τιμὴν ἑαυτοῦ καὶ δόξαν, τοῦ πλήρους, ἵνα τῷ ἀνεφίκτῳ τὸ τίμιον ἔχῃ καὶ τὸ σεβάσμιον. τοῦτο γὰρ πάντως σοφιστικὸν καὶ ἀλλότριον μὴ ὅτι θεοῦ, ἀλλ' οὐδὲ ἀνθρώπου μετρίως ἐπιεικοῦς, καὶ τι δεξιὸν ἑαυτῷ συνειδότος, ἐκ τοῦ κωλύειν ἑτέρους τὸ πρωτεῖον πορίζεσθαι. ἀλλ' εἰ μὲν καὶ δι' ἄλλας αἰτίας, εἰδεῖεν ἂν οἱ ἐγγυτέρω θεοῦ, καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων ἐπόπται καὶ θεωροί. εἴπερ εἰσί τινες τοσοῦτοι τὴν ἀρετὴν, καὶ οἱ ἴχνεσιν ἀβύσσου περιπατοῦντες τὸ δὴ λεγόμενον. ὅσον δ' οὖν ἡμεῖς κατειλήφαμεν, μικροῖς μέτροις μετροῦντες τὰ δυσθεώρητα, τάχα μὲν, ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως ῥᾷστα γένηται, καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. φιλεῖ γὰρ, τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι·

τὸ δὲ

τοῦ δὲ ῥᾳδίως κτηθὲν, καὶ ἀπορρίπτεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον. καὶ οὕτως εὐεργεσία καθίσταται, τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας τοῖς γε νοῦν ἔχουσιν. τάχα δὲ ὡς μὴ ταυτὸν ἡμᾶς τῷ πεσόντι Ἑωσφόρῳ παθεῖν, ἐκ τοῦ τὸ φῶς ὅλον χωρῆσαι, κατατείναντι κινεῖν τοῦ παντοκράτορος τραχηλιᾶν καὶ πίπτειν ἐκ τῆς ἐπάρσεως, πτῶμα πάντων ἐλεεινότατον. τυχὸν δὲ ἵν᾽ ᾖ τι πλέον ἐκεῖθεν ἆθλον φιλοπονίας καὶ λαμπρᾶς βιοτῆς τοῖς ἐνταῦθα κεκαθαρμένοις καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον. διὰ τοῦτο μέσος ἡμῶν τε καὶ θεοῦ, ὁ σωματικὸς οὗτος ἵσταται γνόφος, ὥσπερ ἡ νεφέλη τὸ πάλαι τῶν Αἰγυπτίων καὶ τῶν Ἑβραίων· καὶ τοῦτό ἐστιν ἴσως ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὴν ἡμετέραν παχύτητα, δι᾽ ἣν ὀλίγοι καὶ μικρὸν διακύπτουσι. τοῦτο μὲν οὖν φιλοσοφείτωσαν οἷς ἐπιμελὲς, καὶ ἀνιέτωσαν ἐπὶ πλεῖστον τῆς διασκέψεως. ἡμῖν δ᾽ οὖν ἐκεῖνο γνώριμον τοῖς δεσμίοις τῆς γῆς, ὅ φησιν ὁ θεῖος Ἱερεμίας, καὶ τὸ παχὺ τοῦτο σαρκίον περιβεβλημένοις. ὅτι ὥσπερ ἀδύνατον ὑπερβῆναι τὴν ἑαυτοῦ σκιὰν, καὶ τῷ λίαν ἐπειγομένῳ (φθάνει γὰρ ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται) ἢ τοῖς ὁρατοῖς πλησιάσαι τὴν ὄψιν δίχα τοῦ ἐν μέσῳ φωτὸς καὶ ἀέρος, ἢ τῶν ὑδάτων ἔξω τὴν νηκτὴν φύσιν διολισθαίνειν, οὕτως ἀμήχανον τοῖς ἐν σώματι, δίχα τῶν σωματικῶν, πάντῃ γενέσθαι μετὰ τῶν νοουμένων. ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς καὶ καθ᾽ ἑαυτὸν γενόμενος, προσβάλλειν ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις. γνώσῃ δὲ οὕτως· οὐ πνεῦμα, καὶ πῦρ, καὶ φῶς, ἀγάπη τε, καὶ σοφία, καὶ δικαιοσύνη, καὶ νοῦς, καὶ λόγος, καὶ τὰ τοιαῦτα, αἱ προσηγορίαι τῆς θείας φύσεως; τί οὖν; ἢ πνεῦμα νοήσεις δίχα φορᾶς καὶ χύσεως, ἢ πῦρ ἔξω τῆς ὕλης, καὶ τῆς ἄνω φορᾶς, καὶ τοῦ ἰδίου χρώματός τε καὶ σχήματος, ἢ φῶς οὐκ ἀέρι σύγκρατόν τε καὶ ἄφετον, τοῦ δὲ γεννῶντός τε καὶ φωτίζοντος; νοῦν δὲ τίνα; μὴ τὸν ἐν ἄλλῳ; καὶ οὗ κινήματα τὰ διανοήματα, ἠρεμοῦντα ἢ προβαλλόμενα. λόγον δὲ τίνα παρὰ τὸν ἡσυχάζοντα ἐν ἡμῖν, ἢ χεόμενον· ὀκνῶ γὰρ εἰπεῖν λυόμενον. εἰ δὲ καὶ σοφίαν, τίνα παρὰ τὴν ἕξιν, καὶ τὴν ἐν τοῖς θεωρήμασιν, εἴτε θείοις, εἴτε ἀνθρωπίνοις. δικαιοσύνην τε, καὶ ἀγάπην οὐ διαθέσεις ἐπαινουμένας· καὶ τὴν μὲν τῆς ἀδικίας, τὴν δὲ τοῦ μίσους ἀντίπαλον, ἐπιτεινομένας τε καὶ ἀνιεμένας, προσγινομένας τε καὶ ἀπογινομένας, καὶ ὅλως ποιούσας ἡμᾶς τοιούσδε καὶ ἀλλοιούσας, ὥσπερ αἱ χρόαι τὰ σώματα; ἢ δεῖ τούτων ἀποστάντας ἡμᾶς, αὐτὴν καθ᾽ ἑαυτὴν τὴν θεότητα ἰδεῖν ὡς οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων συλλεγομένους. τίς οὖν ἡ μηχανὴ ἐκ τούτων τε καὶ μὴ ταῦτα; ἢ πῶς ταῦτα πάντα καὶ τελέως ἕκαστον, τὸ ἐν τῇ φύσει ἀσύνθετον καὶ ἀνείκαστον. οὕτω κάμνει ἐκβῆναι τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς, καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς ἀσωμάτοις, ἕως σκοπεῖ μετὰ τῆς ἰδίας ἀσθενείας τὰ ὑπὲρ δύναμιν. ἐπεὶ ἐφίεται μὲν πᾶσα λογικὴ φύσις θεοῦ καὶ τῆς πρώτης αἰτίας. καταλαβεῖν δὲ ἀδυνατεῖ, δι᾽ ἃς εἴρηκα αἰτίας. κάμνουσα δὲ τῷ πόθῳ, καὶ οἷον σφαδάζουσα, καὶ τὴν ζημίαν οὐ φέρουσα, δεύτερον ποιεῖται πλοῦν, ἢ πρὸς τὰ ὁρώμενα βλέψαι καὶ τούτων τι ποιῆσαι θεὸν, κακῶς εἰδυῖα. τί γὰρ τῶν ὁρατῶν τοῦ ὁρῶντος, καὶ πόσον οὐχ ὑψηλότερόν τε καὶ θεοειδέστερον; ἵν᾽ ᾖ τὸ μὲν προσκυνοῦν, τὸ δὲ προσκυνούμενον. ἢ διὰ τοῦ κάλλους τῶν ὁρωμένων καὶ τῆς εὐταξίας, θεὸν γνωρίσαι. ὁδηγῷ τῇ ὄψει, τῶν ὑπὲρ τὴν ὄψιν χρήσασθαι, ἀλλὰ μὴ ζημιωθῆναι θεὸν διὰ τῆς μεγαλοπρεπείας τῶν ὁρωμένων. ἐντεῦθεν οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις, οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασι, κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως. οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, διὰ τὸ χρειῶδες. ὧν ἄνευ, οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον. οἱ δὲ ὅτι τύχοιεν ἕκαστος τῶν ὁρατῶν ἐσεβάσθησαν. ὧν ἑώρων τὰ κάλλιστα θεοὺς προστησάμενοι. εἰσὶ δὲ οἳ καὶ εἰκόνας, καὶ πλάσματα, πρῶτα μὲν τῶν οἰκείων, οἵ γε φιλοπαθέστεροι καὶ σωματικώτεροι, καὶ τιμῶντες τοὺς ἀπελθόντας τοῖς ὑπομνήμασιν. ἔπειτα καὶ τῶν ξένων, οἱ μετ᾽ ἐκείνους, καὶ μακρὰν ἀπ᾽ ἐκείνων, ἀγνοίᾳ τῆς πρώτης φύσεως, καὶ ἀκολουθίᾳ τῆς παραδοθείσης τιμῆς ὡς ἐννόμου καὶ ἀναγκαίας. ἐπειδὴ χρόνῳ τὸ ἔθος βεβαιωθὲν, ἐνομίσθη νόμος. οἶμαι δὲ καὶ δυναστείας τινὰς θεραπεύοντες, καὶ ῥώμην ἐπαινέσαντες, καὶ κάλλος θαυμάσαντες, θεὸν ἐποίησαν τῷ χρόνῳ τὸν τιμώμενον. προσλαβόμενοί τινα καὶ μῦθον τῆς ἀπάτης ἐπίκουρον. οἱ ἐμπαθέστεροι δὲ αὐτῶν, καὶ τὰ πάθη θεοὺς ἐνόμισαν, ἢ θεοῖς ἐτίμησαν θυμὸν καὶ μιαιφονίαν, καὶ ἀσέλγειαν, καὶ μέθην, καὶ οὐκ οἶδ᾽ ὅ, τι ἄλλο τῶν τούτοις παραπλησίων, οὐ καλὴν, οὐδὲ δικαίαν ταύτην ἀπολογίαν εὑράμενοι τῶν οἰκείων ἁμαρτημάτων· καὶ τοὺς μὲν ἀφῆκαν κάτω, τοὺς δὲ ὑπὸ γῆν ἔκρυψαν· τοῦτο συνετῶς μόνον, τοὺς δὲ ἀνήγαγον εἰς τὸν οὐρανόν. ὢ τῆς γελοίας κληροδοσίας. εἶτα ἑκάστῳ τῶν πλασμάτων ὄνομά τι θεῶν ἢ δαιμόνων ἐπιφημίσαντες, κατὰ τὴν ἐξουσίαν καὶ αὐτονομίαν τῆς πλάνης, καὶ ἀγάλματα ἱδρυσάμενοι, ὧν καὶ τὸ πολυτελὲς, δέλεαρ, αἵμασί τε καὶ κνίσσαις. ἔστι δὲ οἵ γε καὶ πράξεσι λίαν αἰσχραῖς, μανίαις τε καὶ ἀνθρωποκτονίαις, τοῦτο τιμᾶν ἐνόμισαν. τοιαύτας γὰρ ἔπρεπεν εἶναι θεῶν τοιούτων, καὶ τὰς τιμάς. ἤδη δὲ καὶ κνωδάλοις, καὶ τετραπόδοις, καὶ

καὶ τί δὲ τῶν κινουμένων ἔσται καὶ φερομένων, ἵνα μὴ λέγω τὴν ὕβριν, εἰ τὰ αὐτὰ τοῖς πεποιημένοις ὁ πεποιηκὼς κινηθήσεται, καὶ τοῖς φερομένοις ὁ φέρων, εἴ γε καὶ τοῦτο δώσουσι. τί δαὶ τὸ, τοῦτο πάλιν κινοῦν; τί δὲ τὸ, πᾶν κινοῦν, καὶ ἐκεῖνο τί. καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο, εἰς ἄπειρον. πῶς δαὶ οὐκ ἐν τόπῳ πάντως, εἴ γε φερόμενον. εἰ δὲ, ἄλλο τι παρὰ τὸ πέμπτον φήσουσιν, εἰ μὲν ἀγγελικὸν, πόθεν ὅτι ἄγγελοι σώματα, καὶ τίνα ταῦτα, καὶ πόσον ὑπὲρ ἄγγελον, εἰ Θεὸς, οὗ λειτουργὸς ἄγγελος. εἰ δὲ ὑπὲρ ταῦτα, πάλιν εἰσήχθη σωμάτων ἑσμὸς ἀλόγιστος, καὶ φλυαρίας βυθὸς, οὐδαμοῦ στῆναι δυνάμενος. οὕτω μὲν οὖν, οὐ σῶμα ἡμῖν ὁ Θεός. οὐδὲ γὰρ ἤδη τις τοῦτο τῶν θεοπνεύστων ἢ εἶπεν ἢ προσεδέξατο, οὐδὲ τῆς ἡμετέρας αὐλῆς ὁ λόγος. λείπεται δὴ, ἀσώματον ὑπολαμβάνειν. ἀλλ' εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικόν τε καὶ περιεκτικὸν, ὥσπερ οὐδὲ τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον καὶ τὸ ἄφθαρτον, καὶ ὅσα περὶ Θεοῦ, ἢ περὶ Θεὸν εἶναι λέγεται. τί γὰρ ὄντι αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν ὑπόστασιν, ὑπάρχει τὸ μὴ ἀρχὴν ἔχειν μηδὲ ἐξίστασθαι, μηδὲ περατοῦσθαι, ἀλλ' ὅλον τὸ εἶναι περιλαμβάνειν, λείπεται προσφιλοσοφεῖν τε καὶ προσεξετάζειν τῷ γε νοῦν Θεοῦ ἀληθῶς ἔχοντι καὶ τελεωτέρῳ, τὴν θεωρίαν. ὡς γὰρ οὐκ ἀρκεῖ τὸ, σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ, καὶ τὸ περὶ ὃ ταῦτα παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελέως καὶ ἀρκούντως τὸ νοούμενον παραστήσεσθαι (ἢ γὰρ ἄνθρωπος, ἢ βοῦς, ἢ ἵππος τοῦτο τὸ σῶμα τὸ καὶ γεννώμενον, καὶ φθειρόμενον) οὕτως οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν, ἃ μή ἐστιν ὁ τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν. ἀλλὰ δεῖ πρὸς τῷ εἰπεῖν ἃ μή ἐστι, καὶ ὅ ἐστιν εἰπεῖν. ὅσῳ καὶ ῥᾷον ἕν τι περιλαβεῖν, ἢ τὰ πάντα καθ' ἕκαστον ἀπειπεῖν, ἵνα ἔκ τε τῆς ἀναιρέσεως ὧν οὐκ ἔστι, καὶ τῆς οὗ ἐστι θέσεως, περιληφθῇ τὸ νοούμενον. ὁ δὲ, ἃ μὲν οὐκ ἔστι λέγων, σιωπῶν δὲ ὅ ἐστι, ποιεῖ παραπλήσιον, ὥσπερ ἂν, εἴ τις πέντε δὶς ὅσα ἐστὶν ἐρωτώμενος, ὅτι μὲν οὐ δύο λέγοι, οὐδὲ τρεῖς, οὐδὲ τέσσαρες, οὐδὲ πέντε, οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα, οὐδ' ἵνα συνελὼν εἴπω τῶν ἐντὸς δεκάδος ἢ δεκαδικῶν ἀριθμῶν. ὅτι δὲ εἰσὶ δέκα, μὴ λέγοι, μηδὲ ἐρείδοι τὸν νοῦν τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον. πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ ὅ ἐστιν εἰπεῖν, ὅσα οὐκ ἔστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀναιρεῖν ἃ μὴ ἔστιν, ὅ ἐστιν ἐνδείξασθαι. ἢ τοῦτο μὲν παντὶ δῆλον. ἐπεὶ δὲ ἀσώματον ἡμῖν τὸ θεῖον, μικρόν τι προσεξετάσωμεν. πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου. εἰ μὲν γὰρ οὐδαμοῦ, ζητήσειε τις ἂν τῶν ἄγαν ἐξεταστικῶν, πῶς ἂν καὶ εἴη. εἰ γὰρ τὸ μὴ ὂν, οὐδαμοῦ, τὸ μηδαμοῦ, τυχὸν οὐδὲ ὄν. εἰ δέ ἐστί που, πάντως ἐπείπερ ἔστιν, ἢ ἐν τῷ παντὶ, ἢ ὑπὲρ τὸ πᾶν. ἀλλ' εἰ μὲν ἐν τῷ παντὶ, ἢ τινὶ, ἢ πανταχοῦ. καὶ εἰ μὲν ἔν τινι, ὑπ' ἐλάττονος περιγραφήσεται τοῦ τινός. εἰ δὲ πανταχοῦ, ὑπὸ πλείονος καὶ ἄλλου πολλοῦ· λέγω δὲ τὸ περιεχόμενον τοῦ περιέχοντος. εἰ τὸ πᾶν ὑπὸ τοῦ παντὸς μέλλει περιεχήσεσθαι, καὶ μηδὲ εἷς τόπος εἶναι περιγραφῆς ἐλεύθερος. ταῦτα μὲν εἰ ἐν τῷ παντὶ, καὶ ποῦ, πρὶν γενέσθαι τὸ πᾶν. οὐδὲ γὰρ τοῦτο μικρὸν, εἰς ἀπορίαν. εἰ δὲ ὑπὲρ τὸ πᾶν, ἆρ' οὐδὲν ἦν τὸ διεῖργον αὐτὸ τοῦ παντός. ποῦ δὲ τὸ ὑπὲρ τοῦτο, καὶ πῶς ἐννοηθῆναι τὸ ὑπεραῖρον, καὶ ὑπεραιρόμενον, οὐκ ὄντος ὅρου τινὸς τοῦ τέμνοντος ταῦτα καὶ διορίζοντος. ἢ χρὴ πάντως εἶναι τὸ μέσον, καὶ ᾧ περατοῦται τὸ πᾶν καὶ τὸ ὑπὲρ τὸ πᾶν. καὶ τί ἄλλο τοῦτο, ἢ τόπος ἐστὶν ὃν ὑπερεφύγομεν, καὶ οὔπω λέγω τὸ, περιγραπτὸν πάντως εἶναι τὸ θεῖον, καὶ εἰ διανοίᾳ καταληπτόν. ἓν γὰρ περιγραφῆς εἶδος, καὶ ἡ κατάληψις. τίνος οὖν ἕνεκα ταῦτα διῆλθον καὶ περιεργότερον ἴσως, ἢ κατὰ τὰς τῶν πολλῶν ἀκοὰς, καὶ κατὰ τὸν νῦν κεκρατηκότα τύπον τῶν λόγων, ὃς τὸ γενναῖον καὶ ἁπλοῦν, ἀτιμάσας, τὸ σκολιὸν καὶ γριφῶδες ἐπεισήγαγεν, ὡς ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεσθαι, λέγω δὲ τὸ ἐνεργοῦν τὰ τοιαῦτα δόγματα σκότος, ἐκ τοῦ ζόφου τῶν λεγομένων. οὐ γὰρ ἵνα καὶ αὐτὸς παράδοξα λέγειν δόξω, καὶ περιττὸς φαίνωμαι τὴν σοφίαν, πλέκων συνδέσμους, καὶ διαλύων κρατούμενα, τοῦτο δὴ τὸ μέγα θαῦμα τοῦ Δανιήλ· ἀλλ' ἵν' ἐκεῖνο δηλώσαιμι, ὅ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε. τοῦτο δὲ τί ἦν; τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ θεῖον, μηδὲ ὅλον ὅσον ἐστὶ φαντάζεσθαι, καὶ τοῦτο οὐ διὰ φθόνον. μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος τῆς γε ἀπαθοῦς καὶ μόνης ἀγαθῆς καὶ κυρίας, καὶ μάλιστα τῶν ἑαυτοῦ κτισμάτων περὶ τὸ τιμιώτατον. τί γὰρ λόγῳ, πρὸ τῶν λογικῶν; ἐπεὶ καὶ αὐτὸ τὸ ὑποστῆναι, τῆς ἄκρας ἀγαθότητος, οὔτε εἰς τιμὴν ἑαυτοῦ καὶ δόξαν, τοῦ πλήρους, ἵνα τῷ ἀνεφίκτῳ τὸ τίμιον ἔχῃ καὶ τὸ σεβάσμιον. τοῦτο γὰρ πάντως σοφιστικὸν καὶ ἀλλότριον μὴ ὅτι Θεοῦ, ἀλλ' οὐδὲ ἀνθρώπου μετρίως ἐπιεικοῦς, καὶ τι δεξιὸν ἑαυτῷ συνειδότος, ἐκ τοῦ κωλύειν ἑτέρους τὸ πρωτεῖον πορίζεσθαι. ἀλλ' εἰ μὲν καὶ δι' ἄλλας αἰτίας, εἰδεῖεν ἂν οἱ ἐγγυτέρω Θεοῦ, καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων ἐπόπται καὶ θεωροί. εἴπερ εἰσί τινες τοσοῦτοι τὴν ἀρετὴν, καὶ ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες τὸ δὴ λεγόμενον. ὅσον δ' οὖν ἡμεῖς κατειλήφαμεν, μικροῖς μέτροις μετροῦντες τὰ δυσθεώρητα, τάχα μὲν, ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως ῥᾷστα γένηται, καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. φιλεῖ γὰρ, τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι·

τὸ δὲ ῥᾳδίως κτηθὲν, καὶ ἀπορρίπτεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον. καὶ οὕτως εὐεργεσία καθίσταται, τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας τοῖς γε νοῦν ἔχουσι, τάχα δὲ ὡς μὴ ταυτὸν ἡμᾶς τῷ πεσόντι ἑωσφόρῳ παθεῖν, ἐκ τοῦ τὸ φῶς ὅλον χωρῆσαι, κατ᾽ αὐτοῦ κινεῖν παντοκράτορος τραχηλιᾶν καὶ πίπτειν ἐκ τῆς ἐπάρσεως. πτῶμα πάντων ἐλεεινότατον. τυχὸν δὲ ἵν᾽ ᾖ τι πλέον ἐκεῖθεν ἆθλον φιλοπονίας καὶ λαμπρότητος τοῖς ἐνταῦθα κεκαθαρμένοις καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον. διὰ τοῦτο μέσος ἡμῶν τε καὶ θεοῦ, ὁ σωματικὸς οὗτος ἵσταται γνόφος ὥσπερ ἡ νεφέλη τὸ πάλαι τῶν αἰγυπτίων καὶ τῶν ἑβραίων· καὶ τοῦτό ἐστιν ἴσως ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὴν ἡμετέραν παχύτητα, δι᾽ ἣν ὀλίγοι καὶ μικρὸν διακύπτουσι. τοῦτο μὲν οὖν φιλοσοφείτωσαν οἷς ἐπιμελὲς, καὶ ἀνίτωσαν ἐπὶ πλεῖστον τῆς διασκέψεως. ἡμῖν δ᾽ οὖν ἐκεῖνο γνώριμον τοῖς δεσμίοις τῆς γῆς, ὅ φησιν ὁ θεῖος Ἱερεμίας. καὶ τὸ παχὺ τοῦτο σαρκίον περιβεβλημένοις. ὅτι ὥσπερ ἀδύνατον ὑπερβῆναι τὴν ἑαυτοῦ σκιὰν, καὶ τῷ λίαν ἐπειγομένῳ (φθάνει γὰρ ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται) ἢ τοῖς ὁρατοῖς πλησιάσαι τὴν ὄψιν δίχα τοῦ ἐν μέσῳ φωτὸς καὶ ἀέρος, ἢ τῶν ὑδάτων ἔξω τὴν νηκτὴν φύσιν διολισθαίνειν, οὕτως ἀμήχανον τοῖς ἐν σώματι, δίχα τῶν σωματικῶν, πάντη γενέσθαι μετὰ τῶν νοουμένων. ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς καὶ καθ᾽ ἑαυτὸν γενόμενος, προσβάλλειν ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις. γνώσῃ δὲ οὕτως. οὐ πνεῦμα, καὶ πῦρ, καὶ φῶς, ἀγάπη τε, καὶ σοφία, καὶ δικαιοσύνη, καὶ νοῦς, καὶ λόγος, καὶ τὰ τοιαῦτα, αἱ προσηγορίαι τῆς θείας φύσεως; τί οὖν; ἢ πνεῦμα νοήσεις δίχα φορᾶς καὶ χύσεως, ἢ πῦρ ἔξω τῆς ὕλης, καὶ τῆς ἀναφορᾶς, καὶ τοῦ ἰδίου χρώματός τε καὶ σχήματος, ἢ φῶς οὐκ ἀέρι σύγκρατόν τε καὶ ἄφετον, τοῦ δ᾽ οἷον γεννῶντός τε καὶ φωτίζοντος. νοῦν δὲ τίνα; μὴ τὸν ἐν ἄλλῳ; καὶ οὗ κινήματα τὰ διανοήματα, ἠρεμοῦντα ἢ προβαλλόμενα. λόγον δὲ τίνα παρὰ τὸν ἡσυχάζοντα ἐν ἡμῖν, ἢ χεόμενον· ὀκνῶ γὰρ εἰπεῖν λυόμενον. εἰ δὲ καὶ σοφίαν, τίνα παρὰ τὴν ἕξιν, καὶ τὴν ἐν τοῖς θεωρήμασιν, εἴτε θείοις, εἴτε ἀνθρωπίνοις. δικαιοσύνην τε, καὶ ἀγάπην οὐ διαθέσεις ἐπαινουμένας· καὶ τὴν μὲν τῆς ἀδικίας, τὴν δὲ τοῦ μίσους ἀντίπαλον. ἐπιτεινομένας τε καὶ ἀνιεμένας, προσγινομένας τε καὶ ἀπογινομένας, καὶ ὅλως ποιούσας ὑμᾶς καὶ ἀλλοιούσας, ὥσπερ αἱ χρόαι τὰ σώματα; ἢ δεῖ τούτων ἀποστάντας ἡμᾶς, αὐτὸ καθ᾽ ἑαυτὸ τὸ θεῖον ἰδεῖν ὡς οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων συλλεγομένους. τίς οὖν ἡ μηχανὴ ἐκ τούτων τε καὶ μὴ ταῦτα. ἢ πῶς ταῦτα πάντα καὶ τελέως ἕκαστον, τὸ ἐν τῇ φύσει ἀσύνθετον καὶ ἀνείκαστον. οὕτω κάμνει ἐκβῆναι τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς. καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς ἀσωμάτοις, ἕως σκοπεῖ μετὰ τῆς ἰδίας ἀσθενείας τὰ ὑπὲρ δύναμιν. ἐπεὶ ἐφίεται μὲν πᾶσα λογικὴ φύσις θεοῦ καὶ τῆς πρώτης αἰτίας. καταλαβεῖν δὲ ἀδυνατεῖ, δι᾽ ἃς εἶπον αἰτίας. κάμνουσα δὲ τῷ πόθῳ καὶ οἷον σφαδάζουσα, καὶ τὴν ζημίαν οὐ φέρουσα, δεύτερον ποιεῖται πλοῦν, ἢ πρὸς τὰ ὁρώμενα βλέψαι καὶ τούτων τι ποιῆσαι θεὸν, κακῶς εἰδυῖα. τί γὰρ τῶν ὁρατῶν τοῦ ὁρῶντος, καὶ πόσῳ τοῦ ὑψηλότερόν τε καὶ θεοειδέστερον; ἵν᾽ ᾖ τὸ μὲν προσκυνοῦν, τὸ δὲ προσκυνούμενον. ἢ διὰ τοῦ κάλλους τῶν ὁρωμένων καὶ τῆς εὐταξίας, θεὸν γνωρίσαι. ὁδηγῷ τῇ ὄψει, τῶν ὑπὲρ τὴν ὄψιν χρήσασθαι, ἀλλὰ μὴ ζημιωθῆναι θεὸν διὰ τῆς μεγαλοπρεπείας τῶν ὁρωμένων. ἐντεῦθεν οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις. οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασι, κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως. οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ. διὰ τὸ χρειῶδες. ὧν ἄνευ, οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον. οἱ δὲ ὅτι τύχοιεν ἕκαστος τῶν ὁρατῶν ἐσεβάσθησαν. ὧν ἑώρων τὰ κάλλιστα θεοὺς προστησάμενοι. εἰσὶ δὲ οἳ καὶ εἰκόνας, καὶ πλάσματα, πρῶτα μὲν τῶν οἰκείων οἵ γε φιλοπαθέστεροι καὶ σωματικώτεροι, καὶ τιμῶντες τοὺς ἀπελθόντας τοῖς ὑπομνήμασιν. ἔπειτα καὶ τῶν ξένων οἱ μετ᾽ ἐκείνους, καὶ μακρὰν ἀπ᾽ ἐκείνων ἀγνοίᾳ τῆς πρώτης φύσεως, καὶ ἀκολουθίᾳ τῆς παραδοθείσης τιμῆς ὡς ἐννόμου καὶ ἀναγκαίας. ἐπειδὴ χρόνῳ τὸ ἔθος βεβαιωθὲν, ἐνομίσθη νόμος. οἶμαι δὲ καὶ δυναστείας τινὲς θεραπεύοντες, καὶ ῥώμην ἐπαινέσαντες, καὶ κάλλος θαυμάσαντες, θεὸν ἐποίησαν τῷ χρόνῳ τὸν τιμώμενον. προσλαβόμενοί τινα καὶ μῦθον τῆς ἀπάτης ἐπίκουρον. οἱ ἐμπαθέστεροι δὲ αὐτῶν, καὶ τὰ πάθη θεοὺς ἐνόμισαν, ἢ θεοῖς ἐτίμησαν θυμὸν καὶ μιαιφονίαν, καὶ ἀσέλγειαν, καὶ μέθην. καὶ οὐκ οἶδ᾽ ὅ, τι ἄλλο τῶν τούτοις παραπλησίων, οὐ καλὴν, οὐδὲ δικαίαν ταύτην ἀπολογίαν εὑράμενοι τῶν οἰκείων ἁμαρτημάτων· καὶ τοὺς μὲν ἀφῆκαν κάτω, τοὺς δὲ ὑπὸ γῆν ἔκρυψαν· τοῦτο συνετῶς μόνον, τοὺς δὲ ἀνήγαγον εἰς τὸν οὐρανόν. ὢ τῆς γελοίας κληροδοσίας. εἶτα ἑκάστῳ τῶν πλασμάτων ὄνομά τι θεῶν ἢ δαιμόνων ἐπιφημίσαντες, κατὰ τὴν ἐξουσίαν καὶ αὐτονομίαν τῆς πλάνης, καὶ ἀγάλματα ἱδρυσάμενοι, ὧν καὶ τὸ πολυτελὲς δέλεαρ, αἵμασί τε καὶ κνίσσαις. ἔστι δὲ οἵ γε καὶ πράξεσι λίαν αἰσχραῖς, μανίαις τε καὶ ἀνθρωποκτονίαις, τοῦτο τιμᾶν ἐνόμισαν. τοιαύτας γὰρ ἔπρεπεν εἶναι θεῶν τοιούτων καὶ τὰς τιμάς. ἤδη δὲ καὶ κνωδάλοις, καὶ τετράποσι, καὶ

ἑρπετοῖς, ὃ τούτων τοῖς αἰσχίστοις τε καὶ γελοιοτάτοις ἑαυτοὺς κατέδυσεν. καὶ τούτοις φέροντες τὴν τοῦ θεοῦ δόξαν περιέθηκαν, ὡς μὴ ῥᾴδιον εἶναι κρῖναι, πότερον δεῖ καταφρονεῖν μᾶλλον, τῶν προσκυνούντων, ἢ τῶν προσκυνουμένων, τάχα δὲ καὶ πολὺ πλέον τῶν λατρευόντων. τῆς λογικῆς ὄντας φύσεως, καὶ χάριν θεοῦ δεξαμένους, τὸ χεῖρον ὡς ἄμεινον προεστήσαντο. καὶ τοῦτο τοῦ πονηροῦ τὸ σόφισμα, περὶ καλῶν καταχρησαμένου πρὸς τὸ κακόν. οἷα τὰ πολλὰ τῶν ἐκείνου κακουργημάτων. περιλαβὼν γὰρ αὐτῶν τὸν πόθον πλανώμενον, κατὰ θεοῦ ζήτησιν, ἵν' εἰς ἑαυτὸν περισπάσῃ τὸ κράτος, καὶ κλέψῃ τὴν ἔφεσιν, ὥσπερ τυφλὸν χειραγωγῶν ὁδοῦ τινος ἱέμενον, ἄλλους ἀλλαχοῦ κατεκρήμνισε καὶ διέσπειρεν, εἰς ἕν τι θανάτου καὶ ἀπωλείας βάραθρον. ἐκεῖνοι μὲν δὴ ταῦτα, ἡμᾶς δὲ ὁ λόγος δεξάμενος ἱεμένους θεοῦ, καὶ μὴ ἀνεχομένους ἀνηγεμόνευτόν τε εἶναι καὶ ἀκυβέρνητον, εἶτα τοῖς ὁρωμένοις προσβάλλοντα, καὶ τοῖς ἀπ' ἀρχῆς ἐντυγχάνοντα, οὔτε μέχρι τούτων ἔστησεν. οὐ γὰρ ἦν λόγου, δοῦναι τὴν ἡγεμονίαν τοῖς ὁμοτίμοις κατὰ τὴν αἴσθησιν. καὶ διὰ τούτων, ἄγει πρὸς τὸ ὑπὲρ ταῦτα, καὶ δι' οὗ τούτοις τὸ εἶναι πάρεστι. τί γὰρ τὸ τάξαν τὰ οὐράνιά τε, καὶ τὰ ἐπίγεια, ὅσα τε δι' ἀέρος, καὶ ὅσα καθ' ὕδατος· μᾶλλον δὲ τὰ πρὸ τούτων, οὐρανὸν, καὶ γῆν, καὶ ἀέρα, καὶ φύσιν ὕδατος. τίς ταῦτα ἔμιξε, καὶ ἐμέρισε; τίς κοινωνία τούτων πρὸς ἄλληλα καὶ συμφυΐα, καὶ σύμπνοια; ἐπαινῶ γοῦν τὸν εἰρηκότα, καὶ ἀλλότριος ἦ. τί δὲ ταῦτα κεκινηκὸς, καὶ ἄγον τὴν ἄληκτον φορὰν καὶ ἀκώλυτον; ἆρ' οὐχ ὁ τεχνίτης τούτων, καὶ πᾶσι λόγον ἐνθεὶς καθ' ὃν τὸ πᾶν φέρεταί τε καὶ διεξάγεται; τίς δὲ ὁ τεχνίτης τούτων; ἆρ' οὐχ ὁ ποιητικὸς ταῦτα, καὶ εἰς τὸ εἶναι παραγαγών; οὐ γὰρ δὴ περὶ αὐτομάτῳ δοτέον τοσαύτην δύναμιν. ἔστω γὰρ τὸ γενέσθαι τοῦ αὐτομάτου, τίνος τὸ τάξαι; καὶ τοῦτο εἰ δοκεῖ δῶμεν, τίνος τὸ τηρῆσαι καὶ φυλάξαι καθ' οὓς πρῶτον ὑπέστη λόγους, ἑτέρου τινὸς ἢ τοῦ αὐτομάτου, ἑτέρου δηλαδὴ παρὰ τὸ αὐτόματον. τοῦτο δὲ τί ποτε ἄλλο πλὴν θεός. οὕτως ὁ ἐκ θεοῦ λόγος καὶ πᾶσι σύμφυτος, καὶ πρῶτος ἐν ἡμῖν νόμος, καὶ πᾶσι συνημμένος, ἐπὶ θεὸν ἡμᾶς ἀνήγαγεν ἐκ τῶν ὁρωμένων. καὶ δὴ λέγομεν, ἀρξάμενοι πάλιν. θεὸν, ὅ τί ποτε μὲν ἐστὶ τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε τις εὗρεν ἀνθρώπων πώποτε, οὔτε μὴ εὕρῃ. ἀλλ' εἰ μὲν εὑρήσει ποτὲ, ζητείσθω τοῦτο, καὶ φιλοσοφείσθω παρὰ τῶν βουλομένων. εὑρήσει δὲ ὡς ἐμὸς λόγος, ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον. λέγω δὲ τὸν ἡμέτερον νοῦν τε καὶ λόγον, τῷ οἰκείῳ προσμίξῃ, καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν. καὶ τοῦτο εἶναί μοι δοκεῖ τὸ πάνυ φιλοσοφούμενον, ἐπιγνώσεσθαί ποτε ἡμᾶς, ὅσον ἐγνώσμεθα. τὸ δὲ νῦν εἶναι βραχεῖά τις ἀπόρροια πρὸς ἡμᾶς φθάνει, καὶ οἷον μεγάλου φωτὸς, μικρόν τι ἀπαύγασμα. ὥστε καὶ εἴ τις ἔγνω θεὸν, ἢ ἐγνωκέναι μεμαρτύρηται, τοῦτ' ἔγνω, καθ' ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμφθείς, φανῶν φωτοειδέστερος. καὶ τὸ ὑπερβάλλον, τέλειον ἐνομίσθη. οὐ τῇ ἀληθείᾳ, τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον. διὰ τοῦτο οἷος μὲν Ἐνὼς ἐλπίσαι ἐπικαλεῖσθαι τὸν κύριον, ἐλπὶς τὸ κατορθούμενον ἦν. καὶ τοῦτο οὐ γνώσεως, ἀλλ' ἐπικλήσεως. οἷος δὲ Ἐνὼχ μετετέθη μὲν, οὔπω δὲ δῆλον, εἰ θεοῦ φύσιν περιλαβών, ἢ περιληψόμενος. τοῦ δὲ Νῶε, καλὸν ἡ εὐαρέστησις, τοῦ καὶ κόσμον ὅλον ἐξ ὕδατος διασώσασθαι πιστευθέντος, ἢ κόσμου σπέρματα, ξύλῳ μικρῷ φυγόντα τὴν ἐπίκλυσιν. Ἀβραὰμ δὲ ἐδικαιώθη μὲν ἐκ πίστεως, ὁ μέγας πατριάρχης. καὶ θύει θυσίαν ξένην, καὶ τῆς μεγάλης ἀντίτυπον. θεὸν δὲ οὐχ ὡς θεὸν εἶδεν, ἀλλ' ὥσπερ ἄνθρωπον ἔθρεψε, καὶ ἐπῃνέθη σεβασθεὶς ὅσον κατέλαβεν. Ἰακὼβ δὲ κλίμακα μὲν ὑψηλὴν ἐφαντάσθη τινὰ καὶ ἀγγέλων ἄνοδον. καὶ στήλην ἀλείφει μυστικῶς. ἴσως ἵνα τὸν ὑπὲρ ἡμῶν ἀλειφθέντα λίθον παραδηλώσῃ. καὶ εἴδους θεοῦ, τόπῳ τινὶ προσηγορίαν δίδωσιν εἰς τιμὴν τοῦ ὀφθέντος. καὶ ὡς ἀνθρώπῳ τῷ θεῷ προσπαλαίει, ἥτις ποτὲ οὖσιν ἡ πάλη θεοῦ πρὸς ἄνθρωπον. ἢ τάχα τῆς ἀνθρωπίνης ἀρετῆς πρὸς θεὸν ἀντεξέτασις, καὶ σύμβολα τῆς πάλης ἐπὶ τοῦ σώματος φέρει. τὴν ἧτταν παραδεικνῦντα τῆς γεννητῆς φύσεως· καὶ ἆθλον τῆς εὐσεβείας, τὴν μεταβολὴν τῆς προσηγορίας λαμβάνει. μετονομασθεὶς ἀντὶ Ἰακὼβ, Ἰσραήλ. τοῦτο δὴ τὸ μέγα καὶ τίμιον ὄνομα. ἐκεῖνο δὲ οὔτε αὐτὸς, οὔτε τις ὑπὲρ αὐτὸν, μέχρι σήμερον ἐκαυχήσατο τῶν δώδεκα φυλῶν, ὧν πατὴρ ἦν, τὸ θεοῦ φύσιν, ἢ ὄψιν ὅλην ἐγκεχωρηκέναι. Ἠλίᾳ δὲ οὔτε πνεῦμα βίαιον, οὔτε πῦρ, οὔτε συσσεισμὸς, ὡς τῆς ἱστορίας ἀκούεις. ἀλλ' ἡ αὔρα τις ὀλίγη, τὴν τοῦ θεοῦ παρουσίαν, καὶ ταῦτα, οὐ φύσιν ἐσκιογράφησεν. Ἠλίᾳ τίνι; ὃν καὶ ἅρμα πυρὸς ἀνάγει πρὸς οὐρανὸν, δηλοῦν τοῦ δικαίου τὸ ὑπὲρ ἄνθρωπον. Μανωὲ δὲ τὸν κριτὴν πρότερον, καὶ Πέτρον τὸν μαθητὴν ὕστερον, πῶς οὐ τεθαύμακας, τὸν μὲν οὐδὲ ὄψεως φέροντα τοῦ φαντασθέντος θεοῦ. καὶ διὰ τοῦτο ἀπολλύμεθα ὦ γύναι λέγοντα, θεὸν ἑωράκαμεν. ὡς οὐ χωρητῆς οὔσης ἀνθρώποις, οὐδὲ φαντασίας θείας, μὴ ὅτι γε φύσεως. τὸν δὲ καὶ τὸν φαινόμενον Χριστὸν τῷ πλοίῳ μὴ προσιέμενον, καὶ διὰ τοῦτο ἀποπεμπόμενον, καί τοι γε θερμότερος τῶν ἄλλων εἰς ἐπίγνωσιν Χριστοῦ Πέτρος, καὶ διὰ τοῦτο μακαριζόμενος, καὶ τὰ μέγιστα πιστευόμενος. τί δ' ἂν εἴποις περὶ Ἡσαΐου καὶ Ἰεζεκιὴλ, τῶν τῶν μεγίστων ἐποπτῶν, καὶ τῶν λοιπῶν προφητῶν;

ὧν ὁ μὲν τὸν κύριον σαβαὼθ εἶδε καθήμενον ἐπὶ θρόνου δόξης, καὶ τοῦτον ὑπὸ τῶν ἑξαπτερύγων σεραφὶμ κυκλούμενον, καὶ αἰνούμενον, καὶ κρυπτόμενον, ἑαυτόν τε τῷ ἄνθρακι καθαιρόμενον, καὶ πρὸς τὴν προφητείαν καταρτιζόμενον. ὁ δὲ καὶ τὸ ὄχημα τοῦ θεοῦ τὰ χερουβὶμ διαγράφει, καὶ τὸν ὑπὲρ αὐτῶν θρόνον, καὶ τὸ ὑπὲρ αὐτοῦ στερέωμα, καὶ τὸν ἐν τῷ στερεώματι φανταζόμενον. καὶ φωνάς τινας, καὶ ὁρμάς, καὶ πράξεις, καὶ ταῦτα εἴτε φαντασία τις ἦν ἡμερινὴ, μόνοις θεωρητὴ τοῖς ἁγίοις, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις συγγενομένη τοῖς μέλλουσιν ὡς παροῦσιν, εἴτε τι ἄλλο προφητείας εἶδος ἀπόρρητον, οὐκ ἔχω λέγειν. ἀλλ' οἶδεν ὁ τῶν προφητῶν θεὸς, καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. πλὴν ὅτι οὔτε οὗτοι, περὶ ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατ' αὐτοὺς, ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου κατὰ τὸ γεγραμμένον. οὐδὲ θεοῦ φύσιν ἢ εἶδεν, ἢ ἐξηγόρευσε. παύλῳ δὲ, εἰ μὲν ἔκφορα ἦν ἃ περιεῖχεν ὁ τρίτος οὐρανὸς, καὶ ἡ μέχρις ἐκείνου πρόοδος, ἢ ἀνάβασις, ἢ ἀνάληψις, τάχα ἄν τι περὶ θεοῦ πλέον ἔγνωμεν, εἴπερ τοῦτο ἦν τὸ τῆς ἁρπαγῆς μυστήριον. ἐπεὶ δὲ ἄρρητα ἦν, καὶ ἡμῖν σιωπῇ τιμάσθω. τοσοῦτον δὲ ἀκούσωμεν αὐτοῦ παύλου λέγοντος· ὅτι ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ταῦτα καὶ τὰ τοιαῦτα ὁμολογεῖ ὁ μὴ ἰδιώτης τὴν γνῶσιν, ὁ δοκιμὴν ἀπειλῶν τοῦ ἐν αὐτῷ λαλοῦντος χριστοῦ, ὁ μέγας τῆς ἀληθείας πρωταγωνιστὴς καὶ διδάσκαλος. διὸ καὶ πᾶσαν τὴν κάτω γνῶσιν, οὐδὲν ὑπὲρ τὰ ἔσοπτρα, καὶ τὰ αἰνίγματα τίθεται, ὡς ἐν μικροῖς τῆς ἀληθείας ἱσταμένην ἰνδάλμασιν. εἰ δὲ μὴ λίαν δοκῶ τισὶ περιττὸς καὶ περίεργος τὰ τοιαῦτα ἐξετάζων, οὐδὲ ἄλλα εἶναι τυχὸν ἢ ταῦτα ἦν, ἃ μὴ δύνασθαι νῦν βασταχθῆναι, ὁ λόγος αὐτὸς ὑπῃνίσσετο ὡς ποτὲ βασταχθησόμενα καὶ τρανωθησόμενα. καὶ ἃ μηδ' ἂν αὐτὸν δυνηθῆναι χωρῆσαι τὸν κόσμον ἰωάννης ὁ τοῦ λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνὴ, διωρίζετο. πᾶσα μὲν οὖν ἀλήθεια, καὶ πᾶς λόγος, δυσέμβατός τε καὶ δυσθεώρητος. καὶ δὴ ὀργάνῳ μικρῷ μεγάλα δημιουργοῦμεν τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες, καὶ τοῖς νοητοῖς προσβάλλοντες μετὰ τῶν αἰσθήσεων, ἢ οὐκ ἄνευ αἰσθήσεων, ὑφ' ὧν περιφερόμεθα καὶ πλανώμεθα. καὶ οὐκ ἔχομεν γυμνῷ τῷ νῷ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλον ἔτι προσιέναι τῇ ἀληθείᾳ, καὶ τὸν νοῦν τυποῦσθαι ταῖς καταλήψεσιν. ὁ δὲ περὶ θεοῦ λόγος, ὅσῳ τελειότερος, τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχει, καὶ τὰς λύσεις ἐργωδεστέρας. πᾶν γὰρ τὸ ἐνιστάμενον, κἂν βραχύτατον ᾖ, τὸν τοῦ λόγου δρόμον ἐπέσχε καὶ διεκώλυσε, καὶ τὴν εἰς τὸ πρόσω φορὰν διέκοψεν, ὥσπερ οἱ τῶν ἵππων τοῖς ῥυτῆρσιν ἀθρόως μεθέλκοντες φερομένων, καὶ τῷ ἀδοκήτῳ τοῦ τιναγμοῦ περιτρέποντες. οὕτω σολομὼν μὲν ὁ σοφισάμενος πάλαι, ὑπὲρ πάντας τῶν γενομένων ἔμπροσθε, καὶ κατ' ἐκεῖνον, ᾧ τὸ τῆς καρδίας πλάτος, δῶρον θεοῦ, καὶ ἡ ψάμμου δαψιλεστέρα χύσις τῆς θεωρίας, ὅσῳ πλέον ἐμβατεύει τοῖς βάθεσι, τοσούτῳ πλέον ἰλιγγιᾷ. καὶ τέλος τι ποιεῖται σοφίας, εὑρεῖν ὅσον διέφυγε. παῦλος δὲ πειρᾶται μὲν ἐφικέσθαι, οὔπω λέγω τῆς τοῦ θεοῦ φύσεως (τοῦτο γὰρ ᾔδει παντελῶς ἀδύνατον ὄν) ἀλλὰ μόνον τῶν τοῦ θεοῦ κριμάτων. ἐπεὶ δὲ οὐχ εὑρίσκει διέξοδον, οὐδὲ στάσιν τῆς ἀναβάσεως, οὐδὲ εἴς τι φανερὸν τελευτᾷ πέρας ἡ πολυπραγμοσύνη τῆς διανοίας, ἀεί τινος ὑποφαινομένου τοῦ λείποντος, ὢ τοῦ θαύματος, ἵνα καὶ αὐτὸς πάθω τὸ ἴσον, ἐκπλήξει περιγράφει τὸν λόγον, καὶ πλοῦτον θεοῦ, καὶ βάθος τὸ τοιοῦτο καλεῖ. καὶ ὁμολογεῖ τῶν τοῦ θεοῦ κριμάτων τὸ ἀκατάληπτον. μονονουχὶ τὰ αὐτὰ τῷ δαβὶδ φθεγγόμενος. ποτὲ μὲν ἄβυσσον πολλὴν ὀνομάζοντι τὰ τοῦ θεοῦ κρίματα, ὧν οὐκ ἔστι τὴν ἕδραν ἢ μέτρῳ, ἢ αἰσθήσει λαβεῖν, ποτὲ δὲ τεθαυμαστῶσθαι τὴν γνῶσιν ἐξ ἑαυτοῦ, καὶ τῆς ἑαυτοῦ συστάσεως λέγοντι, κεκραταιῶσθαί τε πλέον, ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ περίδραξιν. ἵνα γὰρ τἆλλα ἐάσας (φησὶ) πρὸς ἐμαυτὸν βλέψω, καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν καὶ σύμπηξιν. τίς ἡ μίξις ἡμῶν, τίς ἡ κίνησις; πῶς τὸ ἀθάνατον τῷ θνητῷ συνεκράθη; πῶς κάτω ῥέω, καὶ ἄνω φέρομαι; πῶς ψυχὴ περιφέρεται, πῶς ζωὴν δίδωσι, καὶ πάθους μεταλαμβάνει; πῶς ὁ νοῦς, καὶ περιγραπτὸς, καὶ ἀόριστος, ἐν ἡμῖν μένων, καὶ πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως; πῶς μεταλαμβάνεται λόγῳ, καὶ μεταδίδοται, καὶ δι' ἀέρος χωρεῖ, καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται; πῶς αἰσθήσει κοινωνεῖ, καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων; καὶ ἔτι πρὸ τούτων, τίς ἡ πρώτη πλάσις ἡμῶν, καὶ σύστασις ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ; καὶ τίς ἡ τελευταία μόρφωσις καὶ τελείωσις; τίς ἡ τῆς τροφῆς ἔφεσις καὶ διάδοσις; καὶ τίς ἤγαγεν ἐπὶ τὰς πρώτας πηγὰς, καὶ τοῦ ζῆν ἀφορμὰς αὐτομάτως; πῶς σιτίοις μὲν σῶμα, λόγῳ δὲ ψυχὴ τρέφεται; τίς ἡ τῆς φύσεως ὁλκὴ, καὶ πρὸς ἄλληλα σχέσις, τοῖς γεννῶσι, καὶ τοῖς γεννωμένοις, ἵνα τῷ φίλτρῳ συνέχηται; πῶς ἑστηκότα τε τὰ εἴδη, καὶ τοῖς χαρακτῆρσι διεστηκότα, ὧν τοσούτων ὄντων, αἱ ἰδιότητες ἀπερίληπτοι; πῶς τὸ αὐτὸ ζῶον, θνητὸν καὶ ἀθάνατον; τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει. τὸ μὲν γὰρ ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος. πολλὰ δ' ἂν ἔτι φιλοσοφήσαις περὶ μελῶν καὶ μερῶν,

καὶ τὸ πρὸς ἄλληλα τούτων διαρμοσίας πρὸς χρείαν τε ὁμοῦ καὶ κάλλος συνεστώτων τε καὶ διεστώτων, προεχόντων τε καὶ προεχομένων, ἑνουμένων τε καὶ χωριζομένων, περιεχόντων τε καὶ περιεχομένων, νόμῳ καὶ λόγῳ φύσεως, πολλὰ περὶ φωνῶν καὶ ἀκοῶν. πῶς αἱ μὲν φέρονται διὰ τῶν φωνητικῶν ὀργάνων, αἱ δὲ ὑποδέχονται, διὰ τοῦ ἐν μέσῳ τοῦ ἀέρος πληγαῖς, καὶ τυπώσεσιν ἀλλήλαις ἐπιμιγνύμεναι. πολλὰ περὶ ὄψεως ἀρρήτως κοινωνούσης τοῖς ὁρατοῖς, καὶ μόνῳ τῷ βούλεσθαι καὶ ὁμοῦ κινουμένης, καὶ ταὐτὸ τῷ νοεῖν πασχούσης. μετὰ γὰρ τοῦ ἴσου τάχους, ἐκεῖνός τε μίγνυται τοῖς νοουμένοις, καὶ αὕτη τοῖς ὁρωμένοις. πολλὰ περὶ τῶν ἄλλων αἰσθήσεων, αἳ παραδοχαί τινές εἰσι τῶν ἔξωθεν, λόγῳ μὴ θεωρούμεναι, πολλὰ περὶ τῆς ἐν ὕπνοις ἀναπαύσεως, καὶ τῆς διὰ ὀνειράτων ἀναπλάσεως, μνήμης τε καὶ ἀναμνήσεως, λογισμοῦ τε, καὶ θυμοῦ, καὶ ἐφέσεως, καὶ συντόμως εἰπεῖν, ὅσοις ὁ μικρὸς οὗτος διοικεῖται κόσμος ὁ ἄνθρωπος. βούλει σοι καὶ τὰς τῶν ἄλλων ζώων διαφορὰς πρός τε ἡμᾶς, καὶ πρὸς ἄλληλα φύσεις τε, καὶ γενέσεις, καὶ ἀνατροφάς, καὶ χώρας, καὶ ἤθη, καὶ ὥσπερ πολιτείας, καταριθμήσωμαι; πῶς τὰ μὲν ἀγελαῖα, τὰ δὲ μοναδικά; τὰ μὲν ποηφάγα, τὰ δὲ σαρκοβόρα. τὰ μὲν θυμοειδῆ, τὰ δὲ ἥμερα. τὰ μὲν φιλάνθρωπα καὶ σύντροφα, τὰ δὲ ἀτίθασα καὶ ἐλεύθερα. καὶ τὰ μὲν ὥσπερ ἐγγύτερα λόγου τε καὶ μαθήσεως, τὰ δὲ παντελῶς ἄλογα καὶ ἀμαθέστατα. τὰ μὲν πλειόνων αἰσθήσεων, τὰ δὲ ἐλαττόνων. τὰ μὲν ἀκίνητα, τὰ δὲ μεταβατικά, τὰ δὲ ταχύτατα. τὰ μὲν ὑπερβάλλοντα μεγέθει, καὶ κάλλει, ἢ τῷ ἑτέρῳ τούτων, τὰ δὲ βραχύτατα, ἢ δυσειδέστατα, ἢ καὶ ἀμφότερα. τὰ μὲν ἄλκιμα, τὰ δὲ ἀσθενῆ. τὰ μὲν ἀμυντικά, τὰ δὲ ὕποπτα καὶ ἐπίβουλα, τὰ δὲ ἀφύλακτα. τὰ μὲν φιλεργὰ καὶ οἰκονομικά, τὰ δὲ παντάπασιν ἀργά, καὶ ἀπρονόητα. καὶ ἔτι πρὸ τούτων, πῶς τὰ μὲν ἑρπυστικά, τὰ δὲ ὄρθια. τὰ μὲν φιλόχωρα, τὰ δὲ ἀμφίβια. τὰ μὲν φιλόκαλα, τὰ δὲ ἀκαλλώπιστα. συζυγῆ τε καὶ ἄζυγα. σώφρονά τε, καὶ ἀκόλαστα. πολύγονά τε, καὶ οὐ πολύγονα. μακρόβιά τε, καὶ ὀλιγόβια. κάμνοι ἂν ἡμῖν ὁ λόγος τοῖς καθ' ἕκαστον ἐπεξιών. σκέψαι μοι καὶ νηκτὴν φύσιν τῶν ὑδάτων διολισθαίνουσαν, καὶ δι' ἰπταμένην κατὰ τῆς ὑγρᾶς φύσεως, καὶ τοῦ μὲν ἰδίου ἀναπνέουσαν ἀέρος, τῷ ἡμετέρῳ δὲ κινδυνεύουσαν. ὥσπερ καὶ ἡμεῖς ἐν τοῖς ὕδασιν. ἤθη τε καὶ πάθη, καὶ μίξεις, καὶ γονάς, καὶ μεγέθη, καὶ κάλλη φιλοστοργίας τε, καὶ πλάνας, συνόδους τε, καὶ ἀποχωρήσεις, καὶ ἰδιότητας, μικροῦ τοῖς ἐπιγείοις παραπλησίας. ἔστι δὲ ὧν καὶ κοινωνίας, καὶ ἰδιότητας ἀντιθέτους, ἔν τε εἴδεσι καὶ ὀνόμασι. σκέψαι μοι καὶ ὀρνίθων ἀγέλας καὶ ποικιλίας, ἔν τε σχήμασι καὶ χρώμασι, τῶν τε ἀλάλων, καὶ τῶν ᾠδικῶν. καὶ τίς ὁ τούτων μελῳδίας ὁ λόγος, καὶ παρὰ τίνος; τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ στήθους μαγάδα, καὶ τὰ ἐπὶ τῶν κλάδων ᾄσματά τε καὶ τερετίσματα, ὅταν ἡλίῳ κινῶνται τὰ μεσημβρινὰ μουσουργοῦντες, καὶ καταφωνῶσι τὰ ἄλση, καὶ ὁδοιπόρον ταῖς φωναῖς παραπέμπωσι; τίς ὁ κύκνῳ συνυφαίνων τὴν ᾠδήν, ὅταν ἐκπετάσῃ τὸ πτερὸν ταῖς αὔραις, καὶ ποιῇ μέλος τὸ σύριγμα; ἐῶ γὰρ λέγειν τὰς βιαίους φωνάς, καὶ ὅσα τέχναι σοφίζονται κατὰ τῆς ἀληθείας. πόθεν ταώς, ὁ ἀλαζὼν ὄρνις καὶ μηδικός, οὕτω φιλόκαλος καὶ φιλότιμος, ὥστε (καὶ γὰρ αἰσθάνεται τοῦ οἰκείου κάλλους) ὅταν ἴδῃ τινὰ πλησιάζοντα ἢ ταῖς θηλείαις, ὥς φασι, καλλωπίζηται, τὸν αὐχένα διάρας καὶ τὸ πτερὸν κυκλοτερῶς, περιστήσας τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζειν τὸ κάλλος τοῖς ἐρασταῖς, μετὰ σοβαροῦ τοῦ βαδίσματος. ἡ μὲν γὰρ θεία γραφὴ καὶ γυναικῶν θαυμάζει σοφίαν τὴν ἐν ὑφάσμασι. τίς ἔδωκε, λέγουσα, γυναιξὶν ὑφάσματος σοφίαν καὶ ποικιλτικὴν ἐπιστήμην; ζώου λογικοῦ τοῦτο καὶ περιττοῦ τὴν σοφίαν, καὶ μέχρι τῶν οὐρανίων ὁδεύοντος; σὺ δέ μοι θαύμασον, καὶ ἀλόγων φυσικὴν σύνεσιν, καὶ τὸν λόγον παράστησον. πῶς μὲν ὄρνισι καλιαί, πέτραι τε, καὶ δένδρα, καὶ ὄροφοι, εἰς ἀσφάλειάν τε ὁμοῦ καὶ κάλλος ἐξησκημέναι, καὶ τοῖς τρεφομένοις ἐπιτηδείως; πόθεν δὲ μελίσσαις τε, καὶ ἀράχναις τὸ φιλεργὸν καὶ φιλότεχνον; ἵνα ταῖς μὲν τὰ κηρία πλέκηται καὶ συνέχηται δι' ἑξαγώνων συζύγων τε καὶ ἀντιστρόφων, καὶ τὸ ἑδραῖον αὐταῖς διὰ τοῦ μέσου διατειχίσματος καὶ ἐναλλαγῆς ἐπιπλεκομένων ταῖς εὐθείαις τῶν γωνιῶν, πραγματεύηται. καὶ ταῦτα ἐν ζοφεροῖς οὕτω τοῖς σίμβλοις καὶ ἀοράτοις τοῖς πλάσμασιν. αἱ δὲ διὰ λεπτῶν οὕτω καὶ ἀερίων σχεδὸν τῶν νημάτων πολυειδῶς διατεταμένων, πολυπλόκους τοὺς ἱστοὺς ἐξυφαίνωσι. καὶ ταῦτα ἐξ ἀφανῶν τῶν ἀρχῶν, οἴκησίν τε ὁμοῦ τιμίαν καὶ θήραν τῶν ἀσθενῶν, εἰς τροφῆς ἀπόλαυσιν. ποῖος Εὐκλείδης ἐμιμήσατο ταῦτα γραμμαῖς ἐμφιλοσοφῶν ταῖς οὐκ οὔσαις, καὶ κάμνων ἐν ταῖς ἀποδείξεσι; τίνος Παλαμήδους τακτικὰ κινήματά τε, καὶ σχήματα γεράνων, ὥς φασι, καὶ ταῦτα παιδεύματα, κινουμένων ἐν τάξει, καὶ μετὰ ποικίλης τῆς πτήσεως; ποῖοι Φειδίαι, καὶ Ζεύξιδες, καὶ Πολύγνωτοι, Παρράσιοί τινες καὶ Ἀγλαοφῶντες, κάλλη μεθ' ὑπερβολῆς γράφειν τε καὶ πλάττειν εἰδότες; τίς Κνώσσιος Δαιδάλου χορὸς ἐναρμόνιος νύμφῃ πονηθεὶς εἰς κάλλους περιουσίαν; ἢ λαβύρινθος Κρητικὸς δυσδιέξοδος καὶ δυσέλικτος ποιητικῶς εἰπεῖν, καὶ πολλάκις ἀπαντῶν

ἑαυτῷ,

ἑαυτῷ τοῖς τῆς τέχνης σοφίσμασι. καὶ σκοπῶ μυρμήκων ταμεῖά τε καὶ ταμίας, καὶ θησαυρισμὸν τροφῆς τῷ καιρῷ σύμμετρον. τἆλλά τε ὅσα περὶ ὁδῶν καὶ ἡγεμόνων, καὶ τῆς ἐν τοῖς ἔργοις εὐταξίας ἐγνώκαμεν ἱστορούμενα. εἰ τούτων ἐφικνεῖτο ὁ λόγος σοι, καὶ τὴν περὶ ταῦτα σύνεσιν ἔγνως, σκέψαι καὶ φυτῶν διαφοράς, μέχρι καὶ τῆς ἐν φύλλοις φιλοτεχνίας, πρὸς τὸ ἥδιστόν τε ἅμα ταῖς ὄψεσι, καὶ τοῖς καρποῖς χρησιμώτατον. σκέψαι μοι καὶ καρπῶν ποικιλίαν καὶ ἀφθονίαν, καὶ μάλιστα τῶν ἀναγκαιοτάτων τὸ κάλλιον. καὶ σκέψαι μοι, καὶ δυνάμεις ῥιζῶν, καὶ χυμῶν, καὶ ἀνθέων, καὶ ὀδμῶν, οὐχ ἡδίστων μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐπιτηδείων, καὶ χρωμάτων χάριτας καὶ ποιότητας, ἔτι δὲ λίθων πολυτελείας καὶ διαυγείας, ἐπειδὴ πάντα προύθηκεν, ὥσπερ ἐν πανδαισίᾳ κοινῇ, ὅσα τε ἀναγκαῖα, καὶ ὅσα πρὸς ἀπόλαυσιν, ἡ φύσις. ἵν' εἰ μή τι ἄλλο, ἐξ ὧν εὐεργετῇ, γνωρίσῃς θεόν, καὶ τῷ δεῖσθαι, γνῷς σαυτοῦ συνετώτερος. ἐντεῦθεν ἐπελθέ μοι γῆς πλάτη καὶ μήκη, τῆς κοινῆς πάντων μητρός, καὶ κόλπους θαλαττίους, ἀλλήλοις τε καὶ τῇ γῇ συνδουμένους, καὶ ἀλσῶν κάλλη, καὶ ποταμοὺς καὶ πηγὰς δαψιλεῖς τε καὶ ἀεννάους οὐ μόνον ψυχρῶν, καὶ ποτίμων ὑδάτων, καὶ τῶν ὑπὲρ γῆς, ἀλλὰ καὶ ὅσαι ὑπὸ γῆν ῥέουσαι, καὶ σήραγγάς τινας ὑποτρέχουσαι, εἶτ' ἐξωθούμεναι βιαίῳ τῷ πνεύματι καὶ ἀντιτυπούμεναι, εἶτ' ἐκπυρούμεναι τῷ σφοδρῷ τῆς πάλης, καὶ τῆς ἀντιθέσεως, ὅπη παρείκοι κατὰ μικρὸν ἀναρρήγνυνται, καὶ τὴν τῶν θερμῶν λουτρῶν χρείαν ἐντεῦθεν ἡμῖν χαρίζονται πολλαχοῦ τῆς γῆς, καὶ μετὰ τῆς ἐναντίας δυνάμεως ἰατρείαν ἄμισθον, καὶ αὐτόματον, εἰπὲ πῶς, καὶ πόθεν ταῦτα; τί τὸ μέγα τοῦτο καὶ ἄτεχνον ὕφασμα; οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἢ καθ' ἕκαστον θεωρούμενα. πῶς γῆ μὲν ἕστηκε παγία καὶ ἀκλινής, ἐπὶ τίνος ὀχουμένη, καὶ τίνος ὄντος τοῦ ὑπερείδοντος; καὶ τίνος ἐκεῖνο πάλιν; οὐδὲ γὰρ ὁ λόγος ἔχει ἐφ' ὃ ἐρείδεται, πλὴν τοῦ θείου θελήματος. καὶ πῶς ἡ μὲν εἰς ὀρῶν κορυφὰς ἀνηγμένη, ἡ δὲ εἰς πεδία καθιζομένη, καὶ ταῦτα πολυειδῶς, καὶ ποικίλως, καὶ ταῖς κατ' ὀλίγον ἐναλλαγαῖς μερισαμένη, πρός τε τὴν χρείαν ἐστὶν ἀφθονωτέρα, καὶ τῷ ποικίλῳ χαριεστέρα, καὶ ἡ μὲν εἰς οἰκήσεις νενεμημένη, ἡ δὲ ἀοίκητος, ὅσην αἱ ὑπερβολαὶ τῶν ὀρῶν ἀποτέμνονται, καὶ ἄλλη πρὸς ἄλλο τι πέρας σχιζομένη, καὶ ἀποβαίνουσα, τῆς τοῦ θεοῦ μεγαλουργίας ἐναργέστατόν ἐστι γνώρισμα. θαλάττης δέ, εἰ μὲν μὴ τὸ μέγεθος εἶχον θαυμάζειν, ἐθαύμασα ἂν τὸ ἥμερον. καὶ πῶς ἵσταται λελυμένη τῶν ἰδίων ὅρων ἐντός; εἰ δὲ μὴ τὸ ἥμερον, πάντως τὸ μέγεθος. ἐπεὶ δὲ ἀμφότερα, τὴν ἐν ἀμφοτέροις δύναμιν ἐπαινέσομαι. τί τὸ συναγαγόν, τί τὸ δῆσαν; πῶς ἐπαίρεταί τε καὶ ἵσταται, ὥσπερ αἰδουμένη τὴν γείτονα γῆν; πῶς καὶ δέχεται ποταμοὺς πάντας, καὶ ἡ αὐτὴ διαμένει διὰ πλῆθος περιουσίας; ἢ οὐκ οἶδ' ὅ τι χρὴ λέγειν. πῶς ψάμμος ὅριον αὐτῇ, τηλικούτῳ στοιχείῳ; ἔχουσί τι λέγειν οἱ φυσικοὶ καὶ σοφοὶ τὰ μάταια, καὶ κυάθῳ μετροῦντες ὄντως τὴν θάλασσαν, τὰ τηλικαῦτα ταῖς ἑαυτῶν ἐπινοίαις; ἢ συντόμως ἐγὼ παρὰ τῆς γραφῆς τοῦτο φιλοσοφῶ, καὶ τῶν μακρῶν λόγων, πιθανώτερόν τε καὶ ἀληθέστερον. πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος. τοῦτο τῆς ὑγρᾶς φύσεως ὁ δεσμός. πῶς δὲ τὸν χερσαῖον ναυτίλον ἄγει ξύλῳ μικρῷ καὶ πνεύματι, τοῦτο οὐ θαυμάζεις ὁρῶν; οὐδ' ἐξίσταταί σου ἡ διάνοια, ἵνα γῆ καὶ θάλασσα δεθῶσι ταῖς χρείαις, καὶ ταῖς ἐπιμιξίαις, καὶ εἰς ἓν ἔλθῃ τῷ ἀνθρώπῳ τὰ τοσοῦτον ἀλλήλων διεστηκότα κατὰ τὴν φύσιν; τίνες δὲ πηγῶν, αἱ πρῶται πηγαί; ζήτησον ἄνθρωπε, εἴ τι σοι τούτων ἐξιχνεῦσαι ἢ εὑρεῖν δυνατόν. καὶ τίς ὁ ποταμοὺς ξέσας, καὶ πεδία, καὶ ὄρη, καὶ δοὺς τὸν δρόμον ἀκώλυτον; καὶ πῶς ἐκ τῶν ἐναντίων τὸ θαῦμα, μήτε θαλάσσης ὑπερρεούσης, μήτε ποταμῶν ἱσταμένων; τίς δὲ ἡ τῶν ὑδάτων τροφή, καὶ τί τὸ ταύτης διάφορον, τῶν μὲν ἄνωθεν ἀρδομένων, τῶν δὲ ταῖς ῥίζαις ποτιζομένων; ἵνα τι καὶ αὐτὸς κατατρυφήσω τοῦ λόγου, θεοῦ τὴν τρυφὴν ἐξηγούμενος; ἄγε δὴ γῆν ἀφείς, καὶ τὰ περὶ γῆν, πρὸς τὸν ἀέρα, κουφίσθητι τοῖς τῆς διανοίας πτεροῖς, ἵνα σοι καθ' ὁδὸν ὁ λόγος προΐῃ, κἀκεῖθεν ἀνάξω σε πρὸς τὰ οὐράνια, καὶ τὸν οὐρανὸν αὐτόν, καὶ τὰ ὑπὲρ οὐρανόν, καὶ τοῖς ἑξῆς. ὀκνεῖ μὲν προσβῆναι ὁ λόγος. προσβιάζεται δέ, ὅμως ὅπου ἔξεστι. τίς ὁ χέας ἀέρα, τὸν πολὺν τοῦτον πλοῦτον, καὶ ἄφθονον, οὐκ ἀξίαις, οὐ τύχαις μετρούμενον, οὐχ ὅροις κρατούμενον, οὐχ ἡλικίαις μεριζόμενον, ἀλλὰ κατὰ τὴν τοῦ μάννα διανομήν, αὐταρκείᾳ περιλαμβανόμενον, καὶ ἰσομοιρίᾳ τιμώμενον, τὸ τῆς πτηνῆς φύσεως ὄχημα, τὴν ἀνέμων ἕδραν, τὴν ὡρῶν εὐκρασίαν, τὴν ζώων ψύχωσιν, μᾶλλον δὲ τῆς ψυχῆς πρὸς τὸ σῶμα συντήρησιν, ἐν ᾧ τὰ σώματα. καὶ μεθ' οὗ λόγος, ἐν ᾧ τὸ φῶς καὶ τὸ φωτιζόμενον, καὶ ἡ ὄψις, ἡ δι' αὐτοῦ ῥέουσα. σκόπει δέ μοι καὶ τὰ ἑξῆς. οὐ γὰρ συγχωροῦμαι τῷ ἀέρι δοῦναι τὴν ἅπασαν δυναστείαν τῶν τοῦ ἀέρος εἶναι νομιζομένων. τίνα μέν, ἀνέμων ταμεῖα; τίνες δὲ θησαυροὶ χιόνος; τίς δὲ ὁ τεκὼν βώλους δρόσου κατὰ τὸ γεγραμμένον. ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται κρύσταλλος; τίς ὁ δεσμεύων ὕδωρ ἐν νεφέλαις. καὶ τὸ μέν, ἱστὰς

ἐπὶ τὴν κεφαλὴν, ὡς τῷ θαύματι τοῦ λόγου κρατουμένην φύσιν τὴν ῥεῦσαν. τὸ δὲ ἐκχεῖσθαι ὑπὲρ πρόσωπον πάσης τῆς γῆς, καὶ ἀέρων κοινείας καὶ ὁμότιμος, καὶ οὐδὲ ἀφειδὲς ἅπασιν τὴν ὑγρὰν οὐσίαν, ἐλευθέραν καὶ ἄφθονον. ἀρκεῖ γὰρ ἡ ἐπὶ νῶτα κάθαρσις. καὶ τὸ ἑαυτοῦ διαβαίνειν οὐκ ἐπιλάσμων ὁ ἀψευδέστατος, οὔτε ἀνέχων παντάπασιν, ἵνα μὴ πάλιν ἠλιῶς τινὸς δεηθῶμεν, τὴν ξηρότητα λύοντος. ἐὰν κλείσῃ, φησὶ, τὸν οὐρανὸν, τίς ἀνοίξει; ἐὰν δὲ ἀνοίξῃ τοὺς καταρράκτας, τίς συνέξει; τίς οἴσει τὴν ἐπ' ἀμφότερα τοῦ ὑλίζοντος ἀμετρίαν, ἐὰν μὴ τοῖς ἑαυτοῦ μέτροις, καὶ σταθμοῖς διεξαγάγῃ τὰ σύμπαντα; τί μοι φιλοσοφήσεις περὶ ἀστραπῶν καὶ βροντῶν, ὁ βροντῶν ἀπὸ γῆς σὺ, καὶ οὐδὲ μικροῖς σπινθῆρσι τῆς ἀληθείας λαμπόμενος; τίνας ἀτμοὺς ἀπὸ γῆς αἰτιάσῃ, νεφῶν δημιουργοὺς, ἢ ἀέρος σύγκρισίν τινα, ἢ νεφῶν τῶν μανωτάτων θλίψιν, ἢ σύρρηξιν; ἵνα ἡ μὲν θλίψις σοι τὴν ἀστραπὴν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται. ποῖον δὲ πνεῦμα στενοχωρούμενον, εἶτα οὐκ ἔχον διέξοδον, ἵνα ἀστράψῃ θλιβόμενον, καὶ βροντήσῃ ῥηγνύμενον. εἰ τὸν ἀέρα διῆλθες τῷ λογισμῷ, καὶ ὅσα περὶ ἀέρα, ἅψαι ἤδη σὺν ἐμοὶ καὶ οὐρανοῦ, καὶ τῶν οὐρανίων. πίστις δὲ ἀγέτω πλέον ἡμᾶς, ἢ λόγος, εἴπερ ἔμαθες τὸ ἀσθενὲς ἐν τοῖς ἐγγυτέρω. καὶ λόγον ἔγνως, τὸ γνῶναι τὰ ὑπὲρ λόγον, ἵνα μὴ παντελῶς ἐπίγειος ᾖς ἢ περίγειος, ἀγνοῶν καὶ αὐτὸ τοῦτο, τὴν ἄγνοιαν. τίς περιήγαγεν οὐρανὸν, ἢ τάξεν ἀστέρας; μᾶλλον δὲ, τί πρὸ τούτων οὐρανὸς καὶ ἀστέρες, ἔχοις ἂν εἰπεῖν ὁ μετέωρος, ὁ τὰ ἐν ποσὶν ἀγνοῶν, καὶ οὐδὲ σαυτὸν μετρῆσαι δυνάμενος, τὰ δὲ ὑπὲρ τὴν σὴν φύσιν πολυπραγμονῶν, καὶ κεχηνὼς εἰς τὰ ἄμετρα; ἔστω γάρ σε κύκλους καὶ περιόδους, καὶ πλησιασμοὺς, καὶ ἀποχωρήσεις καταλαμβάνειν, ἐπιτολάς τε καὶ ἀνατολάς, καὶ μοίρας τινὰς καὶ λεπτότητας, καὶ ὅσοις σὺ τὴν θαυμασίαν σου ταύτην ἐπιστήμην ἀποσεμνύνεις. οὔπω τοῦτο κατάληψις τῶν ὄντων ἐστὶν, ἀλλὰ κινήσεώς τινος ἐπιτήρησις, ἐκ πλείονι γυμνασίᾳ βεβαιωθεῖσα, καὶ εἰς ἓν ἀγαγοῦσα τὰ τηρηθέντα πλείοσιν, εἶτα λόγον ἐπινοήσασα, ἐπιστήμη προσηγορεύθη, ὥσπερ τὰ περὶ σελήνην παθήματα γνώριμα γέγονε τοῖς πολλοῖς, τὴν ὄψιν ἀρχὴν λαβόντα τῆς γνώσεως. σὺ δὲ, εἰ λίαν ἐπιστήμων εἶ τούτων, καὶ δικαίως ζητεῖς θαυμάζεσθαι, εἰπὲ τίς ἡ τῆς τάξεως αἰτία καὶ τῆς κινήσεως. πόθεν ἥλιος φρυκτωρεῖ πάσῃ τῇ οἰκουμένῃ, καὶ πάσαις ὄψεσιν, ὥσπερ χοροῦ τινος κορυφαῖος, πλέον τῶν ἄλλων ἀστέρων ἀποκρύπτων φαιδρότητι, ἢ τινὲς ἐκείνων, ἑτέρων. ἀπόδειξις δὲ, οἱ μὲν ἀντιλάμπουσιν, ὁ δὲ ὑπερλάμπει. καὶ οὐδὲ ὅτι συνανίσχουσιν ἐᾷ γνωρίζεσθαι. καλὸς, ὡς νυμφίος· ταχὺς, ὡς γίγας· καὶ μέγας. οὐδὲ γὰρ ἀνέξομαι ἄλλοθεν, ἢ τοῖς ἐμοῖς τοῦτον ἀποσεμνύνειν. τοσοῦτος τὴν δύναμιν, ὥστε ἀπ' ἄλλων ἄκρων, ἄλλα τῇ θερμότητι καταλαμβάνειν, καὶ μηδὲν ἐκφεύγειν αὐτοῦ τὴν αἴσθησιν, ἀλλὰ πάντα πληροῦσθαι. καὶ ὄψιν φωτὸς, καὶ σωματικὴν φύσιν θερμότητος· θέροντος, ἀλλ' οὐ φλέγοντος εὐκρασίας ἡμερότητι καὶ τάξει κινήσεως, ὡς πᾶσι παρόντος καὶ πᾶσί τε ἐπίσης περιλαμβάνοντος. ἐκεῖνο δέ σοι πηλίκον εἰ κατανόησας, τοῦτο ἐν αἰσθητοῖς ἥλιος, ὅπερ ἐν νοητοῖς θεὸς, ἔφη τις τῶν ἀλλοτρίων. αὐτὸς γὰρ ὄψιν φωτίζων ὥσπερ ἐκεῖνος νοῦν. αὐτὸς καὶ τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, ὥσπερ ἐκεῖνος τῶν νοουμένων. ἀλλὰ τί τὸ κινῆσαν αὐτὸν ἀπ' ἀρχῆς; τί δαὶ, τὸ ἀεὶ κινοῦν καὶ περιάγον ἑστῶτα λόγῳ, καὶ μὴ κινούμενον ὄντως ἀκάματον καὶ φερέσβιον, καὶ φυσίζωον, καὶ ὅσα ποιηταὶ ὑμνοῦσι κατὰ λόγον, καὶ μήτε τῆς ἑαυτοῦ φορᾶς ποτὲ, μήτε τῶν εὐεργεσιῶν ἱστάμενον; πῶς ἡμέρας δημιουργὸς ὑπὲρ γῆς, καὶ νυκτὸς ὑπὸ γῆν; ἢ οὐκ οἶδ' ὅ τι χρὴ λέγειν ἡλίῳ προσβλέψαντα. τίς ἡ τούτων πρόσληψίς τε καὶ ἀνθυφαίρεσις, καὶ ἡ τῆς ἀνισότητος ἰσότης, ἵν' εἴπω τι καὶ παράδοξον; πῶς δὲ ὡρῶν ποιητής τε καὶ μεριστὴς, εὐτάκτως ἐπιγινομένων τε καὶ ἀπογινομένων, καὶ ὥσπερ ἐν χορῷ συμπλεκομένων ἀλλήλαις καὶ διισταμένων, τὸ μὲν φιλίας νόμῳ, τὸ δὲ εὐταξίας, καὶ κατὰ μικρὸν κιρναμένων, καὶ ταῖς ἐγγύτησι κλεπτομένων ταυτὸν ἡμέραις τε καὶ νυξὶν, ἵνα μὴ τῇ ἀληθείᾳ λυπήσωσιν. ἀλλ' ἴτω μὲν ἡμῖν ἥλιος. σὺ δὲ ἔγνως σελήνης φύσιν, καὶ πάθη, καὶ μέτρα φωτὸς, καὶ δρόμους, καὶ πῶς ὁ μὲν ἡμέρας ἔχει τῆς δυναστείας, ἡ δὲ νυκτὸς προκαθέζεται; καὶ ἡ μὲν θηρείοις δίδωσι παρρησίαν, ὁ δὲ ἄνθρωπον ἐπὶ τὸ ἔργον ἀνίστησιν, ἢ ὑψούμενος, ἢ ταπεινούμενος, πρὸς τὸ χρησιμώτατον; συνῆκας δὲ δεσμὸν πλειάδος, ἢ φραγμὸν ὠρίωνος, ὡς ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, καὶ δόξης ἑκάστου διαφορὰν, καὶ τάξιν κινήσεως, ἵνα σοι πιστεύσω διὰ τούτων πλέκοντι τὰ ἡμέτερα, καὶ κατὰ τοῦ κτίστου τὴν κτίσιν ὁπλίζοντι; τί λέγεις; ἐνταῦθα στησόμεθα τοῦ λόγου; μέχρι τῆς ὕλης καὶ τῶν ὁρωμένων; ἢ ἐπειδὴ τοῦ κόσμου παντὸς ἀντίτυπον τὴν μωσέως σκηνὴν οἶδεν ὁ λόγος, τοῦ ἐξ ὁρατῶν τε καὶ ἀοράτων λέγω συστήματος, τὸ πρῶτον καταπέτασμα διαχόντες, καὶ ὑπερβάντες τὴν αἴσθησιν, εἰς τὰ ἅγια παρακύψομεν, τὴν νοητὴν φύσιν καὶ ἐπουράνιον. οὐκ ἔχομεν οὐδὲ ταύτην ἀσωμάτως ἰδεῖν, εἰ καὶ ἀσώματος, πῦρ καὶ πνεῦμα προσαγορευομένην, ἢ γινομένην. ποιεῖν γὰρ λέγεται τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λει-

τουργοὺς

λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. εἰ μὴ ποιεῖν μὲν ἐστὶ τὸ συντηρεῖν τῷ λόγῳ, καθ' ὃν ἐγένοντο. πνεῦμα δὲ ἀκούει καὶ πῦρ, τὸ μὲν, ὡς νοητὴ φύσις· τὸ δὲ, ὡς καθάρσιος, ἐπεὶ καὶ τῆς πρώτης οὐσίας τὰς αὐτὰς οἶδα κλήσεις. πλὴν ἡμῖν γε ἀσώματος ἔστω, ἢ ὅτι ἐγγύτατα. ὁρᾷς ὅπως ἰλιγγιῶμεν περὶ τὸν λόγον, καὶ οὐκ ἔχομεν οἷ προσέλθωμεν; ἢ τοσοῦτόν τι ὅσον εἰδέναι ἀγγέλους τινὰς καὶ ἀρχαγγέλους, θρόνους, κυριότητας, ἀρχὰς, ἐξουσίας, λαμπρότητας, ἀναβάσεις, νοερὰς δυνάμεις, ἢ νόας, καθαρὰς φύσεις καὶ ἀκιβδήλους, ἀκινήτους πρὸς τὸ χεῖρον, ἢ δυσκινήτους, περὶ τὸ πρῶτον αἴτιον, ἀεὶ χορευούσας. ἢ πῶς ἄν τις αὐτὰς ἀνυμνήσειεν, ἐκεῖθεν ἐλλαμπομένας, τὴν καθαρωτάτην ἔλλαμψιν, ἢ ἄλλας ἄλλην κατὰ τὴν ἀναλογίαν τῆς φύσεως, καὶ τῆς τάξεως. τοσοῦτον τῷ καλῷ μορφουμένας, καὶ τυπουμένας, ὥστε ἄλλα γίνεσθαι φῶτα, καὶ ἄλλους φωτίζειν δύνασθαι, ταῖς τοῦ πρώτου φωτὸς ἐπιρροίαις τε καὶ διαδόσεσι, λειτουργοὺς θείου θελήματος. δυνατὰς ἰσχύϊ φυσικῇ τε καὶ ἐπικτήτῳ, πάντα ἐπιπορευομένας, πᾶσι πανταχοῦ παρούσας ἑτοίμως, προθυμίᾳ τε λειτουργίας, καὶ κουφότητι φύσεως. ἄλλας ἄλλο τι τῆς οἰκουμένης μέρος διειληφυίας, ἢ ἄλλῳ τινὶ τοῦ παντὸς ἐπιτεταγμένας. ὡς οἶδεν ὁ ταῦτα τάξας καὶ διελών. πάντα εἰς ἓν ἀγούσας, πρὸς μίαν σύννευσιν τοῦ τὰ πάντα δημιουργήσαντος, ὑμνῳδοὺς θείας μεγαλειότητος, θεωροὺς δόξης ἀϊδίου καὶ ἀϊδίως, οὐχ ἵνα δοξασθῇ θεός. οὐ γάρ ἐστιν ὃ προστεθήσεται τῷ πλήρει, τῷ καὶ τοῖς ἄλλοις χορηγῷ τῶν καλῶν, ἀλλ' ἵνα μὴ λείπῃ τοῦ εὐεργετεῖσθαι καὶ ταῖς πρώταις μετὰ θεὸν φύσεσι. ταῦτα εἰ μὲν πρὸς ἀξίαν ὕμνηται, τῆς τριάδος ἡ χάρις, καὶ τῆς μιᾶς ἐν τοῖς τρισὶ θεότητος. εἰ δὲ τῆς ἐπιθυμίας ἐνδεέστερον, ἔχει τὸ νικᾶν καὶ οὕτως ὁ λόγος. τοῦτο γὰρ ἠγωνίζετο παραστῆσαι, ὅτι νοῦ κρείττων, καὶ ἡ τῶν δευτέρων φύσις, μὴ ὅτι τῆς πρώτης καὶ μόνης. ὀκνῶ γὰρ εἰπεῖν, ὑπὲρ ἅπαντα.

ΠΕΡΙ ΥΙΟΥ, ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Μὲν οὖν εἴποι τις ἄν, ἐπικόπτων τὴν περὶ τὸν λόγον αὐτῶν ἑτοιμότητα, καὶ ταχυτῆτα, καὶ τὸ τοῦ τάχους ἐπισφαλὲς, ἐν πᾶσι μὲν πράγμασι, μάλιστα δὲ ἐν τοῖς περὶ θεοῦ λόγοις, ταῦτά ἐστιν. ἐπεὶ δὲ τὸ μὲν ἐπιτιμᾶν, οὐ μέγα, ῥᾷστον γοῦν καὶ τοῦ βουλομένου παντὸς, τὸ δὲ ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην εὐσεβοῦς καὶ νοῦν ἔχοντος, φέρε τῷ ἁγίῳ θαρρήσαντες πνεύματι, τῷ παρ' αὐτῶν μὲν ἀτιμαζομένῳ, παρ' ἡμῶν δὲ προσκυνουμένῳ, τὰς ἡμετέρας περὶ τῆς θεότητος ὑπολήψεις, αἵ τινές ποτέ εἰσιν, ὥσπερ τινὰ τόκον εὐγενῆ τε καὶ ὥριμον, εἰς φῶς προενέγκωμεν. οὐδὲ ἄλλοτε μὲν σιωπήσαντες. τοῦτο γοῦν μόνον ἡμεῖς νεανικοί τι καὶ μεγαλόφρονες, νῦν δὲ καὶ μᾶλλον παῤῥησιαζόμενοι τὴν ἀλήθειαν. ἵνα μὴ τῇ ὑποστολῇ, καθὼς γέγραπται, τὸ μὴ εὐδοκεῖσθαι κατακριθῶμεν. διττοῦ δὲ ὄντος λόγου παντὸς, τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος, καὶ ἡμεῖς τὸ οἰκεῖον ἐκθέμενοι πρότερον, οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα. καὶ ἀμφότερα, ὡς οἷόν τε διὰ βραχέων, ἵν' εὐσύνοπτα γένηται τὰ λεγόμενα, ὥσπερ ὃν αὐτοὶ λόγον εἰσαγωγικὸν ἐπενόησαν, πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἢ εὐηθεστέρων. καὶ μὴ τῷ μήκει τοῦ λόγου διαχέηται τὰ νοούμενα. καθάπερ ὕδωρ οὐ σωλῆνι σφιγγόμενον, ἀλλὰ κατὰ πεδίου χεόμενον καὶ λυόμενον. τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ, ἀναρχία, καὶ πολυαρχία, καὶ μοναρχία. αἱ μὲν οὖν δύο, παισὶν Ἑλλήνων ἐπαίχθησαν, καὶ παιζέσθωσαν. τό, τε γὰρ ἄναρχον, ἄτακτον. τό, τε πολύαρχον, στασιῶδες, καὶ οὕτως ἄναρχον, καὶ οὕτως ἄτακτον. εἰς ταὐτὸν γὰρ ἀμφότερα φέρει, τὴν ἀταξίαν· ἡ δὲ εἰς λύσιν. ἀταξία γὰρ μελέτη λύσεως. ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον. μοναρχία δὲ οὐχ ἣν ἓν περιγράφει πρόσωπον. ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ, πολλὰ καθίστασθαι· ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως, καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις. ὅπερ ἀμήχανον ἐπὶ τῆς γενητῆς φύσεως, ὥστε κἂν ἀριθμῷ διαφέρῃ, τῇ ἐξουσίᾳ μὴ τέμνεσθαι. διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι τριάδος ἔστη. καὶ τοῦτό ἐστιν ἡμῖν ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, ὁ μὲν γεννήτωρ καὶ προβολεύς· λέγω δὲ ἀπαθῶς, καὶ ἀχρόνως, καὶ ἀσωμάτως· τῶν δὲ, τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα. ἢ οὐκ οἶδ' ὅπως ἄν τις ταῦτα καλέσειεν, ἀφελὼν πάντη τῶν ὁρωμένων. οὐ γὰρ δὴ ὑπέρχυσιν ἀγαθότητος εἰπεῖν θαῤῥήσομεν, ὃ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων εἰπεῖν τις ἐτόλμησεν. οἷον κρατήρ τις ὑπερεῤῥύη, σαφῶς οὑτωσὶ λέγων, ἐν οἷς περὶ πρώτου αἰτίου καὶ δευτέρου φιλοσοφεῖ. μή ποτε ἀκούσιον τὴν γέννησιν εἰσαγάγωμεν, καὶ οἷον περίττωμά τι φυσικὸν καὶ δυσκάθεκτον, ἥκιστα ταῖς περὶ θεότητος ὑπονοίαις πρέπον. διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς που, φησὶν, αὐτὸς ὁ θεὸς καὶ λόγος. πότε οὖν ταῦτα, ὑπὲρ τὸ, πότε ταῦτα, εἰ δὲ δεῖ τι καὶ νεανικῶς εἰπεῖν, ὅτε ὁ πατήρ·

πότε

πότε δὲ, ὁ πατήρ; οὐκ ἦν ὅτε οὐκ ἦν. οὐκοῦν καὶ ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον. πάλιν ἐ-
ρώτα με, κἀγὼ πάλιν ἀποκρινοῦμαί σοι. πότε ὁ υἱὸς γεγέννηται, ὅτε ὁ πατὴρ οὐ γεγέννηται,
πότε δὲ τὸ πνεῦμα ἐκπεπόρευται, ὅτε ὁ υἱὸς οὐκ ἐκπεπόρευται, ἀλλὰ γεγέννηται ἀχρόνως,
καὶ ὑπὲρ λόγον. εἰ καὶ μὴ δυνάμεθα τὸ ὑπὲρ χρόνον παραστῆσαι, θέλοντες χρονικὴν ἐκφυ-
γεῖν ἔμφασιν. τὸ γὰρ ὅτε, καὶ πρὸ τοῦδε, καὶ μετὰ ταῦτα, καὶ ἀπ' ἀρχῆς, οὐκ ἄχρονα, κἂν ὅτι
μάλιστα βιαζώμεθα. πλὴν εἰ τὸ συμπαρεκτεινόμενον τοῖς ἀϊδίοις διάστημα τὸν αἰῶνα λαμβά-
νοιμεν, οὐ μὴ κινήσει τινὶ, μηδὲ ἡλίου φορᾷ μεριζόμενον, καὶ μετρούμενον. ὅπερ ὁ χρόνος. πῶς
οὖν οὐ συνάναρχα, εἰ συναΐδια; ὅτι ἐκεῖθεν, εἰ καὶ μὴ μετ' ἐκεῖνον. τὸ μὲν γὰρ ἄναρχον, καὶ
ἀΐδιον· τὸ δὲ ἀΐδιον, οὐ πάντως ἄναρχον. ἕως ἂν εἰς ἀρχὴν ἀναφέρηται τὸν πατέρα. οὐκ ἄναρ-
χα οὖν τῷ αἰτίῳ, δῆλον δὲ τὸ αἴτιον. ὡς οὐ πάντως πρεσβύτερον, τῶν ὧν ἐστιν αἴτιον. οὐδὲ γὰρ
τοῦ φωτὸς ἥλιος, καὶ ἄναρχά πως τῷ χρόνῳ, κἂν σὺ μορμολύττῃ τοὺς ἁπλουστέρους. οὐ γὰρ
ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος. πῶς οὖν οὐκ ἐμπαθὴς ἡ γέννησις, ὅτι ἀσώματος. εἰ γὰρ ἡ ἐν-
σώματος ἐμπαθὴς, ἀπαθὴς ἡ ἀσώματος. ἐγὼ δέ σε ἀντερήσομαι. πῶς θεὸς, εἰ κτίσμα.
οὐ γὰρ θεὸς τὸ κτιζόμενον, ἵνα μὴ λέγω ὅτι κἀνταῦθα πάθος, ἂν σωματικῶς λαμβάνηται,
οἷον χρόνοι, ἔφεσις, ἀνατύπωσις, φροντὶς, ἐλπὶς, λύπη, κίνδυνος, ἀποτυχία, διόρθωσις· ἃ
πάντα καὶ πλείω τούτων, περὶ τὴν κτίσιν, ὡς πᾶσιν εὔδηλον. θαυμάζω δὲ, ὅτι μὴ καὶ τοῦτο
τολμᾷς, συνδυασμούς τινας ἐννοεῖν, καὶ χρόνους κυήσεως, καὶ κινδύνους ἀμβλώσεως, ὡς
οὐδὲ γεννᾶν ἐγχωροῦν. εἰ μὴ οὕτω γεγέννηκεν, ἢ πάλιν πτηνῶν τινας καὶ χερσαίων, καὶ ἐνύ-
δρων γεννήσεις ἀπαριθμούμενος, τούτων τινὶ τῶν γεννήσεων ὑπάγειν τὴν θείαν καὶ ἀνεκλά-
λητον, ἢ καὶ τὸν υἱὸν ἀναιρεῖν ἐκ τῆς καινῆς ὑποθέσεως. καὶ οὐδ' ἐκεῖνο δύνασαι συνιδεῖν, ὅτι
ᾧ διάφορος ἡ κατὰ σάρκα γέννησις. ποῦ γὰρ ἐν τοῖς σοῖς ἔγνως θεοτόκον παρθένον, τού-
τῳ καὶ ἡ πνευματικὴ γέννησις ἐξαλλάττουσα. μᾶλλον δὲ ᾧ τὸ εἶναι μὴ ταυτὸν, τούτῳ καὶ τὸ γενναν
διάφορον. τίς οὖν ἐστι πατὴρ οὐκ ἠργμένος; ὅς γε οὐδὲ τοῦ εἶναι ἤρξατο. ᾧ δὲ τὸ εἶναι ἤρξατο, τούτῳ
ἐστι τὸ εἶναι πατρί. οὐκοῦν πατὴρ ὕστερον, οὐ γὰρ ἤρξατο. ὁ πατὴρ κυρίως, ὅτι μὴ καὶ υἱός· ὥσπερ ὁ
υἱὸς κυρίως, ὅτι μὴ καὶ πατήρ. ταῦτα γὰρ ἡμέτερα, οὐ κυρίως, ὅτι καὶ ἄμφω. οὐ γὰρ τόδε μᾶλλον,
ἢ τόδε, καὶ ἐξ ἀμφοῖν ἡμεῖς, οὐχ ἑνὸς, ὥστε μερίζεσθαι, καὶ κατ' ὀλίγον ἄνθρωποι, καὶ ἴσως οὐδὲ
ἄνθρωποι, καὶ οἷοι μὴ τεθελήμεθα, καὶ ἀφιέντες, καὶ ἀφιέμενοι, ὡς μόνας τὰς σχέσεις
λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. ἀλλὰ τὸ ἐγέννησε, φησὶν, αὐτὸ καὶ τὸ γεγέννηται, τί
ἄλλο ἢ ἀρχὴν εἰσάγει γεννήσεως. τί οὖν ἂν μηδὲ τοῦτο λέγωμεν; ἀλλ' ἦν ἐπ' ἀρχῆς γεγεννη-
μένος, ἵνα σου ῥᾳδίως φύγωμεν τὰς περιέργους ἐνστάσεις καὶ φιλοχρόνους. ἆρα γραφὴν
ἀποίσεις καθ' ἡμῶν, ὡς παραχαραττόντων τι τῆς γραφῆς, καὶ τῆς ἀληθείας; ἢ πᾶσιν εὔδηλον
ὅτι πολλὰ τῶν χρονικῶς λεγομένων ἐνηλλαγμένως τοῖς χρόνοις προφέρεται, καὶ μάλιστα
παρὰ τῇ συνηθείᾳ τῆς γραφῆς, οὐχ ὅσα τοῦ παρεληλυθότος χρόνου μόνον ἐστὶν, ἢ τοῦ παρόντος,
ἀλλὰ καὶ ὅσα τοῦ μέλλοντος. ὡς τὸ, ἵνα τί ἐφρύαξαν ἔθνη; οὔπω γὰρ ἐφρυάξαντο, καὶ ἐν πο-
ταμῷ διελεύσονται ποδί· ὅπερ ἐστὶ διαβεβήκασι. καὶ μακρὸν ἂν εἴη πάσας ἀπαριθμεῖν τὰς
τοιαύτας φωνὰς, αἳ τοῖς φιλοπόνοις τετήρηνται. τοῦτο μὲν δὴ τοιοῦτον. ἐστὶ δὲ αὐτῶν κἀκεῖ-
νο, ὡς λίαν δύσερι καὶ ἀναίσχυντον, βουληθεὶς φασι γεγέννηκε τὸν υἱὸν, ἢ μὴ βουλόμενος.
εἶτα δεσμοῦσιν, ὡς οἴονται, ἀμφοτέρωθεν, ἅμμασιν, οὐκ ἰσχυροῖς, ἀλλὰ καὶ λίαν σαθροῖς. εἰ μὲν
γὰρ οὐ θέλων, φασὶ; τετυράννηται, καὶ τίς ὁ τυραννήσας. καὶ πῶς ὁ τυραννηθεὶς, θεός; εἰ δὲ
θέλων, θελήσεως υἱὸς ὁ υἱός; πῶς οὖν ἐκ τοῦ πατρὸς καὶ καινήν τινα μητέρα τὴν θέλησιν
ἀντὶ τοῦ πατρὸς ἀναπλάττουσιν. ἓν μὲν οὖν τοῦτο χαρίεν αὐτῶν ἂν τοῦτο λέγωσιν, ὅτι τοῦ πά-
θους ἀποστάντες, ἐπὶ τὴν βούλησιν καταφεύγουσιν. οὐ γὰρ πάθος ἡ βούλησις. δεύτερον δὲ,
ἴδωμεν τὸ ἰσχυρὸν αὐτῶν, ὅ, τι λέγουσιν. ἄριστον δὲ αὐτοῖς συμπλακῆναι πρότερον ἐγγυτέ-
ρω. σὺ δὲ αὐτὸς ὁ λέγων εὐχερῶς, ὅ, τι ἂν θέλῃς, ἐκ θέλοντος ὑπέστης τοῦ σοῦ πατρὸς, ἢ μὴ
θέλοντος. εἰ μὲν γὰρ οὐ θέλοντος, τετυράννηται, τῆς βίας. καὶ τίς ὁ τυραννήσας αὐτόν; οὐ γὰρ
δὴ τὴν φύσιν ἐρεῖς. ἐκείνη γὰρ ἔχει καὶ τὸ σωφρονεῖν. εἰ δὲ θέλοντος, ἀπόλωλέ σοι δι' ὀλί-
γας συλλαβὰς ὁ πατήρ. θελήσεως γὰρ υἱὸς, ἀλλ' οὐ πατρὸς ἀναπέφηνας, ἀλλ' ἤδη τὸν θεὸν
μέτειμι καὶ τὰ κτίσματα, καὶ τὸ σὸν ἐρώτημα προσάγω τῇ σῇ σοφίᾳ. θέλων ὑπέστησεν ὁ θεὸς
τὰ πάντα ἢ βιασθείς. εἰ μὲν βιασθεὶς κἀνταῦθα ἡ τυραννὶς, καὶ ὁ τυραννήσας· εἰ δὲ βουλό-
μενος, ἐστέρηται τοῦ θεοῦ, καὶ τὰ κτίσματα. καὶ σὺ πρὸ τῶν ἄλλων ὁ τοιούτους ἀνευρίσκων λογι-
σμοὺς, καὶ τοιαῦτα σοφιζόμενος. θελήσει γὰρ μέσῃ τοῦ κτίστου διατειχίζεται. ἀλλ' ἕτερόν
ἐστιν οἶμαι θέλων καὶ θέλησις, γεννῶν καὶ γέννησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν. τὰ μὲν
ὁ κινούμενος, τὰ δὲ οἷον ἡ κίνησις. οὐκοῦν θελήσεως, τὸ θεληθέν. οὐδὲ γὰρ ἕπεται πάντως, οὐδὲ
τὸ γεννηθὲν γεννήσεως, οὐδὲ τὸ ἀκουσθὲν ἐκφωνήσεως, ἀλλὰ τοῦ θέλοντος, καὶ τοῦ γεννῶν-
τος, καὶ τοῦ λέγοντος, τὰ τοῦ θεοῦ δὲ, καὶ ὑπὲρ πάντα ταῦτα, ᾧ γέννησίς ἐστιν ἴσως, ἡ τοῦ

γεννᾷ θέλησις. οὐδὲν μέσον, εἴ γε καὶ τοῦτο δεξόμεθα ὅλως. ἀλλὰ μὴν καὶ θελήσεως κρείττων ἡ γέννησις. βούλει τι προσπαίξω καὶ τὸν πατέρα; παρὰ σοῦ γὰρ ἔχω τὰ τοιαῦτα τολμᾶν. θέλων θεός, ὁ πατὴρ ἢ μὴ θέλων; καὶ ὅπως ἀποφεύξῃ τὸ σὸν περιδέξιον. εἰ μὲν δὴ θέλων, πότε τοῦ θέλειν ἠργμένος; οὐ γὰρ πρὶν εἶναι. οὐδὲ γὰρ ἦν τι πρότερον. ἢ τὸ μέν, αὐτοῦ θέλον, τὸ δὲ θεληθέν, μεριστὸς ἄρα. πῶς δὲ οὐ θελήσεως καὶ οὗτος κατὰ σὲ πρόβλημα. εἰ δὲ οὐ θέλων, τί τὸ βιασάμενον εἰς τὸ εἶναι; καὶ πῶς θεός, εἰ βεβίασται, καὶ ταῦτα οὐκ ἄλλο τι ἢ αὐτὸ τὸ εἶναι θεός; πῶς οὖν φησι γεγέννηται; πῶς ἔκτισται, εἴπερ ἔκτισται κατὰ σέ; καὶ γὰρ καὶ τοῦτο τῆς αὐτῆς ἀπορίας. τάχα ἂν εἴποις, βουλήσει καὶ λόγῳ. οὔπω λέγεις τὸ πᾶν. πῶς γὰρ δή γε δύναμιν ἔσχεν ἡ βούλησις καὶ ὁ λόγος; ἔν τι λείπεται λέγειν. οὐ γὰρ οὕτως ἄνθρωπος. πῶς οὖν γεγέννηται; οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ σὺ κατελάμβανες ὃς οὐδὲ τὴν ἰδίαν ἐπίστῃ γέννησιν. ἢ μικρόν τι ταύτης κατείληφας, καὶ ὅσον αἰσχύνη λέγειν. ἔπειτα οἴει τὸ πᾶν γινώσκειν, πολλὰ ἂν κάμοις πρότερον, ἢ εὕροις λόγους συμπήξεως, μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα, δεσμὸν τοῦ πρὸς ψυχήν, λόγου πρὸς νοῦν κίνησιν, αὔξησιν, τροφῆς ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν. τἄλλα ἐξ ὧν συνέστηκας. καὶ τίνα μὲν τοῦ συναμφοτέρου ψυχῆς καὶ σώματος, τίνα δὲ τὰ μεμερισμένα, τίνα δὲ ἐκ τῆς ἀλλήλων λαμβανόμενα; ὧν γὰρ ὕστερον ἡ τελείωσις, τούτων οἱ λόγοι μετὰ τῆς γεννήσεως. εἰπὲ τίνες; καὶ μηδὲ τότε φιλοσοφήσῃς θεοῦ γέννησιν. οὐ γὰρ ἀσφαλές. εἰ μὲν γὰρ τὴν σὴν γινώσκεις, οὐ πάντως καὶ τὴν τοῦ θεοῦ. εἰ δὲ μὴ τὴν σήν, πῶς τὴν τοῦ θεοῦ; ὅσῳ γὰρ θεὸς ἀνθρώπου δυσεκμαρτότερος, τοσούτῳ καὶ τῆς σῆς γεννήσεως ἀληπτοτέρα ἡ ἄνω γέννησις. εἰ δὲ τὸ μὴ σὲ κατειληφέναι, διὰ τοῦτο οὐδὲ γεγέννηται, ὥρα σοι πολλὰ διαγράφειν τῶν ὄντων, ἃ μὴ κατείληφας, καὶ πρό γε πάντων τὸν θεὸν αὐτόν. οὐδὲ γὰρ ὅτι ποτέ ἐστιν εἰπεῖν ἔχεις. καὶ εἰ λίαν τολμηρὸς εἶ, καὶ τὰ περιττὰ μεγαλόψυχος, κατάβαλέ σου τὰς ῥεύσεις, καὶ τὰς διαιρέσεις, καὶ τὰς τομάς, καὶ τὸ ὡς περὶ σώματος διανοεῖσθαι τῆς ἀσωμάτου φύσεως, καὶ τάχα ἂν ἄξιόν τι διανοηθείης θεοῦ γεννήσεως. πῶς γεγέννηται; πάλιν γὰρ τὸ αὐτὸ φθέγξομαι δυσχεραίνων· θεοῦ γέννησις, σιωπῇ τιμάσθω. μέγα σοι τὸ μαθεῖν ὅτι γεγέννηται. τὸ δὲ πῶς; οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γε σοὶ συγχωρήσομεν. βούλει παραστήσω τὸ πῶς; ὡς οἶδεν ὁ γεννήσας πατήρ, καὶ ὁ γεννηθεὶς υἱός. τὸ δὲ ὑπὲρ ταῦτα, νέφει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν. ὄντα οὖν γεγέννηκεν, ἢ οὐκ ὄντα, τῶν ληρημάτων. περὶ ἐμὲ καὶ σὲ ταῦτα. οἳ τὸ μέν τι ἦμεν, ὥσπερ ἐν τῇ ὀσφύϊ τοῦ ἀβραάμ, ὁ λευΐ, τὸ δὲ γεγόναμεν. ὥστε ἐξ ὄντων, τρόπον τινὰ τὸ ἡμέτερον, καὶ οὐκ ὄντων, ἐναντίως περὶ τὴν ἀρχέγονον ὕλην, ὑποστᾶσαν σαφῶς ἐξ οὐκ ὄντων, κἂν τινες ἀγέννητον ἀναπλάττωσιν. ἐνταῦθα δὲ σύνδρομον τὸ εἶναι, τὸ γεγεννῆσθαι καὶ ἀπ' ἀρχῆς. ὥστε ποῦ θήσεις τὸ ἀμφίκρημνον τοῦτο ἐρώτημα. τί γὰρ τοῦ ἀπ' ἀρχῆς πρεσβύτερον, ἵν' ἐκεῖ θῶμεν τὸ εἶναί ποτε τοῦ υἱοῦ, ἢ μὴ εἶναι; ἀμφοτέρως γὰρ τὸ ἀπ' ἀρχῆς λυθήσεται. εἰ μή σοι καὶ ὁ πατήρ, πάλιν ἐρωτώντων ἡμῶν ἐξ ὄντων, ἢ ἐξ οὐκ ὄντων, κινδυνεύσειεν ἢ δὶς εἶναι, ὁ μὲν προών, ὁ δὲ ὤν, ἢ ταυτὸν τῷ υἱῷ παθεῖν, ἐξ οὐκ ὄντων εἶναι διὰ τὰ σὰ τῶν ἐρωτημάτων παίγνια, καὶ τὰς ἐκ ψάμμων οἰκοδομάς, αἳ μηδὲ αὔραις ἵστανται. ἐγὼ μὲν οὖν οὐδέτερον τούτων δέχομαι, καὶ τὴν ἐρώτησιν φημὶ τὸ ἄτοπον ἔχειν, οὐχὶ τὸ ἄπορον τὴν ἀπάντησιν. εἰ δέ σοι φαίνεται ἀναγκαῖον εἶναι τὸ ἕτερον ἀληθεύειν ἐπὶ παντὸς κατὰ τὰς σὰς διαλεκτικὰς ὑπολήψεις, δέξαι μου τι μικρὸν ἐρώτημα. ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ; εἰ μὲν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι, καὶ πῶς περιέχοντι; εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία χρόνον εἰσάγειν ἄχρονον; τοῦ δὲ νῦν, ἐγὼ ψεύδομαι. δὸς τὸ ἕτερον, ἢ ἀληθεύεσθαι μόνον, ἢ ψεύδεσθαι. οὐ γὰρ ἀμφότερα δώσομεν. ἀλλ' οὐκ ἐνδέχεται. ἢ γὰρ ψευδόμενος ἀληθεύσει, ἢ ἀληθεύων ψεύσεται, πᾶσα ἀνάγκη. τί οὖν θαυμαστόν, ὥσπερ ἐνταῦθα συμβαίνει τὰ ἐναντία, οὕτως ἐκεῖσε; ἀμφότερα ψεύδεσθαι, καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον ἀναφανήσεται. ἓν ἔτι μοι λῦσον τῶν αἰνιγμάτων, σεαυτῷ δὲ γεννωμένῳ παρῆς, πάρει δὲ νῦν, ἢ οὐδέτερον; εἰ μὲν γὰρ καὶ παρῆς, καὶ πάρει, ὡς τίς καὶ τίνι; καὶ πῶς ὁ εἷς ἄμφω γεγόνατε; εἰ δὲ μηδέτερον τῶν εἰρημένων, πῶς σεαυτοῦ χωρίζῃ; καὶ τίς ἡ αἰτία τῆς διαζεύξεως; ἀλλ' ἀπαίδευτον τὸ περὶ τοῦ ἑνός, εἰ ἑαυτῷ πάρεστιν ἢ μὴ πολυπραγμονεῖν. ταῦτα γὰρ ἐπ' ἄλλων, οὐχ ἑαυτοῦ λέγεται. ἀπαιδευτότερον εὖ ἴσθι τὸ ἀπ' ἀρχῆς γεγεννημένον, εἰ ἦν, πρὸ τῆς γεννήσεως, ἢ οὐκ ἦν διευθύνεσθαι. οὗτος γὰρ περὶ τῶν χρόνῳ διαιρετῶν ὁ λόγος, ἀλλ' οὐ ταυτόν φασι τὸ ἀγέννητον καὶ τὸ γεννητόν. εἰ δὲ τοῦτο, οὐδὲ ὁ υἱὸς τῷ πατρὶ ταυτόν. ὅτι μὲν φανερῶς ὁ λόγος οὗτος ἐκβάλλει τὸν υἱὸν τῆς θεότητος ἢ τὸν πατέρα, τί χρὴ καὶ λέγειν; εἰ γὰρ τὸ ἀγέννητον οὐσία θεοῦ, τὸ γεννητὸν οὐκ οὐσία· εἰ δὲ τοῦτο, οὐκ ἐκεῖνο. τίς ἀντερεῖ λόγος; ἑλοῦ τοίνυν τῶν ἀσεβειῶν ὁποτέραν βούλει ὦ καινὲ θεολόγε, εἴπερ ἀσεβεῖν πάντως ἐσπούδακας. ἔπειτα πῶς οὐ ταυτὸν λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; εἰ μὲν τὸ μὴ ἐκτισμένον, καὶ ἐγὼ δέχομαι. οὐ γὰρ ταυτὸν τῇ φύσει τὸ ἄναρχον καὶ τὸ κτιζόμενον. εἰ δὲ τὸ γεγεννηκός, καὶ τὸ γε-

γεννημένον, οὐκ ὀρθῶς λέγεται. ταὐτὸν γὰρ εἶναι πᾶσα ἀνάγκη. αὕτη γὰρ φύσις γεννήματος, ταὐτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν, ἢ οὕτω πάλιν· πῶς λέγεις τὸ ἀγέννητον, καὶ τὸ γεννητόν; εἰ μὲν γὰρ τὴν ἀγεννησίαν αὐτὴν, καὶ τὴν γέννησιν, οὐ ταὐτόν. εἰ δὲ οἷς ὑπάρχει ταῦτα, πῶς οὐ ταὐτόν; ἐπεὶ καὶ τὸ ἄσοφον, καὶ τὸ σοφὸν, ἀλλήλοις μὲν οὐ ταὐτὰ, περὶ ταὐτὸν δὲ τὸν ἄνθρωπον, καὶ οὐκ οὐσίας τέμνει. περὶ δὲ τὴν αὐτὴν οὐσίαν τέμνεται. ἢ καὶ τὸ ἀθάνατον, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία θεοῦ. ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι θεοῦ, καὶ οὐ μία. ἢ σύνθετον ἐκ τούτων τὸ θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι. ταῦτα μὲν οὔ φασι. κοινὰ γὰρ καὶ ἄλλων. ὃ δὲ μόνου θεοῦ καὶ ἴδιον, τοῦτο οὐσία. οὐκ ἂν μὲν συγχωρήσειαν εἶναι μόνου θεοῦ τὸ ἀγέννητον, οἱ καὶ τὴν ὕλην, καὶ τὴν ἰδέαν συνεισάγοντες, ὡς ἀγέννητα. τὸ γὰρ Μανιχαίων πορρωτέρω ῥίψωμεν σκότος. πλὴν ἔστω μόνου θεοῦ. τί δὲ ὁ Ἀδάμ, οὐ μόνος πλάσμα θεοῦ; καὶ πάνυ φήσεις. ἆρ' οὖν καὶ μόνος ἄνθρωπος; οὐδαμῶς. τί δήποτε, ὅτι μὴ ἀνθρωπότης ἡ πλάσις. καὶ γὰρ καὶ τὸ γεννηθὲν ἄνθρωπος, οὕτως οὐδὲ τὸ ἀγέννητον μόνον θεὸς, εἰ καὶ μόνου πατρός. ἀλλὰ δέξαι καὶ τὸ γεννητὸν εἶναι θεόν. ἐκ θεοῦ γὰρ, εἰ καὶ λίαν εἶ φιλαγέννητος. ἔπειτα πῶς οὐσίαν θεοῦ λέγεις, οὐ τὴν τοῦ ὄντος θέσιν, ἀλλὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν. τὸ γὰρ μὴ ὑπάρχειν αὐτῷ γέννησιν, ὁ λόγος δηλοῖ. οὐχ ὃ τὴν φύσιν παρίστησιν, οὐδ' ὑπάρχει τὸ μὴ ἔχον γέννησιν. τίς οὖν οὐσία θεοῦ; τῆς σῆς ἀπονοίας τοῦτο λέγειν, ὃς πολυπραγμονεῖς καὶ τὴν γέννησιν. ἡμῖν δὲ μέγα καὶ εἴποτε καὶ εἰς ὕστερον τοῦτο μάθοιμεν, λυθέντος ἡμῖν τοῦ ζόφου, καὶ τῆς παχύτητος. ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. τοῦτο μὲν οὖν καὶ νοείσθω, καὶ ἐλπιζέσθω τοῖς ἐπὶ τούτῳ καθαιρομένοις. ἡμεῖς δὲ τοσοῦτον εἰπεῖν θαρρήσομεν, ὅτι εἰ καὶ μέγα τῷ πατρὶ τὸ μηδαμόθεν ὡρμῆσθαι, οὐκ ἔλαττον τῷ υἱῷ, τὸ ἐκ τοιούτου πατρός. τῆς τε γὰρ τοῦ ἀναιτίου δόξης μετέχοι ἂν, ὅτι ἐκ τοῦ ἀναιτίου, καὶ πρόσεστι τὸ τῆς γεννήσεως πρᾶγμα τοσοῦτον, καὶ οὕτω σεβάσμιον, τοῖς μὴ παντάπασι χαμαιπετέσι καὶ ὑλικοῖς τὴν διάνοιαν. ἀλλ' εἰ ταὐτόν φασιν ὁ υἱὸς τῷ πατρὶ κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατὴρ, ἔσται τοῦτο καὶ ὁ υἱός. καλῶς, εἴπερ οὐσία θεοῦ, τὸ ἀγέννητον. ἵν' ᾖ τις καινὴ μίξις, γεννητοαγέννητον. εἰ δὲ περὶ οὐσίαν ἡ διαφορὰ, τί τοῦτο ὡς ἰσχυρὸν λέγεις; ἢ καὶ σὺ πατὴρ τοῦ πατρός, ἵνα μηδενὶ λείπῃ τοῦ σοῦ πατρός, ἐπειδὴ ταὐτὸν εἶ κατ' οὐσίαν, ἢ δῆλον, ὅτι τῆς ἰδιότητος ἀκινήτου μενούσης, ζητήσομεν οὐσίαν θεοῦ. ἥ τις ποτέ ἐστιν, εἴπερ ζητήσομεν. ὅτι δὲ οὐ ταὐτὸν ἀγέννητον καὶ θεὸς, ὧδε ἂν μάθοις, εἰ ταὐτὸν ἦν, ἔδει πάντως, ἐπειδή τινων θεὸς, ὁ θεὸς, τινῶν εἶναι καὶ τὸ ἀγέννητον· ἢ ἐπεὶ μηδενὸς τὸ ἀγέννητον, μηδὲ τὸν θεὸν εἶναί τινων. τὰ γὰρ πάντῃ ταὐτὰ καὶ ὁμοίως ἐκφέρεται, ἀλλὰ μὴν οὔ τινων τὸ ἀγέννητον. τίνων γὰρ, καὶ τινῶν θεὸς, ὁ θεὸς πάντων γάρ. πῶς οὖν ἂν εἴη ταὐτὸν, θεὸς, καὶ ἀγέννητος; καὶ πάλιν. ἐπειδὴ τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν ἀντίκειται ἀλλήλοις, ὡς ἕξις καὶ στέρησις, ἀνάγκη καὶ οὐσίας εἰσαχθῆναι ἀντικειμένας ἀλλήλαις, ὅπερ οὐ δέδοται. ἢ ἐπειδὴ πάλιν αἱ ἕξεις τῶν στερήσεων πρότεραι, καὶ ἀναιρετικαὶ τῶν ἕξεων αἱ στερήσεις, μὴ μόνον πρεσβυτέραν εἶναι τὴν τοῦ πατρὸς οὐσίαν τὴν τοῦ υἱοῦ, ἀλλὰ καὶ ἀναιρουμένην ὑπὸ τοῦ πατρός, ἐξ ὧν ἐπὶ ταῖς σαῖς ὑποθέσεσι. τίς ἔτι λόγος αὐτοῖς τῶν ἀφύκτων; τάχα ἂν ἐπ' ἐκεῖνο καταφύγοιεν τελευταῖον. ὡς εἰ μὲν οὐ πέπαυται τοῦ γεννᾶν ὁ θεὸς, ἀτελὴς ἡ γέννησις, καὶ πότε παύσεται. εἰ δὲ πέπαυται, πάντως καὶ ἤρξατο. πάλιν οἱ σωματικοὶ, τὰ σωματικά. ἐγὼ δὲ, εἰ μὲν ἀΐδιον αὐτῷ τὸ γεννᾶσθαι ἢ μὴ, οὔπω λέγω. ἕως ἂν, τὸ πρὸ πάντων βουνῶν γεννᾷ με, ἀκριβέστερον ἐπισκέψωμαι. οὐχ ὁρῶ δὲ, τίς ἡ ἀνάγκη τοῦ λόγου. εἰ γὰρ ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον, οὐκ ἦρκται πάντως τὸ μὴ παυσόμενον. τί τοίνυν ἀποφανοῦνται περὶ ψυχῆς, ἢ τῆς ἀγγελικῆς φύσεως. εἰ μὲν ἦρκται, καὶ παύσεται. εἰ δὲ οὐ παύσεται, δῆλον ὅτι κατ' αὐτοὺς, οὐδὲ ἦρκται. ἀλλὰ μὴν καὶ ἦρκται, καὶ οὐ παύσεται. οὐκ ἄρα ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον. ὁ μὲν οὖν ἡμέτερος λόγος, ὥσπερ ἵππου, καὶ βοὸς, καὶ ἀνθρώπου, καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ εἶδος εἷς λόγος ἐστί. καὶ ὃ μὲν ἂν μετέχῃ τοῦ λόγου, τοῦτο καὶ κυρίως λέγεται· ὃ δ' ἂν μὴ μετέχῃ τοῦτο, ἢ μὴ λέγεται, ἢ μὴ κυρίως λέγεται. οὕτω δὲ καὶ τοῦ θεοῦ μίαν οὐσίαν εἶναι, καὶ φύσιν, καὶ κλῆσιν, κἂν ἐπινοίαις τισὶ διαιρουμέναις συνδιαιρῆται καὶ τὰ ὀνόματα. καὶ ὃ μὲν ἂν κυρίως λέγηται, τοῦτο καὶ εἶναι θεόν· ὃ δ' ἂν ᾖ κατὰ φύσιν, τοῦτο καὶ ἀληθῶς ὀνομάζεσθαι. εἴπερ μὴ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασίν ἐστιν ἡμῖν ἡ ἀλήθεια. οἱ δὲ ὥσπερ δεδοικότες, μὴ πάντα κινῶσι κατὰ τῆς ἀληθείας, θεὸν μὲν εἶναι τὸν υἱὸν ὁμολογοῦσιν, ὅταν βιασθῶσι τῷ λόγῳ, καὶ ταῖς μαρτυρίαις. ὁμώνυμον δὲ, καὶ μόνης κοινωνοῦντα τῆς κλήσεως. ὅταν δὲ ἀνθυποφέρωμεν αὐτοῖς, τί οὖν οὐ κυρίως θεὸς, ὁ υἱὸς, ὥσπερ οὐδὲ ζῷον τὸ γεγραμμένον; πῶς οὖν θεὸς, εἰ μὴ κυρίως θεός; τί γὰρ κωλύει, φασὶ, καὶ ὁμώνυμα ταῦτα εἶναι, καὶ κυρίως ἀμφότερα λέγεσθαι. καὶ προβιβάζουσιν ἡμῖν, τὸν κύνα τὸν χερσαῖον, καὶ τὸν θαλάττιον, ὁμώνυμά τε ὄντα, καὶ κυρίως λεγόμενα. ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν τοῖς ὁμωνύμοις. καὶ εἴ τι ἄλλο τῇ αὐτῇ προσηγορίᾳ, καὶ μετέχει ταύτης ἐπίσης, τῇ φύσει διεστηκός. ἀλλ' ἐκεῖ μὲν ὦ βέλτιστε,

βέλτιστε, δύο φύσεις ποιεῖς ὑπὸ τὴν αὐτὴν προσηγορίαν. οὐδὲν ἄμεινον τῇ ἑτέρᾳ τὴν ἑτέραν εἰσάγεις, οὐδὲ τὴν μὲν πρότερον, τὴν δὲ ὕστερον. οὐδὲ τὴν μὲν μᾶλλον, τὴν δὲ ἧττον οὖσαν. οὐδ' ὅπερ λέγεται, οὐδὲ γάρ τι συνέζευκται τὸ ταύτην παρέχον αὐταῖς τὴν ἀνάγκην. οὐ γὰρ ὁ μὲν μᾶλλον κύων, ὁ δὲ ἧττον τοῦ ἑτέρου κυνός· οὐδ' ὁ θαλάττιος τοῦ χερσαίου, ἢ ὁ χερσαῖος ἔμπαλιν τοῦ θαλαττίου. διὰ τί γάρ, ἢ κατὰ τίνα λόγον; ἀλλ' ἐν ὁμοτίμοις πράγμασι, καὶ διαφόροις, ἡ κοινωνία τῆς κλήσεως. ἐνταῦθα δὲ τῷ θεῷ παραζευγνὺς τὸ σεβάσμιον, καὶ τὸ ὑπὲρ πᾶσαν οὐσίαν εἶναι, καὶ φύσιν, ὃ μόνου θεοῦ, καὶ οἱονεὶ φύσις θεότητος. εἶτα τῷ πατρὶ μὲν τοῦτο διδούς, τὸν υἱὸν δὲ ἀποστερῶν καὶ ὑποτιθείς, καὶ τὰ δεύτερα νέμων αὐτῷ τῆς τιμῆς, καὶ τῆς προσκυνήσεως, κἂν ταῖς συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι τὴν θεότητα περικόπτεις, καὶ μεταβαίνεις κακούργως ἀπὸ τῆς τὸ ἴσον ἐχούσης ὁμωνυμίας, ἐπὶ τὴν τὰ μὴ ἴσα συνδέουσαν. ὥστε ὁ γεγραμμένος σοι, καὶ ὁ ζῶν ἄνθρωπος μᾶλλον, ἢ οἱ τοῦ ὑποδείγματος κύνες τῇ θεότητι πλησιάζουσιν. ἢ δὸς ἀμφοτέροις ὥσπερ τὴν κοινωνίαν τῆς κλήσεως, οὕτω δὲ καὶ τὴν ὁμοτιμίαν τῆς φύσεως. εἰ καὶ διαφόρους ταύτας εἰσάγεις, καὶ καταλέλυκάς σου τοὺς κύνας, οὓς ἐξεῦρες κατὰ τῆς ἀνισότητος. τί γὰρ ὄφελος τῆς ὁμωνυμίας, εἰ τὸ ἰσότιμον μὴ ἔχοιεν οἱ παρὰ σοῦ διαιρούμενοι. οὐ γὰρ ἵνα ἰσοτιμίαν δείξῃς, ἀλλ' ἵνα ἀνισοτιμίαν, πρὸς τὴν ὁμωνυμίαν καὶ τοὺς κύνας κατέφυγες. πῶς ἂν τις ἐλεγχθείη μᾶλλον, καὶ ἑαυτῷ μαχόμενος, καὶ θεότητι; ἐὰν δὲ λεγόντων ἡμῶν, ὅτι τῷ αἰτίῳ μείζων ὁ πατὴρ τοῦ υἱοῦ, προσλαβόντες τὴν, τὸ δὲ αἴτιον φύσει πρότασιν, ἔπειτα τὸ μεῖζον τῇ φύσει συνάγωσιν, οὐκ οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ λόγος. οὐ γὰρ ἁπλῶς ὅσα κατά τινος λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται· ἀλλὰ δῆλον κατὰ τίνος, καὶ τίνα. ἐπεὶ τί κωλύει κἀμὲ, ταύτην πρότασιν ποιησάμενον, τὴν, ὅτι ὁ πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τό, φύσει δὲ οὐ πάντως μεῖζον οὐδὲ πατήρ, ἐντεῦθεν συναγαγεῖν τὸ μεῖζον, οὐ πάντως μεῖζον ἢ ὁ πατήρ, οὐ πάντως πατήρ. εἰ βούλει δὲ οὕτως, ὁ θεός, οὐσία· ἡ οὐσία δέ, οὐ πάντως θεός. τὸ ἑξῆς αὐτὸς συνάγαγε. ὁ θεός, οὐ πάντως θεός· ἀλλ' οἶμαι παρὰ τὸ πῇ καὶ ἁπλῶς ὁ παραλογισμὸς οὗτος, ὡς τοῖς περὶ ταῦτα τεχνολογεῖν σύνηθες. ἡμῶν γὰρ τὸ μεῖζον τῇ τοῦ αἰτίου φύσει διδόντων, αὐτοὶ τὸ τῇ φύσει μεῖζον ἐπάγουσιν. ὥσπερ ἂν εἰ καὶ λεγόντων ἡμῶν, ὅτι ὁ δεῖνα νεκρὸς ἄνθρωπος, ἁπλῶς ἐπῆγον αὐτοὶ τὸν ἄνθρωπον. ἐκεῖνο δὲ πῶς παραδραμούμεθα, οὐδενὸς ἧττον τῶν εἰρημένων ὂν ἀξιοθαύμαστον; ὁ πατήρ, φασίν, οὐσίας ἢ ἐνεργείας ὄνομα· ὡς ἀμφοτέρωθεν ἡμᾶς δήσοντες. εἰ μὲν οὐσίας φήσομεν, συνθησομένους ἑτεροούσιον εἶναι τὸν υἱόν, ἐπειδὴ μία μὲν οὐσία θεοῦ, ταύτην δέ, ὡς οὗτοι, προκατείληφεν ὁ πατήρ. εἰ δὲ ἐνεργείας, ποίημα σαφῶς ὁμολογήσοντας, ἀλλ' οὐ γέννημα. οὗ γὰρ ὁ ἐνεργῶν, ἐκεῖ πάντως καὶ τὸ ἐνεργούμενον. καὶ πῶς τῷ πεποιηκότι ταὐτὸν τὸ πεποιημένον, θαυμάζειν φήσουσι. σφόδρα ἂν ᾐδέσθην ὑμῶν καὶ αὐτὸς τὴν διαίρεσιν, εἰ τῶν δύο τὸ ἕτερον δέξασθαι ἦν ἀναγκαῖον, ἀλλὰ μὴ τὰ δύο διαφυγόντα, τρίτον εἰπεῖν ἀληθέστερον. ὅτι οὔτε οὐσίας ὄνομα ὁ πατήρ, ὦ σοφώτατοι, οὔτε ἐνεργείας. σχέσεως δὲ καὶ τοῦ πῶς ἔχει πρὸς τὸν υἱὸν ὁ πατήρ, ἢ ὁ υἱὸς πρὸς τὸν πατέρα. ὡς γὰρ παρ' ἡμῖν αἱ κλήσεις αὗται τὸ γνήσιον καὶ οἰκεῖον γνωρίζουσιν, οὕτω κἀκεῖ τὴν τοῦ γεγεννημένου πρὸς τὸ γεγεννηκὸς ὁμοφυΐαν σημαίνουσιν. ἔστω δὲ ὑμῶν χάριν καὶ οὐσία τις ὁ πατήρ, συνεισάξει τὸν υἱόν, οὐκ ἀλλοτριώσει κατὰ τὰς κοινὰς ἐννοίας, καὶ τὴν τῶν κλήσεων τούτων δύναμιν. ἔστω καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ. οὐδὲ οὕτως ἡμᾶς αἱρήσετε. αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον. εἰ καὶ ἄτοπος ἄλλως πως ἡ περὶ τοῦτο ἐνεργείας ὑπόληψις. ὁρᾷς ὅπως ὑμῶν καὶ κακομαχεῖν ἐθελόντων, τὰς στροφὰς διαφεύγομεν; ἐπεὶ δέ σου τὸ ἐν τοῖς λογισμοῖς, καὶ ταῖς στροφαῖς ἄμαχον ἔγνωμεν, ἴδωμέν σου καὶ τὴν ἐκ τῶν θείων λογίων ἰσχύν. ἂν ἄρα δέξῃ κἀντεῦθεν πείθειν ἡμᾶς. ἡμεῖς μὲν γὰρ ἐκ μεγάλων καὶ ὑψηλῶν τῶν φωνῶν, τοῦ υἱοῦ τὴν θεότητα κατειλήφαμεν, καὶ κηρύσσομεν. τίνων, τούτων; τῶν θεός, ὁ λόγος, ὁ ἐν ἀρχῇ, ὁ μετὰ τῆς ἀρχῆς. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. καὶ μετὰ σοῦ ἡ ἀρχή. καὶ ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχήν. ἔπειτα υἱὸς μονογενής. ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. ὁδός, ἀλήθεια, ζωή, φῶς. ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. καὶ ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. σοφία, δύναμις. χριστὸς θεοῦ δύναμις, καὶ θεοῦ σοφία. ἀπαύγασμα, χαρακτήρ, εἰκών, σφραγίς. ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ εἰκὼν τῆς ἀγαθότητος. καὶ τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. κύριος, βασιλεύς, ὁ ὤν, ὁ παντοκράτωρ. ἔβρεξε κύριος, πῦρ παρὰ κυρίου. καὶ ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. καὶ ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ὁ παντοκράτωρ, σαφῶς περὶ τοῦ υἱοῦ λεγόμενα. καὶ ὅσα τῆς αὐτῆς τούτοις ἐστὶ δυνάμεως. ὧν οὐδὲν ἐπίκτητον, οὐδὲ ὕστερον τῷ υἱῷ προσγενόμενον, ἢ τῷ πνεύματι. ὥσπερ οὐδὲ αὐτῷ τῷ πατρί. οὐ γὰρ ἐκ προσθήκης τὸ τέλειον. οὐ γὰρ ἦν ὅτε ἄλογος ἦν, οὐδὲ ἦν

ὅτε οὐ πατὴρ, οὐδὲ ἦν, ὅτε οὐκ ἀληθὴς, ἢ ἄσοφος, ἢ ἀδύνατος, ἢ ζωῆς ἐνδεὴς, ἢ λαμπρό-
τητος, ἢ ἀγαθότητος. σὺ δέ μοι καταρίθμει πρὸς ταῦτα, τὰ τῆς ἀγνωμοσύνης ῥήματα
τὸ θεός μου, καὶ θεὸς ὑμῶν, τὸ μείζων, τὸ ἔκτισε, τὸ ἐποίησε, τὸ ἡγίασεν. εἰ βούλει δὲ καὶ τὸ δοῦ-
λον, καὶ τὸ ὑπήκοον. τὸ δέδωκε, τὸ ἔμαθε, τὸ ἐντέταλται, τὸ ἀπέσταλται, τὸ μὴ δύνασθαι ἀφ'
ἑαυτοῦ τι ποιεῖν, ἢ λέγειν, ἢ κρίνειν, ἢ δωρεῖσθαι, ἢ βούλεσθαι, ἔτι δὲ καὶ ταῦτα. τὴν ἄγνοιαν,
τὴν ὑποταγὴν, τὴν εὐχὴν, τὴν ἐρώτησιν, τὴν προκοπὴν, τὴν τελείωσιν. πρόσθες εἰ βού-
λει καὶ ὅσα τούτων ταπεινότερα, τὸ ὑπνοῦν, τὸ πεινῆν, τὸ κοπιᾶν, τὸ δακρύειν, τὸ ἀγωνιᾶν, τὸ
ὑποδύεσθαι. τάχα δ' ἂν, ὀνειδίσαις καὶ τὸν σταυρὸν, καὶ τὸν θάνατον. τὴν γὰρ ἔγερσιν, καὶ
τὴν ἀνάληψιν, παρήσειν μοι δοκεῖς. ἐπειδή τι καὶ πρὸς ἡμῶν ἐν τούτοις εὑρίσκεται. πολλὰ δ'
ἂν ἔτι προσλογίσαιο, εἰ βούλοιο συντιθέναι τὸν ὁμώνυμόν σοι θεὸν καὶ ἐξέγγραπτον, ἡμῖν
δὲ ἀληθινὸν καὶ ὁμότιμον τῷ πατρί. τούτων γὰρ ἕκαστον, οὐ χαλεπὸν μὲν, καὶ κατὰ μέρος
ἐπεξιόντα ἐξηγεῖσθαί σοι πρὸς τὸ εὐσεβέστατον, καὶ ἀνακαθαίρειν τὸ ἐν τοῖς γράμμασι πρό-
σκομμα. εἴ γε προσπταίεις ὄντως, ἀλλὰ μὴ ἑκὼν κακουργεῖς. ἐν δὲ κεφαλαίῳ, τὰ μὲν ὑψηλό-
τερα, πρόσαγε τῇ θεότητι, καὶ τῇ κρείττονι φύσει παθῶν καὶ σώματος· τὰ δὲ ταπεινότε-
ρα, τῷ συνθέτῳ, καὶ τῷ διὰ σὲ κενωθέντι καὶ σαρκωθέντι, οὐδὲν δὲ χεῖρον εἰπεῖν, καὶ ἀν-
θρωπισθέντι, εἶτα καὶ ὑψωθέντι. ἵνα σὺ τὸ τῶν δογμάτων σου σαρκικὸς καὶ χαμαιπετὲς
καταλύσας, μάθῃς ὑψηλότερος εἶναι, καὶ συνανιέναι θεότητι, καὶ μὴ τοῖς ὁρωμένοις ἐνα-
πομείνῃς, ἀλλὰ συνεπαίρῃ τοῖς νοουμένοις. καὶ γινώσκῃς τίς μὲν φύσεως λόγος, τίς δὲ λόγος
οἰκονομίας. οὗτος γὰρ ὁ νῦν σοι καταφρονούμενος, ἦν ὅτε καὶ ὑπὲρ σὲ ἦν. ὁ νῦν ἄνθρω-
πος, καὶ ἀσύνθετος ἦν. ὃ μὲν ἦν, διέμεινεν· ὃ δὲ οὐκ ἦν, προσέλαβεν. ἐν ἀρχῇ ἦν ἀναιτίως.
τίς γὰρ αἰτία θεοῦ; ἀλλὰ καὶ ὕστερον γέγονε δι' αἰτίαν. ἡ δὲ ἦν τὸ σὲ, σωθῆναι τὸν ὑβριστὴν.
ὃς διὰ τοῦτο περιφρονεῖς θεότητα, ὅτι τὴν σὴν παχύτητα κατεδέξατο. διὰ μέσου νοὸς, ὁμι-
λήσας σαρκί. καὶ γενόμενος ἄνθρωπος ὁ κάτω, θεὸς, ἐπειδὴ συνανεκράθη θεῷ, καὶ γέ-
γονεν εἷς τοῦ κρείττονος ἐκνικήσαντος, ἵνα γένωμαι τοσοῦτον θεὸς, ὅσον ἐκεῖνος ἄνθρωπος.
ἐγεννήθη μὲν, ἀλλὰ καὶ ἐγεγέννητο. ἐκ γυναικὸς μὲν, ἀλλὰ καὶ παρθένου. τοῦτο ἀνθρώπινον,
ἐκεῖνο θεῖον. ἀπάτωρ ἐντεῦθεν, ἀλλὰ καὶ ἀμήτωρ ἐκεῖθεν. ὅλον τοῦτο θεότητος. ἐκυοφορή-
θη μὲν, ἀλλ' ἐγνώσθη προφήτῃ, καὶ αὐτῷ κυοφορουμένῳ καὶ προσκιρτῶντι τῷ λόγῳ, δι' ὃν
ἐγένετο. ἐσπαργανώθη μὲν, ἀλλ' ἀπεσπαργανοῦται τὰ τῆς ταφῆς ἀνιστάμενος. ἐν φάτνῃ
μὲν ἀνεκλίθη, ἀλλ' ὑπ' ἀγγέλων ἐδοξάσθη, καὶ ὑπὸ ἀστέρος ἐμηνύθη, καὶ ὑπὸ μάγων προσε-
κυνήθη. πῶς σὺ προσπταίεις τῷ βλεπομένῳ, μὴ σκοπῶν τὸ νοούμενον; ἐφυγαδεύθη μὲν εἰς
αἴγυπτον, ἀλλὰ φυγαδεύει τὰ αἰγυπτίων. οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος παρὰ ἰουδαίοις, ἀλλὰ
τῷ δαβὶδ, ὡραῖος ἦν κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἀλλ' ἐπὶ τοῦ ὄρους ἀστράπτει, καὶ
ἡλίου φωτοειδέστερος γίνεται, τὸ μέλλον μυσταγωγῶν. ἐβαπτίσθη μὲν ὡς ἄνθρωπος, ἀλλ' ἁ-
μαρτίας ἔλυσεν ὡς θεὸς, ἀλλ' ἵν' ἁγιάσῃ τὰ ὕδατα. ἐπειράσθη ὡς ἄνθρωπος, ἀλλ' ἐνίκησεν
ὡς θεός· ἀλλὰ θαρρεῖν διακελεύεται, ὡς κόσμον νενικηκώς. ἐπείνησεν, ἀλλ' ἔθρεψε χιλιά-
δας, ἀλλ' ἄρτος ἐστὶ ζωτικὸς καὶ οὐράνιος. ἐδίψησεν, ἀλλ' ἐβόησεν· ἐάν τις διψᾷ, ἐρχέσθω
πρός με, καὶ πινέτω. ἀλλὰ καὶ πηγάζειν ὑπέσχετο τοὺς πιστεύοντας. ἐκοπίασεν, ἀλλὰ τῶν κο-
πιώντων καὶ πεφορτισμένων ἐστὶν ἀνάπαυσις. ἐβαρύνθη μὲν ὕπνῳ, ἀλλ' ἐπὶ πελάγους κου-
φίζεται, ἀλλ' ἐπιτιμᾷ πνεύμασιν, ἀλλὰ πέτρον κουφίζει βαπτιζόμενον. δίδωσι τέλος,
ἀλλ' ἐξ ἰχθύος, ἀλλὰ βασιλεύει τῶν ἀπαιτούντων. σαμαρείτης ἀκούει καὶ δαιμονῶν, ἀλλὰ
σώζει τὸν ἀπὸ ἱερουσαλὴμ καταβαίνοντα, καὶ λῃσταῖς περιπεσόντα. ἀλλ' ὑπὸ δαιμόνων
ἐπιγινώσκεται, καὶ ἀπελαύνει δαίμονας, καὶ λεγεῶνα πνευμάτων βυθίζει, καὶ ὡς ἀστραπὴν
ὁρᾷ πίπτοντα τὸν ἀρχηγὸν τῶν δαιμόνων. λιθάζεται, ἀλλ' οὐχ ἁλίσκεται. προσεύχεται, ἀλλ'
ἐπακούει. δακρύει, ἀλλὰ παύει δάκρυον. ἐρωτᾷ ποῦ τέθειται λάζαρος, ἄνθρωπος γὰρ
ἦν· ἀλλ' ἐγείρει λάζαρον, θεὸς γὰρ ἦν. πωλεῖται καὶ λίαν εὐώνως, τριάκοντα γὰρ ἀργυρίων·
ἀλλ' ἐξαγοράζει κόσμον, καὶ μεγάλης τιμῆς. τοῦ ἰδίου γὰρ αἵματος, ὡς πρόβατον ἐπὶ σφα-
γὴν ἄγεται, ἀλλὰ ποιμαίνει τὸν ἰσραὴλ. νῦν δὲ καὶ πᾶσαν τὴν οἰκουμένην. ὡς ἀμνὸς ἄφω-
νος· ἀλλὰ λόγος ἐστὶ, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ καταγγελλόμενος. μεμαλάκισται, καὶ
τετραυμάτισται· ἀλλὰ θεραπεύει πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. ἐπὶ τὸ ξύλον ἀνά-
γεται, προσπήγνυται· ἀλλὰ τῷ ξύλῳ τῆς ζωῆς ἀποκαθίστησιν, ἀλλὰ σώζει καὶ λῃστὴν συσταυ-
ρούμενον. ἀλλὰ σκοτίζει πᾶν τὸ ὁρώμενον, ὄξος ποτίζεται, χολὴν βρωματίζεται. τίς; ὁ τὸ ὕδωρ
εἰς οἶνον μεταβαλὼν, ὁ τῆς πικρᾶς γεύσεως καταλυτὴς, ὁ γλυκασμὸς, καὶ ὅλος ἐπιθυμία.
παραδίδωσι τὴν ψυχὴν, ἀλλ' ἐξουσίαν ἔχει πάλιν λαβεῖν αὐτήν, ἀλλὰ καταπέτασμα ῥή-
γνυται. τὰ γὰρ ἄνω παραδείκνυται· ἀλλὰ πέτραι σχίζονται, ἀλλὰ νεκροὶ προεγείρονται. ἀποθνή-
σκει, ζωοποιεῖ δὲ, καὶ καταλύει τῷ θανάτῳ τὸν θάνατον. θάπτεται, ἀλλ' ἀνίσταται. εἰς ᾅδου

κάτεισιν,

κάτεισιν, ἀλλ' ἀνάγει ψυχάς, ἀλλ' εἰς οὐρανοὺς ἄνεισιν, ἀλλ' ἥξει κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τοὺς τοιούτους βασανίσαι λόγους, εἰ ταῦτα ἐμποιεῖ σοι τῆς πλάνης τὴν ἀφορμήν, ἐκεῖνά σου λυέτω τὴν πλάνην. ταῦτα τοῖς αἰνιγματισταῖς παρ' ἡμῶν οὐχ ἑκόντων μέν. οὐ γὰρ ἡδὺ τοῖς πιστοῖς ἀδολεσχία καὶ λόγων ἀντίθεσις. ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος, πλὴν ἀναγκαίως διὰ τοὺς ἐμπίπτοντας. ἐπεὶ καὶ διὰ τὰς νόσους, τὰ φάρμακα. ἵν' εἰδῶσι μὴ πάντα ὄντες σοφοί, μηδὲ ἀήττητοι τὰ περιττὰ καὶ κενοῦντα τὸ εὐαγγέλιον. ὅταν γὰρ τὸ τοῦ λόγου δυνατὸν προβαλλώμεθα, τὸ πιστεύειν ἀφέντες, καὶ τὸ τοῦ πνεύματος ἀξιόπιστον ταῖς ζητήσεσι λύσωμεν, εἶτα ἡττηθῇ τοῦ μεγέθους τῶν πραγμάτων ὁ λόγος. ἡττηθήσεται δὲ πάντως, ἀπὸ ἀσθενοῦς ὀργάνου τῆς ἡμετέρας διανοίας ὁρμώμενος, τί γίνεται; τὸ ἀσθενὲς τοῦ λόγου, τοῦ μυστηρίου φαίνεται. καὶ οὕτω κένωσις τοῦ σταυροῦ, τὸ τοῦ λόγου κομψὸν ἀναδείκνυται, ὡς καὶ Παύλῳ δοκεῖ. ἡ γὰρ πίστις, τοῦ καθ' ἡμᾶς λόγου πλήρωσις. ὁ δὲ ἀναγγέλλων συνδέσμους, καὶ λύων κρατούμενα, ὁ καὶ ἡμῖν ὠδίνει νοῦν ἀγαθόν, διαλῦσαι στραγγαλιὰς βιαίων δογμάτων, μάλιστα μὲν καὶ τούτους μεταβαλών, ποιήσειε πιστοὺς ἀντὶ τεχνολόγων, καὶ χριστιανοὺς ἀνθ' ὧν νῦν ὀνομάζονται. τοῦτο δὴ καὶ παρακαλοῦμεν, δεόμεθα ὑπὲρ χριστοῦ, καταλλάγητε τῷ θεῷ, καὶ τὸ πνεῦμα μὴ σβέννυτε, μᾶλλον δέ, καταλλαγείη χριστὸς ὑμῖν, καὶ τὸ πνεῦμα ὀψὲ γοῦν ἀναλάμψειεν. εἰ δὲ λίαν ἔχοιτε φιλονείκως, ἀλλ' ἡμεῖς γε σώζοιμεν ἡμῖν αὐτοῖς τὴν τριάδα, καὶ ὑπὸ τῆς τριάδος σωζοίμεθα, μένοντες εἰλικρινεῖς καὶ ἀπρόσκοποι, μέχρις ἀναδείξεως τελεωτέρας τῶν ποθουμένων, ἐν αὐτῷ χριστῷ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΕΡΙ ΥΙΟΥ, ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ε

πειδή σοι τὰς μὲν ἐκ τῶν λογισμῶν στροφὰς καὶ πλοκὰς ἱκανῶς διεσείσαμεν τῇ δυνάμει τοῦ πνεύματος, τὰς δὲ παρὰ τῶν θείων γραφῶν, ἐνστάσεις τε καὶ ἀντιθέσεις αἷς οἱ τοῦ γράμματος ἱερόσυλοι, καὶ τὸν νοῦν τῶν γεγραμμένων κλέπτοντες, τοὺς πολλοὺς σφετερίζονται, καὶ τὴν ὁδὸν τῆς ἀληθείας ταράσσουσι, συλλήβδην μὲν ἤδη λελύκαμεν, καὶ οὐκ ἀμυδρῶς ὡς ἐμαυτὸν πείθω τοῖς εὐγνωμονεστέροις τὰς μὲν ὑψηλοτέρας καὶ θεοπρεπεστέρας φωνάς, προσνείμαντες τῇ θεότητι, τὰς δὲ ταπεινοτέρας καὶ ἀνθρωπικωτέρας, τῷ νέῳ δι' ἡμᾶς ἀδάμ, καὶ θεῷ παθητῷ κατὰ τῆς ἁμαρτίας, τοῖς δὲ καθ' ἕκαστον οὐκ ἐπεξεληλύθαμεν ἐπειγομένου τοῦ λόγου. σὺ δὲ καὶ τούτων ὠδίνεις τὰς ἐν βραχέσι λύσεις τοῦ μὴ παρασύρεσθαι λόγοις πιθανότητος, ἡμεῖς καὶ ταύτας κεφαλαιώσομεν εἰς ἀριθμοὺς διελόντες διὰ τὸ εὐμνημόνευτον. ἔστι γὰρ ἐν μὲν αὐτοῖς ἐκεῖνο καὶ λίαν πρόχειρον, τὸ κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸς ὃ πῶς ἀπαντησόμεθα. οὐ σολομῶντος κατηγορήσομεν, οὐ τὰ πρὶν ἀθετήσομεν, διὰ τὴν τελευταίαν παράπτωσιν. οὐχὶ τῆς σοφίας αὐτῆς εἶναι φήσομεν τὸν λόγον, τῆς οἷον ἐπιστήμης, καὶ τοῦ τεχνίτου λόγου, καθ' ὃν τὰ πάντα συνέστη. πολλὰ γὰρ ἡ γραφὴ προσωποποιεῖν οἶδε, καὶ τῶν ἀψύχων. ὡς τό, ἡ θάλασσα εἶπε τάδε καὶ τάδε, καὶ ἡ ἄβυσσος εἶπεν, οὐκ ἔστιν ἐν ἐμοί, καὶ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. καὶ πάλιν ῥομφαία τι διακελεύεται, καὶ ὄρη καὶ βουνοὶ λόγους ἐρωτῶνται σκιρτήσεως. τούτων οὐδὲν φαμέν, εἰ καί τισι τῶν πρὸ ἡμῶν ὡς ἰσχυρὰ τέτακται. ἀλλ' ἔστω τοῦ σωτῆρος αὐτοῦ τῆς ἀληθινῆς σοφίας ὁ λόγος. μικρὸν δὲ συνδιασκεψώμεθα. τί τῶν ὄντων ἀναίτιον, θεότης. οὐδεὶς γὰρ αἰτίαν εἰπεῖν ἔχει θεοῦ, ἢ τοῦτο ἂν εἴη θεοῦ πρεσβύτερον. τίς δὲ τῆς ἀνθρωπότητος ἣν δι' ἡμᾶς ὑπέστη θεὸς αἰτία, τὸ σωθῆναι πάντως ἡμᾶς. τί γὰρ ἕτερον; ἐπειδὴ τοίνυν ἐνταῦθα, καὶ τὸ ἔκτισε, καὶ τὸ γεννᾷ με σαφῶς εὑρίσκομεν, ἁπλοῦς ὁ λόγος. ὃ μὲν ἂν μετὰ τῆς αἰτίας εὑρίσκωμεν, προσθῶμεν τῇ ἀνθρωπότητι, ὃ δ' ἂν ἁπλοῦν καὶ ἀναίτιον τῇ θεότητι λογισώμεθα. ἆρ' οὖν οὐ τὸ μὲν ἔκτισεν εἴρηται μετὰ τῆς αἰτίας. ἔκτισε γάρ με, φησίν, ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. ἔργα δὲ χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις. ὧν ἕνεκεν ἐχρίσθη θεότητι. χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος. τὸ δὲ γεννᾷ με χωρὶς αἰτίας; ἢ δεῖξόν τι τούτῳ προσκείμενον. τίς οὖν ἀντερεῖ λόγος; κτίσμα μὲν λέγεσθαι τὴν σοφίαν κατὰ τὴν κάτω γέννησιν, γέννημα δὲ κατὰ τὴν πρώτην καὶ πλέον ἄληπτον. τούτῳ δὲ ἕπεται καὶ τὸ δοῦλον ἀκούειν εὖ δουλεύοντα πολλοῖς, καὶ τὸ μέγα εἶναι αὐτῷ κληθῆναι παῖδα θεοῦ. τῷ ὄντι γὰρ ἐδούλευσε σαρκὶ καὶ γεννήσει καὶ πάθεσι τοῖς ἡμετέροις, διὰ τὴν ἡμετέραν ἐλευθερίαν, καὶ πᾶσιν οἷς σέσωκεν ὑπὸ τῆς ἁμαρτίας κατεχομένοις. τί δὲ μεῖζον ἀνθρώπου ταπεινότητι, ἢ θεῷ πλακῆναι, καὶ γενέσθαι θεὸν ἐκ τῆς μίξεως, καὶ τοσοῦτον ἐπισκεφθῆναι ἀνατολῇ ἐξ ὕψους, ὥστε καὶ τὸ γεννώμενον ἅγιον υἱὸν ὑψίστου κληθῆναι, καὶ χαρισθῆναι αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. τοῦτο δὲ τί ποτε ἄλλο ἐστὶν ἢ θεός; καὶ τὸ πᾶν γόνυ κάμψαι τῷ κενωθέντι δι' ἡμᾶς, καὶ τὴν θείαν εἰκόνα δουλικῇ μορφῇ συγκεράσαντι. καὶ γνῶναι πάντα οἶκον ἰσραήλ, ὅτι καὶ κύριον αὐτὸν καὶ χριστὸν ὁ θεὸς ἐποίησε. γέγονε γὰρ ταῦτα, ἐνεργείᾳ μὲν τοῦ γεννήματος,

εὐδοκίᾳ δὲ τοῦ γεννήτορος. δεύτερον δὲ τί τῶν μεγίστων αὐτοῖς καὶ ἀμάχων; δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρι τοῦδε, καὶ ὑπ' οὐρανοῦ δεχθῆναι ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ τὴν ἐκ δεξιῶν καθέδραν ἔχειν ἕως τῆς τῶν ἐχθρῶν ἐπικρατήσεως. τὸ μετὰ τοῦτο δὲ, τί; λῆξαι τῆς βασιλείας, ἢ τῶν οὐρανῶν ἀπωσθῆναι; τίνος παύσοντος, ἢ δι' ἥν τινα τὴν αἰτίαν; ὡς τολμηρὸς ἐξηγητὴς σὺ, καὶ λίαν ἀβασίλευτος; καὶ μὴν ἀκούεις τῆς βασιλείας αὐτοῦ μὴ εἶναι πέρας. ἀλλὰ τοῦτο πάσχεις, παρὰ τὸ μὴ γινώσκειν ὅτι τὸ ἕως, οὐ πάντως ἀντιδιαιρεῖται τῷ μέλλοντι. ἀλλὰ τὸ μέχρι μὲν τοῦδε, τίθησι. τὸ μετὰ τοῦτο δὲ, οὐκ ἀναίνεται. ἢ πῶς νοήσεις ἵνα μὴ τἄλλα λέγω, τὸ ἔσομαι μεθ' ὑμῶν ἕως τῆς συντελείας τοῦ αἰῶνος; ἆρ' ὡς μετὰ τοῦτο οὐκ ἔτι ἐσομένου; καὶ τίς ὁ λόγος; οὐ μόνον δὲ, ἀλλὰ καὶ παρὰ τὸ μὴ διαιρεῖν τὰ σημαινόμενα. βασιλεύειν γὰρ λέγεται, καθ' ἓν μὲν, ὡς παντοκράτωρ καὶ θελόντων, καὶ μὴ βασιλεύς. καθ' ἕτερον δὲ, ὡς ἐνεργῶν τὴν ὑποταγὴν, καὶ ὑπὸ τὴν ἑαυτοῦ βασιλείαν τιθεὶς ἡμᾶς, ἑκόντας δεχομένους τὸ βασιλεύεσθαι. τῆς μὲν οὖν ἐκείνως νοουμένης βασιλείας, οὐκ ἔσται πέρας. τῆς δευτέρας δὲ, τίς; τὸ λαβεῖν ἡμᾶς ὑπὸ χεῖρα καὶ σωζομένους. τί γὰρ δεῖ τὴν ὑποταγὴν ἐνεργεῖν, ὑποτεταγμένων; μεθ' ἣν ἀνίσταται κρίνων τὴν γῆν, καὶ διαιρῶν τὸ σωζόμενον, καὶ τὸ ἀπολλύμενον. μεθ' ἣν ἵσταται, θεὸς ἐν μέσῳ θεῶν τῶν σωζομένων, διακρίνων καὶ διαστέλλων. τίνος ἕκαστος τιμῆς καὶ μονῆς ἄξιος; τούτῳ σύναπτε καὶ τὴν ὑποταγὴν, ἣν ὑποτάσσεις τῷ πατρὶ τὸν υἱόν. τί λέγεις, ὡς νῦν οὐχ ὑποτεταγμένου; δεῖται δὲ ὅλως ὑποταγῆναι θεῷ, θεὸς ὤν; ὡς περὶ λῃστοῦ τινος, ἢ ἀντιθέου ποιῇ τὸν λόγον; ἀλλ' οὕτω σκόπει. ὅτι ὥσπερ κατάρα ἤκουσε δι' ἐμὲ, ὁ τὴν ἐμὴν λύων κατάραν, καὶ ἁμαρτία ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ἀδὰμ ἀντὶ τοῦ παλαιοῦ γίνεται νέος, οὕτω καὶ τὸ ἐμὸν ἀνυπότακτον, ἑαυτοῦ ποιεῖται ὡς κεφαλὴ τοῦ παντὸς σώματος. ἕως μὲν οὖν ἀνυπότακτος ἐγὼ καὶ στασιώδης, τῇ τε ἀρνήσει τοῦ θεοῦ, καὶ τοῖς πάθεσιν ἀνυπότακτος ὁ κατ' ἐμὲ καὶ ὁ χριστὸς λέγεται. ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, ὑποταγήσεται δὲ καὶ τῇ ἐπιγνώσει, καὶ τῇ μεταποιήσει, τότε καὶ αὐτὸς τὴν ὑποταγὴν πεπλήρωκε, προσάγων ἐμὲ τὸν σεσωσμένον. τοῦτο γὰρ ἡ ὑποταγὴ χριστοῦ κατά γε τὸν ἐμὸν λόγον, ἡ τοῦ πατρικοῦ θελήματος πλήρωσις. ὑποτάσσει δὲ καὶ υἱὸς πατρὶ, καὶ υἱῷ πατήρ· ὁ μὲν ἐνεργῶν, ὁ δὲ εὐδοκῶν. ὃ καὶ πρότερον εἴπομεν, καὶ οὕτω τὸ ὑποτεταγμένον ὁ ὑποτάξας, θεῷ παρίστησιν ἑαυτοῦ ποιούμενος τὸ ἡμέτερον. τοιοῦτον εἶναί μοι φαίνεται, καὶ τὸ, ὁ θεὸς, ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; οὐ γὰρ αὐτὸς ἐγκαταλέλειπται, ἢ ὑπὸ τοῦ πατρὸς, ἢ ὑπὸ τῆς ἑαυτοῦ θεότητος, ὃ δοκεῖ τισὶν, ὡσὰν φοβουμένης τὸ πάθος, καὶ διὰ τοῦτο συστελλομένης ἀπὸ τοῦ πάσχοντος. τίς γὰρ ἢ γεννηθῆναι κάτω τὴν ἀρχὴν, ἢ ἐπὶ τὸν σταυρὸν ἀνελθεῖν ἠνάγκασεν; ἐν ἑαυτῷ δὲ ὅπερ εἶπον τυποῖ τὸ ἡμέτερον. ἡμεῖς γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι καὶ παρεωραμένοι πρότερον, εἶτα νῦν προσειλημμένοι καὶ σεσωσμένοι τοῖς τοῦ ἀπαθοῦς πάθεσιν. ὥσπερ καὶ τὴν ἀφροσύνην ἡμῶν, καὶ τὸ πλημμελὲς οἰκειούμενος, τὰ ἑξῆς διὰ τοῦ ψαλμοῦ φησὶν, ἐπειδὴ προδήλως εἰς χριστὸν ὁ εἰκοστὸς πρῶτος ψαλμὸς ἀναφέρεται. τῆς δὲ αὐτῆς ἔχεται θεωρίας, καὶ τὸ μαθεῖν αὐτὸν τὴν ὑπακοὴν ἐξ ὧν ἔπαθεν, ἥ τε κραυγὴ. καὶ τὰ δάκρυα, καὶ τὸ ἱκετεῦσαι καὶ τὸ εἰσακουσθῆναι, καὶ τὸ εὐλαβὲς, ἃ δραματουργεῖται καὶ πλέκεται θαυμασίως ὑπὲρ ἡμῶν. ὡς μὲν γὰρ λόγος, οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος. τῶν γὰρ ὑπὸ χεῖρα ταῦτα, καὶ τῶν δευτέρων. τὸ μὲν τῶν εὐγνωμονεστέρων, τὸ δὲ τῶν ἀξίων κολάσεως. ὡς δὲ δούλου μορφὴ, συγκαταβαίνει τοῖς ὁμοδούλοις καὶ δούλοις. καὶ μορφοῦται τὸ ἀλλότριον, ὅλον ἐν ἑαυτῷ ἐμὲ φέρων μετὰ τῶν ἐμῶν, ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον, ὡς κηρὸν πῦρ, ἢ ὡς ἀτμίδα γῆς, ἥλιος. κἀγὼ μεταλάβω τῶν ἐκείνου διὰ τὴν σύγκρασιν. διὰ τοῦτο ἔργῳ τιμᾷ τὴν ὑπακοὴν. καὶ πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν. οὐ γὰρ ἱκανὸν ἡ διάθεσις. ὥσπερ οὐδὲ ἡμῖν, εἰ μὴ καὶ διὰ τῶν πραγμάτων χωρήσειε μέν. ἔργον γὰρ ἀπόδειξις διαθέσεως, οὐ χεῖρον δὲ ἴσως κἀκεῖνο ὑπολαβεῖν. ὅτι δοκιμάζει τὴν ἡμετέραν ὑπακοὴν, καὶ πάντα μετρεῖ τοῖς ἑαυτοῦ πάθεσι τέχνῃ φιλανθρωπίας. ὥστε ἔχειν εἰδέναι τοῖς ἑαυτοῦ τὰ ἡμέτερα. καὶ πόσον μὲν ἀπαιτούμεθα, πόσον δὲ συγχωρούμεθα λογιζομένης μετὰ τοῦ πάσχειν καὶ τῆς ἀσθενείας. εἰ γὰρ τὸ φῶς ἐδιώχθη διὰ τὸ πρόβλημα φαῖνον ἐν τῇ σκοτίᾳ, τῷ βίῳ τούτῳ. ὑπὸ τῆς ἄλλης σκοτίας τοῦ πονηροῦ λέγω, καὶ τοῦ πειραστοῦ, τὸ σκότος, πόσον ὡς ἀσθενέστερον. καὶ τί θαυμαστὸν εἰ ἐκείνου διαφυγόντος παντάπασιν, ἡμεῖς πως γε καταληφθείημεν. μεῖζον γὰρ ἐκείνῳ τὸ διωχθῆναι, ἤπερ ἡμῖν τὸ καταληφθῆναι, παρὰ τοῖς ὀρθῶς ταῦτα λογιζομένοις. ἔτι δὲ προσθήσω τοῖς εἰρημένοις ἐκεῖνο ἐνθυμηθείς. τὸ ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι, σαφῶς πρὸς τὴν αὐτὴν φέρον διάνοιαν. ἔσται δὲ ὁ θεὸς, τὰ πάντα ἐν πᾶσιν, ἐν τῷ καιρῷ τῆς ἀποκαταστάσεως, οὐχ ὁ πατὴρ πάντως εἰς αὐτὸν ἀναλυθέντος τοῦ υἱοῦ, ὥσπερ εἰς πυρὰν μεγάλην λαμπάδος, πρὸς καιρὸν ἀποσπασθείσης, εἶτα συναφθείσης. μηδὲ γὰρ σαβέλλιοι τῷ ῥητῷ τούτῳ παραφθειρέσθωσαν. ἀλλ' ὅλος θεὸς, ὅταν μηκέτι πολλὰ ὦμεν,

ὥσπερ

ὥσπερ νῦν τοῖς κινήμασι, καὶ τοῖς πάθεσιν οὐδὲν ὅλως θεοῦ, ἢ ὀλίγον ἐν ἡμῖν αὐτοῖς φέρον-
τες. ἀλλ᾽ ὅλοι θεοειδεῖς, ὅλου θεοῦ χωρητικοὶ καὶ μόνου. τοῦτο γὰρ ἡ τελείωσις, πρὸς ἣν σπεύ-
δομεν, τεκμηριοῖ δὲ μάλιστα Παῦλος αὐτός. ὁ γὰρ ἐνταῦθα περὶ θεοῦ, φησὶν, ἀορίστως, ἀλ-
λαχοῦ σαφῶς περιορίζει Χριστῷ. τί λέγων; ὅπου οὐκ ἔνι Ἕλλην, οὐδὲ Ἰουδαῖος, περιτομὴ καὶ
ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός. τρί-
τον, ἀριθμεῖ, τὸ μεῖζον. τέταρτον, τὸ θεόν μου καὶ θεὸν ὑμῶν. εἰ μὲν οὖν μείζων μὲν ἐλέγετο,
μὴ ἴσος δὲ, τάχα ἂν ἦν τι τοῦτο αὐτοῖς. εἰ δὲ ἀμφότερα σαφῶς εὑρίσκομεν, τί φήσουσιν οἱ
γενναῖοι; τί τὸ ἰσχυρὸν αὐτοῖς; πῶς συμβήσεται τὰ ἀσύμβατα; τὸ γὰρ αὐτὸ τοῦ αὐτοῦ ὁμοίως
μεῖζον καὶ ἴσον εἶναι τῶν ἀδυνάτων, ἢ δῆλον ὅτι τὸ μεῖζον μέν ἐστι τῆς αἰτίας. τὸ δὲ ἴσον, τῆς φύσεως
καὶ τοῦτο, ὑπὸ πολλῆς εὐγνωμοσύνης ὁμολογοῦμεν ἡμεῖς. τάχα δ᾽ ἂν εἴποι τις ἄλλος τῷ
ἡμετέρῳ λόγῳ προσφιλονεικῶν, μὴ ἔλαττον εἶναι τὸ ἐκ τοιαύτης αἰτίας εἶναι τοῦ ἀναιτίου. τῆς τε
γὰρ τοῦ ἀνάρχου δόξης μετέχοι ἂν ὅτι ἐκ τοῦ ἀνάρχου. καὶ πρόσεστιν ἡ γέννησις πρᾶγμα τοσοῦ-
το τοῖς γε νοῦν ἔχουσι, καὶ οὕτω σεβάσμιον. τὸ γὰρ δὴ λέγειν, ὅτι τοῦ κατὰ τὸν ἄνθρωπον
νοουμένου μείζων. ἀληθὲς μὲν, οὐ μέγα δέ. τί γὰρ θαυμαστὸν, εἰ μείζων ἀνθρώπου, θεός; ταῦτα
μὲν οὖν εἰρήσθω πρὸς τοὺς τὸ μεῖζον κομπάζοντας. θεὸς δὲ λέγοιτο ἂν οὐ τοῦ λόγου, τοῦ ὁρωμένου
δέ. πῶς γὰρ ἂν εἴη τοῦ κυρίως θεοῦ, θεός. ὥσπερ καὶ πατὴρ, οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ. ὁ γὰρ
ἦν διπλοῦς, ὥστε τὸ μὲν κυρίως, ἐπ᾽ ἀμφοῖν. τὸ δὲ οὐ κυρίως, ἐναντίως ἢ ἐφ᾽ ἡμῶν ἔχει. ἡμῶν
γὰρ κυρίως μὲν θεὸς ὁ θεός. οὐ κυρίως δὲ πατὴρ, καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην,
ἡ τῶν ὀνομάτων ἐπίζευξις ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δὲ,
ἡνίκα φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγον-
τος ἄκουσον, ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς δόξης. Χριστοῦ μὲν θεός, τῆς δὲ δό-
ξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν ἀλλ᾽ οὐ τῇ φύσει. τῇ δὲ συνόδῳ τούτων, τί ἂν γέ-
νοιτο γνωριμώτερον; πέμπτον λεγέσθω, τὸ λαμβάνειν αὐτὸν ζωὴν, ἢ κρίσιν, ἢ κληρονομίαν ἐ-
θνῶν, ἢ ἐξουσίαν πάσης σαρκὸς, ἢ δόξαν, ἢ μαθητὰς, ἢ ὅσα λέγεται. καὶ τοῦτο τῆς ἀνθρωπό-
τητος. εἰ δὲ καὶ τῷ θεῷ δοίης, οὐκ ἄτοπον. οὐ γὰρ ὡς ἐπίκτητα δώσεις, ἀλλ᾽ ὡς ἀπ᾽ ἀρχῆς
συνυπάρχοντα, καὶ λόγῳ φύσεως, ἀλλ᾽ οὐ χάριτος. ἕκτον τιθέσθω, τὸ μὴ δύνασθαι τὸν υἱὸν
ἀφ᾽ ἑαυτοῦ ποιεῖν μηδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. τοῦτο δὲ τοιοῦτόν ἐστιν, οὐ τῶν καθ᾽
ἕνα τρόπον λεγομένων τὸ δύνασθαι, ἢ μὴ δύνασθαι. πολύσημον δὲ, τὸ μὲν γάρ τι λέγεται κατὰ δυ-
νάμεως ἔλλειψιν καὶ ποτὲ, καὶ πρός τι, ὡς τὸ μὴ δύνασθαι τὸ παιδίον ἀθλεῖν, ἢ τὸ σκυλάκιον
βλέπειν, ἢ πρὸς τόνδε διαγωνίζεσθαι. ἀθλήσει γὰρ ἴσως ποτὲ, καὶ ὄψεται, καὶ διαγωνιεῖ-
ται πρὸς τόνδε, κἂν πρὸς ἕτερον ἀδυνάτως ἔχῃ. τὸ δὲ, ὡς ἐπὶ τὸ πλεῖστον ὡς τὸ, οὐ δύναται
πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. τάχα γὰρ ἂν καὶ κρυφθείη τις, ἐπιπροσθοῦντος
μείζονος. τὸ δὲ, ὡς οὐκ εὔλογον οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾽ ὅσον ἔνδημος ὁ
νυμφίος. εἴτε ὁ σωματικῶς ὁρώμενος (οὐ γὰρ κακοπαθείας, ἀλλ᾽ εὐφροσύνης καιρὸς ὁ τῆς
ἐπιδημίας) εἴτε ὡς ὁ λόγος νοούμενος. τί γὰρ δεῖ νηστεύειν σωματικῶς, τοὺς λόγῳ καθαιρο-
μένους. τὸ δὲ ὡς ἀβούλητον ὡς τὸ μὴ δύνασθαι ἐκεῖ σημεῖα ποιῆσαι, διὰ τὴν ἀπιστίαν τῶν
δεχομένων. ἐπειδὴ γὰρ τοῦ συναμφοτέρου χρεία πρὸς τὰς ἰάσεις, καὶ τῆς τῶν θεραπευομένων
πίστεως, καὶ τῆς τοῦ θεραπεύοντος δυνάμεως, οὐκ ἐνεδέχετο τὸ ἕτερον τοῦ συζύγου ἐλλείποντος.
οὐκ οἶδα δὲ, εἰ μὴ καὶ τοῦτο τῷ εὐλόγῳ προσθετέον. οὐ γὰρ εὔλογος ἴασις, τοῖς βλαβησομένοις
διὰ ἀπιστίας. τοῦ δὲ αὐτοῦ λόγου, καὶ τὸ οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς. καὶ πῶς δύνασθε
ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; πῶς γὰρ ἀδύνατόν τι τούτων, ἢ ὅτι ἀβούλητον; ἔστι δέ τι καὶ
τοιοῦτον ἐν τοῖς λεγομένοις, ὅτι φύσει μὲν ἀδύνατον, θεῷ δὲ δυνατὸν βουληθέντι· ὡς τὸ μὴ δύ-
νασθαι τὸν αὐτὸν γεννηθῆναι δεύτερον. καὶ ῥαφὶς οὐκ εἰσδεχομένη κάμηλον. τί γὰρ ἂν καὶ
κωλύσειε γενέσθαι ταῦτα θεοῦ θελήσαντος. τούτων δὲ πάντων ἐκτὸς, τὸ παντελῶς ἀδύ-
νατον καὶ ἀνεπίδεκτον. ὡς ὃ νῦν ἐξετάζομεν. ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν, πονηρὸν εἶναι
θεὸν, ἢ μὴ εἶναι. τοῦτο γὰρ ἀδυναμίας ἂν εἴη μᾶλλον θεοῦ, ἤπερ δυνάμεως. ἢ τὸ μὴ ὂν εἶναι, ἢ τὰ
δὶς δύο καὶ τέσσαρα εἶναι καὶ δέκα· οὕτως ἀδύνατον, καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν υἱὸν, ὃν οὐ
ποιεῖ ὁ πατήρ. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, τοῦ υἱοῦ ἐστιν. ὡς ἔμπαλιν τὰ τοῦ υἱοῦ τοῦ
πατρός. οὐδὲν οὖν ἴδιον, ὅτι κοινά. ἐπεὶ καὶ αὐτὸ τὸ εἶναι κοινὸν καὶ ὁμότιμον. εἰ καὶ τῷ
υἱῷ παρὰ τοῦ πατρός. καθ᾽ ὃ λέγεται καὶ τὸ, ἐγὼ ζῶ διὰ τὸν πατέρα. οὐχ ὡς ἐκεῖ-
θεν αὐτῷ τοῦ ζῆν, καὶ τοῦ εἶναι συνεχομένου, ἀλλ᾽ ὡς ἐκεῖθεν ὑπάρχοντος, ἀχρόνως καὶ
ἀναιτίως. βλέπει δὲ τὸν πατέρα ποιοῦντα πῶς, καὶ οὕτω ποιεῖ; ἆρα ὡς οἱ τὰς μορφὰς
γράφοντες, καὶ τὰ γράμματα, διὰ τὸ μὴ εἶναι τῆς ἀληθείας ἄλλως ἐπιτυχεῖν. εἰ μὴ
πρὸς τὸ ἀρχέτυπον βλέποντας κἀκεῖθεν χειραγωγουμένους; καὶ πῶς ἡ σοφία δεῖται τοῦ
διδάξοντος, ἢ οὐ ποιήσει τι μὴ διδασκομένη; ποιεῖ δὲ πῶς ὁ πατὴρ, ἢ πεποίηκεν;

ἄρα δῆλον προϋπέστησε κόσμον ἀντὶ τοῦ ὄντος. καὶ ὑποστήσει τὸν μέλλοντα, καὶ πρὸς ἐκεῖνα βλέπων ὁ υἱός, τὸν μὲν ὑπέστησε, τὸν δὲ ὑποστήσει; τέσσαρες οὖν κόσμοι κατὰ τὸν λόγον τοῦτον· οἱ μὲν πατρός, οἱ δὲ υἱοῦ ποιήματα. τῆς ἀλογίας. καθαίρει δὲ λέπρας, καὶ δαιμόνων, καὶ νόσων ἀπαλλάττει, καὶ ζωοποιεῖ νεκρούς, καὶ ὑπὲρ θαλάσσης ὁδεύει, καὶ τἄλλα ποιεῖ ὅσα πεποίηκε, τίνος ἢ πότε τοῦ πατρὸς ταῦτα προενεργήσαντος; ἢ δῆλον ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους, ἐνσημαίνεται μὲν ὁ πατήρ, ἐπιτελεῖ δὲ ὁ λόγος, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς, ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον εἰπεῖν πατρικῶς. οὕτω γὰρ ἐγὼ δέχομαι, τὸ ἅπερ ἂν ὁ πατὴρ ποιῇ, ταῦτα καὶ τὸν υἱὸν ὁμοίως ποιεῖν, οὐ κατὰ τὴν τῶν γινομένων ὁμοίωσιν, ἀλλὰ κατὰ τὴν τῆς ἐξουσίας ὁμοτιμίαν. καὶ τοῦτ' ἂν εἴη τὸ ἕως ἄρτι, καὶ τὸν πατέρα ἐργάζεσθαι, καὶ τὸν υἱόν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ὧν πεποίηκεν οἰκονομίαν τε καὶ συντήρησιν. ὡς δηλοῖ τὸ ποιεῖσθαι τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ θεμελιοῦσθαι τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, ἅπαξ ἡρμοσμένα τε καὶ γινόμενα, καὶ στερεοῦσθαι βροντήν, καὶ κτίζεσθαι πνεῦμα. ὧν ἅπαξ μὲν ὁ λόγος ὑπέστη, συνεχὴς δὲ καὶ νῦν ἡ ἐνέργεια. ἕβδομον λεγέσθω, τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τὸν υἱόν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τοῦ πέμψαντος. εἰ μὲν οὖν μὴ παρὰ τοῦ κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴπομεν ἂν ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ κατὰ τὸν σωτῆρα νοουμένου. τὸ γὰρ ἐκείνου θέλειν, οὐδὲ ὑπεναντίον θεῷ θεωθὲν ὅλον, ἀλλὰ τοῦ καθ' ἡμᾶς. ὡς τοῦ ἀνθρωπίνου θελήματος, οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος ὡς τὰ πολλὰ καὶ ἀντιπαλαίοντος. καὶ γὰρ ἐκεῖνο, οὕτως ἐνοήσαμεν, πάτερ εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα. οὔτε γὰρ εἰ δυνατὸν ἢ μή, τοῦτο ἀγνοεῖν ἐκεῖνον εἰκός, οὔτε τῷ θελήματι ἀντιφέρειν τὸ θέλημα. ἐπεὶ δέ, ὡς παρὰ τοῦ προσλαβόντος ὁ λόγος, τοῦτο γὰρ τὸ κατεληλυθός, οὐ τοῦ προσλήμματος, οὕτως ἀπαντησόμεθα, οὐχ ὡς ὄντος ἰδίου τῷ υἱῷ θελήματος παρὰ τὸ τοῦ πατρός, ἀλλ' ὡς οὐκ ὄντος ὁ λόγος, ἵν' ᾖ τοιοῦτον τὸ συναγόμενον, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν. οὐδὲ γάρ ἐστι τὸ ἐμὸν τοῦ σοῦ κεχωρισμένον, ἀλλὰ τὸ κοινὸν ἐμοῦ τε καὶ σοῦ. ὧν ὡς μία θεότης, οὕτω καὶ βούλησις. πολλὰ γὰρ τῶν οὕτω λεγομένων, ἀπὸ κοινοῦ λέγεται, καὶ οὐ θετικῶς, ἀρνητικῶς δέ, ὡς τὸ οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα. οὔτε γὰρ δίδωσιν, οὔτε μεμετρημένον, οὐ γὰρ μετρεῖται παρὰ θεοῦ θεός. ἢ τό, οὔτε ἡ ἁμαρτία μου, οὔτε ἡ ἀνομία μου. οὐ γὰρ ὡς οὔσης ὁ λόγος, ἀλλ' ὡς οὐκ οὔσης. καὶ πάλιν, τό, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν. οὐ γὰρ ἐποιήσαμεν. δῆλον δὲ τοῦτο καὶ τοῖς ἑξῆς. τί γάρ, φησι, τὸ θέλημα τοῦ πατρός; ἵνα πᾶς ὁ πιστεύων εἰς τὸν υἱόν, σώζηται, καὶ τυγχάνῃ τῆς τελευταίας ἀναστάσεως. ἆρ' οὖν τοῦ πατρὸς μέν, τοῦτο θέλημα, τοῦ υἱοῦ δέ, οὐδαμῶς; ἢ ἄκων εὐαγγελίζεται καὶ πιστεύεται; καὶ τίς ἂν τοῦτο πιστεύσειεν; ἐπεὶ καὶ τό, τὸν λόγον, τὸν ἀκουόμενον μὴ εἶναι τοῦ υἱοῦ, τοῦ πατρὸς δέ, τὴν αὐτὴν ἔχει δύναμιν. πῶς γὰρ ἴδιόν τινος τὸ κοινὸν ἢ μόνου, τοῦτο συνιδεῖν οὐκ ἔχω, πολλὰ σκοπῶν. οἶμαι δέ, οὐδὲ ἄλλος τις. ἂν οὕτω νοῇς περὶ τοῦ θέλειν, ὀρθῶς νοεῖς, καὶ λίαν εὐσεβῶς. ὡς ὁ ἐμὸς λόγος, καὶ παντὸς τοῦ εὐγνώμονος. ὄγδοόν ἐστιν αὐτοῖς, τό, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· καὶ τό, οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός. τοῦτο δὲ καὶ πάνυ ῥᾳδίαν ἔχειν τὴν λύσιν μοι φαίνεται. εἰ γὰρ τὸ μόνον ἀληθινὸν ἐπὶ τοῦ πατρὸς θήσεις, ποῦ θήσεις τὴν αὐτοαλήθειαν; καὶ γὰρ εἰ τῷ μόνῳ σοφῷ θεῷ, ἢ τῷ μόνῳ ἔχοντι ἀθανασίαν, φῶς οἰκοῦντι ἀπρόσιτον, ἢ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ καὶ μόνῳ σοφῷ θεῷ, νοήσεις οὕτως· οἴχεταί σοι θανάτῳ κατακριθεὶς ὁ υἱός, ἢ σκότος, ἢ τὸ μὴ σοφὸς εἶναι, μηδὲ βασιλεύς, μηδὲ ἀόρατος, μηδὲ ὅλως θεός, ὃ τῶν εἰρημένων κεφάλαιον. πῶς δαὶ οὐκ ἀπολεῖ μετὰ τῶν ἄλλων, καὶ τὴν ἀγαθότητα, ἣ μάλιστα μόνου θεοῦ; ἀλλ' οἶμαι τὸ μέν, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεόν, ἐπ' ἀναιρέσει λέγεσθαι τῶν οὐκ ὄντων μὲν θεῶν, λεγομένων δέ. οὐ γὰρ ἂν προσέκειτο, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν, εἰ πρὸς ἐκεῖνον ἀντιδιῄρητο τό, μόνον ἀληθινόν, ἀλλὰ μὴ κατὰ κοινὸν τῆς θεότητος ἦν ὁ λόγος. τὸ δὲ οὐδεὶς ἀγαθός, ἀπάντησιν ἔχει πρὸς τὸν πειράζοντα νομικόν, ὡς ἀνθρώπῳ τῆς ἀγαθότητα μαρτυρήσαντα. τὸ γὰρ ἄκρως ἀγαθόν, φησι, μόνου θεοῦ, κἂν τοῦτο καὶ ἄνθρωπος ὀνομάζηται. ὡς τό, ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προβάλλει τὸ ἀγαθόν· καὶ δώσω τὴν βασιλείαν τῷ ἀγαθῷ ὑπὲρ σέ. τοῦ θεοῦ λόγος, πρὸς τὸν Σαοὺλ περὶ τοῦ Δαβὶδ λέγοντος· καὶ τὸ ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς, καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται περὶ τῶν ἐν ἡμῖν ἐπαινουμένων. ἐφ' οὓς ἡ ἀπόρροια τοῦ πρώτου καλοῦ, καὶ κατὰ δεύτερον λόγον ἔφθασεν. εἰ μὲν οὖν πείθομεν, τοῦτο ἄριστον. εἰ δὲ μή, τί φήσεις πρὸς τοὺς λέγοντας ἑτέρωθι τὸν υἱὸν μόνον εἰρῆσθαι θεὸν κατὰ τὰς σὰς ὑποθέσεις. ἐν τίσι τοῖς ῥήμασιν; ἐν ἐκείνοις· οὗτός σου θεός, καὶ οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. καὶ μετ' ὀλίγα· μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὅτι μὲν οὐ περὶ τοῦ πατρός, ἀλλὰ τοῦ υἱοῦ τὸ λεγόμενον;

γόμενον, ἢ προσθήκη σαφῶς ἐπίνοιαν. οὗτος γάρ ἐστιν ὁ σωματικῶς ὁμιλήσας ἡμῖν, καὶ μετὰ τὴν κάτω γενόμενος. εἰ δὲ νικήσει κατὰ τὸ τοῦ πατρὸς λέγεσθαι τοῦτο, μὴ τῶν νομιζομένων θεῶν, ἠπείγμεθα τὸν πατέρα, δι' ὧν τὸν υἱὸν κατεσπουδάσαμεν. καὶ τί ἂν τῆς νίκης ταύτης γένοιτο ἀθλιώτερον ἢ ζημιωδέστερον; ἐν ἄρα ἐκεῖνο φήσομεν, τὸ πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. εὖ γε καὶ λίαν μυστικῶς τε καὶ φιλανθρώπως. τὸ γὰρ ἐντυγχάνειν, οὐχ ὡς ἡ τῶν πολλῶν συνήθεια, τὸ ζητεῖν ἐκδίκησιν ἔχει. τοῦτο γάρ πως καὶ ταπεινότητος, ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῷ λόγῳ τῆς μεσιτείας, ὡς καὶ τὸ πνεῦμα ἡμῶν ἐντυγχάνειν λέγεται. εἷς γὰρ θεός, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς χριστός. πρεσβεύει γὰρ ἔτι καὶ νῦν ὡς ἄνθρωπος, ὑπὲρ τῆς ἐμῆς σωτηρίας, ὅτι μετὰ τοῦ σώματός ἐστιν οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ θεόν, τῇ δυνάμει τῆς ἐνανθρωπήσεως. κἂν μηκέτι κατὰ σάρκα γινώσκηται, τὰ σαρκικὰ λέγω πάθη, καὶ χωρὶς τῆς ἁμαρτίας ἡμέτερα. οὕτω δὲ καὶ παράκλητον ἔχομεν Ἰησοῦν, οὐχ ὡς ὑπὲρ ἡμῶν προκαλινδούμενον τοῦ πατρός, καὶ προσπίπτοντα δουλικῶς, ἄπαγε τὴν δούλην ὄντως ὑπόνοιαν, καὶ ἀναξίαν τοῦ πνεύματος. οὔτε γὰρ τοῦ πατρὸς τοῦτο ἐπιζητεῖν, οὔτε τοῦ υἱοῦ πάσχειν, ἢ ὡς περὶ θεοῦ διανοεῖσθαι δίκαιον· ἀλλ' οἷς πέπονθεν ὡς ἄνθρωπος, πείθει καρτερεῖν ὡς λόγος καὶ παραινέτης. τοῦτο νοεῖταί μοι ἡ παράκλησις. ἑνδέκατον αὐτοῖς ἐστιν ἡ ἄγνοια. καὶ τὸ μηδένα γινώσκειν τὴν τελευταίαν ἡμέραν, ἢ ὥραν. μηδὲ τὸν υἱὸν αὐτὸν εἰ μὴ τὸν πατέρα. καίτοι πῶς ἀγνοεῖ τι τῶν ὄντων ἡ σοφία, ὁ ποιητὴς τῶν αἰώνων, ὁ συντελεστὴς καὶ μεταποιητής, τὸ πέρας τῶν γενομένων; ὁ οὕτω τὰ τοῦ θεοῦ γινώσκων, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὰ ἐν αὐτῷ. τί γὰρ ταύτης τῆς γνώσεως τελειότερον; πῶς δαὶ τὰ μὲν πρὸ τῆς ὥρας ἀκριβῶς ἐπίσταται, καὶ τὰ δι' ἐν χρόνῳ τοῦ τέλους, αὐτὴν δὲ ἀγνοεῖ τὴν ὥραν; αἰνίγματι γὰρ τὸ πρᾶγμα ὅμοιον. ὥσπερ ἂν εἴ τις τὰ μὲν πρὸ τοῦ τείχους ἀκριβῶς ἐπίστασθαι λέγοι. αὐτὸ δὲ ἀγνοεῖν τὸ τεῖχος, ἢ τὸ τῆς ἡμέρας τέλος εὖ ἐπιστάμενος, τὴν ἀρχὴν τῆς νυκτὸς μὴ γινώσκειν, ἔνθα ἡ τοῦ ἑτέρου γνῶσις, ἀναγκαίως συνεισάγει τὸ ἕτερον, ἢ πᾶσιν εὔδηλον. ὅτι γινώσκει μὲν ὡς θεός, ἀγνοεῖν δέ φησιν ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου. τὸ γὰρ ἀπόλυτον εἶναι τοῦ υἱοῦ τὴν προσηγορίαν καὶ ἄσχετον, οὐ προσκειμένου τῷ υἱῷ τοῦ τινός, ταύτην ἡμῖν δίδωσι τὴν ὑπόνοιαν. ὥστε τὴν ἄγνοιαν ὑπολαμβάνειν ἐπὶ τὸ εὐσεβέστερον, τῷ ἀνθρωπίνῳ, μὴ τῷ θείῳ ταύτην λογιζομένους. εἰ μὲν οὖν οὗτος αὐτάρκης ὁ λόγος, ἐνταῦθα στησώμεθα, καὶ μηδὲν πλέον ἐπιζητείσθω· εἰ δὲ μή, τό γε δεύτερον. ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὴ καὶ ἡ γνῶσις τῶν μεγίστων, ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννήτορος. δοκεῖ δέ μοι τις μηδ' ἂν ἐκείνως ἀναγνούς, ὡς τῶν καθ' ἡμᾶς φιλολόγων τις, μικρὸν ἐννοῆσαι, ὅτι οὐδὲ ὁ υἱὸς ἄλλως οἶδε τὴν ἡμέραν, ἢ τὴν ὥραν, ἢ ὡς ὁ πατήρ. τὸ γὰρ συναγόμενον, ὁποῖον. ἐπειδὴ ὁ πατὴρ γινώσκει, διὰ τοῦτο καὶ ὁ υἱός. ὡς δῆλον. ὅτι μηδενὶ γνωστὸν τοῦτο μηδὲ ληπτόν, πλὴν τῆς πρώτης φύσεως. ἐλείπετο περὶ τοῦ ἐντετάλθαι, καὶ τετηρηκέναι τὰς ἐντολάς, καὶ τὰ ἀρεστὰ αὐτῷ πάντοτε πεποιηκέναι, διαλαβεῖν ἡμᾶς· ἔτι δὲ τελειώσεως καὶ ὑψώσεως, καὶ τοῦ μαθεῖν ἐξ ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ ἀρχιερωσύνης τε, καὶ προσφορᾶς, καὶ παραδόσεως, καὶ δεήσεως τῆς πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, καὶ ἀγωνίας, καὶ θρόμβων, καὶ προσευχῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον. εἰ μὴ πᾶσι πρόδηλον ἦν, ὅτι περὶ τὸ πάσχον τὰ τοιαῦτα τῶν ὀνομάτων, οὐ περὶ τὴν ἄτρεπτον φύσιν, καὶ τοῦ πάσχειν ὑψηλοτέραν. ὁ μὲν οὖν περὶ τῶν αἰτιατῶν λόγος τοσοῦτον, ὅσον ῥίζα τις εἶναι, καὶ ὑπόμνημα τοῖς ἐξεταστικωτέροις τῆς τελεωτέρας ἐξεργασίας. ἄξιον δὲ ἴσως, καὶ τοῖς προειρημένοις ἀκόλουθον, μηδὲ τὰς προσηγορίας τοῦ υἱοῦ παρελθεῖν ἀθεωρήτους, πολλάς τε οὔσας, καὶ κατὰ πολλῶν κειμένας τῶν περὶ αὐτὸν νοουμένων, ἀλλ' ἑκάστην αὐτῶν, ὅτι ποτὲ βούλεται παραστῆσαι καὶ δεῖξαι τὸ τῶν ὀνομάτων μυστήριον. ἀρκτέον δὲ ἡμῖν ἐντεῦθεν τὸ θεῖον, ἀκατονόμαστον. καὶ τοῦτο δηλοῦσιν οὐχ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων οἱ σοφώτατοι καὶ παλαιότατοι, ὅσον εἰκάζειν ἔδοσαν. οἱ γὰρ χαρακτῆρσιν ἰδίοις τὸ θεῖον τιμήσαντες, καὶ οὐδὲ γράμμασιν ἀνασχόμενοι τοῖς αὐτοῖς ἄλλό τι γράφεσθαι τῶν μετὰ θεὸν καὶ θεόν, ὡς δέον ἀκοινώνητον εἶναι, καὶ μέχρι τούτου τὸ θεῖον τοῖς ἡμετέροις, πότε ἂν δέξαιντο λυομένῃ φωνῇ δηλοῦσθαι, τὴν ἄλυτον φύσιν καὶ ἰδιάζουσαν. οὔτε γὰρ ἀέρα τις ἐνέπνευσεν ὅλον πώποτε, οὔτε οὐσίαν θεοῦ παντελῶς ἢ νοῦς ἐχώρησεν, ἢ φωνὴ περιέλαβεν. ἀλλ' ἐκ τῶν περὶ αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτόν, ἀμυδράν τινα καὶ ἀσθενῆ, καὶ ἄλλην ἀπ' ἄλλου φαντασίαν συλλεγόμεθα, καὶ οὗτος ἄριστος ἡμῖν θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν, οὐδὲ γὰρ δέχεται τὸ πᾶν ὁ δεσμός, ἀλλ' ὃς ἂν ἄλλου φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ συναγάγῃ τὸ τῆς ἀληθείας ἴνδαλμα, ἢ ἀποσκίασμα, ἢ ὅτι καὶ ὀνομάσομεν. ὅσον δ' οὖν ἐκ τῶν ἡμῖν ἐφικτῶν, ὁ μὲν ὤν, καὶ ὁ θεός, μᾶλλόν πως τῆς οὐσίας ὀνόματα. καὶ τούτων μᾶλλον, ὁ ὤν, οὐ μόνον ὅτι τῷ Μωϋσῇ χρηματίζων ἐκ τοῦ ὄρους, καὶ τὴν κλῆσιν ἀπαιτούμενος ἥτις ποτὲ εἴη, τοῦτο προσεῖπεν

ἑαυτὸν, ὁ ὢν ἀπέσταλκέ με τῷ λαῷ κελεύσας εἰπεῖν, δῆλον ὅτι καὶ κυριωτέραν ταύτην εὑρί-
σκομεν. ἡ μὲν γὰρ τοῦ θεοῦ, κἂν ἀπὸ τοῦ θέειν ἢ αἴθειν ἐτυμολογῆται παρὰ τοῖς περὶ ταῦτα κομψοῖς
διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων. καὶ γὰρ πῦρ καταναλίσκον ἐντεῦ-
θεν λέγεται. ἀλλ' οὖν τῶν πρός τι λεγομένων ἐστὶ, καὶ οὐκ ἄφετος. ὥσπερ καὶ ἡ κύριος φω-
νὴ ὄνομα εἶναι θεοῦ, καὶ αὐτὴ λεγομένη. ἐγὼ γὰρ, φησὶ κύριος, ὁ θεός σου. τοῦτό μου ἐστὶν ὄνομα,
καὶ κύριος ὄνομα αὐτῷ. ἡμεῖς δὲ φύσιν ζητοῦμεν, ᾗ τὸ εἶναι καθ' ἑαυτὸ, καὶ οὐκ ἄλλῳ συν-
δεδεμένον. τὸ δὲ ὂν ἴδιον ὄντως θεοῦ καὶ ὅλον, μήτε τῷ πρὸ αὐτοῦ, μήτε τῷ μετ' αὐτὸν. οὐ γὰρ
ἦν, ἢ ἔσται περατούμενον, ἢ περικοπτόμενον. τῶν δ' ἄλλων προσηγοριῶν, αἱ μὲν τῆς ἐξουσίας
εἰσὶ προφανῶς, αἱ δὲ τῆς οἰκονομίας, καὶ ταύτης διττῆς. τῆς μὲν ὑπὲρ τὸ σῶμα, τῆς δὲ ἐν σώμα-
τι. οἷον ὁ μὲν παντοκράτωρ, καὶ ὁ βασιλεὺς ἢ τῆς δόξης, ἢ τῶν αἰώνων, ἢ τῶν δυνάμεων τοῦ ἀ-
γαπητοῦ, ἢ τῶν βασιλευόντων. καὶ ὁ κύριος σαβαὼθ, ὅπερ ἐστὶ στρατιῶν, ἢ τῶν δυνάμεων, ἢ
τῶν κυριευόντων, ταῦτα μὲν σαφῶς τῆς ἐξουσίας. ὁ δὲ θεὸς ἢ τοῦ σώζειν, ἢ ἐκδικήσεων, ἢ εἰ-
ρήνης, ἢ δικαιοσύνης, ἢ ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακὼβ, καὶ παντὸς ἰσραὴλ τοῦ πνευματικοῦ,
καὶ ὁρῶντος θεὸν, ταῦτα δὲ τῆς οἰκονομίας. ἐπειδὴ γὰρ τρισὶ τούτοις διοικούμεθα, δέει τε τι-
μωρίας καὶ σωτηρίας ἐλπίδι, πρὸς δὲ καὶ δόξης, καὶ ἀσκήσει τῶν ἀρετῶν, ἐξ ὧν ταῦτα, τὸ
μὲν τῶν ἐκδικήσεων ὄνομα οἰκονομεῖ τὸν φόβον. τὸ δὲ τῶν σωτηριῶν, τὴν ἐλπίδα. τὸ δὲ τῶν ἀ-
ρετῶν, τὴν ἄσκησιν. ἵν' ὡς τὸν θεὸν ἐν ἑαυτῷ φέρων, ὁ τούτων τι κατορθῶν μᾶλλον ἐπείγηται
πρὸς τὸ τέλειον, καὶ τὴν ἐξ ἀρετῶν οἰκείωσιν. ταῦτα μὲν οὖν ἐστὶ κοινὰ θεότητος τὰ ὀνό-
ματα. ἴδιον δὲ τοῦ μὲν ἀνάρχου πατὴρ, τοῦ δὲ ἀνάρχως γεννηθέντος υἱός. τοῦ δὲ ἀγεννήτως
προελθόντος, ἢ προϊόντος, τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ἤδη τὰς τοῦ υἱοῦ κλήσεις ἔλθωμεν.
ὅπερ ὡρμήθη λέγειν ὁ λόγος. δοκεῖ γάρ μοι λέγεσθαι, υἱὸς μὲν, ὅτι ταυτόν ἐστι τῷ πατρὶ
κατ' οὐσίαν. καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλὰ κἀκεῖθεν. μονογενὴς δὲ, οὐχ ὅτι μόνος ἐκ μόνου καὶ
μόνου, ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα. λόγος δὲ, ὅτι οὕτως ἔχει πρὸς τὸν πα-
τέρα μόνος ἐκ μόνου καὶ μόνου. ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα. λόγος δὲ,
ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα, ὡς πρὸς νοῦν λόγος. οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννή-
σεως, ἀλλὰ καὶ τὸ συναφὲς, καὶ τὸ ἐξαγγελτικόν. τάχα δ' ἂν εἴποι τις, ὅτι καὶ ὡς ὅρος
πρὸς τὸ ὁριζόμενον, ἐπειδὴ καὶ οὗτος λέγεται λόγος. ὁ γὰρ νενοηκώς φησι τὸν υἱὸν, τοῦτο γὰρ
ἐστὶ τὸ ἑωρακὼς, νενόηκε τὸν πατέρα. καὶ σύντομος ἀπόδειξις, καὶ ῥᾳδία τῆς τοῦ πατρὸς φύ-
σεως, ὁ υἱός. γέννημα γὰρ ἅπαν τοῦ γεγεννηκότος, σιωπῶν λόγος. εἰ δὲ καὶ διὰ τὸ ἐνυ-
πάρχειν τοῖς οὖσι λέγοι τις, οὐχ ἁμαρτήσεται τοῦ λόγου. τί γάρ ἐστιν, ὃ μὴ λόγῳ συνέστηκε;
σοφία δὲ ὡς ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. πῶς γὰρ οἷόν τε τὸν πεποιηκό-
τα, τοὺς λόγους ἀγνοεῖν, ὧν πεποίηκε; δύναμις δὲ ὡς συντηρητικὸς τῶν γενομένων, καὶ τὴν
τοῦ συνέχεσθαι ταῦτα χορηγῶν δύναμιν. ἀλήθεια δὲ ὡς ἕν, οὐ πολλὰ τῇ φύσει. τὸ μὲν γὰρ
ἀληθὲς ἕν, τὸ δὲ ψεῦδος πολυσχιδές. καὶ ὡς καθαρὰ τοῦ πατρὸς σφραγὶς, καὶ χαρακτὴρ
ἀψευδέστατος. εἰκὼν δὲ, ὡς ὁμοούσιον, καὶ ὅτι οὗτος ἐκεῖθεν. ἀλλ' οὐκ ἐκ τούτου πατήρ. αὕτη
γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται, πλὴν ὅτι καὶ πλέον ἐνταῦ-
θα. ἐκεῖ μὲν γὰρ, ἀκίνητος κινουμένου. ἐνταῦθα δὲ ζῶντος καὶ ζῶσα, καὶ πλέον ἔχουσα τὸ
ἀπαράλλακτον, ἢ τοῦ ἀδὰμ ὁ σὴθ, καὶ τοῦ γεννῶντος παντὸς τὸ γεννώμενον. τοιαύτη γὰρ ἡ
τῶν ἁπλῶν φύσις, μὴ τῷ μὲν ἐοικέναι, τῷ δὲ ἀπεοικέναι. ἀλλ' ὅλον ὅλου τύπον εἶναι, καὶ
ταυτὸν μᾶλλον, ἢ ἀφομοίωμα. φῶς δὲ ὡς λαμπρότης ψυχῶν, καὶ λόγῳ καὶ βίῳ καθαιρο-
μένων. εἰ γὰρ σκότος ἡ ἄγνοια, καὶ ἡ ἁμαρτία, φῶς ἂν εἴη ἡ γνῶσις, καὶ βίος ὁ ἔνθεος. ζωὴ δὲ,
ὅτι φῶς, καὶ πάσης λογικῆς φύσεως σύστασις καὶ οὐσίωσις. ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινού-
μεθα, καὶ ἐσμὲν, κατά τε τὴν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν καὶ πνοήν. ἐκεῖθεν ἐμφυσώ-
μενοι πάντες, καὶ πνεῦμα ἅγιον ὅσοι χωρητικοί. καὶ τοσοῦτον, καθ' ὅσον ἂν τὸ στόμα τῆς δια-
νοίας ἀνοίξωμεν. δικαιοσύνη δὲ, ὅτι τῆς πρὸς ἀξίαν διαιρέτης, καὶ διαιτῶν δικαίως τοῖς ὑπὸ
νόμον, καὶ τοῖς ὑπὸ χάριν ψυχῇ καὶ σώματι. ὥστε τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι. καὶ τὴν
ἡγεμονίαν ἔχειν, τὸ κρεῖττον κατὰ τοῦ χείρονος, ὡς μὴ τὸ χεῖρον ἐπανίστασθαι τῷ βελτίονι.
ἁγιασμὸς δὲ, ὡς καθαρότης, ἵνα χωρῆται τὸ καθαρὸν καθαρότητι. ἀπολύτρωσις δὲ, ὡς ἐ-
λευθερῶν ἡμᾶς, ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, καὶ λύτρον ἑαυτὸν ἀντιδιδοὺς ἡμῶν τῆς
οἰκουμένης καθάρσιον. ἀνάστασις δὲ, ὡς ἐντεῦθεν ἡμᾶς ἀπανιστῶν, καὶ πρὸς τὴν ζωὴν ἐπα-
νάγων νενεκρωμένους ὑπὸ τῆς ἁμαρτίας. ταῦτα μὲν οὖν ἔτι κοινὰ τοῦ τε ὑπὲρ ἡμᾶς, καὶ τοῦ
δι' ἡμᾶς. ἃ δὲ ἰδίως ἡμέτερα, καὶ τῆς ἐντεῦθεν προσλήψεως. ἄνθρωπος μὲν, οὐχ ἵνα χωρηθῇ
μόνον διὰ σώματος σώμασιν ἄλλως οὐκ ἂν χωρηθεὶς, διὰ τὸ τῆς φύσεως ἄληπτον, ἀλλ' ἵνα καὶ
ἁγιάσῃ δι' ἑαυτοῦ τὸν ἄνθρωπον, ὥσπερ ζύμη γενόμενος τῷ παντὶ φυράματι, καὶ πρὸς ἑαυτὸν ἑνώ-
σας τὸ κατακριθὲν, ὅλον λύσῃ τοῦ κατακρίματος, πάντα ὑπὲρ πάντων γενόμενος, ὅσα
ἡμεῖς.

ἡμᾶς. τελῶ τὸν ἅμα πάσας, σῶμα, ψυχὴ, νοῦς, δι' ὅσων ὁ θάνατος. τὸ κοινὸν ἐκ τούτων ἄνθρωπος, θεὸς ὁρώμενος, διὰ τὸ νοούμενον. υἱὸς δὲ ἀνθρώπου, καὶ διὰ τὸν Ἀδὰμ, καὶ διὰ τὴν παρθένον, ἐξ ὧν ἐγένετο. τοῦ μὲν ὡς προπάτορος, τῆς δὲ ὡς μητρὸς, νόμῳ καὶ οὐ νόμῳ γεννήσεως. χριστὸς δὲ, διὰ τὴν θεότητα. χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος. ἧς ἔργον, ἄνθρωπον ἀκοῦσαι τὸ χρῖον, καὶ ποιῆσαι θεὸν τὸ χριόμενον. ὁδὸς δὲ, ὡς δι' ἑαυτοῦ φέρων ἡμᾶς. θύρα δὲ, ὡς εἰσαγωγεύς. ποιμὴν δὲ, ὡς εἰς τόπους χλόης κατασκηνῶν, καὶ ἐκτρέφων ἐπὶ ὕδατος ἀναπαύσεως, καὶ ἐντεῦθεν ὁδηγῶν, καὶ προπολεμῶν κατὰ τῶν θηρίων, τὸ πλανώμενον ἐπιστρέφων, τὸ ἀπολωλὸς ἐπανάγων, τὸ συντετριμμένον καταδεσμῶν, τὸ ἰσχυρὸν φυλάσσων, καὶ πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγων λόγοις ποιμαντικῆς ἐπιστήμης. πρόβατον δὲ, ὡς σφάγιον. ἀμνὸς δὲ, ὡς τέλειον. ἀρχιερεὺς δὲ, ὡς προσαγωγεύς. μελχισεδὲκ δὲ, ὡς ἀμήτωρ τὸ ὑπὲρ ἡμᾶς, καὶ ἀπάτωρ τὸ καθ' ἡμᾶς, καὶ ὡς ἀγενεαλόγητος τὸ ἄνω. τὴν γενεὰν αὐτοῦ, φησι, τίς διηγήσεται; καὶ ὡς βασιλεὺς σαλὴμ, εἰρήνη δὲ τοῦτο, καὶ ὡς βασιλεὺς δικαιοσύνης, καὶ ὡς ἀποδεκατῶν πατριάρχας, κατὰ τῶν πονηρῶν δυνάμεων ἀριστεύοντας. ἔχεις τὰς τοῦ υἱοῦ προσηγορίας. βάδιζε δι' αὐτῶν, ὅσαι τε ὑψηλαὶ θεϊκῶς, καὶ ὅσαι σωματικαὶ συμπαθῶς. μᾶλλον δὲ ὅλον θεϊκῶς, ἵνα γένῃ θεὸς κάτωθεν, ἀνελθὼν διὰ τὸν κατελθόντα δι' ἡμᾶς ἄνωθεν. ἐπὶ πᾶσι, καὶ πρὸ πάντων, ἐκεῖνο τήρει, καὶ οὐκ ἂν σφαλείης ἐν τοῖς ὑψηλοτέροις ὀνόμασιν. Ἰησοῦς χριστὸς, χθὲς καὶ σήμερον σωματικῶς, ὁ αὐτὸς πνευματικῶς καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Μὲν δὴ περὶ τοῦ υἱοῦ λόγος, τοιοῦτος, καὶ οὕτω διαπέφευγε τοὺς λιθάζοντας, διελθὼν διὰ μέσου αὐτῶν. ὁ λόγος γὰρ οὐ λιθάζεται, λιθοβολεῖ δὲ ὅταν ἐθέλῃ, καὶ σφενδονᾷ θηρία, λόγους κακῶς τῷ ὄρει προσβαίνοντας. τί δ' ἂν εἴποις, φασὶ, περὶ τοῦ ἁγίου πνεύματος; πόθεν ἡμῖν ἐπεισάγεις ξένον θεὸν καὶ ἄγραφον; ταῦτα ἤδη καὶ οἱ περὶ τὸν υἱὸν μετριάζοντες. ὅπερ γὰρ ἐπὶ τῶν ὁδῶν εὑρεῖν ἔστι καὶ τῶν ποταμῶν, σχίζονταί τε ἀπ' ἀλλήλων, καὶ εἰς ἄλληλα συνάγονται, τοῦτο κἀνταῦθα συμβαίνει, διὰ τὸν πλοῦτον τῆς ἀσεβείας, καὶ τοὺς τὰ ἄλλα διεστῶτας ἐν ἄλλοις συμφέρεσθαι, ὥστε μηδὲ γινώσκειν καθαρῶς δύνασθαι τοὺς συμφερομένους, ἢ τοὺς μαχομένους. ἔχει μὲν οὖν τι καὶ δυσχερὲς ὁ περὶ τοῦ πνεύματος λόγος, οὐ μόνον ὅτι οἱ τοῖς περὶ τοῦ υἱοῦ λόγοις ἀποκαμόντες οἱ ἄνθρωποι, θερμότεροις τῷ πνεύματι προσαπαλαίουσι. χρὴ γάρ τι πάντως αὐτοὺς ἀσεβεῖν, ἢ οὐδὲ βιωτός ἐστιν αὐτοῖς ὁ βίος· ἀλλ' ὅτι καὶ ἡμεῖς τῷ πλήθει τῶν ζητημάτων ἀποκναισθέντες, ταυτὸν πάσχομεν τοῖς κακοσίτοις. οἳ ἐπειδὰν πρός τι τῶν βρωμάτων ἀηδισθῶσι, πρὸς πάντα λοιπὸν ὁμοίως. ὥσπερ ἐκεῖνοι πρὸς τροφὴν δυσχεραίνομεν. ὅμως διδότω τὸ πνεῦμα, καὶ ὁ λόγος δραμεῖται, καὶ ὁ θεὸς δοξασθήσεται. τὸ μὲν οὖν ἐπιμελῶς ἐξετάζειν καὶ διαιρεῖσθαι, ποσαχῶς ἢ τὸ πνεῦμα, ἢ τὸ ἅγιον, παρὰ τῇ θείᾳ γραφῇ νοεῖται καὶ λέγεται, μετὰ τῶν προσφόρων τῇ θεωρίᾳ μαρτυριῶν, καὶ τὸ παρὰ ταῦτα ἰδιοτρόπως τὸ ἐξ ἀμφοῖν συνημμένον, λέγω δὲ τὸ πνεῦμα τὸ ἅγιον, ἑτέροις παρήσομεν. οἳ καὶ ἑαυτοῖς, καὶ ἡμῖν ταῦτα φιλοσοφήσουσιν, ἐπεὶ καὶ ἡμεῖς ταῦτα ἐκείνοις. αὐτοὶ δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου τρεψόμεθα. οἱ μὲν οὖν ὡς ξένον τινὰ θεὸν καὶ παρέγγραπτον εἰσαγόντων ἡμῶν τὸ πνεῦμα τὸ ἅγιον δυσχεραίνοντες, καὶ σφόδρα προπολεμοῦντες τοῦ γράμματος, ἴστωσαν ἐκεῖ φοβούμενοι φόβον οὗ μή ἐστι φόβος. καὶ σαφῶς γινωσκέτωσαν, ὅτι ἔνδυμα τῆς ἀσεβείας ἐστὶν αὐτοῖς ἡ φιλία τοῦ γράμματος, ὡς δειχθήσεται μικρὸν ὕστερον. ἐπειδὰν τὰς ἐνστάσεις αὐτῶν εἰς δύναμιν διελέγξωμεν. ἡμεῖς δὲ τοσοῦτον θαρροῦμεν τῇ θεότητι τοῦ πνεύματος ὃ πρεσβεύομεν, ὥστε καὶ τῆς θεολογίας ἐντεῦθεν ἀρξόμεθα, τὰς αὐτὰς τῇ τριάδι φωνὰς ἐφαρμόζοντες, κἂν τισι δοκῇ τολμηρότερον. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ πατήρ. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ υἱός. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ ἄλλος παράκλητος. ἦν, καὶ ἦν, καὶ ἦν· ἀλλ' ἓν ἦν. φῶς, καὶ φῶς, καὶ φῶς· ἀλλ' ἓν φῶς, εἷς θεός. τοῦτό ἐστιν ὃ καὶ Δαβὶδ πρότερον ἐφαντάσθη, λέγων· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. καὶ νῦν ἡμεῖς καὶ τεθεάμεθα, καὶ κηρύσσομεν, ἐκ φωτὸς τοῦ πατρὸς, φῶς καταλαμβάνοντες τὸν υἱὸν ἐν φωτὶ τῷ πνεύματι, σύντομον καὶ ἀπέριττον τῆς τριάδος θεολογίαν. ὁ ἀθετῶν ἀθετείτω, ὁ ἀνομῶν ἀνομείτω. ἡμεῖς ὃ νενοήκαμεν, κηρύσσομεν. ἐπ' ὄρος ὑψηλὸν ἀναβησόμεθα καὶ βοήσομεν, εἰ μὴ κάτωθεν ἀκουοίμεθα. ὑψώσομεν τὸ πνεῦμα, οὐ φοβηθησόμεθα. εἰ δὲ καὶ φοβηθησόμεθα, ἡσυχάζοντες, οὐ κηρύσσοντες. εἰ ἦν ὅτε οὐκ ἦν ὁ πατὴρ, ἦν ὅτε οὐκ ἦν ὁ υἱός. εἰ ἦν ὅτε οὐκ ἦν ὁ υἱός, ἦν ὅτε οὐκ ἦν τὸ πνεῦμα τὸ ἅγιον. εἰ τὸ ἓν ἦν ἀπ' ἀρχῆς, καὶ τὰ τρία. εἰ τὸ ἓν κάτω βάλλεις,

τολμῶ, καὶ λέγω μετὰ τὰ δύο θεὸς αὐτῷ. τίς γὰρ ἀτελοῦς θεότητος ὄνησις; μᾶλλον δὲ τίς θεό-
της, εἰ μὴ τελεία; τελεία δὲ πῶς, ἢ λείπει τι πρὸς τελείωσιν; λείπει δὲ πῶς, μὴ ἐχούσῃ τὸ
ἅγιον; ἕξει δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; ἢ γὰρ ἄλλη τις παρὰ τοῦτο ἡ ἁγιότης, καὶ ἥτις αὕτη νοεῖ-
ται, λεγέτω τίς· ἢ εἴπερ ἡ αὐτὴ, πῶς οὐκ ἀπ' ἀρχῆς; ὥσπερ ἄμεινον ὂν τῷ θεῷ, εἶναί ποτε
ἀτελεῖ, καὶ δίχα τοῦ πνεύματος. εἰ μὴ ἀπ' ἀρχῆς ἦν, μετ' ἐμοῦ τέτακται, καὶ εἰ μικρὸν
πρὸ ἐμοῦ. χρόνῳ γὰρ ἀπὸ θεοῦ τεμνόμεθα. εἰ τέτακται μετ' ἐμοῦ, πῶς ἐμὲ ποιεῖ θεὸν; ἢ πῶς
συνάπτει θεότητι; μᾶλλον δὲ φιλοσοφήσω σοι περὶ αὐτοῦ μικρὸν ἄνωθεν. περὶ τριάδος γὰρ
καὶ πρότερον διειλήφαμεν. τὸ πνεῦμα τὸ ἅγιον, Σαδδουκαῖοι μὲν οὐδὲ εἶναι τὸ παράπαν ἐνό-
μισαν. οὐδὲ γὰρ ἀγγέλους, οὐδὲ ἀνάστασιν, οὐκ οἶδ' ὅθεν τὰς τοσαύτας περὶ αὐτοῦ μαρτυ-
ρίας, ἐν τῇ παλαιᾷ διαπτύσαντες. Ἑλλήνων δὲ οἱ θεολογικώτεροι, καὶ μᾶλλον ἡμῖν προ-
σεγγίζοντες, ἐφαντάσθησαν μὲν, ὡς ἐμοὶ δοκεῖ. περὶ δὲ τὴν κλῆσιν διηνέχθησαν, νοῦν τοῦ
παντὸς, καὶ τὸν θύραθεν νοῦν, καὶ τὰ τοιαῦτα προσαγορεύσαντες. τῶν δὲ καθ' ἡμᾶς σο-
φῶν, οἱ μὲν ἐνέργειαν τοῦτο ὑπέλαβον, οἱ δὲ κτίσμα, οἱ δὲ θεὸν, οἱ δὲ οὐκ ἔγνωσαν ὁπότερον τού-
των, αἰδοῖ τῆς γραφῆς ὥς φασιν, ὡς οὐδέτερον σαφῶς δηλωσάσης. καὶ διὰ τοῦτο οὔτε σέβουσιν, οὔ-
τε ἀτιμάζουσι, μέσως πως περὶ αὐτοῦ διακείμενοι, μᾶλλον δὲ καὶ λίαν ἀθλίως. καὶ τῶν θεὸν ὑπειλη-
φότων, οἱ μὲν ἄχρι διανοίας εἰσὶν εὐσεβεῖς, οἱ δὲ τολμῶσιν εὐσεβεῖν καὶ τοῖς χείλεσιν. ἄλλων δὲ ἤκου-
σα μετρούντων θεότητα σοφωτέρων, οἳ τρία μὲν εἶναι καθ' ἡμᾶς ὁμολογοῦσι τὰ νοούμενα. το-
σοῦτον δὲ ἀλλήλων διέστησαν, ὡς τὸ μὲν καὶ οὐσίᾳ καὶ δυνάμει ποιεῖν ἀόριστον, τὸ δὲ δυνάμει μὲν, οὐκ
οὐσίᾳ δέ. τὸ δὲ ἀμφοτέροις περιγραπτὸν, ἄλλον τρόπον μιμούμενοι, τοὺς δημιουργὸν καὶ συνερ-
γὸν, καὶ λειτουργὸν ὀνομάζοντας, καὶ τὴν ἐν τοῖς ὀνόμασι τάξιν τε καὶ χάριν, τῶν πραγμάτων
ἀκολουθίαν εἶναι νομίζοντας. ἡμῖν δὲ πρὸς μὲν τοὺς οὐδὲ εἶναι ὑπειληφότας, οὐδεὶς λόγος, ἢ
τοὺς ληρῶντας ἐν Ἕλλησι. μηδὲ γὰρ ἁμαρτωλῶν ἐλαίῳ πιανθείημεν εἰς τοὺς λόγους. πρὸς δὲ
τοὺς ἄλλους οὕτω διαλεξόμεθα. τὸ πνεῦμα τὸ ἅγιον, ἢ τῶν καθ' ἑαυτὸ ὑφεστηκότων πάν-
τως ὑποθετέον, ἢ τῶν ἐν ἑτέρῳ θεωρουμένων, ὧν τὸ μὲν οὐσίαν καλοῦσιν οἱ περὶ ταῦτα δει-
νοὶ, τὸ δὲ συμβεβηκός. εἰ μὲν οὖν συμβέβηκεν, ἐνέργεια τοῦτο ἂν εἴη θεοῦ. τί γὰρ ἕτερον, ἢ τίνος;
τοῦτο γάρ πως μᾶλλον. καὶ φεύγει σύνθεσιν. καὶ εἰ ἐνέργεια, ἐνεργηθήσεται δηλονότι, οὐκ
ἐνεργήσει καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι, παύσεται. τοιοῦτον γὰρ ἡ ἐνέργεια. πῶς οὖν ἐνεργεῖ;
καὶ τάδε λέγει, καὶ ἀφορίζει, καὶ λυπεῖται, καὶ παροξύνεται, καὶ ὅσα κινουμένου σαφῶς
ἐστιν, οὐ κινήσεως. εἰ δὲ οὐσία τις, οὐ τῶν περὶ τὴν οὐσίαν, ἤτοι κτίσμα ὑποληφθήσεται, ἢ θεός.
μέσον γάρ τι τούτων, ἤτοι μηδετέρου μετέχον, ἢ ἐξ ἀμφοῖν συγκείμενον, οὐδ' ἂν οἱ τοὺς τραγελά-
φους πλάττοντες ἐννοήσειαν. ἀλλ' εἰ μὲν κτίσμα, πῶς εἰς αὐτὸ πιστεύομεν; ἢ ἐν αὐτῷ τελειού-
μεθα; οὐ γάρ ταυτόν ἐστι πιστεύειν εἴς τι, καὶ περὶ αὐτοῦ πιστεύειν. τὸ μὲν γάρ ἐστι θεότητος, τὸ
δὲ παντὸς πράγματος. εἰ δὲ θεὸς, ἀλλ' οὐ κτίσμα, οὐδὲ ποίημα, οὐδὲ ὁμόδουλον, οὐδ' ὅλως
τι τῶν ταπεινῶν ὀνομάτων, ἐνταῦθα σὸς ὁ λόγος. αἱ σφενδόναι πεμπέτωσαν, οἱ συλλο-
γισμοὶ πλεκέσθωσαν. ἢ ἀγέννητον πάντως, ἢ γεννητόν. καὶ εἰ μὲν ἀγέννητον, δύο τὰ ἄναρ-
χα. εἰ δὲ γεννητὸν, ὑποδιαίρει πάλιν, ἢ ἐκ τοῦ πατρὸς τοῦτο, ἢ ἐκ τοῦ υἱοῦ. καὶ εἰ μὲν ἐκ τοῦ πα-
τρὸς, υἱοὶ δύο, καὶ ἀδελφοί. σὺ δέ μοι πλάττε καὶ διδύμους, εἰ βούλει, ἢ τὸν μὲν πρεσβύτερον,
τὸν δὲ νεώτερον. ἐπειδὴ λίαν εἶ φιλοσώματος. εἰ δὲ ἐκ τοῦ υἱοῦ, πέφηνέ φησι καὶ υἱωνὸς ἡ-
μῖν θεός; οὗ τί ἂν γένοιτο παραδοξότερον; ταῦτα μὲν οὖν οἱ σοφοὶ τοῦ κακοποιῆσαι, τὰ δὲ ἀγα-
θὰ γράφειν οὐ θέλοντες. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἀναγκαίαν τὴν διαίρεσιν, ἐδεξάμην ἂν τὰ
πράγματα, οὐ φοβηθεὶς τὰ ὀνόματα. οὐδὲ γὰρ ἐπειδὴ κατά τινα σχέσιν ὑψηλοτέραν υἱὸς ὁ
υἱὸς, οὐ δυνηθέντων ἡμῶν ἄλλως, ἢ οὕτως ἐνδείξασθαι τὸ ἐκ τοῦ θεοῦ καὶ ὁμοούσιον, ἤδη καὶ πά-
σας οἰητέον ἀναγκαῖον εἶναι τὰς κάτω κλήσεις καὶ τῆς ἡμετέρας συγγενείας, μεταφέρειν ἐπὶ
τὸ θεῖον. ἢ τάχα ἂν σύ γε καὶ ἄρρενα τὸν θεὸν ἡμῖν ὑπολάβοις κατὰ τοὺς λόγους τούτους. ὅτι θεὸς ὀνο-
μάζεται, καὶ πατήρ. καὶ θῆλύ τι τὴν θεότητα, ὅσον ἐπὶ ταῖς κλήσεσι καὶ τὸ πνεῦμα οὐδέ-
τερον, ὅτι μὴ γεννητικόν. εἰ δέ σοι καὶ τοῦτο παιχθείη, τῇ ἑαυτοῦ θελήσει τὸν θεὸν συγγενόμενον
κατὰ τοὺς παλαιοὺς λήρους καὶ μύθους γεννῆσαι τὸν υἱὸν, εἰσήχθη τις ἡμῖν καὶ Μαρκίω-
νος θεὸς ἀρρενόθηλυς, τοὺς τοὺς καινοὺς αἰῶνας ἀνατυπώσαντος. ἐπειδή σου τὴν πρώτην
διαίρεσιν οὐ δεχόμεθα, τὴν μηδὲν ἀγεννήτου καὶ γεννητοῦ μέσον ὑπολαμβάνουσαν, αὐτίκα οἰ-
χήσονταί σοι, μετὰ τῆς σεμνῆς διαιρέσεως οἱ ἀδελφοὶ καὶ οἱ υἱωνοί. ὥσπερ τινὸς δεσμοῦ πολυ-
πλόκου τῆς πρώτης ἀρχῆς διαλυθείσης, συνδιαλυθέντες καὶ τῆς θεολογίας ὑποχωρή-
σαντες. ποῦ γὰρ θήσεις τὸ ἐκπορευτὸν εἰπέ μοι μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ
κρείττονος, ἢ κατὰ σὲ θεολόγου, τοῦ σωτῆρος ἡμῶν εἰσαγόμενον. εἰ μὴ τὴν φωνὴν ἐκείνην
τῶν σῶν ἐξεῖλες εὐαγγελίων. διὰ τὴν τρίτην σου διαθήκην, τὸ πνεῦμα τὸ ἅγιον. ὃ παρὰ τοῦ
πατρὸς ἐκπορεύεται, ὃ καθ' ὅσον μὲν ἐκεῖθεν ἐκπορεύεται οὐ κτίσμα. καθ' ὅσον δὲ οὐ γεννητὸν,
οὐχ υἱός.

οὐχ υἱός. καθ' ὅσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, θεός. καὶ οὕτω σου τὰς τῶν συλλογισμῶν
ἄρκυς διαφυγών, θεὸς ἀναπέφηνε τῶν σῶν διαιρέσεων ἰσχυρότερος. τίς οὖν ἡ ἐκπόρευσις,
εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρός, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπό-
ρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω εἰς θεοῦ μυστήρια παρακύπτοντες.
καὶ ταῦτα τίνες, οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν, καὶ στα-
γόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μὴ ὅτι γε θεοῦ βάθεσιν ἐμβατεύειν. καὶ λό-
γον ὑπέχειν τῆς οὕτως ἀῤῥήτου καὶ ὑπὲρ λόγον φύσεως. τί οὖν ἐστι, φησίν, ὃ λείπει τῷ πνεύ-
ματι, πρὸς τὸ εἶναι υἱόν; εἰ γὰρ μὴ λεῖπόν τι ἦν, υἱὸς ἂν ἦν, οὐ λείπειν φαμέν. οὐδὲ γὰρ ἐλλιπὴς
θεός. τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον αὐ-
τῶν καὶ τὴν κλῆσιν πεποίηκεν. οὐδὲ γὰρ τῷ υἱῷ λείπει τι πρὸς τὸ εἶναι πατέρα. οὐδὲ γὰρ ἔλλειψις
ἡ υἱότης. ἀλλ' οὐ παρὰ τοῦτο πατήρ, ἢ οὕτω γε καὶ τῷ πατρὶ λείψει πρὸς τὸ εἶναι υἱόν. οὐ γὰρ υἱὸς ὁ
πατήρ, ἀλλ' οὐκ ἐλλείψεως ταῦτα. πόθεν οὐδὲ τῆς κατὰ τὴν οὐσίαν ὑφέσεως, αὐτὸ δὲ τὸ μὴ γεγεν-
νῆσθαι, καὶ τὸ γεγεννῆσθαι, καὶ τὸ ἐκπορεύεσθαι, τὸν μὲν πατέρα, τὸν δὲ υἱόν, τὸ δὲ τοῦθ' ὅπερ
λέγεται πνεῦμα ἅγιον προσηγόρευσεν. ἵνα τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων
ἐν τῇ μιᾷ φύσει τε καὶ ἀξίᾳ τῆς θεότητος. οὔτε γὰρ ὁ υἱὸς πατήρ, εἷς γὰρ πατήρ, ἀλλ' ὅπερ ὁ
πατήρ. οὔτε τὸ πνεῦμα υἱός, ὅτι ἐκ τοῦ θεοῦ. εἷς γὰρ ὁ μονογενής, ἀλλ' ὅπερ ὁ υἱός, ἓν τὰ τρία
θεότητι. καὶ τὸ ἓν, τρία ταῖς ἰδιότησιν, ἵνα μήτε τὸ ἓν σαβέλλιον ᾖ, μήτε τὰ τρία τῆς πονηρᾶς
νῦν διαιρέσεως. τί οὖν θεὸς τὸ πνεῦμα; πάνυ γε. τί οὖν ὁμοούσιον; εἴπερ θεός. δὸς οὖν μοι,
φησίν, ἐκ τοῦ αὐτοῦ, τὸ μὲν υἱόν, τὸ δὲ οὐχ υἱόν. εἶτα ὁμοούσια. καὶ δέχομαι θεόν, καὶ θεόν. δός
μοι καὶ σὺ ἄλλον θεόν, καὶ φύσιν θεοῦ, καὶ δώσω σοι τὴν αὐτὴν τριάδα μετὰ τῶν αὐτῶν ὀνομά-
των τε καὶ πραγμάτων. εἰ δὲ, εἷς θεός τε, καὶ μία φύσις ἡ ἀνωτάτω, πόθεν παραστήσω σοι
τὴν ὁμοίωσιν; ἢ ζητεῖς πάλιν ἐκ τῶν κάτω καὶ τῶν περὶ σέ. λίαν μὲν αἰσχρόν, καὶ οὐκ αἰσχρὸν μό-
νον, ἀλλὰ καὶ μάταιον ὑπερφυῶς, ἐκ τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν. καὶ τῶν
ἀκινήτων ἐκ τῆς ῥεούσης φύσεως, καὶ ὅ, φησιν Ἡσαΐας, ἐκζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς·
ὅμως δὲ πειράσομαι σὴν χάριν, κἀντεῦθεν δοῦναί τινα τῷ λόγῳ βοήθειαν. τὰ μὲν οὖν ἄλ-
λα παρήσειν μοι δοκῶ, πολλὰ ἂν ἔχων ἐκ τῆς περὶ ζῴων ἱστορίας εἰπεῖν, τὰ μὲν ἡμῖν γνώρι-
μα, τὰ δὲ τοῖς ὀλίγοις ὅσα περὶ τὰς τῶν ζῴων γενέσεις ἡ φύσις ἐφιλοτεχνήσατο. γεννᾶσθαι
γὰρ λέγεται οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ μόνον, οὐδ' ἐξ ἑτέρων ἕτερα, ἀλλὰ καὶ ἐξ ἑτέρων τὰ
αὐτά, καὶ ἐκ τῶν αὐτῶν ἕτερα. εἰ δέ τῳ πιστὸς ὁ λόγος, καὶ ἄλλος ἐστὶ τρόπος γεννήσεως,
αὐτό τι ὑφ' ἑαυτοῦ δαπανώμενον καὶ τικτόμενον. ἔστι δὲ ἃ καὶ ἐξίσταταί πως ἑαυτῶν, ἐξ
ἄλλων ζῴων εἰς ἄλλα μεθιστάμενά τε καὶ μεταποιούμενα, φιλοτιμίᾳ φύσεως. ἤδη δὲ καὶ τοῦ
αὐτοῦ, τὸ μὲν οὐ γέννημα, τὸ δὲ γέννημα. πλὴν ὁμοούσια ὃ καὶ τῷ παρόντι πως μᾶλλον προ-
σέοικεν, ἓν δέ τι τῶν ἡμετέρων εἰπών, ὃ καὶ πᾶσι γνώριμον, ἐφ' ἕτερον μεταβήσομαι λόγον.
ὁ Ἀδὰμ τί ποτε ἦν, πλάσμα θεοῦ; τί δαὶ ἡ Εὔα, τμῆμα τοῦ πλάσματος; τί δαὶ ὁ Σήθ, ἀμφο-
τέρων γέννημα; ἆρ' οὖν ταὐτόν σοι φαίνεται πλάσμα καὶ τμῆμα, καὶ γέννημα; πῶς οὔ; ὁμοού-
σια δὲ ταῦτα; ἢ τί; πῶς δ' οὔ; ὡμολόγηται οὖν καὶ τὰ διαφόρως ὑποστάντα τῆς αὐτῆς εἶναι
οὐσίας ἐνδέχεσθαι. λέγω δὲ ταῦτα, οὐκ ἐπειδὴ τὴν θεότητα φέρων τὴν πλάσιν, ἢ τὴν τομήν,
ἤ τι τῶν ὅσα σώματος. μή μοί τις ἐπιφυέσθω πάλιν τῶν λογομάχων, ἐπὶ δὲ τούτων θεωρῶν
ὡς ἐπὶ σκηνῆς τὰ νοούμενα. οὐδὲ γὰρ οἷόν τε τῶν εἰκαζομένων οὐδὲν πρὸς πᾶσαν ἐξικνεῖσθαι
καθαρῶς τὴν ἀλήθειαν. καὶ τί ταῦτα φασίν; οὐ γὰρ τοῦ ἑνὸς τὸ μὲν γέννημα, τὸ δὲ ἄλλο τι;
τί οὖν ἡ Εὔα καὶ ὁ Σήθ, οὐχὶ τοῦ αὐτοῦ τοῦ Ἀδάμ; τίνος γὰρ ἄλλου; ἢ καὶ ἀμφότεροι γεννή-
ματα; οὐδαμῶς· ἀλλὰ τί; τὸ μὲν τμῆμα, τὸ δὲ γέννημα, καὶ μὴν ἀμφότεροι ταὐτὸν ἀλλή-
λοις. ἄνθρωποι γάρ, οὐδεὶς ἀντερεῖ; παύσῃ οὖν ὁ μαχόμενος πρὸς τὸ πνεῦμα, ὡς ἢ γέννη-
μα πάντως, ἢ μὴ ὁμοούσιον, μηδὲ θεόν, καὶ ἐκ τῶν ἀνθρωπίνων τὸ δυνατὸν λαβὼν τῆς ἡμετέ-
ρας ὑπολήψεως. ἐγὼ μὲν οἶμαί σοι καλῶς ἔχειν, εἰ μὴ λίαν ἔγνωκας φιλονεικεῖν, καὶ πρὸς
τὰ δῆλα μάχεσθαι. ἀλλὰ τίς προσεκύνησε τῷ πνεύματι, φησί; τίς ἢ τῶν παλαιῶν, ἢ τῶν
νέων; τίς δὲ προσηύξατο; ποῦ δαὶ τὸ χρῆναι προσκυνεῖν ἢ προσεύχεσθαι γέγραπται, καὶ πό-
θεν τοῦτο λαβὼν ἔχεις; τὴν μὲν τελεωτέραν αἰτίαν ἀποδώσομεν ὕστερον, ἡνίκα ἂν περὶ τῆς
ἀγράφου διαλεγώμεθα. νῦν δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει, τὸ πνεῦμα εἶναι, ἐν ᾧ προσκυνοῦ-
μεν, καὶ δι' οὗ προσευχόμεθα. πνεῦμα γάρ φησιν ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν
πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. καὶ πάλιν τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴ-
δαμεν. ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. καὶ προ-
σεύξομαι τῷ πνεύματι. προσεύξομαι δὲ καὶ τῷ νοΐ, τουτέστιν ἐν νοῒ καὶ πνεύματι. τὸ οὖν προσκυνεῖν
τῷ πνεύματι ἢ προσεύχεσθαι, οὐδὲν ἄλλο εἶναί μοι φαίνεται, ἢ αὐτὸ ἑαυτῷ τὴν εὐχὴν προσάγειν καὶ τὴν
προσκύνησιν. ὃ τίς οὐκ ἂν ἐπαινέσειε τῶν ἐνθέων καὶ τῶν εἰδότων, ὅτι καὶ ἡ τοῦ ἑνὸς προσκύνησις, τῶν

τριάδι τὴν προσκύνησιν, διὰ τὸ ἐν τοῖς τρισὶν ὁμότιμον τῆς ἀξίας, καὶ τῆς θεότητος, καὶ μὴν οὐδὲ ἐκεῖνο φοβηθήσομαι τό, πάντα διὰ τοῦ υἱοῦ γεγονέναι λέγεσθαι. ὡς ἑνὸς τῶν πάντων ὄντος καὶ τοῦ ἁγίου πνεύματος. πάντα γὰρ ὅσα γέγονεν, εἴρηται, οὐχ ἁπλῶς ἅπαντα. οὐδὲ γὰρ ὁ πατήρ, οὐδ᾽ ὅσα μὴ γέγονε. δεῖξον ὅτι γέγονε, καὶ τότε τῷ υἱῷ δός, καὶ τοῖς κτίσμασι συναρίθμησον. ἕως δ᾽ ἂν μὴ τοῦτο δεικνύῃς, οὐδὲν τῷ περιληπτικῷ βοηθῇ, πρὸς ἀσέβειαν. εἰ μὲν γὰρ γέγονε, διὰ χριστοῦ πάντως, οὐδὲ αὐτὸς ἀρνήσομαι· εἰ δὲ οὐ γέγονε, πῶς ἢ τῶν πάντων ἓν, ἢ διὰ χριστοῦ. παῦσαι οὖν καὶ τὸν πατέρα κακῶς τιμῶν κατὰ τοῦ μονογενοῦς. κακὴ δὲ τιμὴ κτίσμα διδόντα τὸ τιμιώτερον ἀποστερεῖν υἱόν, καὶ τὸν υἱὸν κατὰ τοῦ πνεύματος. οὐ γὰρ ὁμοτίμου δούλου δημιουργός, ἀλλ᾽ ὁμοτίμῳ συνδοξαζόμενος, μηδὲν μετὰ σεαυτοῦ θῇς τῆς τριάδος, μὴ τῆς τριάδος ἐκπέσῃς, μηδὲ ἑνὶ κόψῃς τὴν θείαν φύσιν, καὶ ὁμοίως σεβάσμιον. ὡς ὅτι ἂν τῶν τριῶν καθέλῃς, τὸ πᾶν ἔσῃ καθῃρηκώς, μᾶλλον δὲ τοῦ παντὸς ἐκπεπτωκώς. βέλτιον, μικρὰν τῆς ἑνώσεως φαντασίαν λαβεῖν, ἢ παντελῆ τολμῆσαι δυσσέβειαν. ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ᾽ αὐτὸ τὸ κεφάλαιον. καὶ στένω μέν, ὅτι πάλαι τεθνηκὸς ζήτημα, καὶ τῇ πίστει παραχωρῆσαν, νῦν ἀνακαινίζεται. στῆναι δὲ ὅμως ἀναγκαῖον πρὸς τοὺς λογολέσχας, καὶ μὴ ἐρήμην ἁλῶναι λόγον ἔχοντας, καὶ συνηγοροῦντας πνεύματι. εἰ θεός φασι, καὶ θεός, καὶ θεός, πῶς οὐχὶ τρεῖς θεοί; ἢ πῶς οὐ πολυαρχία τὸ δοξαζόμενον; ταῦτα τίνες, οἱ τελεώτεροι τὴν ἀσέβειαν, ἢ καὶ οἱ τῆς δευτέρας μερίδος. λέγω δὲ τοὺς περὶ τὸν υἱόν πως εὐγνώμονας. ὁ μὲν γὰρ κοινός μοι πρὸς ἀμφοτέρους λόγος, ὁ δὲ πρὸς τούτους, ἴδιος. ὁ μὲν οὖν πρὸς τούτους, τοιοῦτος. τί φατε, τοῖς ἰουδαΐζουσιν ἡμῖν ἐν τῷ υἱὸν σέβειν, εἰ καὶ τοῦ πνεύματος ἀφίστασθε, ὑμᾶς δ᾽ οὐ διθεῖται. εἰ μὲν γὰρ ἀρνεῖσθε καὶ τοῦ μονογενοῦς τὴν προσκύνησιν, σαφῶς τέτακται μετὰ τῶν ἐναντίων. καὶ τί φιλανθρωπευόμεθα πρὸς ὑμᾶς ὡς οὐ πάνυ νενεκρωμένους· εἰ δὲ σέβεσθε, καὶ μέχρι τούτου διήκεσθε σωτηρίας, ὑμᾶς ἐρωτήσομεν, τίς ὁ λόγος τῆς διθεΐας ὑμῖν, ἂν τοῦτο ἐγκαλῆσθε, εἴ τις λόγος συνέσεως, ἀποκρίνασθε. δότε καὶ ἡμῖν, ὁδὸν ἀποκρίσεως. οἷς γὰρ ἂν ὑμεῖς τὴν διθεΐαν, ἀποκρούσησθε λόγοις, οὗτοι καὶ ἡμῖν κατὰ τῆς τριθεΐας ἀρκέσουσι. καὶ οὕτω νικῶμεν, ὑμῖν τοῖς κατηγόροις συνηγόροις χρώμενοι. οὗ τί γενναιότερον, ὁ δὲ κοινὸς ἡμῖν πρὸς ἀμφοτέρους τις ἀγών τε καὶ λόγος. ἡμῖν εἷς θεός, ὅτι μία θεότης, καὶ πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πιστεύηται. οὐ γὰρ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον. οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται, οὐδέ τι τῶν ὅσα τοῖς μεριστοῖς ὑπάρχει, καὶ ἐνταῦθα λαβεῖν ἐστιν· ἀλλὰ ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης. καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. ὅταν μὲν οὖν πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον. ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνούμενα. τί δαὶ οὐχὶ καὶ παρ᾽ ἕλλησι φαῖεν ἂν μία θεότης; ὡς οἱ τὰ τελεώτερα παρ᾽ ἐκείνοις φιλοσοφοῦντες. καὶ παρ᾽ ἡμῖν ἀνθρωπότης μία, τὸ γένος ἅπαν, ἀλλ᾽ ὅμως θεοὶ πολλοί, καὶ οὐχ εἷς, ὡς δὴ καὶ ἄνθρωποι. ἀλλ᾽ ἐκεῖ μὲν ἡ κοινότης τὸ ἓν ἔχει, μόνον ἐπινοίᾳ θεωρητόν· τὰ δὲ καθ᾽ ἕκαστον πλεῖστον ἀλλήλων, καὶ τοῖς χρόνοις, καὶ τοῖς πάθεσι, καὶ τῇ δυνάμει μεμερισμένα. ἡμεῖς τε γὰρ οὐ σύνθετοι μόνον, ἀλλὰ καὶ ἀντίθετοι, καὶ ἀλλήλοις, καὶ ἡμῖν αὐτοῖς, οὐδὲ ἐπὶ μιᾶς ἡμέρας καθαρῶς μένοντες οἱ αὐτοί, μὴ ὅτι τὸν ἅπαντα βίον, ἀλλὰ καὶ σώμασι, καὶ ψυχαῖς ἀεὶ ῥέοντές τε καὶ μεταπίπτοντες. οὐκ οἶδα δὲ εἰ μὴ καὶ ἄγγελοι, καὶ πᾶσα φύσις ἡ ἄνω, καὶ μετὰ τὴν τριάδα, κἂν ἁπλοῖ τινες ὦσι, καὶ πρὸς τὸ καλὸν παγιώτεροι, τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι, οἵ τε παρ᾽ ἑλλήνων σεβόμενοι θεοί τε καὶ δαίμονες, ὡς αὐτοὶ λέγουσιν, οὐδὲν ἡμῶν δέονται κατηγόρων. ἀλλὰ τοῖς σφῶν αὐτῶν ἁλίσκονται θεολόγοις, ὡς μὲν ἐμπαθεῖς, ὡς δὲ στασιώδεις, ὅσων δὲ κακῶν γέμοντες, καὶ μεταβολῶν. καὶ οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τὰς πρώτας αἰτίας ἀντιθέτως ἔχοντες, οὓς δὴ ὠκεανοὺς καὶ τηθύας, καὶ φάνητας, καὶ οὐκ οἶδα οὕστινας ὀνομάζουσι, καὶ τελευταῖόν τινα θεὸν μισότεκνον διὰ φιλαρχίαν, πάντας καταπίνοντα τοὺς ἄλλους ἐξ ἀπληστίας, ἵνα γένηται πατὴρ ἀνδρῶν τε θεῶν τε, δυστυχῶς ἐσθιομένων καὶ ἐμουμένων. εἰ δὲ ταῦτα ὑπόνοια, καὶ μῦθοί τινες, ὡς αὐτοί φασι, τὸ αἰσχρὸν τοῦ λόγου διαδιδράσκοντες, τί φήσουσι πρὸς τό, τριχθὰ δὲ πάντα δέδασται. καὶ τὸ ἄλλον ἄλλῳ τινὶ τῶν ὄντων ἐπιστατεῖν, διῃρημένους καὶ ταῖς ὕλαις, καὶ τοῖς ἀξιώμασι. τὸ δὲ ἡμέτερον, οὐ τοιοῦτον. οὐδὲ αὕτη μερὶς τῷ ἰακώβ, φησὶν ὁ ἐμὸς θεολόγος. ἀλλὰ τὸ ἓν ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ συγκείμενον οὐχ ἧττον, ἢ πρὸς ἑαυτό, τῷ ταυτῷ τῆς οὐσίας, καὶ τῆς δυνάμεως. καὶ οὗτος ὁ τῆς ἑνώσεως λόγος, ὅσον ἐν οἷς ἡμεῖς κατειλήφαμεν. εἰ μὲν οὖν ἰσχυρὸς οὗτος ὁ λόγος, τῷ θεῷ χάρις τῆς θεωρίας· εἰ δὲ μή, ζητῶμεν τὸν ἰσχυρότερον. τοὺς δὲ σοὺς λόγους οὐκ οἶδα πότερον, παίζοντος εἶναι φῶμεν, ἢ σπουδάζοντος, οἷς ἀναιρεῖς ἡμῶν τὴν ἕνωσιν.

τίς γὰρ

τίς γὰρ δὴ καὶ ὁ λόγος; τὰ ὁμοούσια συναριθμεῖται, φησί· συναρίθμησιν λέγων, τὴν εἰς ἀριθμὸν οἷα συναίρεσιν. οὐ συναριθμεῖται δὲ τὰ μὴ ὁμοούσια, ὥστε ὑμεῖς μὲν οὐ φεύξεσθε τὸ λέγειν τρεῖς θεοὺς κατὰ τὸν λόγον τοῦτον, ἡμῖν δὲ οὐδὲ εἷς κίνδυνος. οὐ γὰρ ὁμοούσια λέγομεν. σὺ μὲν οὖν ἀπήλλαξας σεαυτὸν πραγμάτων μιᾷ φωνῇ, καὶ τὴν καλὴν νίκην νενίκηκας, ὅμοιόν τι ποιήσας τοῖς διὰ θανάτου φόβον ἀπαγχομένοις. ἵνα γὰρ μὴ κάμῃς τῇ μοναρχίᾳ συνιστάμενος, ἠρνήσω θεότητα, καὶ προδέδωκας τοῖς ἐχθροῖς τὸ ζητούμενον. ἐγὼ δὲ κἄν τι δέῃ καμεῖν, οὐ προήσομαι τὸ προσκυνούμενον. ἐνταῦθα δὲ, οὐδὲ ὁρῶ τίς ὁ πόνος. συναριθμεῖται, φῄς, τὰ ὁμοούσια. τὰ δὲ οὐχ οὕτως ἔχοντα, μοναδικὴν ἔχει τὴν δήλωσιν. πόθεν σοι τοῦτο, καὶ παρὰ τίνων δογματιστῶν καὶ μυθολόγων; ἢ ἀγνοεῖς, ὅτι πᾶς ἀριθμὸς, τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ δηλωτικὸς, οὐ τῆς φύσεως τῶν πραγμάτων; ἐγὼ δὲ οὕτως ἀρχαίως ἔχω, μᾶλλον δὲ ἀμαθῶς, ὥστε τρία μὲν ὀνομάζω τὰ τοσαῦτα τῷ ἀριθμῷ, κἂν διεστήκῃ τὴν φύσιν. ἓν δὲ καὶ ἓν ἄλλως τὰς τοσαύτας μονάδας, κἂν τῇ οὐσίᾳ συνάπτωνται, οὐ πρὸς τὰ πράγματα μᾶλλον ἀφορῶν, ἢ τὸ ποσὸν τῶν πραγμάτων, καθ᾽ ὃ ἡ ἀρίθμησις. ἐπεὶ δὲ λίαν περιέχῃ τοῦ γράμματος, καίτοι γε πολεμῶν τῷ γράμματι. ἐκεῖθέν μοι λάβε τὰς ἀποδείξεις. τρία ἐν ταῖς Παροιμίαις ἐστὶν, ἃ εὐόδως πορεύεται, λέων, καὶ τράγος, καὶ ἀλεκτρυὼν· καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει, τὸ τέταρτον, ἵνα μὴ λέγω τὰς ἄλλας ἐκεῖ τετράδας ἀριθμουμένας, τῇ δὲ φύσει διῃρημένας. καὶ δύο τῶν Μωυσέως χερουβὶμ εὑρίσκω μοναδικῶς ἀριθμούμενα. πῶς οὖν ἢ ἐκεῖνα τρία κατὰ τὴν σὴν τεχνολογίαν, τοσοῦτον ἀλλήλων ἀπερρηγμένα ταῖς φύσεσιν, ἢ ταῦτα μοναδικὰ, τοσοῦτον ἀλλήλοις ὁμοφυῆ καὶ συγκείμενα; εἰ γὰρ λέγοιμι θεὸν καὶ μαμωνᾶν δύο κυρίους εἰς ἓν ἀριθμουμένους, τοσοῦτον μακρὰν ὄντας ἀλλήλων, τάχα ἂν καὶ μᾶλλον γελασθείην τῆς συναριθμήσεως. ἀλλ᾽ ἐμοὶ, φησὶν, ἐκεῖνα συναριθμούμενα λέγεται, καὶ τῆς αὐτῆς οὐσίας, οἷς συνεκφωνεῖται κατ᾽ ἀλλήλους, καὶ τὰ ὀνόματα. οἷον, ἄνθρωποι τρεῖς καὶ θεοὶ τρεῖς. οὐχὶ τρία τάδε καὶ τάδε. τίς γὰρ ἡ ἀντίδοσις; τοῦτο νομοθετοῦντός ἐστι τοῖς ὀνόμασιν, οὐκ ἀληθεύοντος. ἐπεὶ καὶ ἐμοὶ Πέτρος καὶ Παῦλος καὶ Ἰωάννης, οὐ τρεῖς, οὐδ᾽ ὁμοούσιοι, ἕως ἂν μὴ τρεῖς Πέτροι καὶ τρεῖς Παῦλοι, καὶ Ἰωάνναι τοσοῦτοι λέγωνται. ὃ γὰρ σὺ τετήρηκας ἐπὶ τῶν γενικωτέρων ὀνομάτων, τοῦτο καὶ ἡμεῖς ἀπαιτήσομεν ἐπὶ τῶν εἰδικωτέρων κατὰ τὴν σὴν ἀνάπλασιν. ἢ ἀδικήσεις μὴ διδοὺς ὅπερ εἴληφας. τί δαὶ ὁ Ἰωάννης; τρεῖς εἶναι τοὺς μαρτυροῦντας λέγων ἐν ταῖς καθολικαῖς, τὸ πνεῦμα, τὸ ὕδωρ, τὸ αἷμα, ἆρά σοι ληρεῖν φαίνεται; πρῶτον μὲν, ὅτι τὰ μὴ ὁμοούσια συναριθμῆσαι τετόλμηκεν, ὃ τοῖς ὁμοουσίοις σὺ δίδως. τίς γὰρ ἂν εἴποι ταῦτα μιᾶς οὐσίας; δεύτερον δὲ, ὅτι μὴ κατάλληλος ἔχων ἀπήντησεν, ἀλλὰ τὸ τρεῖς ἀρρενικῶς προσθεὶς, τὰ τρία οὐδετέρως ἐπήνεγκε, παρὰ τοὺς σοὺς, καὶ τῆς γραμματικῆς ὅρους καὶ νόμους. καίτοι τί διαφέρει, ἢ τρεῖς προθέντα, ἓν καὶ ἓν καὶ ἓν ἐπενεγκεῖν, ἢ ἕνα καὶ ἕνα καὶ ἕνα λέγοντα, μὴ τρεῖς, ἀλλὰ τρία προσαγορεύειν; ὅπερ αὐτὸς ἀπαξιοῖς ἐπὶ τῆς θεότητος. τί δαί σοι ὁ καρκίνος, τό, τε ζῶον, τό, τε ὄργανον, ὅ, τε ἀστήρ; τί δαὶ ὁ κύων, ὅ, τε χερσαῖος, καὶ ὁ ἔνυδρος, καὶ ὁ οὐράνιος, οὐ τρεῖς λέγεσθαί σοι δοκοῦσι, καρκῖνοι καὶ κύνες; πάντως γε. ἆρα οὖν παρὰ τοῦτο καὶ ὁμοούσιοι; τίς φήσει τῶν νοῦν ἐχόντων. ὁρᾷς ὅπως σοι διαπέπτωκεν ὁ περὶ τῆς συναριθμήσεως λόγος, τοσούτοις ἐληλεγμένος; εἰ γὰρ μήτε τὰ ὁμοούσια πάντως συναριθμεῖται, καὶ συναριθμεῖται τὰ μὴ ὁμοούσια, ἥ τε τῶν ὀνομάτων συνεκφώνησις, ἐπ᾽ ἀμφοῖν, τί σοι πλέον ὧν ἐδογμάτισας; σκοπῶ δὲ κἀκεῖνο καὶ ἴσως, οὐκ ἔξω λόγου. τὸ ἓν καὶ τὸ ἓν, οὐκ εἰς δύο συντίθεται; τὰ δύο δὲ οὐκ εἰς ἓν καὶ ἓν ἀναλύεται, δηλονότι. εἰ οὖν ὁμοούσια μὲν τὰ συντιθέμενα κατὰ τὸν σὸν λόγον, ἑτερούσια δὲ τὰ τεμνόμενα, τί συμβαίνει; τὰ αὐτὰ, ὁμοούσια εἶναι καὶ ἑτερούσια. γελῶ σου καὶ τὰς προαριθμήσεις καὶ τὰς ὑπαριθμήσεις, αἷς σὺ μέγα φρονεῖς, ὥσπερ ἐν τῇ τάξει τῶν ὀνομάτων, κειμένων τῶν πραγμάτων. εἰ γὰρ τοῦτο, τί κωλύει κατὰ τὸν αὐτὸν λόγον, ἐπειδὴ τὰ αὐτὰ καὶ προαριθμεῖται, καὶ ὑπεραριθμεῖται παρὰ τῇ θείᾳ γραφῇ, διὰ τὴν ἰσοτιμίαν τῆς φύσεως, αὐτὰ ἑαυτῶν εἶναι τιμιώτερά τε καὶ ἀτιμότερα. ὁ δὲ αὐτός μοι καὶ περὶ τῆς θεὸς φωνῆς καὶ κύριος λόγος. ἔτι δὲ τῶν προθέσεων, τῆς ἐξ οὗ καὶ δι᾽ οὗ, καὶ ἐν ᾧ, αἷς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ θεῖον, τὴν μὲν τῷ πατρὶ διδοὺς, τὴν δὲ τῷ υἱῷ, τὴν δὲ τῷ ἁγίῳ πνεύματι. τί γὰρ ἂν ἐποίησας παγίως ἑκάστου τούτων ἑκάστῳ νενεμημένου, ὁπότε πάντων πᾶσι συντεταγμένων, ὡς δῆλον τοῖς φιλοπόνοις, τοσαύτην σὺ διὰ τούτων εἰσάγεις καὶ τῆς ἀξίας, καὶ τῆς φύσεως ἀνισότητα. ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσιν. ἐπειδὴ δέ σοι τῶν χαλεπῶν ἐστιν ἅπαξ ἐπιπηδήσαντα τῷ πνεύματι, τῆς φορᾶς σχεθῆναι, ἀλλὰ μὴ καθάπερ τῶν συῶν τοὺς θρασυτέρους εἰς τέλος φιλονεικεῖν, καὶ πρὸς τὸ ξίφος ὠθίζεσθαι, μέχρις ἂν παίσας εἴσω τὴν πληγὴν ὑπολάβῃς, φέρε σκεψώμεθα τίς ἔτι σοι λείπεται λόγος; πάλιν καὶ πολλάκις, ἀνακυκλεῖς ἡμῖν τὸ ἄγραφον. ὅτι μὲν οὖν οὐ ξένον τοῦτο, οὐδὲ παρείσακτον, ἀλλὰ καὶ τοῖς πάλαι, καὶ τοῖς νῦν γνωριζόμενον, καὶ

παραγυ-

πραγματευομένοις. δέδεικται μὲν ἤδη πολλοῖς τῶν περὶ τούτου διειληφότων, ὅσοι μὴ ῥαθύμως, μηδὲ παρέργως ταῖς θείαις γραφαῖς ἐντυχόντων, ἀλλὰ διαρρηξάντων τὸ γράμμα καὶ ἔσω παρακυψάντων, τὸ ἀποκεκρυμμένον κάλλος ἰδεῖν ἠξιώθησαν, καὶ τῷ φωτισμῷ τῆς γνώσεως κατηυγάσθησαν. δηλώσομεν δὲ καὶ ἡμεῖς ἐξ ἐπιδρομῆς, ἐὰν ἐνδέχηται. τὸ μὴ δοκεῖν εἶναι περιττοί τισι, μηδὲ φιλοτιμότεροι τοῦ δέοντος, ἐποικοδομοῦντες ἐπὶ θεμέλιον ἀλλότριον. εἰ δὲ τὸ μὴ λίαν σαφῶς γεγράφθαι θεόν, μηδὲ πολλάκις ὀνομαστί, ὥσπερ τὸν πατέρα πρότερον καὶ τὸν υἱὸν ὕστερον, αἴτιόν σοι γίνεται βλασφημίας, καὶ τῆς περιττῆς ταύτης γλωσσαλγίας καὶ ἀσεβείας, ἡμεῖς σοι λύσομεν ταύτην τὴν βλάβην, μικρὰ περὶ πραγμάτων καὶ ὀνομάτων, καὶ μάλιστα παρὰ τὴν τῆς γραφῆς συνήθειαν φιλοσοφήσαντες, τῶν πραγμάτων. τὰ μὲν οὐκ ἔστι, λέγεται δέ· τὰ δὲ ὄντα, οὐ λέγεται· τὰ δὲ οὔτε ἐστίν, οὔτε λέγεται· τὰ δὲ ἄμφω, καὶ ἔστι καὶ λέγεται. τούτων ἀπαιτεῖς με τὰς ἀποδείξεις; παρασχεῖν ἕτοιμος. ὑπνοῖ τῇ γραφῇ θεός, καὶ γρηγορεῖ, καὶ ὀργίζεται, καὶ βαδίζει, καὶ θρόνον ἔχει τὰ χερουβίμ. καίτοι πότε γέγονεν ἐμπαθής; πότε δὲ σῶμα θεὸν ἀκήκοας; τοῦτο οὐκ ὂν ἀνεπλάσθη. ὠνομάσαμεν γὰρ ὡς ἡμῖν ἐφικτόν, ἐκ τῶν ἡμετέρων, τὰ τοῦ θεοῦ. τὸ μὲν ἠρεμεῖν αὐτὸν ἀφ' ἡμῶν, καὶ οἷον ἀμελεῖν, δι' ἃς αὐτὸς οἶδεν αἰτίας, ὑπνοῦν. τὸ γὰρ ἡμέτερον ὕπνου, τοιοῦτον, ἀνενέργητόν τε καὶ ἄπρακτον. τὸ δὲ ἀθρόως εὖ ποιεῖν ἐκ μεταβολῆς, γρηγορεῖν. ὕπνου γὰρ λύσις, ἐγρήγορσις. ὥσπερ ἀποστροφῆς, ἐπίσκεψις. τὸ δὲ κολάζειν, ὀργίζεσθαι πεποιήκαμεν. οὕτω γὰρ ἡμῖν, ἐξ ὀργῆς ἡ κόλασις. τὸ δὲ νῦν μέν, τῇδε, νῦν δέ, τῇδε ἐνεργεῖν, βαδίζειν. ἡ γὰρ ἀπ' ἄλλου πρὸς ἄλλο μετάβασις, βαδισμός. τὸ δὲ ἐναναπαύεσθαι ταῖς ἁγίαις δυνάμεσι, καὶ οἷον ἐμφιλοχωρεῖν, καθέζεσθαι καὶ θρονίζεσθαι, καὶ τοῦτο ἡμέτερον. οὐδενὶ γὰρ οὕτως, ὡς τοῖς ἁγίοις τὸ θεῖον ἀναπαύεται. τὸ δὲ ὀξυκίνητον, πτῆσιν. τὴν δὲ ἐπισκοπήν, πρόσωπον. τὸ διδόναι δέ, καὶ προσίεσθαι, χεῖρα. καὶ ἄλλη τις ὅλως τῶν τοῦ θεοῦ δυνάμεων ἢ ἐνεργειῶν, ἄλλο τι τῶν σωματικῶν ἡμῖν ἀνεζωγράφησε. πάλιν σὺ πόθεν τὸ ἀγέννητον λαβὼν ἔχεις ἢ τὸ ἄναρχον, τὰς σὰς ἀκροπόλεις, ἢ καὶ ἡμεῖς τὸ ἀθάνατον. δεῖξον ταῦτα ὀνομαστί, ἢ διαγράφομεν, καὶ τέθνηκας ἐκ τῶν σῶν ὑποθέσεων, καθαιρεθέντων σοι τῶν ὀνομάτων, καὶ τοῦ τείχους τῆς καταφυγῆς, ἐφ' ᾧ ἐπεποίθεις. ἢ δῆλον, ὅτι ἐκ τῶν ταῦτα συναγόντων, κἂν μὴ ταῦτα λέγηται. τίνων τούτων; ἐγώ εἰμι πρῶτος. καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πρὸ ἐμοῦ οὐκ ἔστιν ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ὅλον γὰρ τὸ ἔστιν, ἐμόν. οὔτε ἠργμένον, οὔτε παυσόμενον. ταῦτα λαβών, τὸ μέν, μὴ εἶναί τι πρὸ αὐτοῦ, μηδὲ πρεσβυτέραν αἰτίαν ἔχειν, ἄναρχον προσηγόρευσας καὶ ἀγέννητον· τὸ δὲ μὴ στήσεσθαι τοῦ εἶναι, ἀθάνατον καὶ ἀνώλεθρον. αἱ μὲν δὴ πρῶται συζυγίαι, τοιαῦται καὶ οὕτως ἔχουσαι. τίνα δὲ οὔτε ἐστίν, οὔτε λέγεται; πονηρὸν τὸ θεῖον. ἡ σφαῖρα τετράγωνος, τὸ παρελθὸν ἐνέστηκεν, οὐ σύνθετος ὁ ἄνθρωπος. τίνα γὰρ εἰς τοσοῦτον ἐμβροντησίας ποτὲ ἀφικόμενον ἔγνως, ὥστε τι τοιοῦτον, ἢ ἐννοῆσαι τολμῆσαι, ἢ ἀποφήνασθαι. λείπεται δεῖξαι, τίνα καὶ ἔστι, καὶ λέγεται. θεός, ἄνθρωπος, ἄγγελος, κρίσις. ματαιότης οἱ τοιοῦτοι συλλογισμοί, καὶ τῆς πίστεως ἀνατροπή, καὶ τοῦ μυστηρίου κένωσις. τοσαύτης οὖν οὔσης διαφορᾶς ἐν τοῖς ὀνόμασι, καὶ τοῖς πράγμασι, πῶς οὕτω σὺ λίαν δουλεύεις τῷ γράμματι, καὶ γίνῃ μετὰ τῆς ἰουδαϊκῆς σοφίας, καὶ συλλαβαῖς ἀκολουθεῖς, ἀφεὶς τὰ πράγματα; εἰ δέ σου τὰ δὶς πέντε λέγοντος, ἢ τὰ δὶς ἑπτά, τὰ δέκα συνῆγον, ἢ τὰ τεσσαρεσκαίδεκα ἐκ τῶν λεγομένων, ἢ ἐκ τοῦ ζῶον λογικὸν θνητὸν τὸν ἄνθρωπον· ἆρα ἄν σοι ληρεῖν ἐδόκουν; καὶ πῶς, τὰ σὰ λέγων; οὐ γὰρ τοῦ λέγοντος μᾶλλον οἱ λόγοι, ἢ τοῦ λέγειν συναναγκάζοντος. ὥσπερ οὖν ἐνταῦθα οὐκ ἂν τὰ λεγόμενα μᾶλλον ἐσκόπουν, ἢ τὰ νοούμενα, οὕτως οὐδὲ εἴ τι ἄλλο τῶν μὴ λεγομένων, ἢ μὴ σαφῶς ἐκ τῆς γραφῆς, νοουμένων δ' εὕρισκον, ἔφυγον ἂν τὴν ἐκφώνησιν, φοβούμενος σὲ τὸν συκοφάντην τῶν ὀνομάτων. οὕτω μὲν οὖν στησόμεθα πρὸς τοὺς ἐξ ἡμισείας εὐγνώμονας. σοὶ γὰρ οὐδὲ τοῦτο ἔξεστι λέγειν. ὁ γὰρ τὰς τοῦ υἱοῦ προσηγορίας, οὕτως ἐναργεῖς οὔσας καὶ τοσαύτας ἀρνούμενος, οὐδ' ἂν ταύτας ᾐδέσθης δηλονότι, κἂν εἰ πολλῷ σαφεστέρας ἢ πλείους ἐγίνωσκες. ἤδη δὲ καὶ τὴν αἰτίαν ἀναλαβὼν τῆς πάσης ἐπικρύψεως, καίπερ σοφοῖς οὖσιν ὑμῖν βραχύ τι τοῦ λόγου ἀναγαγών. δύο γεγόνασι μεταθέσεις βίων ἐπιφανεῖς, ἐκ τοῦ παντὸς αἰῶνος, αἳ καὶ δύο διαθῆκαι καλοῦνται, καὶ σεισμοὶ γῆς, διὰ τὸ τοῦ πράγματος περιβόητον. ἡ μὲν ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν νόμον, ἡ δὲ ἀπὸ τοῦ νόμου πρὸς τὸ εὐαγγέλιον. καὶ τρίτον σεισμὸν εὐαγγελιζόμεθα, τὴν ἐντεῦθεν ἐπὶ τὰ ἐκεῖσε μετάστασιν, τὰ μηκέτι κινούμενα, μηδὲ σαλευόμενα. ταυτὸν δὲ αἱ δύο διαθῆκαι πεπόνθασι. τί τοῦτο; οὐκ ἀθρόως μετεκινήθησαν, οὐδὲ ὁμοῦ τῇ πρώτῃ κινήσει τῆς ἐγχειρήσεως. τίνος ἕνεκα; εἰδέναι γὰρ ἀναγκαῖον, ἵνα μὴ βιασθῶμεν, ἀλλὰ πεισθῶμεν. τὸ μὲν γὰρ ἀκούσιον, οὐδὲ μόνιμον. ὥσπερ αἱ βίᾳ κατεχόμεναι τῶν ῥευμάτων, ἢ τῶν φυτῶν. τὸ δὲ ἑκούσιον, μονιμώτερόν τε καὶ ἀσφαλέστερον· καὶ τὸ μὲν τοῦ βιασαμένου, τὸ δὲ ἡμέτερον· καὶ τὸ μὲν ἐπιεικείας θεοῦ, τὸ δὲ τυραννικῆς ἐξουσίας. οὔκουν ᾤετο δεῖν ἄκοντας εὖ ποιεῖν, ἀλλ' ἑκόντας εὐεργετεῖν. διὰ τοῦτο

παιδαγω-

παιδαγωγικῶς τε καὶ ἰατρικῶς, τὸ μὲν ὑφαιρεῖ τῶν πατρίων, τὸ δὲ συγχωρεῖ, μικρόν τι τῶν πρὸς ἡδονὴν ἐνδιδούς. ὥσπερ οἱ ἰατροὶ τοῖς ἀῤῥωστοῦσιν, ἵνα ἡ φαρμακεία παραδεχθῇ, διὰ τῆς τέχνης φαρματτομένη τοῖς χρηστοτέροις. οὐ γὰρ ῥάστη τῶν ἐν ἔθει καὶ τῷ μακρῷ χρόνῳ τετιμημένων ἡ μετάθεσις. λέγω δὲ τί; ἡ πρώτη τὰ εἴδωλα περιέκοψε, τὰς θυσίας συγχωρήσασα. ἡ δευτέρα τὰς θυσίας περιελοῦσα, τὴν περιτομὴν οὐκ ἐκώλυσεν. εἶτα ὡς ἅπαξ ἐδέξαντο τὴν ὑφαίρεσιν, καὶ τὸ συγχωρηθὲν συνεχώρησαν· οἱ μὲν τὰς θυσίας, οἱ δὲ τὴν περιτομήν. καὶ γεγόνασιν, ἀντὶ μὲν ἐθνῶν, Ἰουδαῖοι· ἀντὶ δὲ τούτων χριστιανοί, ταῖς κατὰ μέρος μεταθέσεσι κλαπέντες ἐπὶ τὸ εὐαγγέλιον. πειθέτω σε τοῦτο Παῦλος, ἐκ τοῦ περιτέμνειν καὶ ἁγνίζεσθαι, προελθὼν ἐπὶ τὸ λέγειν. ἐγὼ δὲ ἀδελφοί, εἰ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι; ἐκεῖνο τῆς οἰκονομίας, τοῦτο τῆς τελειότητος. τούτῳ τὸ τῆς θεολογίας ἀπεικάζειν ἔχω, πλὴν ὅσον ἐκ τῶν ἐναντίων. ἐκεῖ μὲν γὰρ ἐκ τῶν ὑφαιρέσεων ἡ μετάθεσις. ἐνταῦθα δὲ διὰ τῶν προσθηκῶν ἡ τελείωσις. ἔχει γὰρ οὕτως, ἐκήρυσσε φανερῶς ἡ παλαιὰ τὸν πατέρα, τὸν υἱὸν ἀμυδρότερον. ἐφανέρωσεν ἡ καινὴ τὸν υἱόν, ὑπέδειξε τοῦ πνεύματος τὴν θεότητα, ἐμπολιτεύεται νῦν τὸ πνεῦμα, σαφεστέραν ἡμῖν παρέχον τὴν ἑαυτοῦ δήλωσιν. οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τοῦ πατρὸς θεότητος ὁμολογηθείσης, τὸν υἱὸν ἐκδήλως κηρύττεσθαι· μηδὲ τῆς τοῦ υἱοῦ παραδεχθείσης, τὸ πνεῦμα τὸ ἅγιον, ἵν' εἴπω τι καὶ τολμηρότερον ἐπιφορτίζεσθαι. μὴ καθάπερ τροφῇ τῇ ὑπὲρ δύναμιν βαρηθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσι. ταῖς δὲ κατὰ μέρος προσθήκαις, καὶ ὡς εἶπε Δαβίδ, ἀναβάσεσι, καὶ ἐκ δόξης εἰς δόξαν προόδοις, καὶ προκοπαῖς, τὸ τῆς τριάδος φῶς ἐκλάμψῃ τοῖς λαμπροτέροις. διὰ ταύτην οἶμαι τὴν αἰτίαν, καὶ τοῖς μαθηταῖς κατὰ μέρος ἐπιδημεῖ, τῇ τῶν δεχομένων δυνάμει παραμετρούμενον, ἐν ἀρχῇ τοῦ εὐαγγελίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον, τὰς δυνάμεις ἐπιτελοῦν, ἐμφυσώμενον, ἐν γλώσσαις πυρίναις φαινόμενον. καὶ ὑπὸ Ἰησοῦ κατ' ὀλίγον ἐκφαίνεται, ὡς ἐπιστήσεις καὶ αὐτὸς ἐντυγχάνων ἐπιμελέστερον. ἐρωτήσω, φησὶ, τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν τὸ πνεῦμα τῆς ἀληθείας, ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ τις, καὶ ὡς ἀπ' ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους. εἶτα πέμψει μέν, ἐν δὲ τῷ ὀνόματί μου. τὸ ἐρωτήσω παρείς, τὸ πέμψει τετήρηκεν. εἶτα πέμψω, τὸ οἰκεῖον ἀξίωμα. εἶτα ἥξει, ἡ τοῦ πνεύματος ἐξουσία. ὁρᾷς φωτισμοὺς κατὰ μέρος ἡμῖν ἐλλάμποντας, καὶ τάξιν θεολογίας, ἣν καὶ ἡμᾶς τηρεῖν ἄμεινον· μήτε ἀθρόως ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας. τὸ μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον· καὶ τὸ μὲν τοὺς ἀλλοτρίους πλῆξαι δυνάμενον, τὸ δὲ ἀλλοτριῶσαι τοὺς ἡμετέρους. ὃ δὲ ἴσως μὲν ἦλθεν ἤδη τισὶν ἐπὶ νοῦν καὶ τῶν ἄλλων, ἐγὼ δὲ τῆς ἐμαυτοῦ διανοίας ὑπολαμβάνω καρπόν, προσθήσω τοῖς εἰρημένοις. ἦν τινὰ τῷ σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλατο μαθημάτων, ἃ μὴ δύνασθαι τότε βασταχθῆναι, τοῖς μαθηταῖς ἐλέγετο. δι' ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο. καὶ πάλιν, πάντα διδαχθήσεσθαι ἡμᾶς ὑπὸ τοῦ πνεύματος ἐνδημήσαντος. τούτων ἓν εἶναι νομίζω, καὶ αὐτὴν τοῦ πνεύματος τὴν θεότητα τρανουμένην εἰς ὕστερον, ὡς τηνικαῦτα ὡρίμου καὶ χωρητῆς ἤδη τυγχανούσης τῆς γνώσεως, μετὰ τὴν τοῦ σωτῆρος ἀποκατάστασιν, οὐκέτι ἀπιστουμένου τῷ θαύματι. τί γὰρ ἂν τούτου μεῖζον, ἢ ἐκεῖνος ὑπέσχετο, ἢ τὸ πνεῦμα ἐδίδαξεν; εἴπερ τι μέγα οἴεσθαι χρὴ, καὶ θεοῦ μεγαλοπρεπείας ἄξιον, τὸ ὑπισχνούμενον, ἢ τὸ διδασκόμενον. ἔχω μὲν οὖν περὶ τούτων, καὶ ἔχοιμι. καὶ ὅς τις ἐμοὶ φίλος, σέβειν θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν τὸ πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν δόξῃ, καὶ τιμῇ, καὶ οὐσίᾳ, καὶ βασιλείᾳ μὴ μεριζομένην, ὥς τις τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησεν. ἢ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, ὥς φησιν ἡ γραφή, μηδὲ δόξαν τῆς ἐκεῖθεν λαμπρότητος, ὅς τις οὐχ οὕτως ἔχει, ἢ συμφέρεται τοῖς καιροῖς, ἄλλοτε ἄλλος γινόμενος, καὶ περὶ τῶν μεγίστων σαθρῶς βουλευόμενος. εἰ μὲν γὰρ οὐ προσκυνητόν, πῶς ἐμὲ θεοῖ διὰ τοῦ βαπτίσματος; εἰ δὲ προσκυνητόν, πῶς οὐ σεπτόν; εἰ δὲ σεπτόν, πῶς οὐ θεός; ἓν ἤρτηται τοῦ ἑνός, ἡ χρυσῆ τις ὄντως σειρὰ καὶ σωτήριος. καὶ παρὰ μὲν τοῦ πνεύματος ἡμῖν ἡ ἀναγέννησις. παρὰ δὲ τῆς ἀναγεννήσεως, ἡ ἀνάπλασις· παρὰ δὲ τῆς ἀναπλάσεως, ἡ ἐπίγνωσις τῆς ἀξίας τοῦ ἀναπλάσαντος. ταῦτα μὲν οὖν εἴποι τις ἄν, τὸ ἄγραφον ὑποτιθέμενος, ἤδη δὲ ἥξει σοι, καὶ ὁ τῶν μαρτυριῶν ἐσμός. ἐξ ὧν ὅτι καὶ λίαν ἔγγραφος ἡ τοῦ πνεύματος θεότης ἐπιδειχθήσεται, τοῖς μὴ λίαν σκαιοῖς, μηδὲ ἀλλοτρίοις τοῦ πνεύματος. σκόπει δὲ οὕτως, γεννᾶται Χριστός, προτρέχει, βαπτίζεται, μαρτυρεῖ, πειράζεται, ἀνάγει, δυνάμεις ἐπιτελεῖ, συμπαρομαρτεῖ, ἀνέρχεται, διαδέχεται. τί γὰρ οὐ δύναται τῶν μεγάλων, καὶ ὧν θεός; τί δὲ οὐ προσαγορεύεται, ὧν θεός, πλὴν ἀγεννησίας καὶ γεννήσεως; ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι πατρὶ, καὶ υἱῷ, ἵνα μὴ σύγχυσις ᾖ παρὰ τῇ θεότητι, τῇ καὶ τἆλλα εἰς τάξιν ἀγού-

σι καὶ ἀκοσμίαν. ἐγὼ μὲν φρίττω τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν, οἱ τῷ πνεύματι ἀντιπίπτοντες. πνεῦμα θεοῦ λέγεται, πνεῦμα χριστοῦ, νοῦς χριστοῦ, πνεῦμα κυρίου, αὐτοκύριος. πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας. πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου θεοῦ. καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν, ἀγαθὸν, εὐθὲς, ἡγεμονικὸν, φύσει, οὐ θέσει ἁγιάζον, οὐχ ἁγιαζόμενον· μετροῦν, οὐ μετρούμενον· μετεχόμενον, οὐ μετέχον· πληροῦν, οὐ πληρούμενον· συνέχον, οὐ συνεχόμενον· κληρονομούμενον, δοξαζόμενον, συναριθμούμενον, ἐπαπειλούμενον, δάκτυλος θεοῦ, πῦρ ὡς θεὸς, εἰς ἔμφασιν οἶμαι τοῦ ὁμοουσίου. πνεῦμα τὸ ποιῆσαν, τὸ ἀνακτίζον διὰ βαπτίσματος, δι' ἀναστάσεως. πνεῦμα τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον ὅπου βούλεται καὶ ὅσον, ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον, παροξυνόμενον, πειραζόμενον, ἀποκαλυπτικὸν, φωτιστικόν. μᾶλλον δὲ αὐτοφῶς καὶ ζωὴ, ναοποιοῦν, θεοποιοῦν, τελειοῦν, ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα, ἐνεργοῦν ὅσα θεὸς, μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα, ποιοῦν ἀποστόλους, προφήτας, εὐαγγελιστὰς, ποιμένας, καὶ διδασκάλους, νοερὸν, πολυμερὲς, σαφὲς, τρανὸν, ἀμόλυντον, ἀκώλυτον. ὃ ταὐτὸν ἴσον δύναται, τὸ σοφώτατον καὶ πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων, καὶ τρανωτικὸν, καὶ αὐτεξούσιον, καὶ ἀναλλοίωτον, παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων. ἀγγελικῶν, οἶμαι, δυνάμεων, ὥσπερ καὶ προφητικῶν, καὶ ἀποστολικῶν, κατὰ ταὐτὸν, καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις, ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραπτον. οἱ ταῦτα λέγοντες καὶ διδάσκοντες, καὶ πρός γε ἄλλον παράκλητον οἷον ἄλλον θεὸν ὀνομάζοντες, οἱ τὴν εἰς αὐτὸ βλασφημίαν μόνην εἰδότες ἀσυγχώρητον, οἱ τὸν ἀνανίαν καὶ τὴν σάπφειραν οὕτω φοβερῶς στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ πνεῦμα τὸ ἅγιον, ὡς θεὸν ψευσαμένους, οὐκ ἄνθρωπον. οὗτοι τί σοι δοκοῦσι, πότερον θεὸν τὸ πνεῦμα κηρύσσειν ἢ ἄλλο τι; ὡς λίαν ὄντως παχύς τις εἶ καὶ πόῤῥω τοῦ πνεύματος, εἰ τοῦτ' ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος. αἱ μὲν οὖν κλήσεις τοσαῦται, καὶ οὕτως ἔμψυχοι. τί γὰρ δεῖ σοι τὰ ἐπὶ τῶν ῥημάτων μαρτύρια παρατίθεσθαι; ὅσα δὲ καὶ ἐνταῦθα λέγεται ταπεινότερον, τὸ δίδοσθαι, τὸ ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπὲρ αὐτοῦ πτῆξις, εἴτε τι ἄλλο τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἐπὶ τὴν πρώτην αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, καὶ μὴ τρεῖς ἀρχαὶ μεμερισμέναι πολυθέως παραδεχθῶσιν. ἴσον γὰρ εἰς ἀσέβειαν, καὶ σαβελλίως συναλεῖψαι, καὶ ἀρειανῶς διαστῆσαι. τὸ μὲν τῷ προσώπῳ, τὸ δὲ ταῖς φύσεσιν. ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔχω ᾧτινι χρὴ τῶν κάτω τὴν θείαν φύσιν παραβαλεῖν. καὶ γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει με τὸ πλέον, ἀφεὶς κάτω μετὰ τοῦ παραδείγματος, ὀφθαλμόν τινα καὶ πηγὴν καὶ ποταμὸν, ἐνενόησα. καὶ γὰρ καὶ ἄλλοι, μὴ τῷ μὲν ὁ πατὴρ, τῷ δὲ ὁ υἱὸς, τῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀναλογῇ ἔχῃ. ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέῤῥηκται τῇ συνεχείᾳ. καὶ δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι. ἀλλ' ἔδεισα πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχουσαν. δεύτερον δὲ μὴ τὸ ἓν κατ' ἀριθμὸν διὰ τῆς εἰκόνος ταύτης εἰσάγηται. ὀφθαλμὸς γὰρ καὶ πηγὴ καὶ ποταμὸς, ἓν ἐστὶν ἀριθμῷ, διαφόρως σχηματιζόμενα. πάλιν ἥλιον ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς. ἀλλὰ κἀνταῦθα δέος, πρῶτον μὲν, μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ. δεύτερον δὲ, μὴ τὴν πατρὸς μὲν οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις θεοῦ ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. οὔτε γὰρ ἀκτὶς, οὔτε φῶς, ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι καὶ ποιότητες οὐσιώδεις. καὶ ἅμα τὸ εἶναι καὶ τὸ μὴ εἶναι τῷ θεῷ, δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ παραδείγματος, ὃ καὶ τῆς ἐρημίας ἀτοπώτερον. ἤκουσα δέ τινος καὶ τοιοῦτον ὑπογράφοντος λόγον, μαρμαρυγήν τινα ἡλιακὴν τοίχῳ προσαστράπτουσαν καὶ περιτρέμουσαν ἐξ ὑδάτων κινήσεως, ἣν ἡ ἀκτὶς ὑπολαβοῦσα διὰ τοῦ ἐν μέσῳ ἀέρος, εἶτα σχεθεῖσα ὑπὸ τοῦ ἀντιτύπου, παλμὸς ἐγένετο καὶ παράδοξος. ἅλλεται γὰρ πολλαῖς καὶ πυκναῖς ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον ἢ πολλὰ, οὐδὲ πολλὰ μᾶλλον ἢ ἓν, τῷ τάχει τῆς συνόδου καὶ τῆς διαστάσεως, πρὶν ὄψει κρατηθῆναι διαδιδράσκουσα. ἀλλ' οὐδὲ τοῦτο θέσθαι δυνατὸν ἐμοί. δι' ἓν μὲν, ὅτι τὴν μὲν τὸ κινῆσαν καὶ πάνυ δῆλον, θεοῦ δὲ οὐδὲν πρεσβύτερον, ἵν' ᾖ τι τὸ ἐκείνου κινητικός. αὐτὸς μὲν γὰρ πάντων αἰτία· αἰτίαν δὲ πρεσβυτέραν οὐκ ἔχει. δεύτερον δὲ ὅτι κἀνταῦθα, τὴν αὐτὴν ὑπόνοιαν, συνθέσεως, χύσεως, ἀστάτου καὶ οὐ παγίας φύσεως. ὧν οὐδὲν ἐννοητέον περὶ θεότητος. καὶ ὅλως οὐδέν ἐστιν ὅ μοι τὴν διάνοιαν ἵστησιν ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον, πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ἐπ' εὐγνωμοσύνης.

[illegible], τὰ λοιπὰ ῥίψον. τέλος οὖν ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι καὶ τὰς σκιὰς, ὡς ἀπατηλὰς, καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεούσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ πνεύματι χρώμενον, ἣν ἐκεῖθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος διαφυλάττοντα, ὡς γνήσιον κοινωνὸν καὶ συνόμιλον, τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα, καὶ τοὺς ἄλλους πείθειν εἰς δύναμιν, προσκυνεῖν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν μίαν θεότητά τε καὶ δύναμιν. ὅτι αὐτῷ πᾶσα δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΠΡΟΣ ΝΕΚΤΑΡΙΟΝ ΕΠΙΣΚΟΠΟΝ κωνσταντίνου πόλεως.

Οἰκε τὴν παροῦσαν ζωὴν ἐπιλελοιπέναι καθόλου ἡ τοῦ θεοῦ κηδεμονία, ἣ ἐν τοῖς πρὸ ἡμῶν χρόνοις, τὰς ἐκκλησίας φυλάττουσα. καί μοι τοσοῦτον βεβάπτισται ὑπὸ συμφορῶν ἡ ψυχὴ, ὥστε τὰ μὲν ἴδια τῆς ἐμῆς ζωῆς ἀλγεινὰ, μηδὲ ἐν κακοῖς εἶναι λογίζεσθαι, τοσαῦτα καὶ τηλικαῦτα ὄντα, ὡς μὴ ἂν ἑτέρῳ τινὶ συμβαίντα, φορητὰ εἶναι νομισθῆναι· πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν ἐκκλησιῶν πάθη, ὧν εἰ μή γένοιτό τις ἐν τῷ παρόντι καιρῷ σπουδὴ πρὸς διόρθωσιν, εἰς παντελῆ ἀνελπιστίαν κατὰ μικρὸν προελεύσεται. οἱ τῆς Ἀρείου ἤτοι Εὐδοξίου αἱρέσεως, οὐκ οἶδα τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παρρησίας ἐπειλημμένοι, τὴν νόσον ἑαυτῶν ἐκπομπεύουσιν, ἐκκλησίας συνάγοντες, ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες. οἱ δὲ κατὰ Μακεδόνιον δοξάζοντες, εἰς τοσοῦτον προεληλύθασιν ἀνοίας, ὡς καὶ ὄνομα ἐπισκόπου ἑαυτοῖς ἐπιφημίζοντες, τοῖς καθ' ἡμᾶς τόποις ἐπιπολάζειν τὸν Ἐλεύσιον, ταῖς χειροτονίαις αὐτῶν ἐπιθρυλλοῦντες. τὸ δὲ ἐγκόλπιον ἡμῶν κακὸν ὁ Εὐνόμιος, οὐκ ἔτι ἀγαπᾷ τὸ ὁπωσοῦν εἶναι· ἀλλ' εἰ μὴ πάντας τῇ ἑαυτοῦ ἀπωλείᾳ συνεφελκύσαιτο, ζημίαν κρίνει. καὶ ταῦτα μὲν φορητά. τὸ δὲ πάντων χαλεπώτατον ἐν ταῖς ἐκκλησιαστικαῖς συμφοραῖς, ἡ τῶν Ἀπολιναριστῶν ἐστὶ παρρησία. οὓς οὐκ οἶδα πῶς παρεῖδεν ἡ ὁσιότης σου, ἴσον ἑαυτοῖς, τοῦ συνάγειν ὁμοτίμως ἡμῖν ἐξουσίαν. πάντως μὲν οὖν διὰ πάντων κατὰ τὴν θείαν χάριν τὰ θεῖα πεπαιδευμένος μυστήρια, οὐ μόνοις τὴν τοῦ ὀρθοῦ λόγου συνηγορίαν ἐπίστασαι, ἀλλὰ κἀκεῖνα ὅσα παρὰ τῶν αἱρετικῶν κατὰ τῆς ὑγιαινούσης ἐπινοεῖται πίστεως. ὅμως δὲ καὶ παρὰ τῆς βραχύτητος ἡμῶν, οὐκ ἄκαιρον ἴσως ἀκοῦσαί σου τὴν σεμνότητα, ὅτι μοι πυκτίον ἦλθεν ἐν χερσὶ τοῦ Ἀπολιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα, πᾶσαν αἱρετικὴν κακίαν παρέρχεται. διαβεβαιοῦται γὰρ, μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν ὑπὸ τοῦ μονογενοῦς υἱοῦ προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι, καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν εἰς μαρτυρίαν, τῆς τοιαύτης ἀτοπίας, προβάλλεται λέγων, ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου· ὡς καὶ πρὶν τοῦ κατελθεῖν αὐτὸν υἱὸν ἀνθρώπου εἶναι, καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα, ἐκείνην, ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε, προαιώνιόν τινα καὶ συνουσιωμένην. λέγει γὰρ πάλιν ἀποστολικήν τινα ῥῆσιν τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀποκνίσας, ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα, τὸν νοῦν μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ μονογενοῦς τὴν τοῦ νοῦ φύσιν ἀναπληρώσασαν, μέτρον γενέσθαι τοῦ ἀνθρωπίνου συγκρίματος, τὸ τριτημόριον ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον ἐν αὐτῷ ὄντων. νοῦ δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ θεοῦ λόγου ἀναπληροῦντος. καὶ οὔπω τοῦτο δεινὸν, ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ θεὸν, τὸν κριτὴν τῶν πάντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ θανάτου, θνητὸν εἶναι κατασκευάζει, καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι πάθος δέξασθαι, καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος, καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι, καὶ οὕτω πάλιν ὑπὸ τοῦ πατρὸς πάλιν, ἀπὸ τοῦ θανάτου διαναστῆναι. τὰ δ' ἄλλα ὅσα προστίθησι ταῖς τοιαύταις ἀτοπίαις μακρὸν ἂν εἴη διεξιέναι. εἰ τοίνυν οἱ τοιαῦτα φρονοῦντες τοῦ συνάγειν γίνονται, σκοπείτω σου ἡ ἐν χριστῷ εὐδόκιμος φρόνησις. ὅτι μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι, τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν συνάξεως, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀληθεστέραν τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι. εἰ γὰρ ὡς εὐσεβοῦντες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι, καὶ κηρύττειν ἐν παρρησίᾳ τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται, δῆλον ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας

λόγος, ὡς τῆς ἀληθείας παρ' αὐτῷ οὔσης. δύο γὰρ οἱ ἀντικείμενοι λόγοι περὶ τοῦ αὐτοῦ πρά-
γματος ἀληθεῖς εἶναι, φύσιν οὐκ ἔχει. πῶς οὖν ὑπομενεῖ σου ἡ μεγαλοφυΐα, καὶ ὑψηλὴ διά-
νοια, μὴ χρήσασθαι τῇ συνήθει παρρησίᾳ, εἰς διόρθωσιν τοῦ τοσούτου κακοῦ. ἀλλ' εἰ καὶ
μὴ πρότερον τοῦτο γέγονε, νῦν γ' οὖν διαπραξάτω ἡ ἀμώμητός σου ἐπ' ἀρετῇ τελειότης, καὶ
διδαξάτω τὸν εὐσεβέστατον βασιλέα, ὅτι οὐδὲν κέρδος ἔσται τῆς λοιπῆς αὐτοῦ
περὶ τὰς ἐκκλησίας σπουδῆς, εἰ τὸ τοιοῦτο κακὸν ἐπὶ καθαι-
ρέσει τῆς ὑγιαινούσης πίστεως, διὰ τῆς παρρησίας
αὐτῶν κατισχύσει.

ΕΙΣ ΤΑ ΘΕΟΦΑΝΙΑ ΕΙΤ' ΟΥΝ ΓΕ-
νέθλια τοῦ σωτῆρος.

Χριστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ
γῆς, ὑψώθητε. ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. καὶ ἵν' ἀμφότερα συνελὼν
εἴπω, εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, διὰ τὸν ἐπουρά-
νιον, εἶτα ἐπίγειον. Χριστὸς ἐν σαρκί· τρόμῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε· τρόμῳ
διὰ τὴν ἁμαρτίαν, χαρᾷ διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ παρθένου· γυναῖ-
κες, παρθενεύετε, ἵνα Χριστοῦ γένησθε μητέρες. τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ
δοξάζει τὸν τελευταῖον; πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται, πάλιν Αἰ-
γύπτος σκότῳ κολάζεται, πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται. ὁ λαὸς, ὁ καθήμενος ἐν
σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγο-
νε τὰ πάντα καινά. τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παρατρέ-
χουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται, ὁ Μελχισεδὲκ συνάγεται, ὁ ἀμήτωρ ἀπάτωρ γίνεται· ἀ-
μήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον. νόμοι φύσεως καταλύονται. πληρωθῆναι
δεῖ τὸν ἄνω κόσμον. Χριστὸς κελεύει, μὴ ἀντιτείνωμεν. πάντα τὰ ἔθνη κροτήσατε χεῖ-
ρας, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. μετὰ
γὰρ σταυροῦ συνεπαίρεται, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς τοῦ πα-
τρὸς ἄγγελος. Ἰωάννης βοάτω, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. κἀγὼ βοήσομαι τῆς ἡμέ-
ρας τὴν δύναμιν· ὁ ἄσαρκος σαρκοῦται, ὁ λόγος παχύνεται, ὁ ἀόρατος ὁρᾶται, ὁ
ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος ἄρχεται, ὁ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου γίνεται, Ἰησοῦς
Χριστὸς, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Ἰουδαῖοι σκανδαλιζέσθωσαν, Ἕλ-
ληνες διαγελάτωσαν, αἱρετικοὶ γλωσσαλγείτωσαν. τότε πιστεύσουσιν, ὅταν ἴδωσιν εἰς
οὐρανὸν ἀνερχόμενον. εἰ δὲ μὴ τότε, ἀλλ' ὅταν ἐξ οὐρανοῦ ἐρχόμενον, καὶ ὡς κριτὴν
καθεζόμενον· ταῦτα μὲν ὕστερον, τὰ δὲ νῦν θεοφάνια ἡ πανήγυρις, εἴτ' οὖν γενέθλια.
λέγεται γὰρ ἀμφότερα δύο κειμένων προσηγοριῶν ἑνὶ πράγματι. ἐφάνη γὰρ θεὸς ἀν-
θρώποις διὰ γεννήσεως· τὸ μὲν ὢν, καὶ ἀεὶ ὢν ἐκ τοῦ ἀεὶ ὄντος, ὑπὲρ αἰτίαν καὶ λό-
γον (οὐδὲ γὰρ ἦν τοῦ λόγου λόγος ἀνώτερος) τὸ δὲ δι' ἡμᾶς, γινόμενος ὕστερον, ἵν' ὁ
τὸ εἶναι δεδωκὼς, καὶ τὸ εὖ εἶναι χαρίσηται. μᾶλλον δὲ ῥεύσαντας ἡμᾶς ἐκ τοῦ εὖ εἶναι διὰ κα-
κίαν, πρὸς αὐτὸ πάλιν ἐπαναγάγῃ διὰ σαρκώσεως. ὄνομα δὲ τῷ φανῆναι μὲν θεο-
φάνια, τῷ δὲ γεννηθῆναι γενέθλια. τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις, τοῦτο ἑορτάζομεν σή-
μερον, ἐπιδημίαν θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς θεὸν ἐκδημήσωμεν, ἢ ἐπανέλθω-
μεν. οὕτω γὰρ εἰπεῖν οἰκειότερον. ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυ-
σώμεθα. καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν Χριστῷ, καὶ
συγγενόμενοι, καὶ συσταυρούμενοι, καὶ συνθαπτόμενοι, καὶ συνανιστάμενοι. δεῖ γάρ με
παθεῖν τὴν καλὴν ἀντιστροφήν. καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ, οὕ-
τως ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα. οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερε-
περίσσευσεν ἡ χάρις. καὶ εἰ ἡ γεῦσις κατέκρινε, πόσῳ μᾶλλον τὸ Χριστοῦ πάθος ἐδικαίω-
σε; τοιγαροῦν ἑορτάζωμεν, μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερ-
κοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ δεσπότου· μὴ τὰ
τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως.
ἔσται δὲ τοῦτο πῶς; μὴ πρόθυρα στεφανώσωμεν, μὴ χοροὺς συστησώμεθα, μὴ κοσμήσωμεν
ἀγυιὰς, μὴ ὀφθαλμὸν ἑστιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐκθηλύνω-
μεν, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἁφῇ χαρισώμεθα ταῖς προχείροις εἰς κακίαν ὁδοῖς,
καὶ εἰσόδοις τῆς ἁμαρτίας. μὴ ἐσθῆτι μαλακισθῶμεν, ἁπαλῇ καὶ περιρρεούσῃ, καὶ

ὧν τὸ κάλλιστον, ἀχρηστία. μὴ λίθων διαυγείαις, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι τῶν ψευδομένων τὸ φυσικὸν κάλλος, καὶ κατὰ τῆς εἰκόνος ἐξευρημένων. μὴ κώμοις καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας οἶδα συνεζευγμένας. ἐπειδὴ κακῶν διδασκάλων κακὰ τὰ μαθήματα· μᾶλλον δὲ πονηρῶν σπερμάτων, πονηρὰ τὰ γεώργια. μὴ στιβάδας ὑψηλὰς πηξώμεθα σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως. μὴ τιμήσωμεν οἴνων τὰς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτέλειαν. μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον εἰσφορείτωσαν. οὕτω γὰρ ἐγὼ τιμᾶν οἶδα τρυφήν, μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾶν σπουδάζωμεν. ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττὸν, καὶ ὑπὲρ τὴν χρείαν. καὶ ταῦτα πεινώντων ἄλλων, καὶ δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος. ἀλλὰ ταῦτα μὲν Ἕλλησι παρῶμεν, καὶ ἑλληνικοῖς κόμποις, καὶ πανηγύρεσιν. οἳ καὶ θεοὺς ὀνομάζουσι κνίσαις χαίροντας, καὶ ἀκολούθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύουσι. πονηροὶ πονηρῶν δαιμόνων, καὶ πλάσται, καὶ μυσταγωγοί, καὶ μύσται τυγχάνοντες. ἡμεῖς δὲ, οἷς λόγος ὁ προσκυνούμενος, καὶ εἴ τι δεῖ τρυφᾶν, ἐν λόγῳ τρυφήσωμεν, καὶ θείῳ νόμῳ, καὶ διηγήμασι, τοῖς τε ἄλλοις, καὶ ἐξ ὧν ἡ παροῦσα πανήγυρις. ἵν᾽ οἰκεῖον ᾖ τὸ τρυφᾶν, καὶ μὴ πόρρω τοῦ συγκαλέσαντος. ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον, τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε, καὶ φιλοτίμως. ἵν᾽ εἰδῆτε πῶς δύναται τρέφειν ὁ ξένος τοὺς ἐγχωρίους, καὶ τοὺς ἀστικοὺς ὁ ἄγροικος, καὶ τοὺς τρυφῶντας ὁ μὴ τρυφῶν, καὶ τοὺς πλουσίᾳ λαμπροὺς, ὁ πένης τε καὶ ἀνέστιος. ἄρξομαι δὲ ἐντεῦθεν, καί μοι καθήρασθε, καὶ νοῦν, καὶ ἀκοὴν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα. ἐπειδὴ περὶ θεοῦ καὶ θεῖος ὁ λόγος, ἵν᾽ ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε σε ἐνδεᾶ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον. θεὸς ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται. μᾶλλον δὲ ἔστιν ἀεί. τὸ γὰρ ἦν, καὶ ἔσται, τοῦ καθ᾽ ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως. ὁ δὲ ὢν ἀεί. καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι. μήτε ἀρξάμενον, μήτε παυσόμενον. οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον. πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφούμενος, καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως. οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτὸν ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα. πρὶν κρατηθῆναι, φεύγοντος· καὶ πρὶν νοηθῆναι, διαδιδράσκοντος. τοσοῦτον περιλάμποντος ἡμῶν τὸ ἡγεμονικὸν, καὶ τοῦτο κεκαθαρμένον, ὅσον καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτό. τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον. τῷ δὲ ἀλήπτῳ, θαυμάζηται. θαυμαζόμενον δὲ, ποθῆται πλέον. ποθούμενον δὲ καθαίρῃ, καθαίροντας δὲ θεοειδεῖς ἐργάζηται. τοιούτοις δὲ γενομένοις ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος) θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. ἄπειρον οὖν τὸ θεῖον, καὶ δυσθεώρητον. καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον ἡ ἀπειρία. κἂν τις οἴηται τοῦ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. τί γὰρ ὂν, ἁπλῆς ἐστι φύσεως ἐπιζητήσωμεν. οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης. ἐπεὶ καὶ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι σύνθετον. διχῆ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις ἄπειρον) ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ θεοῦ φαντασίαις, τὸ ἐνταῦθα, ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν. ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον. ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητόν. ἀλλ᾽ ὅπερ ἡμῖν ὁ χρόνος ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰὼν, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. ταῦτά μοι περὶ θεοῦ πεφιλοσοφήσθω τανῦν. οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός. ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ᾽ οἰκονομία. θεοῦ δὲ ὅταν εἴπω, λέγω, πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος καταγνωσθῶμεν. ἢ διὰ τὴν μοναρχίαν ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν ἑλληνίζοντες. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. οὕτω μὲν οὖν τὰ ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶ ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα, ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται, κάλλιστά τε καὶ ὑψηλότατα. ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ᾽ ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι. ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα. τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος, πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους. καὶ τὸ ἐννόημα ἔργον ἦν λόγῳ συμπληρούμενον, καὶ πνεύματι τελειούμενον. καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ

οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ἢ ἔστιν ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακὸν, καὶ μόνην ἰσχύοντας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας. τὰ γὰρ ἐνταῦθα, δεύτερα ἐλλάμψεως. πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους, καὶ ὑπολαμβάνειν ταύτας, καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος. αἵ τε ὑπ' αὐτῷ ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι. οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ, καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὥς γε ἐμὲ γοῦν περὶ τούτων φιλοσοφεῖν, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον. καὶ οὗτός ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα, ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ παντὸς πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν. ἵνα δείξῃ, μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ παντάπασι ξένην ὑποστήσασθαι δυνατὸς ὤν. οἰκεῖον μὲν γὰρ θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί. ξένον δὲ παντάπασιν αἱ ὑπὸ τὴν αἴσθησιν, καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, αἱ παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. ἀλλὰ τί ταῦτα ἡμῖν; φαίη τις ἂν τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων, κέντει τὸν πῶλον ἐπὶ τὴν νύσσαν. τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. τοῦτο δὴ ποιῶ, καὶ ἀμικρὸν ἄνωθεν ἠρξάμην, ὑπὸ τοῦ πόθου καὶ τοῦ λόγου βιασθείς. νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ' ἀλλήλων διακεκριμένα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεσαν, καὶ τοῦ δημιουργοῦ λόγου τὸ μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύσιοι κήρυκες. οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος, καὶ ζῶον ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον. καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς, ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα. πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν. τὸ μὲν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην. τὸ δὲ, ἵνα πάσχῃ, καὶ πάσχων ὑπομιμνήσκηται, καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος. ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς Θεὸν νεύσει θεούμενον. εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μετρίως ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσοντος, καὶ αὖθις συνδήσοντος ὑψηλότερον. τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παρασχόντος τὰ σπέρματα. φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων, καὶ τῶν τελεωτέρων. γυμνὸν τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματός τε καὶ προβλήματος. τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς, καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. ὁ δὲ νόμος ἦν ἐντολὴ, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον. τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς. μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν. ἀλλὰ καλὸν μὲν ὂν εὐκαίρως μεταλαμβανόμενον. θεωρία γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς, τοῖς τὴν ἕξιν τελεωτέροις. οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις. ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα, φεῦ τῆς ἐμῆς ἀσθενείας· ἐμὴ γὰρ ἡ τοῦ προπάτορος· τῆς μὲν δοθείσης ἐντολῆς ἐπελάθετο, τῆς δὲ πικρᾶς γεύσεως ἡττήθη. ὁμοῦ τε τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ Θεοῦ, διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον. καὶ τοῦτο πρῶτον γινώσκει, τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ κρύπτεται. κερδαίνει μέντοι κἀνταῦθα τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακὸν, καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. οὕτω γὰρ ἐγὼ πείθομαι κολάζειν Θεόν. πολλοῖς δὲ παιδευθεὶς πρότερον, ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε, κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης,

ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν, τέλος ἰσχυροτέρου δεῖται φαρμάκου, ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀρρενομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως, ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει· τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ θεοῦ λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ ἀκίνητος σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ. καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος· κυηθεὶς μὲν ἐκ τῆς παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι. ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι. προελθὼν δὲ θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος· ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως. ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. καὶ ὁ πλουτίζων πτωχεύει. πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. καὶ ὁ πλήρης κενοῦται. κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. μεταλαμβάνει τῆς ἐμῆς σαρκός, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν. ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. τοῦτο τοῦ προτέρου θεοειδέστερον· τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον. πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς θεότητος λογισταί, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα; τοῦτο ἐγκαλεῖς θεῷ τὴν εὐεργεσίαν; διὰ τοῦτο μικρός, ὅτι διὰ σὲ ταπεινός; ὅτι πρὸς τὸ πεπλανημένον ἦλθεν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνούς, ἐφ' ὧν ἐθυσίαζες, καὶ πλανώμενον εὗρε, καὶ εὑρὼν ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον· καὶ λαβὼν ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν, καὶ ἀναχθὲν τοῖς μένουσι συνηρίθμησεν; ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι. καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας, ταπεινός; ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ πνεῦμα διὰ τοῦ ὕδατος. ταῦτα ἐγκαλεῖς τῷ θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα; ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύψασαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνανυψώσῃ τὴν κάτω νεύουσαν ὑπὸ τῆς ἁμαρτίας; ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ. τί τοῦτο; τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν. εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγείαν τοῖς κάμνουσι. καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος, κατὰ τὸν νόμον ἀνασώσηται. ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν. ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος. εἰ δὲ καὶ ὡς θεός, τί τοῦτο; τὴν εὐδοκίαν τοῦ πατρός, ἀποστολὴν εἶναι νόμισον, ἐφ' ἣν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. ἐπεὶ καὶ παραδίδοσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ πατρὸς καὶ ἀνειλῆφθαι. ἀλλὰ καὶ ἑαυτὸν ἀναστῆσαι καὶ ἀνεληλυθέναι πάλιν. ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις; καὶ ὅτι μὲν ἔπαθε λογίζῃ, ὅτι δὲ ἑκών, οὐ προστίθης; οἷα πάσχει καὶ νῦν ὁ λόγος. ὑπὸ μὲν τῶν ὡς θεὸς τιμᾶται καὶ συναλείφεται· ὑπὸ δὲ τῶν, ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. τίσιν ὀργισθῇ πλέον, μᾶλλον δὲ τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι; δεῖ καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν, τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. προσκόπτεις τῇ σαρκί; τοῦτο καὶ Ἰουδαῖοι. ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς, καὶ τὸ ἑξῆς σιωπήσομαι. ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε σύ, καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἐκεῖνοι τὴν τοῦ υἱοῦ προσηγορίαν, ὁμοτιμίας φωνὴν ἐνόμιζον.

ἐν ὁμίχλῃ. οὕτω γὰρ ἐλαύνοντα Θεὸν ᾔδεσαν. ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾷν (ἵν᾽ εἴπω τι καὶ γελοίως) ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονήρως καὶ ἀθέως. μικρὸν μὲν οὖν ὕστερον, ὄψει καὶ καθαιρόμενον Ἰησοῦν ἐν τῷ Ἰορδάνῃ, τὴν ἐμὴν κάθαρσιν. μᾶλλον δὲ ἁγιάζοντα τῇ καθάρσει τὰ ὕδατα (οὐ γὰρ δὴ αὐτὸς ἐδεῖτο καθαρσίου ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου) καὶ σχιζομένους τοὺς οὐρανοὺς, καὶ ὑπὸ τοῦ συγγενοῦς πνεύματος μαρτυρούμενον, καὶ πειραζόμενον, καὶ νικῶντα, καὶ ὑπὸ ἀγγέλων ὑπηρετούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ ζωοποιοῦντα νεκροὺς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον) καὶ δαίμονας ἀπελαύνοντα, τὰ μὲν δι᾽ ἑαυτοῦ, τὰ δὲ διὰ τῶν μαθητῶν, καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας, καὶ πεζεύοντα πέλαγος, καὶ προδιδόμενον, καὶ σταυρούμενον, καὶ συσταυροῦντα τὴν ἐμὴν ἁμαρτίαν, ὡς ἀμνὸν προσαγόμενον, καὶ ὡς ἱερέα προσάγοντα, ὡς ἄνθρωπον θαπτόμενον, καὶ ὡς Θεὸν ἐγειρόμενον. εἶτα καὶ ἀνερχόμενον, καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. πόσαι μοι πανηγύρεις καθ᾽ ἕκαστον τῶν τοῦ Χριστοῦ μυστηρίων; ὧν ἁπάντων κεφάλαιον ἓν, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις, καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος. νυνὶ δέ μοι δέξαι τὴν κύησιν, καὶ προσκίρτησον εἰ καὶ μὴ ὡς Ἰωάννης ἐκ γαστρὸς, ἀλλ᾽ ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ. καὶ τὴν ἀπογραφὴν αἰδέσθητι, δι᾽ ἣν εἰς οὐρανοὺς ἐγράφης. καὶ τὴν γέννησιν σεβάσθητι, δι᾽ ἣν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως. καὶ τὴν Βηθλεὲμ τίμησον τὴν μικρὰν, ἥ σε πρὸς τὸν παράδεισον ἐπανήγαγε. καὶ τὴν φάτνην προσκύνησον, δι᾽ ἧς ἄλογος ὢν ἐτράφης ὑπὸ τοῦ λόγου. γνῶθι ὡς βοῦς τὸν κτησάμενον (Ἡσαΐας διακελεύεταί σοι) καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ τὸν νόμον, καὶ μηρυκισμὸν ἀναπεμπτὴν τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτήδειος. εἴτε τῶν ἀκαθάρτων ἔτι, καὶ ἀβρώτων, καὶ ἀθύτων, καὶ τῆς ἐθνικῆς μερίδος. μετὰ τοῦ ἀστέρος δράμε, καὶ μετὰ μάγων δωροφόρησον, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, ὡς βασιλεῖ, καὶ ὡς Θεῷ, καὶ ὡς διὰ σὲ νεκρῷ. μετὰ ποιμένων δόξασον, μετὰ ἀγγέλων χόρευσον, μετὰ ἀρχαγγέλων ὕμνησον. ἔστω κοινὴ πανήγυρις, οὐρανίων καὶ ἐπιγείων δυνάμεων. πείθομαι γὰρ κἀκείνας συναγάλλεσθαι καὶ συμπανηγυρίζειν σήμερον, εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι. ὥσπερ ἃς Δαβὶδ εἰσάγει μετὰ τὸ πάθος συνανιούσας Χριστῷ, καὶ προσυπαντώσας καὶ διακελευομένας ἀλλήλαις τὰς πύλας ἐπαίρειν. ἓν μίσησον τῶν περὶ τὴν Χριστοῦ γέννησιν, τὴν Ἡρώδου παιδοκτονίαν. μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τὴν ἡλικιῶτιν Χριστοῦ θυσίαν, τοῦ καινοῦ σφαγίου προθυομένην. κἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι. καλὸν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. κἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου καλῶς ἐκεῖ προσκυνούμενον. διὰ πασῶν ὅδευσον ἀμέμπτως τῶν ἡλικιῶν Χριστοῦ, καὶ δυνάμεων. ὡς Χριστοῦ μαθητὴς ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἐκ γενέσεως κάλυμμα. μετὰ τοῦτο δίδαξον ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον. λιθάσθητι, εἰ τοῦτο δέοι παθεῖν, λήσεις τοὺς βάλλοντας εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσου αὐτῶν ὡς Θεός. ὁ λόγος γὰρ οὐ λιθάζεται. κἂν Ἡρώδῃ προσαχθῇς, μηδὲ ἀποκριθῇς τὰ πλείω. αἰδεσθήσεταί σου καὶ τὴν σιωπὴν πλέον, ἢ ἄλλων τοὺς μακροὺς λόγους. κἂν φραγελλωθῇς, καὶ τὰ λειπόμενα ζήτησον. γεῦσαι χολῆς, διὰ τὴν γεῦσιν. ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα. ἀκάνθαις στεφανώθητι, τῷ τραχεῖ τοῦ κατὰ Θεὸν βίου. περιβαλοῦ τὸ κόκκινον, δέξαι καὶ κάλαμον. προσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν. τέλος, συσταυρώθητι, συννεκρώθητι, συντάφηθι προθύμως, ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς, καὶ συμβασιλεύσῃς. Θεὸν ὁρῶν ὅσον ἐστὶ καὶ ὁρώμενος, τὸν ἐν Τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον. ὃν καὶ νῦν φανερωθῆναι ἡμῖν εὐχόμεθα ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκὸς, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ ΤΩΝ ΕΠΙΦΑΝΙΩΝ ΛΟΓΟΣ.

Πάλιν Ἰησοῦς ὁ ἐμὸς, καὶ πάλιν μυστήριον. μυστήριον, οὐκ ἀπατηλὸν, οὐδ᾽ ἄκοσμον, οὐδὲ τῆς Ἑλληνικῆς πλάνης ἢ μέθης· οὕτω γὰρ ἐγὼ καλῶ τὰ ἐκείνων σεμνά. οἶμαι δὲ καὶ τῶν εὖ φρονούντων ἕκαστος, ἀλλὰ μυστήριον ὑψηλόν τε, καὶ θεῖον, καὶ τῆς ἄνω λαμπρότητος πρόσφορον. ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα, εἰς ἣν ἀφίγμεθα, καὶ ἣν ἑορτάζειν ἠξιώμεθα σήμερον, ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ Χριστοῦ βάπτισμα λαμβάνει. τοῦ ἀληθινοῦ φωτὸς, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐνεργεῖ δὲ τὴν ἐμὴν κάθαρσιν, καὶ βοηθεῖ τῷ φωτὶ, ὃ παρ᾽ αὐτοῦ λαβόντες ἄνωθεν ἀπ᾽ ἀρχῆς ἐκ τῆς ἁμαρτίας, ἐζοφώσαμέν τε, καὶ συνεχέαμεν. τοιγαροῦν ἄκουσαι θείας φωνῆς, ἐμοὶ μὲν, καὶ λίαν σφοδρῶς ἐνηχούσης, τῷ μύστῃ καὶ μυ-

σταγωγῷ

σταγωγῇ τὴν τοιαύτην. ἐπεὶ δὲ καὶ ὑμῖν, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. καὶ διὰ τοῦτο προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ, τῷ ἀληθινῷ φωτὶ σημειούμενα. καιρὸς ἀναγεννήσεως, γεννηθῶμεν ἄνωθεν. καιρὸς ἀναπλάσεως. τὸν πρῶτον ἀδὰμ ἀναλάβωμεν. μὴ μείνωμεν ὅπερ ἐσμὲν, ἀλλ' ὅπερ ἦμεν γενώμεθα. τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, τῷ βίῳ τούτῳ, καὶ τῷ σαρκίῳ. καὶ ὑπὸ τῆς σκοτίας διώκεται μὲν, οὐ καταλαμβάνεται δὲ, τῆς ἀντικειμένης λέγω δυνάμεως, τῷ φαινομένῳ μὲν ἀδὰμ προσαναιδώσης ἐξ ἀναιδείας, τῷ θεῷ δὲ προσπταιούσης καὶ ἡττωμένης· ἵν' ἡμεῖς τὸ σκότος ἀποθέμενοι, τῷ φωτὶ πλησιάσωμεν. εἶτα καὶ φῶς γενώμεθα τέλειον, τελείου φωτὸς γεννήματα. ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν, ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν. οὐκ ἀπὸ γῆς ἤρθητε, οὐκ ἄνω τέθεισθε σαφῶς ὑψωθέντες ὑπὸ τῆς ἡμετέρας φωνῆς καὶ ἀναγωγῆς, καὶ ἔτι μᾶλλον τεθήσεσθε ἐπειδὰν εὐοδώσῃ τὸν λόγον ὁ λόγος, μή τις τοιαύτη κάθαρσις νομικὴ καὶ σκιώδης, προσκαίροις ῥαντίσμασιν ὠφελοῦσα, καὶ σποδῷ δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους; μή τι τοιοῦτον μυσταγωγοῦσιν ἕλληνες; ὧν λῆρος ἐμοὶ πᾶσα τελετὴ καὶ μυστήριον. δαιμόνων εὕρημα σκοτεινὸν, καὶ διανοίας ἀνάπλασμα κακοδαίμονος, χρόνῳ βοηθούμενον, καὶ μύθῳ κλεπτόμενον. ἃ γὰρ ὡς ἀληθῆ προσκυνοῦσιν, ὡς μυθικὰ συγκαλύπτουσιν. δέον, εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, ἀλλ' ὡς μὴ αἰσχρὰ δείκνυσθαι. εἰ δὲ ψευδῆ, μὴ θαυμάζεσθαι. μηδ' οὕτως ἰταμῶς ἐναντιωτάτας ἔχειν δόξας περὶ τοῦ αὐτοῦ πράγματος, ὥσπερ ἐν ἀγορᾷ μειρακίων παίζοντας. ἢ ἀνδρῶν κακοδαιμόνως ὡς ἀληθῶς, ἀλλ' οὐκ ἀνδράσι διαλεγομένων, νοῦν ἔχουσι καὶ λόγου προσκυνηταῖς, κἂν τὴν ἔντεχνον ταύτην, καὶ ξυμπεριττὴν πιθανότητα διαπτύωσιν. οὐ διὸς ταῦτα γοναὶ καὶ κλοπαὶ τοῦ κρητὸς τυράννου, κἂν ἕλληνες ἀπαρέσκωνται. οὐδὲ κουρήτων ἦχοι, καὶ κρότοι, καὶ ὀρχήσεις ἐνόπλιοι θεοῦ κλαίοντος ἠχὴν συγκαλύπτουσαι, ἵνα τὸν πατέρα λάθῃ μισοτεκνοῦντα. δεινὸν γὰρ ἦν ὡς παιδίον κλαυθμυρίζεσθαι, τὸν ὡς λίθον καταποθέντα. οὐδὲ φρυγῶν ἐκτομαὶ, καὶ αὐλοὶ καὶ κορύβαντες, καὶ ὅσα περὶ τὴν ῥέαν ἄνθρωποι μαίνονται τελοῦντες τῇ μητρὶ τῶν θεῶν καὶ τελούμενοι, ὅσα τῇ μητρὶ τῶν τοιούτων εἰκός. οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται, καὶ δημήτηρ πλανᾶται, καὶ κελεούς τινας ἐπεισάγει, καὶ τριπτολέμους, καὶ δράκοντας. καὶ τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει. αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν νυκτὸς τελετὴν, καὶ ποιεῖν τὴν ἀσχημοσύνην μυστήριον. οἶδεν ἐλευσὶς ταῦτα, καὶ οἱ τῶν σιωπωμένων, καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται. οὐδὲ διόνυσος ταῦτα, καὶ μηρὸς ὠδίνων ἀτελὲς κύημα, ὥσπερ ἄλλο τι κεφαλὴ πρότερον. καὶ θεὸς ἀνδρόγυνος, καὶ χορὸς μεθυόντων, καὶ στρατὸς ἔκλυτος, καὶ θηβαίων ἄνοια τοῦτον τιμῶσα, καὶ σεμέλης κεραυνὸς προσκυνούμενος. οὐδ' ἀφροδίτης πορνικὰ μυστήρια, τῆς αἰσχρῶς ὡς αὐτοὶ λέγουσι, καὶ γεννωμένης καὶ τιμωμένης. οὐδὲ φαλλοί τινες, καὶ ἰθύφαλλοι, αἰσχροὶ καὶ τοῖς σχήμασι, καὶ τοῖς πράγμασιν. οὐδὲ ταύρων ξενοκτονίαι, καὶ λακωνικῶν ἐφήβων ἐπιβώμιον αἷμα, ξαινομένων ταῖς μάστιξι. καὶ τοῦτο μόνον κακῶς ἀνδριζομένων, οἷς τιμᾶται θεὰ καὶ ταῦτα παρθένος. οἱ γὰρ αὐτοὶ καὶ μαλακίαν ἐτίμησαν, καὶ θρασύτητα ἐσεβάσθησαν. ποῦ δὲ θήσεις τὴν πέλοπος κρεουργίαν, πεινῶντας θεοὺς ξενίζουσαν, καὶ φιλοξενίαν πικρὰν, καὶ ἀπάνθρωπον; ποῦ δὲ ἑκάτης τὰ φοβερὰ καὶ σκοτεινὰ φάσματα, καὶ τροφωνίου κατὰ γῆς παίγνια καὶ μαντεύματα; ἢ δωδωναίας δρυὸς ληρήματα; ἢ τρίποδος δελφικοῦ σοφίσματα; ἢ κασταλίας μαντικὸν πόμα, τοῦτο μόνον οὐ μαντευσάμενον τὴν ἑαυτοῦ σιωπήν. οὐδὲ μάγων θυτικὴ, καὶ πρόγνωσις ἔντομος. καὶ χαλδαίων ἀστρονομία καὶ γενεθλιαλογία, τῇ τῶν οὐρανίων κινήσει συμφέρουσα τὰ ἡμέτερα, τῶν μηδὲ ἑαυτοὺς ὅ τι ποτέ εἰσιν, ἢ ἔσονται γνῶναι δυναμένων. οὐδὲ θρακῶν ὄργια ταῦτα, παρ' ὧν καὶ τὸ θρησκεύειν ὡς λόγος. οὐδὲ ὀρφέως τελεταὶ καὶ μυστήρια, ὃν τοσοῦτον ἕλληνες ἐπὶ σοφίᾳ ἐθαύμασαν, ὥστε καὶ λύραν αὐτῷ ποιοῦσι πάντα τοῖς κρούμασιν ἕλκουσαν. οὐδὲ μίθρου κολάσεις ἔνδικοι, κατὰ τῶν μυεῖσθαι τὰ τοιαῦτα ἀνεχομένων. οὐδὲ ὀσίριδος σπαραγμοὶ, ἄλλη συμφορὰ τιμωμένη παρ' αἰγυπτίοις. οὐδὲ ἴσιδος ἀτυχήματα, καὶ τράγοι μενδησίων αἰδεσιμώτεροι καὶ ἄπιδος φάτνη, μόσχου κατατρυφῶντος τῆς μεμφιτῶν εὐηθείας. οὐδ' ὅσα τὸν νεῖλον ταῖς τιμαῖς καθυβρίζουσι, τὸν καρποδότην ὡς ἀνυμνοῦσιν αὐτοὶ καὶ ἀστάχυν, ὃς μετρεῖ τὴν εὐδαιμονίαν τοῖς πήχεσιν. ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμὰς, καὶ τὸ τῆς ἀσχημοσύνης φιλότιμον. ὧν καθ' ἕκαστον, ἰδία τις τελετὴ καὶ μυστήριον. καὶ κοινὸν τὸ τῆς κακοδαιμονίας ἐφ' ἅπασιν, ὡς εἴπερ ἀσεβεῖν αὐτοὺς ἔδει πάντως, καὶ τῆς τοῦ θεοῦ δόξης ἀποπεσεῖν εἰς εἴδωλα καὶ τετεχνευμένα καὶ τέχνης ἔργα, καὶ χειρῶν πλάσματα, μὴ ἂν ἄλλο τι κατ' αὐτὴν εὔξασθαι τοὺς γονίους ἔχοντας, ἢ τοιαῦτα σεβασθῆναι, καὶ οὕτω τιμηθῆναι. ἵνα τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης, ὥς φησι παῦλος, ἀπολαμβάνωσιν, ἐν οἷς σέβονται, οὐ μᾶλλον τιμῶντες,^

γρ. κρούσμασιν

γρ. εὔσταχυν

γρ. γε νόων

λ(είπει). δι' ἑαυτῶν τὰ σεβάσματα.

ἢ δι' ἐκείνων ἀτιμαζόμενοι, βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς εὐτελείας τῶν προσκυνουμένων καὶ σεβομένων· ἵνα καὶ αὐτῶν τῶν τιμωμένων ὦσιν ἀναισθητότεροι, τοσοῦτον τῶν ὑπερβάλλοντες ἀνοίᾳ, ὅσον εὐτελείᾳ τὰ προσκυνούμενα. ταῦτα μὲν οὖν παιζέτωσαν Ἑλλήνων παῖδες καὶ δαίμονες, παρ' ὧν ἐκείνοις ἡ ἄνοια· τὴν τοῦ θεοῦ τιμὴν εἰς ἑαυτοὺς μεθελκόντων, καὶ ἄλλων ἄλλως κατατεμνόντων εἰς αἰσχρὰς δόξας καὶ φαντασίας. ἀφ' οὗ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς, τῷ ξύλῳ τῆς γνώσεως οὐ κατὰ καιρὸν οὐδ' ἐπιτηδείως μεταληφθέντος, ὡς ἀσθενεστέρων ἤδη κατέδραμον, τὸ ἡγεμονικὸν συναρπάσαντες, καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες. οὐ γὰρ ἔφερον φύσει ὄντες φθονεροὶ καὶ μισάνθρωποι, μᾶλλον δὲ διὰ τὴν ἑαυτῶν κακίαν γενόμενοι, τοὺς κάτω τῆς ἄνω τυχεῖν, αὐτοὶ πεσόντες ἐπὶ γῆς ἄνωθεν. οὐδὲ ῥᾳδίαν τινὰ μετάστασιν γενέσθαι τῆς δόξης καὶ τῆς πρὸ τῆς φύσεως. τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος. διὰ τοῦτο ἡ εἰκὼν τοῦ θεοῦ καθυβρίσθη, καὶ καθὼς οὐκ ἐδοκιμάσαμεν φυλάξαι τὴν ἐντολήν, παρεδόθημεν τῇ αὐτονομίᾳ τῆς πλάνης. καὶ καθὼς ἐπλανήθημεν ἠτιμάσθημεν, ἐν οἷς ἐσεβάσθημεν. οὐ γὰρ τοῦτο μόνον δεινόν, τὸ ταπεινομένους ἐπ' ἀγαθοῖς ἔργοις, εἰς δόξαν καὶ ἔπαινον τοῦ πεποιηκότος, καὶ θεοῦ μίμησιν ὅσον ἐφικτόν, ὁρμητήρια γενέσθαι παντοίων παθῶν βοσκομένων κακῶς, καὶ δαπανώντων τὸν ἔσω ἄνθρωπον, ἀλλὰ καὶ θεοὺς ἵστασθαι συνηγόρους τοῖς πάθεσιν. ἵνα μὴ μόνον ἀνεύθυνον τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ θεῖον νομίζηται, εἰς τοιαύτην καταφεύγοντας ἀπολογίαν τὰ προσκυνούμενα. ἡμῖν δὲ ὥσπερ ἐχαρίσθη τὸ φυγεῖν τὴν δεισιδαίμονα πλάνην, μετὰ τῆς ἀληθείας γενέσθαι, καὶ δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ τὴν κτίσιν ὑπερβαίνειν, πάντα περάσασιν ὅσα ὑπὸ χρόνον καὶ ὑπὸ τὴν κίνησιν, οὕτω καὶ ἴδωμεν, καὶ φιλοσοφήσωμεν, τὰ περὶ θεοῦ καὶ τὰ θεῖα. φιλοσοφήσωμεν δέ, ἀρχόμενοι ὅθεν ἄρχεσθαι ἄμεινον. ἄμεινον δὲ ὅθεν Σολομὼν ἡμῖν ἐνομοθέτησεν, ἀρχὴ σοφίας, φησί, κτῆσαι σοφίαν. τί τοῦτο λέγων; ἀρχὴν σοφίας, τὸν φόβον. οὐ γὰρ ἀπὸ θεωρίας ἀρξαμένους, εἰς φόβον χρὴ καταλήγειν. θεωρία γὰρ ἀχάλινωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν, ἀλλὰ φόβῳ στοιχειουμένους καὶ καθαιρομένους, καὶ ἵν' οὕτως εἴπω λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι. οὗ τε φόβος, ἐντολῶν τήρησις. οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τῆς ἐπιπροσθούσης τῇ ψυχῇ νεφέλης, καὶ οὐκ ἐώσης καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα. οὗ δὲ κάθαρσις, ἔλλαμψις. ἔλλαμψις δὲ πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἢ τοῦ μεγίστου, ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις. διὰ τοῦτο καθαρτέον πρότερον, εἶτα τῷ καθαρῷ προσομιλητέον. εἴπερ μὴ μέλλοιμεν τὸ τοῦ Ἰσραὴλ πείσεσθαι μὴ φέροντος τὴν δόξαν τοῦ προσώπου Μωϋσέως, καὶ διὰ τοῦτο δεομένου καλύμματος, ἢ τὸ τοῦ Μανωὲ καὶ πείσεσθαι καὶ λέξειν, ἀπολώλαμεν ὦ γύναι, θεὸν ἑωράκαμεν, ἐν φαντασίᾳ θεοῦ γενομένου. ἢ ὡς Πέτρος τοῦ πλοίου τὸν Ἰησοῦν ἐκπέμψασθαι, ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας. Πέτρον δὲ ὅταν εἴπω, τίνα λέγω τὸν κατὰ κυμάτων πεζεύοντα. ἢ ὡς Παῦλος τὴν ὄψιν πληγήσεσθαι, πρὶν καθαρθῆναι τῶν διωγμῶν τῷ διωκομένῳ προσομιλήσας, μᾶλλον δὲ βραχείᾳ τοῦ μεγάλου φωτὸς λαμπηδόνι. ἢ ὡς ὁ ἑκατόνταρχος τὴν μὲν θεραπείαν ἐπιζητήσειν, τῇ οἰκίᾳ δὲ τὸν θεραπευτὴν οὐκ εἰσδέξασθαι διὰ δειλίαν ἐπαινουμένην. λεγέτω τις καὶ ἡμῶν ἕως οὔπω καθαίρεται, ἀλλ' ἐστὶν ἑκατόνταρχος ἐπὶ πλειόνων ἐν κακίᾳ κρατῶν, καὶ στρατεύεται Καίσαρι τῷ κοσμοκράτορι τῶν κάτω συρομένων· οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὅταν δὲ Ἰησοῦν θεάσηται, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν, ὡς Ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομορέαν ἀναβῇ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ ὑπεραναβὰς τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ εἰσδεχέσθω τὸν λόγον, καὶ ἀκουέτω, σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ. καὶ λαμβανέτω τὴν σωτηρίαν, καὶ καρποφορείτω τὰ τελειότερα, σκορπίζων καὶ διαχέων καλῶς, ἃ κακῶς ἐτελώνησεν. ὁ γὰρ αὐτὸς λόγος καὶ φοβερὸς τοῖς οὐκ ἀξίοις διὰ τὴν φύσιν, καὶ χωρητὸς διὰ φιλανθρωπίαν τοῖς οὕτως ἡτοιμασμένοις. ὡς οἱ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες, καὶ τὰς ἑαυτῶν ψυχὰς τῇ ἐπιγνώσει σαρώσαντες καὶ κοσμήσαντες, μηδὲ ἀργὴν, μηδὲ ἄπρακτον εἴασαν, ὥστε μηδὲ πλείονος τῆς παρασκευῆς αὖθις καταληφθῆναι ὑπὸ τῶν ἑπτὰ τῆς κακίας πνευμάτων, ὅσα καὶ τῆς ἀρετῆς ἀπηρίθμηται. τὸ γὰρ δυσμαχώτερον, πολυσπουδαστοτέρους. ἀλλὰ πρὸς τὸ φυγεῖν τὴν κακίαν, καὶ τὴν ἀρετὴν ἐργάζονται. ὅλον τὸν Χριστόν, ἢ ὅτι μάλιστα, ἑαυτοῖς εἰσοικίσαντες, ὥστε μηδενὶ κενῷ τὴν πονηρὰν δύναμιν ὁμιλήσασαν, ἑαυτῆς πάλιν πληρῶσαι καὶ γενέσθαι τὰ ἔσχατα χείρονα τῶν πρώτων. διὰ τὸ τῆς καταδρομῆς σφοδρότερον, καὶ τῆς φρουρᾶς ἀσφαλέστερον καὶ δυσαλωτότερον. ὅταν δὲ πάσῃ φυλακῇ τηρήσαντες τὴν ἑαυτῶν ψυχὴν, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθέμενοι, καὶ νεάσαντες ἑαυτοῖς νεώματα, καὶ σπείραντες εἰς δικαιοσύνην, ὡς Σολομῶντι καὶ Δαβίδ, καὶ Ἱερεμίᾳ δοκεῖ, φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως, τηνικαῦτα λαλῶμεν θεοῦ σοφίαν, ἐν

μυστηρίῳ

μυστηρίῳ τὴν ἀρχὴν κεκρυμμένην, καὶ τοῖς ἄλλοις ἐκλάμπωμεν. τέως δὲ καθαιρώμεθα καὶ προτελώμεθα τοῦ λόγου, ἵν' ὅτι μάλιστα ἡμᾶς αὐτοὺς εὐεργετῶμεν θεοειδεῖς ἐργαζόμενοι, καὶ ἥκοντα τὸν λόγον ὑποδεχόμενοι· οὐ μόνον δὲ, ἀλλὰ καὶ κρατοῦντες, καὶ τοῖς ἄλλοις προφαίνοντες. ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τὸ θέατρον, φέρε τι περὶ τῆς ἑορτῆς ἤδη φιλοσοφήσωμεν, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις καὶ φιλοθέοις ψυχαῖς. ἐπεὶ δὲ κεφάλαιον ἑορτῆς μνήμη θεοῦ, θεοῦ μνημονεύσωμεν. καὶ γὰρ τὸν ἐκεῖθεν τῶν ἑορταζόντων ἦχον, οὗ δὴ εὐφραινομένων πάντων ἡ κατοικία, οὐκ ἄλλο τι, ἢ τοῦτο εἶναι νομίζω, θεὸν ὑμνούμενόν τε καὶ δοξαζόμενον, τοῖς τῆς ἐκεῖσε πολιτείας ἠξιωμένοις. εἰ δέ τι τῶν ἤδη προειρημένων, ὁ νῦν ἕξει λόγος, θαυμαζέτω μηδείς. οὐ γὰρ τὰ αὐτὰ φθέγγομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν, φρίττων καὶ γλῶσσαν, καὶ διάνοιαν, ὅταν περὶ θεοῦ φθέγγωμαι, καὶ ὑμῖν ταὐτὸ τοῦτο συνεύχομαι, τὸ ἐπαινετὸν πάθος καὶ μακάριον. θεὸν δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισί. τρισὶ μὲν, κατὰ τὰς ἰδιότητας, εἴτ' οὖν ὑποστάσεις εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα (οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν) ἑνὶ δὲ, κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτ' οὖν θεότητος. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης καὶ τὰ τρία, τὰ ἐν οἷς ἡ θεότης. ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης. τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψομεν· οὔτε τὴν ἕνωσιν, σύγχυσιν ἐργαζόμενοι· οὔτε τὴν διαίρεσιν, ἀλλοτρίωσιν. ἀπέστω γὰρ ἡμῖν ἐξ ἴσου, καὶ ἡ σαβελλίου συναίρεσις, καὶ ἡ ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν. τί γὰρ δεῖ θεὸν, ἢ συναλείφειν κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα. ἡμῖν δὲ εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος ἰησοῦς χριστὸς, δι' οὗ τὰ πάντα. καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, τοῦ ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ μὴ φύσεις τεμνόντων. οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων, ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. καὶ τοῦτο δῆλον, ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν. εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τοῦ αὐτοῦ ἀποστόλου· ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. πατὴρ, ὁ πατὴρ, καὶ ἄναρχος· οὐ γὰρ ἔκ τινος. υἱὸς, ὁ υἱὸς, καὶ οὐκ ἄναρχος· ἐκ τοῦ πατρὸς γάρ. εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνοις ἀρχὴν, καὶ ἄναρχος. ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. πνεῦμα ἅγιον ἀληθῶς τὸ πνεῦμα, προϊὸν μὲν ἐκ τοῦ πατρὸς, οὐχ υἱικῶς δέ· οὐδὲ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. εἰ δεῖ τι καὶ καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας ἕνεκεν, οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν, οὔτε τοῦ υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου (πῶς γάρ) οὔτε τοῦ πνεύματος, ἢ εἰς πατέρα μεταπίπτοντος, ἢ εἰς υἱὸν, ὅτι ἐκπορεύεται, καὶ ὅτι θεὸς, κἂν μὴ δοκῇ τοῖς ἀθέοις. ἡ γὰρ ἰδιότης ἀκίνητος, ἢ πῶς ἂν ἰδιότης μένοι, κινουμένη καὶ μεταπίπτουσα. οἱ δὲ τὴν ἀγεννησίαν, καὶ τὴν γέννησιν φύσεις θεῶν ὁμωνύμων ποιούμενοι, τάχα ἂν καὶ τὸν ἀδὰμ, καὶ τὸν σὴθ, ὅτι ὁ μὲν οὐκ ἀπὸ σαρκὸς (πλάσμα γάρ) ὁ δὲ ἀπὸ τοῦ ἀδὰμ καὶ τῆς εὔας, ἀλλήλοις κατὰ τὴν φύσιν ἀλλοτριώσειας. εἷς οὖν θεὸς ἐν τρισὶ, καὶ τὰ τρία ἓν, ὥσπερ ἔφαμεν. ἐπεὶ δὲ οὕτω ταῦτα ἢ τοῦτο, ἔδει δὲ μὴ τοῖς ἄνω μόνοις τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητὰς, ἵνα πληρωθῇ τὰ πάντα δόξης θεοῦ (ἐπεὶ καὶ θεοῦ) διὰ τοῦτο κτίζεται ἄνθρωπος, χειρὶ θεοῦ τιμηθεὶς καὶ εἰκόνι, τοῦτον δὲ φθόνῳ διαβόλου, καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας θεοῦ τοῦ πεπτωκότος ἐλεεινῶς χωριζόμενον παριδεῖν οὐ θεοῦ, τί γίνεται, καὶ τί τὸ μέγα περὶ ἡμᾶς μυστήριον. καινοτομοῦνται φύσεις, καὶ θεὸς ἄνθρωπος γίνεται. καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς τῆς ἰδίας δόξης τε καὶ λαμπρότητος, ἐπὶ δυσμαῖς δοξάζεται τῆς ἡμετέρας εὐτελείας καὶ ταπεινότητος. καὶ ὁ υἱὸς τοῦ θεοῦ δέχεται, καὶ υἱὸς ἀνθρώπου γενέσθαι τε καὶ κληθῆναι, οὐχ ὃ ἦν μεταβαλὼν, ἄτρεπτος γὰρ, ἀλλ' ὃ οὐκ ἦν προσλαβών. φιλάνθρωπος γάρ. ἵνα χωρηθῇ ὁ ἀχώρητος διὰ μέσης σαρκὸς ὁμιλήσας ἡμῖν ὡς ἐκ παραπετάσματος. ἐπειδὴ καθαρὰν αὐτοῦ τὴν θεότητα φέρειν, οὐ τῆς ἐν γενέσει καὶ φθορᾷ φύσεως. διὰ τοῦτο τὰ ἄμικτα μίγνυται. οὐ γενέσει μόνον θεὸς, οὐδὲ σαρκὶ νοῦς, οὐδὲ χρόνῳ τὸ ἄχρονον, οὐδὲ μέτρῳ τὸ ἀπερίγραπτον, ἀλλὰ καὶ παρθενία γέννησις, καὶ ἀτιμία, τοῦ καὶ τιμῆς ἁπάσης ὑψηλοτέρου, καὶ πάθει, τὸ ἀπαθές. καὶ τοῦ φθαρτοῦ, τὸ ἀθάνατον. ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ σοφιστὴς, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται. ἵν' ὡς τῷ ἀδὰμ προσβαλὼν, τῷ θεῷ περιπέσῃ καὶ οὕτως, ὁ νέος ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται, καὶ λυθῇ τὸ κατάκριμα τῆς σαρκὸς, σαρκὶ τοῦ θανάτου θανατωθέντος. τῇ μὲν οὖν γεννήσει τὰ εἰκότα προεορτάσαμεν, ἐγώ τε ὁ τῆς ἑορτῆς ἔξαρχος, καὶ ὑμεῖς. καὶ πᾶν ὅσον ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον μετὰ ἀστέρος ἐδράμομεν, καὶ μετὰ μάγων προσεκυνήσαμεν, μετὰ ποιμένων περι-

στῇ καὶ ἀκοσμίαν. Ἐγὼ μὲν φρίττω τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν, οἱ τῷ πνεύματι ἀντιπίπτοντες. Πνεῦμα θεοῦ λέγεται, πνεῦμα Χριστοῦ, νοῦς Χριστοῦ, πνεῦμα κυρίου, αὐτὸ κύριος. πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας. πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου θεοῦ. καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν, ἀγαθὸν, εὐθὲς, ἡγεμονικὸν, φύσει, οὐ θέσει ἁγιάζον, οὐχ ἁγιαζόμενον, μετροῦν, οὐ μετρούμενον, μετεχόμενον, οὐ μετέχον, πληροῦν, οὐ πληρούμενον, συνέχον, οὐ συνεχόμενον, κληρονομούμενον, δοξαζόμενον, συναριθμούμενον, ἐπαπειλούμενον, δάκτυλος θεοῦ, πῦρ ὡς θεὸς, εἰς ἔμφασιν, οἶμαι, τοῦ ὁμοουσίου· πνεῦμα τὸ ποιῆσαν, τὸ ἀνακτίζον διὰ βαπτίσματος, δι' ἀναστάσεως. πνεῦμα τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον ὅπου καὶ ὅσον θέλει, ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον, παροξυνόμενον, πειραζόμενον, ἀποκαλυπτικὸν, φωτιστικὸν. μᾶλλον δὲ αὐτὸ φῶς καὶ ζωὴ, ναοποιοῦν, θεοποιοῦν, τελειοῦν, ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα, ἐνεργοῦν ὅσα θεὸς, μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα, ποιοῦν ἀποστόλους, προφήτας, εὐαγγελιστὰς, ποιμένας, καὶ διδασκάλους, νοερὸν, πολυμερὲς, σαφὲς, τρανὸν, ἀμόλυντον, ἀκώλυτον, ὅπερ ἴσον δύναται, τὸ σοφώτατον καὶ πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων, καὶ τρανωτικὸν, καὶ αὐτεξούσιον, καὶ ἀναλλοίωτον, παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων. ἀγγελικῶν, οἶμαι, δυνάμεων, ὥσπερ καὶ προφητικῶν, καὶ ἀποστολικῶν, κατὰ ταυτὸν, καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις, ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραπτον. οἱ ταῦτα λέγοντες καὶ διδάσκοντες, καὶ πρὸς γε ἄλλον παράκλητον οἷον ἄλλον θεὸν ὀνομάζοντες, οἱ τὴν εἰς αὐτὸ βλασφημίαν μόνην εἰδότες ἀσυγχώρητον, οἱ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν οὕτω φοβερῶς στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ πνεῦμα τὸ ἅγιον, ὡς θεὸν ψευσαμένων, οὐκ ἄνθρωπον. οὗτοί τί σοι δοκοῦσι, πότερον θεὸν τὸ πνεῦμα κηρύσσειν ἢ ἄλλο τι; ὡς λίαν ὄντως παχύς τις εἶ καὶ πόρρω τοῦ πνεύματος, εἰ τοῦτο ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος. αἱ μὲν οὖν κλήσεις τοσαῦται, καὶ οὕτως ἔμψυχοι. τί γὰρ δεῖ σοι τὰς ἐκ τῶν ῥημάτων μαρτυρίας παρατίθεσθαι; ὅσα δὲ καὶ ταῦτα λέγεται ταπεινότερον, τὸ δίδοσθαι, τὸ ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπὲρ ἔντευξις, εἴτε τι ἄλλο τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἐπὶ τὴν πρώτην αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, καὶ μὴ τρεῖς ἀρχαὶ μεμερισμέναι πολυθέως παραδεχθῶσιν. ἴσον γὰρ εἰς ἀσέβειαν, καὶ Σαβελλίως συναλεῖψαι, καὶ Ἀρειανῶς διαστῆσαι. τὸ μὲν τοῖς προσώποις, τὸ δὲ ταῖς φύσεσιν. ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔσχον ὅτῳ τινὶ χρὴ τὴν θείαν φύσιν παραβάλλειν. καὶ γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει με τὸ πλέον, ἀφεὶς κάτω μετὰ τοῦ ὑποδείγματος. ὀφθαλμόν τινα καὶ πηγὴν, καὶ ποταμὸν, ἐνενόησα. καὶ γὰρ καὶ ἄλλοι, ἵνα τῷ μὲν ὁ πατὴρ, τῷ δὲ ὁ υἱὸς, τῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀναλογοῦν ἔχῃ. ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ συνεχείᾳ. καὶ δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι. ἀλλ' ἔδεισα πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχουσαν. δεύτερον δὲ μὴ καὶ τὸ ἓν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσάγηται· ὀφθαλμὸς γὰρ καὶ πηγὴ, καὶ ποταμὸς, ἕν ἐστιν ἀριθμῷ, διαφόρως σχηματιζόμενα. πάλιν ἥλιον ἐνεθυμήθην, καὶ ἀκτῖνα, καὶ φῶς. ἀλλὰ καὶ ταῦτα δέος, πρῶτον μὲν, μὴ σύνθεσίς τις ἐννοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ. δεύτερον δὲ, μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις θεοῦ ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. οὔτε γὰρ ἀκτὶς, οὔτε φῶς, ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόρροιαι καὶ ποιότητες οὐσιώδεις. καὶ ἅμα τὸ εἶναι καὶ τὸ μὴ εἶναι τῷ θεῷ, δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος, ὃ καὶ τῆς εἰρημένης ἀτοπώτερον. ἤκουσα δέ τινος καὶ τοιοῦτον ὑπογράφοντος λόγον, μαρμαρυγήν τινα ἡλιακὴν τοίχῳ προσαστράπτουσαν καὶ τρεμουλίζουσαν ὑπὸ τῆς ὑδάτων κινήσεως, ἣν ἡ ἀκτὶς ὑπολαβοῦσα διὰ τοῦ ἐν μέσῳ ἀέρος, εἶτα σχεθεῖσα τῷ ἀντιτύπῳ, παλμὸς ἐγένετο καὶ παράδοξος. ἄττει γὰρ πολλαῖς καὶ πυκναῖς ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον ἢ πολλὰ, οὐδὲ πολλὰ μᾶλλον ἢ ἕν, τῷ τάχει τῆς συνόδου καὶ τῆς διαστάσεως, πρὶν ὄψει κρατηθῆναι διαδιδράσκουσα. ἀλλ' οὐδὲ τοῦτο θέσθαι δυνατὸν ἐμοί. δι' ἃ μὲν, ὅτι τὴν μὲν τὸ κινῆσαν καὶ πάνυ δῆλον, θεοῦ δὲ οὐδὲν πρεσβύτερον. ἵν' ᾖ τι τὸ ἐκεῖνον κεκινηκός· αὐτὸς μὲν γὰρ πάντων αἰτία· αἰτίαν δὲ πρεσβυτέραν οὐκ ἔχει. δεύτερον δὲ ὅτι καὶ ταῦτα, τὴν αὐτὴν ὑπόνοιαν, συνθέσεως, χύσεως, ἀστάτου καὶ οὐ παγίας φύσεως· ὧν οὐδὲν ἐννοητέον περὶ θεότητος. καὶ ὅλως οὐδέν ἐστιν ὅ μοι τὴν διάνοιαν ἵστησιν ἐν τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον, πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ἐπ' εὐγνωμοσύνης.

σαύτης, τὰ λοιπὰ ῥίψαντες. τέλος οὖν ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν ἐκείνας χαίρειν ἐᾶσαι καὶ τὰς σκιάς, ὡς ἀπατηλάς, καὶ τῆς ἀληθείας πλεῖστον ἀφεστώσας, αὐτὴν δὲ τῆς εὐσεβείας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ πνεύματι χρώμενον, ἣν ἐντεῦθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος διαφυλάττοντα, ὡς γνησίαν κοινωνόν καὶ συνόμιλον, τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα, καὶ τοὺς ἄλλους πείθειν εἰς δύναμιν, προσκυνεῖν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν μίαν θεότητά τε καὶ δύναμιν. ὅτι αὐτῷ πᾶσα δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΠΡΟΣ ΝΕΚΤΑΡΙΟΝ ΕΠΙΣΚΟΠΟΝ
κωνσταντίνου πόλεως.

Οἶκε τὴν πρῶτον ζωὴν ἐπιλελοιποίαν καταδήλουν τῆς θεοῦ κηδεμονίαν, ἣ ἐν τοῖς πρὸ ὑμῶν χρόνοις, τὰς ἐκκλησίας φυλάττουσα. καί μοι τοσοῦτον ἐβεβάπτισται ὑπὸ συμφορῶν ἡ ψυχή, ὥστε τὰ μὲν ἴδια τῆς ἐμῆς ζωῆς ἀλγεινά, μηδὲ ἐν κακοῖς εἶναι λογίζεσθαι, τοσαῦτα καὶ τηλικαῦτα ὄντα, ὡς μὴ ἂν ἑτέρῳ τινὶ συμβαίνοντα, φορητὰ εἶναι νομισθῆναι· πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν ἐκκλησιῶν πάθη, ὧν εἰ μὴ γένοιτό τις ἐν τῷ παρόντι καιρῷ σπουδὴ πρὸς διόρθωσιν, εἰς παντελῆ ἀνελπιστίαν κατὰ μικρὸν προελεύσεται. οἱ τῆς ἀρείου ἤτοι εὐδοξίου αἱρέσεως, οὐκ οἶδα τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παρρησίας ἐπειλημμένοι, τῇ νόσῳ ἑαυτῶν ἐκπομπεύουσιν, ἐκκλησίας συνάγοντες, ὡς ἐξὸν ἐπιτροπῆς τοιούτους. οἱ δὲ κατὰ μακεδόνιον ὀρίζοντες, εἰς τοσοῦτον προεληλύθασιν ἀνοίας, ὡς καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες, τοῖς καθ' ἡμᾶς τόποις ἐπιπολάζειν τὸν ἐλεύσιον, τὰς χειροτονίας αὐτῶν ἐπιθρυλλοῦντες. τὸ δὲ ἐγκόλπιον ἡμῶν κακὸν ὁ εὐνόμιος, οὐκ ἔτι ἀγαπᾷ τὸ ὁπωσοῦν εἶναι· ἀλλ' εἰ μὴ πάντας τῇ ἑαυτοῦ ἀπωλείᾳ συνεφελκύσοιτο, ζημίαν κρίνει. καὶ ταῦτα μὲν φορητά. τὸ δὲ πάντων χαλεπώτατον ἐν ταῖς ἐκκλησιαστικαῖς συμφοραῖς, ἡ τῶν ἀπολιναριστῶν ἐστὶ παρρησία. οὓς οὐκ οἶδα πῶς παρεῖδεν ἡ ὁσιότης σου, πορισαμένους ἑαυτοῖς, τοῦ συνάγειν ὁμοτίμως ἡμῖν ἐξουσίαν. πάντως μὲν οὖν διὰ πάντων κατὰ θεοῦ χάριν τὰ θεῖα πεπαιδευμένος μυστήρια, οὐ μόνον τὴν τοῦ ὀρθοῦ λόγου συνηγορίαν ἐπίστασαι, ἀλλὰ κἀκεῖνα ὅσα παρὰ τῶν αἱρετικῶν κατὰ τῆς ὑγιαινούσης ἐπινενόηται πίστεως. ὅμως δὲ καὶ παρὰ τῆς βραχύτητος ἡμῶν, οὐκ ἄκαιρον ἴσως ἀκοῦσαί σου τὴν σεμνοπρέπειαν, ὅτι μοι πυκτίον ἦλθεν ἐν χερσὶ τοῦ ἀπολιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα, πᾶσαν αἱρετικὴν κακίαν παρέρχεται. διαβεβαιοῦται γάρ, μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν ὑπὸ τοῦ μονογενοῦς υἱοῦ προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι, καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν εἰς μαρτυρίαν, τῆς τοιαύτης ἀτοπίας, προβάλλεται λέγων, ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου· ὡς καὶ πρὶν τοῦ κατελθεῖν αὐτὸν υἱὸν ἀνθρώπου εἶναι, καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα, ἐκείνην, ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε, προαιωνίαν τινὰ καὶ συνουσιωμένην. λέγει γὰρ πάλιν ἀποστολικήν τινα ῥῆσιν τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀπορρήξας, ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα, τὸν νοῦν μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ μονογενοῦς τὴν τοῦ νοῦ φύσιν ἀναπληρώσασαν, μέρος γενέσθαι τοῦ ἀνθρωπίνου συγκρίματος, τὸ τρίτον μετὰ ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων. νοῦ δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ θεοῦ λόγου ἀναπληροῦντος. καὶ οὔπω τοῦτο δεινόν, ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ θεόν, τὸν κριτὴν τῶν πάντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ θανάτου, θνητὸν εἶναι κατασκευάζει, καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι πάθος δέξασθαι, καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος, καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι, καὶ οὕτω παρὰ τοῦ πατρὸς πάλιν, ἀπὸ τοῦ θανάτου διαναστῆναι. τὰ δ' ἄλλα ὅσα προστίθησι ταῖς τοιαύταις ἀτοπίαις μακρὸν ἂν εἴη διεξιέναι. εἰ τοίνυν οἱ τοιαῦτα φρονοῦντες τοῦ συνάγειν γίνονται, σκοπείτω σου ἡ ἐν χριστῷ εὐδόκιμος φρόνησις. ὅτι μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι, τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν συνάξεως, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀληθέστερον τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι. εἰ γὰρ ὡς εὐσεβοῦντες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι, καὶ κηρύττειν ἐν παρρησίᾳ τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται, δῆλον ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας

ὧν τὸ κάλλιστον, ἀχρηστία. μὴ λίθων διαυγείαις, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι καταψευδομένων τὸ φυσικὸν κάλλος, καὶ κατὰ τῆς εἰκόνος ἐξευρημένων. μὴ κώμοις καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας οἶδα συνεζευγμένας. ἐπειδὴ κακῶν, διδάσκαλοι κακοὶ τὰ μαθήματα· μᾶλλον δὲ πονηρῶν σπερμάτων, πονηρὰ τὰ γεώργια. μὴ στιβάδας ὑψηλὰς πήξωμεν σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως. μὴ τιμήσωμεν οἴνων τὰς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτέλειαν. μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον δωροφορείτωσαν. οὕτω γὰρ ἐγὼ τιμᾶν οἶδα τρυφήν, μηδ᾽ ἄλλος ἄλλους ἀκρασίᾳ νικᾶν σπουδάζωμεν. ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττόν, καὶ ὑπὲρ τὴν χρείαν. καὶ ταῦτα πεινώντων ἄλλων, καὶ ἐνδεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος. ἀλλὰ ταῦτα μὲν Ἕλλησιν ἀφῶμεν, καὶ ἑλληνικοῖς κόμποις, καὶ πανηγύρεσιν. οἳ καὶ θεοὺς ὀνομάζουσι κνίσαις χαίροντας, καὶ ἀκολούθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύουσι. πονηροὶ πονηρῶν δαιμόνων, καὶ πλάσται, καὶ μυσταγωγοί, καὶ μύσται τυγχάνοντες. ἡμεῖς δέ, οἷς λόγος ὁ προσκυνούμενος, κἄν τι δέῃ τρυφᾶν, ἐν λόγῳ τρυφήσωμεν, καὶ θείῳ νόμῳ, καὶ διηγήμασι, τοῖς τε ἄλλοις, καὶ ὅσων ἡ παροῦσα πανήγυρις. ἵν᾽ οἰκεῖον ᾖ τῆς τρυφῆς, καὶ μὴ πόρρω τοῦ συγκαλέσαντος. ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον, τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε, καὶ φιλοτίμως. ἵν᾽ εἰδῆτε πῶς δύναται τρέφειν ὁ ξένος τοὺς ἐγχωρίους, καὶ τοὺς ἀστυκοὺς ὁ ἄγροικος, καὶ τοὺς τρυφῶντας ὁ μὴ τρυφῶν, καὶ τοὺς περιουσίᾳ λαμπρούς, ὁ πένης τε καὶ ἀνέστιος. ἄρξομαι δὲ ἐντεῦθεν, καί μοι καθήρασθε, καὶ νοῦν, καὶ ἀκοήν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα. ἐπειδὴ περὶ Θεοῦ, καὶ Θεὸς ὁ λόγος, ἵν᾽ ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον. Θεὸς ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται. μᾶλλον δὲ ἔστιν ἀεί. τὸ γὰρ ἦν, καὶ ἔσται, τοῦ καθ᾽ ἡμᾶς χρόνου τμήματα καὶ τῆς ῥευστῆς φύσεως, ὁ δὲ ὢν ἀεί. καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωυσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι. μήτε ἀρξάμενον, μήτε παυσόμενον. οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον. πᾶσαν ὑπερεκπίπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφούμενος, καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως. οὐκ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα. πρὶν κρατηθῆναι, φεῦγον· καὶ πρὶν νοηθῆναι, διαδιδράσκον. τοσοῦτον περιλάμπον ἡμῶν τὸ ἡγεμονικόν, καὶ ταῦτα κεκαθαρμένον, ὅσον καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτό. τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον. τῷ δὲ ἀλήπτῳ, θαυμάζηται. θαυμαζόμενον δέ, ποθῆται πλέον. ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἐργάζηται. τοιούτοις δὲ γενομένοις ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος) Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. ἄπειρον οὖν τὸ θεῖον, καὶ δυσθεώρητον. καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία. κἂν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. τί γὰρ ὄν, ὃ ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν. οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ, ἡ ἁπλότης. ὥσπερ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι συνθέτοις. διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις ἄπειρον) ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀποπαύσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα, ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν. ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον. ὅταν δὲ συνάλλῃ τὸ πᾶν, αἰώνιον. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητόν. ἀλλ᾽ ὅπερ ἡμῖν ὁ χρόνος ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰών, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν. οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός. ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ᾽ οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω, Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης. ἵνα μὴ πενίαν θεότητος καταγνωσθῶμεν. ἢ διὰ τὴν μοναρχίαν ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν ἑλληνίζοντες. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. οὕτω μὲν οὖν τὰ ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα, ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται, κάλλιστά τε καὶ ὑψηλότατα. ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ᾽ ἔδει χυθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα. τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος, πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους. καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον, καὶ πνεύματι τελειούμενον. καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ

ἐκ θαλάσσης, αἰθέρων, πόλεων, ἐθνῶν αἰσθητοῖς μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῶσαι τὴν κακίαν τὸ ἀποσταζόμενον ἦν. τέλος ἰσχυροτέρου δεῖται φαρμάκου, ὑπὸ δεινοτέροις τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀῤῥενομανίαις. τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως, ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ θεοῦ λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ ἀκίνητος σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ. καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίγνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος· κυηθεὶς μὲν ἐκ τῆς παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι. ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι. προελθὼν δὲ θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων σαρκὸς καὶ πνεύματος· ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως. ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. καὶ ὁ πλουτίζων πτωχεύει. πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. καὶ ὁ πλήρης κενοῦται. κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον. μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. μεταλαμβάνει τῆς ἐμῆς σαρκός, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν. ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. τοῦτο τοῦ προτέρου θεοειδέστερον, τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον. πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς θεότητος λογισταί, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα; τοῦτο ἐγκαλεῖς θεῷ τὴν εὐεργεσίαν; διὰ τοῦτο μικρός, ὅτι διὰ σὲ ταπεινός; ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη, καὶ τοὺς βουνούς, ἐφ' ὧν ἐθυσίαζες, καὶ τὸ πλανώμενον εὗρε· καὶ εὑρών, ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον· καὶ λαβών, ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν· καὶ ἀναγαγών, τοῖς μένουσι συνηρίθμησεν; ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν κόσμον ἀνακαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι. καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας, ταπεινός; ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ πνεῦμα διὰ τοῦ ὕδατος. ταῦτα ἐγκαλεῖς τῷ θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα; ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνανυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς; ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ. τί τοῦτο; τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν. εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν τοῖς κάμνουσι. καὶ τὸν ἐπικλινόμενον βόθρῳ, διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος, κατὰ τὸν νόμον ἀνασώσηται. ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν. ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος. εἰ δὲ καὶ ὡς θεός, τί τοῦτο; τὴν εὐδοκίαν τοῦ πατρός, ἀποστολὴν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. ἐπεὶ καὶ παραδίδοσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ πατρὸς καὶ ἀνειλῆφθαι. ἀλλὰ καὶ ἑαυτὸν ἀναστῆσαι καὶ ἀνεληλυθέναι πάλιν. ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις; καὶ ὅτι μὲν ἔπαθε λογίζῃ, ὅτι δὲ ἑκών, οὐ προστίθης; οἷα πάσχει καὶ νῦν ὁ λόγος. ὑπὸ μὲν τῶν ὡς θεὸς τιμᾶται καὶ συναλείφεται· ὑπὸ δὲ τῶν, ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. τίσιν ὀργισθῇ πλέον, μᾶλλον δὲ τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι; καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν, τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. προσκόπτεις τῇ σαρκί; τοῦτο καὶ Ἰουδαῖοι. ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς, καὶ τὸ ἑξῆς σιωπήσομαι. ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε σύ, καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἐκεῖνοι τὴν τοῦ υἱοῦ προσηγορίαν, ὁμοτιμίας φωνὴν ἐνόμιζον.

ἐνόμιζεν. οὗτοι τὸν ἐλαύνοντα θεὸν ᾔδεσαν. ἐπείθοντο γὰρ ἐξ ὧν ἐπάσχον. σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾶν (ἵν' εἴπω τι καὶ γελοῖον) ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διαμεῖναι πονηρῶς καὶ ἀθέως. μικρὸν μὲν οὖν ὕστερον, ὄψει καὶ καθαιρόμενον Ἰησοῦν ἐν τῷ Ἰορδάνῃ, τὴν ἐμὴν κάθαρσιν. μᾶλλον δὲ ἁγιάζοντα τῇ καθάρσει τὰ ὕδατα (οὐ γὰρ δὴ αὐτὸς ἐδεῖτο καθάρσεως ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου) καὶ σχιζομένους τοὺς οὐρανούς, καὶ ὑπὸ τοῦ συγγενοῦς πνεύματος μαρτυρούμενον, καὶ πειραζόμενον, καὶ νικῶντα, καὶ ὑπὸ ἀγγέλων ὑπηρετούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ ζωοποιοῦντα νεκρούς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον) καὶ δαίμονας ἀπελαύνοντα. τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν μαθητῶν, καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας, καὶ ἐπιβαίνοντα πελάγους, καὶ προδιδόμενον, καὶ σταυρούμενον, καὶ συσταυροῦντα τὴν ἐμὴν ἁμαρτίαν, ὡς ἀμνὸν προσαγόμενον, καὶ ὡς ἱερέα προσάγοντα. ὡς ἄνθρωπον θαπτόμενον, καὶ ὡς θεὸν ἐγειρόμενον. εἶτα καὶ ἀνερχόμενον, καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. πόσας μοι πανηγύρεις καθ' ἕκαστον τῶν τοῦ χριστοῦ μυστηρίων; ὧν ἁπάντων κεφάλαιον ἕν, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις, καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος. νυνὶ δέ μοι δέξαι τὴν κύησιν, καὶ προσσκίρτησον, εἰ καὶ μὴ ὡς Ἰωάννης ἐκ γαστρός, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ. καὶ τὴν ἀπογραφὴν αἰδέσθητι, δι' ἣν εἰς οὐρανοὺς ἐγράφης. καὶ τὴν γέννησιν σεβάσθητι, δι' ἣν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως. καὶ τὴν Βηθλεὲμ τίμησον τὴν μικράν, ἥ σε πρὸς τὸν παράδεισον ἐπανήγαγε. καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν ἐτράφης ὑπὸ τοῦ λόγου. γνῶθι ὡς βοῦς τὸν κτησάμενον (Ἡσαΐας διακελεύεταί σοι) καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ τὸν νόμον, καὶ μηρυκισμὸν ἀναγόντων τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτηδείων. εἴτε τῶν ἀκαθάρτων τέως, καὶ ἀβρώτων, καὶ ἀθύτων, καὶ τῆς ἐθνικῆς μερίδος, μετὰ τοῦ ἀστέρος δράμε, καὶ μετὰ μάγων δωροφόρησον, χρυσὸν καὶ λίβανον, καὶ σμύρναν, ὡς βασιλεῖ, καὶ ὡς θεῷ, καὶ ὡς διὰ σὲ νεκρῷ. μετὰ ποιμένων δόξασον, μετὰ ἀγγέλων χόρευσον, μετὰ ἀρχαγγέλων ὕμνησον. ἔστω κοινὴ πανήγυρις, οὐρανίων καὶ ἐπιγείων δυνάμεων. πέπεισμαι γὰρ κἀκείνας συναγάλλεσθαι καὶ συμπανηγυρίζειν σήμερον, εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι, ὥσπερ ἃς Δαβὶδ εἰσάγει μετὰ τὸ πάθος συνανιούσας χριστῷ, καὶ προσυπαντώσας καὶ διακελευομένας ἀλλήλαις τὴν τῶν πυλῶν ἔπαρσιν. ἓν μίσησόν μοι τῶν περὶ τὴν χριστοῦ γέννησιν, τὴν Ἡρώδου παιδοκτονίαν. μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τὴν ἡλικιωτῶν χριστοῦ θυσίαν, τοῦ καινοῦ σφαγίου προθυομένην. ἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι. καλὸν τῷ χριστῷ συμφεύγειν διωκομένῳ. ἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου καλῶς ἐκεῖ προσκυνούμενον. διόδευσον ἀμέμπτως τῶν ἡλικιῶν χριστοῦ, καὶ δυνάμεων. ὡς χριστοῦ μαθητὴς ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἐκ γενέσεως κάλυμμα. μετὰ τοῦτο δίδαξον ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον. λιθάσθητι ἂν τοῦτο δέῃ παθεῖν, λήσῃ τοὺς βάλλοντας εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσων αὐτῶν ὡς θεός. ὁ λόγος γὰρ οὐ λιθάζεται. ἂν Ἡρώδῃ προσαχθῇς, μηδὲ ἀποκριθῇς τὰ πλείω. αἰδεσθήσεταί σου καὶ τὴν σιωπὴν πλέον, ἢ ἄλλων τοὺς μακροὺς λόγους. ἂν φραγελλωθῇς, καὶ τὰ λειπόμενα ζήτησον. γεῦσαι χολῆς, διὰ τὴν γεῦσιν. ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα. ἀκάνθαις στεφανώθητι, τῷ τραχεῖ τοῦ κατὰ θεὸν βίου. περιβαλοῦ τὸ κόκκινον, δέξαι καὶ κάλαμον. προσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν. τέλος, συσταυρώθητι, συννεκρώθητι, συνταφῆθι προθύμως, ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς, καὶ συμβασιλεύσῃς. θεὸν ὁρῶν ὅσον ἐστὶ καὶ ὁρώμενος, τὸν ἐν τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον. ὃν καὶ νῦν φανοῦσθαι ἡμῖν εὐχόμεθα ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκός, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕἸΣ ΤᾺ ἍΓΙΑ ΦΩ͂ΤΑ ΤΩ͂Ν ἘΠΙΦΑΝΊΩΝ ΛΌΓΟΣ.

Πάλιν Ἰησοῦς ὁ ἐμός, καὶ πάλιν μυστήριον. μυστήριον, οὐκ ἀπατηλόν, οὐδὲ ἄκοσμον, οὐδὲ τῆς Ἑλληνικῆς πλάνης ἢ μέθης· οὕτω γὰρ ἐγὼ καλῶ τὰ ἐκείνων σεμνά. οἶμαι δὲ καὶ τῶν εὖ φρονούντων ἕκαστος, ἀλλὰ μυστήριον ὑψηλόν τε, καὶ θεῖον, καὶ τῆς ἄνω λαμπρότητος πρόξενον. ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα, εἰς ἣν ἀφίγμεθα, καὶ ἣν ἑορτάζειν ἠξιώμεθα σήμερον, ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ χριστοῦ βάπτισμα λαμβάνει, τοῦ ἀληθινοῦ φωτός, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐνεργεῖ δὲ τὴν ἐμὴν κάθαρσιν, καὶ βοηθεῖ τῷ φωτί, ὃ παρ' αὐτοῦ λαβόντες ἄνωθεν ἀπ' ἀρχῆς ἐκ τῆς ἁμαρτίας, ἐζοφώσαμέν τε, καὶ συνεχέαμεν. τοιγαροῦν ἀκούσατε θείας φωνῆς, ἐμοὶ μέν, καὶ λίαν σφοδρῶς ἐνηχούσης, τῷ μύστῃ καὶ μυ-

σταγωγῷ

στρατηγὸν τὴν τοιαύτην. εἶπε δὲ καὶ ὑμῖν· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. καὶ διὰ τοῦτο προσέλ-
θετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ, τῷ ἀληθι-
νῷ φωτὶ σημειούμενα. καιρὸς ἀναγεννήσεως, γεννηθῶμεν ἄνωθεν. καιρὸς ἀναπλάσεως. τὸν
πρῶτον ἀδὰμ ἀναλάβωμεν. μὴ μείνωμεν ὅπερ ἐσμὲν, ἀλλ᾽ ὅπερ ἦμεν γενώμεθα. τὸ φῶς ἐν
τῇ σκοτίᾳ φαίνει, τῷ βίῳ τούτῳ, καὶ τῷ σαρκίῳ. καὶ ὑπὸ τῆς σκοτίας διώκεται μὲν, οὐ
καταλαμβάνεται δὲ, τῆς ἀντικειμένης λέγω δυνάμεως, τῷ φαινομένῳ μὲν ἀδὰμ προσανα-
ιδώσης ὑπ᾽ ἀναιδείας, τῷ θεῷ δὲ περιπιπτούσης καὶ ἡττωμένης· ἵν᾽ ἡμεῖς τὸ σκότος ἀποθέ-
μενοι, τῷ φωτὶ πλησιάσωμεν. εἶτα καὶ φῶς γενώμεθα τέλειον, τελείου φωτὸς γεννήματα.
ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν, ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν. οὐκ ἀπὸ γῆς ἤρθητε, οὐκ ἄνω
τέθεισθε σαφῶς ὑψωθέντες ὑπὸ τῆς ἡμετέρας φωνῆς καὶ ἀναγωγῆς, καὶ ἔτι μᾶλλον τε-
θήσεσθε ἐπειδὰν εὐοδώσῃ τὸν λόγον ὁ λόγος, μή τις τοιαύτη κάθαρσις νομικὴ καὶ σκιώ-
δης, προσκαίροις ῥαντίσμασιν ὠφελοῦσα, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινω-
μένους; μή τι τοιοῦτον μυσταγωγοῦσιν ἕλληνες; ὧν λῆρος ἐμοὶ πᾶσα τελετὴ καὶ μυστήριον.
δαιμόνων εὕρημα σκοτεινὸν, καὶ διανοίας ἀνάπλασμα κακοδαίμονος, χρόνῳ βοηθούμενον,
καὶ μύθῳ κλεπτόμενον. ἃ γὰρ ὡς ἀληθῆ προσκυνοῦσιν, ὡς μυθικὰ συγκαλύπτουσιν. δέον,
εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, ἀλλὰ τὸ μὴ αἰσχρὰ δείκνυσθαι. εἰ δὲ ψευδῆ, μὴ θαυμά-
ζεσθαι. μηδ᾽ οὕτως ἰταμῶς ἐναντιωτάτας ἔχειν δόξας περὶ τοῦ αὐτοῦ πράγματος, ὥσπερ
ἐν ἀγορᾷ μειρακίων παίζοντας. ἢ ἀνθρώπων κακοδαιμόνων ὡς ἀληθῶς, ἀλλ᾽ οὐκ ἀνδράσι δια-
λεγομένων, νοῦν ἔχουσι δὴ καὶ λόγον προσκυνοῦσι, κἂν τὴν ἔντεχνον ταύτην, καὶ ῥυπαρὰν
πιθανότητα διαπτύωσιν. οὐ διὸς ταῦτα γοναὶ καὶ κλοπαὶ τοῦ κρητῶν τυράννου, κἂν
ἕλληνες ἀπεσκώπτωνται. οὐδὲ κουρήτων ἦχοι, καὶ κρότοι, καὶ ὀρχήσεις ἐνόπλιοι θεοῦ κλαίον-
τος ἦχον συγκαλύπτουσαι, ἵνα πατέρα λάθῃ μισότεκνον. δεινὸν γὰρ ἦν ὡς παιδίον
κλαυθμυρίζεσθαι, τὸν ὡς λίθον καταποθέντα. οὐδὲ φρυγῶν ἐκτομαὶ, καὶ αὐλοὶ καὶ
κορύβαντες, καὶ ὅσα περὶ τὴν ῥέαν ἄνθρωποι μαίνονται τελοῦντες τῇ μητρὶ τῶν θεῶν
καὶ τελούμενοι, ὅσα τῇ μητρὶ τῶν τοιούτων εἰκός. οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται, καὶ δημή-
τηρ πλανᾶται, καὶ κελεούς τινας ἐπεισάγει, καὶ τριπτολέμους, καὶ δράκοντας. καὶ τὰ
μὲν ποιεῖ, τὰ δὲ πάσχει. αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν νυκτὸς τελετὴν, καὶ ποιεῖν τὴν
ἀσχημοσύνην μυστήριον. οἶδεν ἐλευσὶς ταῦτα, καὶ οἱ τῶν σιωπωμένων, καὶ σιωπῆς ὄντως
ἀξίων ἐπόπται. οὐδὲ διόνυσος ταῦτα, καὶ μηρὸς ὠδίνων ἀτελὲς κύημα, ὥσπερ ἄλλο τι κε-
φαλὴ πρότερον. καὶ θεὸς ἀνδρόγυνος, καὶ χορὸς μεθυόντων, καὶ στρατὸς ἔκλυτος, καὶ
θηβαίων ἄνοια τοῦτον τιμῶσα, καὶ σεμέλης κεραυνὸς προσκυνούμενος. οὐδ᾽ ἀφροδίτης
πορνικὰ μυστήρια, τῆς αἰσχρῶς ὡς αὐτοὶ λέγουσι, καὶ γεννωμένης καὶ τιμωμένης. οὐδὲ φαλλοί
τινες, καὶ ἰθύφαλλοι, αἰσχροὶ καὶ τοῖς σχήμασι, καὶ τοῖς πράγμασιν. οὐδὲ ταύρων ξενο-
κτονίαι, καὶ λακωνικῶν ἐφήβων ἐπιβώμιον αἷμα, ξαινομένων ταῖς μάστιξι. καὶ τοῦτο μόνον
κακῶς ἀνδριζομένων, οἷς τιμᾶται θεὰ, καὶ ταῦτα παρθένος. οἱ γὰρ αὐτοὶ καὶ μαλακίαν
ἐτίμησαν, καὶ θρασύτητα ἐσεβάσθησαν. ποῦ δὲ θήσεις τὴν πέλοπος κρεουργίαν, πεινῶν-
τας θεοὺς ξενίζουσαν, καὶ φιλοξενίαν πικρὰν, καὶ ἀπάνθρωπον; ποῦ δὲ ἑκάτης τὰ φοβερὰ
καὶ σκοτεινὰ φάσματα, καὶ τροφωνίου κατὰ γῆς παίγνια ἢ μαντεύματα; ἢ δωδωναίας
δρυὸς ληρήματα; ἢ τρίποδος δελφικοῦ σοφίσματα; ἢ κασταλίας μαντικὸν πόμα, τοῦτο
μόνον οὐ μαντευσάμενον τὴν ἑαυτῶν σιωπήν. οὐδὲ μάγων θυτικὴ, καὶ πρόγνωσις ἐντό-
μος. καὶ χαλδαίων ἀστρονομία καὶ γενεθλιαλογία, τῇ τῶν οὐρανίων κινήσει συμφέρου-
σα τὰ ἡμέτερα, τῶν μηδὲ ἑαυτοὺς ὅ τι ποτέ εἰσιν, ἢ ἔσονται γνῶναι δυναμένων. οὐδὲ θρα-
κῶν ὄργια ταῦτα, παρ᾽ ὧν καὶ τὸ θρησκεύειν, ὡς λόγος. οὐδὲ ὀρφέως τελεταὶ καὶ μυστή-
ρια, ὃν τοσοῦτον ἕλληνες ἐπὶ σοφίᾳ ἐθαύμασαν, ὥστε καὶ λύραν αὐτῷ ποιοῦσι πάντα τοῖς
κρούμασιν ἕλκουσαν. οὐδὲ μίθρου κόλασις ἔνδικος, κατὰ τῶν μυεῖσθαι τὰ τοιαῦτα ἀνε-
χομένων. οὐδὲ ὀσίριδος σπαραγμοὶ, ἄλλη συμφορὰ τιμωμένη παρ᾽ αἰγυπτίοις. οὐδὲ ἴσι-
δος ἀτυχήματα, καὶ τράγοι μενδησίων αἰδεσιμώτεροι, καὶ ἄπιδος φάτνη, μόσχου κα-
τατρυφῶντος τῆς τῶν μεμηνότων εὐηθείας. οὐδ᾽ ὅσα τὸν νεῖλον ταῖς τιμαῖς καθυβρίζουσι,
τὸν καρποδότην ὡς ἀνυμνοῦσιν αὐτοὶ καὶ ἄσταχυν, καὶ μετροῦντα τὴν εὐδαιμονίαν τοῖς
πήχεσιν. ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμὰς, καὶ τὸ τῆς ἀσχημοσύνης φιλότι-
μον. ὧν καθ᾽ ἕκαστον, ἰδία τις τελετὴ καὶ μυστήριον. καὶ κοινὸν τὸ τῆς κακοδαιμονίας ἐφ᾽
ἅπασιν, ὡς εἴπερ ἀσεβεῖν αὐτοὺς ἔδει πάντως, καὶ τῆς τοῦ θεοῦ δόξης ἀποπεσεῖν εἰς εἴδωλα κα-
τενεχθέντας καὶ τέχνης ἔργα, καὶ χειρῶν πλάσματα, μὴ ἂν ἄλλο τι κατ᾽ αὐτῶν εὔξα-
σθαι τοὺς γεννοὺς ἔχοντας, ἢ τοιαῦτα σεβασθῆναι, καὶ οὕτω τιμηθῆναι. ἵνα τὴν ἀτιμίαν,
ἣν ἔδει τῆς πλάνης, ὥς φησι παῦλος, ἀπολαμβάνωσιν, ἐν οἷς σέβονται, οὐ μᾶλλον τιμῶντες

γρ. κρούσμασιν
γρ. εὔσταχυν
γρ. γενόμενων
λ. δι᾽ ἑαυτῶν τὰ σεβάσματα;

ἢ δι' ἐκείνων ἀτιμαζόμενοι· βέλτιον τοῦ πλείονος, βέλτιον τότε τοῦ εὐτελεστέρου τῶν προσκυνουμένων καὶ σεβομένων. ἵνα καὶ αὐτῶν τῶν τιμωμένων ὦσιν ἀναισθητότεροι, τοσοῦτον ὑπερβάλλοντες ἀνοίᾳ, ὅσον εὐτελέστερα τὰ προσκυνούμενα. ταῦτα μὲν οὖν παιζέτωσαν Ἑλλήνων παῖδες καὶ δαίμονες, παρ' ὧν ἐκείνοις ἡ ἄνοια. τὴν τοῦ Θεοῦ τιμὴν εἰς ἑαυτοὺς μεθέλκοντες, καὶ ἄλλην ἄλλως κατατεμνόντες εἰς αἰσχρὰς δόξας καὶ φαντασίας. ἀφ' οὗ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς, διὰ ξύλου τῆς γνώσεως οὐ κατὰ τὸν καιρὸν οὐδ' ἐπιτηδείως μεταληφθείσης, ὡς ἀσθενεστέρων ἤδη κατέδραμον, τὸ ἡγεμόνα νοῦ συναρπάσαντες, καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες. οὐ γὰρ ἔφερον φύσις ὄντες φθονερὰ καὶ μισάνθρωπος, μᾶλλον δὲ διὰ τὴν ἑαυτῶν κακίαν γενόμενοι, τοὺς κάτω τῶν ἄνω τυχεῖν, αὐτοὶ πεσόντες ἐπὶ γῆς ἄνωθεν. οὐδὲ τοσαύτην μετάστασιν γενέσθαι τῆς δόξης καὶ τῆς περὶ τῆς φύσεως. τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος. διὰ τοῦτο ἡ εἰκὼν τοῦ Θεοῦ καθυβρίσθη, καὶ καθότι οὐκ ἐδοκιμάσαμεν φυλάξαι τὴν ἐντολήν, παρεδόθημεν τῇ αὐτονομίᾳ τῆς πλάνης. καὶ καθ' ὅσον ἐπλανήθημεν, ἠτιμάσθημεν, ἐν οἷς ἐσεβάσθημεν. οὐ γὰρ τοῦτο μόνον δεινόν, τὸ πεποιημένους ἐπ' ἀγαθοῖς ἔργοις, εἰς δόξαν καὶ ἔπαινον τοῦ πεποιηκότος, καὶ Θεοῦ μίμησιν ὡς ἐφικτόν, ἑρμητήριον γενέσθαι παντοίων παθῶν βοσκομένων κακῶς, καὶ δαπανώντων τὸν ἔσω ἄνθρωπον, ἀλλὰ τὸ καὶ θεοὺς στήσασθαι συνηγόρους τοῖς πάθεσιν. ἵνα μὴ μόνον ἀνεύθυνον ᾖ τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ θεῖον νομίζηται, εἰς τοιαύτην καταφεύγοντας ἀπολογίαν τὰ προσκυνούμενα. ἡμῖν δὲ ὥσπερ ἐχαρίσθη τὸ φυγεῖν τὴν δεισιδαίμονα πλάνην, μετὰ τῆς ἀληθείας γενέσθαι, καὶ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ τὴν κτίσιν ὑπεραναβῆναι, πάντα ὑπεράραντας ὅσα ὑπὸ χρόνον καὶ περὶ τὴν κίνησιν, οὕτω καὶ ἴδωμεν, καὶ φιλοσοφήσωμεν τὰ περὶ Θεοῦ καὶ τὰ θεῖα. φιλοσοφήσωμεν δέ, ἀρχόμενοι ὅθεν ἄρχεσθαι ἄμεινον. ἄμεινον δὲ ὅθεν Σολομὼν ἡμῖν ἐνομοθέτησεν· ἀρχὴ σοφίας, φησί, κτῆσαι σοφίαν. τί τοῦτο λέγων ἀρχὴ σοφίας, τὸν φόβον. οὐ γὰρ ἀπὸ θεωρίας ἀρξαμένους, εἰς φόβον χρὴ καταλήγειν. θεωρία γὰρ ἀχαλίνωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν, ἀλλὰ φόβῳ στοιχειουμένους καὶ καθαιρουμένους, καὶ ἵν' οὕτως εἴπω λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι. οὗ γὰρ φόβος, ἐντολῶν τήρησις. οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους, καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα. οὗ δὲ κάθαρσις, ἔλλαμψις. ἔλλαμψις δὲ πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἢ τοῦ μεγίστου, ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις. διὰ τοῦτο καθαρτέον πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον. εἴπερ μὴ μέλλοιμεν τὸ τοῦ Ἰσραὴλ πείσεσθαι μὴ φέροντος τὴν δόξαν τοῦ προσώπου Μωϋσέως, καὶ διὰ τοῦτο δεομένου καλύμματος, ἢ τὸ τοῦ Μανωὲ καὶ πείσεσθαι καὶ λέξειν· ἀπολώλαμεν ὦ γύναι, Θεὸν ἑωράκαμεν, ἐν φαντασίᾳ Θεοῦ γενομένου. ἢ ὡς Πέτρος τοῦ πλοίου τὸν Ἰησοῦν ἀποπέμψασθαι, ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας. Πέτρος δὲ ὅταν εἴπω, τίνα λέγω; τὸν κατὰ κύματα βαδίζοντα. ἢ ὡς Παῦλος τὴν ὄψιν πληγήσεσθαι, πρὶν καθαρθῆναι τῶν διωγμῶν τῷ διωκομένῳ προσομιλήσας, μᾶλλον δὲ βραχείᾳ τοῦ μεγάλου φωτὸς λαμπηδόνι. ἢ ὡς ὁ ἑκατόνταρχος τὴν μὲν θεραπείαν ἐπιζητήσειν, τῇ οἰκίᾳ δὲ τὸν θεραπευτὴν οὐκ εἰσδέξασθαι διὰ δειλίαν ἐπαινούμενον. λεγέτω τις καὶ ἡμῶν ἕως οὔπω καθαίρεται, ἀλλ' ἔστιν ἑκατόνταρχος ἔτι πλειόνων ἐν κακίᾳ κρατῶν, καὶ στρατεύεται Καίσαρι τῷ κοσμοκράτορι τῶν κάτω συρομένων· οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὅταν δὲ Ἰησοῦν θεάσηται, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν, ὡς Ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομωραίαν ἀρθῇ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ ὑπεραναβὰς τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ εἰσδεχέσθω τὸν Λόγον, καὶ ἀκουέτω· σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ. καὶ λαμβανέτω τὴν σωτηρίαν, καὶ καρποφορείτω τὰ τελεώτερα, σκορπίζων καὶ διαχέων καλῶς, ἃ κακῶς ἐτελώνησεν. ὁ γὰρ αὐτὸς Λόγος καὶ φοβερὸς τοῖς οὐκ ἀξίοις διὰ τὴν φύσιν, καὶ χωρητὸς διὰ φιλανθρωπίαν τοῖς οὕτως ἐντρεπισμένοις. ὡς οἱ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες, καὶ τὰς ἑαυτῶν ψυχὰς τῇ ἐπιγνώσει σαρώσαντες καὶ κοσμήσαντες, μηδὲ ἀργὴν, μηδὲ ἄπρακτον ἔχωσιν, ὥστε μηδὲ πλείονος τοῦ πρὶν ἀσθενείας αὖθις καταληφθῆναι ὑπὸ τῶν ἑπτὰ τῆς κακίας πνευμάτων, ὅσα καὶ τῆς ἀρετῆς ἀπηρίθμηται. τὸ γὰρ δυσμαχώτερον, πολυσπουδαστοτέρους. ἀλλὰ πρὸς τὸ φυγεῖν τὴν κακίαν, καὶ τὴν ἀρετὴν ἐργάζονται. ὅλον τὸν χῶρον, ἢ ὅ, μάλιστα, ἑαυτοῖς εἰσοικίσαντες, ὥστε μηδενὶ κενῷ τὴν πονηρὰν δύναμιν ὁμιλήσασαν, ἑαυτῆς πάλιν πληρῶσαι καὶ γενέσθαι τὰ ἔσχατα, χείρονα τῶν πρώτων. ἀλλὰ τὸ τῆς καταδρομῆς σφοδρότερον, καὶ τῆς φρουρᾶς ἀσφαλέστερον καὶ δυσαλωτότερον. ὅταν δὲ πάσῃ φυλακῇ τηρήσαντες, τὴν ἑαυτῶν ψυχὴν, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθέμενοι, καὶ νεώσαντες ἑαυτοῖς νεώματα, καὶ σπείραντες εἰς δικαιοσύνην, ὡς Σολομῶντι, καὶ Δαβίδ, καὶ Ἱερεμίᾳ δοκεῖ, φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως, τηνικαῦτα λαλῶμεν Θεοῦ σοφίαν, ἐν

μυστηρίῳ

γρ. γινόμενοι

εἰσὶ

ἑαυτοὺς

μυστηρίῳ τὴν ἀρχὴν κεχρημμένην, καὶ τοῖς ἄλλοις ἐκλάμπωμεν. τέως δὲ καθαιρόμεθα καὶ προτελούμεθα τῷ λόγῳ, ἵν᾽ ὅτι μάλιστα ἡμᾶς αὐτοὺς εὐεργετῶμεν θεοειδεῖς ἐργαζόμενοι, καὶ ἥκοντα τὸν λόγον ὑποδεχόμενοι· οὐ μόνον δὲ, ἀλλὰ καὶ κρατοῦντες, καὶ τοῖς ἄλλοις προφαίνοντες. ἐπεὶ δὲ αἰνικῶς ἐθηράμεν τῷ λόγῳ τὸ θέατρον, φέρε τι περὶ τῆς ἑορτῆς ἤδη φιλοσοφήσωμεν, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις καὶ φιλοθέοις ψυχαῖς. ἐπεὶ δὲ κεφάλαιον ἑορτῆς μνήμη θεοῦ, θεοῦ μνημονεύσωμεν. καὶ γὰρ τὸν ἐκεῖσε τῶν ἑορταζόντων ἦχον, οὗ θεαὶ εὐφραινομένων πάντων ἡ κατοικία, οὐκ ἄλλο τι, ἢ τοῦτο εἶναι νομίζω, θεὸν ὑμνούμενόν τε καὶ δοξαζόμενον, τοῖς τῆς ἐκεῖσε πολιτείας ἠξιωμένοις. εἰ δέ τι τῶν ἤδη προειρημένων, ὃ νῦν ἕξει λόγος, θαυμαζέτω μηδείς. οὐ γὰρ τὰ αὐτὰ φθέγγομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν φρίττω καὶ γλῶσσαν, καὶ διάνοιαν, ὅταν περὶ θεοῦ φθέγγωμαι, καὶ ὑμῖν ταὐτὸ τοῦτο συνευχόμενος, τὸ ἐπαινετὸν πάθος καὶ μακάριον. θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισί. τρισὶ μὲν, κατὰ τὰς ἰδιότητας, εἴτ᾽ οὖν ὑποστάσεις εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα (οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν) ἑνὶ δὲ, κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτ᾽ οὖν θεότητος. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν᾽ οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης καὶ τὰ τρία, τὰ ἐν οἷς ἡ θεότης. ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης. τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψομεν· οὔτε τὴν ἕνωσιν, σύγχυσιν ἐργαζόμενοι· οὔτε τὴν διαίρεσιν, ἀλλοτρίωσιν. ἀπέστω γὰρ ἡμῖν ἐξ ἴσου, καὶ ἡ Σαβελλίου συναίρεσις, καὶ ἡ Ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν. τί γὰρ δεῖ θεὸν, ἢ συναλείφειν κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα. ἡμῖν δὲ εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα. καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, τοῦ ἐξ οὗ, καὶ δι᾽ οὗ, καὶ ἐν ᾧ μὴ φύσεις τεμνόντων. οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων, ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. καὶ τοῦτο δῆλον, ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν. εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τοῦ αὐτοῦ ἀποστόλου· τὸ ἐξ αὐτοῦ, καὶ δι᾽ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. πατὴρ, ὁ πατὴρ, καὶ ἄναρχος· οὐ γὰρ ἔκ τινος. υἱὸς, ὁ υἱὸς, καὶ οὐκ ἄναρχος· ἐκ τοῦ πατρὸς γάρ. εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνοις ἀρχὴν, καὶ ἄναρχος. ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. πνεῦμα ἅγιον ἀληθῶς τὸ πνεῦμα, προϊὸν μὲν ἐκ πατρὸς, οὐχ υἱικῶς δέ· οὐδὲ γὰρ γεννητῶς, ἀλλ᾽ ἐκπορευτῶς. εἰ δεῖ τι καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας εἵνεκεν, οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν, οὔτε τοῦ υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου (πῶς γάρ;) οὔτε τοῦ πνεύματος, ἢ εἰς πατέρα μεταπίπτοντος, ἢ εἰς υἱὸν, ὅτι ἐκπορεύεται. καὶ ὅτι θεὸς, κἂν μὴ δοκῇ τοῖς ἀθέοις. ἡ γὰρ ἰδιότης ἀκίνητος, ἢ πῶς ἂν ἰδιότης μένοι, κινουμένη καὶ μεταπίπτουσα. οἱ δὲ τὴν ἀγεννησίαν, καὶ τὴν γέννησιν φύσεις θεῶν ὁμωνύμους ποιούμενοι, τάχα ἂν καὶ τὸν Ἀδὰμ, καὶ τὸν Σὴθ. ὅτι ὁ μὲν οὐκ ἀπὸ σαρκὸς (πλάσμα γάρ) ὁ δὲ ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἀλλήλοις κατὰ τὴν φύσιν ἀλλοτριώσουσιν. εἷς οὖν θεὸς ἐν τρισὶ, καὶ τὰ τρία ἕν, ὥσπερ ἔφαμεν. ἐπεὶ δὲ οὕτω ταῦτα ἢ τοῦτο, ἔδει δὲ μὴ τοῖς ἄνω μόνοις τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ᾽ εἶναί τινας καὶ κάτω προσκυνητὰς, ἵνα πληρωθῇ τὰ πάντα δόξης θεοῦ (ἐπεὶ καὶ θεοῦ) διὰ τοῦτο κτίζεται ἄνθρωπος, χειρὶ θεοῦ τιμηθεὶς καὶ εἰκόνι. τοῦτον δὲ φθόνῳ διαβόλου, καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας θεοῦ τοῦ πεπλακότος ἐλεεινῶς χωριζόμενον περιιδεῖν οὐ θεοῦ, τί γίνεται, καὶ τί τὸ μέγα περὶ ἡμᾶς μυστήριον. καινοτομοῦνται φύσεις, καὶ θεὸς ἄνθρωπος γίνεται. καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς τῆς ἰδίας δόξης τε καὶ λαμπρότητος, ἐπὶ δυσμῶν δοξάζεται τῆς ἡμετέρας εὐτελείας καὶ ταπεινότητος. καὶ ὁ υἱὸς τοῦ θεοῦ δέχεται, καὶ υἱὸς ἀνθρώπου γενέσθαι τε καὶ κληθῆναι, οὐχ ὃ ἦν μεταβαλὼν, ἄτρεπτος γὰρ, ἀλλ᾽ ὃ οὐκ ἦν προσλαβών. φιλάνθρωπος γάρ. ἵνα χωρηθῇ ὁ ἀχώρητος διὰ μέσης σαρκὸς ὁμιλήσας ἡμῖν ὡς ἐκ παραπετάσματος. ἐπειδὴ καθαρὰ αὐτοῦ τὴν θεότητα φέρειν, οὐ τῆς ἐν γενέσει καὶ φθορᾷ φύσεως. διὰ τοῦτο τὰ ἄμικτα μίγνυται. οὐ γενέσει μόνον θεὸς, οὐδὲ σαρκὶ νοῦς, οὐδὲ χρόνῳ τὸ ἄχρονον, οὐδὲ μέτρῳ τὸ ἀπερίγραπτον, ἀλλὰ καὶ παρθενίᾳ γέννησις, καὶ ἀτιμίᾳ, τὸ καὶ τιμῆς ἁπάσης ὑψηλότερον καὶ πάθει, τὸ ἀπαθὲς. καὶ τὸ φθαρτὸν, τὸ ἀθανάτοις. ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ σοφιστὴς, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται. ἵν᾽ ὡς τὸ Ἀδὰμ προσβαλὼν, τῷ θεῷ περιπέσῃ καὶ οὕτως, ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται, καὶ λυθῇ τὸ κατάκριμα τῆς σαρκὸς, σαρκὶ τοῦ θανάτου θανατωθέντος. τῇ μὲν οὖν γεννήσει τὰ εἰκότα προεορτάσαμεν. ἐγώ τε ὁ τῆς ἑορτῆς ἔξαρχος, καὶ ὑμεῖς. καὶ πᾶν ὅσον ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον μετὰ ἀστέρος ἐδράμομεν, καὶ μετὰ μάγων προσεκυνήσαμεν, μετὰ ποιμένων περι-

ἐλλαμφθῶμεν, καὶ μετὰ ἀγγέλων δοξάσωμεν, μετὰ Συμεὼν ἐναγκαλισώμεθα, καὶ μετὰ Ἄννης ἀνθομολογησώμεθα τῆς γηραιᾶς καὶ σώφρονος. καὶ χάρις τῷ εἰς τὰ ἴδια ἐλθόντι ἀλλοτρίως, ὅτι τὸν ξένον ἐδόξασε. νυνὶ δὲ πρᾶξις ἄλλη Χριστοῦ, καὶ ἄλλο μυστήριον. οὐ δύναμαι κατέχειν τὴν ἡδονήν, ἔνθεος γίνομαι. μικροῦ καὶ ὡς Ἰωάννης εὐαγγελίζομαι, εἰ καὶ μὴ πρόδρομος, ἀλλ' ἀπὸ τῆς ἐρημίας. Χριστὸς φωτίζεται, συναστράψωμεν. Χριστὸς βαπτίζεται, συγκατέλθωμεν, ἵνα καὶ συνανέλθωμεν. βαπτίζεται Ἰησοῦς. τοῦτο μόνον, ἢ καὶ τὰ ἄλλα τηρεῖν ὑμῖν μεχρὶς ἀναγκαῖον. τίς ὤν, καὶ παρὰ τίνος, καὶ πηνίκα, ὁ καθαρός, καὶ παρὰ Ἰωάννου, καὶ τῶν σημείων ἀρχόμενος. ἵνα τί μάθωμεν, καὶ τί παιδευθῶμεν; προκαθαίρεσθαι, καὶ ταπεινοφρονεῖν, καὶ κηρύσσειν ἐν τελειότητι, καὶ τῆς πνευματικῆς, καὶ τῆς σωματικῆς ἡλικίας. ἐκεῖνο πρὸς τοὺς τὸ βάπτισμα σχεδιάζοντας, καὶ μὴ προευτρεπιζομένους, μηδὲ τὸ ἀσφαλὲς τῇ λυτρώσει χαριζομένους, διὰ τῆς εἰς τὸ καλὸν ἕξεως. καὶ γὰρ εἰ ἄφεσιν ἔχει τῶν παρελθόντων τὸ χάρισμα, χάρισμα γάρ, ἀλλὰ τό γε μᾶλλον εὐλαβείας ἄξιον, μὴ πρὸς τὸν αὐτὸν ἔμετον ἐπανέλθωμεν. τοῦτο πρὸς τοὺς ἱερωμένους κατὰ τὴν οἰκονομίαν τοῦ μυστηρίου ἂν ἀξίᾳ τινὶ προέχωσι. τὸ τρίτον πρὸς τοὺς θαρροῦντας νεότητι, καὶ πάντα καιρὸν οἰομένους εἶναι διδασκαλίας ἢ προεδρείας. Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς τῆς καθάρσεως; ὑπὸ Ἰωάννου. καὶ σὺ κατεξανίστασαι τοῦ σοῦ κήρυκος; τριακονταέτης ὤν, καὶ σὺ πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας, ἢ τῷ διδάσκειν πιστεύεις. οὔτε παρὰ τῆς ἡλικίας, οὔτε παρὰ τοῦ χρόνου τυχόν, ἔχων τὸ αἰδέσιμον; εἶτα ὁ Δανιὴλ ἐνταῦθα καὶ ὁ δεῖνα, νέοι κριταί. καὶ τὰ παραδείγματα, ἐπὶ γλώσσης. πᾶς γὰρ ἀδικῶν, εἰς ἀπολογίαν ἕτοιμος, ἀλλ' οὐ νόμος ἐκκλησίας, τὸ σπάνιον. ἐπεὶ μηδὲ μία χελιδὼν ἔαρ ποιεῖ, μηδὲ γραμμὴ μία τὸν γεωμέτρην, ἢ πλοῦς εἷς τὸν θαλάττιον. πλὴν Ἰωάννης βαπτίζει. προσέρχεται Ἰησοῦς ἁγιάζων τυχὸν μὲν καὶ τὸν βαπτιστήν. τὸ δὲ πρόδηλον, πάντα τὸν παλαιὸν Ἀδάμ, ἵν' ἐνθάψῃ τῷ ὕδατι. πρὸ δὲ τούτων, καὶ διὰ τοῦτον τὸν Ἰορδάνην, ὥσπερ ἦν πνεῦμα καὶ σάρξ, οὕτω πνεύματι τελειῶν καὶ ὕδατι, οὐ δέχεται ὁ βαπτιστής. ὁ Ἰησοῦς ἀγωνίζεται. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, ὁ λύχνος τῷ ἡλίῳ φησίν, ἡ φωνὴ τῷ λόγῳ, ὁ φίλος τῷ νυμφίῳ, ὁ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας τῷ πρωτοτόκῳ πάσης κτίσεως. ὁ προσκιρτήσας ἀπὸ γαστρός, τῷ ἐν γαστρὶ προσκυνηθέντι. ὁ πρόδρομος καὶ προδραμούμενος, τῷ φανέντι καὶ φανησομένῳ. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. πρόσθες καὶ τὸ ὑπὲρ σοῦ. ᾔδει γὰρ τῷ μαρτυρίῳ βαπτισθησόμενος, καὶ σὺ ἔρχῃ πρός με; καὶ τοῦτο προφητικόν. ᾔδει γὰρ ὡς μετὰ Ἡρώδην, Πιλᾶτον μανησόμενον, οὕτω καὶ τῷ προαπελθόντι Χριστὸν ἑψόμενον. τί δὲ Ἰησοῦς; ἄφες ἄρτι. τοῦτο γὰρ ἡ οἰκονομία. ᾔδει γὰρ μετ' ὀλίγον, αὐτὸς βαπτίσων τὸν βαπτιστήν. τί δὲ τὸ πτύον; ἡ κάθαρσις. τί δὲ τὸ πῦρ; ἡ τοῦ κούφου δαπάνη, καὶ ἡ ζέσις τοῦ πνεύματος. τί δὲ ἡ ἀξίνη; τῆς ἀθεραπεύτου ψυχῆς ἡ ἐκτομὴ καὶ μετὰ τὴν κόπρον. τί δὲ ἡ μάχαιρα; ἡ τομὴ τοῦ λόγου, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, καὶ διχοτομοῦσα τὸν πιστόν, καὶ τὸν ἄπιστον. καὶ ἐπεγείρουσα τὸν υἱόν, καὶ τὴν θυγατέρα, καὶ τὴν νύμφην, τῷ πατρί, καὶ τῇ μητρί, καὶ τῇ πενθερᾷ. τὰ νέα καὶ πρόσφατα, τοῖς παλαιοῖς καὶ σκιώδεσι. τί δὲ ὁ σφαιρωτὴρ τοῦ ὑποδήματος, ὃν οὐ λύεις ὁ βαπτίζων Ἰησοῦν, ὁ τῆς ἐρημίας καὶ ἄτροφος, ὁ νέος Ἠλίας, ὁ προφήτου πλειότερος, ὅσῳ καὶ τὸν προφητευόμενον εἶδεν. ὁ παλαιᾶς καὶ νέας μεσίτης. τί τοῦτο; τυχὸν ὁ τῆς ἐπιδημίας λόγος, καὶ τῆς σαρκός, οὐ μηδὲ τὸ ἀκρότατον εὐδιάλυτον, μὴ ὅτι τοῖς σαρκικοῖς ἔτι καὶ νηπίοις ἐν Χριστῷ, ἀλλ' οὐδὲ τοῖς κατὰ Ἰωάννην τῷ πνεύματι. ἀλλὰ καὶ ἀνέρχεται Ἰησοῦς ἐκ τοῦ ὕδατος. συναναφέρει γὰρ ἑαυτῷ τὸν κόσμον, καὶ ὁρᾷ σχιζομένους τοὺς οὐρανούς, οὓς ὁ Ἀδὰμ ἔκλεισεν ἑαυτῷ τε, καὶ τοῖς μετ' αὐτόν. ὥσπερ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τὸν παράδεισον, καὶ τὸ πνεῦμα μαρτυρεῖ τὴν θεότητα. τῷ γὰρ ὁμοίῳ προστρέχει, καὶ ἡ ἐξ οὐρανῶν φωνή. ἐκεῖθεν γὰρ ὁ μαρτυρούμενος, καὶ ὡς περιστερά. τιμᾷ γὰρ τὸ σῶμα (ἐπεὶ καὶ τοῦτο τῇ θεώσει θεός) σωματικῶς ὁρώμενον, καὶ ἅμα πόρρωθεν ἔθισται περιστερά, κατακλυσμοῦ λύσιν εὐαγγελίζεσθαι. εἰ δὲ ὄγκοις καὶ σταθμοῖς κρίνεις θεότητα, καὶ διὰ τοῦτο μικρὸν σοι τὸ πνεῦμα, ὅτι ἐν εἴδει περιστερᾶς, ὦ μικρολόγε περὶ τὰ μέγιστα; ὥρα σοι καὶ βασιλείαν οὐρανῶν ἀτιμάζειν, ὅτι κόκκῳ σινάπεως ἀπεικάζεται, καὶ τῆς Ἰησοῦ μεγαλειότητος, ὑπεραίρειν τὸν ἀντικείμενον. ὅτι ὁ μὲν ὄρος μέγα καλεῖται, καὶ λευιαθάν, καὶ βασιλεὺς τῶν ἐν τοῖς ὕδασιν. ὁ δὲ ἀμνός, καὶ μαργαρίτης, καὶ σταγών, καὶ τὰ τοιαῦτα προσαγορεύεται. ἐπεὶ δὲ βαπτίσματος ἡ πανήγυρις, καὶ δεῖ μικρόν τι προσκακοπαθῆσαι τῷ δι' ἡμᾶς μορφωθέντι, καὶ βαπτισθέντι, καὶ σταυρωθέντι, φέρε τι περὶ διαφορᾶς βαπτισμάτων φιλοσοφήσωμεν. ἵν' ἀπέλθωμεν ἐντεῦθεν κεκαθαρμένοι. ἐβάπτισε Μωϋσῆς, ἀλλ' ἐν ὕδατι. καὶ πρὸ τούτου ἐν νεφέλῃ, καὶ ἐν θαλάσσῃ. τυπικῶς δὲ τοῦτο ἦν, ὡς καὶ Παύλῳ δοκεῖ. ἡ θάλασσα τοῦ ὕδατος, ἡ νεφέλη τοῦ πνεύματος, τὸ μάννα τοῦ τῆς ζωῆς ἄρτου, τὸ πόμα τοῦ θείου πόματος. ἐβάπτισε καὶ Ἰωάννης, οὐκ

κηρύττειν

περὶ πρὸ

προδραμών

ἢ, μὴ ὡς πρὸ τοὺς τότε μόνον καθαρισθησόμενος

τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος

ἢ παλιγγενεσία τοῦ κάτω κόσμου συναγωνίζεσθαι

της, οὐκ ἔτι μὲν ἰουδαϊκῶς. οὐ γὰρ ἐν ὕδατι μόνον, ἀλλὰ καὶ εἰς μετάνοιαν. οὔπω δὲ ὅλον πνευματικῶς. οὐ γὰρ προστίθησι τὸ ἐν πνεύματι. βαπτίζει καὶ Ἰησοῦς, ἀλλ' ἐν πνεύματι. τοῦτο ἡ τελειότης. καὶ πῶς οὐ θεός, ἵνα τι παραθαρρήσω μικρόν, ἐξ οὗ καὶ σὺ γίνῃ θεός. οἶδα καὶ τέταρτον βάπτισμα, τὸ διὰ μαρτυρίου καὶ αἵματος, ὃ καὶ αὐτὸς Χριστὸς ἐβαπτίσατο, καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτερον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται. οἶδα καὶ πέμπτον ἔτι, τὸ τῶν δακρύων, ἀλλ' ἐπιπονώτερον, ὡς ὁ λούων καθ' ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ, καὶ τὴν στρωμνὴν τοῖς δάκρυσιν. ᾧ τῆς κακίας προσώζεσαν, καὶ οἱ μώλωπες. ὃς πενθῶν καὶ σκυθρωπάζων πορεύεται, ὃς μιμεῖται τὴν ἐπιστροφὴν Μανασσῆ, καὶ τὴν τῶν Νινευιτῶν ἠλεημένην ταπείνωσιν. ὃς φθέγγεται τὰς τοῦ τελώνου φωνὰς ἐν τῷ ἱερῷ, καὶ δικαιοῦται παρὰ τὸν μεγάλαυχον Φαρισαῖον. ὃς συγκύπτει κατὰ τὴν Χαναναίαν, καὶ ζητεῖ φιλανθρωπίαν, καὶ ψίχας κυνὸς τροφὴν ἄγαν λιμώττοντος. ἐγὼ μὲν οὖν (ἄνθρωπος εἶναι γὰρ ὁμολογῶ ζῶον τρεπτὸν καὶ ῥευστῆς φύσεως) καὶ δέχομαι τοῦτο προθύμως, καὶ προσκυνῶ τὸν δεδωκότα. καὶ τοῖς ἄλλοις μεταδίδωμι, καὶ προεισφέρω τῷ ἐλέῳ τὸν ἔλεον. οἶδα γὰρ καὶ αὐτὸς ἀσθένειαν περικείμενος, καὶ ὡς ἂν μετρήσω, μετρηθησόμενος. σὺ δὲ τί λέγεις; τί νομοθετεῖς ὦ νέε Φαρισαῖε, καὶ καθαρὲ τὴν προσηγορίαν, οὐ τὴν προαίρεσιν, καὶ φυσῶν ἡμῖν τὰ Ναυάτου μετὰ τῆς αὐτῆς ἀσθενείας. οὐ δέχῃ μετάνοιαν; οὐ δίδως ὀδυρμοῖς χώραν; οὐ δακρύεις δάκρυον; μὴ σύ γε τοιούτου κριτοῦ τύχοις. οὐκ αἰδῇ τὸ Ἰησοῦ φιλάνθρωπον, τοῦ τὰς ἀσθενείας ἡμῶν λαβόντος, καὶ τὰς νόσους βαστάσαντος; τοῦ μὴ δικαίοις ἐλθόντος, ἀλλ' ἁμαρτωλοῖς εἰς μετάνοιαν; τοῦ ἔλεον θέλοντος μᾶλλον ἢ θυσίαν; τοῦ ἑβδομηκοντάκις ἑπτὰ συγχωροῦντος τὰ ἁμαρτήματα; ὡς μακάριον ἦν σου τὸ ὑψηλὸν, εἰ καθαρότης ἦν, ἀλλὰ μὴ τῦφος, νομοθετοῦν ὑπὲρ ἄνθρωπον, καὶ λῦον τῇ ἀπογνώσει τὴν ἐπανόρθωσιν. ὁμοίως γὰρ ἄμφω κακὸν, καὶ ἄνεσις ἀσωφρόνιστος, καὶ κατάγνωσις ἀσυγχώρητος. ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ καταγχοῦσα. δεῖξόν μοι τὴν καθαρότητα, καὶ δέχομαί σου τὴν θρασύτητα, νῦν δὲ δέδοικα μὴ βρύων ἕλκεσιν, εἰσάγεις τὸ ἀνιάτρευτον. οὐδὲ τὸν Δαβὶδ δέχῃ μετανοοῦντα, ᾧ καὶ τὸ προφητικὸν χάρισμα, ἡ μετάνοια συνετήρησεν; οὐδὲ Πέτρον τὸν μέγαν παθόντα τι ἀνθρώπινον περὶ τὸ σωτήριον πάθος. Ἰησοῦς δὲ ἐδέξατο, καὶ τῷ τρισσῷ τῆς ἐρωτήσεως, καὶ τῆς ὁμολογίας, τὸ τρισσὸν τῆς ἀρνήσεως ἐθεράπευσεν. ἢ οὐδὲ τελειωθέντα δέχῃ δι' αἵματος. ἔστι γὰρ καὶ τοῦτο τῆς σῆς ἀπονοίας. οὐδὲ τὸν ἐν Κορίνθῳ παρανομήσαντα; Παῦλος δὲ καὶ ἀγάπην ἐκύρωσεν. ἐπειδὴ τὴν διόρθωσιν εἶδε, καὶ τὸ αἴτιον, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος, βαρυνθεὶς τῇ ἀμετρίᾳ τῆς ἐπιπλήξεως. οὐδὲ τὰς νέας γαμίζειν χήρας, διὰ τὸ τῆς ἡλικίας εὐάλωτον ἐκώλυσεν; ἢ τοῦτο ἐτόλμησεν, οὐ σὺ δηλαδὴ διδάσκαλος. ὃς ἐπὶ τρίτον οὐρανὸν φθάσας, καὶ ἄλλον παράδεισον, καὶ ἀρρητοτέρων ἀκούσας, καὶ μείζονα κύκλον τοῦ εὐαγγελίου περιλαβών. ἀλλ' οὐ μετὰ τὸ βάπτισμα ταῦτα, φησίν. τίς ἡ ἀπόδειξις; ἢ δεῖξον, ἢ μὴ κατάκρινε. εἰ δὲ ἀμφίβολον, νικάτω τὸ φιλάνθρωπον. ἀλλὰ Ναυάτος φησίν, οὐκ ἐδέξατο τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας. τί τοῦτο; εἰ μὲν οὐ μεταγνόντας, δικαίως. οὐδὲ ἐγὼ δέχομαι τοὺς ἢ μὴ καμπτομένους, ἢ μὴ ἀξίως μηδὲ ἀντισηκοῦντας τοῦ κακοῦ τὴν διόρθωσιν. καὶ ὅταν δέχωμαι, τὴν προσήκουσαν αὐτοῖς ἀποδίδωμι χώραν. εἰ δὲ τοὺς ἐκτακέντας τοῖς δάκρυσιν, οὐ μιμήσομαι. καὶ τίς μοι νόμος ἡ Ναυάτου μισανθρωπία, ὃς πλεονεξίαν μὲν οὐκ ἐκόλασε τὴν δευτέραν εἰδωλολατρείαν, πορνείαν δὲ οὕτω πικρῶς κατεδίκασεν, ὡς ἄσαρκος καὶ ἀσώματος. τί φατέ; πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις; δεῦρο στῆτε μεθ' ἡμῶν τῶν ἀνθρώπων. μεγαλύνωμεν ἅμα τὸν κύριον, μή τις ὑμῶν εἴπῃ τολμηρός, μηδὲ ἐν λίαν ἑαυτῷ τεθαρρηκώς, μή μου ἅπτου. καθαρὸς γάρ εἰμι, καὶ τίς οὕτως ὥσπερ ἐγώ; μεταδότε καὶ ἡμῖν τῆς λαμπρότητος. ἀλλ' οὐ πείθομεν; καὶ ὑπὲρ ὑμῶν δακρύσομεν. οὗτοι μὲν οὖν εἰ μὲν βούλονται τὴν ἡμετέραν ὁδὸν καὶ Χριστοῦ. εἰ δὲ μή, τὴν ἑαυτῶν πορευέσθωσαν. τυχὸν ἐκεῖ τῷ πυρὶ βαπτισθήσονται τῷ τελευταίῳ βαπτίσματι, τῷ ἐπιπονωτέρῳ καὶ μακροτέρῳ, ὃ ἐσθίει ὡς χόρτον τὴν ὕλην, καὶ δαπανᾷ πάσης κακίας κουφότητα. ἡμεῖς δὲ τιμήσωμεν τὸ Χριστοῦ βάπτισμα σήμερον, καὶ καλῶς ἑορτάσωμεν, μὴ γαστρὶ τρυφῶντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι. τρυφήσωμεν δὲ πῶς; λούσασθε, καθαροὶ γένεσθε. εἰ μὲν φοινικοῖ τὴν ἁμαρτίαν, ἔστι καὶ ἧττον αἱματώδεις, λευκάνθητε ὡς χιών. εἰ δὲ κόκκινοι καὶ ἄνδρες αἱμάτων τέλεοι, καὶ εἰς ἐρίου λευκότητα φθάσατε. πάντως δὲ καθάρθητε, καὶ καθαίρεσθε. ἐπ' οὐδενὶ τοσοῦτον χαίρει θεός, ὅσον ἀνθρώπου διορθώσει καὶ σωτηρίᾳ. ὑπὲρ οὗ λόγος ἅπας, καὶ ἅπαν μυστήριον. ἵνα γένησθε ὡς φωστῆρες ἐν κόσμῳ, ζωτικὴ τοῖς ἄλλοις ἀνθρώποις δύναμις. ἵνα φῶτα τέλεα τῷ μεγάλῳ φωτὶ παραστάντες, καὶ τὴν ἐκεῖσε μυηθῆτε φωταγωγίαν, ἐλλαμπόμενοι τῇ τριάδι καθαρώτερον καὶ τρανότερον, ἧς νῦν μετρίως ὑποδεδέγμεθα τὴν μίαν αὐγὴν ἐκ μιᾶς τῆς θεότητος, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ.

Χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ πανηγυρίσαντες, καὶ γὰρ ἔπρεπε χαρμόσυνα δίδοσθαι τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ πολὺ μᾶλλον ἢ γαμήλια καὶ γενέθλια, καὶ ὀνομαστήρια, τοῖς σαρκικοῖς φίλοις. κουρόσυνά τε καὶ εἰσιτήρια, καὶ ἐπίσια, ὅσα τε ἄλλα πανηγυρίζουσιν ἄνθρωποι, σήμερον περὶ τοῦ βαπτίσματος βραχέα διαλεξώμεθα, καὶ τῆς ἐντεῦθεν ἡμῖν ὑπερχύσεως εὐεργεσίας. εἰ καὶ χθὲς ὑμᾶς ὁ λόγος παρέδραμε τῆς ὥρας κατεπειγούσης, καὶ ἅμα τοῦ λόγου τὸν κόρον φεύγοντος. κόρος δὲ πολέμιος ἀκοαῖς ὡς ὑπερβάλλουσα τροφὴ σώμασι. προσέχειν δὲ ἄξιον τοῖς λεγομένοις, καὶ μὴ παρέργως, ἀλλὰ προθύμως τὸν περὶ τηλικούτων δέξασθαι λόγον. ἐπεὶ δὴ καὶ τοῦτό ἐστι φωτισμός, τὸ γνῶναι τοῦ μυστηρίου τὴν δύναμιν. τριττὴν γέννησιν ἡμῖν οἶδεν ὁ λόγος, τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως. τούτων δὲ ἡ μὲν νυκτερινή τέ ἐστι, καὶ δούλη, καὶ ἐμπαθής. ἡ δὲ ἡμερινή, καὶ ἐλευθέρα, καὶ λυτικὴ παθῶν. πᾶν τὸ ἐκ γενέσεως κάλυμμα περιτέμνουσα, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπανάγουσα. ἡ δὲ φοβερωτέρα τε καὶ συντομωτέρα. πᾶν τὸ πλάσμα συνάγουσα ἐν βραχεῖ, τῷ πλάστῃ παραστησομένη, καὶ λόγον ὑφέξον τῆς ἐνταῦθα δουλείας τε καὶ πολιτείας. εἴτε τῇ σαρκὶ μόνον ἐπηκολούθησεν, εἴτε τῷ πνεύματι συνανῆλθε, καὶ τὴν χάριν ᾐδέσθη τῆς ἀναπλάσεως. ταύτας δὴ τὰς γεννήσεις ἁπάσας τὰς ἐμαυτοῦ τιμήσας ὁ ἐμὸς Χριστὸς φαίνεται, τὴν μὲν τῷ ἐμφυσήματι τῷ πρώτῳ καὶ ζωτικῷ, τὴν δὲ τῇ σαρκώσει, καὶ τῷ βαπτίσματι, ὅπερ αὐτὸς ἐβαπτίσατο· τὴν δὲ τῇ ἀναστάσει, ἧς αὐτὸς ἀπήρξατο, ὡς ἐγένετο πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτω καὶ πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας. περὶ μὲν δὴ τῶν δύο γεννήσεων, τῆς πρώτης τέ φημι, καὶ τῆς τελευταίας φιλοσοφεῖν, οὐ τοῦ παρόντος καιροῦ. περὶ δὲ τῆς μέσης καὶ τῆς νῦν ἡμῖν ἀναγκαίας, ἧς ἐπώνυμος ἡ τῶν φώτων ἡμέρα φιλοσοφήσωμεν. τὸ φώτισμα, λαμπρότης ἐστὶ ψυχῶν, βίου μετάθεσις, ἐπερώτημα τῆς εἰς θεὸν συνειδήσεως. τὸ φώτισμα, βοήθεια τῆς ἀσθενείας τῆς ἡμετέρας. τὸ φώτισμα, σαρκὸς ἀπόθεσις, πνεύματος ἀκολούθησις, λόγου κοινωνία, πλάσματος ἐπανόρθωσις, κατακλυσμὸς ἁμαρτίας, φωτὸς μετουσία, σκότους κατάλυσις. τὸ φώτισμα, ὄχημα πρὸς θεόν, συνεκδημία Χριστοῦ, ἔρεισμα πίστεως, νοῦ τελείωσις, κλεὶς οὐρανῶν βασιλείας, ζωῆς ἄμειψις, δουλείας ἀναίρεσις, δεσμῶν ἔκλυσις, συνθέσεως μεταποίησις. τὸ φώτισμα τί δεῖ πλείω καταριθμεῖν, τῶν τοῦ θεοῦ δώρων τὸ κάλλιστον καὶ μεγαλοπρεπέστατον, ὥσπερ ἅγια ἁγίων καλεῖταί τινα (καὶ ᾆσμα τῶν ᾀσμάτων, ὡς περιεκτικώτερα γάρ ἐστι καὶ κυριώτερα) οὕτω καὶ αὐτὸ παντὸς ἄλλου τῶν παρ' ἡμῖν φωτισμῶν ὂν ἁγιώτερον. καλεῖται δὲ ὥσπερ Χριστὸς ὁ τούτου δοτήρ, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, οὕτω δὲ καὶ τὸ δώρημα, εἴτε διὰ τὸ περιχαρὲς τοῦ πράγματος τοῦτο παθόντων ἡμῶν (φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς διακείμενοι, ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασιν) εἴτε τοῦ πολυειδοῦς τῆς εὐεργεσίας πολλὰς κλήσεις ἡμῖν δημιουργοῦντος, δῶρον καλοῦμεν, χάρισμα, βάπτισμα, χρίσμα, φώτισμα, ἀφθαρσίας ἔνδυμα, λουτρὸν παλιγγενεσίας, σφραγῖδα, πᾶν ὅ τι τίμιον. δῶρον μὲν ὡς καὶ μηδὲν προεισενεγκοῦσι διδόμενον. χάρισμα δέ, ὡς καὶ ὀφείλουσι. βάπτισμα δέ, ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας. χρίσμα δέ, ὡς ἱερὸν καὶ βασιλικόν. τοιαῦτα γὰρ ἦν τὰ χριόμενα. φώτισμα δέ, ὡς λαμπρότητα. ἔνδυμα δέ, ὡς αἰσχύνης κάλυμμα. λουτρὸν δέ, ὡς ἔκπλυσιν. σφραγῖδα δὲ ὡς συντήρησιν, καὶ τῆς δεσποτείας σημείωσιν. τούτῳ συγχαίρουσιν οὐρανοί, τοῦτο δοξάζουσιν ἄγγελοι, διὰ τὸ συγγενὲς τῆς λαμπρότητος. τοῦτο εἰκὼν τῆς ἐκεῖθεν μακαριότητος, τοῦτο ὑμεῖς ἐξυμνεῖν βουλόμεθα μέν, οὐ δυνάμεθα δὲ ὅσον ἄξιον. θεὸς μέν ἐστι, φῶς τὸ ἀκρότατον, καὶ ἀπρόσιτον, καὶ ἄρρητον. οὔτε νῷ καταληπτόν, οὔτε λόγῳ ῥητόν, πάσης φωτιστικὸν λογικῆς φύσεως, τοῦτο ἐν νοητοῖς, ὅπερ ἐν αἰσθητοῖς ἥλιος, ὅσον ἂν καθαιρώμεθα φανταζόμενον, καὶ ὅσον ἂν φανταζώμεθα, ἀγαπώμενον· καὶ ὅσον ἀγαπήσωμεν, αὖθις νοούμενον, αὐτὸ ἑαυτοῦ θεωρητικόν τε καὶ καταληπτικόν, ὀλίγα τοῖς ἔξω χεόμενον. φῶς δὲ λέγω, τὸ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρούμενον. ὧν πλοῦτος, ἡ συμφυΐα καὶ τὸ ἓν ἔξαλμα τῆς λαμπρότητος. δεύτερον δὲ φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸ νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα, οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμόν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα. τρίτον φῶς ἄνθρωπος, ὃ καὶ τοῖς ἔξω δῆλόν ἐστι. φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζουσι, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν, καὶ ἡμῶν αὐτῶν πάλιν οἱ θεοειδέστεροι, καὶ μᾶλλον θεῷ πλησιάζοντες. οἶδα καὶ ἄλλο φῶς ᾧ τὸ ἀρχέγονον ἠλάθη σκότος, ἢ διεκόπη, πρῶτον ὑποστὰν τῆς ὁρατῆς κτίσεως, τήν τε κυκλικὴν τῶν ἀστέρων περίοδον, καὶ τὴν ἄνωθεν φρυκτωρίαν κόσμον ὅλον αὐγάζουσαν. φῶς μὲν ἦν καὶ ἡ τῷ πρωτογόνῳ δοθεῖσα πρωτόγονος ἐντολή. ἐπειδὴ λύχνος ἐντολὴ νόμου καὶ φῶς, καὶ διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς, εἰ καὶ τὸ φθονερὸν σκότος ἐπεισελθὸν τὴν κακίαν ἐδημιούργησε.

γρ. [illegible]

κ(αὶ) τοῖς

φῶς δὲ

φῶς δὲ τυπικὸν καὶ σύμμετρον τοῖς ὑποδεχομένοις, ὁ γραπτὸς νόμος, σκιαγραφῶν τὴν ἀλήθειαν, καὶ τὸ τοῦ μεγάλου φωτὸς μυστήριον. ἐπεὶ καὶ τὸ μωυσέως πρόσωπον τούτῳ δοξάζεται. καὶ ἵνα πλείονα φῶτα δῶμεν τῷ λόγῳ, φῶς μὲν ἦν τὸ ἐκ πυρὸς τῷ μωυσεῖ φανταζόμενον. ἡνίκα τὴν βάτον ἔκαιε μὲν, οὐ κατέκαιε δὲ, ἵνα καὶ τὴν φύσιν παραδείξῃ, καὶ γνωρίσῃ τὴν δύναμιν. φῶς δὲ τὸ ἐν στύλῳ πυρὸς ὁδηγοῦν τὸν ἰσραὴλ, καὶ ἡμεροῦν τὴν ἔρημον. φῶς τὸν ἠλίαν ἁρπάζον ἐν τῷ τοῦ πυρὸς ἅρματι, καὶ μὴ συμφλέξαν τὸν ἁρπαζόμενον. φῶς τὸ τοὺς ποιμένας περιαστράψαν, ἡνίκα τὸ ἄχρονον φῶς τῷ χρονικῷ ἐμίγνυτο. φῶς τὸ τοῦ φανέντος ἀστέρος ἐπὶ βηθλεὲμ κάλλος, ἵνα καὶ μάγους ὁδηγήσῃ, καὶ δορυφορήσῃ τὸ ὑπὲρ ἡμᾶς φῶς μεθ' ἡμῶν γενόμενον. φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στεῤῥοτέρα καὶ ὄψεως. φῶς ἡ παῦλον περιαστράψασα φαντασία, καὶ πληγῇ τῶν ὄψεων, τὸ σκότος τῆς ψυχῆς θεραπεύσασα. φῶς καὶ ἡ ἐκεῖθεν λαμπρότης, τοῖς ἐνταῦθα κεκαθαρμένοις, ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος. ὧν ἵσταται ὁ θεὸς ἐν μέσῳ, θεῶν ὄντων καὶ βασιλέων, διαστέλλων καὶ διαιρῶν τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος. φῶς παρὰ ταῦτα ἰδιοτρόπως ὁ τοῦ βαπτίσματος φωτισμὸς, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, μέγα καὶ θαυμαστὸν τῆς σωτηρίας ἡμῶν περιέχον μυστήριον. ἐπειδὴ γὰρ τὸ μὲν μηδὲν ἁμαρτεῖν ἐστὶ θεοῦ, καὶ τῆς πρώτης καὶ ἀσυνθέτου φύσεως (ἁπλότης γὰρ εἰρηναία καὶ ἀστασίαστος) θαῤῥῶ δὲ εἰπεῖν ὅτι καὶ τῆς ἀγγελικῆς, ἢ ὅτι ἐγγυτάτω τούτου διὰ τὴν πρὸς θεὸν ἐγγύτητα, τὸ δὲ ἁμαρτάνειν, ἀνθρώπινον, καὶ τῆς κάτω συνθέσεως (σύνθεσις γὰρ, ἀρχὴ διαστάσεως) οὐκ ᾤετο δεῖν ἀβοήθητον τὸ ἑαυτοῦ πλάσμα καταλιπεῖν ὁ δεσπότης. οὐδὲ περιιδεῖν κινδυνεῦον τῇ ἀπ' αὐτοῦ διαπλάσει· ἀλλ' ὥσπερ οὐκ ὄντας ὑπέστησεν, οὕτως ὑποστάντας ἀνέπλασε, πλάσιν θειοτέραν τε καὶ τῆς πρώτης ὑψηλοτέραν· ἣ τοῖς μὲν ἀρχομένοις ἐστὶ σφραγὶς, τοῖς τελειοτέροις τῆς ἡλικίας, καὶ χάρισμα, καὶ τῆς παθούσης εἰκόνος διὰ τὴν κακίαν ἐπανόρθωσις, ἵνα μὴ τῇ ἀπογνώσει χείρους γινόμενοι, καὶ ἀεὶ πρὸς τὸ χεῖρον καταφερόμενοι, τελέως ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ἀπόγνωσιν πίπτωμεν. μηδὲ εἰς κακῶν βάθος ἐμπεσόντες, ὃ δὴ λέγεται καταφρονῶμεν· ἀλλ' ὥσπερ οἱ μακρὰν ὁδὸν τέμνοντες, καταλύματι τοὺς πόνους διαναπαύοντες, οὕτω τὸ ἑξῆς τῆς ὁδοῦ νεαροὶ καὶ πρόθυμοι διανύσωμεν. αὕτη μὲν ἡ τοῦ βαπτίσματος χάρις καὶ δύναμις. οὐ κόσμου κατακλυσμὸν ὡς πάλαι, τῆς δὲ τοῦ καθ' ἕκαστον ἁμαρτίας κάθαρσιν ἔχουσα. καὶ παντελῆ ῥύψιν τοῦ ἀπὸ κακίας ἐπεισελθόντος συγχώσματος ἢ μολύσματος. διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις, δι' ὕδατός τέ φημι καὶ πνεύματος. τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ, καὶ τὰ βάθη καθαίροντος, ὃ τῆς πρώτης γενέσεως ἐπικουρία τυγχάνον καινοὺς ἀντὶ παλαιῶν, καὶ θεοειδεῖς ἀντὶ τῶν νῦν ὄντων ἐργάζεται. χωρὶς πυρὸς ἀναχωνεῦον, καὶ ἀνακτίζον δίχα συντρίψεως. εἰ γὰρ δεῖ συντόμως εἰπεῖν, συνθήκας πρὸς θεὸν δευτέρου βίου, καὶ πολιτείας καθαρωτέρας, ὑποληπτέον τὴν τοῦ βαπτίσματος δύναμιν. ὃ δὴ καὶ μάλιστα φοβητέον, καὶ πάσῃ φυλακῇ τηρητέον τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον, μὴ ψεῦσται τῆς ὁμολογίας ταύτης φανώμεθα. εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἱστάμεθα τὸν θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι· καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑπευθύνους εἶναι τῇ ἀληθείᾳ· καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως. καὶ ὅτι μάλιστα ἐπιζητῶμεν ταύτην ἐν πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν, ἐξ ὧν συνούλωσις μὲν ἔρχεται μόγις κατά γε τὸν ἐμὸν ὅρον καὶ νόμον. ἔρχεται γὰρ, καὶ πιστεύομεν, εἰ δὲ καὶ τὰς οὐλὰς ἐξαλείφομεν, ἀγαπῴην ἄν· ἐπειδὴ καὶ αὐτὸς χρῄζω φιλανθρωπίας· πλὴν μὴ δευτέρας δεηθῆναι καθάρσεως, ἀλλὰ στῆναι μέχρι τῆς πρώτης ἄμεινον, ἣν κοινὴν οἶδα πᾶσι καὶ ἄμοχθον καὶ ὁμότιμον, δούλοις, δεσπόταις, πένησι, πλουσίοις, ταπεινοῖς, ὑψηλοῖς, εὐγενεστέροις, ἀγενεστέροις, ὀφείλουσιν, οὐκ ὀφείλουσιν, ὡς ἀέρος πνεῦσιν καὶ φωτὸς χύσιν, καὶ ὡρῶν ἀλλαγὰς, καὶ κτίσεως θέαν τῆς μεγάλης καὶ κοινῆς πᾶσιν ἡμῖν ἐντρυφήματος, καὶ ἰσομοιρίαν πίστεως. δεινὸν γὰρ ἀντὶ ἰατρείας ἀπονωτέρας, τὴν ἐπιπονωτέραν ἐργάσασθαι, καὶ ἀποῤῥίψαντας χάριτος οἶκτον, χρεωστεῖν κόλασιν, καὶ ἀντιμετρεῖν ἁμαρτίᾳ διόρθωσιν. πόσον γὰρ εἰσοίσομεν δάκρυον, ἵν' ἀντισωθῇ τῇ πηγῇ τοῦ βαπτίσματος; τίς δὲ ὁ ἐγγυητὴς, ὅτι μενεῖ τῇ θεραπείᾳ τὸ τέλος; ἀλλ' οὐκ ὀφειλούσας ἡμᾶς ἔτι τὸ κριτήριον ὑποδέξεται, καὶ τῆς ἐκεῖθεν δεομένους πυρώσεως· σὺ μὲν δεήσει τοῦ δεσπότου τυχὸν ὁ καλὸς καὶ φιλάνθρωπος γεωργὸς, ἔτι φείσασθαι τῆς συκῆς, καὶ μήπω ταύτην ἐκτεμεῖν ἐγκαλουμένην τὸ ἄκαρπον, ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, στεναγμοὺς, ἀνακλήσεις, χαμευνίας, ἀγρυπνίας, τῆξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγορεύσεως καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν.

ἄδηλον

ἄδηλον δὲ εἰ φείσεται ταύτης ὁ δεσπότης, ὡς καὶ ταύτης τὸν τόπον ἄλλης δεομένης φιλαν-
θρωπίας, καὶ γινομένης χείρονος ἐκ τῆς εἰς τοῦτον μακροθυμίας. συνταφῶμεν οὖν Χριστῷ
διὰ τοῦ βαπτίσματος, ἵνα καὶ συναναστῶμεν· συγκατέλθωμεν, ἵνα καὶ συνυψωθῶμεν·
συνανέλθωμεν, ἵνα καὶ συνδοξασθῶμεν. ἐάν σοι προσβάλλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς
διώκτης καὶ πειραστής, προσβαλεῖ δὲ (καὶ γὰρ καὶ τῷ λόγῳ καὶ θεῷ μου προσέβαλε διὰ
τὸ κάλυμμα) τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον, ἔχεις ᾧ νικήσεις. μὴ φοβηθῇς τὸν ἀγῶνα,
πρόβαλλε τὸ ὕδωρ, πρόβαλλε τὸ πνεῦμα, ἐν ᾧ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρω-
μένα σβεσθήσεται. πνεῦμα μέν ἐστιν, ἀλλὰ διαλύον ὄρη. ὕδωρ μέν ἐστιν, ἀλλὰ πυρὸς σβεστή-
ριον. ἐὰν προβάλλῃ τὴν χρείαν, καὶ γὰρ κἀκεῖνο τετόλμηκε, καὶ ζητῇ τοὺς λίθους ἄρτους γενέ-
σθαι, τῷ πεινῆν ἐπιθέμενος, μὴ ἀγνοήσῃς αὐτοῦ τὰ νοήματα. δίδαξον ἃ μὴ μεμάθηκε, τὸν
λόγον ἀντίθες τὸν ζωτικόν, ὅς ἐστιν ὁ ἐξ οὐρανοῦ πεμπόμενος ἄρτος, καὶ τῷ κόσμῳ τὴν ζωὴν χαρι-
ζόμενος. ἐὰν δὲ κενοδοξίας ἐπιβουλεύῃ σοι (καὶ γὰρ ἐκεῖνο) ἀνάγων ἐπὶ τὸ τοῦ ἱεροῦ πτερύγιον,
καὶ βάλε σεαυτὸν κάτω λέγων εἰς ἐπίδειξιν τῆς θεότητος, μὴ καταπέσῃς διὰ τῆς ἐπάρσεως.
ἂν τοῦτο λάβῃ, οὐ μέχρι τούτου στήσεται. ἄπληστός ἐστιν, εἰς πάντα ἐπορέγεται· σαίνει μὲν τῷ
χρηστῷ, τελευτᾷ δὲ εἰς πονηρόν. οὗτος αὐτοῦ τῆς μάχης ὁ τρόπος· ἀλλὰ καὶ γραφῶν ἔμπει-
ρος ὁ λῃστής. ἐκεῖθεν τὸ γέγραπται περὶ τοῦ ἄρτου, ἐντεῦθεν τὸ γέγραπται περὶ τῶν ἀγγέ-
λων· γέγραπται γάρ, φησιν, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν
ἀροῦσί σε. ὦ σοφιστὰ τῆς κακίας, πῶς τὸ ἑξῆς ὑπεκράτησας; πάνυ γὰρ νοῶ τοῦτο, κἂν αὐτὸς ἀπο-
σιωπήσῃς, ὅτι ἐπὶ τὴν ἀσπίδα σε καὶ τὸν βασιλίσκον ἐπιβήσομαι, καὶ περιπατήσω ἐπάνω
ὄφεων καὶ σκορπίων, τῇ τριάδι τετειχισμένος. ἐὰν δὲ ἀπληστίας καταπαλαίῃ σε, πάσας
ὑποδεικνύων τὰς βασιλείας ὡς αὐτῷ διαφερούσας ἐν μιᾷ καιροῦ τε ῥοπῇ καὶ ὄψεως, ἀπαι-
τῶν τὴν προσκύνησιν, ὡς παντὸς καταφρόνησον ἐπὶ τῇ σφραγῖδι θαρρήσας, εἰπὼν εἰμὶ καὶ
αὐτὸς εἰκὼν θεοῦ, τῆς ἄνω δόξης, οὔπω δι' ἔπαρσιν ὥσπερ σὺ καταβέβλημαι. Χριστὸν ἐνδέδυμαι, Χριστὸν
μεταπεποίημαι τῷ βαπτίσματι. σύ με προσκύνησον. ἀπελεύσεται σαφῶς οἶδα τούτοις ἡττη-
μένος καὶ ᾐσχυμμένος, ὥσπερ ἀπὸ Χριστοῦ τοῦ πρώτου φωτός, οὕτω τῶν ἀπ' ἐκείνου πεφω-
τισμένων. τοιαῦτα τὸ λουτρὸν τοῖς ᾐσθημένοις αὐτοῦ χαρίζεται, τοιαύτην προτείνει τοῖς κα-
λῶς πεινῶσι τὴν πανδαισίαν. βαπτισθῶμεν οὖν, ἵνα νικήσωμεν. μετάσχωμεν καθαρσίων
ὑδάτων, ὑσσώπου ῥυπτικωτέρων, σποδοῦ δαμάλεως ἱερωτέρων ῥαντιζούσης τοὺς κεκοινωμένους,
καὶ πρόσκαιρον ἐχούσης σώματος κάθαρσιν, οὐ παντελῆ τῆς ἁμαρτίας ἀναίρεσιν. τί γὰρ ἔδει
καθαίρεσθαι τοὺς ἅπαξ κεκαθαρμένους; βαπτισθῶμεν σήμερον, ἵνα μὴ αὔριον βιασθῶμεν. καὶ
μὴ ἀναβαλλώμεθα τὴν εὐεργεσίαν ὡς ἀδικίαν. μηδὲ ἀναμείνωμεν πλεῖον γενέσθαι κακοί,
ἵνα πλέον συγχωρηθῶμεν. μηδὲ γενώμεθα χριστοκάπηλοι καὶ χριστέμποροι. μηδὲ φορτισθῶ-
μεν πλέον ἢ δυνάμεθα φέρειν, ἵνα μὴ αὐτάνδρῳ τῇ νηῒ βαπτισθῶμεν. καὶ τὸ χάρισμα ναυα-
γήσωμεν, ἀνθ' ὧν πλέον ἠλπίσαμεν τὸ πᾶν ἀπολέσαντες. ἕως ἔτι τῶν λογισμῶν κύριος εἶ,
πρόσδραμε τῷ δωρήματι. ἕως οὔπω νοσεῖς καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἢ δοκεῖς οὕτω τοῖς πα-
ροῦσι καὶ σωφρονεῖς. ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθόν, ἀλλ' αὐτὸς εἶ τούτου κύριος· ἕως σοι
παράφορος ἡ γλῶσσα, οὐδὲ κατεψυγμένη, οὐδὲ ζημιοῦται, ἵνα μὴ πλεῖόν τι λέγω, τὰ τῆς μυστα-
γωγίας ῥήματα. ἕως δύνασαι γενέσθαι πιστός, οὐκ εἰκαζόμενος, ἀλλ' ὁμολογούμενος· οὐκ ἐ-
λεούμενος, ἀλλὰ μακαριζόμενος. ἕως δῆλόν σοι τὸ δῶρον, ἀλλ' οὐκ ἀμφίβολον. καὶ τοῦ βά-
θους ἡ χεὶρ ἅπτεται, ἀλλ' οὐ τὸ σῶμα ἐπιτάφια λούεται. ἕως οὐ δάκρυα περί σε τῆς ἐξόδου
μηνύματα. καὶ ταῦτα εἰς τὴν χάριν τυχὸν ἐπιχεόμενα, καὶ γυνή, καὶ παῖδες τὴν ἐκδημίαν
μηδ' ἕλκοντες, καὶ ζητοῦντες τὰ ἐξόδια ῥήματα. ἕως οὐκ ἰατρὸς ἄτεχνος περί σε ὥρας σοι χα-
ριζόμενος, ὧν οὐκ ἔστι κύριος, τοῖς νεύμασι ταλαντεύων τὴν σωτηρίαν, καὶ φιλοσοφῶν περὶ τῆς
νόσου μετὰ τὸν θάνατον, ἢ τοὺς μισθοὺς βαρύνων ταῖς ὑποχωρήσεσιν, ἢ τὴν ἀπόγνωσιν αἰνιττό-
μενός τι. ἕως οὐ μάχη βαπτιστοῦ καὶ χρηματιστοῦ, τοῦ μὲν ὅπως ἐφοδιάσῃ φιλονεικοῦντος, τοῦ δὲ ὅ-
πως γραφῇ κληρονόμος, ἀμφότερα τοῦ καιροῦ μὴ συγχωροῦντος. τί πυρετὸν ἀναμένεις εὐερ-
γέτην, ἀλλ' οὐ θεόν; τί καιρόν, ἀλλ' οὐ λογισμόν; τί φίλον ἐπίβουλον, ἀλλ' οὐ πόθον σωτήριον;
τί μὴ τὴν ἐξουσίαν, ἀλλὰ τὴν βίαν; τί μὴ τὴν ἐλευθερίαν, ἀλλὰ τὴν στενοχωρίαν; τί παρ' ἄλλου
δεῖ μαθεῖν τὴν ἔξοδον, ἀλλ' οὐχ ὡς ἤδη παρούσης διανοῇ. τί φάρμακα ἐπιζητεῖς, τὰ μηδὲν ὀ-
νήσοντα; τί κριτικὸν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; σαυτὸν πρὸ τῆς ἀνάγκης ἰάτρευσον.
σαυτὸν ἐλέησον, τὸν γνήσιον τῆς ἀσθενείας θεραπευτήν. σαυτῷ πρόσαγε τὸ σωτήριον ὄντως
φάρμακον. ἕως εὐδίας πλεῖς, φοβήθητι τὸ ναυάγιον, καὶ ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοη-
θῷ χρώμενος. πανηγυρισθήτω τὸ δῶρον, ἀλλὰ μὴ θρηνηθήτω. ἐπεργασθήτω τὸ τάλαντον,
ἀλλὰ μὴ συγχωσθήτω. γενέσθω τι μέσον τῆς χάριτος, καὶ τῆς ἀναλύσεως. ἵνα μὴ ἐξαλειφθῇ
τὰ πονηρὰ γράμματα μόνον, ἀλλὰ καὶ μετεγγραφῇ τὰ βελτίονα, ἵνα μὴ τὸ χάρισμα

μόνον

μόνον ἔχεις, ἀλλὰ καὶ τὴν ἀντίδοσιν, ἵνα τὸ μὴ πῦρ φύγῃς μόνον, ἀλλὰ καὶ τῆς δόξης κληρονομήσῃς, ἣν δ' ἐπεργάσασθαι τὸ δῶρον χαρίζεται. ἔστι γὰρ τοῖς μὲν μικροψύχοις, μέγα τὸ φυγεῖν βάσανον. τοῖς δὲ μεγαλοψύχοις, τὸ καὶ τυχεῖν ἀντιδόσεως. τρεῖς γὰρ οἶδα τάξεις τῶν σωζομένων, δουλείαν, μισθαρνίαν, υἱότητα. εἰ δοῦλος εἶ, τὰς πληγὰς φοβήθητι· εἰ μισθωτός, πρὸς τὸ λαβεῖν βλέπε μόνον. εἰ ὑπὲρ τούτους εἶ υἱός, ὡς πατέρα αἰδέσθητι. ἔργασαι τὸ καλόν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι. καὶ εἴ σοι μηδὲν ἔσεσθαι μέλλει, τοῦτο αὐτὸ μισθός, τὸ τῷ πατρὶ χαρίζεσθαι. ὧν ἡμεῖς μὴ καταφρονοῦντες φαινοίμεθα, ὡς οὐκ ἔστιν ἄτοπον χρήματα μὲν προαρπάζειν, ὑγείαν δὲ ἀναβάλλεσθαι· καὶ σώματα μὲν προκαθαίρειν, ψυχῆς δὲ κάθαρσιν ταμιεύεσθαι· καὶ τῆς μὲν κάτω δουλείας, ἐλευθερίαν ζητεῖν, τῆς ἄνω δὲ μὴ ἐφίεσθαι. καὶ ὅπως μὲν οἰκήσεις μεγαλοπρεπῶς, ἢ ἀμφιέσῃ, πᾶσαν ποιεῖσθαι σπουδήν. ὅπως δὲ αὐτὸς πλείστου ἄξιος ἔσῃ, μηδὲ φροντίζειν· καὶ ἄλλους μὲν εὖ ποιεῖν προθυμεῖσθαι, ἑαυτὸν δὲ μὴ βούλεσθαι. καὶ εἰ μὲν ὤνιον ἦν σοι τὸ ἀγαθόν, μηδενὸς ἂν φείδεσθαι χρήματος· εἰ δὲ πρόκειται διὰ φιλανθρωπίαν, καταφρονεῖν τοῦ ἑτοίμου τῆς εὐποιΐας. πᾶς σοι καιρὸς ἐκ πλήρους, ἐπειδὴ πᾶς ἀναλύσεως. μετὰ Παύλου βοῶσι τῆς μεγάλης φωνῆς· ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας, οὐχ ἕνα καιρόν, ἀλλὰ πάντα τὸν νῦν ὁρίζοντος. καὶ πάλιν, ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός, λύων τὴν νύκτα τῆς ἁμαρτίας. ἐπειδὴ ἐν νυκτί, ἐλπὶς πονηρά, κατὰ τὸν Ἡσαΐαν. καὶ τὸ πρωῒ ληφθῆναι λυσιτελέστερον. σπεῖρε μὲν ὅτε καιρός, καὶ συγκόμιζε, καὶ λύε τὰς ἀποθήκας ὅτε τοῦτο καιρός. καὶ φύτευε καθ' ὥραν, καὶ κειρέσθω σοι βότρυς ὥριμος, καὶ ἀνάγου θαρρήσας ἔαρι, καὶ ἄνελκε τὴν ναῦν πάλιν ἀρχομένου χειμῶνος, καὶ τῆς θαλάσσης ἀγριουμένης. καὶ πολέμου καιρὸς ἔστω σοι καὶ εἰρήνης, καὶ γάμου, καὶ τοῦ ἀγάμου, καὶ φιλίας, καὶ διαστάσεως, ἂν τούτου δέῃ, καὶ παντὸς ὅλως πράγματος, εἴ τι τῷ Σολομῶντι πιστόν. πιστὸν δέ. καὶ γὰρ ὠφέλιμος ἡ παραίνεσις. ἀεὶ δὲ τὴν σωτηρίαν ἐργάζου. καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ βαπτίσματος ὅρος. ἐὰν ἀεὶ τὸ σήμερον παραβαίνων ὑπερθῇς τὸ εἰς αὔριον, ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ πονηροῦ κλεπτόμενος, ὥσπερ ἐκείνου τρόπος· ἐμοὶ δὸς τὸ παρόν, Θεῷ τὸ μέλλον· ἐμοὶ τὴν νεότητα, Θεῷ τὸ γῆρας· ἐμοὶ τὰς ἡδονάς, ἐκείνῳ τὴν ἀχρηστίαν, ὅσος ὁ περὶ σὲ κίνδυνος, ὅσα τὰ παρ' ἐλπίδα συμπτώματα, ἢ πόλεμος κατηνάλωσεν, ἢ σεισμὸς συνέχωσεν, ἢ θάλασσα ὑπεδέξατο, ἢ θηρίον ἥρπασεν, ἢ νόσος ἀπώλεσεν, ἢ ψὶξ παραδραμοῦσα τὸ φαυλότατον (τί γὰρ τοῦ ἀποθανεῖν ἀνθρώπων εὐκολώτερον, κἂν μέγα φρονῇς τῇ εἰκόνι;) ἢ πότος πλεονάσας, ἢ ἄνεμος κρημνίσας, ἢ ἵππος συναρπάσας, ἢ φάρμακον ἐκ προνοίας ἐπιβουλεῦσαν. τυχὸν δὲ καὶ αὐτὸ σωτήριον φανὲν δηλητήριον, ἢ δικαστὴς ἀπάνθρωπος, ἢ δήμιος ἀπαραίτητος, ἤ τι τῶν ὅσα ταχίστην ποιεῖ τὴν μετάστασιν, καὶ βοηθείας ἰσχυροτέραν. εἰ δὲ προκαταλάβοις σεαυτὸν τῇ σφραγῖδι, καὶ τὸ μέλλον ἀσφαλίσαιο, τῷ καλλίστῳ τῶν βοηθημάτων, καὶ στερροτάτῳ, σημειωθεὶς καὶ ψυχὴν καὶ σῶμα, τῷ χρίσματι, καὶ τῷ πνεύματι, ὡς Ἰσραὴλ πάλαι, τῷ νυκτερινῷ καὶ φυλακτικῷ, τῶν πρωτοτόκων αἵματι καὶ χρίσματι. τί σοι συμβήσεται; καὶ τί σοι πραγματεύεται; τῶν παροιμιῶν ἄκουσον. ἐὰν γὰρ κάθῃ, φησίν, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. καὶ παρὰ τοῦ Δαβὶδ εὐαγγελίζῃ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ, τοῦτό σοι καὶ ζῶντι, μέγιστον εἰς ἀσφάλειαν. πρόβατον γὰρ ἐσφραγισμένον, οὐ ῥᾳδίως ἐπιβουλεύεται. τὸ δὲ ἀσήμαντον, κλέπταις εὐάλωτον καὶ ἀπελθόντι δεξιὸν ἐντάφιον. ἐσθῆτος λαμπρότερον, χρυσοῦ τιμιώτερον, τάφου μεγαλοπρεπέστερον, ἀγόνων χοῶν εὐσεβέστερον, ἀπαρχῶν ὡραίων καιριώτερον, ὧν τοῖς νεκροῖς οἱ νεκροὶ χαρίζονται, νόμον ποιούμενοι τὴν συνήθειαν. πάντα οἰχέσθω σοι, πάντα διαρπαζέσθω, χρήματα, κτήματα, θρόνοι, λαμπρότητες, ὅσα τῆς κάτω περιφορᾶς. σὺ δὲ καταλύσεις ἐν ἀσφαλείᾳ τὸν βίον, μηδὲν ζημιωθεὶς τῶν ἐκ Θεοῦ σοι δοθέντων εἰς σωτηρίαν βοηθημάτων. ἀλλὰ φοβῇ μὴ διαφθείρῃς τὸ χάρισμα, καὶ διὰ τοῦτο ἀναβάλλῃ τὴν κάθαρσιν ὡς δευτέραν οὐκ ἔχων; τί δαί; οὐ φοβῇ μὴ διωκτοῦ καιρῷ κινδυνεύσῃς, καὶ τὸ μέγιστον ὧν ἔχεις ἀφαιρεθῇς, Χριστόν; εἶτ' οὖν διὰ τοῦτο φεύξῃ, καὶ τὸ γενέσθαι Χριστιανός; ἄπαγε, οὐχ ὑγιαίνοντος ὁ φόβος, παραφρονοῦντος ὁ λογισμός. ὦ τῆς ἀνευλαβοῦς εὐλαβείας. εἰ δεῖ τοῦτο εἰπεῖν, ὦ τῶν τοῦ πονηροῦ σοφισμάτων. ὄντως σκότος ἐστί, καὶ φῶς ὑποκρίνεται. ὅταν μηδὲν ἰσχύσῃ φανερῶς πολεμῶν, ἀφανῶς ἐπιβουλεύει καὶ γίνεται σύμβουλος χρηστός, ὢν πονηρός, ἵν' οἷ γε τῷ τρόπῳ πάντως ἰσχύσῃ, καὶ μηδαμόθεν αὐτοῦ τὴν ἐπιβουλὴν διαφύγωμεν. ὅπερ οὖν κἀνταῦθα σαφῶς τεχνάζεται. τὸ γὰρ φανερῶς καταφρονεῖν τοῦ βαπτίσματος πείθειν οὐκ ἔχων, ζημιοῖ σε διὰ τῆς πλαστῆς ἀσφαλείας. ἵν' ὃ φοβῇ γε, τοῦτο λάθῃς παθὼν διὰ τοῦ φόβου. καὶ τὸ φθεῖραι τὴν δωρεὰν δεδοικώς, αὐτὸ τοῦτο τῆς δωρεᾶς ἐκπέσῃς. ὁ μὲν οὖν τοιοῦτός ἐστι, καὶ οὔποτε παύσεται τῆς ἑαυτοῦ

διὰ παντὸς, ἕως ἂν βλέπῃ πρὸς οὐρανὸν ἐπειγομένους ὑμᾶς, ὅθεν αὐτὸς ἐξέπεσε. σὺ δὲ θωράκισαι τῷ τοῦ θεοῦ γνῶναι τὴν ἐπιβουλὴν τοῦ ἀντικειμένου. πρὸς γὰρ τοὺς ἔχοντας καὶ ὑπὲρ τῶν μεγίστων ἡ μάχη. μὴ λάβῃς σύμβουλον τὸν ἐχθρόν. μὴ καταφρονήσῃς τοῦ φωτισθῆναι, καὶ ἀκοῦσαι πιστὸς, ἕως εἶ κατηχούμενος. ἐν προθύροις εἶ τῆς εὐσεβείας, εἴσω γενέσθαι σε δεῖ, τὴν αὐλὴν διαβῆναι, τὰ ἅγια κατοπτεῦσαι, εἰς τὰ ἅγια τῶν ἁγίων παρακύψαι, μετὰ τῆς τριάδος γενέσθαι. μεγάλα ἐστὶν ὑπὲρ ὧν πολεμεῖς. μεγάλης δεῖ σοι καὶ τῆς ἀσφαλείας. προβαλοῦ τὸν θυρεὸν τῆς πίστεως. φοβεῖταί σε μετὰ τῶν ὅπλων μαχόμενον. διὰ τοῦτο γυμνοῖ σε τοῦ χαρίσματος, ἵνα κρατήσῃ ῥᾷον ὡς ἀόπλου καὶ ἀφυλάκτου. πάσης ἡλικίας ἅπτεται, πάσης ἰδέας βίου, διὰ πάσης ἀποκρουσθήτω. νέος εἶ, στῆθι κατὰ τῶν παθῶν μετὰ τῆς συμμαχίας, εἰς θεοῦ παράταξιν ἀριθμήθητι. ἀρίστευσον κατὰ τοῦ Γολιάθ. λάβε τὰς χιλιάδας, ἢ τὰς μυριάδας. οὕτω τῆς ἡλικίας ἀπόλαυσον, ἀλλὰ μὴ ἀνάσχῃ μαρανθῆναί σου τὴν νεότητα, τῷ ἀτελεῖ τῆς πίστεως νεκρωθεῖσαν. γηραιὸς εἶ, καὶ τῆς ἀναγκαίας ἐγγὺς προθεσμίας, τὴν πολιὰν αἰδέσθητι, δὸς ἤδη ἅπαν τῇ φρονήσει, αἷς νῦν ἔχεις ἀσθενείας. ταῖς ὀλίγαις ἡμέραις βοήθησον. πίστευσον τῷ γήρᾳ τὴν κάθαρσιν. τί φοβῇ τὰ νεότητος, ἐν βαθεῖ γήρᾳ ὢν καὶ ταῖς ἐσχάταις ἀναπνοαῖς, ἢ καὶ σὺ μένεις νεκρὸς λουθῆναι, οὐ μᾶλλον ἐλεούμενος, ἢ μισούμενος; ἢ ποθεῖς τῶν ἡδονῶν τὰ λείψανα, βίου λείψανον ὤν; αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, μὴ παρακμάσαι δὲ τὴν ἀσέλγειαν, ἀλλ' ἢ τάχα τοῦτο ἢ δεινὸν, διαμέλλοντα πρὸς τὴν κάθαρσιν. νήπιόν ἐστί σοι; μὴ λαβέτω καιρὸν ἡ κακία. ἐκ βρέφους ἁγιασθήτω, ἐξ ὀνύχων καθιερωθήτω τῷ πνεύματι. σὺ δέδοικας τὴν σφραγῖδα διὰ τὸ τῆς φύσεως ἀσθενὲς, ὡς μικρόψυχος ἡ μήτηρ, καὶ ὀλιγόπιστος. ἡ Ἄννα δὲ, καὶ πρὶν ἢ γεννηθῆναι τὸν Σαμουὴλ, καθυπέσχετο τῷ θεῷ, καὶ γεννηθέντα, ἱερὸν εὐθὺς ἐποίει καὶ τῇ ἱερατικῇ στολῇ συνανέθρεψεν, οὐ τὸ ἀνθρώπινον φοβηθεῖσα, ὑπὲρ δὲ θεῷ πιστεύσασα. οὐδέν σοι δεῖ περιαμμάτων καὶ ἐπασμάτων, οἷς ὁ πονηρὸς συνεισέρχεται, ὁ κλέπτων εἰς ἑαυτὸν ἀπὸ τοῦ θεοῦ τὸ σέβας ἐν τοῖς κουφοτέροις. δὸς αὐτῷ τὴν τριάδα, τὸ μέγα καὶ καλὸν φυλακτήριον. τί ἔτι παρθενίαν ἀσκεῖς; τῇ καθάρσει σφραγίσθητι. ταύτην σύνοικον τοῦ βίου κοινωνὸν καὶ συνόμιλον. αὕτη ῥυθμιζέτω σοι καὶ βίον, καὶ λόγον, πᾶν μέλος, πᾶν κίνημα, πᾶσαν αἴσθησιν. τίμησον αὐτὴν, ἵνα σε κοσμήσῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων. στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου. δέδεσαι γάμῳ, καὶ τῇ σφραγῖδι συνδέθητι. ταύτην συνοίκισον σεαυτῷ τῆς σωφροσύνης φύλακα. πόσων εὐνούχων οἴει, πόσων θυρωρῶν εἶναι ἀσφαλεστέραν; οὔπω σαρκὶ συνεζεύχθης, μὴ φοβηθῇς τὴν τελείωσιν. καθαρὸς εἶ καὶ μετὰ τὸν γάμον, ἐμὸς ὁ κίνδυνος, ἐγὼ τούτου συναρμοστὴς, ἐγὼ νυμφοστόλος. οὐ γὰρ ἐπεὶ ἡ παρθενία τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ γάμος. μιμήσομαι Χριστὸν τὸν καθαρὸν νυμφαγωγὸν καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ, καὶ τιμᾷ συζυγίαν τῇ παρουσίᾳ. μόνον ἔστω γάμος καθαρὸς καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος, ἓν αἰτῶ μόνον. λάβε παρὰ τοῦ δώρου τὴν ἀσφάλειαν, καὶ δὸς τῷ δώρῳ τὴν ἁγνείαν κατὰ καιρὸν, ἕως εὐχῆς πρόκειται προθεσμία καὶ ἀσχολίας τιμιωτέρα, καὶ ταύτην ἐκ κοινῆς ὁμολογίας καὶ συναινέσεως. οὐ γὰρ νομοθετοῦμεν, ἀλλὰ παραινοῦμεν, καὶ τῶν σῶν τι λαβεῖν ὑπὲρ σοῦ βουλόμεθα, καὶ τῆς κοινῆς ὑμῶν ἀσφαλείας οἴκοι. ἐν κεφαλαίῳ δὲ εἰπεῖν, οὐκ ἔστιν οὐ βίος, οὐκ ἐπιτήδευμα, ᾧ μὴ τοῦτο λυσιτελέστερον. δέξαι ὁ ἐν ἐξουσίᾳ τὸν χαλινόν. ὁ ἐν δουλείᾳ, τὴν ὁμοτιμίαν. ὁ ἀθυμῶν, τὴν παραμυθίαν. ὁ ἐν εὐθυμίᾳ, τὴν παιδαγωγίαν. ὁ πένης, τὸν ἄσυλον πλοῦτον. ὁ εὐπορῶν, τὴν καλὴν ὧν ἔχεις οἰκονομίαν. μηδὲ σοφίσῃ, μηδὲ τεχνάσῃ κατὰ τῆς σεαυτοῦ σωτηρίας. καὶ γὰρ εἰ ἄλλους παραλογιζόμεθα, ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα. ὡς τό γε καθ' ἑαυτοῦ παίζειν, λίαν ἐπισφαλὲς καὶ ἀνόητον. ἀλλ' ἐν μέσῳ στρέφῃ καὶ μολύνῃ τοῖς δημοσίοις, καὶ δεινὸς εἶ σὺ δαπανηθῆναι τοῦ φιλανθρώπου, ἃ πολὺς ὁ λόγος. εἰ μὲν οἷόν τε, φύγε καὶ τὴν ἀγορὰν μετὰ τῆς καλῆς συνοδίας. πτέρυγας ἀετοῦ περιθεὶς ἢ περιστερᾶς, ἵν' οἰκειότερον εἴπω. τί γάρ σοι καὶ Καίσαρι, ἢ τοῖς Καίσαρος, ἕως οὐ καταπαύσῃς, οὐ μή ἐστιν ἁμαρτία, μηδὲ μελαίνωσις, μηδὲ δάκνων ὄφις ἐφ' ὁδοῦ, κωλύων σου τὰ κατὰ θεὸν διαβήματα. ἅρπασόν σεαυτοῦ τὴν ψυχὴν ἐκ τοῦ κόσμου, φύγε Σόδομα, φύγε τὸν ἐμπρησμόν. ὅδευσον ἀμεταστρεπτί. μὴ παγῇς λίθος ἁλός. εἰς τὸ ὄρος σώζου. μὴ συμπαραληφθῇς. εἰ δὲ περικατέχῃ καὶ δέδεσαι δεσμοῖς ἀναγκαίοις, ἐκεῖνο σεαυτῷ διαλέχθητι, μᾶλλον δέ σοι αὐτὸς διαλεχθήσομαι. κρεῖσσον μὲν καὶ τυχεῖν τοῦ ἀγαθοῦ, καὶ φυλάσσειν τὴν κάθαρσιν. εἰ δὲ ἀμφότερα μὴ ἐνδέχεται, κρεῖσσόν ἐστι μικρὰ μολυνθῆναι τοῖς δημοσίοις, ἢ παντάπασιν ἐκπεσεῖν τῆς χάριτος· ὥσπερ οἶμαι κρεῖσσον ἐπιτιμηθῆναί τι παρὰ πατρὸς καὶ δεσπότου, ἢ ἀπωσθῆναι, καὶ μικρὰ αὐγάζεσθαι, ἢ παντελῶς σκοτίζεσθαι. σωφρόνων δὲ ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τελειότερα, οὕτω τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ κουφότερα. διὰ τοῦτο μὴ λίαν φοβηθῇς τὴν κάθαρσιν. κρίνεται γὰρ ἀεὶ μετὰ τῶν ἐπιτηδευμάτων ὁ κατορθούμενος παρὰ τοῦ δικαίου καὶ φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ. καὶ μικρὰ κατορθώσας πολλάκις ὁ ἐν τῷ μέσῳ, πλείον

ἔχει

ἐπεὶ τὸ ἐν ἐλευθερίᾳ μὲν τοῦ παιδὸς κατορθώσαντος, ὥσπερ οἶμαι παραδοξότερον ἐν πέδαις μι-
κρὰ προβαίνειν, ἢ τρέχειν μηδενὶ βαρυνόμενον, καὶ διὰ βορβόρου μικρὰ ῥαντίζεσθαι, ἢ καθαρὸς
εἶναι διὰ καθαροῦ φερόμενον. τεκμήριον δὲ τοῦ λόγου, καὶ ῥαὰβ ἡ πόρνη, ἣν ἐδικαίωσε μό-
νον ἡ φιλοξενία, τἆλλα οὐκ ἐπαινουμένην, καὶ ὁ τελώνης ὃν ὕψωσεν ἡ ταπείνωσις, οὐδὲν ἄλ-
λο μαρτυρηθέντα. ἵνα σὺ μάθῃς σεαυτοῦ ῥᾳδίως μὴ ἀπογινώσκειν. ἀλλὰ τί μοι πλέον, φησί,
προκαταληφθέντι διὰ τοῦ βαπτίσματος. καὶ τὸ τερπνὸν τοῦ ζῆν ἐμαυτοῦ διὰ τοῦ τάχους
ἀποκλείσαντι. ἐνὸν ἐφεῖναι ταῖς ἡδοναῖς, καὶ τηνικαῦτα τυχεῖν τῆς χάριτος. οὐδὲ γὰρ τοῖς
ἐν τῷ ἀμπελῶνι προκεκμηκόσιν ὑπῆρξέ τι πλέον, ἴσου τοῦ μισθοῦ δοθέντος, καὶ τοῖς τελευ-
ταίοις. ἀπήλλαξας ἡμᾶς πραγμάτων, ὅς τις ποτὲ εἶ ὁ ταῦτα λέγων, μόγις τὸ τῆς ἀναβολῆς
ἐξειπὼν τὸ ἀπόρρητον, καί σε τῆς κακουργίας οὐκ ἐπαινῶν, ἐπαινῶ τῆς ἐξαγορεύσεως. ἀλλὰ δεῦ-
ρο καὶ τὴν παραβολὴν ἑρμηνευθῆναι. ὡς ἂν μὴ βλάπτῃ τοῖς γεγραμμένοις ἐξ ἀπειρίας. πρῶ-
τον μὲν οὐ περὶ τοῦ βαπτίσματος ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ τῶν κατὰ διαφόρους και-
ροὺς πιστευόντων, καὶ εἰς τὸν καλὸν ἀμπελῶνα εἰσερχομένων τὴν ἐκκλησίαν. ἀφ' ἧς γὰρ ἡμέ-
ρας καὶ ὥρας ἐπίστευσεν ἕκαστος, ἀπ' ἐκείνης καὶ ἀπαιτεῖται τὴν ἐργασίαν. ἔπειτα εἰ καὶ
τῷ μέτρῳ τοῦ μόχθου πλεῖον εἰσενηνόχασιν οἱ προεισελθόντες, ἀλλ' οὐχὶ καὶ τῷ μέτρῳ τῆς προ-
αιρέσεως, καὶ τυχὸν τοῖς τελευταίοις, ἐν ταύτῃ τὸ πλεῖον ὀφείλεται, εἰ καὶ παράδοξός πως
ὁ λόγος. τὸ μὲν γὰρ ὕστερον εἰσελθεῖν τὸ καὶ ὕστερον κληθῆναι πρὸς τὴν ἀμπελουργίαν αἴτιον.
τὴν ἄλλων δὲ τὸ ἀδιάφορον ὅσον ἐπισκεψώμεθα. οἱ μὲν οὐ πρότερον ἐπίστευσαν, οὐδὲ εἰσῆλθον,
πρὶν ἢ συμφωνηθῆναι αὐτοῖς τὸν μισθόν. οἱ δὲ ἀσύμφωνοι τῇ ἐργασίᾳ προσῆλθον, ὃ μείζονός
ἐστι γνώρισμα πίστεως. καὶ οἱ μὲν φθονερᾶς, καὶ γογγυστικῆς εὑρέθησαν ὄντες φύσεως, οἱ δὲ
οὐδὲν ἐγκαλοῦνται τοιοῦτον. καὶ τοῖς μὲν μισθὸς ἦν τὸ διδόμενον καίπερ οὖσι πονηροῖς. τοῖς δὲ
χάρις, ὥστε καὶ ἀνόητοι ἐγκληθέντες, εἰκότως τοῦ πλείονος ἐστερήθησαν. τί δ' ἂν καὶ αὐ-
τοῖς ὀψισθεῖσιν ἐγένετο καταμάθωμεν. τὸ ἴσον τοῦ μισθοῦ δηλονότι. πῶς οὖν αἰτιῶνται τὸν ἐρ-
γοδότην ὡς διὰ τῆς ἰσότητος ἄνισον. ταῦτα πάντα τὴν τοῦ ἱδρῶτος ὑφαιρεῖ χάριν τοῖς
πρώτοις, καὶ εἰ πλεῖον κεκμήκασιν, ἐξ ὧν συμβαίνει καὶ δικαίαν εἶναι τὴν τοῦ ἴσου διανομήν, ἀν-
ταμετρουμένης τῷ πόνῳ τῆς προαιρέσεως. εἰ δὲ καὶ τὴν τοῦ λουτροῦ δύναμιν ἡ παραβολὴ σκιο-
γραφεῖ, κατὰ τὴν σὴν ἐξήγησιν, τί κωλύει σε καὶ προεισελθόντα, καὶ κακωθέντα, μὴ βα-
σκαίνειν τοῖς τελευταίοις; ἢ οὐ καὶ τῷ τούτῳ πλέον ἔχεις τῷ φιλανθρώπῳ, καὶ χρέος, ἀλλὰ
μὴ χάριν λαβεῖν τὴν ἀντίδοσιν. ἔπειτα εἰσελθόντας ἐκεῖ λαμβάνειν τοὺς ἐργάτας, οὐ δια-
μαρτόντας τοῦ ἀμπελῶνος. ὅ, σοι παθεῖν κίνδυνος, ὥστε εἰ μὲν ἦν δῆλον, ὅτι τεύξῃ τῆς δωρεᾶς,
οὕτω φρονῶν καὶ ἀποκρατῆν τι κακοέργως τῆς ἐργασίας, συγγνωστὸν ἦν σοι πρὸς τοὺς τοιούτους
καταφεύγοντι λογισμούς, καὶ παρακερδαίνειν τί βουλομένῳ τῆς τοῦ δεσπότου φιλανθρω-
πίας, ἵνα μὴ λέγω ὅτι καὶ αὐτὸ τὸ καμεῖν πλεῖον, πλείων μισθὸς τῷ μὴ παντὶ καπηλικῷ τὴν
διάνοιαν. εἰ δὲ κίνδυνός σοι τοῦ ἀμπελῶνος παντελῶς ἐκπεσεῖν διὰ τῆς ἐμπορείας, καὶ εἰς τὸ
κεφάλαιον ζημιοῖ τὰ μικρὰ παρακλέπτων, φέρε τοῖς ἐμοῖς πείσθητι λόγοις, ἀφεὶς τὰς παρεξη-
γήσεις καὶ ἀντιθέσεις, ἀσυλλογίστως τῷ δώρῳ πρόσελθε, μὴ προαναρπασθῇς τῶν ἐλπίδων, καὶ
κατὰ σεαυτοῦ μάθῃς τὰ τοιαῦτα σοφιζόμενος. τί δαί; οὐχὶ φιλάνθρωπόν, φησι, τὸ θεῖον; καὶ
γνωστικὸν γὰρ ἐννοιῶν, δοκιμάζει τε τὴν ἔφεσιν, καὶ ἀντὶ βαπτίσματος ποιεῖται τὴν ὁρμὴν
τοῦ βαπτίσματος; αἰνίγματι λέγεις ὅμοιον εἰ πεφωτισμένος ἐστὶ θεῷ διὰ τὸ φιλάνθρωπον
ὁ ἀφώτιστος, ἢ καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐντὸς ὁ ταύτης τυχεῖν σπουδάζων, δίχα τοῦ
πράττειν τὰ τῆς βασιλείας. ἐγὼ δὲ ὡς ἔχω περὶ τούτων εἰπεῖν θαρρήσω. οἶμαι δὲ καὶ τῶν ἄλλων
συνθήσεσθαι τοὺς νῦν ἔχοντας, τῶν τυχόντων τῆς δωρεᾶς, οἱ μὲν παντελῶς εἶσιν ἀλλότριοι τοῦ
θεοῦ, καὶ τῆς σωτηρίας. πᾶν εἶδος κακίας διεξελθόντες, καὶ εἶναι κακοὶ σπουδάζοντες. οἱ δὲ
ἡμιμόχθηροί πως καὶ μέσως ἔχοντες ἀρετῆς καὶ κακίας. οἱ δὲ καὶ κακὸν ἔπραξαν, τῷ πραττ-
τομένῳ δὲ οὐ συνῄνεσαν καθάπερ οἱ πυρέττοντες τῷ ἑαυτῶν ἀρρωστήματι, οἱ δὲ καὶ πρὸ τῆς τε-
λειώσεως ἦσαν ἐπαινετοί. οἱ μὲν ἐκ φύσεως, οἱ δὲ κατὰ σπουδὴν προκαθαίροντες ἑαυτοὺς τῷ
βαπτίσματι, καὶ μετὰ τὴν τελειότητα πεφυλάκασι κρείττους, καὶ ἀσφαλέστεροι. τὸ δὲ ἵνα τύχωσι
τοῦ ἀγαθοῦ, τὸ δὲ ἵνα φυλάξωσιν, οὕτως, βελτίους δὲ τῶν παντάπασι πονηρῶν, οἱ τῆς κακίας
τι ὑφιέμενοι. βελτίους δὲ τῶν μικρόν τι ὑφιεμένων, οἱ σπουδαιότεροι καὶ προαρξάμενοι ἑαυ-
τοὺς τοῦ βαπτίσματος. ἔχουσι γάρ τι πλέον τῆς ἐργασίας. οὐ γὰρ ὥσπερ τὴν ἁμαρτιῶν ἐξάλειψιν ἔ-
χει τὸ λουτρόν, οὕτω καὶ τῶν κατορθωμάτων ἀναίρεσιν. τούτων δὲ αὐτῶν βελτίους, οἱ καὶ γεωργοῦντες
τὸ χάρισμα καὶ ὅτι μάλιστα εἰς κάλλος ἑαυτοὺς ἀποξέοντες, ὥστε καὶ τῶν ἀποτυγχανόντων,
οἱ μέν εἰσι παντελῶς κτηνώδεις, ἢ θηριώδεις, ὡς ἀνοίας ἢ πονηρίας ἔχωσιν. οἷς μετὰ τῶν ἄλ-
λων κακῶν, οὐδὲ τὸ χάρισμα οἶμαι σφόδρα αἰδέσιμον. ἀλλ' ὄντως χάρισμα, εἰ μὲν δοθείη,
στεργόμενον· εἰ δὲ μὴ δοθείη, περιφρονούμενον. οἱ δὲ γινώσκουσι μέν, καὶ τιμῶσι τὴν δωρεάν, ἀνα-

βάλλονται δὲ οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ δι' ἀπληστίαν, οἱ δὲ οὐδὲ εἰσὶν οἱ δυνάμενοι τὸ δέξα-
σθαι, ἢ διὰ νηπιότητα τυχόν. ἤ τινα τελέως ἀκούσιον περίστασιν, ἐξ ἧς οὐδὲ βουλομένοις αὐ-
τοῖς ὑπάρχει τυχεῖν τοῦ χαρίσματος. ὥσπερ οὖν ἐν ἐκείνοις πλείστην διαφορὰν εὕρομεν, οὕ-
τω καὶ τούτοις. χείρους μὲν οἱ παντάπασι καταφρονοῦντες, τῶν ἀπληστοτέρων ἢ ῥᾳθυμο-
τέρων. χείρους δὲ οὗτοι τῶν δι' ἀγνοίαν καὶ τυραννίδος ἀφέντων τὴν δωρεάν. τυραννὶς
γὰρ οὐκ ἄλλό τι, ἢ ἀκούσιος διαμαρτία. καὶ ἡγοῦμαι τοὺς μὲν καὶ δίκας ὑφέξειν, ὥσπερ ἐπὶ τῆς
ἄλλης πονηρίας, οὕτω καὶ τῆς τοῦ λουτροῦ περιφρονήσεως. τοὺς δὲ ὑφέξειν μὲν, ἧττον δέ, ὅτι μὴ κα-
κίᾳ μᾶλλον, ἢ ἀνοίᾳ τὴν ἀποτυχίαν εἰργάσαντο. τοὺς δὲ μήτε δοξασθήσεσθαι, μήτε κολασθήσε-
σθαι παρὰ τοῦ δικαίου κριτοῦ, ὡς ἀσφραγίστους μὲν, ἀπονήρους δὲ, ἀλλὰ παθόντας μᾶλλον
τὴν ζημίαν, ἢ δράσαντας. οὐ γὰρ ὅστις οὐ κολάσεως ἄξιος ἤδη, καὶ τιμῆς· ὥσπερ οὐδὲ ὅστις οὐ
τιμῆς, ἤδη καὶ κολάσεως. σκοπῶ δὲ κἀκεῖνο. εἰ κρίνεις φόνου τὸ φονικὸν ἐκ μόνης τῆς βουλήσεως,
καὶ δίχα τοῦ φόνου, βεβαπτίσθω σοι καὶ ὁ ποθήσας τὸ βάπτισμα, δίχα τοῦ βαπτίσματος. εἰ
δὲ οὐκ ἐκεῖνο, πῶς τοῦτο; συνιδεῖν οὐκ ἔχω. εἰ βούλει δὲ οὕτως, εἰ ἀρκεῖ σοι πρὸς δύναμιν τοῦ βα-
πτίσματος ὁ πόθος, καὶ διὰ τοῦτο δικάζεις περὶ τῆς δόξης, ἀρκείτω σοι καὶ πρὸς δόξαν ἡ τῆς
δόξης ἐπιθυμία. καὶ τίς σοι βλάβη τὸ μὴ τυχεῖν ταύτης τὴν ἔφεσιν ἔχοντι; τοιγαροῦν ἐπει-
δὴ τούτων ἠκούσατε τῶν φωνῶν, προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα
ὑμῶν οὐ μὴ καταισχυνθῇ διαμαρτόντα τῆς χάριτος. καὶ δέξασθε τὸν φωτισμὸν ἕως καιρός,
ἵνα μὴ σκοτία ὑμᾶς καταδιώξῃ καὶ καταλάβῃ χωρίσασα τοῦ φωτίσματος. ἔρχεται νύξ, ὅτε
οὐδεὶς δύναται ἐργάσασθαι, μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. ἐκείνη Δαβὶδ ἡ φωνή, αὕτη τοῦ
ἀληθινοῦ φωτὸς τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ὁρᾶτε δὲ καὶ τὸν
Σολομῶντα πικρῶς ὑμῖν ὀνειδίζοντα, τοῖς ἀργοτέροις ἢ νωθεστέροις. ἕως πότε ὀκνηρὲ κατάκει-
σαι λέγοντα, πότε δὲ ἐξ ὕπνου ἀναστήσῃ. τὸ καὶ τὸ σκήπτῃ, καὶ προφασίζῃ προφάσεις ἐν
ἁμαρτίαις. μένω τὰ φῶτα, τὸ πάσχα μοι τιμιώτερον, τὴν πεντηκοστὴν ἐκδέχομαι, Χριστῷ
συμφωτισθῆναι βέλτιον, Χριστῷ συναναστῆναι κατὰ τὴν ἀναστάσιμον ἡμέραν. τὸ πνεῦμα τὸ
τιμῆσαι τὴν ἐπιφάνειαν. εἶτα τί; ἥξει τὸ τέλος ἐξαίφνης ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷς, καὶ ἐν ὥ-
ρᾳ ᾗ οὐ γινώσκεις. εἶτα παραγένηταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία τῆς χάριτος, καὶ λι-
μώξεις ἐν τοσούτῳ πλούτῳ τῆς ἀγαθότητος. δέον τὰ ἐναντία τῷ ἐναντίῳ καρποῦσθαι. τῷ
ἀόκνῳ τὸν ἀμητόν, καὶ τῇ πηγῇ τὴν ἀπόλαυσιν, ὥσπερ τὸν διψητικώτατον ἔλαφον σπουδῇ
ταῖς πηγαῖς προστρέχοντα, καὶ σβεννύντα τὸν τοῦ δρόμου κόπον τῷ ὕδατι, ἀλλὰ μὴ τὸ τοῦ
Ἰσμαὴλ παθεῖν, ἐνδείᾳ ξηραίνεσθαι, ἢ τὸ τοῦ μύθου, ἐν μέσῃ πηγῇ δίψῃ κολάζεσθαι. δεινὸν
παρελθεῖν πανήγυριν, καὶ τηνικαῦτα τὴν πραγματείαν ἐπιζητεῖν. δεινὸν τὸ μάννα παρα-
δραμεῖν, καὶ τηνικαῦτα τροφῆς ἐφίεσθαι. δεινὸν ὑστεροβουλία, καὶ τὰ τηνικαῦτα τῆς ζημίας
αἰσθάνεσθαι. ὅτε οὐκ ἔστι λύσις ζημίας. μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, καὶ τὸν πικρὸν συγκλει-
σμὸν τῶν ἑκάστῳ βεβιωμένων, καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν, καὶ τὴν τῶν κεκαθαρμέ-
νων λαμπρότητα. διὰ τοῦτο μὴ μέλλετε πρὸς τὴν χάριν. ἀλλ' ἐπείγεσθε, μὴ λῃστὴς ὑμᾶς προ-
λάβῃ, μὴ μοιχὸς παραδράμῃ, μὴ ἄπληστος πλεονεκτήσῃ, μὴ φονεὺς προαρπάσῃ τὸ ἀγαθόν·
μὴ τελώνης, μὴ πόρνος, μή τις τῶν βιαστῶν τῆς βασιλείας καὶ ἁρπακτῶν. βιάζεται γὰρ ἑκοῦ-
σα καὶ τυραννεῖται δι' ἀγαθότητα. βραδὺς ἴσθι πρὸς κακηγορίαν οὗτος. ταχὺς δὲ πρὸς σωτη-
ρίαν, ἐμοὶ πειθόμενος. ἴσον γάρ ἐστι κακόν, ἑτοιμότης τε πρὸς τὸ χεῖρον, καὶ μέλλησις πρὸς
τὸ βέλτιον. ἐὰν ἐπὶ κῶμον καλῇ, μὴ ταχύνῃς· ἐὰν ἐπ' ἄρνησιν, ἀποπήδησον· ἐὰν εἴπῃ σοι
πονηρῶν ἐργαστήριον, ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον
ἀδίκως, μηδὲ τὰς ἀκοὰς ὑπόσχῃς. δύο γὰρ τὰ μέγιστα κερδανεῖς. ἐκείνῳ τε γνωριεῖς τὴν ἁ-
μαρτίαν, καὶ σαυτὸν ἐξαιρήσεις πονηρᾶς κοινωνίας. ἂν δέ σοι λέγῃ Δαβὶδ ὁ μέγας, δεῦτε
ἀγαλλιασώμεθα τῷ κυρίῳ· ἐὰν δὲ προφήτης ἄλλος, δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυ-
ρίου· ἐὰν δὲ αὐτὸς ὁ σωτήρ, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ
ἀναπαύσω ὑμᾶς, ἢ ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν λαμπροὶ λαμπρῶς ὑπὲρ χιόνα λαμψάν-
των, ὑπὲρ γάλα τυρωθέντων, ὑπὲρ λίθον σάπφειρον αὐγασθέντων, μὴ ἀντιτείνωμεν, μὴ
βραδύνωμεν. γενώμεθα Πέτρος καὶ Ἰωάννης, ὡς ἐπὶ τὸν τάφον ἐκεῖνοι καὶ τὴν ἀνάστασιν,
οὕτως ἐπὶ τὸ λουτρὸν αὐτοὶ σπεύδωμεν, συντρέχοντες, ἀντιτρέχοντες, ὅπως ἂν τὸ ἀγαθὸν
προλάβωμεν ἀγωνιζόμενοι. καὶ μὴ εἴπῃς, ἀπελθὼν ἐπάνηκε, καὶ αὔριον βαπτισθήσομαι,
δυνατὸν ὂν σήμερον εὖ παθεῖν. παρέστω μοι μήτηρ, παρέστω μοι πατήρ, ἀδελφοί, γυνή,
τέκνα, φίλοι, πᾶν ὅτι μοι τίμιον, καὶ τηνικαῦτα σωθήσομαι. νῦν δὲ οὔπω μοι καιρὸς λαμ-
πρυνθῆναι. δέος γάρ, μὴ κοινωνοὺς λάβῃς πένθους, οὓς εὐφροσύνης κοινωνοὺς ἤλπισας. ἐὰν
μὲν παρῶσι, μὴ ἀναμείνῃς. αἰσχρὸν εἰπεῖν, ποῦ δέ μοι τὸ καρποφορούμενον ἐπὶ τῷ βα-
πτίσματι; ποῦ δὲ ἡ ἐμφατικὴ ἐσθὴς ᾗ λαμπρυνθήσομαι; ποῦ δὲ τὰ πρὸς δεξίωσιν τῶν ἐμῶν
βαπτιστῶν,

βαπτισῶν, ἵνα καὶ τούτοις εὐδοκιμῇς. φαίνῃ δὲ, ὡς ὁρᾷς, ἐστι ταῦτα τῶν ἀναγκαίων, ὧν χωρὶς τοῦτο ἡ χάρις ἐλαττωθήσεται. μὴ μικρολόγει περὶ τὰ μεγάλα, μηδὲν ἀγεννὲς πάθῃς. μεῖζον τῶν ὁρωμένων ἐστὶ τὸ μυστήριον, σεαυτὸν καρποφόρησον, χριστῷ ἐνδύσαι, θρέψον με τῇ πολιτείᾳ, οὕτως ἐγὼ χαίρω φιλοφρονούμενος, οὕτω καὶ θεὸς ὁ τὰ μέγιστα χαριζόμενος, οὐδὲν τῷ θεῷ μέγα, ὃ μὴ ὁ πένης δίδωσιν, ἵνα μὴ καὶ ταύτῃ παραδῶνται οἱ πένητες. οὐ γὰρ ἐξεταστὴς ὅπως τοῖς πλουσίοις ἁμιλληθῶσιν. ἐν ἄλλοις μὲν ἡ διαφορὰ τοῦ πλουτεῖν καὶ τοῦ πένεσθαι. ἐνταῦθα δὲ ὁ προθυμότερος, πλουσιώτερος. μηδέν σε ἐπεχέτω τοῦ προσιέναι, μηδ᾽ ἀναθελκέτω σου τὴν προθυμίαν, ἕως σφοδρὸς ὁ πόθος, λάβου τοῦ ποθουμένου. ἕως θερμὸς ὁ σίδηρος, τῷ ψυχρῷ στομωθήτω. μή τι παρεμπέσῃ μέσον, καὶ διακόψῃ σου τὴν ὁδόν. φίλιππός εἰμι, γενοῦ κανδάκης. εἰπὲ καὶ αὐτός· ἰδοὺ τὸ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; ἅρπασον τὸν καιρόν. τοῦ ἀγαθοῦ περιχάρηθι. καὶ εἰπὼν, βαπτίσθητι. καὶ βαπτισθεὶς, σώθητι. κἂν ἧς αἰθίοψ τὸ σῶμα, τὴν ψυχὴν λευκάνθητι. τύχε τῆς σωτηρίας, ἧς οὐδὲν ὑψηλότερον, οὐδὲ τιμιώτερον τοῖς γε νοῦν ἔχουσι. μὴ εἴπῃς· ἐπίσκοπος βαπτισάτω με, καὶ οὗτος μητροπολίτης, ἢ ἱεροσολυμίτης. οὐ γὰρ τόπων ἡ χάρις, ἀλλὰ τοῦ πνεύματος, καὶ οὗτος τῶν εὖ γεγονότων. δεινὸν γὰρ εἰ τῷ βαπτιστῇ τὴν εὐγένειαν μου καθυβρισθήσεται. ἢ πρεσβύτερος μὲν, ἀλλὰ καὶ οὗτος τῶν ἀγάμων, καὶ οὗτος τῶν ἐγκρατῶν καὶ ἀγγελικῶν τὴν πολιτείαν. δεινὸν γοῦν, εἰ ἐν καιρῷ καθάρσεως ῥυπωθήσομαι. μὴ ζήτει ἀξιοπιστίαν τοῦ κηρύσσοντος, μηδὲ τοῦ βαπτίζοντος. ἄλλος ὁ τούτων κριτὴς καὶ τῶν ἀφανεστέρων δοκιμαστής. ἐπειδὴ ἄνθρωπος μὲν εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν. σοὶ δὲ πᾶς ἀξιόπιστος εἰς τὴν κάθαρσιν. μόνον ἔστω τις τῶν ἐγκεκριμένων, καὶ μὴ τῶν προδήλως κατεγνωσμένων, μηδὲ τῆς ἐκκλησίας ἀλλότριος. μὴ κρῖνε σὺ κριτὰς, ὁ χρῄζων τῆς ἰατρείας. μηδὲ φιλοκρίνει μοι τὰς ἀξίας τῶν σε καθαιρόντων. μηδὲ διακρίνου πρὸς σοὺς γεννήτορας. ἄλλος μὲν ἄλλου κρείττων ἢ ταπεινότερος, σοῦ δὲ πᾶς ὑψηλότερος. σκόπει δὲ οὕτως, ἔστω χρυσὸς, ἔστω σίδηρος. δακτύλιοι δὲ ἀμφότεροι, καὶ τὴν αὐτὴν ἐγκεχαράχθωσαν εἰκόνα βασιλικήν, εἶτα κηρὸν ἐκτυπούτωσαν. τί διοίσει σφραγὶς αὕτη τῆς σφραγῖδος ἐκείνης; οὐδέν. ἐπίγνωθι τὴν ὕλην ἐν τῷ κηρῷ, κἂν ἧς σοφώτατος. εἰπὲ τί μὲν τοῦ σιδήρου, τί δὲ τοῦ χρυσοῦ τὸ ἐκσφράγισμα. καὶ πῶς ἕν ἐστι; τῆς γὰρ ὕλης τὸ διάφορον, οὐ τοῦ χαρακτῆρος. οὕτως ἔστω σοι πᾶς βαπτιστὴς, κἂν τῇ πολιτείᾳ προέχῃ, ἀλλ᾽ ἥ γε τοῦ βαπτίσματος δύναμις ἴση, καὶ τελειωτής σοι πᾶς ὁμοίως ὁ τῇ αὐτῇ πίστει μεμορφωμένος. μὴ ἀπαξιώσῃς συμβαπτισθῆναι πένητι, πλούσιος ὤν. ὁ εὐπατρίδης τῷ δυσγενεῖ, ὁ δεσπότης τῷ δούλῳ μέχρι τοῦ νῦν. οὔπω τοσοῦτον ταπεινοφρονήσεις, ὅσον χριστὸς ᾧ σὺ βαπτίζῃ σήμερον. ὃς διὰ σὲ καὶ δούλου μορφὴν ἐδέξατο, ἀφ᾽ ἧς ἡμέρας μεταποιῇ, πάντες ἐξαλείφθησαν οἱ παλαιοὶ χαρακτῆρες. μιᾷ μορφῇ πᾶσι χριστὸς ἐπιτέθειται. μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως ἰωάννης ἐβάπτιζεν, ἵνα τὴν ἐκεῖθεν αἰσχύνην, τῇ ἐνταῦθα φύγῃς. ἐπειδὴ μέρος καὶ τοῦτο τῆς ἐκεῖσε κολάσεως, καὶ δείξῃς ὅτι τὴν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτὴν, καὶ θριαμβεύσας, ὡς ἀξίαν ὕβρεως. μὴ διαπτύσῃς ἐξορκισμοῦ θεραπείαν, μηδὲ πρὸς τὸ μῆκος ταύτης ἀπαγορεύσῃς. βάσανός ἐστι καὶ αὕτη τῆς περὶ τὸ χάρισμα γνησιότητος. τί τοσοῦτον πονήσεις, ὅσον ἡ τῶν αἰθιόπων βασίλισσα; ἐκ τῶν περάτων τῆς γῆς ἀπανιστᾶσα, ἵνα ἴδῃ τὴν σοφίαν σολομῶντος. καὶ ἰδοὺ πλεῖον σολομῶντος ὧδε παρὰ τοῖς τελέως λογιζομένοις. μὴ κατοκνήσῃς, μὴ ὁδοῦ μῆκος, μὴ μέτρα θαλάσσης, μὴ πῦρ, εἰ καὶ τοῦτο πρόκειται, μὴ ἄλλο μηδὲν ἢ μικρὸν, ἢ μεῖζον τῶν κωλυμάτων, ὥστε τυχεῖν τοῦ χαρίσματος. εἰ δέ σοι μηδὲν πονήσαντι, μηδὲ πραγματευσαμένῳ, τυχεῖν ἔξεστι τοῦ ποθουμένου, πόσης εὐηθείας τὴν δωρεὰν ἀναβάλλεσθαι. οἱ διψῶντες, φησὶ, πορεύεσθε ἐφ᾽ ὕδωρ. ἡσαΐας διακελεύεταί σοι, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίζοντες ἀγοράσατε, καὶ πίετε οἶνον, ἄνευ ἀργυρίου τιμῆς. ὢ τοῦ τάχους τῆς φιλανθρωπίας, ὢ τῆς εὐκολίας τοῦ συναλλάγματος. ὤνιόν σοι τοῦτο τοῦ θελῆσαι μόνον τὸ ἀγαθόν. αὐτὴν τὴν ἔφεσιν αὐτὴ μεγάλης τιμήματος δέχεται. διψᾷ τὸ διψᾶσθαι, ποτίζει τοὺς πιεῖν ἐθέλοντας. εὐεργετεῖται τὴν εὐεργεσίαν αἰτούμενος. πρόχειρός ἐστι, μεγαλόδωρος, δίδωσιν ἥδιον ἢ λαμβάνουσιν ἕτεροι. μόνον μὴ μικρολογίαν καταγνωσθῶμεν τοῦ μικρὰ αἰτεῖν, καὶ τοῦ διδόντος ἀνάξια. μακάριος ὃν αἰτεῖ πόμα χριστὸς ὡς τὴν σαμαρεῖτιν ἐκείνην, καὶ δίδωσι πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, καὶ πᾶσαν ψυχὴν, αὔριον ἀρουμένην, ἣν ἀροτριοῦσι βοῦς καὶ ὄνος πατεῖ σήμερον χερσεύουσαν καὶ ἄνυδρον, καὶ ἀλογίᾳ πιεζομένην. μακάριος, ὃς καὶ χειμάρρων ἢ χοίνων, ἐξ οἴκου κυρίου ποτίζεται, καὶ γίνεται σιτοφόρος ἀντὶ χορτοφόρου. καὶ γεωργεῖ τροφὴν ἀνθρωπίνην, ἀλλ᾽ οὐ τραχεῖαν καὶ ἀνόνητον. ὑπὲρ οὗ πᾶσαν ἐνδεικτέος σπουδὴν, ὥστε μὴ διαμαρτεῖν τῆς κοινῆς χάριτος. ἔστω ταῦτα, φησὶ, περὶ τῶν ἐπιζητούντων τὸ βάπτισμα. τί δ᾽ ἂν εἴποις περὶ τῶν ἔτι νηπίων, καὶ μήτε τῆς ζημίας ἐπαισθανομένων,

μήτε τῆς χάριτος. τί δαὶ ταῦτα βαπτισόμεθα; πάνυ γε. εἴπερ τις ἐπείγοι κίνδυνος. κρεῖσσον γὰρ ἀναισθήτως ἁγιασθῆναι, ἢ ἀπελθεῖν ἀσφράγιστα καὶ ἀτέλεστα. καὶ τούτου λόγος ἡμῖν, ἡ ὀκταήμερος περιτομή, τυπική τις οὖσα σφραγίς, καὶ ἀλογίστοις ἔτι προσαγομένη. ὡς δὲ καὶ ἡ τῶν φλιῶν χρίσις, διὰ τῶν ἀναισθήτων, φυλάττουσα τὰ πρωτότοκα. περὶ δὲ τῶν ἄλλων δίδωμι γνώμην τὴν τριετίαν ἀναμένοντας, ἢ μικρὸν ἐντὸς τούτου, ἢ ὑπὲρ τοῦτο, ἡνίκα καὶ ἀκοῦσαί τι μυστικόν, καὶ ἀποκρίνασθαι δύνανται. εἰ καὶ μὴ συνιέντα τελέως, ἀλλ' οὖν τυπούμενα, οὕτως ἁγιάζειν καὶ ψυχὰς καὶ σώματα τῷ μεγάλῳ μυστηρίῳ τῆς τελειώσεως. καὶ γὰρ οὕτως ἔχει, τοῦ μὲν βίου τὰς εὐθύνας τηνικαῦτα ὑπέχειν ἄρχονται, ἡνίκα ἂν ὅ, τε λόγος συμπληρωθῇ, καὶ τὸ μυστήριον μάθωσι. τῶν γὰρ ἐξ ἀγνοίας ἁμαρτημάτων, διὰ τὸ ἁπαλὸν τῆς ἡλικίας αὐτοῖς τὸ ἀνεύθυνον. τετειχίσθαι δὲ τῷ λουτρῷ, παντὶ λόγῳ λυσιτελέστερον διὰ τὰς ἐξαίφνης συμπιπτούσας ἡμῖν προσβολὰς τῶν κινδύνων, καὶ βοηθείας ἰσχυροτέρας. ἀλλὰ χριστός φησι τριακονταέτης βαπτίζεται. καὶ ταῦτα θεὸς ὤν, καὶ σὺ κελεύεις ἐπισπεύδειν τὸ βάπτισμα, θεὸν εἰπών, λέλυκας τὸ ζητούμενον. ὁ μὲν γὰρ αὐτοκάθαρσις ἦν, καὶ οὐκ ἐδεῖτο καθάρσεως, ἀλλὰ σοὶ καθαίρεται. ὥσπερ καὶ σάρκα φορεῖ σοί, ἄσαρκος ὤν. οὐδέ τις κίνδυνος ἦν αὐτῷ τὸ βάπτισμα ὑπερτείνοντι. αὐτὸς γὰρ καὶ τοῦ πάθους ἦν ἑαυτῷ ταμίας ὥσπερ τῆς γεννήσεως. σοὶ δὲ οὐδὲ περὶ μικρῶν ὁ κίνδυνος. εἰ ἀπέλθοις τῇ φθορᾷ γεννηθεὶς μόνῃ, καὶ μὴ τὴν ἀφθαρσίαν ἀμφιεσάμενος, σκοπῶ δὲ κἀκεῖνο. ὅτι τῷ μὲν ἀναγκαῖος ἦν οὗτος ὁ καιρὸς τοῦ βαπτίσματος, σοὶ δὲ οὐχ ὁ αὐτὸς λόγος. ἀνεδείχθη μὲν γὰρ τριακοστὸν γεγονὼς ἔτος οὐ πρότερον, τοῦ τε μὴ δοκεῖν ἐπιδεικτικὸς εἶναί τις. τῶν γὰρ ἀπειροκάλων τὸ πάθος, καὶ ὡς τελείαν βάσιν οἶσαι ἀρετῆς, καὶ τοῦ διδάσκειν καιρὸν ταύτης ἐχούσης τῆς ἡλικίας. ἐπειδὴ δὲ παθεῖν ἔδει, τὸ τοῦ κόσμου σωτήριον πάθος, πάντα συνδραμεῖν ἔδει πρὸς τὸ πάθος ὅσα τοῦ πάθους, τὴν ἀνάδειξιν, τὸ βάπτισμα, τὴν ἄνωθεν μαρτυρίαν, τὸ κήρυγμα, τὴν συνδρομὴν τῶν πληθῶν, τὰ θαύματα καὶ ὥσπερ ἓν σῶμα γενέσθαι, μὴ διεσπασμένον, μηδὲ ἀπερρηγμένον τοῖς διαστήμασιν. ἐκ μὲν γὰρ τοῦ βαπτίσματος, καὶ τοῦ κηρύγματος, ὁ τῶν περιχώρων σεισμός (οὕτω γὰρ ἡ γραφὴ καλεῖ τὸν καιρὸν ἐκεῖνον) ἐκ δὲ τοῦ πλήθους, ἡ τῶν σημείων ἐπίδειξις καὶ τὰ θαύματα τῷ εὐαγγελίῳ προσάγοντα. ἐκ δὲ τούτων ὁ φθόνος, ἐκ δὲ τούτου τὸ μῖσος. ἐκ δὲ τοῦ μίσους, τὸ τῆς ἐπιβουλῆς, καὶ τῆς προδοσίας. ἐκ τούτου δὲ ὁ σταυρός, καὶ ὅσοις σεσώσμεθα. τὰ μὲν δὴ χριστοῦ τοιαῦτα, καὶ οὕτως ἔχοντα, ὅσον ἡμῖν ἐφικτῶς. τάχα δ' ἄν τις καὶ ἄλλος εὑρεθείη λόγος τούτων ἀπορρητότερος. σοὶ δὲ τίς ἀνάγκη τοῖς ὑπὲρ σὲ ὑποδείγμασιν ἑπομένῳ, κακῶς βουλεύεσθαι. ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν τηνικαῦτα ἱστορουμένων ἑτέρως ἢ ὡς τὰ νῦν ἔχοντα φαίνεται, καὶ οὐ συμβαίνοντα τοῖς καιροῖς. ἐνήστευσε μικρὸν πρὸ τῆς πείρας, ἡμεῖς πρὸ τοῦ πάσχα. τὸ μὲν τῶν νηστειῶν ἓν οὐ μικρὸν δὲ ἀμφοτέρων τῶν καιρῶν τὸ διάστημα. ὁ μὲν γὰρ κατὰ τῶν πειρασμῶν ταύτας προβάλλεται. ἡμῖν δὲ τὴν συννέκρωσιν χριστοῦ τοῦτο δύναται, καὶ καθάρσιόν ἐστι προεόρτιον. καὶ ὁ μὲν νηστεύει τεσσαράκοντα ἡμέρας. θεὸς γὰρ ἦν. ἡμεῖς δὲ τῇ δυνάμει τοῦτο συνεμετρήσαμεν. εἰ καί τινας ἄγειν ὁ ζῆλος πείθει καὶ ὑπὲρ δύναμιν. πάλιν μυσταγωγεῖ τὸ πάσχα τοὺς μαθητὰς ἐν ὑπερῴῳ καὶ μετὰ δεῖπνον, καὶ πρὸ μιᾶς τοῦ παθεῖν ἡμέρας, ἡμεῖς ἐν προσευχῆς οἴκοις καὶ πρὸ τοῦ δείπνου, καὶ μετὰ τὴν ἀνάστασιν. ἀνίσταται τριήμερος, ἡμεῖς μετὰ πολὺν χρόνον. καὶ οὔτε ἀπέρρηκται τῶν ἐκείνου τὰ ἡμέτερα, οὔτε συνέζευκται χρονικῶς. ἀλλ' ὅσον τύπος εἶναι τῶν ἡμετέρων παραδέδοται, τὸ πάντη παραπλήσιον διαπέφευγε. τί οὖν θαυμαστὸν, καὶ τὸ βάπτισμα παρειλῆφθαι μὲν δι' ἡμᾶς, τῷ χρόνῳ δὲ διαφέρειν; ὃ σύ μοι δοκεῖς ὡς μέγα τι καὶ θαυμαστὸν οἴει προβάλλεσθαι κατὰ τῆς ἑαυτοῦ σωτηρίας. εἴ τι οὖν ἐμοὶ πείθεσθε, τοὺς μὲν τοιούτους λόγους χαίρειν ἐάσατε. αὐτοὶ δὲ τοῦ ἀγαθοῦ προσανδήσατε καὶ διπλοῦν ἀγῶνα ἀγωνίσασθε· τὸν μὲν προκαθαίρειν ὑμᾶς αὐτοὺς τοῦ βαπτίσματος, τὸν δὲ συντηρεῖν τὸ βάπτισμα. ἐπειδὴ τῆς αὐτῆς ἐστι δυσχερείας, καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι. πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβε, ῥαθυμία διέφθειρεν. ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια. καλὸν σοι βοήθημα πρὸς τὸ τυχεῖν, ὧν ἐπιποθεῖς ἀγρυπνίαι, νηστεῖαι, χαμευνίαι, προσευχαί, δάκρυον, οἶκτος, τῶν δεομένων μεταδόσεις. τοῦτό σοι γενέσθω ὧν τετύχηκας εὐχαριστήριόν τε ἅμα καὶ φυλακτήριον. ἔχεις πολλῶν ἐντολῶν ὑπόμνημα τὴν εὐεργεσίαν, μὴ παραδράμῃς. πένης προσῆλθε, μνήσθητι πόσον ἐπτώχευσας, καὶ πόσον ἐπλούτησας, ἄρτου δεόμενος, ἢ πόματος, λάζαρος ἴσως τις ἄλλος τοῖς σοῖς πυλῶσι προσερριμμένος, αἰδέσθητι τὴν μυστικὴν τράπεζαν ἣ προσῆλθες. τὸν ἄρτον, οὗ μετείληφας. τὸ ποτήριον, οὗ κεκοινώνηκας τοῖς χριστοῦ πάθεσι τελειούμενος. ξένος σοι προσέπεσεν ἄοικος, καὶ ἐπίδημος, ὑπόδεξαι διὰ τοῦτο τὸν δι' σὲ ξενιτεύσαντα. καὶ ταῦτα ἐν τοῖς ἰδίοις. καὶ ἐνοικισθέντα σοι διὰ τῆς χάριτος καὶ πρὸς

τὴν ἁγί-

τὴν αἰώνιον κατοικίαν ἐκληρώσαντο. γενοῦ Ζακχαῖος, ὁ χθὲς τελώνης, καὶ σήμερον μεγαλόψυ-
χος. πάντα τῇ εἰσόδῳ τοῦ Χριστοῦ καρποφόρησον, ἵνα μέγας ἀναφανῇς. κἂν μικρὸς ἧς τὴν σω-
ματικὴν ἡλικίαν, κατ᾽ ἀρχὰς Χριστὸν θεασάμενος. ἄῤῥωστος πένητι φαρμακείας, τὴν σὴν ὑ-
γίειαν αἰδέσθητι, ὅτι τὰ τραύματα, ὧν σε Χριστὸς ἠλευθέρωσεν. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, διὰ
σὸν τιμῶν ἔνδυμα τῆς ἀφθαρσίας. Χριστὸς δὲ τοῦτό ἐστιν, ἐπειδὴ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν,
Χριστὸν ἐνεδυσάμεθα. ἐὰν χρεωφειλέτην λάβῃς προσαιτοῦντα, πᾶσαν συγγραφὴν ἄδικον ἢ
δικαίαν διάσπασον. μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι Χριστὸς ἐχαρίσατο. μὴ γένῃ πρά-
κτωρ πικρὸς τοῦ ἐλάττονος χρέους. καὶ ταῦτα τίσι; τοῖς ὁμοδούλοις, ὁ τῶν πλειόνων παρὰ τοῦ δεσπό-
του συγχωρηθεὶς, μὴ καὶ τῆς ἐκείνου φιλανθρωπίας ὑπόσχῃς δίκην, ἣν οὐκ ἐμιμήσω λαβὼν ὑ-
πόδειγμα. γενέσθω σοι τὸ λουτρὸν μὴ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς εἰκόνος. μὴ τῶν ἁμαρ-
τημάτων ἔκπλυσις μόνον, ἀλλὰ καὶ τοῦ τρόπου διόρθωσις. μὴ τὸν προλαβόντα βόρβορον ἀποκλυ-
ζέτω μόνον, ἀλλὰ καὶ τὴν πηγὴν καθαιρέτω. μὴ τὸ καλῶς κτᾶσθαι τυπούτω μόνον, ἀλλὰ
καὶ τὸ κακῶς ἀποκτᾶσθαι. ἢ τό γε κουφότερον, τὸ κακῶς κτηθὲν ἀποτίθεσθαι. τί γὰρ ὄφε-
λος; σοὶ μὲν συγχωρηθῆναι τὴν ἁμαρτίαν, τῷ δὲ ἠδικημένῳ μὴ λυθῆναι τὴν παρὰ σοῦ ζη-
μίαν. δύο σοι κακῶν ὄντων, τοῦ τε κτήσασθαι μὴ δικαίως, καὶ τοῦ τὰ κτηθέντα κατέχεσθαι,
τοῦ μὲν ἄφεσιν ἔλαβες, τὸ δὲ σήμερον ἀδικεῖς. σήμερον γάρ ἐστι παρά σοι τὸ ἀλλότριον, καὶ οὐκ
ἀνῄρηται τὸ ἁμάρτημα, τῷ χρόνῳ δὲ διακέκοπται. τὸ μὲν πρὸ τοῦ βαπτίσματος τολμηθὲν, τὸ δὲ
μένον μετὰ τὸ βάπτισμα. τῶν γὰρ ἡμαρτημένων, οὐ τῶν ἁμαρτανομένων τὸ λουτρὸν ἔχει συγχώ-
ρησιν. δεῖ δὲ μὴ σοφισθῆναι τὸν καθαρμὸν, ἀλλ᾽ ἐνσημανθῆναι. μηδ᾽ ἐπικάλυψιν τῶν ἁμαρ-
τιῶν, ἀλλ᾽ ἀπαλλαγὴν ἔχειν τὸ χάρισμα. μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, τοῦτο τῆς παν-
τελοῦς καθάρσεως, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. τοῦτο τῶν οὔπω τὸ βάθος κεκαθαρ-
μένων. μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν. τρίτη τις αὕτη τάξις τῶν ἁ-
μαρτανομένων, ὧν ἡ μὲν πρᾶξις οὐκ ἐπαινετὴ, τὸ δὲ τῆς γνώμης ἀνεύθυνον. τί οὖν φημι; καὶ
τίς ὁ ἐμὸς λόγος; χθὲς ἦσθα Χαναναία ψυχὴ, καὶ διὰ τῆς ἁμαρτίας συγκύπτουσα. σήμερον
ἀνωρθώθης ὑπὸ τοῦ λόγου, μὴ συγκύψῃς πάλιν, καὶ εἰς γῆν κλιθῇς. ὥσπερ κύφωνι παρὰ τοῦ
πονηροῦ βαρυνθεῖσα, καὶ δυσανάλυτον ἔχῃς τὴν ταπείνωσιν. χθὲς ἐξηραίνου θάλλουσα τῇ
αἱμοῤῥοίᾳ. ἐπήγαζες γὰρ τὴν φοινικὴν ἁμαρτίαν. σήμερον ἀνεθάλλες ἀναξηρανθεῖσα. ἥψω
γὰρ τῶν Χριστοῦ κρασπέδων καὶ τὴν ῥύσιν ἔστησας. φύλαξαί μοι τὴν κάθαρσιν. μὴ πάλιν αἱ-
μοῤῥοήσῃς, καὶ οὐκ ἰσχύσεις λαβέσθαι Χριστοῦ, ἵνα κλέψῃς τὴν σωτηρίαν. οὐ γὰρ πολλάκις Χρι-
στὸς φιλεῖ κλεπτόμενος, καὶ εἰ λίαν ἐστὶ φιλάνθρωπος. χθὲς ἐπὶ κλίνης ἔῤῥιψο παρειμένος
καὶ λελυμένος, καὶ οὐκ εἶχες ἄνθρωπον, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ σε εἰς τὴν κολυμ-
βήθραν. σήμερον εὗρες ἄνθρωπον τὸν αὐτὸν καὶ θεὸν, μᾶλλον δὲ θεὸν ἄνθρωπον. ἤρθης ἐκ τοῦ
κραβάττου. μᾶλλον δὲ ἦρας τὸν κράβαττον, καὶ ἐστηλίτευσας τὴν εὐεργεσίαν. μὴ πάλιν ἐπὶ
κραβάττου ῥιφῇς ἁμαρτήσας, τῇ κακῇ ἀναπαύσει τοῦ σώματος παρειμένου ταῖς ἡδο-
ναῖς. ἀλλ᾽ ὡς ἔχεις βάδιζε μεμνημένος τῆς ἐντολῆς. ἰδοὺ ὑγιὴς γέγονας. μηκέτι ἁμάρτανε,
ἵνα μὴ χεῖρόν σοι τι γένηται, κἂν κακὸν φανῇς μετὰ τὴν εὐεργεσίαν. Λάζαρε δεῦρο ἔξω ἤκουσας τῆς
μεγάλης φωνῆς ἐν τάφῳ κείμενος. τί γὰρ τοῦ λόγου μεγαλοφωνότερος; καὶ προῆλθες ὁ
τετραήμερος νεκρὸς, ἀλλὰ πολυήμερος τῷ τεθνημένῳ συναναστὰς, καὶ τὴν ἐνταφίαν ἐξε-
λύθης. μὴ νεκρωθῇς πάλιν, καὶ γένῃ μετὰ τῶν κατοικούντων ἐν τάφοις. μηδὲ κατασφιγ-
χθῇς ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων. ἄδηλον γὰρ εἰ πάλιν ἐξαναστήσῃ τῆς ταφῆς,
μέχρι τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως, ἢ πᾶσαν τὴν κτίσιν ἄξει εἰς κρίσιν, οὐ θερα-
πευθησόμενον, ἀλλὰ κριθησόμενον. καὶ λόγον ὑφέξον ὧν οὖν ἢ κακῶς ἐθησαύρισας. εἰ λέ-
πραν, ἔβρυθες τέως τὴν ἄμορφον πονηρίαν, ἀπεξέσθης δὲ τῆς κακῆς ὕλης, καὶ τὴν εἰκόνα
σῶν ἀπέλαβες. δεῖξόν μοι τῷ ἱερεῖ σου τὴν κάθαρσιν, ἵνα γνῶ, πόσον τῆς νομικῆς
αὕτη τιμιωτέρα γένοιτ᾽. μὴ τῶν ἐννέα τῶν ἀχαρίστων, ἀλλὰ τὸν ἕνα κατὰ μίμησαι. καὶ γὰρ
εἰ Σαμαρείτης ἦν, ἀλλὰ τῶν ἄλλων εὐγνωμονέστερος. ἀσφάλισαι μὴ πάλιν κακῶς ἐξαν-
θήσῃς, καὶ δυσθεράπευτος ἕξεις τὴν ἀνωμαλίαν τοῦ σώματος. πρώην ἐξήρανέ σου τὴν
χεῖρα μικρολογία, καὶ φειδωλία. σήμερον ἐκτεινάτω μετάδοσις καὶ φιλανθρωπία. κα-
λὴ θεραπεία χειρὸς ἀῤῥωστούσης, σκορπίζειν, διδόναι τοῖς πένησιν, ἐξαντλεῖν ὧν ἔχομεν δα-
ψιλῶς, μέχρις ἂν καὶ τὸν πυθμένα ἀψώμεθα. ἴσως καὶ οὗτος πηγάσει σοι τροφὴν καθά-
περ τῇ Σαρεφθίᾳ, καὶ μάλιστα εἰ τύχοις Ἠλίαν τρέφουσα, καλὴν εὐπορίαν εἰδέναι τὸ, διὰ
Χριστὸν ἀπορεῖν τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα. εἰ κωφὸς ἦσθα καὶ ἄλαλος, ὁ λόγος ἐνηχησάτω
σοι. μᾶλλον δὲ κάτεχε τὸν ἐνηχήσαντα. μὴ κλείσῃς τὰ ὦτα πρὸς παιδείαν κυρίου, καὶ νου-
θεσίαν, ὡς ἀσπὶς πρὸς ἐπάσματα. εἰ τυφλὸς εἶ καὶ ἀφώτιστος, φώτισον τοὺς ὀφθαλμούς σου,
μήποτε ὑπνώσῃς εἰς θάνατον. ἐν τῷ φωτὶ κυρίου ἴδε φῶς, ἐν τῷ πνεύματι τοῦ θεοῦ τὸν υἱόν.

αὐγάσθητι

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ.

Χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ πανηγυρίσαντες, καὶ γὰρ ἔπρεπε χαρμόσυνα ἄγειν τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ πολὺ μᾶλλον ἢ γαμήλια καὶ γενέθλια, καὶ ὀνομαστήρια, τοῖς σαρκὸς φίλοις. κουρόσυνά τε καὶ κατοικίσια, καὶ ἐπίσια, ὅσα τε ἄλλα πανηγυρίζουσιν ἄνθρωποι, σήμερον περὶ τοῦ βαπτίσματος βραχέα διαλεξόμεθα, καὶ τῆς ἐντεῦθεν ἡμῖν ὑπαρχούσης εὐεργεσίας. εἰ δὲ χθὲς ὑμᾶς ὁ λόγος περιέτεμε τῆς ὥρας κατεπειγούσης, καὶ ἅμα τοῦ λόγου τὸν κόρον φεύγοντος. κόρος δὲ πολέμιος ἀκοαῖς ὡς ὑπερβάλλουσα τροφὴ σώμασι. προσέχειν δὲ ἄξιον τοῖς λεγομένοις, καὶ μὴ παρέργως, ἀλλὰ προθύμως τὸν περὶ τηλικούτων δέξασθαι λόγον. ἐπεὶ δὴ καὶ τοῦτό ἐστι φωτισμὸς, τὸ γνῶναι τοῦ μυστηρίου τὴν δύναμιν. τριττὴν γέννησιν ἡμῖν οἶδεν ὁ λόγος, τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως. τούτων δὲ ἡ μὲν νυκτερινή τέ ἐστι, καὶ δούλη, καὶ ἐμπαθής. ἡ δὲ ἡμερινὴ, καὶ ἐλευθέρα, καὶ λυτικὴ παθῶν. πᾶν τὸ ἐκ γενέσεως κάλυμμα περιτέμνουσα, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπανάγουσα. ἡ δὲ φοβερωτέρα καὶ συντομωτέρα. πᾶν τὸ πλάσμα συνάγουσα ἐν βραχεῖ, τῷ πλάστῃ παραστησομένη, καὶ λόγον ὑφέξον τῆς ἐνταῦθα δουλείας ἢ πολιτείας. εἴτε τῇ σαρκὶ μόνον ἐπηκολούθησεν, εἴτε τῷ πνεύματι συνανῆλθε, καὶ τὴν χάριν ᾐδέσθη τῆς ἀναπλάσεως. ταύτας δὴ τὰς γεννήσεις ἁπάσας τιμήσας ὁ ἐμὸς Χριστὸς φαίνεται, τὴν μὲν τῷ ἐμφυσήματι τῷ πρώτῳ καὶ ζωτικῷ, τὴν δὲ τῇ σαρκώσει, καὶ τῷ βαπτίσματι, ὅπερ αὐτὸς ἐβαπτίσατο· τὴν δὲ τῇ ἀναστάσει, ἧς αὐτὸς ἀπήρξατο, ὡς ἐγένετο πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτω καὶ πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας. περὶ μὲν δὴ τῶν δύο γεννήσεων τῆς πρώτης τέ φημι, καὶ τῆς τελευταίας φιλοσοφεῖν, οὐ τοῦ παρόντος καιροῦ. περὶ δὲ τῆς μέσης καὶ τῆς νῦν ἡμῖν ἀναγκαίας, ἧς ἐπώνυμος ἡ τῶν φώτων ἡμέρα φιλοσοφήσωμεν. τὸ φώτισμα, λαμπρότης ἐστὶ ψυχῶν, βίου μετάθεσις, ἐπερώτημα τῆς εἰς θεὸν συνειδήσεως. τὸ φώτισμα, βοήθεια τῆς ἀσθενείας τῆς ἡμετέρας. τὸ φώτισμα, σαρκὸς ἀπόθεσις, πνεύματος ἀκολούθησις, λόγου κοινωνία, πλάσματος ἐπανόρθωσις, κατακλυσμὸς ἁμαρτίας, φωτὸς μετουσία, σκότους κατάλυσις. τὸ φώτισμα, ὄχημα πρὸς θεὸν, συνεκδημία Χριστοῦ, ἔρεισμα πίστεως, νοῦ τελείωσις, κλεὶς οὐρανῶν βασιλείας, ζωῆς ἄμειψις, δουλείας ἀναίρεσις, δεσμῶν ἔκλυσις, συνθέσεως μεταποίησις. τὸ φώτισμα τί δεῖ πλείω καταριθμεῖν, τὸ τῶν δώρων τὸ κάλλιστον καὶ μεγαλοπρεπέστατον, ὥσπερ ἅγια ἁγίων καλεῖταί τινα (καὶ ᾆσμα τῶν ᾀσμάτων, ἐμπεριεκτικώτερα γάρ ἐστι καὶ κυριώτερα) οὕτω καὶ αὐτὸ παρὰ τοὺς ἄλλους τῶν παρ' ἡμῖν φωτισμῶν ὂν ἁγιώτερον. καλεῖται δὲ ὥσπερ Χριστὸς ὁ τούτου δοτὴρ πολλοῖς καὶ διαφόροις ὀνόμασιν, οὕτω δὲ καὶ τὸ δώρημα, εἴτε διὰ τὸ περιχαρὲς τοῦ πράγματος τοῦτο παθόντων ἡμῶν (φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς διακείμενοι, ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι) εἴτε τοῦ πολυειδοῦς τῆς εὐεργεσίας πολλὰς κλήσεις ἡμῖν δημιουργοῦντος, δῶρον καλοῦμεν, χάρισμα, βάπτισμα, χρῖσμα, φώτισμα, ἀφθαρσίας ἔνδυμα, λουτρὸν παλιγγενεσίας, σφραγῖδα. πᾶν ὅ τι τίμιον, δῶρον μὲν ὡς καὶ μηδὲν προεισενεχθεῖσι διδόμενον. χάρισμα δὲ, ὡς καὶ ὀφείλουσι. βάπτισμα δὲ, ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας. χρῖσμα δὲ, ὡς ἱερὸν καὶ βασιλικόν. ταῦτα γὰρ ἦν τὰ χριόμενα. φώτισμα δὲ, ὡς λαμπρότητα. ἔνδυμα δὲ, ὡς αἰσχύνης κάλυμμα. λουτρὸν δὲ, ὡς ἔκπλυσιν. σφραγῖδα δὲ ὡς συντήρησιν, καὶ τῆς δεσποτείας σημείωσιν. τούτῳ συγχαίρουσιν οὐρανοί, τοῦτο δοξάζουσιν ἄγγελοι, διὰ τὸ συγγενὲς τῆς λαμπρότητος. τοῦτο εἰκὼν τῆς ἐκεῖθεν μακαριότητος, τοῦτο ὑμνεῖν ἐξ ἡμῶν βουλόμεθα μὲν, οὐ δυνάμεθα δὲ ὅσον ἄξιον. θεὸς μέν ἐστι, φῶς τὸ ἀκρότατον, καὶ ἀπρόσιτον, καὶ ἄρρητον. οὔτε νῷ καταληπτὸν, οὔτε λόγῳ ῥητὸν, πάσης φωτιστικὸν λογικῆς φύσεως, τοῦτο ἐν νοητοῖς, ὅπερ ἐν αἰσθητοῖς ἥλιος, ὅσον ἂν καθαιρώμεθα φανταζόμενον, καὶ ὅσον ἂν φανταζώμεθα, ἀγαπώμενον· καὶ ὅσον ἀγαπῶμεν, αὖθις νοούμενον, αὐτὸ ἑαυτοῦ θεωρητικόν τε καὶ καταληπτικὸν, ὀλίγα τοῖς ἔξω χεόμενον. φῶς δὲ λέγω, τὸ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρούμενον. ὧν πλοῦτος, ἡ συμφυΐα καὶ τὸ ἓν ἔξαλμα τῆς λαμπρότητος. δεύτερον δὲ φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸ νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα, οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα. τρίτον φῶς ἄνθρωπος, ὃ καὶ τοῖς ἔξω δῆλόν ἐστι. φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζουσι, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν, καὶ ἡμῶν αὐτῶν πάλιν οἱ θεοειδέστεροι, καὶ μᾶλλον θεῷ πλησιάζοντες. οἶδα καὶ ἄλλο φῶς ᾧ τὸ ἀρχέγονον ἠλάθη σκότος, ἢ διεκόπη πρῶτον ὑποστὰν τῆς ὁρατῆς κτίσεως, τήν τε κυκλικὴν τῶν ἀστέρων περίοδον, καὶ τὴν ἄνωθεν φρυκτωρίαν κόσμον ὅλον αὐγάζουσαν. φῶς μὲν ἦν καὶ ἡ τῷ πρωτογόνῳ δοθεῖσα πρωτόγονος ἐντολή. ἐπειδὴ λύχνος ἐντολὴ νόμου καὶ φῶς, καὶ διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς, εἰ καὶ τὸ φθονερὸν σκότος ἐπεισελθὸν τὴν κακίαν ἐδημιούργησε.

φῶς δὲ

φῶς δὲ τυπικὸν καὶ σύμμετρον τοῖς ὑποδεχομένοις, ὁ γραπτὸς νόμος, σκιαγραφῶν τὴν ἀλήθειαν, καὶ τὸ τοῦ μεγάλου φωτὸς μυστήριον. εἴπερ καὶ τὸ μωυσέως πρόσωπον τούτῳ δοξάζεται. καὶ ἵνα πλείονα φῶτα δῶμεν τῷ λόγῳ, φῶς μὲν ἦν ἐκ πυρὸς τῷ μωυσεῖ φανταζόμενον. ἡνίκα τὴν βάτον ἔκαιε μὲν, οὐ κατέκαιε δὲ, ἵνα καὶ τὴν φύσιν παραδείξῃ, καὶ γνωρίσῃ τὴν δύναμιν. φῶς δὲ τὸ ἐν στύλῳ πυρὸς ὁδηγοῦν τὸν ἰσραὴλ, καὶ ἡμερῶσαν τὴν ἔρημον. φῶς τὸ ἠλίαν ἁρπάσαν ἐν τῷ τοῦ πυρὸς ἅρματι, καὶ μὴ συμφλέξαν τὸν ἁρπαζόμενον. φῶς τὸ τοὺς ποιμένας περιαστράψαν, ἡνίκα τὸ ἄχρονον φῶς τῷ χρονικῷ ἐμίγνυτο. φῶς τὸ τοῦ φαινομένου ἀστέρος ἐπὶ Βηθλεὲμ κάλλος, ἵνα καὶ μάγους ὁδηγήσῃ, καὶ δορυφορήσῃ τὸ ὑπὲρ ἡμᾶς φῶς μεθ' ἡμῶν γενόμενον. φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικρὸν στερροτέρα καὶ ὄψεως. φῶς ἡ παῦλον περιαστράψασα φαντασία, καὶ πληγῇ τῶν ὄψεων, τὸν σκότον τῆς ψυχῆς θεραπεύσασα. φῶς καὶ ἡ ἐκεῖθεν λαμπρότης, τοῖς ἐνταῦθα κεκαθαρμένοις, ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος. ὧν ἵσταται ὁ θεὸς ἐν μέσῳ, θεῶν ὄντων καὶ βασιλέων, διαστέλλων καὶ διαιρῶν τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος. φῶς παρὰ ταῦτα ἰδιοτρόπως ὁ τοῦ βαπτίσματος φωτισμὸς, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, μέγα καὶ θαυμαστὸν τὸ τῆς σωτηρίας ἡμῶν περιέχον μυστήριον. ἐπειδὴ γὰρ τὸ μὲν μηδὲν ἁμαρτεῖν ὄντως θεοῦ, καὶ τῆς πρώτης καὶ ἀσυνθέτου φύσεως (ἁπλότης γὰρ εἰρηναία καὶ ἀστασίαστον) θαρρῶ δὲ εἰπεῖν ὅτι καὶ τῆς ἀγγελικῆς, ἢ ὅτι ἐγγυτάτω τούτου διὰ τὴν πρὸς θεὸν ἐγγύτητα, τὸ δὲ ἁμαρτάνειν, ἀνθρώπινον, καὶ τῆς κάτω συνθέσεως (σύνθεσις γὰρ, ἀρχὴ διαστάσεως) οὐκ ᾤετο δεῖν ἀβοήθητον τὸ ἑαυτοῦ πλάσμα καταλιπεῖν ὁ δεσπότης. οὐδὲ περιιδεῖν κινδυνεῦον τῇ ἀπ' αὐτοῦ διαστάσει· ἀλλ' ὥσπερ οὐκ ὄντας ὑπέστησεν, οὕτως ὑποστάντας ἀνέπλασε, πλάσιν θειοτέραν τε καὶ τῆς πρώτης ὑψηλοτέραν· ἣ τοῖς μὲν ἀρχομένοις ἐστὶ σφραγὶς, τοῖς τελειοτέροις τῇ ἡλικίᾳ, καὶ χάρισμα, καὶ τῆς πεσούσης εἰκόνος διὰ τὴν κακίαν ἐπανόρθωσις, ἵνα μὴ τῇ ἀπογνώσει χείρους γινόμενοι, καὶ ἀεὶ πρὸς τὸ χεῖρον καταφερόμενοι, τελείως ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ἀπόγνωσιν πίπτωμεν. μηδὲ εἰς κακῶν βάθος ἐμπεσόντες, ὃ δὴ λέγεται καταφρονῶμεν· ἀλλ' ὥσπερ οἱ μακρὰν ὁδὸν τέμνοντες, καταλύματι τοὺς πόνους διαναπαύσαντες, οὕτω τὸ ἑξῆς τῆς ὁδοῦ νεαροὶ καὶ πρόθυμοι διανύσωμεν. αὕτη μὲν ἡ τοῦ βαπτίσματος χάρις καὶ δύναμις. οὐ κόσμου κατακλυσμὸν ὡς πάλαι, τῆς δὲ τοῦ καθ' ἕκαστον ἁμαρτίας κάθαρσιν ἔχουσα. καὶ παντελῆ ῥύψιν τῶν ἀπὸ κακίας ἐπεισελθόντων συγχωσμάτων ἢ μολυσμάτων. διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις, δι' ὕδατός τέ φημι καὶ πνεύματος. τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ, καὶ τὰ βάθη καθαίροντος, ὃ τῆς πρώτης γενέσεως ἐπικουρία τυγχάνον καινοὺς ἀντὶ παλαιῶν, καὶ θεοειδεῖς ἀντὶ τῶν νῦν ὄντων ἐργάζεται. χωρὶς πυρὸς ἀναχωνεῦον, καὶ ἀνακτίζον δίχα συντρίψεως. εἰ γὰρ δεῖ συντόμως εἰπεῖν, συνθήκας πρὸς θεὸν δευτέρου βίου, καὶ πολιτείας καθαρωτέρας, ὑποληπτέον τὴν τοῦ βαπτίσματος δύναμιν. ὃ δὴ καὶ μάλιστα φοβητέον, καὶ πάσῃ φυλακῇ τηρητέον τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον, μὴ ψευσταὶ τῆς ὁμολογίας ταύτης φαινώμεθα. εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἱστάμεθα τὸν θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι· καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑπευθύνους εἶναι τῇ ἀληθείᾳ· καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως. κἂν ὅτι μάλιστα ἐπιζητῶμεν ταύτην ἐν πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν, ἐξ ὧν συνούλωσις μὲν ἔρχεται μόγις κατά γε τὸν ἐμὸν ὅρον καὶ νόμον. ἔρχεται γὰρ, καὶ πιστεύομεν, εἰ δὲ καὶ τὰς οὐλὰς ἐξαλείψωμεν, ἀγαπώην ἄν· ἐπειδὴ καὶ αὐτὸς χρῄζω φιλανθρωπίας· πλὴν μὴ δευτέρας δεηθῆναι καθάρσεως, ἀλλὰ στῆναι μέχρι τῆς πρώτης ἄμεινον, ἣν κοινὴν οἶδα πᾶσι καὶ ἄμοχθον καὶ ὁμότιμον, δούλοις, δεσπόταις, πένησι, πλουσίοις, ταπεινοῖς, ὑψηλοῖς, εὐγενεστέροις, ἀγενεστέροις, ὀφείλουσιν, οὐκ ὀφείλουσιν, ὡς ἀέρος πνεῦσιν καὶ φωτὸς χύσιν, καὶ ὡρῶν ἀλλαγὰς, καὶ κτίσεως θέαν τῆς μεγάλης καὶ κοινῆς πᾶσιν ἡμῖν ἐντρυφήματος, καὶ ἰσομοιρίαν πίστεως. δεινὸν γὰρ ἀντὶ ἰατρείας ἀπονωτέρας, τὴν ἐπιπονωτέραν ἐργάσασθαι, καὶ ἀπορρίψαντας χάριν οἴκτου, χρεωστεῖν κόλασιν, καὶ ἀντιμετρεῖν ἁμαρτίᾳ διόρθωσιν. πόσον γὰρ εἰσοίσομεν δάκρυον, ἵν' ἀντισταθῇ τῇ πηγῇ τοῦ βαπτίσματος; τίς δὲ ὁ ἐγγυητὴς, ὅτι μενεῖ τῆς θεραπείας τὸ τέλος; ἀλλ' οὐκ ὀφειλούσας ἡμᾶς ἔτι τὸ κριτήριον ὑποδέξεται, καὶ τῆς ἐκεῖθεν δεομένους πυρώσεως· σὺ δὲ δεήσῃ τοῦ δεσπότου τυχὸν ὁ καλὸς καὶ φιλάνθρωπος γεωργὸς, ἔτι φείσασθαι τῆς συκῆς, καὶ μήπω ταύτην ἐκτεμεῖν ἐγκαλουμένην τὴν ἀκαρπίαν, ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, στεναγμοὺς, ἀνακλήσεις, χαμευνίας, ἀγρυπνίας, τῆξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγορεύσεως καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν.

ἄδηλον

μόνον ἔχῃς, ἀλλὰ καὶ τὴν αὔξησιν, ἵνα τὸ μὴ πῦρ φύγῃς μόνον, ἀλλὰ καὶ τῆς δόξης κληρονομήσῃς, ἣν ἐπεργάσασθαι τοῦ δώρου χαρίζεται. ἔστι γὰρ τοῖς μὲν μικροψύχοις, μέγα τὸ φυγεῖν βάσανον. τοῖς δὲ μεγαλοψύχοις, τὸ καὶ τυχεῖν ἀνταποδόσεως. τρεῖς γὰρ οἶδα τάξεις τῶν σωζομένων, δουλείαν, μισθαρνίαν, υἱότητα. εἰ δοῦλος εἶ, τὰς πληγὰς φοβήθητι· εἰ μισθωτὸς, πρὸς τὸ λαβεῖν βλέπε μόνον. εἰ ὑπὲρ τούτους εἶ υἱὸς, ὡς πατέρα αἰδέσθητι. ἔργασαι τὸ καλὸν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι. κἂν εἰ μηδὲν ἔσεσθαι μέλλει, τοῦτο αὐτὸ μισθὸς, τὸ τῷ πατρὶ χαρίζεσθαι. ὡς ἡμεῖς μὴ καταφρονοῦντες φαινοίμεθα, ὡς ἔστιν ἄτοπον χρήματα μὲν προαρπάζειν, ὑγείαν δὲ ἀναβάλλεσθαι· καὶ σώματα μὲν προκαθαίρειν, ψυχῆς δὲ κάθαρσιν ταμιεύεσθαι· καὶ τῆς μὲν κάτω δουλείας, ἐλευθερίαν ζητεῖν, τῆς ἄνω δὲ μὴ ἐφίεσθαι. καὶ ὅπως μὲν οἰκήσεις μεγαλοπρεπῶς, ἢ ἀμφιέσῃ, πάντα ποιεῖσθαι σπουδήν. ὅπως δὲ αὐτὸς πλείστου ἄξιος ἔσῃ, μηδὲ φροντίζειν· καὶ ἄλλοις μὲν εὖ ποιεῖν πρόθυμον εἶναι, ἑαυτὸν δὲ μὴ βούλεσθαι. καὶ εἰ μὲν ὤνιον ἦν σοι τὸ ἀγαθὸν, μηδενὸς ἂν φείδεσθαι χρήματος· εἰ δὲ πρόκειται διὰ φιλανθρωπίαν, καταφρονεῖς τῷ ἑτοίμῳ τῆς εὐποιΐας. πᾶς σοι καιρὸς ἐκπλύσεως, ἐπειδὴ πᾶς ἀναλύσεως. μετὰ Παύλου βόησον τῆς μεγάλης φωνῆς· ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας, οὐχ ἕνα καιρὸν, ἀλλὰ πάντα τὸν νῦν ὁρίζοντος. καὶ πάλιν, ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν. καὶ ἐπιφαύσει σοι ὁ Χριστὸς, λύων τὴν νύκτα τῆς ἁμαρτίας. ἐπειδὴ ἐν νυκτὶ ἐλπὶς πονηρὰ, κατὰ τὸν Ἡσαΐαν. καὶ τὸ πρωῒ ληφθῆναι λυσιτελέστερον. σπεῖρε μὲν ὅτε καιρὸς, καὶ συγκόμιζε, καὶ λύε τὰς ἀποθήκας ὅτε τούτου καιρός. καὶ φύτευε καθ' ὥραν, καὶ κειρέσθω σοι βότρυς ὡραῖος, καὶ ἀνάγου θαρσοῦσα ἔαρι, καὶ ἀνέλκε τὴν ναῦν πάλιν ἀρχομένου χειμῶνος, καὶ τῆς θαλάσσης ἀγριουμένης. καὶ πολέμου καιρὸς ἔστω σοι καὶ εἰρήνης, καὶ γάμου, καὶ τοῦ μὴ γάμου, καὶ φιλίας, καὶ διαστάσεως, ἂν ταύτης δέῃ, καὶ παντὸς ὅλως πράγματος, εἴ τι τῷ Σολομῶντι πιστέον. πιστέον δέ. καὶ γὰρ ὠφέλιμος ἡ παραίνεσις. ἀεὶ δὲ τὴν σωτηρίαν ἐργάζου. καὶ πᾶς ἔστω σοι καιρὸς, τοῦ βαπτίσματος ὅρος. ἐὰν ἀεὶ τὸ σήμερον παραβαίνων ἐπιτηρῇς τὸ εἰς αὔριον, ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ πονηροῦ κλεπτόμενος, ὥσπερ ἐκείνου τρόπος· ἐμοὶ δὸς τὸ παρὸν, θεῷ τὸ μέλλον· ἐμοὶ τὴν νεότητα, θεῷ τὸ γῆρας· ἐμοὶ τὰς ἡδονὰς, ἐκείνῳ τὴν ἀχρηστίαν, ὅσος ὁ περὶ σὲ κίνδυνος, ὅσα τὰ παρ' ἐλπίδα συμπτώματα, ἢ πόλεμος ἐπανάλωσεν, ἢ σεισμὸς συνέχωσεν, ἢ θάλασσα ὑπεδέξατο, ἢ θηρίον ἥρπασεν, ἢ νόσος ἀπώλεσεν, ἢ ψὶξ παρασφαλμοῦσα τὸ φαυλότατον (τί γὰρ τοῦ ἀποθανεῖν ἀνθρώπων εὐκολώτερον, κἂν μέγα φρονῇς τῇ εἰκόνι;) ἢ ποτὸς πλεονάσας, ἢ ἄνεμος κρημνίσας, ἢ ἵππος συναρπάσας, ἢ φάρμακον ἐκ πονηρίας ἐπιβουλευθέν. τυχὸν δὲ καὶ ἀντὶ σωτηρίου φανὲν δηλητήριον, ἢ δικαστὴς ἀπάνθρωπος, ἢ δήμιος ἀπαραίτητος, ἤ τι τῶν ὅσα ταχίστην ποιεῖ τὴν μετάστασιν, καὶ βοηθείας ἰσχυρότερα. εἰ δὲ προκαταλάβοις σεαυτὸν τῇ σφραγῖδι, καὶ τὸ μέλλον ἀσφαλίσαιο, τῷ καλλίστῳ τῶν βοηθημάτων, καὶ στερροτάτῳ, σημειωθεὶς καὶ ψυχὴν, καὶ σῶμα, τῷ χρίσματι, καὶ τῷ πνεύματι, ὡς Ἰσραὴλ πάλαι, τῷ νυκτερινῷ καὶ φυλακτικῷ, τῶν πρωτοτόκων αἵματι καὶ χρίσματι. τί σοι συμβήσεται; καὶ τί σοι πραγματεύεται; τῶν προοιμίων ἄκουσον. ἐὰν γὰρ κάθῃ, φησὶν, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. καὶ παρὰ τοῦ Δαβὶδ εὐαγγελίσθητι, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ. τοῦτό σοι καὶ ζῶντι, μέγιστον εἰς ἀσφάλειαν. πρόβατον γὰρ ἐσφραγισμένον, οὐ ῥᾳδίως ἐπιβουλεύεται. τὸ δὲ ἀσήμαντον, κλέπταις εὐάλωτον καὶ ἀπελθόντι δεξιὸν ἐντάφιον. ἐσθῆτος λαμπρότερον, χρυσοῦ τιμιώτερον, τάφου μεγαλοπρεπέστερον, ἀγώνων, χοῶν, εὐσεβέστερον. ἀπαρχῶν τῶν ὡραίων καιριώτερον, ἃς τοῖς νεκροῖς οἱ νεκροὶ χαρίζονται, νόμον ποιησάμενοι τὴν συνήθειαν. πάντα οἰχέσθω σοι, πάντα διαρπαζέσθω, χρήματα, κτήματα, θρόνοι, λαμπρότητες, ὅσα τῆς κάτω περιφορᾶς. σὺ δὲ καταλύσον ἀσφαλῶς τὸν βίον, μηδὲν ζημιωθεὶς τῶν ἐκ θεοῦ σοι δοθέντων εἰς σωτηρίαν βοηθημάτων. ἀλλὰ φοβῇ μὴ διαφθείρῃς τὸ χάρισμα, καὶ διὰ τοῦτο ἀναβάλλῃ τὴν κάθαρσιν ὡς δευτέραν οὐκ ἔχων; τί δαί; οὐ φοβῇ μὴ διωκτικῷ καιρῷ κινδυνεύσῃς, καὶ τὸ μέγιστον ὧν ἔχεις ἀφαιρεθῇς, Χριστόν; εἶτ' οὖν διὰ τοῦτο φεύξῃ καὶ τὸ γενέσθαι Χριστιανός; ἄπαγε, οὐχ ὑγιαίνοντος ὁ φόβος, παραφρονοῦντος ὁ λογισμός· ὦ τῆς ἀνευλαβοῦς εὐλαβείας. εἰ δεῖ τοῦτο εἰπεῖν, ὦ τῶν τοῦ πονηροῦ σοφισμάτων. ὄντως σκότος ἐστὶ, καὶ φῶς ὑποκρίνεται. ὅταν μηδὲν ἰσχύσῃ φανερῶς πολεμῶν, ἀφανῶς ἐπιβουλεύει καὶ γίνεται σύμβουλος χρηστὸς, ὢν πονηρὸς ἵν' οὖν γε τοῦ τρόπου πάντως ἰσχύσῃ, καὶ μηδαμόθεν αὐτοῦ τὴν ἐπιβουλὴν διαφύγωμεν. ὅπερ οὖν κἀνταῦθα σοφῶς τεχνάζεται. τὸ γὰρ φανερῶς καταφρονεῖν τοῦ βαπτίσματος πείθειν οὐκ ἔχων, ζημιοῖ σε διὰ τῆς πλαστῆς ἀσφαλείας. ἵν' ὃ φοβῇ γε, τοῦτο λάθῃς παθὼν διὰ τοῦ φόβου. καὶ τὸ φθεῖραι τὴν δωρεὰν δεδιὼς, αὐτῷ τούτῳ τῆς δωρεᾶς ἐκπέσῃς. ὁ μὲν δὴ τοιοῦτός ἐστι, καὶ οὔποτε παύσεται τῆς ἑαυτοῦ

διπλοῦς, ἕως ἂν βλέπῃ πρὸς οὐρανὸν ἐπειγομένους ὑμᾶς, ὅθεν αὐτὸς ἐκπέπτωκε. σὺ δ' ἐθρε-
πε τοῦ θεοῦ γνῶθι τὴν ἐπιβουλὴν τοῦ ἀντικειμένου. πρὸς γὰρ τὸν ἔχοντα καὶ ὑπὲρ τῶν μεγί-
στων ἡ μάχη. μὴ λάβῃς σύμβουλον τὸν ἐχθρόν. μὴ καταφρονήσῃς τοῦ γενέσθαι, καὶ ἀκοῦσαι πιστός, ἕως
εἶ κατηχούμενος. ἐν προθύροις εἶ τῆς εὐσεβείας, εἴσω γενέσθαι σε δεῖ, τὴν αὐλὴν διαβῆναι, τὰ
ἅγια κατοπτεῦσαι, εἰς τὰ ἅγια τῶν ἁγίων παρακύψαι. μετὰ τῆς Τριάδος γενέσθαι. μεγάλα ἐστὶν ὑπὲρ
ὧν πολεμεῖ. μεγάλης δεῖ σοι καὶ τῆς ἀσφαλείας. προβαλοῦ τὸν θυρεὸν τῆς πίστεως. φοβεῖταί
σε μετὰ τῶν ὅπλων μαχόμενον. διὰ τοῦτο γυμνοῖ σε τοῦ χαρίσματος, ἵνα κρατήσῃ ῥᾷόν σε ἀό-
πλου καὶ ἀφυλάκτου. πάσης ἡλικίας ἅπτεται. πάσης ἰδέας βίου, διὰ πάντων ἀποκρουσθή-
τω. νέος εἶ, στῆθι κατὰ τῶν παθῶν. μετὰ τῆς συμμαχίας εἰς Θεοῦ παράταξιν ἀριθμήθητι. ἀρίστευ-
σον κατὰ τοῦ Γολιάθ. λάβε τὰς χιλιάδας, ἢ τὰς μυριάδας. οὕτω τῆς ἡλικίας ἀπόλαυσον, ἀλλὰ
μὴ ἀνάσχῃ μαρανθῆναί σου τὴν νεότητα, τῷ ἀτελεῖ τῆς πίστεως νεκρωθεῖσαν. γηραιὸς εἶ, καὶ τῆς
ἀναγκαίας ἐγγὺς προθεσμίας, τὴν πολιὰν αἰδέσθητι, δὸς ἤδη ἅπου τῇ φρονήσει, αἰδ' ἣν
νῦν ἔχεις ἀσθένειαν. ταῖς ὀλίγαις ἡμέραις βοήθησον. πίστευσον τῷ γήρᾳ τὴν κάθαρσιν. τί φο-
βῇ τὰ νεότητος, ἐν βαθεῖ γήρᾳ ὢν καὶ ταῖς ἐσχάταις ἀναπνοαῖς; ἢ καὶ σὺ μένεις νεκρὸς λου-
θῆναι, οὐ μᾶλλον ἐλεούμενος, ἢ μισούμενος; ἢ ποθεῖς τῶν ἡδονῶν τὰ λείψανα, βίου λείψανον
ὤν; αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, μὴ παρακμάσαι δὲ τὴν ἀσέλγειαν, ἀλλ' ἢ πάσχειν
ταύτην ἢ δοκεῖν, διαμέλλοντα πρὸς τὴν κάθαρσιν. νήπιόν ἐστί σοι; μὴ λαβέτω καιρὸν ἡ κακία.
ἐκ βρέφους ἁγιασθήτω, ἐξ ὀνύχων καθιερωθήτω τῷ πνεύματι. σὺ δέδοικας τὴν σφραγῖδα
διὰ τὸ τῆς φύσεως ἀσθενές, ὡς μικρόψυχος ἡ μήτηρ, καὶ ὀλιγόπιστος. ἡ Ἄννα δὲ, καὶ πρὶν
ἢ γεννηθῆναι τὸν Σαμουὴλ, καθυπέσχετο τῷ Θεῷ, καὶ γεννηθέντα, ἱερὸν εὐθὺς ἐποίει καὶ τῇ ἱ-
ερατικῇ στολῇ συνανέθρεψεν, οὐ τὸ ἀνθρώπινον φοβηθεῖσα, τῷ δὲ Θεῷ πιστεύσασα. οὐδὲν δεῖ
σοι περιαμμάτων καὶ ἐπασμάτων, οἷς ὁ πονηρὸς συνεισέρχεται, ὁ κλέπτων εἰς ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ
τὸ σέβας ἐν τοῖς κουφοτέροις. δὸς αὐτῷ τὴν Τριάδα τὸ μέγα καὶ καλὸν φυλακτήριον. τί
ἔτι παρθενίαν ἀσκεῖς; τῇ καθάρσει σφραγίσθητι. ταύτην σύνοικον τοῦ βίου κοινωνὸν καὶ συνόμιλον.
αὕτη ῥυθμιζέτω σοι καὶ βίον, καὶ λόγον, πᾶν μέλος, πᾶν κίνημα, πᾶσαν αἴσθησιν. τίμησον αὐτήν,
ἵνα σε κοσμήσῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων. στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου.
δέδεσαι γάμῳ, καὶ τῇ σφραγῖδι συνδέθητι. ταύτην συνοίκισον σεαυτῷ τῆς σωφροσύνης φύ-
λακα. πόσων εὐνούχων οἴει, πόσων θυρωρῶν εἶναι ἀσφαλεστέραν; οὔπω σαρκὶ συνεζεύχθης,
μὴ φοβηθῇς τὴν τελείωσιν. καθαρὸς εἶ καὶ μετὰ τὸν γάμον, ἐμὸς ὁ κίνδυνος, ἐγὼ τούτου συναρ-
μοστὴς, ἐγὼ νυμφοστόλος. οὐ γὰρ ἐπεὶ ἡ παρθενία τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ γάμος. μιμήσο-
μαι Χριστὸν τὸν καθαρὸν νυμφαγωγὸν καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ, καὶ τιμᾷ συ-
ζυγίαν τῇ παρουσίᾳ. μόνον ἔστω γάμος καθαρὸς καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος, ἓν αἰτῶ
μόνον. λάβε παρὰ τοῦ δώρου τὴν ἀσφάλειαν, καὶ δὸς τῷ δώρῳ τὴν ἁγνείαν κατὰ καιρὸν, ἕως εὐχῆς
πρόκειται προθεσμία καὶ σχολίας τιμιωτέρα, καὶ ταύτην ἐκ κοινῆς ὁμολογίας καὶ συναι-
νέσεως. οὐ γὰρ νομοθετοῦμεν, ἀλλὰ παραινοῦμεν, καὶ τῶν σῶν τι λαβεῖν ὑπὲρ σοῦ βουλόμεθα, καὶ
τῆς κοινῆς ὑμῶν ἀσφαλείας οἴκοθεν. ἐν κεφαλαίῳ δὲ εἰπεῖν, οὐκ ἔστιν οὐ βίος, οὐκ ἐπιτήδευμα, ᾧ
μὴ τοῦτο λυσιτελέστερον. δέξαι ὁ ἐν ἐξουσίᾳ τὸν χαλινόν. ὁ ἐν δουλείᾳ, τὴν ὁμοτιμίαν. ὁ ἀθυμῶν,
τὴν παραμυθίαν. ὁ ἐν εὐθυμίᾳ, τὴν παιδαγωγίαν. ὁ πένης, τὸν ἄσυλον πλοῦτον. ὁ εὐπορῶν, τὴν
καλὴν ὧν ἔχεις οἰκονομίαν. μηδὲ σοφίσῃ, μηδὲ τεχνάσῃ κατὰ τῆς σεαυτοῦ σωτηρίας. καὶ γὰρ
εἰ τοὺς ἄλλους παραλογιζόμεθα, ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα. ὡς τό γε καθ' ἑαυτοῦ παίζειν,
λίαν ἐπισφαλὲς καὶ ἀνόητον, ἀλλ' ἐν μέσῳ στρέφῃ καὶ μολύνῃ τοῖς δημοσίοις, καὶ δεινὸν
εἴ σοι δαπανηθήσεται τὸ φιλάνθρωπον, ἁπλοῦς ὁ λόγος. εἰ μὲν οἷόν τε, φύγε καὶ τὴν ἀγο-
ρὰν μετὰ τῆς καλῆς συνοδίας. πτέρυγας ἀετοῦ σεαυτῷ ποιήσας, ἢ περιστερᾶς, ἵν' οἰκειότερον
εἴπω. τί γάρ σοι καὶ Καίσαρι, ἢ τοῖς Καίσαρος, ἕως οὗ καταπαύσῃς, οὗ μή ἐστιν ἁμαρτία, μηδὲ
μελανώσεις, μηδὲ δήκτης ὄφις ἐφ' ὁδοῦ, κωλύων σου τὰ κατὰ Θεὸν διαβήματα. ἅρπασον τῆς σεαυ-
τοῦ ψυχὴν ἐκ τοῦ κόσμου, φύγε Σόδομα, φύγε τὸν ἐμπρησμόν. ὅδευσον ἀμεταστρεπτί. μὴ παγῇς
λίθος ἁλός. εἰς τὸ ὄρος σώζου. μὴ συμπαραληφθῇς. εἰ δὲ περικρατεῖ καὶ δέδεσαι δεσμοῖς
ἀναγκαίοις, ἐκεῖνο σεαυτῷ διαλέχθητι. μᾶλλον δέ σοι αὐτὸς διαλεχθήσομαι. κρεῖσσον
μὲν καὶ τυχεῖν τοῦ ἀγαθοῦ, καὶ φυλάξαι τὴν κάθαρσιν. εἰ δὲ ἀμφότερα μὴ ἐνδέχεται, κρεῖσ-
σον κατὰ μικρὰ μολυνθῆναι τοῖς δημοσίοις, ἢ παντάπασιν ἐκπεσεῖν τῆς χάριτος. ὥσπερ
οἶμαι κρεῖσσον ἐπιτιμηθῆναί τι παρὰ πατρὸς καὶ δεσπότου, ἢ ἀπωσθῆναι, καὶ μικρὸν
αὐγάζεσθαι ἢ παντελῶς σκοτίζεσθαι. σωφρόνων δὲ ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τε-
λεώτερα, οὕτω τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ κουφότερα. διὰ τοῦτο μὴ λίαν φοβη-
θῇς τὴν κάθαρσιν. κρίνεται γὰρ ἀεὶ μετὰ τῶν ἐπιτηδευμάτων τὸ κατορθούμενον παρὰ τοῦ δικαίου καὶ
φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ. καὶ μικρὸν κατορθώσεις πολλάκις ἢ οἱ ἐν μέσῳ, πλεῖον

ἐξ

ἔχει τῆς ἐν ἐλευθερίᾳ μὴ τὸ πᾶν κατορθώσαντος, ὥσπερ οἶμαι παραδοξότερον ἐν πέδαις μι-
κρὰ προβαίνειν, ἢ τρέχειν μηδενὶ βαρουμένους, καὶ διὰ βορβόρου μικρὰ ῥαντίζεσθαι, ἢ καθαρὸν
εἶναι διὰ καθαροῦ φερόμενον. τεκμήριον δὲ τοῦ λόγου, καὶ Ῥαὰβ ἡ πόρνη, ἣν ἐδικαίωσε μό-
νη ἡ φιλοξενία, τἄλλα οὐκ ἐπαινουμένην, καὶ ὁ τελώνης ὃν ὕψωσεν ἡ ταπείνωσις, οὐδὲν ἄλ-
λο μαρτυρηθέντα. ἵνα σὺ μάθῃς σεαυτοῦ ῥᾳδίως μὴ ἀπογινώσκειν. ἀλλὰ τί μοι πλέον, φησί,
προκαταληφθέντι διὰ τοῦ βαπτίσματος. καὶ τὸ τερπνὸν τοῦ ζῆν ἐμαυτῷ διὰ τοῦ τάχους
ἀποκλείσαντι. ἐξὸν ἐνδοῦναι ταῖς ἡδοναῖς, καὶ τηνικαῦτα τυχεῖν τῆς χάριτος. οὐδὲ γὰρ τοῖς
ἐν τῷ ἀμπελῶνι προκεκμηκόσιν ὑπῆρξέ τι πλέον, ἴσου τοῦ μισθοῦ δοθέντος, καὶ τοῖς τελευ-
ταίοις. ἀπήλλαξας ἡμᾶς πραγμάτων, ὅς τις ποτὲ εἶ ὁ ταῦτα λέγων, μόγις τὸ τῆς ἀναβολῆς
ἐξειπὼν σὺ ἀπόρρητον, καί σε τῆς κακουργίας οὐκ ἐπαινῶν, ἐπαινῶ τῆς ἐξαγορεύσεως. ἀλλὰ δεῦ-
ρο καὶ τὴν παραβολὴν ἑρμηνευθεῖσαν ἄκουε. ὡς ἂν μὴ βλάπτῃ τοῖς γεγραμμένοις ἐξ ἀπειρίας. πρῶ-
τον μὲν οὐ περὶ τοῦ βαπτίσματος ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ τῶν κατὰ διαφόρους και-
ροὺς πιστευόντων, καὶ εἰς τὸν καλὸν ἀμπελῶνα εἰσερχομένων τὴν ἐκκλησίαν. ἀφ' ἧς γὰρ ἡμέ-
ρας καὶ ὥρας ἐπίστευσεν ἕκαστος, ἀπ' ἐκείνης καὶ ἀπαιτεῖται τῆς ἐργασίας. ἔπειτα εἰ καὶ
τῷ μέτρῳ τοῦ μόχθου πλεῖον εἰσενηνόχασιν οἱ προεισελθόντες, ἀλλ' οὐχὶ καὶ τῷ μέτρῳ τῆς προ-
αιρέσεως, καὶ τυχὸν τοῖς τελευταίοις, ἐκ ταύτης τὸ πλεῖον ὀφειλόμενον, εἰ καὶ παράδοξός πως
ὁ λόγος. τὸ μὲν γὰρ ὕστερον εἰσελθεῖν τὸ καὶ ὕστερον κληθῆναι πρὸς τὴν ἀμπελουργίαν αἴτιον.
τῶν ἄλλων δὲ τὸ διάφορον ὅσον ἴδωμεν σκεψώμεθα. οἱ μὲν οὐ πρότερον ἐπίστευσαν, οὐδὲ εἰσῆλθον,
πρὶν ἢ συμφωνηθῆναι αὐτοῖς τὸν μισθόν. οἱ δὲ ἀσύμφωνοι τῇ ἐργασίᾳ προσῆλθον, ὃ μείζονός
ἐστι γνώρισμα πίστεως. καὶ οἱ μὲν φθονερᾶς, καὶ γογγυστικῆς εὑρέθησαν ὄντες φύσεως, οἱ δὲ
οὐδὲν ἐγκαλοῦνται τοιοῦτον. καὶ τοῖς μὲν μισθὸς ἦν τὸ διδόμενον καίπερ οὖσι πονηροῖς. τοῖς δὲ
χάρις, ὥστε καὶ αὐτοὶ ἐγκληθέντες, εἰκότως τοῦ πλείονος ἐστερήθησαν. τί δ' ἂν καὶ αὐ-
τοῖς ὁ μισθὸς ἐγένετο κατὰ τὸ μάθωμεν. τὸ ἴσον τοῦ μισθοῦ δηλονότι. πῶς οὖν αἰτιῶνται τὸν ἐρ-
γοδότην ὡς δὴ τῆς ἰσότητος αἴτιον. ταῦτα πάντα τὴν τοῦ ἰσότητος ὑφαιρεῖν χάριν τοῖς
πρώτοις, καὶ εἰ προκεκμήκασιν, ἐξ ὧν συμβαίνει καὶ δικαίαν εἶναι τὴν τοῦ ἴσου διανομήν, αὐ-
τὴν μετρουμένης τῷ πόνῳ τῆς προαιρέσεως. εἰ δὲ καὶ τὴν τοῦ λουτροῦ δύναμιν ἡ παραβολὴ σκιο-
γραφεῖ, κατὰ τὴν σὴν ἐξήγησιν, τί κωλύει σε καὶ προεισελθόντα, καὶ καυσωθέντα, μὴ βα-
σκαίνειν τοῖς τελευταίοις; ἵν' αὐτῷ τούτῳ πλέον ἔχῃς τῷ φιλανθρώπῳ, καὶ χρέος, ἀλλὰ
μὴ χάριν λαβεῖν τὴν ἀντίδοσιν. ἔπειτα εἰσελθόντας ἐκεῖ λαμβάνει τοὺς ἐργάτας, οὐ διαμαρ-
τόντας τοῦ ἀμπελῶνος. ὅ, σοι παθεῖν κίνδυνος, ὥστε εἰ μὲν ἦν δῆλον, ὅτι τεύξῃ τῆς δωρεᾶς,
οὕτω φρονῶν καὶ ἀποκρατήσας κακούργως τῆς ἐργασίας, συγγνωστὸν ἦν σοι πρὸς τὸν τοιοῦτον
καταφεύγοντι λογισμόν, καὶ παρακινδυνεύειν τί βουλομένῳ τῆς τοῦ δεσπότου φιλανθρω-
πίας, ἵνα μὴ λέγω ὅτι καὶ αὐτὸ τὸ καμεῖν πλέον, πλέων μισθὸς τῷ μὴ πάντη καπηλικὸν τὴν
διάνοιαν. εἰ δὲ κίνδυνός σοι τοῦ ἀμπελῶνος παντελῶς ἐκπεσεῖν διὰ τῆς ἐμπορείας, καὶ εἰς τὸ
κεφάλαιον ζημιοῖ τὰ μικρὰ παρακλέπτων, φέρε τοῖς ἐμοῖς πείσθητι λόγοις, ἀφεὶς τὰς παρεξη-
γήσεις καὶ ἀντιθέσεις, ἀσυλλογίστως τῷ δώρῳ πρόσελθε, μὴ προαναρπασθῇς τῶν ἐλπίδων, καὶ
κατὰ σαυτοῦ μάθῃς τὰ τοιαῦτα σοφιζόμενος. τί δαί; οὐχὶ φιλάνθρωπόν, φησι, τὸ θεῖον; καὶ
γνωστικὸν γὰρ ἐννοιῶν, δοκιμάζει τε τὴν ἔφεσιν, καὶ ἀντὶ βαπτίσματος ποιεῖται τὴν ὁρμὴν
τοῦ βαπτίσματος; αἰνίγματι λέγεις ὅμοιον εἰ πεφωτισμένος ἐστὶ θεῷ διὰ τὸ φιλάνθρωπον
ὁ ἀφώτιστος, ἢ καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐντὸς ὁ ταύτης τυχεῖν σπουδάζων, δίχα τοῦ
πράττειν τὰ τῆς βασιλείας. ἐγὼ δὲ ὡς ἔχω περὶ τούτων εἰπεῖν θαρρήσω. οἶμαι δὲ καὶ τῶν ἄλλων
συνθήσεσθαι τοὺς νοῦν ἔχοντας, τῶν τυχόντων τῆς δωρεᾶς, οἱ μὲν παντελῶς εἰσιν ἀλλότριοι τοῦ
θεοῦ, καὶ τῆς σωτηρίας. πᾶν εἶδος κακίας διεξελθόντες, καὶ εἶναι κακοὶ σπουδάζοντες. οἱ δὲ
ἡμιμόχθηροί πως καὶ μέσως ἔχοντες ἀρετῆς καὶ κακίας. οἱ δὲ καὶ κακὸν ἔπραξαν, τῷ πρατ-
τομένῳ δὲ οὐ συνήνεσαν. καθάπερ οἱ πυρέττοντες τῷ ἑαυτῶν ἀρρωστήματι, οἱ δὲ καὶ πρὸ τῆς τε-
λειώσεως ἦσαν ἐπαινετοί. οἱ μὲν ἐκ φύσεως, οἱ δὲ κατὰ σπουδὴν προκαθαίροντες ἑαυτοὺς τῷ
βαπτίσματι, καὶ μετὰ τὴν τελειότητα πεφύκασι κρείττους, καὶ ἀσφαλέστεροι. τὸ μὲν γὰρ ἵνα τύχωσι
τῶν ἀγαθῶν, τὸ δὲ ἵνα φυλάξωσιν, οἱ τέως, βελτίους δὲ τῶν παντάπασι πονηρῶν, οἱ τῆς κακίας
τι ὑφιέμενοι. βελτίους δὲ τῶν μικρόν τι ὑφιεμένων, οἱ σπουδαιότεροι καὶ προσαράξαντες ἑαυ-
τοὺς τῷ βαπτίσματι. ἔχουσι γάρ τι πλέον τῆς ἐργασίας. οὐ γὰρ ὥσπερ τῶν ἁμαρτημάτων ἐξάλειψιν ἔ-
χει τὸ λουτρόν, οὕτω καὶ τῶν κατορθωμάτων ἀναίρεσιν. τούτων δὲ αὐτῶν βελτίους, οἱ καὶ γεωργοῦντες
τὸ χάρισμα. καὶ ὅτι μάλιστα εἰς κάλλος ἑαυτοὺς ἀποξέοντες, ὥστε καὶ τῶν ἀποτυγχανόντων,
οἱ μέν εἰσι παντελῶς κτηνώδεις, ἢ θηριώδεις, ὡς ἀνοίας ἢ πονηρίας ἔχουσιν. οἷς μετὰ τῶν ἄλ-
λων κακῶν, οὐδὲ τὸ χάρισμα οἶμαι σφόδρα αἰδέσιμον. ἀλλ' ὄντως χάρισμα, εἰ μὲν δοθείη,
στεργόμενον· εἰ δὲ μὴ δοθείη, καταφρονούμενον. οἱ δὲ γινώσκουσι μέν, καὶ τιμῶσι τὴν δωρεάν, ἀνα-

βάλλονται δὲ οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ δι᾽ ἀπληστίαν, οἱ δὲ οὐδὲ ὄντες ἐν δυνάμει τοῦ δέξασθαι, ἢ διὰ νηπιότητά τυχόν, ἤ τινα τελέως ἀκούσιον περίστασιν, ἐξ ἧς οὐδὲ βουλομένοις αὐτοῖς ὑπάρχει τυχεῖν τοῦ χαρίσματος. ὥσπερ δὴ ἐν ἐκείνοις πλείστην διαφορὰν εὕρομεν, οὕτω καὶ τούτοις. χείρους μὲν οἱ παντάπασι καταφρονοῦντες, τῶν ἀπληστοτέρων ἢ ῥᾳθυμοτέρων. χείρους δὲ οὗτοι τῶν δι᾽ ἄγνοιαν καὶ τυραννίδος ἀποπιπτόντων τῆς δωρεᾶς. τυραννὶς γὰρ οὐκ ἄλλο τι, ἢ ἀκούσιος διαμαρτία. καὶ ἡγοῦμαι τοὺς μὲν καὶ δίκας ὑφέξειν, ὥσπερ ἐπὶ τῆς ἄλλης πονηρίας, οὕτω καὶ τῆς τοῦ λουτροῦ περιφρονήσεως. τοὺς δὲ ὑφέξειν μὲν, ἧττον δὲ, ὅτι μὴ κακίᾳ μᾶλλον, ἢ ἀνοίᾳ τὴν ἀποτυχίαν εἰργάσαντο. τοὺς δὲ μήτε δοξασθήσεσθαι, μήτε κολασθήσεσθαι παρὰ τοῦ δικαίου κριτοῦ, ὡς ἀσφραγίστους μὲν, ἀπονήρους δὲ, ἀλλὰ παθόντας μᾶλλον τὴν ζημίαν, ἢ δράσαντας. οὐ γὰρ ὅστις οὐ κολάσεως ἄξιος ἤδη, καὶ τιμῆς· ὥσπερ οὐδὲ ὅστις οὐ τιμῆς, ἤδη καὶ κολάσεως. σκοπῶ δὲ κἀκεῖνο. εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνης τῆς βουλήσεως, καὶ δίχα τοῦ φόνου, βεβαπτίσθω σοι καὶ ὁ ποθήσας τὸ βάπτισμα, δίχα τοῦ βαπτίσματος. εἰ δὲ οὐκ ἐκεῖνο, πῶς τοῦτο; συνιδεῖν οὐκ ἔχω. εἰ βούλει δὲ οὕτως, εἰ ἀρκεῖ σοι πρὸς δύναμιν τοῦ βαπτίσματος ὁ πόθος, καὶ διὰ τοῦτο δικάζεις περὶ τῆς δόξης, ἀρκείτω σοι καὶ πρὸς δόξαν ἡ τῆς δόξης ἐπιθυμία. καὶ τίς σοι βλάβη τὸ μὴ τυχεῖν ταύτης, τὴν ἔφεσιν ἔχοντι; τοιγαροῦν ἐπειδὴ τούτων ἠκούσατε τῶν φωνῶν, προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ διαμαρτόντα τῆς χάριτος. καὶ δέξασθε τὸν φωτισμὸν ἕως καιρὸς, ἵνα μὴ σκοτία ὑμᾶς καταδιώξῃ καὶ καταλάβῃ χωρίσασα τοῦ φωτίσματος. ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι, μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. ἐκείνη Δαβὶδ ἡ φωνή, αὕτη τοῦ ἀληθινοῦ φωτὸς τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἄκουε δὲ καὶ τὸν Σολομῶντα πικρῶς ὑμῖν ὀνειδίζειν, τοῖς ἀργοτέροις ἢ νωθεστέροις. ἕως πότε ὀκνηρὲ κατάκεισαι λέγοντα, πότε δὲ ἐξ ὕπνου ἀναστήσῃ. τὸ καὶ τὸ σκήπτῃ, καὶ προφασίζῃ προφάσεις ἐν ἁμαρτίαις. μένω τὰ φῶτα, τὸ πάσχα μοι τιμιώτερον, τὴν πεντηκοστὴν ἐκδέξομαι, χριστῷ συμφωτισθῆναι βέλτιον, χριστῷ συναναστῆναι κατὰ τὴν ἀναστάσιμον ἡμέραν, τὸ πνεῦμα τιμῆσαι τὴν ἐπιφάνειαν. εἶτα τί; ἥξει τὸ τέλος ἐξαίφνης ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷς, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκεις. εἶτα παραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία τῆς χάριτος, καὶ λιμώξεις ἐν τοσούτῳ πλούτῳ τῆς ἀγαθότητος. δέον τὰ ἐναντία τῷ ἐναντίῳ καρποῦσθαι, τῷ πόνῳ τὸν ἀμητὸν, καὶ τῇ πηγῇ τὴν ἀνάψυξιν, ὥσπερ τὸ διψητικώτατον ἔλαφοι σπουδῇ ταῖς πηγαῖς προστρέχουσι, καὶ σβεννύουσι τὸν τοῦ δρόμου κόπον τῷ ὕδατι, ἀλλὰ μὴ τὸ τοῦ Ἰσμαὴλ παθεῖν, ἐνδείᾳ ξηραίνεσθαι, ἢ τὸ τοῦ μύθου, ἐν μέσῃ πηγῇ δίψῃ κολάζεσθαι. δεινὸν παρελθεῖν πανήγυριν, καὶ τηνικαῦτα τὴν πραγματείαν ἐπιζητεῖν. δεινὸν τὸ μάννα παραδραμεῖν, καὶ τηνικαῦτα τροφῆς ἐφίεσθαι. δεινὸν ὑστεροβουλία, καὶ τὸ τηνικαῦτα τῆς ζημίας αἰσθάνεσθαι, ὅτε οὐκ ἔστι λύσις ζημίας, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, καὶ τὸν πικρὸν συγκλεισμὸν τῶν ἑκάστῳ βεβιωμένων, καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν, καὶ τὴν τῶν κεκαθαρμένων λαμπρότητα. διὰ τοῦτο μὴ μέλλετε πρὸς τὴν χάριν, ἀλλ᾽ ἐπείγεσθε, μὴ λῃστὴς ὑμᾶς προλάβῃ, μὴ μοιχὸς παραδράμῃ, μὴ ἄπληστος πλεονεκτήσῃ, μὴ φονεὺς προαρπάσῃ τὸ ἀγαθόν, μὴ τελώνης, μὴ πόρνος, μή τις τῶν βιαστῶν τῆς βασιλείας καὶ ἁρπακτῶν. βιάζεται γὰρ ἑκοῦσα καὶ τυραννεῖται δι᾽ ἀγαθότητα. βραδὺς ἴσθι πρὸς κακουργίαν οὕτως, ταχὺς δὲ πρὸς σωτηρίαν, ἐμοὶ πειθόμενος. ἴσον γάρ ἐστι κακὸν, ἑτοιμότης τε πρὸς τὸ χεῖρον, καὶ μέλλησις πρὸς τὸ βέλτιον. ἐὰν ἐπὶ κῶμον κληθῇς, μὴ ταχύνῃς· ἐὰν ἐπ᾽ ἀρνήσεις, ἀποπήδησον· ἐὰν εἴπῃ σοι πονηρὸν ἐργαστήριον, ἐλθὲ μεθ᾽ ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, μηδὲ ταῖς ἀκοαῖς ὑπόσχῃς. δύο γὰρ τὰ μέγιστα κερδανεῖς. ἐκείνῳ τε γνωριεῖς τὴν ἁμαρτίαν, καὶ σαυτὸν ἐξαιρήσεις πονηρᾶς κοινωνίας. ἂν δέ σοι λέγῃ Δαβὶδ ὁ μέγας, δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ· ἐὰν δὲ προφήτης ἄλλος, δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου· ἐὰν δὲ αὐτὸς ὁ σωτήρ, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, ἢ ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν· λαμπροὶ λαμπρῶς, ὑπὲρ χιόνα λαμψάντες, ὑπὲρ γάλα τυρωθέντες, ὑπὲρ λίθον σάπφειρον ἀγλαϊσθέντες, μὴ ἀντιτείνωμεν, μὴ βραδύνωμεν. γενώμεθα Πέτρος καὶ Ἰωάννης, ὡς ἐπὶ τὸν τάφον ἐκεῖνοι καὶ τὴν ἀνάστασιν, οὕτως ἐπὶ τὸ λουτρὸν αὐτοὶ σπεύδωμεν, συντρέχοντες, ἀντιτρέχοντες, ὅπως αὖ τὸ ἀγαθὸν προλάβωμεν ἀγωνιζόμενοι. καὶ μὴ εἴπῃς ἀπελθὼν ἐπάνηκε, καὶ αὔριον βαπτισθήσομαι, δυνατὸς ὢν σήμερον εὖ παθεῖν. παρέστω μοι μήτηρ, παρέστω μοι πατήρ, ἀδελφοί, γυνή, τέκνα, φίλοι, πᾶν ὅτι μοι τίμιον, καὶ τηνικαῦτα σωθήσομαι. νῦν δὲ οὔπω μοι καιρὸς λαμπρυνθῆναι. δέος γάρ, μὴ κοινωνοὺς λάβῃς πένθους, οὓς εὐφροσύνης κοινωνοὺς ἤλπισας. ἐὰν μὲν παρῶσι, μὴ ἀναμείνῃς. αἰσχρὸν εἰπεῖν, ποῦ δέ μοι ἡ καρποφορουμένη ἐπὶ τῷ βαπτίσματι; ποῦ δ᾽ ἡ ἐμφάνειος ἐσθὴς ᾗ λαμπρυνθήσομαι; ποῦ δὲ τὰ πρὸς δεξίωσιν τῶν ἐμῶν βαπτιστῶν,

βαπτιστῶν, ἵνα κἀν τούτοις εὐδοκιμῇς. φαίνεται, ὡς ὁρᾷς, ἐστὶ ταῦτα τῶν ἀναγκαίων, ὧν οὐδὲ τοσοῦτον ἡ χάρις ἐλαττωθήσεται. μὴ μικρολόγει περὶ τὰ μεγάλα, μηδὲ ἀγεννὲς πάθῃς. μεῖζον τῶν ὁρωμένων ἐστὶ τὸ μυστήριον, σαυτὸν καρποφόρησον, Χριστὸν ἔνδυσαι, θρέψον με τῇ πολιτείᾳ, οὕτως ἐγὼ χαίρω φιλοφρονούμενος, οὕτω καὶ θεὸς ὁ τὰ μέγιστα χαριζόμενος, οὐδὲν τῶν θεῷ μέγα, ὃ μὴ καὶ πένης δίδωσιν, ἵνα μὴ κἀνταῦθα πλεονεκτῶνται οἱ πένητες, οὐ γοῦν ἐξ ἀρχῆς ὅπως τοῖς πλουσίοις ἁμιλλῶνται. ἐν ἄλλοις μὲν ἡ διαφορὰ τοῦ πλουτεῖν καὶ τοῦ πένεσθαι. ἐνταῦθα δὲ ὁ προθυμότερος, πλουσιώτερος. μηδεὶς ἐπεχέτω σε τοῦ πρόσω, μηδ' ἀνθελκέτω σου τὴν προθυμίαν, ἕως σφοδρὸς ὁ πόθος, λαβοῦ τοῦ ποθουμένου. ἕως θερμὸς ὁ σίδηρος, τῷ ψυχρῷ τμηθήτω. μή τι παρεμπέσῃ μέσον, καὶ διακόψῃ σου τὸν πόθον. Φίλιππός εἰμι, γενοῦ Κανδάκης. εἰπὲ καὶ αὐτός· ἰδοὺ τὸ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; ἅρπασον τὸν καιρόν. τοῦ ἀγαθοῦ περιχάρηθι. καὶ εἰπὼν, βαπτίσθητι. καὶ βαπτισθεὶς, σώθητι. κἂν ἧς Αἰθίοψ τὸ σῶμα, τὴν ψυχὴν λευκάνθητι. τύχε τῆς σωτηρίας, ἧς οὐδὲν ὑψηλότερον, οὐδὲ τιμιώτερον τοῖς γινώσκουσιν. ἐξ ἀρχῆς μὴ εἴπῃς· ἐπίσκοπος βαπτισάτω με, καὶ οὗτος μητροπολίτης, ἢ Ἱεροσολυμίτης. οὐ γὰρ τόπων ἡ χάρις, ἀλλὰ τοῦ πνεύματος, καὶ οὗτος τῶν εὖ γεγονότων. δεινὸν γὰρ εἰ τοῦ βαπτιστοῦ ἡ εὐγένειά μου καθυβρισθήσεται. ἢ πρεσβύτερος μὲν, ἀλλὰ καὶ οὗτος τῶν ἀγάμων, καὶ οὗτος τῶν ἐγκρατῶν καὶ ἀγγελικῶν τὴν πολιτείαν. δεινὸν γοῦν, εἰ ἐν καιρῷ καθάρσεως ῥυπωθήσομαι. μὴ ζήτει ἀξιοπιστίαν τοῦ κηρύσσοντος, μηδὲ τοῦ βαπτίζοντος. ἄλλος ὁ τούτων κριτὴς καὶ τῶν ἀφανεστέρων δοκιμαστής. ἐπειδὴ ἄνθρωπος μὲν εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν. σοὶ δὲ πᾶς ἀξιόπιστος εἰς τὴν κάθαρσιν. μόνον ἔστω τις τῶν ἐγκρίτων, καὶ μὴ τῶν προδήλως κατεγνωσμένων, μηδὲ τῆς ἐκκλησίας ἀλλότριος. μὴ κρῖνε σὺ κριτὰς, ὁ χρῄζων τῆς ἰατρείας. μηδὲ φιλοκρίνει μοι τὰς ἀξίας τῶν σε καθαιρόντων, μηδὲ διακρίνου πρὸς τοὺς γεννήτορας. ἄλλος μὲν ἄλλου κρείττων ἢ ταπεινότερος, σοῦ δὲ πᾶς ὑψηλότερος. σκόπει δὲ οὕτως, ἔστω χρυσὸς, ἔστω σίδηρος. δακτύλιοι δὲ ἀμφότεροι, καὶ τὴν αὐτὴν ἐγκεχαράχθωσαν εἰκόνα βασιλικὴν, ἔπειτα κηρὸν ἐκτυπούτωσαν. τί διοίσει σφραγὶς αὕτη τῆς σφραγῖδος ἐκείνης; οὐδέν. ἐπίγνωθι τὴν ὕλην ἐν τῷ κηρῷ, κἂν ἧς σοφώτατος. εἰπὲ τί μὲν τοῦ σιδήρου, τί δὲ τοῦ χρυσοῦ τὸ ἐκσφράγισμα. καὶ πῶς ἕν ἐστι; τὸ γὰρ ὕλης τὸ διάφορον, οὐ τοῦ χαρακτῆρος. οὕτως ἔστω σοι πᾶς βαπτιστὴς, κἂν τῇ πολιτείᾳ προέχῃ, ἀλλ' ἥ γε τοῦ βαπτίσματος δύναμις ἴση, καὶ τελεσιουργός σοι πᾶς ὁμοίως ὁ τῇ αὐτῇ πίστει μεμορφωμένος. μὴ ἀπαξιώσῃς συμβαπτισθῆναι πένητι, πλούσιος ὤν. ὁ εὐπατρίδης τῷ δυσγενεῖ, ὁ δεσπότης τῷ δούλῳ μέχρι τοῦ νῦν. οὔπω τοσοῦτον ταπεινοφρονήσεις, ὅσον Χριστὸς εἰς ὃν βαπτίζῃ σήμερον. ὃς διὰ σὲ καὶ δούλου μορφὴν ἐδέξατο, ἀφ' ἧς ἡμέρας μετεποιήθης, πάντες εἶξαν οἱ παλαιοὶ χαρακτῆρες. μιᾷ μορφῇ πᾶσι Χριστὸς ἐπιτέθειται. μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως Ἰωάννης ἐβάπτισεν, ἵνα τὴν ἐκεῖθεν αἰσχύνην, τῇ ἐνταῦθα φύγῃς. ἐπειδὴ μέρος καὶ τοῦτο τῆς ἐκεῖθεν κολάσεως, καὶ δείξῃς ὅτι τὴν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτὴν, καὶ θριαμβεύσας, ὡς ἀξίαν ὕβρεως. μὴ διαπτύσῃς ἐξορκισμοῦ θεραπείαν, μηδὲ πρὸς τὸ μῆκος ταύτης ἀπαγορεύσῃς. βάσανός ἐστι καὶ αὕτη τῆς περὶ τὸ χάρισμα γνησιότητος. τί τοσοῦτον πονήσεις, ὅσον ἡ τῶν Αἰθιόπων βασίλισσα; ἐκ τῶν περάτων τῆς γῆς ἀπαναστᾶσα, ἵνα ἴδῃ τὴν σοφίαν Σολομῶντος. καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε παρὰ τοῖς τελέως λογιζομένοις. μὴ κατοκνήσῃς, μὴ ὁδοῦ μῆκος, μὴ μέτρα θαλάσσης, μὴ πῦρ, εἰ καὶ τοῦτο πρόκειται, μὴ ἄλλο μηδὲν ἢ μικρὸν, ἢ μεῖζον τῶν κωλυμάτων, ὥστε τυχεῖν τοῦ χαρίσματος. εἰ δέ σοι μηδὲν πονήσαντι, μηδὲ πραγματευσαμένῳ, τυχεῖν ἔξεστι τοῦ ποθουμένου, πόσης εὐηθείας τὴν δωρεὰν ἀναβάλλεσθαι. οἱ διψῶντες, φησὶ, πορεύεσθε ἐφ' ὕδωρ. Ἡσαΐας διακελεύεταί σοι, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ πίετε οἶνον, ἄνευ ἀργυρίου τιμῆς. ὢ τοῦ τάχους τῆς φιλανθρωπίας, ὢ τῆς εὐκολίας τοῦ συναλλάγματος. ὤνιόν σοι τοῦτο τὸ θελῆσαι μόνον τὸ ἀγαθόν. αὐτὴν τὴν ὁρμὴν ἀντὶ μεγάλου τιμήματος δέχεται. διψᾷ διψώμενος, ποτίζει τοὺς πιεῖν ἐθέλοντας. εὐεργετεῖται τὴν εὐεργεσίαν αἰτούμενος. πρόχειρός ἐστι, μεγαλόδωρος, δίδωσιν ἥδιον ἢ λαμβάνουσιν ἕτεροι. μόνον μὴ μικρολογίαν καταγνωσθῶμεν τοῦ μικρὰ αἰτεῖν, καὶ τοῦ διδόντος ἀνάξια. μακάριος ὃν αἰτεῖ πόμα Χριστὸς ὡς τὴν Σαμαρεῖτιν ἐκείνην, καὶ δίδωσι πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, καὶ πᾶσαν ψυχὴν, κύριον ἀρουμένην, ἣν ἀροτριωμένην βοῦς καὶ ὄνος πατεῖ σήμερον, χέρσον οὖσαν καὶ ἄνυδρον, καὶ ἀλογίᾳ πιεζομένην. μακάριος, ὃς καὶ χειμάρρους ἦ χοίνων, ἐξ οἴκου κυρίου ποτίζεται, καὶ γίνεται σιτοφόρος ἀντὶ χορτοφόρου. καὶ γεωργεῖ τροφὴν ἀνθρωπίνην, ἀλλ' οὐ τραχεῖαν καὶ ἀνόνητον. ὑπὲρ οὗ πᾶσαν εἰσενεκτέον σπουδὴν, ὥστε μὴ διαμαρτεῖν τῆς κοινῆς χάριτος. ἔστω ταῦτα, φησὶ, περὶ τῶν ἐπιζητούντων τὸ βάπτισμα. τί δ' ἂν εἴποις περὶ τῶν ἔτι νηπίων, καὶ μήτε τῆς ζημίας ἐπαισθανομένων,

μήτε τῆς χάριτος. ἢ καὶ ταῦτα βαπτίσομεν; πάνυ γε. εἴπερ τις ἐπείγοι κίνδυνος. κρεῖσσον γὰρ ἀναισθήτως ἁγιασθῆναι, ἢ ἀπελθεῖν ἀσφράγιστα καὶ ἀτέλεστα. καὶ τούτου λόγος ἡμῖν, ὁ ὀκταήμερος περιτομή, τυπική τις οὖσα σφραγίς, καὶ ἀλογίστοις ἔτι προσαγομένη. ὡς δὲ καὶ ἡ τῶν φλιῶν χρίσις, διὰ τῶν ἀναισθήτων, φυλάττουσα τὰ πρωτότοκα. περὶ δὲ τῶν ἄλλων δίδωμι γνώμην τὴν τριετίαν ἀναμένοντας, ἢ μικρὸν ἐντὸς τούτου, ἢ ὑπὲρ τοῦτο, ἡνίκα καὶ ἀκοῦσαί τι μυστικόν, καὶ ἀποκρίνασθαι δυνατοὺς. εἰ καὶ μὴ συνιόντα τελέως, ἀλλ' οὖν τυπούμενα, οὕτως ἁγιάζειν καὶ ψυχὰς καὶ σώματα τῷ μεγάλῳ μυστηρίῳ τῆς τελειώσεως. καὶ γὰρ οὕτως ἔχει, τοῦ μὲν βίου τὰς εὐθύνας τηνικαῦτα ὑπέχειν ἄρχονται, ἡνίκα ἂν ὅ, τε λόγος συμπληρωθῇ, καὶ τὸ μυστήριον μάθωσι. τῶν γὰρ ἐξ ἀγνοίας ἁμαρτημάτων, παρὰ τὴν ἡλικίαν αὐτοῖς τὸ ἀνευθύνους. τετειχίσθαι δὲ τῷ λουτρῷ, πάντῃ λόγῳ λυσιτελέστερον διὰ τὰς ἐξαίφνης συμπιπτούσας ἡμῖν προσβολὰς τῶν κινδύνων, καὶ βοηθείας ἰσχυροτέρας. ἀλλὰ Χριστός φησι τριακονταέτης βαπτίζεται. καὶ ταῦτα Θεὸς ὤν, καὶ σὺ κελεύεις ἐπισπεύδειν τὸ βάπτισμα, Θεὸν εἰπών, λέλυκας τὸ ζητούμενον. ὁ μὲν γὰρ αὐτοκάθαρσις ἦν, καὶ οὐκ ἐδεῖτο καθάρσεως, ἀλλὰ σοὶ καθαίρεται. ὥσπερ καὶ σάρκα φορεῖ σοί, ἄσαρκος ὤν. οὐδέ τις κίνδυνος ἦν αὐτῷ τὸ βάπτισμα παρατείνοντι. αὐτὸς γὰρ καὶ τοῦ πάθους ἦν ἑαυτῷ ταμίας ὥσπερ τῆς γεννήσεως. σοὶ δὲ οὐδὲ περὶ μικρῶν ὁ κίνδυνος. εἰ ἀπέλθοις τῇ φθορᾷ γεννηθεὶς μόνῃ, καὶ μὴ τὴν ἀφθαρσίαν ἀμφιεσάμενος, σκοπῶ δὲ κἀκεῖνο. ὅτι τῷ μὲν ἀναγκαῖος ἦν οὗτος ὁ καιρὸς τοῦ βαπτίσματος, σοὶ δὲ οὐχ ὁ αὐτὸς λόγος. ἀνεδείχθη μὲν γὰρ τριακοστὸν γεγονὼς ἔτος οὐ πρότερον, τοῦ τε μὴ δοκεῖν ἐπιδεικτικὸς εἶναί τις. τῶν γὰρ ἀπειροκάλων τοῦτο πάθος, καὶ ὡς τελείαν βάσανον ἀρετῆς, καὶ τοῦ διδάσκειν καιρὸν ταύτης ἐχούσης τῆς ἡλικίας. ἐπειδὴ δὲ παθεῖν ἔδει, τὸ τοῦ κόσμου σωτήριον πάθος, πάντα συνδραμεῖν ἔδει πρὸς τὸ πάθος ὅσα τοῦ πάθους, τὴν ἀνάδειξιν, τὸ βάπτισμα, τὴν ἄνωθεν μαρτυρίαν, τὸ κήρυγμα, τὴν συνδρομὴν τῶν πληθῶν, τὰ θαύματα καὶ ὥσπερ ἓν σῶμα γενέσθαι, μὴ διεσπασμένον, μηδὲ ἀπερρηγμένον τοῖς διαστήμασιν. ἐκ μὲν γὰρ τοῦ βαπτίσματος, καὶ τοῦ κηρύγματος, ὁ τῶν περιχώρων σεισμός (οὕτω γὰρ ἡ Γραφὴ καλεῖ τὸν καιρὸν ἐκεῖνον) ἐκ δὲ τοῦ πλήθους, ἡ τῶν σημείων ἐπίδειξις καὶ τὰ θαύματα τῷ εὐαγγελίῳ προσάγοντα. ἐκ δὲ τούτων ὁ φθόνος, ἐκ δὲ τούτου τὸ μῖσος. ἐκ δὲ τοῦ μίσους, τὸ τῆς ἐπιβουλῆς, καὶ τῆς προδοσίας. ἐκ τούτου δὲ ὁ σταυρός, καὶ ὅσοις σεσώσμεθα. τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα, καὶ οὕτως ἔχοντα, ὅσον ἡμῖν ἐφικτόν. τάχα δ' ἄν τις καὶ ἄλλος εὑρεθείη λόγος τούτου ἀπορρητότερος. σοὶ δὲ τίς ἀνάγκη τοῖς ὑπὲρ σὲ ὑποδείγμασιν ἑπομένῳ, κακῶς βουλεύεσθαι. ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν τηνικαῦτα ἱστορουμένων ἑτέρως ἢ ὡς τὰ νῦν ἔχοντα φαίνεται, καὶ οὐ συμβαίνοντα τοῖς καιροῖς. οἷον ἐνήστευσε μικρὸν πρὸ τῆς πείρας, ἡμεῖς πρὸ τοῦ Πάσχα. τὸ μὲν τῶν νηστειῶν οἷον μικρὸν δὲ ἀμφοτέρων τῶν καιρῶν τὸ διάστημα. ὁ μὲν γὰρ κατὰ τῶν πειρασμῶν ταύτας προβάλλεται. ἡμῖν δὲ τὴν συννέκρωσιν Χριστοῦ τοῦτο δύναται, καὶ καθαρσίου ἐστὶ προεόρτιος. καὶ ὁ μὲν νηστεύει τεσσαράκοντα ἡμέρας. Θεὸς γὰρ ἦν. ἡμεῖς δὲ τῇ δυνάμει τοῦτο συνεμετρήσαμεν. εἰ καί τινας ἄγει ὁ ζῆλος πείθει καὶ ὑπὲρ δυνάμεις. πάλιν μυσταγωγεῖ τὸ Πάσχα τοὺς μαθητὰς ἐν ὑπερῴῳ καὶ μετὰ δεῖπνον, καὶ πρὸ μιᾶς τοῦ παθεῖν ἡμέρας, ἡμεῖς ἐν προσευχῆς οἴκοις καὶ πρὸ τοῦ δείπνου, καὶ μετὰ τὴν ἀνάστασιν. ἀνίσταται τριήμερος, ἡμεῖς μετὰ πολὺν χρόνον. καὶ οὔτε ἀπέρρηκται τῶν ἐκείνου τὰ ἡμέτερα, οὔτε συνέζευκται χρονικῶς. ἀλλ' ὅσον τύπος τις ἦν τῶν ἡμετέρων παραδέδοται, τὸ πάντη παραπλήσιον διαπέφευγε. τί οὖν θαυμαστόν, καὶ τὸ βάπτισμα παρειλῆφθαι μὲν δι' ἡμᾶς, τῷ χρόνῳ δὲ διαφέρειν; ὃ σύ μοι δοκεῖς ὡς μέγα τι καὶ θαυμαστὸν οἴει προβάλλεσθαι κατὰ τῆς ἑαυτοῦ σωτηρίας. εἴ τι οὖν ἐμοὶ πείθεσθε, τῶν μὲν τοιούτων λόγων χαίρειν ἐάσετε. αὐτοὶ δὲ τοῦ ἀγαθοῦ προσανήσατε καὶ διπλοῦν ἀγῶνα ἀγωνίζεσθε, τὸν μὲν προκαθαίρειν ὑμᾶς αὐτοὺς τοῦ βαπτίσματος, τὸν δὲ συντηρεῖν τὸ βάπτισμα. ἐπειδὴ τῆς αὐτῆς ἐστι δυσχερείας, καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι. πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβε, ῥᾳθυμία διέφθειρεν. ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια. καλὸν σοι βοήθημα πρὸς τὸ τυχεῖν, ὧν ἐπιποθεῖς, ἀγρυπνίαι, νηστεῖαι, χαμευνίαι, προσευχαί, δάκρυον, οἶκτος, τῶν δεομένων μετάδοσις. ταῦτά σοι γενέσθω ὧν τετύχηκας εὐχαριστήρια τε ἅμα καὶ φυλακτήρια. ἔχεις πολλῶν ἐντολῶν ὑπόμνημα τὴν εὐεργεσίαν, μὴ παραδράμῃς. πένης προσῆλθε, μνήσθητι πόσων πτωχειῶν, πόσον ἐπλούτησας, ἄρτου δεόμενος, ἢ πόματος, Λάζαρος ἴσως τις ἄλλος τοῖς σοῖς πυλῶσι προσερριμμένος, αἰδέσθητι τὴν μυστικὴν τράπεζαν ᾗ προσῆλθες. τὸν ἄρτον, οὗ μετείληφας. τὸ ποτήριον, οὗ κεκοινώνηκας τοῖς Χριστοῦ πάθεσι τελειούμενος. εἰ ξένος προσέπεσεν ἄοικος, ἐπίδημος, ὑπόδεξαι διὰ τοῦ τὸν δι' σὲ ξενιτεύσαντα, καὶ ταῦτα ἐν τοῖς ἰδίοις, καὶ ἐποικήσαντά σοι διὰ τῆς χάριτος καὶ πρὸς

τὴν ἄνω

τὴν ἀωροτοκίαν ἐλκύσωνται. γενοῦ Ζακχαῖος, ὁ χθὲς τελώνης, καὶ σήμερον μεγαλόψυχος. πάντα τῇ εἰσόδῳ τοῦ χριστοῦ καρποφόρησον, ἵνα μέγας ἀναφανῇς. κἂν μικρὸς ᾖς τὴν σωματικὴν ἡλικίαν, καλῶς χριστὸν θεασάμενος. ἄῤῥωστος πρόκειται ῥευματίας, τὴν σὴν ὑγίειαν αἰδέσθητι, καὶ τὰ τραύματα, ὧν σε χριστὸς ἠλευθέρωσεν. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, τὸ σὸν τιμῶν ἔνδυμα τῆς ἀφθαρσίας. χριστὸς δὲ τοῦτό ἐστιν, ἐπειδὴ ὅσοι εἰς χριστὸν ἐβαπτίσθημεν, χριστὸν ἐνεδυσάμεθα. ἐὰν χρεωφειλέτην λάβῃς προσπίπτοντα, πᾶσαν συγγραφὴν ἄδικον καὶ δικαίαν διάσπασον. μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι χριστὸς ἐχαρίσατο. μὴ γένῃ πράκτωρ πικρὸς τοῦ ἐλάττονος χρέους. καὶ ταῦτα τίσι; τοῖς ὁμοδούλοις, ὁ τοῦ πλείονος παρὰ τοῦ δεσπότου συγχωρηθεὶς, μὴ καὶ τῆς ἐκείνου φιλανθρωπίας ὑπόσχῃς δίκην, ἣν οὐκ ἐμιμήσω λαβὼν ὑπόδειγμα. γενέσθω σοι τὸ λουτρὸν μὴ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς εἰκόνος. μὴ τῶν ἁμαρτημάτων ἔκπλυσις μόνον, ἀλλὰ καὶ τῶν τρόπων διόρθωσις. μὴ τὸν προλαβόντα βόρβορον ἀποκλυζέτω μόνον, ἀλλὰ καὶ τὴν πηγὴν καθαιρέτω. μὴ τὸ καλῶς κτᾶσθαι τοῦτο μόνον, ἀλλὰ καὶ τὰ καλῶς ἀποκτᾶσθαι. ἢ τό γε κουφότερον, τὰ κακῶς κτηθέντα ἀποτίθεσθαι. τί γὰρ ὄφελος; σοὶ μὲν συγχωρηθῆναι τὴν ἁμαρτίαν, τῷ δὲ ἠδικημένῳ μὴ λυθῆναι τὴν παρὰ σοῦ ζημίαν. δύο σοι κακῶν ἐστὶ, τοῦ τε κτήσασθαι μὴ δικαίως, καὶ τοῦ τὰ κτηθέντα κατέχεσθαι, τοῦ μὲν ἄφεσιν ἔλαβες, τὸ δὲ σήμερον ἀδικεῖς. σήμερον γάρ ἐστι παρά σοι τὸ ἀλλότριον, καὶ οὐκ ἀνῄρηται τὸ ἁμάρτημα, ἀλλὰ χρόνῳ διῄρηται. τὸ μὲν πρὸ τοῦ βαπτίσματος τολμηθὲν, τὸ δὲ μέχρι μετὰ τὸ βάπτισμα. τῶν γὰρ ἡμαρτημένων, οὐ τῶν ἁμαρτανομένων τὸ λουτρὸν ἔχει συγχώρησιν. δεῖ δὲ μὴ σοφισθῆναι τὸν καθαρμὸν, ἀλλ' ἐνσημανθῆναι. μηδ' ὠδίνῃ λύειν τὴν ἁμαρτίαν, ἀλλ' ἀπαλλαγὴν ἔχειν τὸ χάρισμα. μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, τοῦτο τῶν τελέως καθαρθέντων, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. τοῦτο τῶν οὔπω τὸ βάθος κεκαθαρμένων. μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν. τρίτη τις αὕτη τάξις τῶν ἁμαρτανομένων, ὧν ἡ μὲν πρᾶξις οὐκ ἐπαινετὴ, τὸ δὲ τῆς γνώμης ἀνεύθυνον. τί οὖν φημι; καὶ τίς ὁ ἐμὸς λόγος; χθὲς ἦσθα χαναναία ψυχὴ, καὶ ὑπὸ τῆς ἁμαρτίας συγκύπτουσα. σήμερον ἀνωρθώθης ὑπὸ τοῦ λόγου, μὴ συγκύψῃς πάλιν, καὶ εἰς γῆν κλιθῇς. ὥσπερ κύφωνι παρὰ τοῦ πονηροῦ βαρυνθεῖσα, καὶ δυσανάλυτον ἔχεις τὴν ταπεινότητα. χθὲς ἐξηραίνου θάλλουσα τῇ αἱμοῤῥοίᾳ. ἐπήγαζες γὰρ τὴν φοινικῆν ἁμαρτίαν. σήμερον ἀνέθαλλες ἀναξηρανθεῖσα. ἥψω γὰρ τῶν χριστοῦ κρασπέδων καὶ τὴν ῥύσιν ἔστησας. φύλαξαί μοι τὴν κάθαρσιν. μὴ πάλιν αἱμοῤῥοήσῃς, καὶ οὐκ ἰσχύσεις λαβέσθαι χριστοῦ, ἵνα κλέψῃς τὴν σωτηρίαν. οὐ γὰρ πολλάκις χριστὸς φιλεῖ κλεπτόμενος, καὶ εἰ λίαν ἐστὶ φιλάνθρωπος. χθὲς ἐπὶ κλίνης ἔῤῥιψο παρειμένος καὶ λελυμένος, καὶ οὐκ εἶχες ἄνθρωπον, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ σε εἰς τὴν κολυμβήθραν. σήμερον εὗρες ἄνθρωπον τὸν αὐτὸν καὶ θεὸν, μᾶλλον δὲ θεὸν ἄνθρωπον. ἠγέρθης ἀπὸ τοῦ κραββάτου. μᾶλλον δὲ ἦρας τὸν κράββατον, καὶ ἐστηλίτευσας τὴν εὐεργεσίαν. μὴ πάλιν ἐπὶ κραββάτου ῥιφῇς ἁμαρτήσας, τῆς κακῆς ἀναπαύσεως τοῦ σώματος παρειμένου ταῖς ἡδοναῖς. ἀλλ' ὡς ἔχεις βάδιζε μεμνημένος τῆς ἐντολῆς. ἰδοὺ ὑγιὴς γέγονας. μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοι τι γένηται, κακὸς φανείς τι μετὰ τὴν εὐεργεσίαν. Λάζαρε δεῦρο ἔξω ἤκουσας τῆς μεγάλης φωνῆς ἐν τάφῳ κείμενος. τί γὰρ τοῦ λόγου μεγαλοφωνότερον; καὶ προῆλθες οὐ τετραήμερος νεκρὸς, ἀλλὰ πολυήμερος ἐπὶ τετραημέρῳ συναναστὰς. καὶ τῶν ἐνταφίων ἐξελύθης. μὴ νεκρωθῇς πάλιν, καὶ γένῃ μετὰ τῶν κατοικούντων ἐν τάφοις. μηδὲ κατασφιγχθῇς ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων. ἄδηλον γὰρ εἰ πάλιν ἐξαναστήσῃ τὴν ταφὴν, μέχρι τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως ἣ πᾶν τὸ ποίημα ἄξει εἰς κρίσιν, οὐ θεραπευθησόμενον, ἀλλὰ κριθησόμενον. καὶ λόγον ὑφέξον ὧν εὖ ἢ κακῶς ἐθησαύρισεν. εἰ λέπραν, ἔβρυες τέως τὴν ἄμορφον πονηρίαν, ἀπεξέσθης δὲ τῆς κακῆς ὕλης, καὶ τὴν εἰκόνα σώαν ἀπέλαβες. δεῖξον ἐμοὶ τῷ ἱερεῖ σου τὴν κάθαρσιν, ἵνα γνῶ, πόσον τῆς νομικῆς αὕτη τιμιωτέρα. γενοῦ μὴ τῶν ἐννέα τῶν ἀχαρίστων, ἀλλὰ τὸν δέκατον μίμησαι. καὶ γὰρ εἰ σαμαρείτης ἦν, ἀλλὰ τῶν ἄλλων εὐγνωμονέστερος. ἀσφάλισαι μὴ πάλιν κακῶς ἐξανθήσῃς, καὶ δυσθεράπευτον ἕξεις τὴν ἀνωμαλίαν τοῦ σώματος. πρώην ἐξήραινέ σου τὴν χεῖρα μικρολογία, καὶ φειδωλία. σήμερον ἐκτεινέτω μετάδοσις καὶ φιλανθρωπία. καλὴ θεραπεία χειρὸς ἀῤῥωστούσης, σκορπίζειν, διδόναι τοῖς πένησιν, ἐξαντλεῖν ὧν ἔχομεν δαψιλῶς, μέχρις ἂν καὶ τὸν πυθμένα ἀψάμενος ἴδῃς. καὶ οὗτος πηγάσει σοι τροφὴν καθάπερ τῇ σαρεφθίᾳ, καὶ μάλιστα εἰ τύχοις ἠλίαν τρέφουσα, καλὴν εὐπορίαν εἰδέναι τὸ, διὰ χριστὸν ἀπορεῖν τὸν δι' ἡμᾶς πτωχεύσαντα. εἰ κωφὸς ἦσθα καὶ ἄλαλος, ὁ λόγος ἐνηχησάτω σοι. μᾶλλον δὲ κάτεχε τὸν ἐνηχήσαντα. μὴ κλείσῃς τὰ ὦτα πρὸς παιδείαν κυρίου, καὶ νουθεσίαν, ὡς ἀσπὶς πρὸς ἐπᾴσματα. εἰ τυφλὸς εἶ καὶ ἀφώτιστος, φώτισον τοὺς ὀφθαλμούς σου, μήποτε ὑπνώσῃς εἰς θάνατον. ἐν τῷ φωτὶ κυρίου ἴδε τὸ φῶς, ἐν τῷ πνεύματι τοῦ θεοῦ τὸν υἱὸν

αὐγάσθητι

αὐγάσθητι τοῦ τελείου φωτὸς τοῦ ἀμερίστου. ἐὰν ὅλον εἰσδέξῃ τὸν λόγον, πάσας τὰς Χριστοῦ θεραπείας ἐπὶ τὴν σεαυτοῦ συνάξεις ψυχὴν, αἷς κατὰ μέρος ἕκαστος τεθεράπευται. μόνον μὴ ἀγνοήσῃς τὸ μέτρον τῆς χάριτος, μόνον μὴ καθεύδοντί σοι καὶ ἀμεριμνοῦντι κακῶς ἐπισπείρῃ ὁ ἐχθρὸς τὰ ζιζάνια, μόνον ἐπίφθονος τῷ πονηρῷ γεγονὼς διὰ τὴν καθαρότητα, μὴ πάλιν σεαυτὸν ἐλεεινὸν καταστήσῃς διὰ τῆς ἁμαρτίας. μόνον μὴ τῶν ἀγαθῶν περιχαρὴς ὢν καὶ ὑψωθεὶς ἄμετρα, καταπέσῃς ἐν τῷ ἐπαρθῆναι. μόνον ἀεὶ φιλοπόνει τὴν κάθαρσιν, ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος. καὶ ἧς ἔτυχες κατὰ δωρεὰν ἀφέσεως, ταύτην ἐπιμελείᾳ συντήρησον, ἵνα τὸ μὲν ἀφεθῆναί σοι παρὰ θεοῦ. τὸ δὲ συντηρηθῆναι, καὶ παρὰ σοῦ γένηται. γενήσεται δὲ πῶς; ἀεὶ τῆς παραβολῆς ἐκείνης μέμνησο, καὶ σεαυτῷ βοηθήσεις ἄριστά τε καὶ τελεώτατα. ἐξῆλθεν ἀπὸ σοῦ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα διωχθὲν τῷ βαπτίσματι. οὐ φέρει τὸν διωγμὸν, οὐδ' ἔχεται ἄοικον εἶναι, καὶ ἀνέστιον. περιέρχεται δι' ἀνύδρων τόπων, καὶ ξηρῶν θείας ἐπιῤῥοῆς. ἐκεῖ φιλοχωρεῖν βούλεται. περιπλανᾶται ζητοῦν ἀνάπαυσιν, οὐχ εὑρίσκει. βεβαπτισμέναις ἐντυγχάνει ψυχαῖς, ὧν τὴν κακίαν τὸ λουτρὸν ἐξέκλυσε. φοβεῖται τὸ ὕδωρ, ἐμπνίγεται τῇ καθάρσει καθάπερ ὁ λεγεὼν τῇ θαλάσσῃ. πάλιν ὑποστρέφει εἰς τὸν οἶκον, ὅθεν ἀνεχώρησεν. ἀναίσχυντόν ἐστι, φιλόνεικόν ἐστι. προσβάλλει πάλιν, πειρᾶται πάλιν. ἐὰν μὲν εὕρῃ Χριστὸν εἰσοικισθέντα καὶ πληρώσαντα τὴν χώραν ἣν αὐτὸς ἐκένωσεν, ἀποκρούεται πάλιν, ἀπῆλθεν ἄπρακτος. ἐλεεινὸς ἐγένετο τῆς περιπλανήσεως. ἐὰν δὲ σεσαρωμένον καὶ κεκοσμημένον τὸν ἐν σοὶ τόπον εὕρῃ, κενὸν καὶ ἄπρακτον, ἕτοιμον ἐπίσης πρὸς ὑποδοχὴν τοῦδε, ἢ τοῦδε, προκαταλαβόντος εἰσπηδήσειεν. εἰσῳκίσθη μετὰ πλειόνων τῆς παρασκευῆς, καὶ γίνεται τὰ ἔσχατα χείρονα τῶν πρώτων. ὅσῳ τότε μὲν ἐλπὶς ἦν καὶ διορθώσεώς τε, καὶ ἀσφαλείας. νῦν δὲ πρόδηλος ἡ κακία, τῇ φυγῇ τοῦ καλοῦ τὸ πονηρὸν ἑλκύσασα. καὶ διὰ τοῦτο βεβαιοτέρα, τῷ οἰκήτορι ἡ κατάσχεσις. πάλιν ὑπομιμνήσκω σε τῶν φωτισμῶν, καὶ πολλάκις ἐκ τῶν θείων λογίων, τούτων ἀναλεγόμενος. αὐτός τε γὰρ ἥδιον ἔσομαι τῇ τούτων μνήμῃ. τί γὰρ φωτὸς ἥδιον, τοῖς φωτὸς γευσαμένοις, καὶ σὲ καταστράψω τοῖς λεγομένοις. φῶς μὲν ἀνέτειλε τῷ δικαίῳ, καὶ ἡ τούτου σύζυγος εὐφροσύνη. φῶς δὲ δικαίοις διαπαντός. φωτίζεις δὲ σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, πρὸς τὸν θεὸν λέγεται. ἀγγελικῶν οἶμαι δυνάμεων αἳ συνεργοῦσιν ἡμῖν πρὸς τὰ κρείττονα. κύριος δὲ φωτισμός μου, καὶ σωτήρ μου, τοῦ Δαβὶδ ἤκουσας λέγοντος. καὶ ποτὲ μὲν ἐξαιτουμένου ἐξαποστεῖλαι τὸ φῶς αὐτοῦ καὶ τὴν ἀλήθειαν. ποτὲ δὲ εὐχαριστοῦντος ὅτι τούτου μετείληφεν ἐν τῷ σημειωθῆναι τὸ τοῦ θεοῦ φῶς ἐπ' αὐτόν. τουτέστιν ἐνσημανθῆναι καὶ γνωρισθῆναι τὰ σημεῖα τῆς διδομένης ἐλλάμψεως. ἓν μόνον φῶς φεύγωμεν τὸ τοῦ πικροῦ πυρὸς ἔκγονον. μὴ πορευθῶμεν τῷ φωτὶ τοῦ πυρὸς ἡμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσαμεν. οἶδα πῦρ καθαρτήριον ὃ Χριστὸς ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν. πῦρ καὶ αὐτὸς ἀναγωγαῖς λόγοις καλούμενος. ἀναλωτικὸν τοῦτο τῆς ὕλης καὶ τῆς πονηρᾶς ἐστιν ἕξεως, ὃ καὶ ἀναφθῆναι τάχιστα βούλεται. ποθεῖ γὰρ τῆς εὐεργεσίας τὸ τάχος, ἐπεὶ καὶ πυρὸς ἄνθρακας δίδωσιν ἡμῖν εἰς βοήθειαν. οἶδα καὶ πῦρ οὐ καθαρτήριον, ἀλλὰ κολαστήριον. εἴτε σοδομιτικὸν, ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θεῖον καταιγίδι μιγνύμενον, εἴτε τὸ ἑτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. εἴτε ὃ πρὸ προσώπου κυρίου προπορεύεται καὶ φλογιεῖ, κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ καὶ τὸ τούτων ἔτι φοβερώτερον, ὃ τῷ ἀκοιμήτῳ σκώληκι συντέτακται, μὴ σβεννύμενον, ἀλλὰ διαιωνίζον τοῖς πονηροῖς. ταῦτα γὰρ πάντα τῆς ἀφανιστικῆς ἐστι δυνάμεως, εἰ μή τῳ φίλον κἀνταῦθα νοεῖν τοῦτο φιλανθρωπότερον, καὶ ἀξίως καὶ τοῦ κολάζοντος ἐπαξίως. ὥσπερ δὲ πῦρ οἶδα διπλοῦν, οὕτω καὶ φῶς. τὸ μὲν τὴν τοῦ ἡγεμονικοῦ λαμπάδα, κατευθῦνον ἡμῖν τὰ κατὰ θεὸν διαβήματα. τὸ δὲ ἀπατηλὸν καὶ περίεργον, καὶ τοῦ ἀληθινοῦ φωτὸς ἀντίθετον. ἐκεῖνο εἶναι ὑποκρινόμενον ἵνα κλέπτῃ τῷ φαινομένῳ, τοῦτο καὶ σκοτία ἐστί, καὶ μεσημβρία δοκεῖ τὸ τοῦ φωτὸς ἀκμαιότατον. οὕτως ἀκούω τοὺς διαπαντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φεύγοντας. τοῦτο καὶ νὺξ ἐστὶ καὶ φωτισμὸς νομίζεται, τοῖς ὑπὸ τῆς τρυφῆς διεφθαρμένοις. τί γάρ φησιν ὁ Δαβίδ; νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον καὶ ἠγνόουν. φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπελάμβανον. ἀλλ' ἐκεῖνοι μὲν τοιοῦτοι καὶ οὕτως ἔχοντες, ἡμεῖς δὲ φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως. ἔσται δὲ τοῦτο ἐκ τοῦ σπείρειν εἰς δικαιοσύνην, καὶ τρυγᾶν καρπὸν ζωῆς. πρᾶξις γὰρ θεωρίας πρόξενος, ἵνα τά τε ἄλλα καὶ τοῦτο μάθωμεν, τί μὲν τὸ ἀληθινὸν φῶς, τί δὲ τὸ ψευδόμενον, καὶ μὴ λάθωμεν περιπίπτοντες ὡς καλῷ τῷ χείρονι. γενώμεθα φῶς ὥσπερ οἱ μαθηταὶ παρὰ τοῦ μεγάλου φωτὸς ἤκουσαν ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου λέγοντος. γενώμεθα φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες· τουτέστι ζωτικὴ τοῖς ἄλλοις δύναμις. λαβώμεθα θεότητος, λαβώμεθα τοῦ πρώτου καὶ καθαρωτάτου φωτός. ὁδεύσωμεν πρὸς τὴν λάμψιν αὐτοῦ, πρὸ τοῦ προσκόψαι τοὺς πόδας ἡμῶν ἐπ' ὄρη σκοτεινὰ καὶ πολέμια. ἕως ἡμέρα ἐστὶν, ὡς ἐν ἡμέρᾳ

εὐσχημόνως

εὐσχημόνως περιπατήσωμεν. μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, ἃ γνώμης ἐστὶ κλέμματα. πᾶν μέλος καθαρίσωμεν ἀδελφοὶ, πᾶσαν ἁγνίσωμεν αἴσθησιν. μηδὲν ἀτελὲς ἡμῖν ἔστω, μηδὲ τῆς πρώτης γενέσεως, μηδὲν ἀφώτιστον καταλείπωμεν. φωτισθῶμεν τὸν ὀφθαλμὸν, ἵν' ὀρθῶς βλέπωμεν. καὶ μηδὲν εἴδωλον πορνικὸν ἐν ἡμῖν αὐτοῖς φέρωμεν, ἐκ φιλοπόνου θέας καὶ περιεργίας. κἂν γὰρ τῷ πάθει μὴ προσκυνήσωμεν, ἀλλὰ τὴν ψυχὴν ἐμολύνθημεν, εἴ τις δοκὸς ἐν ἡμῖν, ἔτι κάρφος, ἀνακαθαίρωμεν. ἵνα καὶ τὰ τῶν ἄλλων ὁρᾷν δυνώμεθα. φωτισθῶμεν ἀκοὴν, φωτισθῶμεν γλῶσσαν, ἵνα ἀκούσωμεν τί λαλήσει κύριος ὁ θεὸς, καὶ ἀκουστὸν ἡμῖν γένηται τὸ πρωϊνὸν ἔλεος. καὶ ἀκουτισθῶμεν ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀκοαῖς θείαις ἐνηχουμένην. ἵνα μὴ ὦμεν μάχαιρα ὀξεῖα, μηδὲ ξυρὸν ἠκονημένον, μηδὲ ὑπὸ τὴν γλῶσσαν στρέφωμεν κόπον καὶ πόνον, ἀλλὰ λαλῶμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, τὰς πυρίνας γλώσσας αἰδούμενοι. ἰαθῶμεν ὄσφρησιν, ἵνα μὴ θηλυνώμεθα, μηδὲ ἀντὶ τιμῆς ἡδείας κονιορτώμεθα· ἀλλ' ὀσφραινώμεθα τοῦ ἐκκενωθέντος δι' ἡμᾶς μύρου πνευματικῶς ἀντιλαμβανόμενοι. καὶ τοσοῦτον ὑπ' αὐτοῦ ποιούμενοι καὶ μεταποιούμενοι, ὥστε καὶ αὐτῶν ἡμῶν ὀσφρανθῆναι ὀσμὴν εὐωδίας. καθαρθῶμεν ἁφὴν, γεῦσιν, λάρυγγα. μὴ μαλακῶς ἐπαφώμενοι, καὶ λειότησι χαίροντες, ἀλλὰ τὸν σαρκωθέντα δι' ἡμᾶς λόγον ψηλαφῶντες ὡς ἄξιον. καὶ θωμᾶ κατὰ τοῦτο μιμούμενοι, μὴ χυμοῖς καὶ ὄψοις γαργαλιζόμενοι, τοῖς ἀδελφοῖς τῶν πικροτέρων γαργαλισμῶν· ἀλλὰ γευόμενοι καὶ γνώσκοντες, ὅτι χρηστὸς ὁ κύριος τὴν κρείττω γεῦσιν καὶ μένουσαν. μηδὲ πικρᾷ τὸν πικρὸν καὶ ἀχάριστον ἀγαθὸν ἀναψύχοντες. τὸν πατάμενον, καὶ οὐ κατέχοντα τὸ διδόμενον, ἀλλὰ τοῖς γλυκυτέροις μέλιτος λόγοις, τοῦτον εὐφραίνοντες. Πρὸς τοῖς εἰρημένοις, καλὸν τὴν κεφαλὴν καθαιρομένους, ὡς καθαίρεται κεφαλή, τὸ τῶν αἰσθητηρίων ἐργαστήριον, κρατεῖν τὴν Χριστοῦ κεφαλὴν, ἐξ ἧς πᾶν τὸ σῶμα συναρμολογεῖται, καὶ τὴν ὑπεραίρουσαν ἡμῶν ἁμαρτίαν καταβάλλειν ὑπεραιρομένην τῷ κρείττονι. καλὸν καὶ ὤμους ἁγιάζεσθαι καὶ καθαίρεσθαι, ἵνα δυνηθῶσι τὸν σταυρὸν αἴρειν Χριστοῦ, μὴ παντὶ ῥᾳδίως αἰρόμενον. καλὸν καὶ τὰς χεῖρας τελειοῦσθαι, καὶ τοὺς πόδας. τὰς μὲν ὡς ἐν παντὶ τόπῳ ὁσίας αἴρεσθαι, καὶ δράττεσθαι τῆς Χριστοῦ παιδείας, μή ποτε ὀργισθῇ κύριος, καὶ πιστεύεσθαι λόγον διὰ τοῦ πρακτικοῦ, ὡς τὸν τῇ ἐν χειρὶ τεθέντα τοῦ προφήτου διδόμενον. τοὺς δὲ, μὴ ὀξεῖς εἶναι πρὸς τὸ ἐκχέειν αἷμα, μηδὲ εἰς κακίαν τρέχοντας, ἀλλ' ἑτοίμους εἰς τὸ εὐαγγέλιον, καὶ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ Χριστὸν ἀπονίπτοντα, καὶ καθαίροντα δέχεσθαι. εἴ τις ἐστὶ καὶ κοιλίας κάθαρσις, χωρητικῆς καὶ ἀναδοτικῆς τῆς ἐκ τοῦ λόγου τροφῆς, καλὸν καὶ ταύτην μὴ θεοποιεῖν, ἐκ τρυφῆς καὶ τῆς καταργουμένης βρώσεως. ἀλλὰ καθαίρειν ὅτι μάλιστα, καὶ ποιεῖν λεπτοτέραν, ὥστε τὸν λόγον κυρίου ἐν μέσῃ δέχεσθαι, καὶ ἀλγεῖν καλῶς ὑπὲρ τοῦ Ἰσραὴλ πταίοντος. εὑρίσκω καὶ τὴν καρδίαν καὶ τὰ ἔνδον, τιμῆς ἀξιούμενα. πείθει με τοῦτο Δαβὶδ, καρδίαν καθαρὰν ζητῶν ἐν ἑαυτῷ κτίζεσθαι, καὶ πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις ἐγκαινίζεσθαι, τὸ διανοητικὸν οἶμαι οὕτω δηλῶν, καὶ τὰ τούτου κινήματα ἢ διανοήματα. τί δὲ ὀσφῦς; τί δὲ οἱ νεφροί; μηδὲ γὰρ τοῦτο παρέλθωμεν. ἁπτέσθω καὶ τούτων ἡ κάθαρσις. ἔστωσαν ἡμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ ἀνεσταλμέναι ἐγκρατείας, ὥσπερ τοῦ Ἰσραὴλ πάλαι κατὰ τὸν νόμον, τοῦ πάσχα μεταλαμβάνοντος. οὐδεὶς γὰρ καθαρὸς Αἴγυπτον ἐξέρχεται, οὐδὲ φεύγει τὸν ὀλοθρεύοντα, μὴ ταῦτα παιδαγωγήσας. οἱ δὲ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούσθωσαν. ὅλον τὸ ἐπιθυμητικὸν πρὸς θεὸν μεταφέροντες, ὥστε δύνασθαι λέγειν· κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. δεῖ γὰρ γενέσθαι ἄνδρα ἐπιθυμιῶν τῶν τοῦ πνεύματος. οὕτως ἂν ὑμῖν καὶ ὁ τὸ πλεῖστον τῆς ἰσχύος ἐπὶ τοῦ ὀμφαλοῦ καὶ τῆς ὀσφύος φέρων δράκων καταλυθείη, τῆς περὶ ταῦτα δυναστείας αὐτῷ νεκρωθείσης. μὴ θαυμάζετε δὲ, εἰ καὶ τοῖς ἀσχήμοσιν ἡμῶν, τιμὴν περισσοτέραν περιτίθημι, λόγῳ νεκρῶν ταῦτα καὶ σωφρονίζων, καὶ κατὰ τῆς ὕλης ἱστάμενος. πάντα δῶμεν θεῷ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πάντα καθιερώσωμεν. μὴ λοβὸν ἥπατος, μηδὲ νεφροὺς μετὰ τῆς πιμελῆς, μηδὲ τὸ μέρος τοῦ σώματος, μηδὲ τὸ καὶ τὸ. διατί γὰρ τὰ ἄλλα ἡμῖν ἀτιμαστέα; ὅλους δὲ ἡμᾶς αὐτοὺς ἀνενέγκωμεν, γενώμεθα ὁλοκαυτώματα λογικὰ, θύματα τέλεια, μηδὲ τὸν βραχίονα μόνον, μηδὲ τὸ στηθύνιον μόνον, ἀφαίρεμα ἱερατικὸν ποιησώμεθα. μικρὸν γὰρ τοῦτο, ἀλλ' ὅλους διδόντες ἡμᾶς αὐτοὺς, ὅλους ἀντιλαμβάνωμεν. ἐπειδὴ τοῦτό ἐστι λαβεῖν καθαρῶς, τὸ τῷ θεῷ δοθῆναι καὶ ἱερουργηθῆναι τὴν ἡμῶν αὐτῶν σωτηρίαν. ἐπὶ πᾶσι, καὶ πρὸ πάντων φύλαττέ μοι τὴν καλὴν παρακαταθήκην, ἧς ζῶ καὶ πολιτεύομαι, καὶ ἣν συνέκδημον λάβοιμι, μεθ' ἧς καὶ ἀλγεινὰ πάντα φέρω, καὶ τερπνὸν ἅπαν διαπτύω, τὴν εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα ὁμολογίαν. ταύτην πιστεύω σοι σήμερον, ταύτῃ καὶ συμβαπτίζω καὶ συνανάξω σε. ταύτην δίδωμι παντὸς τοῦ βίου κοινωνὸν καὶ προστάτην, τὴν μίαν θεότητά τε καὶ δύναμιν

ἐν τοῖς τρισὶν εὑρισκομένην ἑνικῶς, καὶ τὰ τρία συλλαμβάνουσαν μεριστῶς, οὔτε ἀνώμαλον οὐσίαις ἢ φύσεσιν, οὔτε αὐξομένην ἢ μειουμένην ὑπερβολαῖς καὶ ὑφέσεσι, πάντοθεν ἴσην, τὴν αὐτὴν πάντοθεν. ὡς ἓν οὐρανοῦ κάλλος καὶ μέγεθος, τριῶν ἀπείρων, ἄπειρον συμφυΐαν. Θεὸν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον. ὡς πατέρα καὶ υἱόν, ὡς υἱὸν καὶ τὸ ἅγιον πνεῦμα φυλασσομένης ἑκάστῳ τῆς ἰδιότητος. Θεὸς τὰ τρία σὺν ἀλλήλοις νοούμενα, ἐκεῖνο διὰ τὴν ὁμοουσιότητα, τοῦτο διὰ τὴν μοναρχίαν. οὐ φθάνω τὸ ἓν νοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι. οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. ὅταν ἓν τῶν τριῶν φαντασθῶ, τοῦτο νομίζω τὸ πᾶν. καὶ τὴν ὄψιν πεπλήρωμαι, καὶ τὸ πλεῖον διέφυγεν. οὐκ ἔχω τὸ μέγεθος ἐκείνου καταλαβεῖν, ἵνα δῶ τὸ πλεῖον τῷ λειπομένῳ. ὅταν τὰ τρία συνέλθω τῇ θεωρίᾳ, μίαν ὁρῶ λαμπάδα, οὐκ ἔχων διελεῖν ἢ μετρῆσαι τὸ φῶς ἑνιζόμενον. φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ θεὸς ὁ μὴ πάσχων. ἐγὼ φοβοῦμαι τὴν κτίσιν, ἵνα μὴ θεὸν ἀπολέσω διὰ τῆς ὕβρεως, καὶ ἀδίκου κατατομῆς. ἢ τὸν υἱὸν τέμνων ἀπὸ τοῦ πατρός, ἢ ἀπὸ τοῦ υἱοῦ τὴν οὐσίαν τοῦ πνεύματος. τὸ γὰρ παράδοξον, ὅτι μὴ κτίσις ἐμπαίζεται μόνον θεῷ παρὰ τοῖς κακῶς θεότητα ταλαντεύουσιν, ἀλλὰ καὶ αὐτὴ πάλιν ἡ κτίσις εἰς ἑαυτὴν τέμνεται. ὥσπερ τοῦ πατρὸς ὑποστέλλεται υἱὸς τοῖς ταπεινοῖς, καὶ κάτω κειμένοις, οὕτως ὑποστελλομένης πάλιν καὶ ἀπὸ τοῦ υἱοῦ τῆς ἀξίας τοῦ πνεύματος. ὡς ἂν θεὸς καὶ κτίσις ὑβρίζηται τῇ καινῇ ταύτῃ θεολογίᾳ. οὐδὲν τῆς τριάδος ὦ οὗτοι δοῦλον, οὐδὲ κτιστόν, οὐδὲ ἐπείσακτον. ἤκουσα τῶν σοφῶν τινος λέγοντος. εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην, φησὶν ὁ θεῖος ἀπόστολος. εἰ ἔτι κτίσματι προσεκύνουν, ἢ εἰς κτίσμα ἐβαπτιζόμην, οὐκ ἂν ἐθεούμην, οὐδὲ τὴν πρώτην μετεποιούμην γέννησιν. τί φήσω πρὸς τοὺς τὴν ἀστάρτην προσκυνοῦντας, ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων, ἢ τῶν ἄστρων τὸν τύπον. τοῦ μικρὸν ὑπὲρ ταῦτα θεοῦ τοῖς εἰδωλολάτραις, πλὴν κτίσματος καὶ ποιήματος. αὐτὸς ἢ μὴ προσκυνῶν τὰ δύο, εἰς ἃ συμβεβάπτισμαι, ἢ προσκυνῶν τὰ ὁμόδουλα. δοῦλα γὰρ καὶ εἰ μικρὸν τιμιώτερα, ἐπεὶ καὶ ἐν ὁμοδούλοις ἐστί τις διαφορὰ καὶ προτίμησις. θέλω τὸν πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις εἶναι τοῖς ἴσοις ὑπάρχει καὶ τὸ εἶναι. τοῦτο δὲ τί ἂν παρὰ τὴν δοθήσεται, καὶ δέδοικα τὴν ἀρχήν, μὴ ἐλαττόνων ἀρχὴν ποιῶ, καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως. οὐ γὰρ δόξα τῷ ἐξ οὗ, ἡ τῶν ἐξ αὐτοῦ ταπείνωσις. πρὸς δὲ καὶ ὑφορῶμαι τὴν σὴν ἀπληστίαν, μὴ τὸ μεῖζον λαβών, διχοτομήσῃς τὴν φύσιν, καὶ τὰ πάντα τῷ μείζονι χρώμενος. οὐ γὰρ κατὰ τὴν φύσιν τὸ μεῖζον, τὴν αἰτίαν δέ. οὐδὲν γὰρ τῶν ὁμοουσίων τῇ οὐσίᾳ μεῖζον ἢ ἔλαττον. θέλω τὸν υἱὸν προτιμῆσαι τοῦ πνεύματος ὡς υἱόν, καὶ οὐ συγχωρεῖ τὸ βάπτισμα τελειοῦν με διὰ τοῦ πνεύματος. ἀλλὰ δέδοικας μὴ τριθεΐαν ὀνειδισθῇς; ἔχε σὺ τὸ ἀγαθόν, τὴν ἐν τοῖς τρισὶν ἕνωσιν, ἐμοὶ τὴν μάχην παράπεμψον. ἔασόν με ναυπηγὸν εἶναι, σὺ χρῶ τῇ νηΐ. καὶ εἰ ναυπηγὸς ἄλλος ἕτερος, ἐμὲ λάβε τῆς οἰκίας ἀρχιτέκτονα, σὺ ταύτην οἴκει μετὰ ἀσφαλείας, καὶ εἰ μηδὲν ἐμόχθησας. οὐχ ἧττον εὐπλοήσεις ἢ οἰκήσεις τὴν οἰκίαν, ἐμοῦ τὰ ταῦτα κατασκευάσαντος, ἢ εἰ καὶ μηδὲν περὶ ταῦτα πεπόνηκας. ὁρᾷς τὴν εὐγνωμοσύνην ὅση; ὁρᾷς τὴν χρηστότητα; ἐμὸς ὁ πόλεμος. ἔστω σὸν τὸ ἐκνίκημα. ἐγὼ βαλλοίμην; σὺ δὲ εἰρήνευε τῷ πολεμοῦντι συνευχόμενος, χεῖρα δίδου διὰ τῆς πίστεως. ἔχω τρεῖς λίθους, οἷς σφενδονίσω τὸν ἀλλόφυλον. ἔχω τρεῖς ἐμπνεύσεις κατὰ τοῦ υἱοῦ τῆς Σαραφθίας, αἷς ζωοποιοῦμαι νενεκρωμένος. ἔχω τρεῖς ἐπιχύσεις κατὰ τῶν σχιδάκων, αἷς καθαγιάζω τὴν θυσίαν ὕδατι, πῦρ ἐγείρων τὸ παραδοξότατον. καὶ τοὺς προφήτας καταβάλλω τῆς αἰσχύνης, μυστηρίου δυνάμει χρώμενος. τί μοι δεῖ μακροτέρων λόγων; διδασκαλίας γὰρ ὁ καιρός, οὐκ ἀντιλογίας. μαρτύρομαι ἐνώπιον τοῦ θεοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων. μετὰ ταύτης βαπτισθήσῃ τῆς πίστεως. εἰ μὲν ἄλλως ἐγγέγραψαι, ἢ ὡς ὁ ἐμὸς ἀπαιτεῖ λόγος, δεῦρο καὶ μετεγγράφητι. ἐγώ τοι τῆς οὐκ ἀφυὴς καλλιγράφος. γράφω ἃ γέγραμμαι, καὶ διδάσκω ἃ καὶ μεμάθηκα, καὶ τετήρηκα ἐξ ἀρχῆς, εἰς τὴν δὲ τὴν πολιάν. ἐμὸς ὁ κίνδυνος, ἐμὸς καὶ τὸ γέρας. τοῦ τῆς σῆς ψυχῆς οἰκονόμου, καὶ τελειοῦντός σε διὰ τοῦ βαπτίσματος. εἰ δὲ οὕτως ἔχεις, καὶ καλοῖς ἐνσημαίνεις τοῖς γράμμασι. φύλαξαί μοι τὰ γεγραμμένα, ἐν καιροῖς τρεπτοῖς ἄτρεπτος μένων, περὶ ἀτρέπτου πράγματος. μίμησαι τὸν Πιλᾶτον ἐπὶ τὸ κρεῖττον, κακῶς γράφοντα, καλῶς γεγραμμένος. εἰπὲ τοῖς μεταπείθουσί σε, ὃ γέγραφα, γέγραφα. καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ τοῦ κακοῦ μένοντος ἀκλινοῦς, τὸ καλὸν ῥᾷστα κλίνοιτο. δέον εὐμετακινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος. εἰ οὕτως βαπτίζῃ καὶ κατὰ ταύτην τὴν μαθητείαν, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω. ἰδοὺ κίχρημι τὰς χεῖρας τῷ πνεύματι. ταχύνωμεν τὴν σωτηρίαν, ἀναστῶμεν ἐπὶ τὸ βάπτισμα, σφύζει μοι τὸ πνεῦμα. πρόθυμος ὁ τελειωτής, τὸ δῶρον ἕτοιμον. εἰ δὲ σκάζεις ἔτι καὶ μὴ καταδέχῃ τὸ τέλειον τῆς θεότητος, ζήτει τὸν βαπτίσοντα, ἢ καταβαπτίσοντα. ἐμοὶ δὲ οὐ σχολὴ τέμνειν θεότητα, καὶ νεκρόν σε ποιεῖν, ἐν καιρῷ τῆς ἀναγεννήσεως. ἵνα μήτε τὸ χάρισμα

ἔχῃς,

ἔχεις. μήτε τὴν ἐλπίδα τῆς χάριτος ἐν ὀλιγωρίᾳ καταγνώσῃς τὴν σωτηρίαν. ὡς ὅ,τι ἂν ὑφέλῃς τῶν τριῶν τῆς θεότητος, τὸ πᾶν ἔσῃ καθῃρηκώς, καὶ σεαυτῷ τὴν τελείωσιν. ἀλλ' οὔπω τύπος οὐδεὶς ἐν τῇ σῇ ψυχῇ, οὐ χείρονος γράμματος, οὐδὲ βελτίονος. σήμερον δέ σε γραφῶμεν, δεύσει τῇ ἡμῶν τυπωθῆναι πρὸς τελειότητα; ἔσω τῆς νεφέλης χωρήσωμεν. δός μοι τὰς πλάκας τῆς σῆς καρδίας. γίνομαί σοι Μωϋσῆς, εἰ καὶ τολμηρὸν εἰπεῖν. ἐγγράφω δακτύλῳ θεοῦ νέαν δεκάλογον, ἐγγράφω σύντομον σωτηρίαν. εἰ δέ τι θηρίον αἱρετικὸν καὶ ἄλογον, κάτω μενέτω, ἢ κινδυνεύσει λιθοβολούμενος ὑπὸ λόγῳ τῆς ἀληθείας. βαπτίζω σε μαθητεύων εἰς ὄνομα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. ὄνομα δὲ κοινὸν τῶν τριῶν ἓν, ἡ θεότης. γνώσῃ καὶ τοῖς σχήμασι καὶ τοῖς ῥήμασιν, ὡς ὅλην ἀποπέμπῃ τὴν ἀθεΐαν, οὕτως ὅλῃ θεότητι συνταττόμενος. πίστευε τὸν σύμπαντα κόσμον ὅσος τε ὁρατὸς, καὶ ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ θεοῦ γενόμενον, καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, δέξασθαι τὴν εἰς τὸ κρεῖττον μεταβολήν. πίστευε μὴ οὐσίαν τινὰ τοῦ κακοῦ εἶναι, μήτε βασιλείαν, ἢ ἄναρχον, ἢ παρ' ἑαυτῆς ὑποστᾶσαν, ἢ παρὰ τοῦ θεοῦ γενομένην, ἀλλ' ἡμέτερον ἔργον εἶναι τοῦτο καὶ τοῦ πονηροῦ· ἐκ τῆς ἀπροσεξίας ἐπεισελθὸν ἡμῖν, ἀλλ' οὐχὶ κτίσαντος. πίστευε τὸν υἱὸν τοῦ θεοῦ, τὸν προαιώνιον λόγον, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τοῦτον ἐπ' ἐσχάτων τῶν ἡμερῶν γεγεννῆσθαι διὰ σὲ καὶ υἱὸν ἀνθρώπου, ἐκ τῆς παρθένου προελθόντα Μαρίας, ἀῤῥήτως καὶ ἀρρυπάρως. οὐδὲν γὰρ ῥυπαρὸν οὗ θεὸς, καὶ δι' οὗ σωτηρία. ὅλον ἄνθρωπον ὄντα καὶ θεὸν ὑπὲρ ὅλου τοῦ πεπτωκότος, ἵνα ὅλῳ σοι τὴν σωτηρίαν χαρίσηται, ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας, ἀπαθῆ θεότητι, παθητὸν προσλήμματι. τοσοῦτον ἄνθρωπον διὰ σὲ, ὅσον σὺ γίνῃ δι' ἐκεῖνον θεός. τοῦτον ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν ἦχθαι εἰς θάνατον, σταυρωθέντα καὶ ταφέντα, ὅσον θανάτου γεύσασθαι· καὶ ἀναστάντα τριήμερον, ἀνεληλυθέναι εἰς τοὺς οὐρανοὺς, ἵνα σε συναγάγῃ κάτω κείμενον, ἥξειν δὲ πάλιν μετὰ τῆς ἐνδόξου αὐτοῦ παρουσίας, κρινοῦντα ζῶντας καὶ νεκρούς. οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δὲ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σώματος. ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων, καὶ μένῃ θεὸς ἔξω παχύτητος. δέχου πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδοσιν τοῖς δικαίοις τοῦ θεοῦ σταθμοῖς. ταύτην δὲ εἶναι φῶς τοῖς κεκαθαρμένοις τὴν διάνοιαν. τουτέστι θεὸν ὁρώμενόν τε καὶ γινωσκόμενον, κατὰ τὴν ἀναλογίαν τῆς καθαρότητος, ὃ δὴ καὶ βασιλείαν οὐρανῶν ὀνομάζομεν· σκότος δὲ τοῖς τυφλώττουσι τὸ ἡγεμονικὸν, τουτέστιν ἀλλοτρίωσιν θεοῦ, κατὰ τὴν ἀναλογίαν τῆς ἐνταῦθα ἀμβλυωπίας. δεύτερον ἐργάζου τὸ ἀγαθὸν, ἐπὶ τούτῳ τῷ θεμελίῳ τῶν δογμάτων. ἐπειδὴ πίστις χωρὶς ἔργων νεκρὰ, ὡς ἔργα δίχα πίστεως. ἔχεις τοῦ μυστηρίου τὰ ἔκφορα, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόῤῥητα· τὰ δὲ ἄλλα ἔσω μαθήσῃ τῆς τριάδος χαριζομένης, ἃ καὶ κρύψεις παρὰ σεαυτῷ σφραγίδι κρατούμενα. πλὴν ἐκεῖνο εὐαγγελίζομαί σοι. ἡ στάσις ἣν αὐτίκα στήσῃ μετὰ τὸ βάπτισμα πρὸ τοῦ μεγάλου βήματος, τῆς ἐκεῖθεν δόξης ἐστὶ προχάραγμα. ἡ ψαλμῳδία, μεθ' ἧς δεχθήσῃ, τῆς ἐκεῖθεν ὑμνῳδίας προοίμιον. αἱ λαμπάδες ἅσπερ ἀνάψεις, τῆς ἐκεῖ φωταγωγίας μυστήριον, μεθ' ἧς ἀπαντήσομεν τῷ νυμφίῳ φαιδραὶ καὶ παρθένοι ψυχαὶ, φαιδραῖς ταῖς λαμπάσι τῆς πίστεως, μήτε καθεύδουσαι διὰ ῥᾳθυμίαν, ἵνα μὴ λάθῃ παρὼν ἀδοκήτως ὁ προσδοκώμενος, μήτε ἄτροφοι, καὶ ἀνέλαιοι, καὶ κατὰ τῶν ἔργων ἐνδεεῖς, ἵνα μὴ τοῦ νυμφῶνος ἐκπέσωμεν. ὁρῶ γὰρ τὸ πάθος ἐλεεινόν. ὁ μὲν πάρεσται ἀπαιτήσεως τῆς κραυγῆς τὴν ἀπάντησιν. αἱ δὲ ἀπαντήσονται ὅσαι φρόνιμοι μετὰ λαμπροῦ τοῦ φωτὸς, καὶ δαψιλεστέρας τῆς τούτου τροφῆς. αἱ δὲ ταραχθήσονται ζητοῦσαι τὸ ἔλαιον οὐκ ἐν καιρῷ παρὰ τῶν ἐχόντων. ὁ δὲ εἰσελεύσεται δρομαῖος, αἱ δὲ συνεισελεύσονται, αἱ δὲ ἀποκλεισθήσονται, τὸν τοῦ εἰσελθεῖν καιρὸν εἰς τὸ παρασκευάσασθαι δαπανήσασαι, καὶ πολλὰ μετακλαύσονται, ὀψὲ μαθοῦσαι τὴν ζημίαν τῆς ῥᾳθυμίας, ὅταν μηκέτι ὁ νυμφὼν αὐταῖς εἴσιτος ᾖ, καὶ πολλὰ δεομέναις, ὃν καὶ κακῶς ἑαυταῖς ἀπέκλεισαν. ἄλλον τρόπον μιμησάμεναι τοὺς ὑβρίσαντας τοῦ γάμου, ὃν ὁ καλὸς πατὴρ ἑστιᾷ τῷ καλῷ νυμφίῳ, ἢ διὰ τὴν γυναῖκα τὴν νεόνυμφον, ἢ διὰ τὸν ἀγρὸν τὸν νεώνητον, ἢ τὸ ζεῦγος τῶν βοῶν, ἃ κακῶς ἐκτήσαντο, διὰ τῶν νεκρῶν τὰ μείζονα ζημιούμενοι. οὐδεὶς γὰρ ἐκεῖ τῶν ὑπεροπτικῶν καὶ ῥαθύμων, οὐδὲ τῶν ῥυπαρῶν, ἀλλ' οὐ νυμφικῶς ἐστολισμένων. κἂν ἐνταῦθα ἑαυτὸν ἀξιώσῃ τῆς ἐκεῖθεν λαμπροφορίας, καὶ λαθὼν ἑαυτὸν παρεισέρχῃ, κεναῖς ἐλπίσιν ἐξαπατώμενος. εἶτα τί; ὅταν εἴσω γενώμεθα, τότε οἶδεν ὁ νυμφίος ἃ διδάξει, καὶ ἃ συνέσται ταῖς συνεισελθούσαις ψυχαῖς. συνέσται δὲ, ὡς οἶμαι, διδάσκων τὰ τελειότερά τε καὶ καθαρώτερα, ὧν καὶ ἡμεῖς μεταλάβωμεν, οἵ τε διδάσκοντες ταῦτα, καὶ οἱ μανθάνοντες, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ θαυμάσιος Ἀββακούμ. καὶ γὰρ μετ' ἐκείνου σήμερον, τῆς δεδομένης μοι παρὰ τοῦ πνεύματος ἐξουσίας καὶ θεωρίας. καὶ ἀποσκοπεύσω καὶ γνώσομαι, τί ὀφθήσεται, καὶ τί λαληθήσεταί μοι. καὶ ἔστην καὶ ἀπεσκόπευσα. καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν, καὶ οὗτος ὑψηλὸς σφόδρα· καὶ ἡ ὅρασις αὐτοῦ, ὡς ὅρασις ἀγγέλου· καὶ ἡ στολὴ αὐτοῦ, ὡς φέγγος ἀστραπῆς διερχομένης. καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ κατ' ἀνατολάς, καὶ ἐβόησε φωνῇ μεγάλῃ. φωνὴ αὐτοῦ ὡς φωνὴ σάλπιγγος, καὶ κύκλῳ αὐτοῦ ὡς πλῆθος οὐρανίου στρατιᾶς, καὶ εἶπε· σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατός, καὶ ὅσος ἀόρατος. Χριστὸς ἐκ νεκρῶν, συνεγείρεσθε. Χριστὸς εἰς ἑαυτόν, ἐπανέρχεσθε. Χριστὸς ἐκ τάφων, ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. πύλαι ᾅδου ἀνοίγονται, καὶ θάνατος καταλύεται, καὶ ὁ παλαιὸς Ἀδὰμ ἀποτίθεται, καὶ ὁ νέος συμπληροῦται. εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε. ταῦτα ὁ μὲν ἔλεγεν, οἱ δὲ ἀνύμνουν ὅπερ καὶ πρότερον, ἡνίκα ἡμῖν ἐπεφάνη Χριστὸς διὰ τῆς κάτω γεννήσεως· δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. μεθ' ὧν καὶ αὐτὸς ἐν ὑμῖν ταῦτα φθέγγομαι. εἴθε δὲ καὶ φωνὴν λαβεῖν τῆς ἀγγελικῆς ἀξίαν καὶ πάντα περιηχοῦσαν τὰ πέρατα. πάσχα, κυρίου πάσχα, καὶ πάλιν ἐρῶ πάσχα. τιμῇ τῆς τριάδος. αὕτη ἑορτῶν ἡμῖν ἑορτή, καὶ πανήγυρις πανηγύρεων, τοσοῦτον ὑπεραίρουσα πάσας, οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας, ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὅσον ἀστέρας ἥλιος. καλὴ μὲν οὖν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα· πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἀξία πᾶσα. δαψιλεῖ τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες, καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος. ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ, κόσμον ὅλον αὐγάζων τοῖς τοῦ ἑαυτοῦ κάλλεσι, καὶ ὅσον ὑπερουράνιον. ἐν τε ἀγγέλοις τῇ πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην ἐκεῖθεν πηγάζεσθαι, καὶ ὅσον ἐν τῇ τριάδι. ἐξ ἧς φῶς ἅπαν συνέστηκεν ἐξ ἀμερίστου φωτὸς μεριζόμενον τε καὶ τιμώμενον. καλλίων δὲ ἡ σήμερον καὶ περιφανεστέρα. ὅσῳ χθὲς μὲν πρόδρομον ἦν τοῦ μεγάλου φωτὸς ἀνισταμένου τὸ φῶς, καὶ οἷον εὐφροσύνη τις προέορτος. σήμερον δὲ τὴν ἀνάστασιν αὐτὴν ἑορτάζομεν, οὐκ ἔτι ἐλπιζομένην, ἀλλ' ἤδη γεγενημένην, καὶ κόσμον ὅλον ἑαυτῇ συνάγουσαν. ἄλλος μὲν οὖν ἄλλο τι τῷ καιρῷ καρποφορείτω καὶ δωροφορείτω δῶρον ἑόρτιον, ἢ μικρὸν ἢ μεῖζον, τῶν πνευματικῶν τε καὶ θεῷ φίλων, ὅπως ἂν ἕκαστος ἔχοι δυνάμεως. τὸ γὰρ ἀξίως μόλις ἂν καὶ ἄγγελοι τύχοιεν, οἱ πρῶτοι, καὶ νοεροί, καὶ καθαροὶ τῆς ἄνω δόξης ἐπόπται καὶ μάρτυρες. εἴπερ καὶ τούτοις τὸ πᾶν ἐφικτὸν τῆς ὑμνήσεως. ἡμεῖς δὲ λόγον εἰσοίσομεν, ὧν ἔχομεν τὸ κάλλιστόν τε καὶ τιμιώτατον, ἄλλως τε καὶ λόγον ὑμνοῦντες, ἐπ' εὐεργεσίᾳ τῆς λογικῆς φύσεως. ἄρξομαι δὲ ἐντεῦθεν. οὐδὲ γὰρ ἀνέχομαι σὺν περὶ τοῦ μεγάλου θύματος, καὶ τῆς μεγίστης ἡμερῶν θύων λόγον, μὴ πρὸς θεὸν ἀναδραμεῖν, κἀκεῖθεν ποιήσασθαι τὴν ἀρχήν. καί μοι καθάρασθε καὶ νοῦν, καὶ ἀκοήν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα. ἐπειδὴ περὶ θεοῦ καὶ θεῖος ὁ λόγος, ἵν' ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον. θεὸς ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται. μᾶλλον δὲ ἔστιν ἀεί. τὸ γὰρ ἦν καὶ ἔσται, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως. ὁ δὲ ὢν ἀεί, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει, τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον. οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως, τῷ μόνῳ σκιαγραφούμενον, καὶ τοῦτο λίαν ἀμυδρῶς καὶ μετρίως. οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλης φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι φεῦγον, καὶ πρὶν νοηθῆναι διαδιδρᾶσκον. τοσαῦτα περιλάμπον ἡμῶν τὸ ἡγεμονικόν, καὶ ταῦτα κεκαθαρμένον, ὅσα καὶ ὄψιν, ἀστραπῆς τάχος οὐχ ἱσταμένης. ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτό. τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον. τῷ δὲ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον. ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἐργάζηται. τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος) θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον, καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον ἡ ἀπειρία. κἂν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν, τί γὰρ ὂν ἁπλῆς ἐστι φύσεως ἐπιζητήσομεν. οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης, ὥσπερ μηδὲ τοῖς συνθέτοις μόνον τὸ εἶναι συνθέτοις. διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις ἄπειρον) ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ θεοῦ φαντασίαις,

φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν. ὅταν δὲ εἰς τὸ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον. ὅταν δὲ συνόλην τὸ πᾶν, αἰώνιον. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος. οὐδὲ γὰρ μετρητόν, ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰών, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω ταυνῦν. οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν. οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν, ἢ διὰ τὴν μοναρχίαν ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν ἑλληνίζοντες. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. οὕτω μὲν δὴ τὰ ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα. ὅπερ καὶ ἄλλῳ τινὶ πρὸ ἡμῶν ὡς πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα. ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χυθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα, τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος, πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους. καὶ τὸ ἐννόημα, ἔργον ἦν λόγῳ συμπληρούμενον, καὶ πνεύματι τελειούμενον. καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος. εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον, καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην, ὅτι ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακόν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας (τὰ γὰρ ἐνταῦθα δευτέρας ἐλλάμψεως) πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους καὶ ὑπολαμβάνειν ταύτας, καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος. αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις. δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι. οὕτω μὲν δὴ ὁ νοητὸς αὐτῷ καὶ διὰ ταῦτα ὑπέστη κόσμος. ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον, καὶ οὗτός ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν μέσῳ σύστημά τι καὶ σύγκριμα. ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν. ἵνα δείξῃ μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντῃ ξένην ὑποστήσασθαι δυνατὸς ὤν. οἰκεῖον μὲν γὰρ θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί. ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν, καὶ τούτων αὐτῶν ἔτι πορρώτερα, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ λόγου μεγαλεῖον, ἐν ἑαυτοῖς ἔφερον. σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύσιοι κήρυκες. οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας. οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον. καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθείς (ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος) οἷόν τινα κόσμον ἕτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν. ἄγγελον ἄλλον, προσκυνητήν, μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα. πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν. τὸ μὲν ἵνα μένῃ καὶ δοξάσῃ τὸν εὐεργέτην, τὸ δ' ἵνα πάσχῃ, καὶ πάσχων ὑπομιμνήσκηται καὶ παιδεύηται, τῷ μεγέθει φιλοτιμούμενος. ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς Θεὸν νεύσει θεούμενον. εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος, καὶ αὖθις συνδήσοντος ὑψηλότερον. τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας. ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα. φυτῶν ἀθανάτων γεωργόν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων, καὶ τῶν τελειοτέρων. γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς, καὶ δίδωσι νόμον ὕλην τῷ αὐτεξουσίῳ. ὁ δὲ νόμος ἦν ἐντολή, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον. τὸ δὲ ἦν, τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς. μὴ πεμπέτωσαν

ἐκεῖ ταῖς γλώσσαις οἱ θεομάχοι. μηδὲ τὸ ξύλον μεμψώμεθα, ἀλλὰ καλὸν μὲν εὐκαίρως μὴ λαμβανόμενον. θεωρία γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις. οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις. ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα. φεῦ τῆς ἐμῆς ἀσθενείας. ἐμὴ γὰρ ἡ τοῦ προπάτορος, τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως. ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας· ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον. καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ θεοῦ κρύπτεται. κερδαίνει μέν τι κἀντεῦθεν τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν. καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. οὕτω γὰρ πείθομαι κολάζειν θεόν. πολλοῖς δὲ παιδευθεὶς πρότερον ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτρίβειν τὴν κακίαν ἦν σπουδαζόμενον ἦν, τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις (ὃ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον) εἰδωλολατρείαις καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως, ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. ταῦτα, ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ θεοῦ λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς, καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος. κυηθεὶς μὲν ἐκ τῆς παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι. ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι. προελθὼν δὲ θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων σαρκὸς καὶ πνεύματος. ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως. ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς, μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι, καὶ ὁ πλουτίζων πτωχεύει. πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. καὶ ὁ πλήρης κενοῦται. κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν, ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. τοῦτο τοῦ προτέρου θεοειδέστερον, τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον. ἀλλὰ τί ταῦτα ἡμῖν; τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων. κέντει τὸν πῶλον περὶ τὴν νύσσαν, τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. τοῦτο δὴ καὶ ποιήσω, καὶ εἰ μικρὸν ἄνωθεν ἠρξάμην, οὕτω τοῦ λόγου καὶ τοῦ πόθου βιασαμένων. οὐ χεῖρον δὲ ἴσως τοῖς φιλομαθέσι καὶ φιλοκάλοις περὶ τῆς προσηγορίας αὐτῆς τοῦ πάσχα βραχέα διαλαβεῖν. γένοιτο γὰρ ἂν οὐ φαῦλον τοῦτο ταῖς ἀκοαῖς ἐπεισόδιον. τὸ πάσχα τοῦτο τὸ μέγα τε καὶ σεβάσμιον, φάσκα τοῖς ἑβραίοις προσαγορεύεται κατὰ τὴν ἐκείνων φωνήν. δηλοῖ δὲ ἡ φωνὴ τὴν διάβασιν· ἱστορικῶς μὲν, διὰ τὴν ἐξ αἰγύπτου πρὸς τὴν χαναναίαν φυγὴν καὶ μετανάστασιν, πνευματικῶς δὲ, τὴν ἐκ τῶν κάτω πρὸς τὰ ἄνω, καὶ τὴν γῆν τῆς ἐπαγγελίας πρόοδον καὶ ἀνάβασιν. ὅπερ δὲ πολλαχοῦ τῆς γραφῆς συμβὰν εὑρίσκομεν, ἀπὸ τῶν ἀσαφεστέρων μεταποιηθέντα τινὰ τῶν ὀνομάτων εἰς τὸ σαφέστερον, ἢ τῶν ἀγροικοτέρων εἰς τὸ εὐσχημονέστερον, τοῦτο κἀνταῦθα τεθεωρήκαμεν. τὸ γὰρ σωτηρίου πάθους ὄνομα τοῦτο εἶναί τινες νομίσαντες, εἶτα ἐξελληνίζοντες τὴν φωνὴν, κατὰ τὴν τοῦ φι πρὸς τὸ πι, καὶ τοῦ κ πρὸς τὸ χι μεταποίησιν, πάσχα τὴν ἡμέραν προσηγόρευσαν. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν, ἐκύρωσε, μάλιστα προσεχοῦσα τῇ τῶν πολλῶν ἀκοῇ, ὥσπερ εὐσεβεστέρῳ τῷ ῥήματι. πάντα μὲν οὖν τὸν νόμον σκιὰν εἶναι τῶν μελλόντων καὶ νοουμένων, ὁ θεῖος ἀπόστολος πρὸ ἡμῶν ἀπεφήνατο. καὶ ὁ χρηματίσας πρὸ τούτου τῷ μωυσεῖ θεὸς, ἡνίκα περὶ τούτων ἐνομοθέτει. ὅρα γὰρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει, σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων παραδεικνὺς τὰ ὁρώμενα. καὶ πείθομαι μηδὲν εἰκῇ, μηδὲ ἀλογίστως, μηδὲ χαμερπῶς τούτων διατετάχθαι, μηδὲ ἀναξίως

τοῦ

τοῦ θεοῦ νομοθεσίας, καὶ τῆς Μωσέως ὑπουργίας, εἰ καὶ χαλεπὸν ἐφικέσθαι τῆς σκιᾶς, ἑκάστην ἐφευρεῖν θεωρίαν εἰς λεπτὸν καταβαίνοντα. ὅσα τε περὶ τῆς σκηνῆς αὐτῆς, καὶ μέτρων, καὶ ὕλης, καὶ τῶν αἰρόντων ταῦτα λευιτῶν τε καὶ λειτουργῶν. ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρεμάτων νενομοθέτηται. καὶ μόνοις ἐστὶ θεωρητὰ τοῖς κατὰ Μωσέα τὴν ἀρετήν, ἢ ὅτι ἐγγυτάτω τῆς ἐκείνου που διαβάσεως. ἐπεὶ καὶ ἐν αὐτῷ τῷ ὄρει θεὸς ἀνθρώποις φαντάζεται. τὸ μέν τι καταβαίνων αὐτὸς τῆς οἰκείας περιωπῆς, τὸ δὲ ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν ταπεινώσεως. ἵνα χωρηθῇ μετρίως γοῦν θνητῇ φύσει, καὶ ὅσον ἀσφαλές, ὁ ἀχώρητος. οὐ γὰρ οἷόν τε ἄλλως ἐν περινοίᾳ θεοῦ γενέσθαι σώματος ὑλικοῦ καὶ δεσμίου νοῦ πάχος μὴ βοηθούμενον. τότε τοίνυν, οὐ πάντες τῆς αὐτῆς ἀξιωθέντες φαίνονται τάξεώς τε καὶ στάσεως: ἀλλ' ὁ μὲν τῆς, ὁ δὲ τῆς, πρὸς μέτρον οἶμαι τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος. οἱ δὲ καὶ παντάπασιν ἀπεληλαμένοι, καὶ μόνης ἀκούειν τῆς ἄνωθεν φωνῆς συγχωρούμενοι, ὅσοι θηριώδεις τὸν τρόπον, καὶ θείων μυστηρίων ἀνάξιοι. ὅμως δὲ μέσην χωροῦντες ἡμεῖς τήν τε παντάπασι παχυτέρων τὴν διαίρεσιν, καὶ τὴν ἄγαν θεωρητικῶν τε καὶ ἀνηγμένων, ἵνα μὴ παντελῶς ἀργοὶ καὶ ἀκίνητοι μένωμεν, μήτε περιεργότεροι τοῦ δέοντος ὦμεν, καὶ τῶν προκειμένων ἔκπτωτοι καὶ ἀλλότριοι (τὸ μὲν γὰρ ἰουδαϊκόν πως καὶ ταπεινόν, τὸ δὲ ὀνειροκριτικόν, καὶ ὁμοίως ἀμφότερα κατεγνωσμένα) οὕτω περὶ τούτων διαλεξόμεθα κατὰ τὸ ἡμῖν ἐφικτόν. καὶ οὐ λίαν ἐκτόπως, οὐδὲ τοῖς πολλοῖς καταγέλαστον. ἡγούμεθα γὰρ ἐπειδὴ πεσόντας ἡμᾶς ἐκ τῆς ἁμαρτίας τὸ ἀπ' ἀρχῆς, καὶ διὰ τῆς ἡδονῆς κλαπέντας μέχρις εἰδωλολατρείας, καὶ τῶν ἀθέσμων αἱμάτων, ἔδει πάλιν ἀνακληθῆναι, καὶ πρὸς τὸ ἀρχαῖον ἐπαναχθῆναι, διὰ σπλάγχνα ἐλέους θεοῦ πατρὸς ἡμῶν, οὐκ ἀνασχομένου ζημιωθῆναι τοσοῦτον ἔργον τῆς οἰκείας χειρὸς τὸν ἄνθρωπον. πῶς οὖν ἀναπλασθῆναι, καὶ τί γενέσθαι, τὸ μὲν σφοδρὸν τῆς ἰατρείας ἀποδοκιμασθῆναι, ὡς οὔτε πεῖθον, καὶ πρὸς πλῆξαι δυνάμενον, διὰ τὴν ἐκ τοῦ χρόνου φύσωσιν. τῷ δὲ ἠπίῳ καὶ φιλανθρώπῳ τῆς θεραπείας οἰκονομηθῆναι πρὸς ἐπανόρθωσιν. μηδὲ γὰρ τὴν πόρρωθεν λοξὸν ἀνεγκεῖν ἀθρόαν μετάκλισιν καὶ βίαν χειρὸς ἀπευθυνούσης. θᾶττον μὲν τ' ἂν ἀπαλλαγῆναι, ἢ ὀρθωθῆναι, μήτε ἵππον θερμὸν καὶ ὑπερήλικα χαλινοῦ τυραννίδα, δίχα τινὸς κολακείας καὶ ὑποτινάγματος. διὰ τοῦτο δίδοται νόμος ἡμῖν εἰς βοήθειαν, οἷόν τι διατείχισμα μέσον θεοῦ καὶ εἰδώλων, τῶν μὲν ἀπάγων ἡμᾶς, πρὸς δὲ τὸν ἐπανάγων. καὶ συγχωρεῖ τι μικρὸν ἀπ' ἀρχῆς, ἵνα τὸ μεῖζον λάβῃ. συγχωρεῖ τὰς θυσίας τέως, ἵν' ἐγκαταστήσῃ θεόν. ἔπειτα ἡνίκα καιρός, καταλύσῃ καὶ τὰς θυσίας, σοφῶς ὑπαλλάττων ἡμᾶς ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι, καὶ μεταίρων ἤδη τὸ εὐαγγέλιον ἤδη γεγυμνασμένους πρὸς εὐπείθειαν. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα εἰσῆλθεν ὁ γραπτὸς νόμος, συνάγων ἡμᾶς εἰς Χριστόν, καὶ οὗτος τῶν θυσιῶν ὁ λόγος, ὡς ὁ ἐμὸς λόγος. ὡς ἂν δὲ τὸ τῆς σοφίας βάθος μὴ ἀγνοῇς, καὶ τὸν πλοῦτον τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων, οὐδὲ ταύτας παντελῶς ἀνιέρους ἀφῆκεν, οὐδὲ ἀσυντελεῖς, οὐδὲ μέχρι ψιλοῦ προϊούσας τοῦ αἵματος. ἀλλὰ τὸ μέγα καὶ ἄθυτον ἱερεῖον (ἵν' οὕτως εἴπω) ὅσον ἤδη τῇ πρώτῃ φύσει ταῖς νομικαῖς θυσίαις ἐγκαταμέμικται, καὶ οὐ μικροῦ μέρους τῆς οἰκουμένης, οὐδὲ πρὸς ὀλίγον, ἀλλὰ παντὸς τοῦ κόσμου καὶ διαιωνίζον καθάρσιον. διὰ τοῦτο λαμβάνεται πρόβατον μέν, διὰ τὴν ἀκακίαν, καὶ τὸ ἔνδυμα τῆς ἀρχαίας γυμνώσεως. τοιοῦτον γὰρ τὸ ὑπὲρ ἡμῶν σφάγιον ἔνδυμα ἀφθαρσίας καὶ ὂν καὶ καλούμενον. τέλειον δέ, οὐ διὰ τὴν θεότητα μόνον ἧς οὐδὲν τελεώτερον, ἀλλὰ καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν θεότητι, καὶ γενομένην ὅπερ τὸ χρῖσαν. καὶ θαρρῶ λέγειν ὁμόθεον, ἄρσεν δέ, ὡς ὑπὲρ τοῦ Ἀδὰμ προσαγόμενον, μᾶλλον δὲ τοῦ στερροῦ τὸ στερρότερον, τοῦ πρώτου πεσόντος ὑπὸ τὴν ἁμαρτίαν, καὶ ὅτι μάλιστα μηδὲν θῆλυ, μηδὲ ἄνανδρον ἐν ἑαυτῷ φέρον, ἀλλὰ καὶ ἐκραγὲν βίᾳ δεσμῶν παρθενικῶν καὶ μητρικῶν κατὰ πολλὴν ἐξουσίαν, καὶ τεχθὲν ἄρσεν ἐκ τῆς προφήτιδος. ὡς Ἠσαΐας εὐαγγελίζεται. ἐνιαύσιον δέ, ὡς ἥλιον δικαιοσύνης, ἢ ἐκεῖθεν ὁρμώμενον ἢ τῷ ὁρωμένῳ περιγραπτόν, καὶ εἰς ἑαυτὸν ἤδη ἐπιστρέφοντα. στέφανόν τε χρηστότητος εὐλογούμενον, καὶ πανταχόθεν ἴσον ἑαυτῷ καὶ ὅμοιον. οὐ μόνον δέ, ἀλλὰ καὶ ὡς ζωογονοῦν τὸν τῶν ἀρετῶν κύκλον, ἠπίως ἤδη μιγνυμένων καὶ κιρναμένων ἀλλήλαις, νόμῳ φιλίας καὶ τάξεως. ἄμωμον δὲ καὶ ἀκίβδηλον, ὡς θεραπευτικὸν μώμου, καὶ τῶν ἀπὸ κακίας ἐλαττωμάτων καὶ μολυσμῶν. εἰ γὰρ καὶ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασεν, ἀλλ' οὐκ αὐτός τι πέπονθε τῶν θεραπείας ἀξίων. ἐπειράσθη μὲν γὰρ κατὰ πάντα καθ' ὁμοιότητα τὴν ἡμετέραν, χωρὶς ἁμαρτίας δέ. ὁ γὰρ διώξας τὸ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς, οὐ κατέλαβε. τί ἔτι; μὴν μὲν εἰσάγεται πρῶτος, μᾶλλον δὲ ἀρχὴ μηνῶν. εἴτε τις τοῦτο παρ' Ἑβραίοις ὢν ἀπ' ἀρχῆς, εἴτε ὕστερον ἐντεῦθεν γενόμενος, καὶ παρὰ τοῦ μυστηρίου τὸ εἶναι πρῶτος λαβών, τῇ δεκάτῃ δὲ τοῦ μηνός, οὗτος γὰρ ἀριθμῶν πληρέστατος, ἐκ μονάδων πρώτη μονὰς τελεία.

καὶ γεννητικὴ τελειότητος. διατηρεῖται δὲ εἰς τὴν πέμπτην ἡμέραν, ἴσως ὅτι καθαρτικὸν αἰσθήσεων τὸ ἐμὸν θῦμα, ἐξ ὧν τὸ πταίειν, καὶ περὶ ἃς ὁ πόλεμος, εἰσδεχομένας τὸ κέντρον τῆς ἁμαρτίας. ἐκλέγεται δὲ οὐκ ἀπὸ τῶν ἀρνῶν μόνον, ἀλλὰ καὶ τοῦ χείρονος εἴδους, καὶ τῆς ἀριστερᾶς χειρὸς τῶν ἐρίφων, ὅτι μὴ ὑπὲρ τῶν δικαίων μόνον, ἀλλὰ καὶ τῶν ἁμαρτωλῶν σφαγιάζεται. τάχα δὲ ὑπὲρ τούτων καὶ πλέον, ὅσῳ καὶ μείζονος χρῄζομεν τῆς φιλανθρωπίας. θαυμαστὸν δὲ οὐδὲν, εἰ μάλιστα μὲν κατ' οἶκον ἕκαστον ἐπιζητεῖται τὸ πρόβατον. εἰ δὲ μὴ, καὶ κατ' οἴκους πατριῶν, διὰ πενίαν βραχυνόμενον. ἐπειδὴ κράτιστον μάλιστα μὲν αὐτὸν ἕκαστον ἀρκεῖν ἑαυτῷ πρὸς τελείωσιν, καὶ θυσίαν ζῶσαν ἁγίαν προσάγειν τῷ καλοῦντι θεῷ, πάντοτε καὶ διὰ παντὸς καθιερούμενον. εἰ δὲ μὴ, καὶ συνεργοῖς εἰς τοῦτο κεχρῆσθαι, τοῖς κατ' ἀρετὴν ὁμογενέσι καὶ ὁμοτρόποις. τοῦτο γάρ μοι δοκεῖ βούλεσθαι, τὸ κοινωνεῖν τοῖς ἔγγιστα τοῦ θύματος εἰ δεήσειεν. ἐντεῦθεν ἡ ἱερὰ νὺξ, ἡ τοῦ παρόντος βίου τοῦ κεχυμένου, τῆς νυκτὸς ἀντίπαλος, καθ' ἣν τὸ πρωτόγονον λύεται σκότος. καὶ εἰς φῶς ἅπαντα, καὶ τάξιν, καὶ εἶδος ἔρχεται, καὶ κόσμον ἡ πρὶν ἀκοσμία λαμβάνει. ἐντεῦθεν Αἴγυπτον φεύγομεν, τὴν σκυθρωπὴν καὶ διώκτριαν ἁμαρτίαν, καὶ Φαραὼ τὸν ἀόρατον τύραννον, καὶ τοὺς πικροὺς ἐργοδότας, πρὸς τὸν ἄνω μετασκευαζόμενοι κόσμον, καὶ τοῦ πηλοῦ, καὶ τῆς πλινθείας ἐλευθερούμεθα. τῆς τε τοῦ ἀχύρου καὶ σφαλερᾶς τῆς σαρκὸς ταύτης συστάσεως, καὶ μηδ' ὅσον ἀχυρώδεσι λογισμοῖς ἐπὶ τῶν πολλῶν κρατουμένης. ἐντεῦθεν ὁ ἀμνὸς σφαγιάζεται, καὶ σφραγίζονται τῷ τιμίῳ αἵματι πρᾶξις, καὶ λόγος, εἴτ' οὖν ἕξις καὶ ἐνέργεια, αἱ τῶν ἡμετέρων θυρῶν παραστάδες. λέγω δὴ τὴν τοῦ νοῦ κίνημά τε καὶ δόγμα καλῶς ἀνοιγομένων καὶ κλειομένων ἐκ θεωρίας. ἐπειδὴ μέτρον ἐστί τι καὶ τούτων. ἐντεῦθεν ἡ τελευταία καὶ βαρυτάτη τοῖς διώκταις πληγὴ, καὶ νυκτὸς ὄντως ἀξία, καὶ θρηνεῖ τὰ πρωτότοκα τῶν οἰκείων λογισμῶν καὶ πράξεων Αἴγυπτος, ὃ καὶ σπέρμα Χαλδαϊκὸν ὀνομαζόμενον τῇ γραφῇ καλεῖται, καὶ νήπια Βαβυλώνια τῇ πέτρᾳ προσκροτούμενα, καὶ λυόμενα. καὶ βοῆς πάντα μεστὰ, καὶ κραυγῆς Αἰγυπτίοις. καὶ ἡμῶν ἀναχωρήσει τηνικαῦτα ὁ ἐκείνων ὀλοθρευτὴς, αἰδοῖ καὶ φόβῳ τοῦ χρίσματος. ἐντεῦθεν ἄρσις τῆς ζύμης ἑπταήμερος. οὗτος γὰρ μυστικώτατος ἀριθμὸς, καὶ τῷ κόσμῳ τούτῳ σύστοιχος, τῆς παλαιᾶς καὶ ὀξώδους κακίας. οὐ γὰρ τῆς ἀρτοποιοῦ τε καὶ ζωτικῆς, ἵνα μηδὲν Αἰγύπτιον ἐπισιτισώμεθα φύραμα, καὶ λείψανον φαρισαϊκῆς, καὶ ἀθέου διδασκαλίας. καὶ οἱ μὲν θρηνείτωσαν, ἡμῖν δὲ ὁ ἀμνὸς βρωθήσεται. τὸ πρὸς ἑσπέραν μὲν, τὸ ἐπὶ συντελείᾳ τῶν αἰώνων, τὸ Χριστοῦ πάθος. ἐπεὶ καὶ κοινωνεῖ μυστηρίου τοῖς μαθηταῖς ἐν ἑσπέρᾳ, λύων τὸ σκότος τῆς ἁμαρτίας, οὐχ ἑψόμενος δὲ, ἀλλ' ὀπτώμενος, ὡς ἂν μηδὲν ἀθεώρητον, μηδ' ὑδαρὲς ὁ λόγος ἡμῖν ἔχῃ, μηδ' εὐδιάλυτον, ἀλλ' ὅλος συνεστὼς ᾖ, καὶ στερρὸς, καὶ τῷ καθαρτικῷ πυρὶ δεδοκιμασμένος, καὶ παντὸς ὑλώδους ἐλεύθερος, καὶ ἀπέριττος, καὶ τοῖς καλοῖς ἄνθραξι βοηθώμεθα, τὸ διανοητικὸν ἡμῶν ἀνάπτουσι καὶ καθαίρουσι, παρὰ τοῦ πῦρ ἐλθόντος βαλεῖν ἐπὶ τῆς γῆς, τὸ τῶν μοχθηρῶν ἕξεων ἀναλωτικὸν, καὶ τὴν ἀνάψιν ἐπισπεύδοντος. ὅσον μὲν οὖν σαρκῶδες τοῦ λόγου καὶ τρόφιμον, μετὰ τῆς ἐντοσθίας, καὶ τῆς κρυφίας τοῦ νοῦ βρωθήσεται, καὶ ἀναλωθήσεται, καὶ εἰς πέψιν πνευματικὴν ἀναδοθήσεται, ἄχρι κεφαλῆς καὶ ποδῶν, τῆς τε πρώτης περὶ θεότητος θεωρημάτων, καὶ τῶν τελευταίων τῆς σαρκώσεως φροντισμάτων. οὐκ ἐξοίσομεν δὲ οὐδὲν, οὐδὲ εἰς τὸ πρωῒ καταλείψομεν, ὅτι μηδὲ ἔκφορα τοῖς ἔξω τὰ πολλὰ τῶν ἡμετέρων μυστηρίων, μηδὲ ὑπὲρ τὴν νύκτα ταύτην ἐστί τις κάθαρσις, καὶ τὸ τῆς ἀναβολῆς οὐκ ἐπαινετὸν, τοῖς τοῦ λόγου μεταλαμβάνουσιν. ὥσπερ γε τὴν ὀργὴν μὴ διημερεύειν, ἀλλὰ προκαταλύειν ἡλίου καλὸν, καὶ τῷ θεῷ φίλον, χρονικῶς τε καὶ ἀναγωγικῶς (ἐπιδύεσθαι γὰρ ὀργιζομένοις ἡμῖν οὐκ ἀσφαλὲς τὸν τῆς δικαιοσύνης ἥλιον) οὕτω τὴν τοιαύτην βρῶσιν μὴ διανυκτερεύειν, μηδὲ εἰς τὴν ἑξῆς ἀποτίθεσθαι. ὅσον δὲ ὀστῶδες καὶ ἄβρωτον, καὶ ἡμῖν δυσθεώρητον, οὐ συντριβήσεται, κακῶς διαιρούμενον καὶ νοούμενον. ἐῶ γὰρ λέγειν, ὅτι μηδὲ κατὰ τὴν ἱστορίαν τοῦ Ἰησοῦ συνετρίβη, καίτοι γε τοῦ θανάτου τοῖς σταυρωταῖς ἐπισπευδομένου διὰ τὸ σάββατον. οὐδὲ ἀπορριφθήσεται καὶ περισυρήσεται, ἵνα μὴ δοθῇ τὰ ἅγια τοῖς κυσὶ, καὶ κακοῖς τοῦ λόγου σπαράκταις. ὥσπερ οὐδὲ τοῖς χοίροις τὸ λαμπρὸν τοῦ λόγου καὶ μαργαρῶδες, ἀλλὰ πυρὶ καταναλωθήσεται, ᾧ καὶ τὰ ὁλοκαυτώματα, τὰ πάντα ἐρευνῶντι καὶ εἰδότι πνεύματι λεπτυνόμενα καὶ σωζόμενα, οὐκ ἀπολλύμενα καθ' ὕδατι, οὐδὲ σπειρόμενα, ὥσπερ ἡ κεφαλὴ τοῦ μόσχου παρὰ Μωσέως, ἡ χωνευθεῖσα τῷ Ἰσραὴλ εἰς ὀνειδισμὸν τῆς σκληρότητος. ἄξιον δὲ μηδὲ τὸν τῆς βρώσεως τρόπον παραδραμεῖν, ὅτι μηδὲ ὁ νόμος, ἄχρι καὶ τούτου τὴν θεωρίαν φιλοπονῶν ἐν τοῖς γράμμασι. ἀναλώσωμεν γὰρ τὸ θῦμα κατὰ σπουδὴν, καὶ ἄζυμα μετὰ πικρίδων συνεσθίοντες, καὶ τὰς ὀσφύας περιεζωσμένοι, καὶ τὰ ὑποδήματα περικείμενοι, καὶ πρεσβυτικῶς βακτηρεύοντες, κατὰ σπουδὴν μὲν, ἵνα μὴ πάθωμεν ὅπερ ὁ λαὸς ἐκεῖνος ἀπηγόρευται παρὰ τῆς ἐντολῆς,

μὴ πάθω-

μὴ περιβλεψώμεθα, μὴ στῶμεν ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος ἀνασωθῶμεν, μὴ συμπαραληφθῶμεν τῷ Σοδομιτικῷ καὶ ξένῳ πυρί, μηδ' εἰς στήλην ἁλὸς παγῶμεν ἐκ τῆς ἐπὶ τὸ χεῖρον ἐπιστροφῆς. ὅπερ ἐργάζεται μέλλησις. μετὰ δὲ πικρίδων, διὰ τὸ πικρὸν τοῦ κατὰ Θεὸν βίου καὶ πρόσαντες τοῖς ἀρχομένοις μάλιστα, καὶ ἡδονῶν ὑψηλότερον. εἰ γὰρ καὶ χρηστὸς ὁ νέος ζυγός, καὶ τὸ φορτίον ἐλαφρόν, ὥσπερ ἀκούεις, ἀλλὰ διὰ τὴν ἐλπίδα καὶ τὴν ἀντίδοσιν, πολλῷ τῆς ἐνταῦθα κακοπαθείας οὖσαν δαψιλεστέραν. ἐπεὶ ἄλλως γε, τίς οὐκ ἂν εἴποι πολὺ τῆς νομικῆς διατάξεως, τὸ εὐαγγέλιον ἐργωδέστερον εἶναι, καὶ μοχθηρότερον. τοῦ γὰρ νόμου τὰ τέλη τῶν ἁμαρτημάτων κωλύοντος, ἡμεῖς καὶ τὰς αἰτίας ὡς πράξεις σχεδὸν ἐγκαλούμεθα. οὐ μοιχεύσεις, φησὶν ὁ νόμος· σὺ δὲ οὐδὲ ἐπιθυμήσεις ἐκ περιεργίας θέας, καὶ φιλοπόνου φλέγων τὸ πάθος. οὐ φονεύσεις, ἐκεῖνος. σὺ δὲ οὐδὲ ἀντιπλήξεις, ἀλλὰ καὶ σεαυτὸν ἐμπαρέξεις τῷ παίοντι. ὅσον ταῦτα ἐκείνων φιλοσοφώτερα. οὐκ ἐπιορκήσεις, ἐκεῖνος· σὺ δὲ οὐδὲ ὀμῇ τὴν ἀρχήν, οὐ μικρόν, οὐ μεῖζον, ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος. οὐ συνάψεις οἰκίαν πρὸς οἰκίαν, ἐκεῖνος, ἢ ἀγρὸν πρὸς ἀγρόν, καταδυναστεύων τοῦ πένητος· σὺ δὲ ἀφήσεις καὶ τὰ δικαίως κτηθέντα προθύμως. καὶ γυμνωθήσῃ τοῖς πένησιν, ἵνα κοῦφος τὸν σταυρὸν αἴρῃς, καὶ πλουτήσῃς τὰ μὴ ὁρώμενα. ὀσφὺς δὲ τοῖς μὲν ἀλόγοις, ἄζωστος ἔστω καὶ ἄδετος. οὐδὲ γὰρ λόγον ἔχουσι τὸν κρατοῦντα τῆς ἡδονῆς. οὔπω λέγω, ὅτι κἀκεῖνα ὅρον οἶδε τῆς φυσικῆς κινήσεως. σοὶ δὲ ἀναστελλέσθω ζώνῃ καὶ σωφροσύνῃ, τὸ ἐπιθυμητικὸν καὶ χρεμετιστικόν, ὡς ἡ θεία φησὶ γραφή, τὸ τοῦ πάθους αἰσχρὸν διασύρουσα, ἵνα καθαρῶς ἐσθίῃς τὸ πάσχα, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν Ἰωάννου ζώνην μιμούμενος τοῦ ἐρημικοῦ καὶ προδρόμου, καὶ μεγάλου τῆς ἀληθείας κήρυκος. οἶδα καὶ ζώνην ἄλλην, τὴν στρατιωτικὴν λέγω καὶ ἀνδρικήν, καθ' ἣν εὔζωνοι Συρίας καὶ μονόζωνοί τινες ὀνομάζονται. καθ' ἣν καὶ τῷ Ἰὼβ χρηματίζων, φησὶν ὁ Θεός· μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. καὶ δὸς ἀπόκρισιν ἀνδρικήν, ἣν καὶ ὁ θεῖος Δαβὶδ περιεζῶσθαι δύναμιν ἐκ Θεοῦ μεγαλαυχεῖ, καὶ τὸν Θεὸν αὐτὸν εἰσάγει ἐνδεδυμένον δύναμιν καὶ περιεζωσμένον, δηλαδὴ κατὰ τῶν ἀσεβῶν. εἰ μή τῳ φίλον, τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεσταλμένον, οὕτω παραδηλοῦσθαι, καθὸ καὶ φῶς ἀναβάλλεται ὡς ἱμάτιον. τίς γὰρ ἀνθέξεται αὐτοῦ τῆς δυνάμεως, καὶ τοῦ φωτός. τίς ὑποστήσεται ζητῶν τί κοινὸν ὀσφύϊ καὶ ἀληθείᾳ; τί δαὶ τῷ ἁγίῳ Παύλῳ νοεῖται τὸ φάσκειν· στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, μήποτε ὡς τοῦ θεωρητικοῦ τὸ ἐπιθυμητικὸν περισφίγγοντος, καὶ οὐκ ἐῶντος ἀλλαχοῦ φέρεσθαι. οὐ γὰρ ἐθέλει τὸ περί τι δαπανώμενον ἐρωτικῶς, πρὸς τὰς ἄλλας ἡδονὰς τὴν αὐτὴν ἔχειν δύναμιν. τὰ δὲ ὑποδήματα, ὁ μὲν τῆς ἁγίας γῆς καὶ θεοβαδίστου ψαύειν μέλλων, ὑπολυέσθω, καθὰ καὶ Μωυσῆς ἐκεῖνος ἐπὶ τοῦ ὄρους, ἵνα μηδὲν νεκρὸν φέρῃ, μηδὲ μέσον Θεοῦ καὶ ἀνθρώπων. ὡς δὲ καὶ εἴ τις μαθητὴς ἐπὶ τὸ εὐαγγέλιον πέμπεται, φιλοσόφως καὶ ἀπερίττως. ὃν δεῖ πρὸς τῷ ἀχάλκῳ καὶ ἀράβδῳ, καὶ μονοχίτωνι, ἔτι καὶ γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην, καὶ ἄλλο πᾶν ἀγαθόν. ὁ δὲ φεύγων Αἴγυπτόν τε καὶ τὰ Αἰγύπτια, ὑποδεδέσθω τῆς τε ἄλλης ἀσφαλείας εἵνεκα, καὶ τῆς πρὸς τοὺς σκορπίους, καὶ τοὺς ὄφεις, οὓς καὶ πλείστους Αἴγυπτος τρέφει, ὥστε μὴ βλάπτεσθαι παρὰ τῶν τηρούντων τὴν πτέρναν, οὓς πατεῖν ἐκελεύσθημεν. περὶ δὲ τῆς βακτηρίας οὕτως ἔχω καὶ τοῦ περὶ ταύτην αἰνίγματος, τὴν μὲν ὑπερειστικὴν οἶδα, τὴν δὲ ποιμαντικήν τε καὶ διδασκαλικήν, καὶ τὰ λογικὰ πρόβατα ἐπιστρέφουσαν. ἀλλὰ σοὶ νῦν τὴν ὑπερειστικὴν ὁ νόμος διακελεύεται, μήπου τὸν λογισμὸν ὀκλάσῃς, αἷμα Θεοῦ, καὶ πάθος ἀκούων, καὶ θάνατον, μήπου περιενεχθῇς ἀθέως, ὡς Θεοῦ συνήγορος, ἀλλ' ἀναισχύντως καὶ ἀνενδοιάστως, φάγε τὸ σῶμα, πίε τὸ αἷμα. εἰ τῆς ζωῆς ἐπιθυμητικῶς ἔχεις, μήτε τοῖς περὶ σαρκὸς ἀπιστῶν λόγοις, μήτε τοῖς περὶ τὸ πάθος σκανδαλιζόμενος, ἐρηρεισμένος ἵστασο, πάγιος, βεβηκώς, ἐν μηδενὶ σαλευόμενος ὑπὸ τῶν ἀντικειμένων, μηδὲ πιθανότητος λόγοις παρασυρόμενος. ἐπὶ τὸ ὕψος σεαυτοῦ στῆθι, ἐν ταῖς αὐλαῖς Ἱερουσαλὴμ στῆσον τοὺς πόδας. ἐπὶ τῆς πέτρας ἔρεισον, ἵνα μὴ σαλευθῇ σου τὰ κατὰ Θεὸν διαβήματα. τί φῄς; οὕτω ταῦτα ἔδοξεν. Αἴγυπτον ἐξελθεῖν τὴν σιδηρᾶν κάμινον, καταλιπεῖν σε τὴν ἐκεῖ πολυθεΐαν, ὑπὸ Μωσέως ἀχθῆναι, καὶ τῆς ἐκείνου νομοθεσίας καὶ στρατηγίας. εἰσηγοῦμαί τι καὶ τῶν οὐκ ἐμῶν, μᾶλλον δὲ καὶ λίαν ἐμῶν, ἂν πνευματικῶς θεωρῇς. χρῆσαι παρ' Αἰγυπτίων σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, μετὰ τούτων ὅδευσον, ἐκ τῶν ἀλλοτρίων ἐφοδιάσθητι, μᾶλλον δὲ τῶν σῶν. χρεωστεῖταί σοι μισθὸς τῆς δουλείας καὶ τῆς πλινθείας, σόφισαί τι καὶ σὺ περὶ τὴν ἀπαίτησιν, καλῶς ἀποστέρησον. ἴσθι, τὰ ταλαιπώρηκας ἐνταῦθα, τῷ πηλῷ μαχόμενος, τῷ μοχθηρῷ τούτῳ καὶ ῥυπαρῷ σώματι, καὶ πόλεις οἰκοδομῶν ἀλλοτρίας καὶ σφαλεράς, ὧν ἀπόλλυται τὸ μνημόσυνον μετ' ἤχους. τί δαί; προῖκα ἐξέρχῃ καὶ ἀμισθί; τί δαὶ καταλείψεις Αἰγυπτίοις, καὶ ταῖς ἀντικειμέναις δυνάμεσιν ἃ κακῶς ἐκτήσαντο, καὶ χεῖρον δαπανήσουσιν. οὐκ ἔ-

στιν ἐκείνων, ἐσύλησεν, ἥρπασεν, τοῦ ἐκδόντος, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ δώσω αὐτὸ ᾧ βούλομαι. χθὲς ἦν ἐκείνων. συνεχωρεῖτο γάρ. σήμερον σοὶ προσάγει καὶ δίδωσιν ὁ δεσπότης, καλῶς χρησομένῳ καὶ σωτηρίως. κτησώμεθα ἡμῖν αὐτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵν᾽ ὅταν ἐκλίπωμεν, ἀντιλάβωμεν ἐν καιρῷ κρίσεως. εἰ μέν τις εἶ ῥαχήλ, ἢ λεία, ψυχὴ πατριαρχικὴ καὶ μεγάλη, καὶ τὰ εἴδωλα κλέψον ἅπερ ἂν εὕρῃς τοῦ σοῦ πατρός· οὐχ ἵνα φυλάξῃς, ἀλλ᾽ ἵν᾽ ἀφανίσῃς. εἰ δὲ ἰσραηλίτης σοφός, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μετοίσεις. καὶ περὶ τούτου ὁ διώκτης ἀλγησάτω. καὶ γνώτω κατασοφισθείς, ὃς μάτην ἐτυράννει, καὶ κατεδουλοῦτο τοὺς κρείττονας. ἂν οὕτω ποιῇς, καὶ οὕτως ἐξέλθῃς αἴγυπτον, εὖ οἶδα, στύλῳ πυρὸς καὶ νεφέλης ὁδηγηθήσῃ νυκτὸς καὶ ἡμέρας. ἡ ἔρημος ἡμερωθήσεται, θάλασσά σοι τμηθήσεται, φαραὼ βαπτισθήσεται, ἄρτος ὀμβρήσει, πέτρα πηγάσει, ἀμαλὴκ καταπολεμηθήσεται, οὐχ ὅπλοις μόνον, ἀλλὰ καὶ πολεμίαις χερσὶ δικαίων, εὐχὴν ὁμοῦ τυποῦσαις. καὶ σταυροῦ τρόπαιον τὸ ἀήττητον. ποταμὸς ἀνακοπήσεται, ἥλιος στήσεται, σελήνη ἐπισχεθήσεται, τείχη καταπτυχθήσεται, καὶ δίχα μηχανημάτων, σφηκίαι προδραμοῦνται, ὁδοποιοῦσαι τῷ ἰσραήλ, καὶ τοὺς ἀλλοφύλους ἀνείργουσαι. τἆλλά τε ὅσα τούτοις, καὶ σὺν τούτοις ἱστόρηται, ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, παρὰ θεοῦ σοι δοθήσεται. τοιαύτην ἑορτὴν ἑορτάζεις σήμερον. τοιοῦτον ἑστιᾷ τὸ ἤδη σοὶ τοῦ γεννηθέντος γενεθλίοις, καὶ τοῦ παθόντος ἤδη ταφίοις. τοιοῦτόν σοι τὸ τοῦ πάσχα μυστήριον. ταῦτα ὁ νόμος ὑπέγραψε, ταῦτα χριστὸς ἐτελείωσεν, ὁ τοῦ γράμματος καταλυτής, ὁ τελειωτὴς τοῦ πνεύματος. ὃς οἷς ἔπαθε, τὸ πάσχειν διδάσκων· οἷς ἐδοξάσθη, τὸ συνδοξασθῆναι χαρίζεται. ἔστι τοίνυν ἐξετάσαι πρᾶγμα καὶ δόγμα, τοῖς μὲν πολλοῖς παρορώμενον, ἐμοὶ δὲ καὶ λίαν ἐξεταζόμενον. τίνι γὰρ τὸ ὑπὲρ ἡμῶν αἷμα, καὶ διὰ τίνος ἐχύθη, τὸ μέγα καὶ περιβόητον τοῦ θεοῦ καὶ ἀρχιερέως, καὶ θύματος. κατειχόμεθα μὲν γὰρ ὑπὸ τοῦ πονηροῦ, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ ἀντιλαβόντες τῆς κακίας τὴν ἡδονήν. εἰ δὲ τὸ λύτρον οὐκ ἄλλου τινός, ἢ τοῦ κατέχοντος γίνεται, ζητῶ τίνι τοῦτο ἀνηνέχθη, καὶ δι᾽ ἥν τινα τὴν αἰτίαν. εἰ μὲν τῷ πονηρῷ, φεῦ τῆς ὕβρεως· εἰ μὴ παρὰ τοῦ θεοῦ, μόνον, ἀλλὰ καὶ τὸν θεὸν αὐτὸν λύτρον ὁ λῃστὴς λαμβάνει. καὶ μισθὸν οὕτως ὑπερφυῆ, τῆς ἑαυτοῦ τυραννίδος, δι᾽ ὃν καὶ ἡμῶν φείδεσθαι δίκαιον ἦν. εἰ δὲ τῷ πατρί, πρῶτον μὲν πῶς; οὐχ ὑπ᾽ ἐκείνου γὰρ ἐκρατούμεθα. δεύτερον δέ, τίς ὁ λόγος μονογενοῦς αἷμα τέρπειν τὸν πατέρα, ὃς οὐδὲ τὸν ἰσαὰκ ἐδέξατο παρὰ τοῦ πατρὸς προσφερόμενον, ἀλλ᾽ ἀντηλλάξατο τὴν θυσίαν, κριὸν ἀντιδοὺς τοῦ λογικοῦ θύματος. ἢ δῆλον, ὅτι λαμβάνει μὲν ὁ πατήρ, οὐκ αἰτήσας οὐδὲ δεηθείς· ἀλλὰ διὰ τὴν οἰκονομίαν, καὶ τὸ χρῆναι ἁγιασθῆναι τῷ ἀνθρωπίνῳ τοῦ θεοῦ τὸν ἄνθρωπον. ἵν᾽ αὐτὸς ἡμᾶς ἐξέληται, τοῦ τυράννου βίᾳ κρατήσας, καὶ πρὸς ἑαυτὸν ἐπαναγάγῃ, διὰ τοῦ υἱοῦ μεσιτεύσαντος, καὶ εἰς τιμὴν τοῦ πατρὸς τοῦτο οἰκονομήσαντος, ᾧ τὰ πάντα παραχωρῶν φαίνεται. τὰ μὲν δὴ χριστοῦ τοιαῦτα, καὶ τὰ πλείω σιγῇ σεβέσθω. ὁ δὲ χαλκοῦς ὄφις κρεμᾶται μὲν κατὰ τῶν δακνόντων ὄφεων, οὐχ ὡς τύπος δὲ τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ᾽ ὡς ἀντίτυπος· καὶ σώζει τοὺς εἰς αὐτὸν ὁρῶντας, οὐχ ὅτι ζῆν πιστευόμενος, ἀλλ᾽ ὅτι νενέκρωται, καὶ συννεκροῖ τὰς ὑπ᾽ αὐτῷ δυνάμεις, καταλυθεὶς ὥσπερ ἦν ἄξιος. καὶ τίς ὁ πρέπων αὐτῷ παρ᾽ ἡμῶν ἐπιτάφιος; ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; ὑπὸ σταυροῦ βέβλησαι, ὑπὸ ζωοποιοῦ τεθανάτωσαι, ἄπνους, νεκρός, ἀκίνητος, ἀνενέργητος, καὶ εἰ τὸ σχῆμα σώζεις ὄφεως, ἐν ὕψει στηλιτευόμενος. μεταληψόμεθα δὲ τοῦ πάσχα νῦν μὲν τυπικῶς ἔτι, καὶ εἰ τοῦ παλαιοῦ γυμνότερον. τὸ γὰρ νομικὸν πάσχα, τολμῶ καὶ λέγω, τύπου τύπος ἦν ἀμυδρότερος. μικρὸν δὲ ὕστερον, τελεώτερον καὶ καθαρώτερον. ἡνίκα ἂν αὐτὸ πίνῃ καινὸν ἡμῶν ὁ λόγος ἐν τῇ βασιλείᾳ τοῦ πατρός, ἀποκαλύπτων καὶ διδάσκων, ἃ νῦν μετρίως παρέδειξε. καινὸν γάρ ἐστιν ἀεὶ τὸ νῦν γνωριζόμενον. τίς δὲ ἡ πόσις, καὶ ἡ ἀπόλαυσις, ἡμῶν μὲν τὸ μαθεῖν, ἐκείνου δὲ τὸ διδάξαι, καὶ κοινώσασθαι τοῖς ἑαυτοῦ μαθηταῖς τὸν λόγον. τροφὴ γάρ ἐστιν ἡ δίδαξις, καὶ τοῦ τρέφοντος. ἀλλὰ δεῦρο καὶ ἡμεῖς τοῦ νόμου μεταλάβωμεν εὐαγγελικῶς, ἀλλὰ μὴ γραπτῶς· τελείως, ἀλλὰ μὴ ἀτελῶς· ἀϊδίως, ἀλλὰ μὴ προσκαίρως. ποιησόμεθα κεφαλὴν, μὴ τὴν κάτω ἱερουσαλήμ, ἀλλὰ τὴν ἄνω μητρόπολιν· μὴ τὴν ὑπὸ στρατοπέδων νῦν πατουμένην, ἀλλὰ τὴν ὑπ᾽ ἀγγέλων δοξαζομένην. θύσωμεν μὴ μόσχους νέους, μηδὲ ἀμνοὺς κέρατα ἐκφέροντας καὶ ὁπλάς, παρ᾽ οἷς πολὺ τὸ νεκρὸν καὶ ἀναίσθητον. ἀλλὰ θύσωμεν τῷ θεῷ θυσίαν αἰνέσεως, ἐπὶ τὸ ἄνω θυσιαστήριον, μετὰ τῆς ἄνω χοροστασίας. διέλθωμεν τὸ πρῶτον καταπέτασμα, τῷ δευτέρῳ προσέλθωμεν. εἰς τὰ ἅγια τῶν ἁγίων παρακύψωμεν. εἴπω τὸ μεῖζον; ἡμᾶς αὐτοὺς θύσωμεν τῷ θεῷ, μᾶλλον δὲ θύωμεν καθ᾽ ἑκάστην ἡμέραν καὶ πᾶσαν κίνησιν. πάντα ὑπὲρ τοῦ λόγου δεχώμεθα, πάθεσι τὸ πάθος μιμώμεθα, αἵματι τὸ αἷμα σεμνύνωμεν, ἐπὶ τὸν σταυρὸν ἀνίωμεν πρόθυμοι. γλυκεῖς οἱ ἧλοι, καὶ εἰ λίαν ὀδυνηροί, τὸ μετὰ χριστοῦ πάσχειν καὶ ὑπὲρ χριστοῦ, τοῦ μετ᾽ ἄλλων τρυφᾶν

αἱρετώτερον. κἂν σίμων τις ἦς κυρηναῖος, τὸν σταυρὸν ἆρον καὶ ἀκολούθησον. κἂν συσταυρωθῇς ὡς λῃστής, ὡς εὐγνώμων τὸν θεὸν γνώρισον. εἰ κἀκεῖνος μετὰ ἀνόμων ἐλογίσθη, διὰ σὲ καὶ τὴν σὴν ἁμαρτίαν, σὺ γενοῦ δι' ἐκεῖνον ἄνομος. προσκύνησον τὸν διὰ σὲ κρεμασθέντα, κἂν κρεμάμενος, κέρδανόν τι καὶ παρὰ τῆς κακίας. ὤνησαι τῷ θανάτῳ τὴν σωτηρίαν. εἰς τὸν παράδεισον εἴσελθε μετὰ ἰησοῦ, ὥστε μαθεῖν ὧν ἐκπέπτωκας. τὰ ἐκεῖ κάλλη θεώρησον, τὸν γογγυστὴν ἄφες ἀποθανεῖν ἔξω μετὰ τῆς βλασφημίας. κἂν ἰωσὴφ ἦς ὁ ἀπὸ ἀριμαθαίας, αἴτησαι τὸ σῶμα παρὰ τοῦ σταυροῦντος, σὸν γενέσθω τὸ τοῦ κόσμου καθάρσιον. κἂν νικόδημος ἦς ὁ νυκτερινὸς θεοσεβής, μύροις αὐτὸν ἐνταφίασον. κἂν μαρία τις ἦς, κἂν ἄλλη μαρία, κἂν σαλώμη, κἂν ἰωάννα, δάκρυσον ὄρθρια. ἴδε πρώτη τὸν λίθον ἠρμένον, τυχὸν δὲ καὶ τοὺς ἀγγέλους, καὶ ἰησοῦν αὐτόν. φθέγξαι τι, φωνῆς ἄκουσον. κἂν ἀκούσῃς, μή μου ἅπτου, πόῤῥω στῆθι, σεβάσθητι τὸν λόγον, ἀλλὰ μὴ λυπηθῇς. οἶδε γὰρ οἷς ὀφθῇ πρότερον. ἐγκαίνισον τὴν ἀνάστασιν, τῇ εὔᾳ βοήθησον πρώτῃ πεσούσῃ, πρώτῃ χριστὸν ἀσπάσασθαι, καὶ γνωρίσαι τοῖς μαθηταῖς. γενοῦ πέτρος ἢ ἰωάννης, ἐπὶ τὸν τάφον ἐπείχθητι, ἀντιτρέχων, συντρέχων, τὴν καλὴν ἅμιλλαν ἁμιλλώμενος. κἂν προληφθῇς τῷ τάχει, τῇ σπουδῇ νίκησον· μὴ παρακύψας εἰς τὸ μνημεῖον, ἀλλ' ἔνδον γενόμενος. κἂν ὡς θωμᾶς ἀπολειφθῇς τῶν μαθητῶν συνηγμένων οἷς χριστὸς ἐμφανίζεται, ὅταν ἴδῃς, μὴ ἀπιστήσῃς. κἂν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον. εἰ δὲ μὴ τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι. κἂν εἰς ᾅδου κατίῃ, συγκάτελθε. γνῶθι καὶ τὰ ἐκεῖσε τοῦ χριστοῦ μυστήρια, τίς ἡ οἰκονομία τῆς διπλῆς καταβάσεως, τίς ὁ λόγος. ἁπλῶς σώζει πάντας ἐπιφανείς, ἢ κἀκεῖ τοὺς πιστεύοντας. κἂν εἰς οὐρανοὺς ἀνίῃ, συνάνελθε. γενοῦ μετὰ τῶν παραπεμπόντων ἀγγέλων ἢ τῶν δεχομένων. ἀρθῆναι τὰς πύλας διακέλευσαι, ὑψηλοτέρας γενέσθαι, ἵν' ἐκ τοῦ παθεῖν ὑψηλότερον δέξωνται. ἀπόκριναι τοῖς ἀποροῦσι διὰ τὸ σῶμα καὶ τὰ τοῦ πάθους σύμβολα οἷς μὴ κατελθὼν συνανέρχεται, καὶ διὰ τοῦτο πυνθανομένοις τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. ὅτι κύριος κραταιὸς καὶ δυνατός, ἐν πᾶσιν τε οἷς ἀεὶ πεποίηκε, καὶ ποιεῖ, καὶ τῷ νῦν πολέμῳ καὶ τροπαίῳ περὶ τῆς ἀνθρωπότητος. καὶ δὸς τῷ διπλῷ τῆς ἐρωτήσεως, διπλῆν τὴν ἀπόκρισιν. κἂν θαυμάζωσι λέγοντες κατὰ τὴν ἡσαΐου δραματουργίαν, τίς οὗτος ὁ παραγενόμενος ἐξ ἐδώμ, καὶ τῶν γηΐνων; ἢ πῶς ἐρυθρὰ τὰ ἱμάτια τοῦ ἀναίμου καὶ ἀσωμάτου ὡς ληνοβάτου, καὶ πλήρη ληνὸν πατήσαντος. προβαλοῦ τὸ ὡραῖον τῆς στολῆς τοῦ πεπονθότος σώματος, τῷ πάθει καλλωπισθέντος, ἧς οὐδὲν ἐρασμιώτερον, οὐδὲ ὡραιότερον. πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται; οἱ πικροὶ τῆς θεότητος λογισταί, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα. τοῦτο ἐγκαλεῖς θεῷ τὴν εὐεργεσίαν; διὰ τοῦτο μικρός, ὅτι διὰ σὲ ταπεινός; ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη, καὶ τοὺς βουνοὺς ἐφ' ὧν ἐθυσίαζες, καὶ πλανώμενον εὗρε, καὶ εὑρὼν ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον, καὶ λαβὼν ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν, καὶ ἀναγαγὼν τοῖς μένουσι συνηρίθμησεν; ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι, καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας πεποίηκε; ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπερλάμπον, καὶ τῇ φωνῇ ὁ λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ πνεῦμα διὰ τοῦ ὕδατος; ταῦτα ἐγκαλεῖς τῷ θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα, ὅτι λεντίῳ διαζώννυται καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύψασαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ; τί τοῦτο; τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν. εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν τοῖς κάμνουσι, καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος κατὰ τὸν νόμον ἀνασώσηται. ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος, διπλοῦς γὰρ ἦν, ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε καὶ ἐδάκρυσε, νόμῳ σώματος. εἰ δὲ καὶ ὡς θεός, τί τοῦτο; τὴν εὐδοκίαν τοῦ πατρὸς ἀποστολὴν εἶναι νόμιζε, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ πατρὸς καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀναστακέναι καὶ ἀνεληλυθέναι πάλιν, ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις,

τὰ ὑψοῦντα δὲ παρατρέχεις. καὶ τὸ μὲν ἔπαθε, λογίζῃ· ὅτι δὲ ἑκὼν οὐ προστίθης, οἷα πάσχει καὶ νῦν ὁ λόγος, ὑπὸ τῶν μὲν ὡς θεὸς τιμᾶται καὶ συναλείφεται. ὑπὸ δὲ τῶν ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. τίσιν ὀργισθῇ πλέον, μᾶλλον δὲ τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι. καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν. τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. προσκόπτεις τῇ σαρκί, τοῦτο καὶ Ἰουδαῖοι. ἢ καὶ σαμαρείτην ἀποκαλέσεις, καὶ τὸ ἑξῆς σιωπήσομαι. ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε σύ, καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἐκεῖνοι τὴν τοῦ υἱοῦ προσηγορίαν ὡς ὁμοτιμίας φωνὴν ᾔδεσαν, οὗτοι τὸν ἐλαύνοντα θεὸν ᾔδεσαν. ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾶν, ἵν᾽ εἴπω τι καὶ γελοίως, ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονήρως καὶ ἀθέως. ἀλλ᾽ ὁ μὲν πρὸς ἐκείνους πόλεμος, ἢ καταλυέσθω ὀψέ γ᾽ οὖν σωφρονισθέντας εἴπερ ἐθέλοιεν, ἢ ἀναβεβλήσθω μὴ βουλομένων, ἀλλ᾽ ἐχόντων ὡς ἔχουσι. πάντως οὐδὲν δείσομεν, ὑπὲρ τῆς τριάδος μετὰ τῆς τριάδος ἀγωνιζόμενοι. νῦν δὲ ἀναγκαιότερον ἡμῖν οὕτω κεφαλαιώσασθαι τὸν λόγον. γεγόναμεν, ἵν᾽ εὖ πάθωμεν. εὖ πεπόνθαμεν, ἐπειδὴ γεγόναμεν. τὸν παράδεισον ἐπιστεύθημεν, ἵνα τρυφήσωμεν. ἐντολὴν ἐλάβομεν, ἵν᾽ εὐδοκιμήσωμεν ταύτην φυλάξαντες, οὐκ ἀγνοοῦντος τοῦ ἐσομένου, ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον. ἠπατήθημεν, ἐπειδὴ ἐφθονήθημεν. ἐκπεπτώκαμεν, ἐπειδὴ παρέβημεν. ἐνηστεύσαμεν, ἐπειδὴ μὴ ἐνηστεύσαμεν τοῦ ξύλου τῆς γνώσεως ὑποκρατηθέντες. ἀρχαία γὰρ ἦν ἡ ἐντολὴ καὶ ἡμῖν ὁμήλικος, ψυχῆς τις οὖσα παιδαγωγία καὶ τρυφῆς σωφρόνισμα. ἣν ἐπετάχθημεν εἰκότως, ἵν᾽ ὃ μὴ φυλάξαντες ἀπεβάλομεν, φυλάξαντες ἀπολάβωμεν. ἐδεήθημεν θεοῦ σαρκουμένου καὶ νεκρουμένου, ἵνα ζήσωμεν. συνενεκρώθημεν, ἵνα καθαρθῶμεν· συνανέστημεν, ἐπειδὴ συνενεκρώθημεν. συνεδοξάσθημεν, ἐπειδὴ συνανέστημεν. πολλὰ μὲν δὴ τοῦ τότε καιροῦ τὰ θαύματα, θεὸς σταυρούμενος, ἥλιος σκοτιζόμενος, καὶ πάλιν ἀναφλεγόμενος. ἔδει γὰρ τῷ κτίστῃ συμπαθεῖν, καὶ τὰ κτίσματα. καταπέτασμα σχιζόμενον, αἷμα καὶ ὕδωρ τῆς πλευρᾶς χεόμενον. τὸ μὲν ὡς ἀνθρώπου, τὸ δὲ ὡς ὑπὲρ ἄνθρωπον. γῆ σειομένη, πέτραι ῥηγνύμεναι, νεκροὶ ἀνιστάμενοι εἰς πίστιν τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως, τὰ ἐπὶ τῷ τάφῳ σημεῖα, τὰ μετὰ τὸν τάφον, ἃ τίς ἂν ἀξίως ὑμνήσειεν. οὐδὲν δὲ οἷον τὸ θαῦμα τῆς ἐμῆς σωτηρίας. ῥανίδες αἵματος ὀλίγαι κόσμον ὅλον ἀναπλάττουσαι, καὶ γίνονται καθάπερ ὀπὸς γάλακτι πᾶσιν ἀνθρώποις εἰς ἓν ἡμᾶς συνδέουσαι καὶ συνάγουσαι. ἀλλ᾽ ὦ πάσχα τὸ μέγα καὶ ἱερόν, καὶ παντὸς τοῦ κόσμου καθάρσιον, ὡς γὰρ ἐμψύχῳ σοι διαλέξομαι. ὦ λόγε θεοῦ καὶ φῶς, καὶ ζωή, καὶ σοφία, καὶ δύναμις. χαίρω γὰρ πᾶσί σου τοῖς ὀνόμασιν. ὦ νοῦ τοῦ μεγάλου γέννημα καὶ ὅρμημα καὶ ἐκσφράγισμα, ὦ λόγε νοούμενε, καὶ ἄνθρωπε θεωρούμενε, ὃς πάντα φέρεις ἀναδούμενος τῷ ῥήματι τῆς δυνάμεως. νῦν μὲν ἔχοις τὸν λόγον τοῦτον οὐκ ἀπαρχήν, ἀλλὰ συμπλήρωσιν ἴσως τῆς ἡμετέρας καρποφορίας, χαριστήριον ὁμοῦ καὶ ἱκέσιον, μηδὲν κακοπαθεῖν ἡμᾶς ἔξω τῶν ἀναγκαίων καὶ ἱερῶν οἷς συνεζήσαμεν. καὶ στήσαις τῷ σώματι τὴν καθ᾽ ἡμῶν τυραννίδα. ὁρᾷς ὅσην κυεῖ, καὶ ὡς κάμπτουσιν, ἢ τὴν σὴν ψῆφον, εἰ παρὰ σοῦ καθαιροίμεθα. εἰ δὲ καταλύσαιμεν ἀξίως τοῦ πόθου, καὶ δεχθείημεν ταῖς οὐρανίαις σκηναῖς, τάχα σοι καὶ αὐτόθι θύσομεν δεκτὰ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον. ὦ πάτερ καὶ λόγε καὶ πνεῦμα τὸ ἅγιον, ὅτι σοὶ πᾶσα δόξα, τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

ΤΟΥ ἘΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ θεολόγου, λόγος εἰς τὸ ἅγιον πάσχα, καὶ εἰς τὴν βραδυτῆτα.

ἀ

Ναστάσεως ἡμέρα καὶ ἡ ἀρχὴ δεξιά, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς, μὴ ὅτι τοῖς δι᾽ ἀγάπην τι πεποιηκόσιν, ἢ πεπονθόσι. συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, δῶμεν συγγνώμην ἀλλήλοις, ἐγώ τε ὁ τυραννηθεὶς τὴν καλὴν τυραννίδα. τοῦτο γὰρ νῦν προστίθημι, καὶ ὑμεῖς οἱ καλῶς τυραννήσαντες. εἴ τι μοι μέμφοισθε τῆς βραδυτῆτος. ὡς τάχα γε κρείττων αὕτη καὶ τιμιωτέρα θεῷ, τῆς ἑτέρων ταχυτῆτος. ἀγαθὸν γὰρ καὶ ὑποχωρῆσαι θεῷ μικρόν, ὡς μωυσῆς ἐκεῖνος τὸ παλαιόν, καὶ ἱερεμίας ὕστερον, καὶ προσδραμεῖν ἑτοίμως καλοῦντι, ὡς ἀαρών τε καὶ ἡσαΐας. μόνον εὐσεβῶς ἀμφότερα. τὸ μὲν διὰ τὴν οἰκείαν ἀσθένειαν, τὸ δὲ διὰ τὴν τοῦ καλοῦντος δύναμιν. μυστήριον ἔχρισέ με, μυστηρίῳ μικρὸν ὑπεχώρησα, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι. μυστηρίῳ καὶ συνεισέρχομαι, καλὴν ἐπαγόμενος τῆς ἐμῆς δειλίας καὶ ἀσθενείας ἐπίκουρον τὴν ἡμέραν.

ἵν' ὁ σήμερον ἐκ νεκρῶν ἀναστάς, κἀμὲ καινοποιήσῃ τῷ πνεύματι, καὶ τὸν καινὸν ἐνδύσας ἄνθρωπον, δῷ τῇ καινῇ κτίσει, τοῖς κατὰ θεὸν γεννωμένοις, πλάστην ἀγαθὸν καὶ διδάσκαλον, χριστῷ καὶ συννεκρούμενον προθύμως, καὶ συνανιστάμενον. χθὲς ὁ ἀμνὸς ἐσφάζετο, καὶ ἐχρίοντο αἱ φλιαί, καὶ ἐθρήνησεν αἴγυπτος τὰ πρωτότοκα, καὶ ἡμᾶς παρῆλθεν ὁ ὀλοθρεύων, καὶ ἡ σφραγὶς φοβερὰ καὶ αἰδέσιμος. καὶ τῷ τιμίῳ αἵματι ἐτειχίσθημεν. σήμερον καθαρῶς ἐφύγομεν αἴγυπτον, καὶ φαραὼ τὸν πικρὸν δεσπότην, καὶ τοὺς βαρεῖς ἐπιστάτας, καὶ τοῦ πηλοῦ, καὶ τῆς πλινθείας ἠλευθερώθημεν, καὶ οὐδεὶς ὁ κωλύσων ἡμᾶς ἑορτάζειν κυρίῳ τῷ θεῷ ἡμῶν, ἑορτὴν τὴν ἐξόδιον, καὶ ἑορτάζειν οὐκ ἐν ζύμῃ παλαιᾷ, κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, μηδὲν ἐπιφερομένους αἰγυπτιακοῦ, καὶ ἀθέου φυράματος. χθὲς συνεσταυρούμην χριστῷ, σήμερον συνδοξάζομαι· χθὲς συνενεκρούμην, συζωοποιοῦμαι σήμερον· χθὲς συνεθαπτόμην, σήμερον συνεγείρομαι. ἀλλὰ καρποφορήσωμεν τῷ ὑπὲρ ἡμῶν παθόντι καὶ ἀναστάντι. χρυσὸν μὲν ἴσως οἴεσθε λέγειν, ἢ ἄργυρον, ἢ ὑφάσματα, ἢ λίθους διαφανεῖς, καὶ τιμίους. γῆς ῥέουσαν ὕλην, καὶ κάτω μένουσαν· ἧς ἀεὶ τὸ πλεῖον ἔχουσιν οἱ κακοί, καὶ δοῦλοι τῶν κάτω καὶ τοῦ κοσμοκράτορος. καρποφορήσωμεν ἡμᾶς αὐτούς, τὸ τιμιώτατον θεῷ κτῆμα, καὶ οἰκειότατον. ἀποδῶμεν τῇ εἰκόνι, τὸ κατ' εἰκόνα. γνωρίσωμεν ἡμῶν τὸ ἀξίωμα, τιμήσωμεν τὸ ἀρχέτυπον, γνῶμεν τοῦ μυστηρίου τὴν δύναμιν, καὶ ὑπὲρ τίνος χριστὸς ἀπέθανε. γενώμεθα ὡς χριστὸς ἐπεί, καὶ χριστός, ὡς ἡμεῖς. γενώμεθα θεοὶ δι' αὐτόν, ἐπειδὴ κἀκεῖνος δι' ἡμᾶς ἄνθρωπος. προσέλαβε τὸ χεῖρον, ἵνα δῷ τὸ βέλτιον· ἐπτώχευσεν, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. δούλου μορφὴν ἔλαβεν, ἵνα τὴν ἐλευθερίαν ἡμεῖς ἀπολάβωμεν· κατῆλθεν, ἵν' ὑψωθῶμεν· ἐπειράσθη, ἵνα νικήσωμεν· ἠτιμάσθη, ἵνα δοξάσῃ· ἀπέθανεν, ἵνα σώσῃ· ἀνῆλθεν, ἵν' ἑλκύσῃ πρὸς ἑαυτὸν κάτω κειμένους, ἐν τῷ τῆς ἁμαρτίας πτώματι. πάντα διδότω τις, πάντα καρποφορείτω, τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν καὶ ἀντάλλαγμα. δώσει δὲ οὐδὲν τοιοῦτον, οἷον ἑαυτὸν τὸ μυστήριον συνιέντα, καὶ δι' ἐκεῖνον πάντα, ὅσα ἐκεῖνος δι' ἡμᾶς, γενόμενον. καρποφορεῖ μὲν ὑμῖν, ὡς ὁρᾶτε, ποιμένα. τοῦτο γὰρ ἐλπίζει καὶ εὔχεται, καὶ παρ' ὑμῶν αἰτεῖ τῶν ὑπὸ χεῖρα, ὁ ποιμὴν ὁ καλός, ὅτι θεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ διπλοῦν ἀνθ' ἁπλοῦ δίδωσιν ὑμῖν ἑαυτόν, καὶ ποιεῖται τὴν βακτηρίαν τοῦ γήρως, βακτηρίαν τοῦ πνεύματος. καὶ προστίθησι τῷ ἀψύχῳ ναῷ τὸν ἔμψυχον, τῷ περικαλλεῖ τῷ δὲ καὶ οὐρανίῳ τὸν ὁπωσοῦν καὶ ἡλίκον. ἀλλ' οὖν ἑαυτῷ τιμιώτατον, καὶ αὐτὸν ἱδρῶσι πολλοῖς συντελεσθέντα, καὶ πόνοις. εἴη δὲ εἰπεῖν, ὅτι καὶ τῶν πόνων ἄξιον, καὶ πάντα προστίθησιν ὑμῖν τὰ ἑαυτοῦ. ὢ τῆς μεγαλοψυχίας, ἢ τό γε ἀληθέστερον εἰπεῖν, τῆς φιλοτεκνίας, τὴν πολιάν, τὴν νεότητα, τὸν ναόν, τὸν ἀρχιερέα, τὸν κληροδότην, τὸν κληρονόμον, τοὺς λόγους οὓς ἐποθεῖτε, καὶ τούτων οὐ τοὺς εἰκῆ, καὶ εἰς ἀέρα ῥέοντας, καὶ μέχρι τῆς ἀκοῆς ἱσταμένους, ἀλλ' οὓς γράφει τὸ πνεῦμα, καὶ πλαξὶν ἐντυποῖ λιθίναις, εἴτουν σαρκίναις, οὐκ ἐξ ἐπιπολῆς χαρασσομένους, οὐδὲ ῥᾳδίως ἀπαλειφομένους, ἀλλ' εἰς βάθος ἐνσημαινομένους· οὐ μέλανι, ἀλλὰ χάριτι. ταῦτα μὲν ὑμῖν ὁ σεμνὸς ἀβραὰμ οὗτος, ὁ πατριάρχης, ἡ τιμία κεφαλὴ καὶ αἰδέσιμος, τὸ πάντων τῶν καλῶν καταγώγιον, ὁ τῆς ἀρετῆς κανών, ἡ τῆς ἱερωσύνης τελείωσις, ὁ τὴν ἑκούσιον θυσίαν προσάγων τῷ κυρίῳ σήμερον, τὸν μονογενῆ, τὸν ἐκ τῆς ἐπαγγελίας. ὑμεῖς δὲ καρποφορεῖτε καὶ θεῷ καὶ ἡμῖν, τὸ καλῶς ποιμαίνεσθαι, εἰς τόπον χλόης κατασκηνούμενοι, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως ἐκτρεφόμενοι. γινώσκοντες καλῶς τὸν ποιμένα, καὶ γινωσκόμενοι, καὶ ἑπόμενοι καλοῦντι ποιμενικῶς καὶ ἐλευθερίως, διὰ τῆς θύρας. ἀλλοτρίῳ δὲ μὴ ἀκολουθοῦντες, ὑπερβαίνοντι διὰ τῆς αὐλῆς, λῃστρικῶς τε καὶ ἐπιβούλως, μηδὲ ξένης φωνῆς ἀκούοντες, ὑποκλεπτούσης καὶ διασπειρούσης ἀπὸ τῆς ἀληθείας, εἰς ὄρη καὶ ἐρημίας καὶ βάραθρα, καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος, καὶ ἀπὸ μὲν τῆς ὑγιοῦς πίστεως ἀπαγούσης, τῆς εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν μίαν θεότητά τε καὶ δύναμιν, ἧς ἤκουσαν ἀεὶ φωνῆς, καὶ ἀκούοι τὰ ἐμὰ πρόβατα. λόγοις δὲ κιβδήλοις, καὶ κατεφθαρμένοις συλαγωγούσης καὶ διασπώσης, ἀπὸ τοῦ ἀληθινοῦ καὶ πρώτου ποιμένος, ὧν εἴη πάντας ἡμᾶς, καὶ ποιμένας, καὶ ποίμνιον, ὡς νοσερᾶς πόας καὶ θανασίμου, πόρρω καὶ νεμομένους, καὶ νέμοντας, ἓν εἶναι πάντας ἐν χριστῷ ἰησοῦ, νῦν τε καὶ εἰς τὴν ἐκεῖθεν ἀνάπαυσιν. ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν, ἵνα πνευματικῶς ἑορτάσωμεν. ἄλλῳ μὲν γὰρ ἄλλο πανήγυρις, τῷ θεραπευτῇ δὲ τοῦ λόγου ὁ λόγος, καὶ λόγων ὁ τῷ καιρῷ προσφορώτατος, καὶ οὐδὲν οὕτως εὐφραίνει καλὸν τῶν φιλοκάλων οὐδὲ ἕν, ὡς τὸ πανηγυρίζειν πνευματικῶς τὸν φιλέορτον. σκοπῶμεν δὲ οὕτως. ἑορτάζει καὶ Ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα. τὸν γὰρ σωματικὸν διώκων νόμον, εἰς τὸν πνευματικὸν νόμον οὐκ ἔφθασεν. ἑορτάζει καὶ Ἕλλην, ἀλλὰ κατὰ τὸ σῶμα, καὶ τοὺς ἑαυτοῦ θεούς τε καὶ δαίμονας. ὧν οἱ μέν εἰσι παθῶν δημιουργοὶ κατ' αὐτοὺς ἐκείνους, οἱ δὲ ἐκ παθῶν ἐτιμήθησαν. διὰ τοῦτο ἐμπαθὲς αὐτῶν καὶ τὸ ἑορτάζειν, ἵν' ᾖ τιμὴ θεοῦ τὸ ἁμαρτάνειν, πρὸς ὃν καταφεύγει τὸ πάθος ὡς σεμνολόγημα. ἑορτάζομεν δὲ καὶ ἡμεῖς, ἀλλ' ὡς δοκεῖ τῷ πνεύματι. δοκεῖ δὲ, ἢ λέγοντάς τι τῶν δεόντων ἢ πράττοντας. καὶ τοῦτό ἐστι τὸ ἑορτάζειν ἡμῶν, ψυχῇ τι θησαυρίσαι τῶν ἑστώτων καὶ κρατουμένων, ἀλλὰ μὴ τῶν ὑποχωρούντων καὶ λυομένων, καὶ μικρὰ σαινόντων τὴν αἴσθησιν. τὰ πλείω δὲ λυμαινομένων τε καὶ βλαπτόντων, κατά γε τὸν ἐμὸν λόγον. ἀρκετὸν γὰρ τῷ σώματι ἡ κακία αὐτοῦ. τί δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης, ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς; ἵνα μᾶλλον δυσκάθεκτον γένηται, καὶ τοῦ λογισμοῦ βιαιότερον. διὰ ταῦτα μὲν οὖν ἑορταστέον πνευματικῶς, ἀρχὴ δὲ τοῦ λόγου. ῥητέον γὰρ, καὶ εἰ μικρόν τι παρεκβατικώτερος ἡμῖν ὁ λόγος, καὶ φιλοπονητέον τοῖς φιλολόγοις. ἵν' ὥσπερ ἥδυσμά τι τῇ πανηγύρει συγκαταμίξωμεν. τὴν ἑβδομάδα τιμῶσιν Ἑβραίων παῖδες, ἐκ τῆς Μωσαϊκῆς νομοθεσίας, ὥσπερ Πυθαγόρειοι τὴν τετρακτὺν ὕστερον, ἣν δὴ καὶ ὅρκον ἐποιοῦντο, καὶ τὴν ὀγδοάδα καὶ τριακάδα οἱ ἀπὸ Σίμωνος καὶ Μαρκίωνος. οἷς δὴ καὶ ἰσαρίθμους τινὰς αἰῶνας ἐπονομάζουσί τε καὶ τιμῶσιν, οὐκ οἶδα μὲν οἷστισι λόγοις ἀναλογίας, ἢ κατὰ τίνα τοῦ ἀριθμοῦ τούτου δύναμιν. τιμῶσι δ' οὖν οἱ μὲν πρόδηλον, ὅτι ἐν ἓξ ἡμέραις ὁ θεὸς τὴν ὕλην ὑποστήσας τε καὶ μορφώσας, καὶ διακοσμήσας παντοίοις εἴδεσί τε καὶ συγκρίμασι, καὶ τὸν νῦν ὁρώμενον τοῦτον κόσμον ποιήσας, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων. ὡς δηλοῖ καὶ ἡ τοῦ σαββάτου προσηγορία κατάπαυσιν ἑβραϊκῶς σημαίνουσα. εἰ δέ τις καὶ ὑψηλότερος ὑπὲρ ταῦτα λόγος, ἄλλοι φιλοσοφείτωσαν. ἡ τιμὴ δὲ αὐτοῖς οὐκ ἐν ἡμέραις μόνον, ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς φθάνουσα. ἡ μὲν οὖν τῶν ἡμερῶν, τὸ σάββατον. τοῦτο δὴ τὸ συνεχῶς παρ' αὐτοῖς τιμώμενον. καθὸ καὶ ἡ τῆς ζύμης ἄρσις ἰσάριθμος. ἡ δὲ τῶν ἐτῶν ὁ ἑβδοματικὸς ἐνιαυτὸς τῆς ἀφέσεως, καὶ οὐκ ἐν ἑβδομάσι μόνον, ἀλλὰ καὶ ἐν ἑβδομάσιν ἑβδομάδων, ὁμοίως ἔν τε ἡμέραις καὶ ἔτεσιν. αἱ μὲν οὖν τῶν ἡμερῶν ἑβδομάδες, γεννῶσι τὴν πεντηκοστὴν, κλητὴν ἁγίαν παρ' αὐτοῖς ἡμέραν. αἱ δὲ τῶν ἐτῶν, τὸν ἰωβηλαῖον παρ' αὐτοῖς ὀνομαζόμενον, ὁμοίως γῆς τε ἄφεσιν ἔχοντα, καὶ δούλων ἐλευθερίαν, καὶ κτήσεων ὠνητῶν ἀναχώρησιν. καθιεροῦσι γὰρ οὐ γεννημάτων μόνον, οὐδὲ πρωτοτόκων, ἀλλ' ἤδη καὶ ἡμερῶν καὶ ἐτῶν ἀπαρχὰς τῷ θεῷ τοῦτο τὸ γένος. οὕτως ὁ ἑπτὰ τιμώμενος ἀριθμὸς, τὴν τιμὴν τῆς πεντηκοστῆς συνεισήγαγεν. ὁ γὰρ ἑπτὰ ἐφ' ἑαυτὸν συντιθέμενος, γεννᾷ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον. δεῖ γὰρ ἐκεῖσε καταλῆξαι τὸν ἐνταῦθα σαββατισμὸν τῶν ψυχῶν, ὡς δοθῆναι μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτώ. καθὼς ἤδη τινὲς τῶν πρὸ ἡμῶν τὸ Σολομώντειον ἐξειλήφασι. τῆς δὲ τοῦ ἑπτὰ τιμῆς, πολλὰ μὲν τὰ μαρτύρια, ὀλίγα δὲ ἐκ πολλῶν ἡμῖν ἀρκέσει, ὡς ἑπτὰ μὲν ὀνομαζόμενα τίμια πνεύματα. τὰς γὰρ ἐνεργείας οἶμαι τοῦ πνεύματος, πνεύματα φίλον τῷ Ἠσαΐᾳ καλεῖν, κεκαθαρμένα δὲ τὰ λόγια τοῦ κυρίου κατὰ τὸν Δαβὶδ ἑπταπλασίως. καὶ ὁ μὲν δίκαιος ἑξάκις μὲν ἐξ ἀναγκῶν ἐξαιρούμενος, ἐν δὲ τῷ ἑβδόμῳ μηδὲ πληττόμενος. ὁ δὲ ἁμαρτωλὸς, οὐχ ἑπτάκις μόνον, ἀλλὰ καὶ ἑβδομηκοντάκις ἑπτὰ συγχωρούμενος. καὶ μέντοι πάλιν ἐκ τῶν ἐναντίων ἐπαινετὴ γὰρ καὶ ἡ τῆς κακίας κόλασις. Κάϊν μὲν ἐκδικούμενος ἑπτάκις, τουτέστι δίκας εἰσπραττόμενος τῆς ἀδελφοκτονίας. ὁ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτὰ, ὅτι φονεὺς ἦν μετὰ τὸν νόμον καὶ τὸ κατάκριμα. οἱ δὲ πονηροὶ γείτονες, ἑπταπλασίονα εἰς τὸν κόλπον ἀπολαμβάνοντες, ἑπτὰ δὲ στύλοις ὁ τῆς σοφίας οἶκος ὑπερειδόμενος. τοσούτοις δὲ ὀφθαλμοῖς ὁ τοῦ Ζοροβάβελ λίθος κοσμούμενος. ἑπτάκις δὲ τῆς ἡμέρας ὁ θεὸς αἰνούμενος, καὶ μὴν καὶ στεῖρα τίκτουσα ἑπτὰ τὸν τέλειον ἀριθμὸν ἡ τῆς ἀτελοῦς ἐν τέκνοις ἀντίθετος. εἰ δὲ δεῖ καὶ τὰς παλαιὰς ἱστορίας σκοπεῖν, ἐννοῶ μὲν τὸν ἕβδομον ἐν προγόνοις Ἐνὼχ τῇ μεταθέσει τετιμημένον. ἐννοῶ δὲ τὸν εἰκοστὸν πρῶτον, Ἀβραὰμ τῇ πατριαρχίᾳ δεδοξασμένον, μυστηρίῳ προσθήκῃ μείζονος. τελειουμένη γὰρ ἑβδομὰς, τὸν ἀριθμὸν τοῦτον ἐργάζεται. τολμήσειε δ' ἄν τις τὴν πάντα νεανικῶς, καὶ ἐπὶ τὸν νέον Ἀδὰμ ἐλθεῖν τὸν θεόν μου, καὶ κύριον Ἰησοῦν Χριστὸν ἀπὸ τοῦ παλαιοῦ καὶ ὑπὸ τὴν ἁμαρτίαν Ἀδὰμ ἑβδομηκοστὸν ἕβδομον ἀριθμούμενον.

κατὰ

κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν διαριθμοῦσιν. οἶδα δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Ναυῆ καὶ περιόδους τοσαύτας καὶ ἡμέρας καὶ ἱερέας, ἐξ ὧν τὰ Ἱεριχούντια τείχη καταστρέφεται. ὥσπερ δὲ μυστικὴν τὴν τελευταίαν ἐμφύσησιν Ἠλιοῦ τοῦ προφήτου, τὴν τῷ Σαραφθίας χήρας υἱῷ τὴν ζωὴν ἐμπνεύσασαν, καὶ τοῦ αὐτοῦ τὴν ἰσάριθμον κατὰ τῶν σχιδάκων ἐπίχυσιν, ἡνίκα πυρὶ θεοπέμπτῳ τὴν θυσίαν ἀνάπτει, καὶ τοὺς τῆς αἰσχύνης προφήτας κατέκρινε, τὸ ἴσον οὐ δυνηθέντας ἐκ τῆς προκλήσεως· οὕτω δὲ καὶ τὴν ἑβδόμην κατασκοπὴν οὐ νέφους τῷ παιδαρίῳ προστεταγμένην, Ἐλισσαίου τε τὴν ἴσην διάκαμψιν ἐπὶ τὸν παῖδα τῆς Σουμανίτιδος τὴν πνοὴν ζωπυρήσασαν. τοῦ δὲ αὐτοῦ οἶμαι δόγματος, ἵνα μὴ λέγω τὴν ἑπτάκαυλον καὶ ἑπτάλυχνον τοῦ λαοῦ λυχνίαν, ἐν ἑπτὰ μὲν ἡμέραις ὁ ἱερεὺς τελειούμενος, ἐν ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος, ἐν τοσαύταις δὲ ὁ λαὸς ἐγκαινιζόμενος, ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας ἐπαναγόμενος. ἵν' ὅπερ ἦσαν ἐν μονάσι, τοῦτο ἐν δεκάσι γένηται καὶ ἀριθμῷ τελεωτέρῳ, τὸ τῆς ἑβδομάδος τιμηθῇ μυστήριον. τί μοι τὰ πόρρω λέγειν; Ἰησοῦς αὐτὸς ἡ καθαρὰ τελειότης, οἶδε τρέφειν μὲν ἐν ἐρημίᾳ καὶ πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δὲ ἑπτὰ πάλιν τετρακισχιλίους. καὶ τὰ τοῦ κόρου λείψανα ἐκεῖ μὲν δώδεκα κόφινοι, ἐνταῦθα δὲ σπυρίδες ἑπτά. οὐδ' ἕτεροι ἀλόγως οἶμαι, οὐδὲ ἀναξίως τοῦ πνεύματος. καὶ σὺ δ' ἂν κατὰ σαυτὸν ἀναλεγόμενος, πολλοὺς περιτύχοις ἀριθμοὺς, ἔχοντάς τι τοῦ φαινομένου βαθύτερον. ὃ δὲ τῷ παρόντι καιρῷ χρησιμώτατον, διὰ ταῦτα τούτων ἴσως τῶν λόγων, ἢ ὅτι ἐγγύτατα τούτων, ἢ καὶ δι' ἑτέρους τινὰς, τιμῶσι μὲν Ἑβραῖοι τὴν πεντηκοστὴν ἡμέραν. τιμῶμεν δὲ καὶ ἡμεῖς, ὥσπερ ἔστιν ἃ καὶ ἄλλα τῶν Ἑβραϊκῶν. τυπικῶς μὲν παρ' ἐκείνοις τελούμενα, μυστικῶς δὲ ἡμῖν ἀποκαθιστάμενα. τοσαῦτα περὶ τῆς ἡμέρας προδιαλεχθέντες, ἤδη τὸ ἑξῆς τοῦ λόγου προΐωμεν. πεντηκοστὴν ἑορτάζομεν, καὶ πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. τὰ μὲν σωματικὰ τοῦ Χριστοῦ πέρας ἔχει, μᾶλλον δὲ τὰ τῆς σωματικῆς ἐπιδημίας. ὀκνῶ γὰρ εἰπεῖν τὰ τοῦ σώματος, ἕως ἄν με μηδεὶς πείθῃ λόγος, ὅτι κάλλιον ἀπεσκευάσθαι τοῦ σώματος, τὰ δὲ τοῦ πνεύματος ἄρχεται. τίνα δὲ ἦν τὰ τοῦ Χριστοῦ; παρθένος, γέννησις, φάτνη, σπαργάνωσις, ἄγγελοι δοξάζοντες, ποιμένες προστρέχοντες, ἀστέρος δρόμος, μάγοι προσκυνοῦντες καὶ δωροφοροῦντες, Ἡρώδου παιδοφονία, φυγὴ Ἰησοῦ εἰς Αἴγυπτον, ἐπάνοδος ἐξ Αἰγύπτου, περιτεμνόμενος, βαπτιζόμενος, μαρτυρούμενος ἄνωθεν, πειραζόμενος, λιθαζόμενος δι' ἡμᾶς οἷς τύπον ἔδει δοθῆναι τῆς ὑπὲρ τοῦ λόγου κακοπαθείας. προδιδόμενος, προσηλούμενος, θαπτόμενος, ἀνιστάμενος, ἀνερχόμενος, ὧν καὶ νῦν πάσχει πολλὰ, παρὰ μὲν τῶν μισοχρίστων, τὰ τῆς ἀτιμίας. καὶ φέρει, μακρόθυμος γάρ. παρὰ δὲ τῶν φιλοχρίστων τὰ τῆς ὑπερτιμίας, καὶ ἀναβάλλεται. ὥσπερ ἐκείνοις τὴν ὀργὴν, οὕτως ἡμῖν τὴν χρηστότητα. τοῖς μὲν ἴσως μετανοίας διδοὺς καιροὺς, ἡμῶν δὲ δοκιμάζων τὸν πόθον. εἰ μὴ ἐκκακοῦμεν ἐν ταῖς θλίψεσι, καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν. ὥσπερ ἄνωθεν θείας οἰκονομίας λόγος, καὶ τῶν ἀνεφίκτων αὐτοῦ κριμάτων, οἷς εὐθύνει σοφῶς τὰ ἡμέτερα. τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα, καὶ τὰ ἑξῆς ὀψόμεθα, ἐνδοξότερα, καὶ ὀφθείημεν. τὰ δὲ τοῦ πνεύματος, παρέστω μοι τὸ πνεῦμα, καὶ διδότω λόγον, ὅσον καὶ βούλομαι. εἰ δὲ μὴ τοσοῦτον, ὅσος γε τῷ καιρῷ σύμμετρος. πάντως πάρεσται δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, οὐδ' ἀναμένον ἐπίταγμα ὥς τινες οἴονται. πνεῖ γὰρ ὅπου θέλει, καὶ ἐφ' οὓς βούλεται, καὶ ἡνίκα, καὶ ὅσον. οὕτως ἡμεῖς καὶ νοεῖν καὶ λέγειν ἐμπνεόμεθα περὶ τοῦ πνεύματος. τὸ πνεῦμα τὸ ἅγιον, οἱ μὲν εἰς κτίσμα κατάγοντες, ὑβρισταὶ, καὶ δοῦλοι κακοὶ, καὶ κακῶν κάκιστοι. δούλων γὰρ κακῶν ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. οἱ δὲ θεὸν νομίζοντες, ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. οἱ δὲ καὶ ὀνομάζοντες, εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοὶ. πηλῷ μαργαρίτην πιστεύοντες, καὶ ἀκοῇ σαθρᾷ, βροντῆς ἦχον. καὶ ὀφθαλμοῖς ἀσθενέσιν ἥλιον, καὶ τροφὴν στερεὰν, τοῖς ἔτι γάλακτι τρεφομένοις. δέον κατὰ μικρὸν προσάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν, καὶ προσβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους, καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν. διὸ καὶ ἡμεῖς τὸν τελεώτερον τέως ἀφέντες λόγον, οὔπω γὰρ καιρὸς, οὕτως αὐτοῖς διαλεξόμεθα. εἰ μὲν οὐκ ἄκτιστον ὦ οὗτοι ὁμολογεῖτε τὸ πνεῦμα τὸ ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια. σύγγνωτε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῶσι μικρόν. εἰ δὲ τοσοῦτόν γ' οὖν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φυγεῖν ἀσέβειαν, καὶ τῆς δουλείας ἔξω θεῖναι τὸ καὶ ὑμᾶς ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε μετὰ τοῦ ἁγίου πνεύματος καὶ ἡμῶν. πείθομαι γάρ πως τούτου μετέχειν ὑμᾶς, καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι. ἢ δότε μοι τὸ μέσον δουλείας καὶ δεσποτείας, ἵν' ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ πνεύματος, ἢ τὴν δουλείαν φεύγοντες, οὐκ ἄδηλον ὅποι τάξετε τὸ ζητούμενον, ἀλλὰ

τοὺς συλ-

ταῖς συλλαβαῖς διαφωνεῖτε, καὶ περιπταίετε τῇ φωνῇ. καὶ λίθος προσκόμματος ὑμῖν τοῦτο γίνεται καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ Χριστὸς ποιεῖ ἀνθρώπινον τὸ πάθος. συμβῶμεν ἀλλήλοις πνευματικῶς. γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι. δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν τῆς φωνῆς τὴν συγχώρησιν. ὁμολογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς, αἷς αἰδεῖσθε μᾶλλον, καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν. ἐνταῦθα καὶ τὴν πρὸς ἡδονὴν παρακλέψαντες. αἰσχρὸν μὲν γὰρ αἰσχρόν, καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐρρωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον, ὃ κρύπτειν τὸν θησαυρόν, ὥσπερ ἄλλοις βασκαίνοντας, ἢ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότας. αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν πάσχειν, καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα. μιᾶς θεότητος ὦ οὗτοι τὴν τριάδα ὁμολογήσατε· εἰ δὲ βούλεσθε μιᾶς φύσεως, καὶ τὴν θεὸς φωνὴν παρὰ τοῦ πνεύματος ὑμῖν αἰτήσομεν. δώσει γὰρ εὖ οἶδα, ὁ τὸ πρότερον δοὺς καὶ τὸ δεύτερον. καὶ μάλιστα, εἰ δειλία τις εἴη πνευματική, μὴ ἔνστασις διαβολικὴ τὸ μαχόμενον, ἵνα σαφέστερον εἴπω καὶ συντομώτερον. μήτε ἡμᾶς εὐθύνητε τῆς ὑψηλοτέρας φωνῆς. φθόνος γὰρ οὐδεὶς ἀναβάσεως. οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ὑμῖν ἐγκαλέσομεν, ἕως ἂν καὶ δι᾽ ἄλλης ὁδοῦ πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφούς, ὧν περὶ χωρισμοῦ σπαρασσόμεθα. ταῦτα ὑμῖν παρ᾽ οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν. τοῖς περὶ τὸν υἱὸν ὑγιαίνουσιν, ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν τὸν λόγον. οἱ τὰ τοῦ πνεύματος ἔχοντες, καὶ τὸ πνεῦμα προσλάβετε, ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως. ἐξ οὗ καὶ ὁ στέφανος οὗτος ὑμῖν ἂν δοθείη τῆς πολιτείας μισθὸς ὁμολογῆσαι τὸ πνεῦμα τελέως, καὶ κηρύξαι σὺν ἡμῖν τε καὶ πρὸ ἡμῶν ὅσον ἄξιον. τολμῶ τι καὶ μεῖζον ὑπὲρ ὑμῶν, τὸ τοῦ ἀποστόλου φθέγξασθαι. τοσοῦτον ὑμῶν περιέχομαι, καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύτην στολήν, καὶ τὸ χρῶμα τῆς ἐγκρατείας, καὶ τὰ ἱερὰ ταῦτα συστήματα, καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν, καὶ τὴν παννύχιον ψαλμῳδίαν, καὶ τὸ φιλόπτωχον, καὶ φιλάδελφον, καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, καὶ παθεῖν τι ὡς κατάκριτος δέχομαι μόνον εἰ σταίητε μεθ᾽ ἡμῶν, καὶ κοινῇ τὴν τριάδα δοξάσαιμεν. περὶ γὰρ τῶν ἄλλων τί χρὴ καὶ λέγειν σαφῶς τεθνηκότων, οὓς Χριστοῦ μόνου ἐγεῖραι τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς κατὰ τὴν αὐτοῦ δύναμιν; οἳ κακῶς τῷ τόπῳ χωρίζονται, τῷ λόγῳ συνδεδεμένοι. καὶ τοσοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι τὸ ἓν βλέποντες, καὶ οὐ τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες. εἴ γε καὶ διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλωσιν. ἐπεὶ δὲ μετρίως ἐδήλωσα τὰ πρὸς ὑμᾶς, φέρε καὶ πρὸς τὸ πνεῦμα πάλιν ἐπανέλθωμεν. οἶμαι δὲ καὶ ὑμεῖς ἤδη συνέψεσθε. τὸ πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται. οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεὶ πατρὶ καὶ υἱῷ συντεταγμένον καὶ συναριθμούμενον. οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ υἱὸν πατρί, ἢ πνεῦμα υἱῷ. τῷ μεγίστῳ γὰρ ἂν ἦν ἄδοξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. ἦν οὖν ἀεὶ μεταληπτόν, οὐ μεταληπτικόν· τελειοῦν, οὐ τελειούμενον· πληροῦν, οὐ πληρούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον· θεοῦν, οὐ θεούμενον. αὐτὸ ἑαυτῷ ταυτὸν ἀεί, καὶ οἷς συντέτακται. ἀόρατον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφές, αὐτοκίνητον, ἀεικίνητον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον, εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ τοῦ μονογενοῦς ἅπαντα, οὕτω δὲ καὶ τὰ τοῦ πνεύματος ἀναπέμπεται. ζωή, καὶ ζωοποιόν. φῶς, καὶ χορηγὸν φωτός. αὐτοάγαθον, καὶ πηγὴ ἀγαθότητος. πνεῦμα εὐθές, ἡγεμονικόν, κύριον, ἀποστέλλον, ἀφορίζον ναοποιοῦν ἑαυτῷ. ὁδηγοῦν, ἐνεργοῦν ὡς βούλεται. διαιροῦν χαρίσματα, πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου, τῶν ἀπηριθμημένων. δι᾽ οὗ πατὴρ γινώσκεται, καὶ υἱὸς δοξάζεται. καὶ παρ᾽ ὧν μόνων γινώσκεται μία σύνταξις, λατρεία μία, προσκύνησις, δύναμις, τελειότης, ἁγιασμός. τί μοι μακρολογεῖν; πάντα ὅσα ὁ πατὴρ τοῦ υἱοῦ, πλὴν τῆς ἀγεννησίας. πάντα ὅσα ὁ υἱός, τοῦ πνεύματος πλὴν τῆς γεννήσεως. ταῦτα δὲ οὐκ οὐσίαν ἀφορίζει κατά γε τὸν ἐμὸν λόγον. περὶ οὐσίαν δὲ ἀφορίζεται. ὠδίνεις τὰς ἀποδείξεις, ἐγὼ δὲ τοῦ λόγου τὸν δρόμον. τίμησον τὴν ἡμέραν τοῦ πνεύματος. ἐπίσχες μικρὸν τὴν γλῶτταν, εἰ δύνασαι. περὶ ἄλλων γλωσσῶν ὁ λόγος, ταύτας αἰδέσθητι ἢ φοβήθητι μετὰ πυρὸς ὁρωμένας. σήμερον δογματίσωμεν, αὔριον τεχνολογήσωμεν. σήμερον ἑορτάσωμεν, αὔριον ἀσχημονήσωμεν. ταῦτα μυστικῶς, ἐκεῖνα θεατρικῶς. ταῦτα ταῖς ἐκκλησίαις, ἐκεῖνα ταῖς ἀγοραῖς. ταῦτα τοῖς νήφουσιν, ἐκεῖνα τοῖς μεθύουσι. ταῦτα σπουδαζόντων, ἐκεῖνα παιζόντων κατὰ τοῦ πνεύματος. ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον, φέρε καταρτύσωμεν τὸ ἡμέτερον. τοῦτο ἐνήργει, πρότερον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίοις δυνάμεσι, καὶ ὅσαι πρῶται μετὰ θεὸν καὶ περὶ θεόν. οὐ γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις καὶ ἡ ἔλλαμψις, καὶ τὸ πρὸς κακίαν δυσκίνητον ἢ ἀκίνητον,

ἢ περὶ

ὑπὸ τοῦ ἁγίου πνεύματος. ἔπειτα ἐν τοῖς πατράσι, καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐφαντάσθησαν θεὸν ἢ ἔγνωσαν. οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν, τυπούμενοι τῷ πνεύματι τὸ ἡγεμονικὸν, καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος δύναμις, ἔπειτα ἐν τοῖς χριστοῦ μαθηταῖς. ἐῶ γὰρ χριστὸν εἰπεῖν, ᾧ παρῆν. οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς ὁμότιμον συμπαρομαρτοῦν, καὶ τούτοις τρισσῶς, καθ' ὅσον οἷοί τε ἦσαν χωρεῖν, καὶ κατὰ καιροὺς τρεῖς, πρὶν δοξασθῆναι χριστὸν τῷ πάθει, μετὰ τὸ δοξασθῆναι τῇ ἀναστάσει, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν, ἢ ἀποκατάστασιν, ἢ ὅ, τι χρὴ λέγειν. δηλοῖ δὲ ἡ πρώτη, τῶν νόσων καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ πνεύματος δηλαδὴ γινομένη, καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα σαφῶς ὂν ἔμπνευσις θειοτέρα, καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν. ὃ καὶ πανηγυρίζομεν, ἀλλὰ τὸ μὲν πρῶτον ἀμυδρῶς, τὸ δὲ δεύτερον ἐκτυπώτερον, τὸ δὲ νῦν τελεώτερον, οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς πρότερον. οὐσιωδῶς δὲ ὡς ἂν εἴποι τις συγγινόμενόν τε καὶ συμπολιτευόμενον. ἔπρεπε γὰρ υἱοῦ σωματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σωματικῶς. καὶ χριστοῦ πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν. ἐρχόμενον μὲν ὡς κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. αἱ γὰρ τοιαῦται φωναὶ, οὐχ ἧττον τὴν ὁμόνοιαν δηλοῦσιν, ἢ φύσιν χωρίζουσιν. διὰ τοῦτο μετὰ χριστὸν μὲν, ἵνα παράκλητος ἡμῖν μὴ λείπῃ, ἄλλος δὲ ἵνα σὺ τὴν ὁμοτιμίαν ἐνθυμηθῇς. τὸ γὰρ ἄλλος, ἄλλος ἐγὼ, καθίσταται. τοῦτο δὲ συνδιαστολῆς, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. τὸ γὰρ ἄλλος, οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμοουσίων οἶδα λεγόμενον. ἐν γλώσσαις δὲ διὰ τὴν πρὸς τὸν λόγον οἰκείωσιν. πυρίναις δὲ ζητῶ πότερον διὰ τὴν κάθαρσιν. οἶδε γὰρ ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πολλαχόθεν βουλομένοις ὑπάρχει μαθεῖν, ἢ διὰ τὴν οὐσίαν. πῦρ γὰρ ὁ θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν. κἂν πάλιν ἀγανακτῇς τῷ ὁμοουσίῳ στενοχωρούμενος, μεριζομέναις δὲ διὰ τὸ τῶν χαρισμάτων διάφορον, καθεζομέναις δὲ διὰ τὸ βασιλικὸν, καὶ τὴν ἐν τοῖς ἁγίοις ἀνάπαυσιν. ἐπεὶ καὶ θεοῦ θρόνος τὰ χερουβίμ. ἐν ὑπερῴῳ δὲ, εἰ μή τῳ περιεργότερος εἶναι δοκῶ τοῦ δέοντος, διὰ τὴν ἀνάβασιν τῶν δεξομένων, καὶ τὴν χαμόθεν ἐπάρσιν. ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζεται, δι' ὧν ὑμνεῖται θεός. καὶ Ἰησοῦς αὐτὸς ἐν ὑπερῴῳ τοῦ μυστηρίου κοινωνεῖ, τοῖς τὰ ὑψηλότερα τελουμένοις, ἵνα ἐκεῖνο παραδειχθῇ. ὅτι τὸ μέν τι καταβῆναι δεῖ θεὸν πρὸς ἡμᾶς, ὃ καὶ πρότερον ἐπὶ Μωϋσέως οἶδα γινόμενον. τὸ δὲ ἡμᾶς ἀναβῆναι, καὶ οὕτω γενέσθαι κοινωνίαν θεοῦ πρὸς ἀνθρώπους, τῆς ἀξίας συγκιρναμένης. ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν ὑψηλότητος, τὸ δὲ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης, καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον. καὶ χάσμα ἐν μέσῳ μέγα, καὶ ἀδιάβατον οὐ τὸν πλούσιον τοῦ Λαζάρου μόνον, καὶ τῶν ὀρεκτῶν Ἀβραὰμ κόλπων διεῖργον, τὴν δὲ γενητὴν φύσιν, καὶ ῥέουσαν τῆς ἀγενήτου καὶ ἑστηκυίας. τοῦτο ἐκηρύχθη μὲν ὑπὸ προφητῶν, ὡς ἐν τῷ, πνεῦμα κυρίου ἐπ' ἐμὲ, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα, καὶ κατέβη πνεῦμα κυρίου, καὶ ὡδήγησεν αὐτούς. καὶ πνεῦμα ἐπιστήμης ἐμπλῆσαν Βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς, καὶ πνεῦμα παροξυνόμενον, καὶ πνεῦμα ἐξᾶραν Ἠλίαν ἐν ἅρματι, καὶ ζητηθὲν παρὰ Ἐλισαίου διπλάσιον. καὶ πνεύματι ἀγαθῷ καὶ ἡγεμονικῷ Δαβὶδ ὁδηγούμενός τε καὶ στηριζόμενος. ἐπηγγέλθη δὲ ὑπὸ μὲν Ἰωὴλ προτέροις, καὶ ἔσται ταῖς ἐσχάταις ἡμέραις λέγοντος· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, δηλαδὴ τὴν πιστεύσασαν, καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν. καὶ τὰ ἑξῆς. ὑπὸ δὲ Ἰησοῦ καὶ ὕστερον δοξαζομένου τε καὶ ἀντιδοξάζοντος, ὡς τὸν πατέρα, καὶ ὑπὸ τοῦ πατρός. καὶ ἡ ἐπαγγελία ὡς δαψιλὴς, συνδιαιωνίσειν καὶ συμπαραμενεῖν, εἴτε τὸ νῦν τοῖς κατὰ καιρὸν ἀξίοις, εἴτε ὕστερον τοῖς τῶν ἐκεῖσε ἀξιουμένοις. ὅταν ὁλόκληρον αὐτὸ τῇ πολιτείᾳ φυλάξωμεν, ἀλλὰ μὴ τοσοῦτον ἀποβάλλωμεν, καθ' ὅσον ἂν ἁμαρτάνωμεν. τοῦτο τὸ πνεῦμα συνδημιουργεῖ μὲν υἱῷ καὶ τὴν κτίσιν, καὶ τὴν ἀνάστασιν. καὶ πειθέτωσε τὸ, λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. πνεῦμά τε θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. καὶ πάλιν, ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, δημιουργεῖ τὴν πνευματικὴν ἀναγέννησιν. καὶ πειθέτωσε τὸ, μηδένα δύνασθαι τὴν βασιλείαν ἰδεῖν ἢ λαβεῖν, ὅς τις μὴ ἄνωθεν ἐγεννήθη πνεύματι, καὶ τὴν προτέραν ἐκκαθαρθείη γέννησιν, ἣ νυκτός ἐστι μυστήριον, ἡμερινῇ καὶ φωτεινῇ διαπλάσει, ἣν καθ' ἑαυτὸν ἕκαστος διαπλάττεται, τοῦτο τὸ πνεῦμα. σοφώτατον γὰρ, καὶ φιλανθρωπότατον, ἂν ποιμένα λάβῃ, ψάλτην ποιεῖ, πνεύματα πονηρῶν κατεπᾴδοντα, καὶ βασιλέα τοῦ Ἰσραὴλ ἀναδείκνυσιν. ἐὰν αἰπόλον συκάμινα κνίζοντα, προφήτην ἐργάζεται. τὸν Δαβὶδ καὶ τὸν Ἀμὼς ἐνθυμήθητι. ἐὰν μειράκιον εὐφυὲς λάβῃ, πρεσβυτέρων ποιεῖ κριτὴν καὶ τὴν ἡλικίαν. μαρτυρεῖ Δανιὴλ ὁ νικήσας ἐν λάκκῳ λέοντας. ἐὰν ἁλιέας εὕρῃ, σαγηνεύει χριστῷ κόσμον ὅλον τῇ τοῦ λόγου πλοκῇ συλλαμβάνοντας. Πέτρον λάβε μοι, καὶ Ἀνδρέαν,

καὶ τοὺς υἱοὺς τῆς βροντῆς, τὰ πνευματικὰ βροντήσαντας. καὶ τελώνας εἰς μαθητείαν κερδαίνει, καὶ ψυχῶν ἐμπόρους δημιουργεῖ. φησὶ Ματθαῖος ὁ χθὲς τελώνης, καὶ σήμερον εὐαγγελιστής. καὶ διώκτας θερμοὺς, τὸν ζῆλον μεταπίθησι. καὶ ποιεῖ Παύλους ἀντὶ Σαύλων, καὶ τοσοῦτον εἰς εὐσέβειαν, ὅσον εἰς κακίαν κατέλαβε. τοῦτο καὶ πνεῦμά ἐστι πραότητος, καὶ παροξύνεται τοῖς ἁμαρτάνουσι. τοιγαροῦν πειραθῶμεν ὡς πρᾶον, καὶ μὴ ὀργίλον τὴν ἀξίαν ὁμολογούντων, καὶ τὴν βλασφημίαν φευγόντων. καὶ μὴ βουληθῶμεν ἰδεῖν ὀργιζόμενον ἀσυγχώρητα. τοῦτο κἀμὲ ποιεῖ σήμερον ὑμῖν τολμηρὸν κήρυκα. εἰ μὲν οὐδὲν πεισόμενον, τῷ θεῷ χάρις· εἰ δὲ πεισόμενον, καὶ οὕτω χάρις. τὸ μὲν ἵνα φείσηται τῶν μισούντων ὑμᾶς· τὸ δὲ ἵν' ἡμᾶς ἁγιάσῃ μισθὸν τοῦτο λαβόντας τῆς ἱερουργίας τοῦ εὐαγγελίου, τὸ τελειωθῆναι δι' αἵματος. ἐλάλουν μὲν οὖν ξέναις γλώσσαις, καὶ οὐ πατρίοις, καὶ τὸ θαῦμα μέγα. λόγος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος, καὶ τὸ σημεῖον τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν. ἵν' ᾖ τῶν ἀπίστων κατήγορον, καθὼς γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος. ἤκουον δὲ· μικρὸν ἐνταῦθα ἐπίσχες καὶ διαπόρησον. πῶς διαιρέσεις τὸν λόγον. ἔχει γάρ τι ἀμφίβολον ἡ λέξις τῇ στιγμῇ διαιρουμένοις. ἆρα γὰρ ἤκουον ταῖς ἑαυτῶν διαλέκτοις ἕκαστοι, ὡς φέρε εἰπεῖν, μίαν μὲν ἐξηχεῖσθαι φωνὴν, πολλὰς δὲ ἀκούεσθαι, οὕτω κτυπουμένου τοῦ ἀέρος. καὶ ἵν' εἴπω σαφέστερον, τῆς φωνῆς φωνῶν γινομένων; ἢ τὸ μὲν ἤκουον ἀναπαυστέον, τὸ δὲ λαλούντων ταῖς ἰδίαις φωναῖς, τῷ ἑξῆς προσθετέον. ἵν' ᾖ λαλούντων φωναῖς, ταῖς ἰδίαις τῶν ἀκουόντων, ὅπερ γίνεται ἀλλοτρίαις. καθὰ καὶ μᾶλλον τίθεμαι. ἐκείνως μὲν γὰρ τῶν ἀκουόντων ἂν εἴη μᾶλλον, ἢ τῶν λεγόντων τὸ θαῦμα, οὕτω δὲ τῶν λεγόντων, οἳ καὶ μέθην καταγινώσκονται. δῆλον ὡς αὐτοὶ θαυματουργοῦντες περὶ τὰς φωνὰς τῷ πνεύματι. ἐπαινετὴ μὲν καὶ ἡ παλαιὰ διαίρεσις τῶν φωνῶν, ἡνίκα τὸν πύργον ᾠκοδόμουν οἱ κακῶς καὶ ἀθέως ὁμοφωνοῦντες. ὥσπερ καὶ τῶν νῦν τολμῶσί τινες. τῇ γὰρ τῆς φωνῆς διαστάσει συνδιαλυθὲν τὸ ὁμόγνωμον, τὴν ἐγχείρησιν ἔλυσεν. ἀξιεπαινετωτέρα δὲ ἡ νῦν θαυματουργουμένη. ἀπὸ γὰρ ἑνὸς πνεύματος εἰς πολλοὺς χυθεῖσα, εἰς μίαν ἁρμονίαν πάλιν συνάγεται. καὶ ἔστι διαφορὰ χαρισμάτων ἄλλου δεομένη χαρίσματος, πρὸς διάκρισιν τῆς βελτίονος. ἐπειδὴ πᾶσαι τὸ ἐπαινετὸν ἔχουσι. καλῶς δ' ἂν κἀκείνη λέγοιτο περὶ ἧς Δαβὶδ λέγει, καταπόντισον κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν. διὰ τί; ὅτι ἠγάπησαν πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. μονονοὺ φανερῶς τὰς ἐνταῦθα γλώσσας καταιτιώμενος, αἳ θεότητα τέμνουσι. ταῦτα μὲν οὖν ἄχρι τούτου. ἐπεὶ δὲ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εὐλαβεστάτοις Ἰουδαίοις, Πάρθοις, καὶ Μήδοις, καὶ Ἐλαμίταις, Αἰγυπτίοις, καὶ Λίβυσι, Κρησί τε, καὶ Ἄραψι, Μεσοποταμίταις τε, καὶ τοῖς ἐμοῖς Καππαδόκαις ἐλάλουν αἱ γλῶσσαι, καὶ τοῖς ἐκ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν, Ἰουδαίοις εἴτω φίλον οὕτω νοεῖν ἐκεῖσε συνειλεγμένοις, ἄξιον ἰδεῖν τίνες ἦσαν οὗτοι, καὶ τῆς ποίας αἰχμαλωσίας. ἡ μὲν γὰρ εἰς Αἰγυπτίους καὶ Βαβυλῶνα, περιγεγραπτός τε ἦν, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. ἡ δὲ ὑπὸ Ῥωμαίων, οὔπω γεγένητο, ἔμελλε δὲ, ἀντέκτισις οὖσα τῆς κατὰ τὸν σταυρὸν θρασύτητος. λείπεται δὴ τὴν ἐπ' Ἀντιόχου ταύτην ὑπολαμβάνειν, οὐ πολὺ τούτων οὖσαν τῶν ἐτῶν πρεσβυτέραν. εἰ δέ τις ταύτην μὲν οὐ προσίεται τὴν ἐξήγησιν ὡς περιεργοτέραν. οὔτε γὰρ παλαιὰν εἶναι τὴν αἰχμαλωσίαν, οὔτ' ἐπὶ πολὺ τῆς οἰκουμένης χυθεῖσαν, ζητεῖ δὲ τὴν πιθανωτέραν, ἐκεῖνο ἴσως ὑπολαβεῖν ἄμεινον. ὅτι πολλάκις καὶ ὑπὸ πλειόνων τοῦ ἔθνους μετανασταθέντος, ὡς τῷ Ἔσδρᾳ ἱστόρηται, αἱ μὲν τῶν φυλῶν ἀνεσώθησαν, αἱ δὲ ὑπελείφθησαν. ὧν εἰκὸς διασπαρεισῶν εἰς ἔθνη πλείονα, τηνικαῦτα παρεῖναί τινας, καὶ μετέχειν τοῦ θαύματος. καὶ ταῦτα προεξήτασται τοῖς φιλομαθέσιν. ἴσως οὐ περιέργως, καὶ ὅτι ἂν συμφέρῃ τις εἰς τὴν παροῦσαν ἡμέραν, καὶ ἡμῖν τοῦτο ἔσται συνειλοχώς. ἡμῖν δὲ τὸν μὲν σύλλογον ἤδη διαλυτέον. ἱκανὸς γὰρ ὁ λόγος. τὴν δὲ πανήγυριν οὐδέποτε, ἀλλ' ἑορταστέον. νῦν μὲν καὶ σωματικῶς, μικρὸν δὲ ὕστερον ὅλον πνευματικῶς. οὗ δὴ καὶ τοὺς λόγους τούτους εἰσόμεθα καθαρώτερον καὶ σαφέστερον, ἐν αὐτῷ τῷ λόγῳ, καὶ θεῷ, καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῇ ἀληθινῇ τῶν σωζομένων ἑορτῇ, καὶ ἀγαλλιάσει, μεθ' οὗ ἡ δόξα καὶ τὸ σέβας τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ, ΚΑΙ ΕΙΣ ΤΟ ἔαρ, καὶ εἰς τὸν μάρτυρα Μάμαντα.

Γκαίνια τιμᾶσθαι, παλαιὸς νόμος, καὶ καλῶς ἔχων, μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι' ἐγκαινίων. καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ἑκάστης τῆς ἐνιαυτοῦ περιτροπῆς τὴν αὐτὴν ἡμέραν ἐπαγούσης, ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται τὰ καλά, μηδὲ παραῤῥυῇ λήθης βυθοῖς ἀμαυρούμενα. ἐγκαινίζονται μὲν πρὸς Θεὸν νῆσοι κατὰ Ἡσαΐαν, ὥσπερ ἀνέγνωμεν. ἅς τινας δὴ τὰς νήσους ταύτας ὑποληπτέον. οἶμαι δὲ τὰς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας ἄρτι καθισταμένας, καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακυπτούσας, καὶ πῆξιν λαμβανούσας τῷ Θεῷ βάσιμον. ἐγκαινίζεται δὲ τεῖχος χαλκοῦν παρ' ἄλλῳ προφήτῃ. οἶμαι δὲ ψυχὴ στεῤῥὰ καὶ χρυσοειδὴς καὶ ἄρτι παγεῖσα εἰς εὐσέβειαν. ᾄδειν δὲ τῷ Κυρίῳ ᾆσμα καινὸν κελευόμεθα, εἴτε εἰς Βαβυλῶνα, καὶ τὴν πονηρὰν σύγχυσιν κατασυρέντας ὑπὸ τῆς ἁμαρτίας. ἔπειτα πρὸς τὴν Ἱερουσαλὴμ ἀναβαίνοντας, κἀκεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδὴν ὡς ἐπὶ γῆς ἀλλοτρίας. ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι, εἴτε οἱ μένοντες ἐν τῷ καλῷ, καὶ προκόπτοντες. καὶ τῶν μὲν κατωρθωκότων ἤδη, τὸ δὲ κατορθούντων περὶ τοῦ καινοποιοῦ πνεύματος. ἐγκαινίζεται δὲ ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ λίαν πολυτελῶς, ἣν Θεὸς παρέδειξε, καὶ Βεσελεὴλ ἐτελείωσε, καὶ Μωσῆς ἐπήξατο. ἐγκαινίζεται δὲ ἡ βασιλεία Δαβίδ, καὶ οὐχ ἅπαξ, ἀλλὰ χριομένου τὸ πρότερον, καὶ ἀναγορευομένου τὸ δεύτερον. ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις. χειμὼν ἦν ὁ τῆς ἀπιστίας, καὶ Ἰησοῦς παρῆν ὁ Θεὸς καὶ ναός, ναὸς πρόσφατος, ὁ ἀνθημερὸν λυόμενος, καὶ τριήμερος ἀνιστάμενος, καὶ μένων εἰς τοὺς αἰῶνας. ἵν' ἐγὼ σωθῶ, καὶ τοῦ παλαιοῦ πτώματος ἀνακληθῶ, καὶ γένωμαι καινὴ κτίσις, διὰ τῆς τοιαύτης φιλανθρωπίας ἀναπλαττόμενος. ἐπιζητεῖ δὲ ὁ θεῖος Δαβὶδ καρδίαν καθαρὰν ἐν ἑαυτῷ κτιζομένην, καὶ πνεῦμα εὐθὲς τοῖς ἐγκάτοις ἐγκαινιζόμενον. οὐχ ὡς οὐκ ἔχων. τίς γὰρ εἰ μὴ Δαβὶδ ὁ τοσοῦτος; ἀλλ' ὡς καινὸν γινώσκων τὸ νῦν ἀεὶ προστιθέμενον. καὶ τί δεῖ μοι πλειόνων ἐγκαινίων; ἐν ὃν τὰ παρόντα γνωρίσαι, καὶ ἃ σήμερον πανηγυρίζομεν, τῇ ζωῇ μετὰ θάνατον πλησιασθέντες. ἐγκαίνια ἐγκαίνια ἡ πανήγυρις ἀδελφοί. λεγέσθω γὰρ πολλάκις ὑφ' ἡδονῆς, καὶ τίνα ταῦτα; οἱ μὲν εἰδότες διδάξατε, οἱ δὲ ἀγνοοῦντες τὴν ἀκοὴν ἐγκαινίζεσθε. φῶς ἦν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Θεός, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, οὔτε μετρούμενον, ἀειλαμπές, τριλαμπές. ὀλίγοις τοῦτο ἐστὶ θεωρούμενον. οἶμαι δὲ οὐδὲ ὀλίγοις, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα. αἱ περὶ αὐτὸν δυνάμεις, καὶ τὰ λειτουργικὰ πνεύματα, τὸ δὲ παρ' ἡμῖν τοῦτο φῶς οὐχ ὕστερον ἤρξατο μόνον, ἀλλὰ καὶ νυκτὶ τέμνεται, καὶ τέμνει νύκτα ἰσομοιρεῖ. ὄψει πιστευθέν, καὶ ἀέρι χυθέν, καὶ λαμβάνον ὃ δίδωσιν. ὁρᾶν τε γὰρ ὄψει παρέχει, καὶ πρῶτον ὁρᾶται παρὰ τῆς ὄψεως, καὶ τοῖς ὁρατοῖς περιῤῥέον, παῤῥησίαν χαρίζεται. βουληθεὶς γὰρ ὁ Θεὸς τὸν δὲ τὸν κόσμον συστήσασθαι, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα, τὸν μέγαν καὶ θαυμαστὸν τῆς μεγαλειότητος αὐτοῦ κήρυκα, τοῖς μὲν ἀϊδίοις αὐτὸς ἐστὶ φῶς καὶ οὐκ ἄλλο. τί γὰρ ἔδει φωτὸς δευτέρου, τοῖς τὸ μέγιστον ἔχουσι; τοῖς κάτω δὲ καὶ περὶ ἡμᾶς, πρῶτον ἐκλάμπει τὴν τοῦ φωτὸς τούτου δύναμιν. καὶ γὰρ ἔπρεπε τῷ μεγάλῳ φωτί, τῆς δημιουργίας ἐκ φωτὸς ἄρξασθαι. ὃ λύει τὸ σκότος καὶ τὴν ἐπέχουσαν τέως ἀκοσμίαν καὶ ἀταξίαν. καὶ τοῦτο οὐκ ὀργανικὸν ἀπ' ἀρχῆς ἀναδείξας, οὐδὲ ἡλιακόν, ὡς ὁ ἡμὸς λόγος· ἀλλ' ἀσώματον, καὶ ἀνήλιον. ἔπειτα δὲ καὶ ἡλίῳ δοθέν, καταφωτίζειν πᾶσαν τὴν οἰκουμένην. ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋποστήσας, εἰδοποίησεν ὕστερον, ἑκάστῳ τάξιν καὶ σχῆμα καὶ μέγεθος περιθείς, ἵνα θαυματουργήσῃ τὸ μεῖζον, οὕτω καὶ ἐνταῦθα τὸ εἶδος τῆς ὕλης προϋπεστήσατο. εἶδος γὰρ ἡλίου τὸ φῶς, μετὰ δὲ τοῦτο τὴν ὕλην ἐπάγει, τὸν ὀφθαλμὸν τῆς ἡμέρας δημιουργήσας τοῦτον τὸν ἥλιον. οὕτω τὶ πρῶτον ἐν ἡμέραις ἀριθμεῖται. καὶ δευτέροις, καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἄχρι τῆς ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας, αἷς καταμερίζεται τὰ γινόμενα, λόγοις ἀῤῥήτοις ταττόμενα, καὶ οὐκ ἀθρόως ἀναδιδόμενα τῷ πάντα δυνατῷ λόγῳ, καὶ ᾧ τὸ νοῆσαι μόνον, ἢ εἰπεῖν, ἔργον ἐστὶ παριστάμενον. εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν. ἔδει γὰρ ὥσπερ βασιλεῖ προϋποστῆναι τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα, πᾶσιν ἤδη δορυφορούμενον. εἰ μὲν οὖν ἐμείναμεν ὅπερ ἦμεν, καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν, τῷ ξύλῳ τῆς ζωῆς προσελθόντες, μετὰ τὸ ξύλον τῆς γνώσεως. καὶ τί γενόμενοι; ἀπαθανατισθέντες καὶ Θεῷ πλησιασθέντες. ἐπεὶ δὲ φθόνῳ τοῦ πονηροῦ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε, καὶ ὑφεῖλε διὰ τῆς ἀπάτης τὸν ἄνθρωπον, διὰ τοῦτο τῷ ἡμετέρῳ πάθει πάσχει Θεὸς γενόμενος ἄνθρωπος, καὶ πτωχεύει τὸ σὰρξ παγῆναι, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτίσωμεν. ἐντεῦθεν θάνατος, καὶ ταφή, καὶ ἀνάστασις. ἐντεῦθεν ἡ καινὴ

κτίσις καὶ μεθέορτος ἑορτή. καὶ πάλιν ἐγὼ πανηγυριστής, ἐγκαινίζων τὴν ἐμαυτοῦ σωτηρίαν. τί οὖν φησιν; οὐχ ἡ πρώτη κυριακὴ τὸ ἐγκαίνιον ἦν, ἡ μετὰ τὴν ἱερὰν νύκτα καὶ δᾳδουχίαν. ἀλλὰ τῇ σήμερον τοῦτο δίδως ὦ φιλέορτε σύ, καὶ πολλὰς ἐπινοεῖς φαιδρότητας. ἐκείνη τὸ σωτήριον ἦν, αὕτη τὸ τῆς σωτηρίας γενέθλιον. κἀκείνη μὲν ἐστὶ μεθόριον τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως, αὕτη δὲ καθαρῶς τῆς δευτέρας γενέσεως. ἵν' ὥσπερ ἡ πρώτη κτίσις τὴν ἀρχὴν ἀπὸ κυριακῆς λαμβάνει, δῆλον δέ· ἀπὸ γὰρ ταύτης ἑβδόμη τὸ σάββατον γίνεται κατάπαυσιν φέρουσα τῶν ἔργων, οὕτω καὶ ἡ δευτέρα πάλιν ἐκ τῆς αὐτῆς ἄρχηται, πρώτη οὖσα τῶν μετ' αὐτήν, καὶ ὀγδόη τῶν πρὸ αὐτῆς, ὑψηλῆς ὑψηλοτέρα, καὶ θαυμασίας θαυμασιωτέρα. πρὸς γὰρ τὴν ἄνω φέρει κατάστασιν, ἣν καὶ ὁ θεῖος Σολομὼν αἰνίττεσθαί μοι δοκεῖ, διδόναι μερίδα τοῖς ἑπτὰ τῷ βίῳ τούτῳ νομοθετῶν. καί γε τοῖς ὀκτώ, τῷ μέλλοντι, ἐκ τῆς ἐντεῦθεν εὐπραγίας, καὶ τῆς ἐκεῖθεν ἀποκαταστάσεως. ἀλλὰ καὶ ὁ μέγας Δαβὶδ τῇ αὐτῇ προσᾴδειν ἔοικε τοὺς ὑπὲρ τῆς ὀγδόης ψαλμούς. ὥσπερ καὶ τῇ τῶν ἐγκαινίων ἡμέρᾳ ταύτῃ ψαλμὸν ἕτερον, οἴκου τινὰ ἐγκαινισμὸν ὀνομάζων, ὅς τις ἐσμὲν ἡμεῖς. οἱ θεοῦ ναὸς εἶναί τε καὶ ἀκούειν ἠξιωμένοι καὶ γίνεσθαι. ἔχετε τῶν ἐγκαινίων τὸν λόγον. ἀλλ' ἐγκαινίζεσθε, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀπορρίψαντες, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες ἐξ ὧν ὁ θάνατος. πάντα τὰ μέλη παιδαγωγήσατε. πᾶσαν τὴν πικρὰν τοῦ ξύλου βρῶσιν μισήσατε, ἢ μάλιστα, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τὴν παλαιὰν ὠδῖνα φύγωμεν. ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός. φύγωμεν τὰς εὐχροίας, εἰς ἡμᾶς αὐτοὺς βλέπωμεν. μή σε νικησάτω κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῇς τοῖς βλεφάροις. εἰ δυνατὸν μέχρι καὶ προοράματος, τὴν ὄψιν ἐνθυμηθείς. τὸ ἡλικὸν δέλεαρ, τὸ τιμώμενον φάρμακον. πῶς γὰρ σώσει ῥᾳδίως ἡ ἀλλοτρία, ὃν ἀπώλεσεν ἡ ἰδία. μὴ ἐλυκάνθη τῷ σοι φάρυγξ, οὐ κατασύρεται πᾶν τὸ διδόμενον. καὶ πρὶν ληφθῆναι τιμώμενον, μετὰ τὸ λαβεῖν ἀτιμάζεται. ἡ ὄσφρησις ἐθήλυνέ σε, φεῦγε τὰς εὐωδίας· τῇ ἁφῇ κατεμαλακίσθης, ἀπόταξαι ταῖς λειότησι, καὶ ταῖς ἁπαλότησιν. ἡ ἀκοή ποτε ἔπεισέ σε, θὲς θύραν τοῖς ἀπατηλοῖς λόγοις καὶ πονηροῖς. ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ, ἵν' ἑλκύσῃς πνεῦμα. μὴ σπάσῃς θάνατον, ὅταν τί σε δελεάζῃ τῶν ἀπειρημένων. μὴ ἥσθη τι ὅς τις ἦς, καὶ ἔθου ἀπὸ χολᾶς. ἐὰν μικρόν τι τοῦ λόγου περικρατῇς, πρὸς ἑαυτὸν ἐπανάγου, πρὶν παντελῶς ἐξαπατεῖν, καὶ κατενεχθῆναι πρὸς θάνατον, καὶ γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια. ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι' ὃν ἐξέπεσες. τὸ ἐπιθυμητικὸν τετάσθω σοι πᾶν πρὸς θεόν, μὴ πρὸς ἄλλο τι τῶν ἐπιβούλων καὶ σφαλερῶν. ὁ λογισμὸς πᾶσιν ἐπιστατείτω, καὶ μὴ καθελκέσθω τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος. μὴ μισήσῃς σου τὸν ἀδελφόν, καὶ ταῦτα δωρεάν, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε, καὶ σὸς ἀδελφὸς ἐγένετο, θεὸς ὢν καὶ δεσπότης. μὴ φθονήσῃς τῷ κατορθοῦντί τι ὁ φθονηθείς, καὶ φθονεῖσθαι παθών, καὶ διὰ τοῦτο κατενεχθείς. μὴ ἀτιμάσῃς δάκρυον, ὁ πολλῶν ἄξια δακρύων πεπονθώς, εἶτα ἠλεημένος. μὴ ἀπώσῃ πένητα ὁ πλουτήσας θεότητα. εἰ δ' οὖν, ἀλλὰ μὴ πλουτήσῃς κατὰ τοῦ πένητος, καὶ τοῦτό γε πολὺ πάντων τῶν ἀχαρίστων. μὴ ἀτιμάσῃς ξένον ὑπὲρ οὗ Χριστὸς ἐξενιτεύσεν, οὗ πάντες ἡμεῖς ξένοι καὶ πάροικοι. μὴ ἀπεξενώθης τοῦ παραδείσου κακῶς τὸ πρότερον. μετάδος τῷ δεομένῳ στέγης, σκέπης, τροφῆς, ὁ τούτοις ἐντρυφῶν, καὶ ὑπὲρ τὴν χρείαν. μὴ ἀγαπήσῃς τὸν πλοῦτον, εἰ μὴ βοηθεῖ πένησιν. ἄφες ὁ ἀφεθείς. ἐλέησον ὁ ἠλεημένος, κτῆσαι τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον. ἕως καιρός, πᾶς ὁ βίος ἐγκαινιζέσθω σοι, πᾶσα πολιτείας ὁδός. αἱ ὑπὸ ζυγόν, δότε τι καὶ ἑαυτῷ. προσειλήφατε. αἱ παρθένοι, τὸ πᾶν θεῷ. λέλυσθε. μὴ γίνεσθε κλέπτριαι δ' ἄλλης ἡδονῆς, φυγοῦσαι τὴν ἐλευθερίαν. ἐκ τοῦ συνοικεῖν ἐν αἰδοῖ μέν, αἰδοῖ δ' ὅμως. οὐ δέχομαι κάμνειν ἀεὶ τοῖς τῆς ἡδονῆς ὑπομνήμασι. μισῶ καὶ τὴν δι' ἀέρος συνήθειαν. οἱ δυνάσται, φοβεῖσθε τὸν δυνατώτερον, οἱ τῶν ὑψηλῶν θρόνων τὸν ὑψηλότερον. μὴ θαυμάσῃς μηδέν, ὃ μὴ παραμένει, μὴ προΐδῃς ὃ μένει. μηδὲ πολυσφίγξῃς μηδέν, ὃ διαρρεῖ κρατούμενον. μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων, ἀλλὰ μισουμένων. μὴ ἐπιθῇς μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς. μὴ τῶν κακῶν φρόνει φαίνεσθαι κρείττων· λυπεῖ γὰρ τῶν ἀγαθῶν ἡττώμενος. μὴ γελάσῃς πτῶμα τοῦ πέλας. διάβαινε δὲ ἀσφαλῶς ὅσῃ σοι δύναμις, ἀλλὰ καὶ δίδου χεῖρα χαμαὶ κειμένῳ. μήτε ἀθυμῶν, ἀπελπίσῃς εὐημερίαν· μήτε πράττων καλῶς, ἀθυμίαν. εἷς ἐνιαυτός, τέσσαρας ὥρας φέρει, καὶ μία ῥοπὴ καιροῦ, πολλὰς πραγμάτων μεταβολάς. ἐπικουφιζέτω σοι, μέμνησο μεθ' ἡδονήν, λύπην δὲ ἡ κρείττων ἐλπίς. οὕτως ἐγκαινίζεται ἄνθρωπος, οὕτως τιμᾶται ἡ τῶν ἐγκαινίων ἡμέρα τοιαύτῃ τρυφῇ, τοιούτοις ἐδέσμασιν. οὐκ ὀφθήσῃ, φησί, κενὸς ἐναντίον μου. ἀλλ' εἴ τι καλὸν μετὰ σεαυτοῦ φέρων, νῦν γὰρ ὤφθης καινὸς γενόμενος ἕτερος, ὅλος ἠλλοιωμένος. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. τοῦτο τῇ ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιωθείς. καὶ μηδὲ οὕτω μέγα φρονήσῃς, ἀλλὰ φθέγξαι τὸ τοῦ Δαβίδ, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, παρ' οὗ πᾶσι ἀνθρώ-

ποις τὸ

τοῖς δὲ κατορθουμένοις. οὐ βούλεταί σε ὁ λόγος ἀεὶ τοῖς αὐτοῖς μένειν, ἀλλὰ ἀεικίνητον εἶναι, εὐκίνητον, πάντως νεόκτιστον· ἂν ἁμαρτάνῃς, ἐπιστρέφοντα· εἰ κατορθοῖς, ἐπιτείνοντα. χθὲς πᾶσιν εἶχες τὴν τῶν καιρῶν, σήμερον τὴν τοῦ θεοῦ γνώρισον, μέχρι τινὸς ἐπ' ἀμφοτέραις χωλαίνεις ταῖς ἰγνύαις. μέχρι τίνος οἰκονομήσεις, καὶ οἰκοδομῆσαι ποτὲ προθυμήσῃ. χθὲς τῶν δοκούντων τις ἐτίμας, σήμερον δὲ εἶναι προτίμησον, μέχρι τοῦ τὰ σύμπαντα, καὶ ἡ ἀλήθεια πρὸ σπουδασθήτω σοι. χθὲς ἦσθα διατελεῖς, σήμερον φάνηθι θεωρητικός· χθὲς λοίδορος, ἰταμός, σήμερον εὔφημος ἔσο· χθὲς κωμαστής, σήμερον σωφρονιστής· σήμερον οἰνοπότης, αὔριον ὑδροπότης. σήμερον κατάκεισαι ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τὰ πρῶτα μύρα χριόμενος, αὔριον χαμεύνης καὶ ἄγρυπνος, ἀντὶ γελοιαστοῦ συνόδου, ἀντὶ καλλωπιστοῦ σὺν στεναγμοῖς, ἀντὶ γαύρου καὶ ἀλαζόνος εὐτελὴς δὲ φαινόμενος. ἀντὶ χρυσορόφου, σκηνοφόρος κάτω νεύων ἀντὶ ὑψαύχενος. ἐὰν οὕτω φρονῇς, καὶ οὕτω ποιῇς. ἔσται σοι ὁ οὐρανὸς καινός, καὶ ἡ γῆ καινή τά τε ἄλλα καὶ τὸν τούτων λόγον καταλαμβάνοντι. ἀλλ' ἀπίωμεν ἤδη, καὶ τῷ καιρῷ τὰ εἰκότα συνεορτάσοντες. πάντα γὰρ εἰς καλὸν τῇ πανηγύρει συντρέχει καὶ συναγάλλεται. ἴδε γὰρ οἷα τὰ ὁρώμενα. ἡ βασίλισσα τῶν ὡρῶν, τῇ βασιλίδι τῶν ἡμερῶν πομπεύει καὶ δωροφορεῖ παρ' ἑαυτῆς, πᾶν ὅ τι κάλλιστον καὶ τερπνότατον. νῦν οὐρανὸς διαυγέστερος. νῦν ἥλιος ὑψηλότερος καὶ χρυσοειδέστερος. νῦν σελήνης κύκλος φαιδρότερος, καὶ ἀστέρων χορὸς καθαρώτερος. νῦν αἰγιαλοῖς μὲν κύματα σπένδεται, ἡλίῳ δὲ νέφος· αἰθὴρ δὲ, ἀνέμοις γῆ δὲ, φυτοῖς· φυτὰ δὲ ὄψεσι. νῦν πηγαὶ διαυγέστερον νάουσι. νῦν δὲ ποταμοὶ δαψιλέστερον τῶν χειμερίων δεσμῶν λυθέντες. καὶ λειμὼν εὐώδης, καὶ φυτὸν βρύει, καὶ κείρεται πόα, καὶ ἄρνες ἐπισκιρτῶσι χλοεραῖς ταῖς ἀρούραις. ἄρτι δὲ ναῦς ἐκ λιμένων ἀνάγεται σὺν κελεύσμασι, καὶ τὸ πλεῖστον ὡς τὰ πολλὰ φιλανθρώποις, καὶ τῷ ἱστίῳ πτεροῦται. καὶ περισκιρτᾷ δελφὶς ἀναφυσῶν ἡδύ τε καὶ ἀναπεμπόμενος, καὶ παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ. ἄρτι δὲ γεωργὸς ἄροτρον πήγνυται ἄνω βλέπων καὶ τὸν καρποδότην ἐπικαλούμενος. καὶ ὑπὸ ζυγὸν ἄγει βοῦν ἀροτῆρα. καὶ τέμνει εὔκαρπον αὔλακα, καὶ ταῖς ἐλπίσιν εὐφραίνεται. ἄρτι δὲ ποιμὴν καὶ βουκόλος ἁρμόζονται σύριγγας, καὶ νόμιον ἐμπνέουσι μέλος, καὶ φυτοῖς καὶ πέτραις ἐαρίζουσιν. ἄρτι δὲ φυτὰ φυτουργὸς θεραπεύει καὶ ἰξευτὴς καλάμους οἰκοδομεῖ, καὶ ὑποβλέπει πτερὰ, καὶ πολυπραγμονεῖ πτερὸν ὄρνιθος. καὶ ἁλιεὺς βυθοὺς διορᾷ, καὶ δίκτυον ἀνακαθαίρει, καὶ πέτραις ὑπερκαθίζεται. ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα τὸ πτερὸν ἑλκύσασα, καὶ τῶν σίμβλων ἀπαναστᾶσα, τὴν ἑαυτῆς σοφίαν ἐπιδείκνυται, καὶ λειμῶνας ἐφίπταται, καὶ συλᾷ τὰ ἄνθη. καὶ ἡ μὲν ποιεῖ τὰ κηρία ταῖς ἑξαγώνοις καὶ ἀντιθέτοις σύριγξιν ἐξυφαίνουσα, καὶ ταῖς εὐθείαις ταῖς γωνίαις ἐπαλλάττουσα. ἔργον ὁμοῦ κάλλους καὶ ἀσφαλείας. ἡ δὲ μέλι ταῖς ἀποθήκαις ἐναποτίθεται, καὶ γεωργεῖ τῷ ξενίζοντι καρπὸν γλυκὺν καὶ ἀνήροτον. ὡς ὄφελόν γε καὶ ὑμεῖς ὁ Χριστοῦ μελισσών, καὶ τοιοῦτον λαβόντες σοφίας καὶ φιλεργίας ὑπόδειγμα. ἄρτι δὲ καλιὰν ὄρνις πήγνυται· καὶ ὁ μὲν ἐπανέρχεται, ὁ δὲ ἐνοικίζεται, ὁ δὲ περιΐπταται, καὶ καταφωνεῖ τὸ ἄλσος, καὶ περιλαλεῖ τὸν ἄνθρωπον. πάντα ὑμνεῖ θεὸν καὶ δοξάζει φωναῖς ἀλαλήτοις. καὶ πᾶσι γὰρ εὐχαριστεῖται διὰ ἐμοῦ θεός. καὶ οὕτως ὁ ἐκείνων ὕμνος, ἡμέτερος γίνεται, παρ' ὧν ἐγὼ τὸ ὑμνεῖν λαμβάνω. νῦν δὲ γελᾷ πᾶν ζώων γένος, καὶ πάσας αἰσθήσεις ἑστιώμεθα. νῦν δὲ ὑψαύχην ἵππος καὶ ἀγέρωχος τοῖς οἴκοις διαφθείρων καὶ τὰ δεσμὰ τυραννήσας, κροαίνει κατὰ πεδίον, καὶ ποταμοῖς ὡραΐζεται. τί τἄλλα; νῦν μάρτυρες αἰθεριάζουσι καὶ πομπεύουσι, καὶ λαμπροῖς τοῖς σώμασι συγκαλοῦσι λαὸν φιλόχριστον, καὶ τῶν ἄθλων δημοσιεύουσι τούτων εἰς δεῖ καὶ ὁ ἐμὸς στεφανίτης. ἐμοῦ γὰρ εἰ καὶ μὴ παρ' ἐμοὶ τετελείωται φθόνος. εἰδότι λέγω μέμνησο ὁ πολύβουλος. καὶ ποιμὴν, καὶ μάρτυς. ὁ πρότερον μὲν τὰς ἐλάφους ἀμέλγων καὶ ἐπειγόμενος ἀλλήλων, ἵνα ξένῳ γάλακτι τραφῇ δίκαιος. νῦν δὲ ποιμαίνων λαὸν μητροπόλεως. καὶ ὃ ἔαρ ἐγκαινίζων σήμερον ταῖς πολλαῖς χιλιάσι τῶν πανταχόσε εἴπειν μὲν οὖν. διάφορόν τι ἀρετῆς κάλλεσι καὶ τιμᾶσθαι ἄξιον καὶ λόγοις ἐπινικίοις, ἐπὶ δὲ συντομώτερον εἰπεῖν. νῦν ἔαρ κοσμικόν, ἔαρ πνευματικόν, ἔαρ ψυχαῖς, ἔαρ σώμασιν, ἔαρ ὁρώμενον, ἔαρ ἀόρατον, οὗ κἀκεῖ μεταλάβοιμεν εὖ ἐνταῦθα καλῶς ἀμειφθέντες, καὶ καινοὶ πρὸς τὸν καινὸν βίον μεταπεμφθέντες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμή, καὶ κράτος σὺν ἁγίῳ πνεύματι εἰς δόξαν θεοῦ πατρός, ἀμήν.

ΣΗΜΑΣΙΑ ΕΙΣ ΤΟΝ ΙΕΖΕΚΙΗΛ.

Νομίζομεν τὸν ἄνθρωπον εἶναι τὸ λογικόν, τὸν λέοντα τὸ θυμικόν, τὸν μόσχον τὸ ἐπιθυμητικόν, τὸν ἀετὸν δὲ τὴν συνείδησιν ἐπικειμένην τοῖς λοιποῖς, ὃ δὴ πνεῦμα παρὰ Παύλῳ λέγομεν τοῦ ἀνθρώπου, τὸ ἐπικαλούμενον τὸν πατέρα, τὸ δὲ πνεῦμα τὸ ἅγιον, τὴν δὲ νεφέλην, τὸν υἱόν. ἀπὸ βορρᾶ δὲ ἀπὸ τῆς εἰσαγωγικῆς ἐπὶ τὰ κρείττονα ὁδεύοντα. φέγγος, διὰ τὸ φωτίζεσθαι. πῦρ δὲ, διὰ τὴν παίδευσιν τὸ διαστρέπτον, ὅτι ἐκ διαλειμμάτων αἱ κολάσεις. τὸ δὲ κεκαθαρμένους τῆς ψυχῆς ἤλεκτρον λέγεται. σημειωτέον, ὅτι τὸ τοῦ ἀνθρώπου ὁμοίωμα προηγεῖται. πᾶσα δὲ ἡ λογικὴ φύσις

τὰ ὑψοῦται δὲ παρὰ τρίχας. καὶ τὸ μὲν ἔπαθε, λογίζῃ· ὅτι δὲ ἑκὼν, οὐ προστίθης, οἷα πάσχει καὶ νῦν ὁ λόγος, ὑπὸ μὲν τῶν ὡς θεὸς τιμᾶται καὶ συναλείφεται. ὑπὸ δὲ τῶν ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. τίσιν ὀργισθῇ πλέον, μᾶλλον δὲ τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι. καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν. τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. προσκόπτεις τῇ σαρκί, τοῦτο καὶ ἰουδαῖοι. ἢ καὶ σαμαρείτην ἀποκαλεῖς, καὶ τὸ ἑξῆς σιωπήσομαι. ἀπιστεῖς τῇ θεότητι, τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε σὺ, καὶ ἰουδαίων ἀγνωμονέστερε. ἐκεῖνοι τὴν τοῦ υἱοῦ προσηγορίαν ὡς τιμίαν φωνὴν οἰόμισαν, οὗτοι τὸν ἐλαύνοντα θεὸν ᾔδεσαν. ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. κρεῖττον ἦν σοι περιτέμνεσθαι καὶ δαιμονᾶν, ἵν' εἴπω τι καὶ γελοίως, ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονηρῶς καὶ ἀθέως. ἀλλ' ὁ μὲν πρὸς ἐκείνους πόλεμος, ἢ καταλυέσθω, ὀψέ γ' οὖν σωφρονισθέντας εἴπερ ἐθέλοιεν, ἢ ἀναβεβλήσθω μὴ βουλομένων, ἀλλ' ἐχόντων ὡς ἔχουσι. πάντως οὐδὲν δείσομεν, ὑπὲρ τῆς τριάδος μόνης τῆς τριάδος ἀγωνιζόμενοι. νῦν δὲ ἀναγκαῖον ἡμῖν οὕτω κεφαλαιῶσαι τὸν λόγον. γεγόναμεν, ἵν' εὖ πάθωμεν. εὖ πεπόνθαμεν, ἐπειδὴ γεγόναμεν. τὸν παράδεισον ἐπιστεύθημεν, ἵνα τρυφήσωμεν. ἐντολὴν ἐλάβομεν, ἵν' εὐδοκιμήσωμεν ταύτην φυλάξαντες, οὐκ ἀγνοοῦντος τοῦ θεοῦ τὸ ἐσόμενον, ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον. ἠπατήθημεν, ἐπειδὴ ἐφθονήθημεν. ἐκπεπτώκαμεν, ἐπειδὴ παρέβημεν. ἐνηστεύσαμεν, ἐπειδὴ μὴ ἐνηστεύσαμεν τοῦ ξύλου τῆς γνώσεως ὑποκρατηθέντες. ἀρχαία γὰρ ἦν ἡ ἐντολὴ καὶ ἡμῖν ὁμόχρονος, ψυχῆς τις οὖσα παιδαγωγία καὶ τρυφῆς σωφρόνισμα. ἣν ἐπετάχθημεν εἰκότως, ἵν' ὃ μὴ φυλάξαντες ἀπεβάλομεν, φυλάξαντες ἀπολάβωμεν. ἐδεήθημεν θεοῦ σαρκουμένου καὶ νεκρουμένου, ἵνα ζήσωμεν. συνενεκρώθημεν ἵνα καθαρθῶμεν. συνανέστημεν, ἐπειδὴ συνενεκρώθημεν. συνεδοξάσθημεν, ἐπειδὴ συνανέστημεν. πολλὰ μὲν δὴ τοῦ τότε καιροῦ τὰ θαύματα, θεὸς σταυρούμενος, ἥλιος σκοτιζόμενος, καὶ πάλιν ἀναφλεγόμενος. ἔδει γὰρ τῷ κτίστῃ συμπαθεῖν, καὶ τὰ κτίσματα. καταπέτασμα σχιζόμενον, αἷμα καὶ ὕδωρ τῆς πλευρᾶς χεόμενον. τὸ μὲν ὡς ἀνθρώπου, τὸ δὲ ὡς ὑπὲρ ἄνθρωπον. γῆ σειομένη, πέτραι ῥηγνύμεναι, νεκροὶ ἀνιστάμενοι εἰς πίστιν τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως, τὰ ἐπὶ τῷ τάφῳ σημεῖα, τὰ μετὰ τὸν τάφον, ἃ τίς ἂν ἀξίως ὑμνήσειεν. οὐδὲν δὲ ὅμοιον τῷ θαύματι τῆς ἐμῆς σωτηρίας. ῥανίδες αἵματος ὀλίγαι κόσμον ὅλον ἀναπλάττουσαι, καὶ γίνονται καθάπερ ὀπὸς γάλακτι πᾶσιν ἀνθρώποις εἰς ἓν ἡμᾶς συνδέουσαι καὶ συνάγουσαι. ἀλλ' ὦ πάσχα τὸ μέγα καὶ ἱερὸν, καὶ παντὸς τοῦ κόσμου καθάρσιον. ὡς γὰρ ἐμψύχῳ σοι διαλέξομαι. ὦ λόγε θεοῦ καὶ φῶς, καὶ ζωὴ, καὶ σοφία, καὶ δύναμις. χαίρω γὰρ πᾶσι σου τοῖς ὀνόμασιν. ὦ νοῦ τοῦ μεγάλου γέννημα καὶ ὅρμημα καὶ ἐκσφράγισμα, ὦ λόγε νοούμενε, καὶ ἄνθρωπε θεωρούμενε, ὃς πάντα φέρεις ἀναδησάμενος τῷ ῥήματι τῆς δυνάμεως. νῦν μὲν ἔχεις τὸν λόγον τοῦτον οὐκ ἀπαρχὴν, ἀλλὰ συμπλήρωσιν ἴσως τῆς ἡμετέρας καρποφορίας χαριστήριον τὸν αὐτὸν καὶ ἱκέσιον, μηδὲν κακοπαθεῖν ἡμᾶς ἔξω τῶν ἀναγκαίων καὶ ἱερῶν οἷς συνεζήσαμεν. καὶ στῆσαι τῷ σώματι τὴν καθ' ἡμῶν τυραννίδα. ὁρᾷς ὅσην κινεῖ, καὶ ὡς κάμπτουσαν, ἢ τὴν σὴν ψῆφον, εἰ παρὰ σοῦ καθαιρούμεθα. εἰ δὲ καταλύσαιμεν ἀξίως τοῦ πόθου, καὶ δεχθείημεν ταῖς οὐρανίαις σκηναῖς, τάχα σοι καὶ αὐτόθι θύσομεν δεκτὰ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον. ὦ πάτερ καὶ λόγε καὶ πνεῦμα τὸ ἅγιον, ὅτι σοὶ πᾶσα δόξα, τιμὴ, καὶ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

ΤΟΥ ἘΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ θεολόγου, λόγος εἰς τὸ ἅγιον πάσχα, καὶ εἰς τὴν βραδυτῆτα.

ἀ

Ναστάσεως ἡμέρα καὶ ἡ ἀρχὴ δεξιὰ, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς, μὴ ὅτι τοῖς δι' ἀγάπην τι πεποιηκόσιν, ἢ πεπονθόσι. συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, δῶμεν συγγνώμην ἀλλήλοις, ἐγώ τε ὁ τυραννηθεὶς τὴν καλὴν τυραννίδα. τοῦτο γὰρ νῦν προστίθημι, καὶ ὑμεῖς οἱ καλῶς τυραννήσαντες. εἴ τι μοι μέμφοισθε τῆς βραδυτῆτος. ὡς τάχα γε κρείττων αὕτη καὶ τιμιωτέρα θεῷ, τῆς ἑτέρων ταχυτῆτος. ἀγαθὸν γὰρ καὶ ὑποχωρῆσαι θεῷ μικρὸν, ὡς μωυσῆς ἐκεῖνος τὸ παλαιὸν καὶ ἱερεμίας ὕστερον, καὶ προσδραμεῖν ἑτοίμως καλοῦντι, ὡς ἀαρών τε καὶ ἡσαΐας μόνον εὐσεβῶς ἀμφότερα. τὸ μὲν διὰ τὴν οἰκείαν ἀσθένειαν, τὸ δὲ διὰ τὴν τοῦ καλοῦντος δύναμιν. μυστήριον ἔχρισέ με, μυστηρίῳ μικρὸν ὑπεχώρησα, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι. μυστηρίῳ καὶ συνεισέρχομαι, καλὴν ἐπαγόμενος τῆς ἐμῆς δειλίας καὶ ἀσθενείας ἐπίκουρον τὴν ἡμέραν.

ἵν' ὁ

ἵν᾽ ὁ σήμερον ἐκ νεκρῶν ἀναστὰς, κἀμὲ καινοποιήσῃ τῷ πνεύματι, καὶ τὸν καινὸν ἐνδύσας
ἄνθρωπον, δῷ τῇ καινῇ κτίσει, τοῖς κατὰ θεὸν γεννωμένοις, πλάστην ἀγαθὸν καὶ διδάσκαλον,
χριστῷ καὶ συννεκρούμενον προθύμως, καὶ συνανιστάμενον. χθὲς ὁ ἀμνὸς ἐσφάζετο, καὶ ἐχρίον-
το αἱ φλιαὶ, καὶ ἐθρήνησεν αἴγυπτος τὰ πρωτότοκα, καὶ ἡμᾶς παρῆλθεν ὁ ὀλοθρεύων, καὶ
ἡ σφραγὶς φοβερὰ καὶ αἰδέσιμος. καὶ τῷ τιμίῳ αἵματι ἐτειχίσθημεν. σήμερον καθα-
ρῶς ἐφύγομεν αἴγυπτον, καὶ φαραὼ τὸν πικρὸν δεσπότην, καὶ τοὺς βαρεῖς ἐπιστάτας, καὶ
τοῦ πηλοῦ, καὶ τῆς πλινθείας ἠλευθερώθημεν, καὶ οὐδεὶς ὁ κωλύων ἡμᾶς ἑορτάζειν κυρίῳ
τῷ θεῷ ἡμῶν, ἑορτὴν τὴν ἐξόδιον, καὶ ἑορτάζειν οὐκ ἐν ζύμῃ παλαιᾷ, κακίας καὶ πονηρίας,
ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, μηδὲν ἐπιφερομένους αἰγυπτιακοῦ, καὶ ἀθέου
φυράματος. χθὲς συνεσταυρούμην χριστῷ, σήμερον συνδοξάζομαι· χθὲς συνενεκρούμην,
συζωοποιοῦμαι σήμερον· χθὲς συνεθαπτόμην, σήμερον συνεγείρομαι. ἀλλὰ καρποφορή-
σωμεν τῷ ὑπὲρ ἡμῶν παθόντι καὶ ἀναστάντι. χρυσὸν μὲν ἴσως οἴεσθε λέγειν, ἢ ἄργυρον, ἢ
ὑφάσματα, ἢ λίθους διαφανεῖς, καὶ τιμίους. γῆς ῥέουσαν ὕλην, καὶ κάτω μένουσαν ἧς ἀεὶ τὸ
πλέον ἔχουσιν οἱ κακοὶ, καὶ δοῦλοι τῶν κάτω καὶ τοῦ κοσμοκράτορος. καρποφορήσωμεν ἡ-
μᾶς αὐτοὺς, τὸ τιμιώτατον θεῷ κτῆμα, καὶ οἰκειότατον. ἀποδῶμεν τῇ εἰκόνι, τὸ κατ᾽ εἰκόνα.
γνωρίσωμεν ἡμῶν τὸ ἀξίωμα, τιμήσωμεν τὸ ἀρχέτυπον, γνῶμεν τοῦ μυστηρίου τὴν δύναμιν,
καὶ ὑπὲρ τίνος χριστὸς ἀπέθανε. γενώμεθα ὡς χριστὸς ἐπεὶ, καὶ χριστὸς, ὡς ἡμεῖς. γενώμεθα
θεοὶ δι᾽ αὐτὸν, ἐπειδὴ κἀκεῖνος δι᾽ ἡμᾶς ἄνθρωπος. προσέλαβε τὸ χεῖρον, ἵνα δῷ τὸ βέλ
τιον· ἐπτώχευσεν, ἵν᾽ ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. δούλου μορφὴν ἔλαβεν, ἵνα τὴν
ἐλευθερίαν ἡμεῖς ἀπολάβωμεν· κατῆλθεν, ἵν᾽ ὑψωθῶμεν· ἐπειράσθη, ἵνα νικήσωμεν· ἠτιμάσθη,
ἵνα δοξάσῃ· ἀπέθανεν, ἵνα σώσῃ· ἀνῆλθεν, ἵν᾽ ἑλκύσῃ πρὸς ἑαυτὸν κάτω κειμένους, ἐν τῷ τῆς
ἁμαρτίας πτώματι. πάντα διδότω τις, πάντα καρποφορείτω, τῷ δόντι ἑαυτὸν λύτρον ὑ-
πὲρ ἡμῶν καὶ ἀντάλλαγμα. δώσει δὲ οὐδὲν τοιοῦτον, οἷον ἑαυτὸν τοῦ μυστηρίου συνιέντα, καὶ
δι᾽ ἐκεῖνον πάντα, ὅσα ἐκεῖνος δι᾽ ἡμᾶς, γενόμενον. καρποφορεῖ μὲν ὑμῖν, ὡς ὁρᾶτε, ποιμένα.
τοῦτο γὰρ ἐλπίζει καὶ εὔχεται, καὶ παρ᾽ ὑμῶν αἰτεῖ τῶν ὑπὸ χεῖρα, ὁ ποιμὴν ὁ καλὸς,
ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ διπλοῦν ἀνθ᾽ ἁπλοῦ δίδωσιν ὑμῖν ἑαυτὸν,
καὶ ποιεῖται τὴν βακτηρίαν τοῦ γήρως, βακτηρίαν τοῦ πνεύματος. καὶ προστίθησι τῷ ἀ-
ψύχῳ ναῷ τὸν ἔμψυχον, τῷ περικαλλεῖ τῷ δὲ καὶ οὐρανίῳ τὸν ὁποῖον οὖν καὶ ἡλίκον. ἀλλ᾽
οὖν ἑαυτῷ τιμιώτατον, καὶ οὐ τὸν ἱδρῶσι πολλοῖς συντελεσθέντα, καὶ πόνοις. εἴη δὲ εἰ-
πεῖν, ὅτι καὶ τῶν πόνων ἄξιον, καὶ πάντα προστίθησιν ὑμῖν τὰ ἑαυτοῦ. ὢ τῆς μεγαλοψυχίας
ἢ τό γε ἀληθέστερον εἰπεῖν, τῆς φιλοτεκνίας, τὴν πολιὰν, τὴν νεότητα, τὸν ναὸν, τὸν ἀρχιερέα,
τὸν κληροδότην, τὸν κληρονόμον, τοὺς λόγους οὓς ἐποθεῖτε, καὶ τούτων οὐ τοὺς εἰκῇ, καὶ εἰς ἀέρα ῥέον
τας, καὶ μέχρι τῆς ἀκοῆς ἱσταμένους, ἀλλ᾽ οὓς γράφει τὸ πνεῦμα, καὶ πλαξὶν ἐντυποῖ λιθί-
ναις, εἴτ᾽ οὖν σαρκίναις, οὐκ ἐξ ἐπιπολῆς χαρασσομένους, οὐδὲ ῥαδίως ἀπαλειφομένους, ἀλλ᾽
εἰς βάθος ἐνσημαινομένους· οὐ μέλανι, ἀλλὰ χάριτι. ταῦτα μὲν ὑμῖν ὁ σεμνὸς ἀβραὰμ
οὗτος, ὁ πατριάρχης, ἡ τιμία κεφαλὴ καὶ αἰδέσιμος, τὸ πάσης τῆς καλοῦ καταγώ-
γιον, ὁ τῆς ἀρετῆς κανὼν, ἡ τῆς ἱερωσύνης τελείωσις, ὁ τὴν ἑκούσιον θυσίαν προσάγων τῷ κυ-
ρίῳ σήμερον, τὸν μονογενῆ, τὸν ἐκ τῆς ἐπαγγελίας. ὑμεῖς δὲ καρποφορεῖτε καὶ θεῷ καὶ ἡμῖν,
τὸ καλῶς ποιμαίνεσθαι, εἰς τόπον χλόης κατασκηνούμενοι, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως ἐκ
τρεφόμενοι. γινώσκοντες καλῶς τὸν ποιμένα, καὶ γινωσκόμενοι, καὶ ἑπόμενοι καλοῦντι ποι-
μενικῶς καὶ ἐλευθερίως, διὰ τῆς θύρας. ἀλλοτρίῳ δὲ μὴ ἀκολουθοῦντες, ὑπερβαίνοντι διὰ
τῆς αὐλῆς, λῃστρικῶς τε καὶ ἐπιβούλως, μηδὲ ξένης φωνῆς ἀκούοντες, ὑποκλεπτούσης καὶ δια-
σπειρούσης ἀπὸ τῆς ἀληθείας, εἰς ὄρη καὶ ἐρημίας καὶ βάραθρα, καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύ
ριος, καὶ ἀπὸ μὲν τῆς ὑγιοῦς πίστεως ἀπαγούσης, τῆς εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν
μίαν θεότητά τε καὶ δύναμιν, ἧς ἤκουσεν ἀεὶ φωνῆς, καὶ ἀκούοι τὰ ἐμὰ πρόβατα. λόγοις δὲ κιβ
δήλοις, καὶ κατεφθαρμένοις συλαγωγούσης καὶ διασπώσης, ἀπὸ τοῦ ἀληθινοῦ καὶ πρώτου ποι-
μένος, ὧν εἴη πάντας ἡμᾶς, καὶ ποιμένας, καὶ ποίμνιον, ὡς νοσερῶν ὑδάτων καὶ θανασίμων, πόῤ-
ῥω καὶ νεμομένους, καὶ ἡγουμένους, ἐν χριστῷ ἰησοῦ, νῦν τε καὶ εἰς
τὴν ἐκεῖθεν ἀνάπαυσιν. ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς
τοὺς αἰῶνας, ἀμήν.

κατὰ τὴν τοῦ Λευιτικοῦ γενεαλογίαν διακρίνουσιν. ἐννοῶ δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Ναυῆ καὶ περιόδους τοσαύτας καὶ ἡμέρας καὶ ἱερέας, ὑφ' ὧν τὰ Ἱεριχούντια τείχη κατασείεται. ὥσπερ δὲ μυστικὴν τὴν τελευταίαν ἐμφύσησιν Ἠλιοῦ τοῦ προφήτου, ὑπὲρ τοῦ Σαραφθίας χήρας υἱοῦ τὸ ζῆν ἐμπνεύσασαν, καὶ τοῦ αὐτοῦ τὴν ἰσάριθμον κατὰ τῶν σχιδάκων ἐπίκλυσιν, ἡνίκα πυρὶ θεοπέμπτῳ τὴν θυσίαν ἀνῆψε, καὶ τοὺς τῆς αἰσχύνης προφήτας κατέκρινε, τοὺς οὐ δυνηθέντας ἐκ τῆς προκλήσεως· οὕτω δὲ καὶ τὴν ἑβδόμην κατασκοπὴν τοῦ νέφους ὑπὸ τοῦ παιδαρίου προστεταγμένην, Ἐλισσαίου τε τὴν ἴσην διάκαμψιν ὑπὲρ τοῦ παιδὸς τῆς Σουμανίτιδος, ἣ τὴν πνοὴν ζωπυρήσασαν. τοῦ δὲ αὐτοῦ οἶμαι δόγματος, ἵνα μὴ λέγω τὴν ἑπτάκαυλον καὶ ἑπτάλυχνον τοῦ λαοῦ λυχνίαν, αἱ ἑπτὰ μὲν ἡμέραις ὁ ἱερεὺς τελειούμενος, αἱ ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος, αἱ τοσαύταις δὲ ὁ λαὸς ἐγκαινιζόμενος, ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας ἐπαναγόμενος. ἵν' ὅπερ ἐστὶν ἐν μονάσι, τοῦτο ἐν δεκάσι γένηται, καὶ ἀριθμῷ τελεωτέρῳ, τὸ τῆς ἑβδομάδος τιμηθῇ μυστήριον. τί με δεῖ τὰ πόρρω λέγειν; Ἰησοῦς αὐτὸς ἡ καθαρὰ τελειότης, οἶδε τρέφειν μὲν ἐν ἐρημίᾳ καὶ πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δὲ ἑπτὰ πάλιν τετρακισχιλίους. καὶ τὰ τοῦ κόρου λείψανα, ἐκεῖ μὲν δώδεκα κόφινοι, ἐνταῦθα δὲ σπυρίδες ἑπτά, οὐδὲ ἑτέρως ἀλόγως οἶμαι οὐδὲ ἀναξίως τοῦ πνεύματος. καὶ σὺ δ' ἂν κατὰ σαυτὸν ἀναλεγόμενος, πολλοὺς εὑρήσεις ἀριθμούς, ἔχοντάς τι τοῦ φαινομένου βαθύτερον. ὃ δὲ τῷ παρόντι καιρῷ χρησιμώτατον, ὅτι κατὰ τοῦτον ἴσως τὸν λόγον, ἢ ὅτι ἐγγύτατα τούτοις, ἢ καὶ δι' ἑτέρους τινάς, τιμῶσι μὲν Ἑβραῖοι τὴν πεντηκοστὴν ἡμέραν. τιμῶμεν δὲ καὶ ἡμεῖς, ὥσπερ ἐστὶν ἃ καὶ ἄλλα τῶν Ἑβραϊκῶν. τυπικῶς μὲν παρ' ἐκείνοις τελούμενα, μυστικῶς δὲ ἡμῖν ἀνακαθιστάμενα. τοσαῦτα περὶ τῆς ἡμέρας προδιαλεχθέντες, ἤδη τὸ ἑξῆς τοῦ λόγου ποιώμεθα. πεντηκοστὴν ἑορτάζομεν, καὶ πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. τὰ μὲν σωματικὰ τοῦ Χριστοῦ πέρας ἔχει, μᾶλλον δὲ τὰ τῆς σωματικῆς ἐπιδημίας. ὀκνῶ γὰρ εἰπεῖν τὰ τοῦ σώματος, ἕως ἂν μηδεὶς πείθῃ με λόγος, ὅτι κάλλιον ἀποσκευάσασθαι τὸ σῶμα· τὰ δὲ τοῦ πνεύματος ἄρχεται. τίνα δὲ ἦν τὰ τοῦ Χριστοῦ; παρθένος, γέννησις, φάτνη, σπαργάνωσις, ἄγγελοι δοξάζοντες, ποιμένες προστρέχοντες, ἀστέρος δρόμος, μάγοι, προσκύνησις καὶ δωροφορία, Ἡρώδου παιδοφονία, φυγὴ Ἰησοῦ εἰς Αἴγυπτον, ἐπάνοδος ἐξ Αἰγύπτου, περιτεμνόμενος, βαπτιζόμενος, μαρτυρούμενος ἄνωθεν, πειραζόμενος, λιθαζόμενος δι' ἡμᾶς οἷς τύπον ἔδει δοθῆναι τῆς ὑπὲρ τοῦ λόγου κακοπαθείας. προδιδόμενος, προσηλούμενος, θαπτόμενος, ἀνιστάμενος, ἀνερχόμενος, ὧν καὶ νῦν πάσχει πολλὰ παρὰ μὲν τῶν μισοχρίστων, τὰ τῆς ἀτιμίας. καὶ φέρει, μακρόθυμος γάρ. παρὰ δὲ τῶν φιλοχρίστων τὰ τῆς ἐπιτιμίας, καὶ ἀναβάλλεται. ὥσπερ ἐκείνοις τὴν ὀργήν, οὕτως ἡμῖν τὴν χρηστότητα. τοῖς μὲν ἴσως, μετανοίας διδοὺς καιρούς, ἡμῶν δὲ δοκιμάζων τὸν πόθον. εἰ μὴ ἐκκακοῦμεν ἐν ταῖς θλίψεσι, καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν. ὥσπερ ἄνωθεν θείας οἰκονομίας λόγος, καὶ τῶν ἀνεφίκτων αὐτοῦ κριμάτων, οἷς εὐθύνει σοφῶς τὰ ἡμέτερα. τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα, καὶ τὰ ἑξῆς ὀψόμεθα, ἐνδοξότερα, καὶ ὀφθείημεν. τὰ δὲ τοῦ πνεύματος, παρέστω μοι τὸ πνεῦμα, καὶ διδότω λόγον, ὅσον καὶ βούλομαι. εἰ δὲ μὴ τοσοῦτον, ὅσος γε τῷ καιρῷ σύμμετρος. πάντως παρέσται δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, οὐδ' ἀναμένον ἐπίταγμα ὥς τινες οἴονται. πνεῖ γὰρ ὅπου θέλει, καὶ ἐφ' οὓς βούλεται, καὶ ἡνίκα, καὶ ὅσον. οὕτως ἡμεῖς τὸ νοεῖν καὶ λέγειν ἐμπνεόμεθα περὶ τοῦ πνεύματος. τὸ πνεῦμα τὸ ἅγιον, οἱ μὲν εἰς κτίσμα κατάγοντες, ὑβρισταί, καὶ δοῦλοι κακοί, καὶ κακῶν κάκιστοι. δούλων γὰρ κακῶν ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. οἱ δὲ θεὸν νομίζοντες, ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. οἱ δὲ καὶ ὀνομάζοντες, εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοί. πηλίνοις μαργαρίτην πιστεύοντες, καὶ ἀκοῇ σαθρᾷ, βροντῆς ἦχον. καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον, καὶ τροφὴν στερεάν, τοῖς ἔτι γάλα χρηζομένοις. δέον κατὰ μικρὸν προάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν, καὶ προσβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους, καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν. διὸ καὶ ἡμεῖς τὸν τελεώτερον τέως ἀφέντες λόγον, οὔπω γὰρ καιρός, οὕτως αὐτοῖς διαλεξόμεθα. εἰ μὲν οὐκ ἄκτιστον ὦ οὗτοι ὁμολογεῖτε τὸ πνεῦμα τὸ ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια. δότε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῆσαι μικρόν. εἰ δὲ τοσοῦτον γοῦν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φεύγειν ἀσέβειαν, καὶ τῆς δουλείας ἔξω τίθεσθαι τὸ καὶ ὑμᾶς ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε μετὰ τοῦ ἁγίου πνεύματος καὶ ἡμῶν. πείθομαι γὰρ πως τούτου μετέχειν ὑμᾶς, καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι. ἢ δότε μοι τὸ μέσον δουλείας καὶ δεσποτείας, ἵν' ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ πνεύματος, ἢ τὴν δουλείαν φεύγοντες, οὐκ ἄδηλον ὅποι τάξετε τὸ ζητούμενον, ἀλλὰ τοῖς συλ-

τοῖς συλ-

ταῖς συλλαβαῖς δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ. καὶ λίθος προσκόμματος ὑμῖν
αὕτη γίνεται καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ χριστὸς τισὶ. τοῦτ᾽ ἀνθρώπινον τὸ πάθος. συμβῶ-
μεν ἀλλήλοις πνευματικῶς. γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι. δότε τὴν δύνα-
μιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν τῆς φωνῆς τὴν συγχώρησιν. ὁμολογήσατε τὴν φύσιν ἐν
ἄλλαις φωναῖς, αἷς αἰδεῖσθε μᾶλλον, καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν. ἔστιν ἃ καὶ τὴν
πρὸς ἡδονὴν παρακλέψαντες. αἰσχρὸν μὲν γὰρ αἰσχρόν, καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν
ἐῤῥωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρόν, ὥσπερ ἄλλοις βασκαί-
νοντας, ἢ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότας. αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν παθεῖν,
καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα. μιᾶς
θεότητος ὦ οὗτοι τὴν τριάδα ὁμολογήσατε· εἰ δὲ βούλεσθε μιᾶς φύσεως, καὶ τὴν θεὸς
φωνὴν παρὰ τοῦ πνεύματος ὑμῖν αἰτήσομεν. δώσει γὰρ εὖ οἶδα, ὁ τὸ πρῶτον δοὺς καὶ τὸ δεύ-
τερον. καὶ μάλιστα, εἰ δειλία τις εἴη πνευματική, μὴ ἔνστασις διαβολικὴ τὸ μαχόμενον, ἵν᾽ ἔτι
σαφέστερον εἴπω καὶ συντομώτερον. μήτε ἡμᾶς αἰτιᾶσθε τῆς ὑψηλοτέρας φωνῆς. φθόνος γὰρ
οὐδεὶς ἀναβάσεως. οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ὑμῖν ἐγκαλέσομεν, ἕως ἂν καὶ δι᾽ ἄλλης ὁδοῦ
πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφούς,
ὧν τῷ χωρισμῷ σπαρασσόμεθα. ταῦτα ὑμῖν περὶ οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν. τοῖς περὶ
τὸν υἱὸν ὑγιαίνουσιν, ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν τὸν λόγον. οἱ τὰ τοῦ πνεύματος
ἔχοντες, καὶ τὸ πνεῦμα προσλάβετε, ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως. ἐξ οὗ καὶ ὁ
στέφανος οὗτος ὑμῖν ἀθλείη τῆς πολιτείας μισθὸς ὁμολογῆσαι τὸ πνεῦμα τελέως, καὶ κη-
ρύξαι σὺν ἡμῖν τε καὶ πρὸ ἡμῶν ὅσον ἄξιον. τολμῶ τι καὶ μεῖζον ὑπὲρ ὑμῶν, τὸ τοῦ ἀποστόλου
φθέγξασθαι. τοσοῦτον ὑμῶν περιέχομαι, καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύ-
την πολιάν, καὶ τὸ χρῶμα τῆς ἐγκρατείας, καὶ τὰ ἱερὰ ταῦτα συστήματα, καὶ τὴν σεμνὴν
παρθενίαν καὶ κάθαρσιν, καὶ τὴν παννυχίδα ψαλμῳδίαν, καὶ τὸ φιλόπτωχον, καὶ φιλά-
δελφον, καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ χριστοῦ, καὶ παθεῖν τι ὡς κατάκριτος
δέχομαι μόνον εἰ σταίητε μεθ᾽ ἡμῶν, κοινῇ τὴν τριάδα δοξάσομεν. περὶ γὰρ τῶν ἄλλων
τί χρὴ καὶ λέγειν σαφῶς τεθνηκότων, οὓς χριστοῦ μόνου ἐγεῖραι τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς
κατὰ τὴν αὐτοῦ δύναμιν; οἳ κακῶς τῷ τόπῳ χωρίζονται, τῷ λόγῳ συνδεδεμένοι. καὶ το-
σοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι τὸ ἓν βλέποντες, καὶ οὐ
τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες. εἴγε καὶ διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλω-
σιν. ἐπεὶ δὲ μετρίως ἐθέμην τὰ πρὸς ὑμᾶς, φέρε καὶ πρὸς τὸ πνεῦμα πάλιν ἐπανέλθω-
μεν. οἶμαι δὲ καὶ ὑμεῖς ἤδη συνέψεσθε. τὸ πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται. οὔ-
τε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεὶ πατρὶ καὶ υἱῷ συντεταγμένον καὶ συναριθμού-
μενον. οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ υἱὸν πατρί, ἢ πνεῦμα υἱῷ. ᾧ μεγίστῳ γὰρ ἂν ἦν ἄδο-
ξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. ἦν οὖν ἀεὶ
μεταληπτόν, οὐ μεταληπτικόν· τελειοῦν, οὐ τελειούμενον· πληροῦν, οὐ πληρούμενον· ἁγιάζον,
οὐχ ἁγιαζόμενον· θεοῦν, οὐ θεούμενον. αὐτὸ ἑαυτῷ ταυτὸν ἀεί, καὶ οἷς συντέτακται. ἀόρα-
τον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφές, αὐτοκίνητον, ἀεικίνη-
τον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον, εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ
τοῦ μονογενοῦς ἅπαντα, οὕτω δὲ καὶ τὰ τοῦ πνεύματος ἀναπέμπεται. ζωή, καὶ ζωοποιόν.
φῶς, καὶ χορηγὸν φωτός. αὐτοάγαθον, καὶ πηγὴ ἀγαθότητος. πνεῦμα εὐθές, ἡγεμονι-
κόν, κύριον, ἀποστέλλον, ἀφορίζον· ναοποιοῦν ἑαυτῷ. ὁδηγοῦν, ἐνεργοῦν ὡς βούλεται. διαιροῦν
χαρίσματα, πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς,
ἰσχύος, φόβου, τῶν ἀπηριθμημένων. δι᾽ οὗ πατὴρ γινώσκεται, καὶ υἱὸς δοξάζεται. καὶ παρ᾽
ὧν μόνων γινώσκεται μία σύνταξις, λατρεία μία, προσκύνησις, δύναμις, τελειότης, ἁγια-
σμός. τί μοι μακρολογεῖν; πάντα ὅσα ὁ πατὴρ τοῦ υἱοῦ, πλὴν τῆς ἀγεννησίας. πάντα ὅσα
ὁ υἱός, τοῦ πνεύματος πλὴν τῆς γεννήσεως. ταῦτα δὲ οὐκ οὐσίαν ἀφορίζει κατά γε τὸν ἐμὸν
λόγον. περὶ οὐσίαν δὲ ἀφορίζεται. ὠδίνεις τὰς ἀντιθέσεις, ἐγὼ δὲ τοῦ λόγου τὸν δρόμον. τίμη-
σον τὴν ἡμέραν τοῦ πνεύματος. ἐπίσχες μικρὸν τὴν γλῶτταν, εἰ δυνατόν. περὶ ἄλλων γλωσσῶν
ὁ λόγος, ταύτας αἰδέσθητι ἢ φοβήθητι μετὰ πυρὸς ὁρωμένας. σήμερον δογματίσωμεν, αὔ-
ριον τεχνολογήσωμεν. σήμερον ἑορτάσωμεν, αὔριον ἀσχημονήσωμεν. ταῦτα μυστικῶς, ἐκεῖνα
θεατρικῶς. ταῦτα ταῖς ἐκκλησίαις, ἐκεῖνα ταῖς ἀγοραῖς. ταῦτα τοῖς νήφουσιν, ἐκεῖνα
τοῖς μεθύουσι. ταῦτα σπουδαζόντων, ἐκεῖνα παιζόντων κατὰ τοῦ πνεύματος. ἐπεὶ δὲ ἀπε-
σκευασάμεθα τὸ ἀλλότριον, φέρε καταρτίσωμεν τὸ ἡμέτερον. τοῦτο ἐνήργει, πρότερον μὲν
ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίοις δυνάμεσι, καὶ ὅσαι πρῶται μετὰ θεὸν καὶ περὶ θεόν. οὐ
γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις καὶ ἡ ἔλλαμψις, καὶ τὸ πρὸς κακίαν δυσκίνητον ἢ ἀκίνητον,

ἢ περὶ

ἢ περὶ τοῦ ἁγίου πνεύματος. ἔπειτα ἐν τοῖς πατράσι, καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐ-
φαντάσθησαν θεὸν ἢ ἔγνωσαν. οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν, τυπούμενοι τῷ πνεύματι
τὸ ἡγεμονικὸν, καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος δύνα-
μις, ἔπειτα ἐν τοῖς χριστοῦ μαθηταῖς. ἐῶ γὰρ χριστὸν εἰπεῖν, ᾧ παρῆν. οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς
ὁμότιμον συμπαρομαρτοῦν, καὶ τούτοις τρισσῶς, καθ' ὅσον οἷοί τε ἦσαν χωρεῖν, καὶ κατὰ και-
ροὺς τρεῖς, πρὶν δοξασθῆναι χριστὸν διὰ τοῦ πάθους. μετὰ τὸ δοξασθῆναι τῇ ἀναστάσει, μετὰ τὴν εἰς
οὐρανοὺς ἀνάβασιν, ἢ ἀποκατάστασιν, ἢ ὅ,τι χρὴ λέγειν. δηλοῖ δὲ ἡ πρώτη, τῶν νόσων καὶ ἡ τῶν
πνευμάτων κάθαρσις, οὐκ ἄνευ πνεύματος δηλαδὴ γινομένη, καὶ τὸ μετὰ τὴν οἰκονομίαν
ἐμφύσημα σαφῶς ὂν ἔμπνευσις θειοτέρα, καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν. ὃ καὶ
πανηγυρίζομεν, ἀλλὰ τὸ μὲν πρῶτον ἀμυδρῶς, τὸ δὲ δεύτερον ἐκτυπώτερον, τὸ δὲ νῦν τε-
λειότερον, οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς πρότερον. οὐσιωδῶς δὲ ὡς ἂν εἴποι τις συγγινόμενόν τε καὶ
συμπολιτευόμενον. ἔπρεπε γὰρ υἱοῦ σωματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σω-
ματικῶς. καὶ χριστοῦ πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν. ἐρχόμενον
μὲν ὡς κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. αἱ γὰρ τοιαῦται φωναὶ, οὐχ ἧττον τὴν ὁμό-
νοιαν δηλοῦσιν, ἢ φύσιν χωρίζουσιν. διὰ τοῦτο μετὰ χριστὸν μὲν, ἵνα παράκλητος ἡμῖν μὴ λεί-
πῃ, ἄλλος δὲ ἵνα σὺ τὴν ἰσοτιμίαν ἐνθυμηθῇς. τὸ γοῦν ἄλλος, ἄλλος ἐγὼ, κεῖται. τοῦτο
δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. τὸ γοῦν ἄλλος, οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ
τῶν ὁμοουσίων οἶδα λεγόμενον. ἐν γλώσσαις δὲ διὰ τὴν πρὸς τὸν λόγον οἰκείωσιν. πυρίναις
δὲ ζητῶ πότερον διὰ τὴν κάθαρσιν. οἶδε γοῦν ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πολ-
λαχόθεν βουλομένοις ὑπάρχει μαθεῖν, ἢ διὰ τὴν οὐσίαν. πῦρ γὰρ ὁ θεὸς ἡμῶν, καὶ πῦρ κα-
ταναλίσκον τὴν μοχθηρίαν. κἂν πάλιν ἀγανακτῇς τῷ ὁμοουσίῳ στενοχωρούμενος, μεριζο-
μέναις δὲ διὰ τὸ τῶν χαρισμάτων διάφορον, καθεζομέναις δὲ διὰ τὸ βασιλικὸν, καὶ τὴν
ἐν τοῖς ἁγίοις ἀνάπαυσιν. ἐπεὶ καὶ θεοῦ θρόνος τὰ χερουβὶμ, ἐν ὑπερῴῳ δὲ, εἰ μήπω περι-
εργότερος εἶναι δοκῶ τοῦ δέοντος, διὰ τὴν ἀνάβασιν τῶν δεξομένων, καὶ τὴν χαμόθεν ἔπαρ-
σιν. ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζεται, δι' ὧν ὑμνεῖται θεός. καὶ ἰησοῦς αὐτὸς ἐν
ὑπερῴῳ τοῦ μυστηρίου κοινωνεῖ, τοῖς τὰ ὑψηλότερα τελουμένοις, ἵνα ἐκεῖνο παραδειχθῇ. ὅτι τὸ
μέν τι καταβῆναι δεῖ θεὸν πρὸς ἡμᾶς, ὃ καὶ πρότερον ἐπὶ μωϋσέως οἶδα γενόμενον. τὸ δὲ ἡ-
μᾶς ἀναβῆναι, καὶ οὕτω γενέσθαι κοινωνίαν θεοῦ πρὸς ἀνθρώπους, τῆς ἀξίας συγκιρναμένης.
ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν ὑψηλότητος, τὸ δὲ ταπεινώσεως, ἄμικτος ἡ ἀγα-
θότης, καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον. καὶ χάσμα ἐν μέσῳ μέγα, οὐκ ἀδιάβατον τὸν πλού-
σιον τοῦ λαζάρου μόνον, καὶ τῶν ὀρεκτῶν ἀβραὰμ κόλπων διεῖργον, τὴν δὲ γενητὴν φύσιν, καὶ
ῥέουσαν τῆς ἀγενήτου καὶ ἑστηκυίας. τοῦτο ἐκηρύχθη μὲν ὑπὸ προφητῶν, ὡς ἐν τῷ πνεῦμα
κυρίου ἐπ' ἐμὲ, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα, καὶ κατέβη πνεῦμα κυρίου,
καὶ ὡδήγησεν αὐτούς. καὶ πνεῦμα ἐπιστήμης ἐνέπλησε βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς,
καὶ πνεῦμα παροξυνόμενον, καὶ πνεῦμα ἐξᾶραν ἠλίαν ἐν ἅρματι, καὶ ζητηθὲν παρὰ ἐ-
λισσαίου διπλάσιον. καὶ πνεύματι ἀγαθῷ καὶ ἡγεμονικῷ δαβὶδ ὁδηγούμενός τε καὶ στηρι-
ζόμενος. ἐπηγγέλθη δὲ ὑπὸ μὲν ἰωὴλ πρότερον, καὶ ἔσται ταῖς ἐσχάταις ἡμέραις λέγον-
τος· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. δηλαδὴ τὴν πιστεύουσαν, καὶ ἐπὶ τοὺς
υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν. καὶ τὰ ἑξῆς. ὑπὸ δὲ ἰησοῦ καὶ ὕστερον δοξαζομένου
τε καὶ ἀντιδοξάζοντος, ὡς τὸν πατέρα, καὶ ὑπὸ τοῦ πατρός, καὶ ἡ ἐπαγγελία ὡς δαψι-
λὴς, συνδιαιωνίσειν καὶ συμπαραμενεῖν, εἴτε δὴ νῦν τοῖς κατὰ καιρὸν ἀξίοις, εἴτε ὕστερον τοῖς
τῶν ἐκεῖσε ἀξιουμένοις. ὅταν ὁλόκληρον αὐτὸ τῇ πολιτείᾳ φυλάξωμεν, ἀλλὰ μὴ τοσοῦτον
ἀποβάλλωμεν, καθ' ὅσον ἂν ἁμαρτάνωμεν. τοῦτο τὸ πνεῦμα συνδημιουργεῖ μὲν υἱῷ καὶ τὴν
κτίσιν, καὶ τὴν ἀνάστασιν. καὶ πειθέτωσε τὸ, λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ
πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. πνεῦμά τε θεῖον τὸ ποιῆσάν με, πνοὴ
δὲ παντοκράτορος ἡ διδάσκουσά με. καὶ πάλιν, ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσον-
ται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, δημιουργεῖ τὴν πνευματικὴν ἀναγέννησιν. καὶ πει-
θέτωσε τὸ, μηδένα δύνασθαι τὴν βασιλείαν ἰδεῖν ἢ λαβεῖν, ὅς τις μὴ ἄνωθεν ἐγεννήθη πνεύ-
ματι, καὶ τὴν προτέραν ἐκκαθαρεῖσθαι γέννησιν, ἢ νυκτὸς οὖσα μυστήριον, ἡμερινῇ καὶ φωτεινῇ
διαπλάσει, ἣν καθ' ἑαυτὸν ἕκαστος διαπλάττεται. τοῦτο τὸ πνεῦμα. σοφώτατον γὰρ, καὶ
φιλανθρωπότατον, ἂν ποιμένα λάβῃ, ψάλτην ποιεῖ, πνεύμασι τῶν πονηρῶν κατεπάδοντα, καὶ
βασιλέα τοῦ ἰσραὴλ ἀναδείκνυσιν. ἐὰν αἰπόλον συκάμινα κνίζοντα, προφήτην ἐργάζεται.
τὸν δαβὶδ καὶ τὸν ἀμὼς ἐνθυμήθητι. ἐὰν μειράκιον εὐφυὲς λάβῃ, πρεσβυτέρων ποιεῖ κρι-
τὴν καὶ παρὰ τὴν ἡλικίαν. μαρτυρεῖ δανιὴλ ὁ νικήσας ἐν λάκκῳ λέοντας. ἐὰν ἁλιέας εὕρῃ, σαγη-
νεύει χριστῷ κόσμον ὅλον τῇ τοῦ λόγου πλοκῇ συλλαμβάνοντας. πέτρον λάβε μοι, καὶ ἀνδρέαν,

καὶ τοὺς υἱοὺς τῆς βροντῆς, τοὺς πνευματικὰ βροντῶντας. καὶ τελώνας εἰς μαθητείαν κερ-
δαίνει, καὶ ψυχῶν ἐμπόρους δημιουργεῖ. φησὶ ματθαῖος ὁ χθὲς τελώνης, καὶ σήμερον
εὐαγγελιστής. καὶ διώκτας θερμοὺς, τὸν ζῆλον μεταπίθησι. καὶ ποιεῖ παύλους ἀντὶ σαύ-
λου, καὶ τοσοῦτον εἰς εὐσέβειαν, ὅσον εἰς κακίαν κατέλαβε. τοῦτο καὶ πνεῦμά ἐστι πραότη-
τος, καὶ παροξύνεται τοῖς ἁμαρτάνουσι. τοιγαροῦν πειραθῶμεν ὡς πράου, καὶ μὴ ὀργί-
λου τὴν ἀξίαν ὁμολογούντων, καὶ τὰς βλασφημίας φευγόντων. καὶ μὴ βουληθῶμεν ἰδεῖν
ὀργιζόμενον ἀσυγχώρητα, τοῦτο καὶ ἐμὲ ποιεῖ σήμερον ὑμῖν τολμηρὸν κήρυκα. εἰ μὲν οὐδὲν πει-
σόμενον, τοῦ θεοῦ χάρις· εἰ δὲ πεισόμενον, καὶ οὕτω χάρις. τὸ μὲν ἵνα φείσηται τῶν μισούν-
των ὑμᾶς· τὸ δὲ ἵν' ἡμᾶς ἁγιάσῃ μισθὸν τοῦτο λαβόντας τῆς ἱερουργίας τοῦ εὐαγγελίου, τὸ τε-
λειωθῆναι δι' αἵματος. ἐλάλουν μὲν οὖν ξέναις γλώσσαις, καὶ οὐ πατρίοις, καὶ τὸ θαῦ-
μα μέγα. λόγος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος, καὶ τὸ σημεῖον τοῖς ἀπίστοις, οὐ τοῖς
πιστεύουσιν. ἵν' ᾖ τῶν ἀπίστων κατήγορον, καθὼς γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χεί-
λεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος.
ἤκουον δὲ μικρὸν ἐνταῦθα ἐπίσχες καὶ διαπόρησον. πῶς διαιρήσεις τὸν λόγον. ἔχει γάρ τι ἀμ-
φίβολον ἡ λέξις τῇ στιγμῇ διαιρουμένη. ἆρα γὰρ ἤκουον ταῖς ἑαυτῶν διαλέκτοις ἕκαστοι,
ὡς φέρε εἰπεῖν, μίαν μὲν ἐξηχεῖσθαι φωνὴν, πολλὰς δὲ ἀκούεσθαι, οὕτω κτυπουμένου τοῦ ἀέ-
ρος. καὶ ἵν' εἴπω σαφέστερον, τῆς φωνῆς φωνῶν γινομένων· ἢ τὸ μὲν ἤκουον ἀναπαυστέον, τὸ
δὲ λαλούντων ταῖς ἰδίαις φωναῖς, τοῦ ἑξῆς προσθετέον. ἵν' ᾖ λαλούντων φωναῖς, ταῖς
ἰδίαις τῶν ἀκουόντων, ὅπερ γίνεται ἀλλοτρίαις. καθ' ὃ καὶ μᾶλλον τίθεμαι. ἐκείνως μὲν
γὰρ τῶν ἀκουόντων ἂν εἴη μᾶλλον, ἢ τῶν λεγόντων τὸ θαῦμα, οὕτω δὲ τῶν λεγόντων, οἳ καὶ
μέθην καταγινώσκονται. δῆλον ὡς αὐτοὶ θαυματουργοῦντες περὶ τὰς φωνὰς τῷ πνεύ-
ματι, πλὴν ἐπαινετὴ μὲν καὶ ἡ παλαιὰ διαίρεσις τῶν φωνῶν. ἡνίκα τὸν πύργον ᾠκοδόμουν
οἱ κακῶς καὶ ἀθέως ὁμοφωνοῦντες. ὥσπερ καὶ τῶν νῦν τολμῶσί τινες. τῇ γὰρ τῆς φω-
νῆς διαστάσει συνδιαλυθὲν τὸ ὁμόγνωμον, τὴν ἐγχείρησιν ἔλυσεν. ἀξιεπαινετωτέρα δὲ ἡ
νῦν θαυματουργουμένη. ἀπὸ γὰρ ἑνὸς πνεύματος εἰς πολλοὺς χυθεῖσα, εἰς μίαν ἁρμο-
νίαν πάλιν συνάγεται. καὶ ἔστι διαφορὰ χαρισμάτων, ἄλλου δεομένη χαρίσματος, πρὸς
διάκρισιν τοῦ βελτίονος. ἐπειδὴ πάντα τὸ ἐπαινετὸν ἔχουσι. καλῶς δ' ἂν καὶ ἐκείνη λέγοιτο
περὶ ἧς δαβὶδ λέγει, καταπόντισον κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν. διὰ τί;
ὅτι ἠγάπησαν πάντα τὰ ῥήματα καταποντισμοῦ γλῶσσαν δολίαν. μονονοὺ φανερῶς
τὰς ἐνταῦθα γλώσσας καταιτιώμενος, αἳ θεότητα τέμνουσι. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦ-
τον. ἐπεὶ δὲ τοῖς κατοικοῦσιν ἱερουσαλὴμ ἐλάλουν εὐλαβέσι ἰουδαίοις, πάρθοις, καὶ μήδοις,
καὶ ἐλαμίταις, αἰγυπτίοις, καὶ λίβυσι, κρησί τε, καὶ ἄραψι, μεσοποταμίταις τε, καὶ τοῖς
ἄλλοις καταριθμουμένοις ἐλάλουν αἱ γλῶσσαι, καὶ τοῖς ἐκ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐ-
ρανὸν, ἰουδαίοις εἴτ' οὖν φίλοις οὕτω νοεῖν ἐκεῖσε συνειλεγμένοις, ἄξιον ἰδεῖν τίνες ἦσαν οὗ-
τοι, καὶ τῆς ποίας αἰχμαλωσίας. ἡ μὲν γὰρ εἰς αἴγυπτον καὶ βαβυλῶνα, περιγρα-
πτός τε ἦν, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. ἡ δὲ ὑπὸ ῥωμαίων, οὔπω γεγένητο, ἔμελλε
δὲ, ἔκπραξις οὖσα τῆς κατὰ τοῦ σταυροῦ θρασύτητος. λείπεται δὴ τὴν ἐπ' ἀντιόχου
ταύτην ὑπολαμβάνειν, οὐ πολὺ τούτων οὖσαν τῶν ἐτῶν πρεσβυτέραν. εἰ δέ τις ταύ-
την μὲν οὐ προσίεται τὴν ἐξήγησιν ὡς περιεργοτέραν. οὔτε γὰρ παλαιὰν εἶναι τὴν αἰ-
χμαλωσίαν, οὔτ' ἐπὶ πολὺ τῆς οἰκουμένης κεχωρηκέναι, ζητεῖ δὲ τὴν πιθανωτέραν, ἐκεῖνο ἴσως
ὑπολαβεῖν ἄμεινον. ὅτι πολλάκις καὶ ὑπὸ πλειόνων τοῦ ἔθνους μετανασταντος, ὡς τῷ
ἔσδρᾳ ἱστόρηται, αἱ μὲν τῶν φυλῶν ἀνεσώθησαν, αἱ δὲ ὑπελείφθησαν. ὧν εἰκὸς διασπα-
ρεισῶν εἰς ἔθνη πλείονα, τηνικαῦτα παρεῖναί τινας, καὶ μετασχεῖν τοῦ θαύματος. καὶ
ταῦτα προεξήτασται τοῖς φιλομαθέσιν. ἴσως οὐ περιεργότερος, καὶ ὅτι αὖ συμφέρει τις εἰς τὴν
παροῦσαν ἡμέραν, καὶ ἡμῖν τοῦτο ἔσται συνειλοχός. ἡμῖν δὲ τὸν μὲν σύλλογον ἤδη διαλυ-
τέον. ἱκανὸς γὰρ ὁ λόγος. τὴν δὲ πανήγυριν οὐδέποτε, ἀλλ' ἑορταστέον. νῦν μὲν καὶ σωμα-
τικῶς, μικρὸν δὲ ὕστερον ὅλον πνευματικῶς. οὗ καὶ τοὺς λόγους τύπους εἰσόμεθα κα-
θαρώτερον καὶ σαφέστερον. ἐν αὐτῷ τῷ λόγῳ, καὶ θεῷ, καὶ κυρίῳ ἡμῶν ἰησοῦ
χριστῷ, τῇ ἀληθινῇ τῶν σωζομένων ἑορτῇ, καὶ ἀγαλλιάσει, μεθ'
οὗ ἡ δόξα καὶ τὸ σέβας τῷ πατρὶ σὺν τῷ ἁγίῳ
πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ, ΚΑΙ ΕΙΣ ΤΟ ἔαρ, καὶ εἰς τὸν μάρτυρα μάμαντα.

Γκαίνια τιμᾶσθαι, παλαιὸς νόμος, καὶ καλῶς ἔχων, μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι' ἐγκαινίων. καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς τὴν αὐτὴν ἡμέραν ἐπαγούσης, ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται τὰ καλά, μηδὲ παρασυρῇ λήθης βυθοῖς ἀμαυρούμενα. ἐγκαινίζονται μὲν πρὸς θεὸν νῆσοι κατὰ ἠσαΐαν ὥσπερ ἂν ἐγνώκαμεν. ἅς τινας δὴ τὰς νήσους ταύτας ὑποληπτέον. οἶμαι δὲ τὰς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας ἄρτι καθισταμένας, καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακυπτούσας, καὶ πῆξιν λαμβανούσας κατὰ θεοῦ βάσιν. ἐγκαινίζεται δὲ τεῖχος χαλκοῦν παρ' ἄλλῳ προφήτῃ. οἶμαι δὲ ψυχὴ στεῤῥὰ καὶ χρυσοειδὴς καὶ ἀῤῥαγὴς εἰς εὐσέβειαν. ᾄδειν δὲ τῷ κυρίῳ ᾆσμα καινὸν κελευόμεθα, εἴτε εἰς βαβυλῶνα, ἢ τὴν πονηρὰν σύγχυσιν κατασυρέντες ὑπὸ τῆς ἁμαρτίας. ἔπειτα πρὸς τὴν ἱερουσαλὴμ ἀναβαίνοντες, κἀκεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδὴν ὡς ἐπὶ γῆς ἀλλοτρίας. ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι, εἴτε οἱ μείναντες ἐν τῷ καλῷ, καὶ προκόπτοντες. ἢ τῶν μὲν κατορθωκότων ἤδη, τὸ δὲ κατορθούντων ὑπὸ τοῦ καινοποιοῦ πνεύματος. ἐγκαινίζεται δὲ ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ λίαν πολυτελῶς, ἣν θεὸς παρέδειξε, καὶ βεσελεὴλ ἐτελείωσε, καὶ μωσῆς ἐπήξατο. ἐγκαινίζεται δὲ ἡ βασιλεία δαβίδ, καὶ οὐχ ἅπαξ, ἀλλὰ χριομένου τὸ πρότερον, καὶ ἀναγορευομένου τὸ δεύτερον. ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν ἱεροσολύμοις. χειμὼν ἦν ὁ τῆς ἀπιστίας, καὶ ἰησοῦς παρῆν ὁ θεὸς καὶ ναός, ναὸς πρόσφατος, ὁ αὐθημερὸν λυόμενος, καὶ τριήμερος ἀνιστάμενος, καὶ μένων εἰς τοὺς αἰῶνας. ἵν' ἐγὼ σωθῶ, καὶ τοῦ παλαιοῦ πτώματος ἀνακληθῶ, καὶ γένωμαι καινὴ κτίσις, διὰ τῆς τοιαύτης φιλανθρωπίας ἀναπλαττόμενος. ἐπιζητεῖ δὲ ὁ θεῖος δαβὶδ καρδίαν καθαρὰν ἐν ἑαυτῷ κτιζομένην, καὶ πνεῦμα εὐθὲς τοῖς ἐγκάτοις ἐγκαινιζόμενον. οὐχ ὡς οὐκ ἔχων. τίς γὰρ εἰ μὴ δαβὶδ ὁ τοσοῦτος; ἀλλ' ὡς καλὸν γινώσκων τὸ νῦν ἀεὶ προστιθέμενον. καὶ τί δεῖ μοι πλειόνων ἐγκαινίων; ἐνὸν τὰ παρόντα γνωρίσαι, καὶ ἃ σήμερον πανηγυρίζομεν, τῇ ζωῇ μετὰ θάνατον πλησιάζοντες. ἐγκαίνια ἐγκαίνια ἡ πανήγυρις ἀδελφοί. λεγέσθω γὰρ πολλάκις ὑφ' ἡδονῆς, καὶ τίνα ταῦτα; οἱ μὲν εἰδότες διδάξατε, οἱ δὲ ἀγνοοῦντες τὴν ἀκοὴν ἐγκαινίζεσθε. φῶς ἦν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ θεός, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, οὔτε μετρούμενον, ἀεὶ λάμπον, περιλάμπον. ὀλίγοις δὲ τοῦτο ἐστὶ θεωρούμενον. οἶμαι δὲ οὐδὲ ὀλίγοις, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα. αἱ περὶ αὐτὸν δυνάμεις, καὶ τὰ λειτουργικὰ πνεύματα, τὸ δὲ παρ' ἡμῖν τοῦτο φῶς οὐχ ὕστερον ἤρξατο μόνον, ἀλλὰ καὶ νυκτὶ τέμνεται, καὶ τέμνει νύκτα ἰσομοιρίᾳ. ὄψει πιστευθέν, καὶ ἀέρι χυθέν, καὶ λαμβάνον ὃ δίδωσιν. ὁρᾶν τε γὰρ ὄψει παρέχει, καὶ πρῶτον ὁρᾶται παρὰ τῆς ὄψεως, καὶ τοῖς ὁρατοῖς περιῤῥέον, παῤῥησίαν χαρίζεται. βουληθεὶς γὰρ ὁ θεὸς τόνδε τὸν κόσμον συστήσασθαι, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα, τὸ μέγα καὶ θαυμαστὸν τῆς μεγαλειότητος αὐτοῦ κήρυγμα, τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς καὶ οὐκ ἄλλο. τί γὰρ ἔδει φωτὸς δευτέρου, τοῖς τὸ μέγιστον ἔχουσι; τοῖς κάτω δὲ καὶ περὶ ἡμᾶς, πρώτην ἐκλάμπει τὴν τοῦ φωτὸς τούτου δύναμιν. καὶ γὰρ ἔπρεπε τῷ μεγάλῳ φωτὶ, τὴν δημιουργίας ἐκ φωτὸς ἄρξασθαι. ᾧ λύει τὸ σκότος, καὶ τὴν ἐπιχέουσαν τέως ἀκοσμίαν καὶ ἀταξίαν. καὶ τοῦτο οὐκ ὀργανικὸν ἀπ' ἀρχῆς ἀναδέξας, οὐδὲ ἡλιακόν, ὡς ὁ ἐμὸς λόγος· ἀλλ' ἀσώματον, καὶ ἀνήλιον. ἔπειτα δὲ καὶ ἡλίῳ δοθέν, καταφωτίζειν πᾶσαν τὴν οἰκουμένην. ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋπεστήσας, εἰδοποιήσει ὕστερον, ἑκάστῳ τάξιν καὶ σχῆμα καὶ μέγεθος περιθείς, ἵνα θαυματουργήσῃ τὸ μεῖζον, ἐνταῦθα τὸ εἶδος τῆς ὕλης προϋπεστήσατο. εἶδος γὰρ ἡλίου τὸ φῶς· μετὰ δὲ τοῦτο τὴν ὕλην ἐπάγει, τὸν ὀφθαλμὸν τῆς ἡμέρας δημιουργήσας, τοῦτον τὸν ἥλιον οὕτω τι πρῶτον ἐν ἡμέραις ἀριθμεῖται. καὶ δευτέρας, καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἄχρι τῆς ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας, αἷς καταμερίζεται τὰ γινόμενα, λόγοις ἀῤῥήτοις τασσόμενα, ἢ οὐκ ἀθρόως ἀναδιδόμενα τῷ παντοδυνάμῳ λόγῳ, καὶ ᾧ τὸ νοῆσαι μόνον, ἢ εἰπεῖν, ἔργον ἐστὶ παριστάμενον. εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν. ἔδει γὰρ ὥσπερ βασιλεῖ προϋποστῆναι τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα, πᾶσιν ἤδη δορυφορούμενον. εἰ μὲν οὖν ἐμείναμεν ὅπερ ἦμεν, καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν, τῷ ξύλῳ τῆς ζωῆς προσελθόντες, μετὰ τὸ ξύλον τῆς γνώσεως. καὶ τί γεγονότες; ἀπαθανατισθέντες καὶ θεῷ πλησιάζοντες. ἐπεὶ δὲ φθόνῳ τοῦ πονηροῦ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε, καὶ ὑφεῖλε διὰ τῆς ἀπάτης τὸν ἄνθρωπον, διὰ τοῦτο τῷ ἡμετέρῳ πάθει πάσχει θεὸς γενόμενος ἄνθρωπος, καὶ πτωχεύει τὸ σάρξ παγῆναι, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. ἐντεῦθεν θάνατος, καὶ ταφή, καὶ ἀνάστασις. ἐντεῦθεν ἡ καινὴ

κτίσις καὶ μεθέορτος ἑορτή. καὶ πάλιν ἐγὼ πανηγυρεῖς, ἐγκαινίζων τὴν ἡμέραν τῆς σωτηρίας. τί οὖν φημι; οὐχ ἡ πρώτη κυριακὴ τοῦ ἐγκαινίου ἦν, ἡ μετὰ τὴν ἱερὰν νύκτα καὶ διαδουχίαν. ἀλλὰ τὴν σήμερον τοῦτο δίδως ὦ φιλέορτε σύ, καὶ πολλὰς ὑπὲρ ἐκείνην φαιδρότητας. ἐκείνη μὲν σωτήριον ἦν, αὕτη δὲ τῆς σωτηρίας γενέθλιον. κἀκείνη μὲν ἦν μεθόριον τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως, αὕτη δὲ καθαρῶς τῆς δευτέρας γενέσεως. ἵν' ὥσπερ ἡ πρώτη κτίσις τὴν ἀρχὴν ἀπὸ κυριακῆς λαμβάνει, δῆλον δέ· ἀπὸ γὰρ ταύτης ἑβδόμη τὸ σάββατον γίνεται κατάπαυσις οὖσα τῶν ἔργων, οὕτω καὶ ἡ δευτέρα πάλιν ἐκ τῆς αὐτῆς ἄρχηται, πρώτη οὖσα τῶν μετ' αὐτήν, καὶ ὀγδόη τῶν πρὸ αὐτῆς, ὑψηλῆς ὑψηλοτέρα, καὶ θαυμασίας θαυμασιωτέρα. πρὸς γὰρ τὴν ἄνω φέρει κατάστασιν, ἣν καὶ ὁ θεῖος Σολομὼν αἰνίττεσθαί μοι δοκεῖ, διδόναι μερίδα τοῖς ἑπτὰ τῷ βίῳ τούτῳ νομοθετῶν, καί γε τοῖς ὀκτώ, τῷ μέλλοντι ἐκ τῆς ἐντεῦθεν εὐπραγίας, καὶ τῆς ἐκεῖθεν ἀποκαταστάσεως. ἀλλὰ καὶ ὁ μέγας Δαβὶδ τῇ αὐτῇ προσᾴδειν ἔοικε τοὺς περὶ τῆς ὀγδόης ψαλμούς. ὥσπερ καὶ τῇ τῶν ἐγκαινίων ἡμέρᾳ ταύτῃ ψαλμὸν ἕτερον, οἶκόν τινα ἐγκαινισμὸν ὀνομάζων, ὅς τις ἐσμὲν ἡμεῖς. οἱ θεοῦ ναὸς εἶναί τε καὶ ἀκούειν ἠξιωμένοι καὶ γίνεσθαι. ἔχετε τῶν ἐγκαινίων τὸν λόγον. ἀλλ' ἐγκαινίζεσθε, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποῤῥίψαντες, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος. πάντα τὰ μέλη παιδαγωγήσαντες. πᾶσαν τὴν γεῦσιν τοῦ ξύλου βρῶσιν μισήσαντες, ἢ μέμψαντες, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν, ἵνα φύγωμεν. ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός. φεύγωμεν τὰς εὐχροίας, εἰς ἡμᾶς αὐτοὺς βλέπωμεν. μή σε νικησάτω κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῇς τοῖς βλεφάροις. εἰ δυνατὸν μέχρι καὶ προοράματος, τὴν Εὔαν ἐνθυμηθείς. τὸ γλυκὺ δέλεαρ, τὸ πικρότατον φάρμακον. πῶς γὰρ σώσει ῥᾳδίως ἡ ἀλλοτρία, ὃν ἀπώλεσεν ἡ ἰδία. μὴ γλυκαινέσθω σοι φάρυγξ, οὐ κατασύρεται πᾶν τὸ διδόμενον. καὶ πρὶν ληφθῆναι τιμώμενον, μετὰ δὲ τὸ λαβεῖν ἀτιμάζεται. ἡ ὄσφρησις ἐξεθήλυνέ σε, φεῦγε τὰς εὐωδίας. τὴν ἁφὴν κατεμαλακίσθης, ἀπόταξαι ταῖς λειότησι, καὶ ταῖς ἁπαλότησιν. ἡ ἀκοὴ ὑπέπεισέ σε, θὲς θύραν τοῖς ἀπατηλοῖς λόγοις καὶ πανούργοις. ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ, ἵν' ἑλκύσῃς πνεῦμα. μὴ σπάσῃς θάνατον, ὅταν τί σε δελεάζῃ τῶν ἀπηγορευμένων. μὴ ἔσθιε ὅ τι ὅς τις ἦς, καὶ ἔσθιε ἀπὸ χολάς. ἐὰν μικρόν τι τοῦ λόγου παρεκτραπῇς, πρὸς ἑαυτὸν ἐπανάγου, πρὶν παντελῶς ἔξω τραπῆναι, καὶ κατενεχθῆναι πρὸς θάνατον, καὶ γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια. ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι' ὃν ἐξέπεσες. τὸ ἐπιθυμητικὸν τετάσθω σοι πᾶν πρὸς θεόν, μὴ πρὸς ἄλλο τι τῶν ἐπιβούλων καὶ σφαλερῶν. ὁ λογισμὸς πᾶσιν ἐπιστατείτω, καὶ μὴ καθελκέσθω τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος. μὴ μισήσῃς σὺ τὸν ἀδελφόν, καὶ ταῦτα δωρεάν, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε, καὶ σὸς ἀδελφὸς ἐγένετο, θεὸς ὢν καὶ δεσπότης. μὴ φθονήσῃς τῷ κατορθοῦντί τι ὁ φθονηθείς, καὶ φθονεῖσθαι πεισθείς, καὶ διὰ τοῦτο κατενεχθείς. μὴ ἀτιμάσῃς δάκρυον, ὁ πολλῶν ἄξια δακρύων πεπονθώς, εἶτα ἠλεημένος. μὴ ἀπώσῃ πένητα ὁ πλουτήσας θεότητα. εἰ δ' οὖν, ἀλλὰ μὴ πλουτήσῃς κατὰ τοῦ πένητος, καὶ τοῦτό γε πολὺ πρὸ τῶν ἀκρίτων. μὴ ἀτιμάσῃς ξένον, ὑπὲρ οὗ Χριστὸς ἐξενίτευσεν, οὗ πάντες ἡμεῖς ξένοι καὶ πάροικοι. μὴ ἀπεξενωθῇς τοῦ παραδείσου καθὼς τὸ πρότερον. μεταδίδου τῷ δεομένῳ στέγης, σκέπης, τροφῆς, ὁ τούτοις ἐντρυφῶν, καὶ ὑπὲρ τὴν χρείαν. μὴ ἀγαπήσῃς τὸν πλοῦτον, εἰ μὴ βοηθεῖ πένησιν. ἄφες ὁ ἀφεθείς. ἐλέησον ὁ ἠλεημένος, κτῆσαι φιλανθρωπίᾳ τὴν φιλανθρωπίαν. ἕως καιρός. πᾶς ὁ βίος ἐγκαινιζέσθω σοι, πᾶσα πολιτείας ὁδός. αἱ ὑπὸ ζυγόν, δότε τι καὶ θεῷ. προσειλήφθητε. αἱ παρθένοι, τὸ πᾶν θεῷ. λέλυσθέ τε. μὴ γίνεσθε κλέπτριαι δούλης ἡδονῆς, φυγοῦσαι τὴν ἐλευθερίαν. ἐκ τῶν συνοικεῖν οὐκ αἰδοῦμαι μέν, αἰδοῦμαι δ' ὅμως. οὐ δέχομαι κάμνειν ἀεὶ τοῖς τῆς ἡδονῆς ὑπομνήμασι. μισῶ καὶ τὴν δι' ἀέρος συνήθειαν. οἱ δυνάσται, φοβεῖσθε τὸν δυνατώτερον, οἱ τῶν ὑψηλῶν θρόνων τὸν ὑψηλότερον. μὴ θαυμάσῃς μηδέν, ὃ μὴ παραμένει, μὴ παρίδῃς ὃ μένει. μηδὲ περισφίγξῃς μηδέν, ὃ διαρρεῖ κρατούμενον. μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων, ἀλλὰ μισουμένων. μὴ ἐπιθῇς μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς. μὴ τῶν κακῶν φρόνει φαίνεσθαι κρείττων· λυποῦ δέ, τῶν ἀγαθῶν ἡττώμενος. μὴ γελάσῃς πτῶμα τοῦ πέλας. διάβαινε δὲ ἀσφαλῶς ὅσῃ σοι δύναμις, ἀλλὰ καὶ δίδου χεῖρα χαμαὶ κειμένῳ. μήτε ἀθυμῶν, ἀπελπίσῃς εὐημερίαν· μήτε πράττων καλῶς, ἀθυμίαν. εἷς ἐνιαυτός, τέσσαρας ὥρας φέρει, καὶ μία ῥοπὴ καιροῦ, πολλὰς πραγμάτων μεταβολάς. ἐπικείσθω σοι, μετρίαζε μὲν ἡδονήν, λύπην δὲ ἡ κρείττων ἐλπίς. οὕτως ἐγκαινίζεται ἄνθρωπος, οὕτως τιμᾶται ἡ τῶν ἐγκαινίων ἡμέρα τοιαύτη γὰρ φέρει, τοιούτοις ἐδέσμασιν. οὐκ ὀφθήσῃ, φησί, κενὸς ἐναντίον μου. ἀλλ' εἴ τι καλὸν μὲν σεαυτῷ φέρων, νῦν δὲ ὀφθῆναι καινὸς γίνῃ ἕτερος, ὅλος ἠλλοιωμένος. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. τοῦτο τῇ ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιώθητι. καὶ μηδὲ οὕτω μέγα φρονήσῃς, ἀλλὰ φθέγξαι τὸ τοῦ Δαβίδ, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, περὶ οὗ πᾶσι ἀνθρώ-

ποις τὸ

τοῖς δὲ κατορθουμένοις, οὐ βούλεταί σε ὁ λόγος ἀρτί σοι που τῷ μένειν, ἀλλὰ καινίζειν ἀεί, ἀκίνητον, πάντως νικήσιμον ἀεὶ ἁμαρτάνειν. ἐπιστρέφοντα· ἐν καλοῖς, ἐπιτείνοντα. χθὲς τις ἦσθα τῶν τοῦ καιρῶν, σήμερον τῶν τοῦ θεοῦ γνώρισον, μέχρι τινὸς ἐπ' ἀμφοτέραις χωλανεῖς ταῖς ἰγνύαις. μέχρι τίνος οἰκονομήσεις, καὶ οἰκοδομῆσαι ποτὲ προθυμηθήσῃ. χθὲς ἐδόκει τις ἄτιμος, σήμερον δὲ ἔστω προτιμήσιν, μέχρι τοῦ τὰ αἴτια, καὶ ἀληθινά ποτε σπουδάσεις ποτέ. χθὲς ἦσθα ἀκατάσχετος, σήμερον φάνηθι διαρπακτικός· χθὲς λοίδορος, ἴταμός. σήμερον εὔφημος· χθὲς κωμαστής, σήμερον σωφρονιστής· σήμερον οἰνοπότης, αὔριον ὑδροπότης. σήμερον καταστατικώτερον ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τὰ πρὸς τὰ μύρα χριόμενος, αὔριον χαμεύνης καὶ ἄγρυπνος. ἀντὶ γελοιαστοῦ σιώπων, ἀντὶ καλλωπιστοῦ ἐν στίγμασι, ἀντὶ γαυροῦ καὶ ἀλαζόνος εὐτελὴς τῷ φαινομένῳ. ἀντὶ χρυσοφόρου, στενοχωρίας πάντων νέων ἀντὶ ὑψαύχενος. ἐὰν οὕτω διανοῇ, καὶ οὕτω ποιῇς. ἔσται σοι ὁ ὡραῖος καιρός, καὶ ἡ γῆ καινὴ τά τε ἄλλα καὶ τὸν τοῦ λόγον καταλαμβάνοντι. ἀλλ' ἀπίω μὲν ἤδη, καὶ τῷ καιρῷ τὰ εἰκότα συνεορτάσοντες. πάντα γὰρ εἰς καλὸν τῇ πανηγύρει συντρέχει καὶ συναγάλλεται. ἴδε γὰρ οἷα τὰ ὁρώμενα· ἡ βασίλισσα τῶν ὡρῶν, τῇ βασιλίδι τῶν ἡμερῶν πομπεύει καὶ δωροφορεῖ πᾶν ὅ, τι κάλλιστον καὶ τερπνότατον. νῦν οὐρανὸς διαυγέστερος, νῦν ἥλιος ὑψηλότερος καὶ χρυσοειδέστερος. νῦν σελήνης κύκλος φαιδρότερος, καὶ ἀστέρων χορὸς καθαρώτερος. νῦν αἰγιαλοῖς μὲν κύματα σπένδεται, ἡλίῳ δὲ νέφος ἀεὶ δέ, αὖραι καὶ γῇ δὲ φυτοῖς· φυτὰ δὲ ὄψεσι. νῦν πηγαὶ διαυγέστερον νάουσι. νῦν δὲ ποταμοὶ δαψιλέστερον τῶν χειμερίων δεσμῶν λυθέντες. καὶ λειμὼν εὐωδεῖ, καὶ φυτὸν βρύει, καὶ κείρεται πόα, καὶ ἄρνες ἐπισκιρτῶσι χλοεραῖς ταῖς ἀρούραις. ἄρτι δὲ ναῦς ἐκ λιμένων ἀνάγεται σὺν κελεύσμασι, καὶ τοῖς ὡς τὰ πολλὰ φιλοθέοις, καὶ τῷ ἱστίῳ πτεροῦται. καὶ δελφὶς ἀναφυσῶν ὠθεῖ, ἱλαρὸν ἐπὶ ἀναπεμπόμενος, καὶ παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ. ἄρτι δὲ γεωργὸς ἄροτρον πηγνύει ἄνω βλέπων καὶ τὸν καρποδότην ἐπικαλούμενος. καὶ ὑπὸ ζυγὸν ἄγει βοῦν ἀροτῆρα. καὶ τέμνει ἐπιμήκεις αὔλακας. καὶ ταῖς ἐλπίσιν εὐφραίνεται. ἄρτι δὲ ποιμὴν καὶ βουκόλος ἁρμόζονται σύριγγας, καὶ νόμιον ἐμπνέουσι μέλος, καὶ φυτοῖς καὶ πέτραις ἐνεαρίζουσιν. ἄρτι δὲ φυτὸν φυτουργὸς θεραπεύει καὶ ἰξευτὴς καλάμους οἰκοδομεῖ, καὶ ὑποβλέπει πτερὸν, καὶ πολυπραγμονεῖ πτερὸν ὄρνιθος. καὶ ἁλιεὺς βυθοὺς διορᾷ, καὶ δίκτυον ἀνακαθαίρει, καὶ πέτραις ὑπερκαθίζει. ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα τὸ πτερὸν ἐκλύσασα, καὶ τὸν σίμβλον ἀπαναστᾶσα, τὴν ἑαυτῆς σοφίαν ἐπιδείκνυσι, καὶ λειμῶνας ἐφίπταται, καὶ συλᾷ τὰ ἄνθη. καὶ ἡ μὲν ποιεῖ τὰ κηρία τοῖς ἑξαγώνοις καὶ ἀντιθέτοις σύριγξιν ἐξυφαίνουσα, καὶ ταῖς εὐθείαις ταῖς γωνίαις ἐπαλλάττουσα ἔργον ὁμοῦ κάλλους καὶ ἀσφαλείας. ἡ δὲ μέλι ταῖς ἀποθήκαις ἐναποτίθεται καὶ γεωργεῖ τὸν ξενίζοντα καρπὸν γλυκὺν καὶ ἀνήροτον. ὡς ὄφελόν γε καὶ ὑμεῖς ὁ χριστοῦ μελισσὼν, καὶ τοῦτο λαβόντες σοφίας καὶ φιλοπονίας ὑπόδειγμα. ἄρτι δὲ καλιὰν ὄρνις πήγνυται, καὶ ὁ μὲν ἐπανέρχεται, ἡ δὲ ἐνοικίζεται, ὁ δὲ περιίπταται. καὶ καταφωνεῖ τὸ ἄλσος, καὶ περιλαλεῖ τὸν ἄνθρωπον. ἄρτι ταῖς ὑμνεῖ καὶ δοξάζει φωναῖς ἀλαλήτοις. καὶ πᾶσι γὰρ εὐχαριστεῖται δι' ἐμοῦ θεός. καὶ οὗτος ὁ ἐκείνων ὕμνος, ἡμέτερος γίνεται, παρ' ὧν ἐγὼ τὸ ὑμνεῖν λαμβάνω. νῦν μὲν γελᾷ πᾶν ζῶον γένος, καὶ πᾶσαν αἴσθησιν ἑστιώμεθα. νῦν δὲ ὑψαύχην ἵππος καὶ ἀγέρωχος τοῖς οἴκοις διαφραίνων καὶ τὰ δεσμὰ τυραννήσας, κροαίνει κατὰ πεδίον, καὶ ποταμοῖς ἀγερχίζεται τὰ ἄλλα. νῦν μάρτυρες αἰθεριάζουσι καὶ πομπεύουσι, καὶ λαμπροῖς τοῖς βήμασι συγκαλοῦσι λαὸν φιλόχριστον, καὶ τῶν ἄθλων δημοσιεύουσι τούτων εἰς ὅσα καὶ ὅμοιος στεφανίτης. ἐμὲ γοῦν ἐπὶ μὴ παρ' ἐμοὶ τιπλέτω φθόνος. εἰδόσι λέγω μέμηνα ὁ πολυβόητος. καὶ ποιμήν, καὶ μάρτυς. ὁ πρότερον μὲν ταῖς ἐλάφοις ἀμέλγων καὶ ἐπειγομένας ἀλλήλων, ἵνα ξένῳ γάλακτι τραφῇ δίκαιος. νῦν δὲ ποιμαίνων λαὸν μηλοπόλους. καὶ τὸ ἔαρ ἐγκαινίζων σήμερον ταῖς πολλαῖς χιλιάσι τῷ πανταχόθεν ἐπιπλεόντων. διά φορὸν τε ἀρετῆς κάλλεσι καὶ ποιμένων ἄξιον καὶ λόγοις ἐπαινεῖσθαι· ἔτι δὲ συντομώτερον εἰπεῖν. νῦν ἔαρ κοσμικόν, ἔαρ πνευματικόν, ἔαρ ψυχαῖς, ἔαρ σώμασιν, ἔαρ ὁρώμενον, ἔαρ ἀόρατον, οὗ κἀκεῖ μεταλάβοιμεν, ἐνταῦθα καλῶς ἀμειφθέντες. καὶ καινοὶ πρὸς τὸν καινὸν βίον παραπεμφθείημεν, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμή, καὶ κράτος σὺν ἁγίῳ πνεύματι εἰς δόξαν θεοῦ πατρός, ἀμήν.

ΣΗΜΑΣΙΑ ΕΙΣ ΤΟΝ ΙΕΖΕΚΙΗΛ.

Νοιζόμεν τὸν ἄνθρωπον εἶναι τὸ λογικόν, τὸν λέοντα δὲ θυμικόν, τὸν μόσχον δὲ ἐπιθυμητικόν, τὸν ἀετὸν τὴν συνείδησιν ἐπικειμένην τοῖς λοιποῖς, ὃ δὴ πνεῦμα παρὰ Παύλῳ λεγόμενον τοῦ ἀνθρώπου, τὸν ἐπικαλούμενον τὸν πατέρα, τὸ δὲ πνεῦμα τὸ ἅγιον, τὴν δὲ νεφέλην, τὸν υἱόν. ἀπὸ βορρᾶ δὲ ἀπὸ τῆς εἰσαγωγικῆς ἐπὶ τὰ κρείττονα ὁδηγοῦνται. φέγγος, διὰ τὸ φωτίζεσθαι. πῦρ δὲ, διὰ τὴν παίδευσιν τὸ ἐξαστράπτον, ὅτι ἐκ διαλειμμάτων αἱ κολάσεις. τὸ δὲ κινεῖσθαι καθαρμένοις τῆς ψυχῆς ἠλεκτρον λέγεται. σημειωτέον, ὅτι τὸ τοῦ ἀνθρώπου ὁμοίωμα προηγεῖται. πᾶσα δὲ ἡ λογικὴ φύσις

προφέροντι τὰ ζητήσεις δὲ μεμελημένως, καὶ σοφῶς κατανοήσας τὴν περὶ γῆν φύσιν ἅπασαν, ποικίλωτέ τιν᾽ ἔγνων, ὡς ἀνθρώπῳ δέδοται ζητεῖν ἐπὶ γῆς, ἄλλοτε ἄλλοις καμάτοις προφάσει ἐγκαλινδουμένῳ εἰς τὸ μηδέν. πνεύματος δὲ ἀλλοκότου καὶ μυσαροῦ τὰ κάτω ἅπαντα πλήρη, ὥστε μὴ ἔτι αὐτὰ ἀνακτήσασθαι, ἀλλὰ μηδὲ ἐνθυμηθῆναι τὰ παράπαν ὅσα τὰ κατ᾽ ἀνθρώπους πράγματα κατείληφεν ἄτοπα. λογισάμενος γάρ ποτε ἐγὼ κατ᾽ ἐμαυτὸν, καὶ οἰηθεὶς ὡς ἁπάντων τῶν πώποτε πρὸ ἐμαυτοῦ γεγονότων εἴην τοσοῦτον σοφώτερος, ἔγνων παραβολάς τε συνεῖναι καὶ πραγμάτων φύσεις, φθάσω δὲ ματαίως τῇ ἄλλως ἐπὶ τούτῳ φρυάξας, καὶ σοφίαν μὲν γνώσει ἐπιτάξας, γνώσει δὲ πόνους ἐπακολουθεῖν. ἀπὸ δὴ τοῦ οὕτως ἔχειν νομίσας, ἔγνων ἐπὶ ἑτέραν ἰδέαν τραπέσθαι βίου, καὶ ἐκδοῦναι μὲν ἐμαυτὸν τρυφῇ, πειρᾶσθαι δὲ λαβεῖν ἡδονῶν ποικίλων. νῦν τοίνυν συνῆκα ὡς τὰ τοιαῦτα μάταια σύμπαντα, καὶ γέλωτα μὲν ἐπὶ φερόμενον ἐπέσχον. ἡδονὴν δὲ πρὸς τὸ σωφρονεῖν ἐκόλασα πικρῶς, ἐπιτιμήσας αὐτῇ. λογισάμενος δὲ, ὅτι ψυχὴ δύναται φθίσαι μεθύουσαν καὶ ῥέουσαν ὥσπερ οἶνον σώματος φύσιν, ἐγκράτεια δὲ δουλοῦται ἐπιθυμίαν, προεθυμήθην κατιδεῖν, τί ποτε εἴη προκείμενον ἀνθρώποις σπουδαῖον, καὶ τῷ ὄντι καλὸν ὃ κατὰ πράξουσι παρὰ τὸν τῇδε βίον. διεξελήλυθα γὰρ τὰ λοιπὰ σύμπαντα ὅσ᾽ ἀξιάγαστα νομίζεται, οἴκων τε ὑπερυψήλων ἀνορθώσεις καὶ φυτείας ἀμπέλων, ἔτι δὲ παραδείσων κατασκευὰς, καὶ παντοίων δένδρων καρποφόρων κτήσεις καὶ ἐπιμελείας. ὅπου δὲ καὶ δεξαμενὰς μεγάλας πρὸς ὑποδοχὰς ὕδατος κατεσκευασάμεθα, εἰς δαψιλῆ ἄρδειαν τῶν φυτῶν ἀποτετμημένας. περιεβαλόμην δὲ καὶ οἰκετῶν πλῆθος, θεράποντας καὶ θεραπαίνας· ἄλλους μὲν ἔξωθεν κτησάμενος, ἄλλους δὲ καὶ παρ᾽ ἐμαυτῷ γενομένους κεκτημένος. ζώων δὲ τετραπόδων ἀγέλαι, πολλαὶ μὲν βουκολίων, πολλαὶ δὲ ποιμνίων ὑπὸ τὴν ἐμὴν ἦλθον ἐξουσίαν τῶν ὁντινοῦν τῶν πάλαι. θησαυροί τε χρυσοῦ τε καὶ ἀργύρου περιέρρεον. δορυφόρους μοι καὶ δασμοφόρους, τοὺς ἁπάντων βασιλεῖς πεποιημένῳ, χοροί τε συνεκροτοῦντο παμπληθεῖς, ἀρρένων δὲ τῶν ὁμοῦ καὶ θηλειῶν εἰς τὴν ἐμὴν τέρψιν, παναρμόνιον ἐκπονούντων ᾠδήν. συμπόσια γε μὴν καὶ οἰνοχόους ἃς εἰς τοῦτο ἀπέταξα τῆς τρυφῆς μέρος ἐξ ἑκατέρου γένους ἀνθρώπων ἐξειλεγμένους, οὐδ᾽ ἂν καταλέγειν ἔχοιμι, τοσοῦτον ὑπερέβαλον τούτοις τοὺς πρὸ ἐμοῦ βασιλεύσαντας Ἱερουσαλήμ. εἶτα συνέβαινε, τὰ μὲν τῆς σοφίας μοι ἐλαττοῦσθαι, πληθύνειν δὲ τὰ τῆς οὐκ ἀγαθῆς ἐπιθυμίας. παντὶ γὰρ ὀφθαλμῶν τε δελεάσματι, καὶ καρδίας ἀκρατέσιν ὁρμαῖς, ἐφ᾽ ἃς πανταχόθεν προσαπήχθησαν, ἡδονῶν ἐλπίσιν ἐμαυτὸν ἐκδεδωκὼς, καὶ πάσαις τρυφαῖς δουλείας, τὴν ἐμαυτοῦ ἐγκατέδησα προαίρεσιν. οὕτω γάρ μου αἱ ἐνθυμήσεις, εἰς δυσπραγίαν ἐνέχθησαν, ὡς ταῦτα μὲν εἶναι καλά, ταῦτα δέ μοι προσήκειν διαπράξασθαι νομίζειν. εἶτα ποτὲ ἀνανήψας ἐγὼ καὶ ἀναβλέψας, κατεῖδον ἅπερ ἐν χερσὶν εἶχον, μοχθηρά τε καὶ ὁμοῦ καὶ παγχάλεπα, πνεύματος οὐκ ἀγαθοῦ ποιήματα, οὐδὲν γὰρ ὁποιοῦν ὑπὸ ἀνθρώπων εὑρημένον, ἀρκοῦν εἶναί μοι νῦν καταφαίνεται καὶ τῷ λοιπῷ σπουδαῖον ὀρθῷ λογισμῷ. συλλογισάμενος δὲ ὅτι τά τε σοφίας ἀγαθὰ, καὶ τὰ ἀφροσύνης κακά, εἰκότως ἂν ἱκανῶς θαυμάζοιμι ἄνδρα τοιοῦτον, ὅς τις φερόμενος ἀλόγως ἔπειτα ἑαυτὸν ἀναλαβόμενος, εἰς τὸ δέον ἐπιστρέψει. φρονήσεως γὰρ καὶ ἀφροσύνης, πολὺ τὸ μέσον. διαφορὰ δὲ ἀμφοῖν τοσαύτη, ὅση περ ἡμέρας πρὸς νύκτα. ἔοικε τοίνυν, ὁ μὲν ἀρετὴν ᾑρημένος, τρανῶς τε ἕκαστα καὶ ἄνω βλέποντι τοῦ τε ἑαυτοῦ πορείας, λαμπροτάτῳ φέγγους καιρῷ πεποιημένῳ. ὁ δ᾽ αὖ κακίᾳ ἐμπεπλεγμένος, καὶ πλάνῃ παντοίᾳ ὡς ἐν σκοτομαίνῃ πλανωμένῳ, τυφλός τε ὢν τὴν πρόσοψιν, καὶ ὑπὸ τοῦ σκότους τὴν πραγμάτων ἀφῃρημένος. τέλος δὲ ἐπινοήσας ἑκατέρου τοῦ βίου τούτων ἐγὼ τὸ διάφορον, εὗρον ὕστερον οὐδὲν, καὶ ὡς κοινὸν ἀφόνως ἐμαυτὸν καταστήσας, τὰ τῆς ἀφροσύνης ἐπίχειρα δέξομαι. τί γὰρ ἦν τῶν σοφισμάτων ἐκεῖνον ἀγαθόν, ἢ ποία ὄνησις τῶν πολλῶν λόγων, ὅσα γε τὰ φλυαρίας ῥεύματα, ὥσπερ ἐκ πηγῆς ὁρμᾶται τῆς ἀφροσύνης. σοφῷ δὲ καὶ ἄφρονι κοινὸν οὐδὲν, οὐ κατὰ ἀνθρώπων μνήμην, οὐ κατὰ θεοῦ ἀμοιβήν, τῶν δ᾽ ἐν ἀνθρώποις πραγμάτων, ἔτ᾽ ἄρχεσθαι δοκούντων, ἤδη τὸ τέλος ἐπιλαμβάνει ἁπάντων. σοφὸς δὲ οὐδέ ποτε ἀσυνέτῳ τοῦ αὐτοῦ κοινωνεῖ τέλους. ἐμίσησα τοίνυν καὶ τὸν σύμπαντά μου βίον, τὸν ἐν τοῖς ματαίοις ἀναλωθέντα, ὃν διήγαγον τοῖς περὶ γῆν πόνοις προσεστηκώς. ὡς γὰρ συνελόντι φάναι, πάντα μοι λυπηρῶς ἐκμεμόχθηται ὁρμῆς ἀλογίστου γενόμενα ποιήματα, καὶ διαδέξεταί τις αὐτὰ ἕτερος, εἴτε σοφὸς, εἴτε ἠλίθιος, τὰς ψυχὰς τῶν ἐμῶν καμάτων ἐπικαρπίας. ἀποβαλομένῳ δέ μοι ταῦτα καὶ ἀπορρίψαντι, κατεφάνη τὰ τῷ ὄντι ἀγαθὰ προκείμενα ἀνθρώπῳ, σοφίας τε γνῶσις, καὶ κτῆσις ἀνδρείας. εἰ δέ τις τούτων μὲν οὐκ ἐφρόντισεν, ἑτέρως δὲ ἐπόνησεν, ὁ τοιοῦτος, ἄλλο μὲν πονηρὰ ἀντὶ ἀγαθῶν, μετῆλθε δὲ κακίαν ἀντὶ χρηστότητος, καὶ μόχθον ἀνθ᾽ ἡσυχίας ταραχαῖς ποικίλαις περιελκόμενος, νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν συνεχόμενος ἀεί, σώματός τε ἐπείγουσι καμάτοις, καὶ ψυχῆς φροντίσιν ἀδιαλείπτοις, σφαδαζούσης αὐτῷ τῆς καρδίας,

ἀλλοκότως

ἀλλοκότην εἶναι πραγμάτων. οὐ γὰρ τὸ τέλειον ἀγαθὸν παρὰ βροτοῖσι τὶ καὶ πόσον ἐξαίρει, εἰ καὶ μάλιστα ἐκ θεοῦ ἀνθρώποις γίνονται αἱ τροφαί. οὐδὲν γὰρ τῶν πρὸς ἀπάτειαν ἡμῖν δεδομένων ἔξω τῆς αὐτοῦ ὑπάρχει προνοίας. ἀλλ' ὁ μὲν ἀγαθὸς ἀνήρ, σοφίας ἐκ θεοῦ τυχών, εὐφροσύνης ἔτυχεν οὐρανίου. ὁ δ' αὖ πονηρός, θνητοῖς ἐλαυνόμενος κακοῖς, πλεονεξίαν νοσῶν, πολλά τε ἀθροίζειν σπουδάζει, καὶ τὴν ἀπὸ θεοῦ τετιμημένοις ἐναντίοις τῶν πάντων δεσπότου ὀνειδίζειν σπεύδει, δῶρα προτείνων ἄχρηστα, δολερά τε ὁμοῦ καὶ μάταια τῆς ἑαυτοῦ ἀθλίας ψυχῆς σπουδάσματα πεποιημένος. χρόνος δὲ οὗτος πάντων γέμει τῶν ἐναντιωτάτων, τοκετῶν, εἶτα θανάτων, βλαστήσεως φυτῶν, εἶτα ἀνατροπῆς, ἰάσεως καὶ ἀναιρέσεως, οἰκοδομῆς, εἶτα καθαιρέσεως, καὶ κλαυθμῶν καὶ γελώτων, κοπετῶν καὶ ὀρχησμάτων. νῦν μὲν συνάγει τις τὰ ἐκ γῆς, νῦν δὲ ἐξέβαλε. καὶ ποτὲ μὲν ἐπιμέμηνε γυναικί, ποτὲ δὲ αὐτὴν ἀποφεύγει. καὶ νῦν μὲν ἐζήτησέ τις ὁτιοῦν, νῦν δὲ ἀπώλεσε. καὶ νῦν μὲν ἐφύλαξε, νῦν δὲ προήκατο. ἄλλοτε ἀπέκτεινεν, ἄλλοτε ἐφείσθη. ἐλάλησεν, εἶτα ἡσύχασεν. ἠγάπησεν, εἶτα ἐμίσησε. τὰ γὰρ ἐν ἀνθρώποις πράγματα ποτὲ μὲν πολεμεῖται, ἄλλοτε δὲ εἰρηνεύεται, ὀξυῤῥόπως τῶν πραγμάτων ἐξ ἀγαθῶν ἐστὶν τὰ κακῶν τῶν εἰς ὁμολογούμενα κακὰ μεταπιπτόντων. παυσάμεθα τοίνυν ἐξ ἀνοήτων μόχθων. ταῦτα γὰρ ἅπαντα, ὥς γε μοι δοκεῖ, κέντροις ἰοβόλοις ἀνθρώπων ἐξοιστρεῖν ἐτέθη. καιροσκόπος δέ τις πονηρὸς τὸν αἰῶνα ἐφόρας περικέχηνεν, ἀφανίσαι ὑπερδιατεινόμενος τὸ τοῦ θεοῦ πλάσμα, ἐξ ἀρχῆς αὐτοῦ μέχρι τέλους πολεμεῖν ἡρημένος. πέπεισμαι τοίνυν τὰ μέγιστα ἀγαθὰ ἀνθρώπῳ εὐθυμίαν καὶ εὐποιΐαν ὑπάρχειν, καὶ μέντοι καὶ τὴν πρόσκαιρον ταύτην ἀπόλαυσιν ἐκ θεοῦ παραγενέσθαι μόνον, εἰ δικαιοσύνη τῶν πράξεων ἡγοῖτο, τῶν τε αἰωνίων καὶ ἀφθάρτων πραγμάτων, ὅσα ὁ θεὸς παγίως ἔθεσεν, οὔτε τι ἀφελεῖν, οὔτε τι προσθεῖναι δυνατόν. οὔ τινι οὖν, ἀλλ' ἔστιν, ἐκεῖνα φοβερά τε ὁμοῦ καὶ θαυμαστά. καὶ τὰ μὲν γενόμενα ἔστηκε, τὰ δὲ ἐσόμενα ἤδη κατὰ τὸ προεγνῶσθαι γεγένηται. θεῷ δὲ κέκριται ὁ ἀδικούμενος βοηθῷ. εἶδον ἐν τοῖς κάτω μέρεσι, κολάσεως μὲν βάραθρον τοὺς δυσσεβεῖς δεχόμενον, εὐσεβέσι δὲ χῶρον ἕτερον ἀνειμένον. ἐλογισάμην δὲ πάντα ἔμμετρα ὑπάρχειν παρὰ θεῷ νομίζεσθαι καὶ κρίνεσθαι, τούτων ἐστὶ δικαίων καὶ ἀδίκων, λογικὰ καὶ ἄλογα. χρόνον τε γὰρ ἅπασιν ὁμοίως ἐπιμεμετρῆσθαι, καὶ θάνατον ἐπηρτῆσθαι, τουτόν τε εἶναι παρὰ θεῷ κτήνεσί τε καὶ ἀνθρώπων φύλα. διαφέρειν δὲ ἀλλήλων, μόνῳ τῷ διαρθρῷ τῆς φωνῆς. συμβαίνει δὲ αὐτοῖς ἅπαντα παραπλήσια, καὶ τὸν θάνατον χωρεῖν, οὐδὲν μᾶλλον εἰς τὰ λοιπὰ τῶν ζώων, ἤπερ καὶ ἐπ' ἀνθρώπων. πνεῦμα γὰρ πᾶσιν ὅμοιον εἶναι, καὶ πλέον ὑπάρχειν ἐν ἀνθρώποις μηδέν, ἀλλὰ πάντα αἰεὶ λόγῳ εἶναι μάταια, ἀπὸ τῆς αὐτῆς γῆς λαβόντα τὴν σύστασιν, καὶ εἰς τὴν αὐτὴν γῆν ἕξοντα τὴν ἀνάλυσιν. ἄδηλον γάρ ἐστι περί τε τῶν ἀνθρωπίνων ψυχῶν, εἰ ἀναπτήσονται ἄνω, καὶ περὶ τῶν λοιπῶν εἰς τὰ ἄλογα κέκληνται, εἰ κάτω διαῤῥυήσονται. καί μοι ἐδόκει μηδὲν ἕτερον ὑπάρχειν ἀγαθόν, εἰ μὴ τρυφὴ καὶ τῶν παρόντων χρῆσις. οὐ γάρ ἐστι πάλιν ἄνωθεν, ἐπὶ τὴν ἀπόλαυσιν τούτων ἐλθεῖν δυνατόν, ἅπαξ ἀνθρώπῳ θανάτου γευσαμένῳ. ἀπὸ δὲ τούτων ἁπάντων ἐμαυτὸν ἐπιστρέψας τῶν οἰκτρῶν κατεσκεψάμην, καὶ ἀπεστρεφόμην πάντα ἃ δὴ συκοφαντοῦνται οἱ ἄνθρωποι πλαζόμενοι. ἐξ ὧν τινὲς μὲν ἀδικούμενοι δακρύουσι καὶ θρηνοῦσι, βίᾳ καταβεβλημένοι τῶν ἐπαμυνόντων, ἢ ὅλως τῶν ἀμυνησομένων αὐτοὺς πάσης παντάχοθεν κατεχούσης ἀχρείας. οἱ δὲ χειροδίκαι εἰς ὕψος αἴρονται, ἐξ οὗ καὶ πεσοῦνται. τῶν δὲ ἀδίκων καὶ θρασέων, οἱ μὲν ἀποθανόντες, ἄμεινον παρὰ τοὺς μέχρι νῦν ζῶντας ἔπραξαν. αἱρετώτερος δὲ τούτων ἀμφοτέρων, ὁ ὅμοιος αὐτοῖς ἐσόμενος, μηδέπω δὲ γεγονώς, ὅτι οὔπω τῆς κατὰ τὰ ἀνθρώπων ἥψατο πονηρίας. φανερὸν δέ μοι ἐγένετο καὶ ὁπόσος ἀνδρὶ φθόνος παρὰ τῶν πέλας ἕπεται, οἶστρος ὑπάρχων πονηροῦ πνεύματος· καὶ ὅτι ὁ ἀποδεξάμενός τε αὐτόν, καὶ οἱονεὶ προστερνισάμενος, οὐδὲν ἕτερον ἔχει, ἢ τὸ διεσθίειν τὴν ἑαυτοῦ ψυχήν, καὶ διαπρίειν τε καὶ δαπανᾶν μετὰ τοῦ σώματος ἑαυτοῦ λύπῃ ἀπαραμυθήτῳ, τὴν τῶν ἄλλων εὐπραγίαν τιθέμενος. ἕλοιτο δ' ἄν τις εὖ φρονῶν θατέραν ἐμπλῆσαι τῶν χειρῶν, σὺν ῥᾳστώνῃ καὶ πραότητι, ἤπερ ἀμφοτέρας σὺν μόχθῳ καὶ δολεροῦ πνεύματος πανουργίᾳ. ἔστι δέ τι καὶ ἕτερον, ὅπερ οἶδα συμβαῖνον παρὰ τὸ προσῆκον, ἄνδρα ἕνα προαιρέσεως οὐκ ἀγαθῆς, ὃς μεμονωμένος πάντοθεν, καὶ οὔτε ἀδελφὸν ἔχων, οὔτε υἱόν, κτήμασι δὲ πολλοῖς εὐθηνούμενος, ἀπληστίᾳ συζῶν, χρηστότητι ἑαυτόν, οὐδ' ὅλως ὁπουοῦν ἐπιδοῦναι θέλει. ἡδέως οὖν ἂν αὐτοῦ πυθοίμην, ὅτου χάριν ὁ τοιοῦτος μοχθεῖ, τὸ ἀγαθόν τι δρᾶσαι, προτροπάδην φεύγων, ποικίλαις δὲ τοῦ χρηματίσασθαι πόθοις ἐπιθυμίαις διαπανώμενος. πολλῷ δὲ τούτου βελτίους, οἱ κοινωνίαν ἅμα βίου ἐστείλαντο, ἐξ ἧς καρποῖτο ἂν τὰ βέλτιστα. δύο γὰρ ἀνδρῶν τοῖς αὐτοῖς πράγμασιν ὀρθῶς προσκειμένων, εἰ καὶ θατέρῳ τινὶ προσπέσοι τι, ἀλλὰ μὴν οὐ μικρὰν ἐπικουρίαν ἔχει, τὸν αὐτῷ συνόντα, μεγίστη δὲ

καὶ τὴν

συμφορὰ ἀνθρώπῳ δυσπραγοῦντι, καὶ ἡ ἐρημία τῶν ἀνακτισμένων. οἶδ' οὖν ὁμοδίαιτοι,
καὶ τὴν εὐπραγίαν αὐτοῖς ἐδιπλασίαζον, καὶ πραγμάτων ἀβουλήτων χειμῶνα παρεμ-
διέζευντο, ὥστε καὶ ὑπερμβάλλειν τῇ ἐπαλλήλοις λαμπρύνεσθαι παρρησίᾳ, καὶ νύκτωρ φαι-
δρότητι συμμιγνύσθαι. ὁ δὲ βίον ἀκοινώνητον ἕλκων, φρικώδη τινὰ ἑαυτῷ διεξάγει ζωὴν, οὐκ ᾐδη-
μένος, ὡς εἰ καὶ ἐπίθοιτό τις ἀνθρώποις συμπεφραγμένοις, θρασέως καὶ οὐκ ἀσφαλῶς βου-
λεύονται, καὶ ὅτι οὐδὲ χοῖνος τριπλοῦς ῥᾳδίως ἀπορρήγνυσθαι πέφυκεν. ἐγὼ δὲ προκρίνω
νέον πένητα σώφρονα, γέροντος βασιλέως ἄφρονος. ᾧ ἐνθύμιον οὐ γίγνεται, ὡς δυνα-
τόν ἐστι, τὸν μὲν ἐκ τοῦ δεσμωτηρίου τινὰ εἰς τὸ βασιλεύειν καταστῆναι. αὐτὸν δὲ τὸν ἀδίκως δυ-
ναστεύοντα, δικαίως ὕστερον ἐκπεσεῖν. συμβαίνει γὰρ τῶν ὑπὸ τὸν ἥλιον νέῳ μὲν, ἔμφρονι δὲ ταττο-
μένων, ἀλύπων εἶναι τῶν ὅσοι προγενέστεροι. οἱ γὰρ μετέπειτα γινόμενοι, διὰ τὸ ἑτέρου ἀ-
πειράτως ἔχειν, οὐδὲ τοῦτον ἐπαινεῖν δύνανται, ἀγόμενοι τῇ γνώμῃ ἀλογίστῳ, καὶ ὁρμῇ πνεύ-
ματος ἐναντίου. ἐκκλησιάζων δὲ πρὸ ὀφθαλμῶν ἔχε τόν τ' ἑαυτοῦ βίον ὀρθῶς διατηρεῖ-
σθαι, καὶ ὑπὲρ τῶν ἀφρόνων εὔχεσθαι, ὅπως ἐπίσταιντο σύνεσιν λαβόντες, ἐκκλίνειν τὴν
πρᾶξιν τῶν πονηρῶν. γλῶσσαν δὲ φείδεσθαι καλὸν, καὶ εὐσταθεῖ σου χρῆσθαι καρδίᾳ ἐν τῇ περὶ
λόγων σπουδῇ. οὐ γὰρ χρὴ ἀλογίστως οὔτε ἔχοντα, καὶ ἄτοπα, ἢ τὰ ἐπὶ νοῦν ἐλθόντα,
ταῦτα προΐεσθαι διὰ τῆς φωνῆς· ἀλλ' ἐνθυμουμένον, ὅτι εἰ καὶ πολὺ ἀφεστήκαμεν οὐρανοῦ.
γινώσκειν χρὴ, ὅτι ἐπηκόῳ φθεγγόμεθα θεῷ, καὶ ἔστι λυσιτελὲς λαλεῖν ἀπεριττῶς. ὥ-
σπερ δὲ φροντίσι ψυχῆς ποικίλαις ἕπεται ὀνειράτων παντοδαπὴ φαντασία, οὕτω καὶ
ἀφροσύνῃ φλυαρία συνέζευκται· ἐπαγγελία δὲ δι' εὐχῆς γινομένη, τέλος λαμβανέτω δι'
ἔργου. ἀφρόνων δὲ ἴδιον, τὸ ἀχρεβλήτους εἶναι. σὺ δὲ ἀληθὴς ἔσο, γινώσκων ὡς πολλῷ ἄμεινον μὴ εὔ-
ξασθαί σε, μηδὲ ὑποσχέσθαι τί πράξειν, ἢ εὐξάμενον, εἶτα παραλιπεῖν. δεῖ δὲ παντοίως φεύ-
γειν τὴν τῶν οὐ καλῶν ῥημάτων ἐπιφορὰν, ὡς ἀκουσομένου θεοῦ. τῷ γὰρ ταῦτα ἐνθυμουμένῳ
πλέον οὐδέν ἐστιν, ἢ τὸ αἰσθάνεσθαι τῶν ἑαυτοῦ ἔργων ὑπὸ θεοῦ διαφθειρομένων. ὥσπερ γὰρ
τὰ πολλὰ ἐνύπνια μάταια, οὕτω καὶ τὰ πολλὰ ῥήματα. φόβος δὲ θεοῦ, ἀνθρώπων σω-
τήριος. ἀπορίᾳ δὲ, ὅθεν οὐ χρὴ θαυμάζειν ἀφορῶντα πρός τε πένητας συκοφαντουμένους,
καὶ πρὸς δικαστὰς παραλογιζομένους. χρὴ δὲ ἐκβλέπεσθαι τὸ τῶν δυνατωτέρων μείζονας εἶναι
δοκεῖν. καὶ γὰρ ἐκγίνονται τοῦτο, ἀλλ' οὖν τῶν ἐσομένων σοι φοβερῶν, οὐ ῥύεταί σε ἡ κατ'
αὐτὴν πονηρία. ὥσπερ δὲ κτῆμα τὸ ἐξ ἁρπαγῆς βλαβερώτατον καὶ ἀνοσιώτατον, οὕτω καὶ
ἐνδεεῖ ἐπιθυμητῇ χρημάτων, οὐκ ἐγγίνεται κόρος. οὐδ' ἡ παρὰ τῶν πέλας εὔνοια, κἂν ὅ-
που μάλιστα πάμπολυ ἀργύριον ἐπικτήσωνται. τοῦτο μὲν γὰρ μάταιον. ἀγαθότης δὲ τοὺς
συνόντας αὐτῇ ὑπερευφραίνουσα, ἀνδρείους ἀπεργάζεται τοὺς καθορᾶν ἕκαστα τῶν πρα-
γμάτων, παρέχουσα τὴν δύναμιν· μέγα δὲ καὶ τὸ μὴ προσεπικεῖσθαι τοιαύταις φροντίσιν. ὁ
μέν γε πένης, κἂν δοῦλος ᾖ, καὶ μὴ ὑπερεμπλήσας τὴν ἑαυτοῦ γαστέρα, προσηνοῦς μεταλαμ-
βάνει τῆς διὰ τοῦ ὕπνου ἀναπαύσεως. πλούτου δὲ ἐπιθυμία, σύνεστιν ἀγρυπνίαις καὶ καμάτοις ψυ-
χῆς. τί δ' ἂν γένοιτο τούτου ἀτοπώτερον, ἢ τὸ μετὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀποθη-
σαυρίζοντα τὸν πλοῦτον συντηρεῖν, μνείαν ἑαυτῷ φυλάσσοντα κακῶν ἀφορμήν. καὶ τὸν δὲ
πλοῦτον ἐκεῖνον ἀνάγκη ἀπολέσθαι ποτὲ καὶ διαφθαρῆναι, εἴτε γένοιτο τῷ κτησαμένῳ τέ-
κνα· εἴτε καὶ μὴ, αὐτόν τε εἰ καὶ μὴ βούλοιτο προσήκει [illegible] εἰς τὴν γῆν πεσεῖν καὶ ἀπελ-
θεῖν, οἷος καὶ ὁπότε εἰς τὸ εἶναι πρῶτον ἐτύγχανε. κεναῖς δὲ χερσὶν ἀπιέναι μέλλων, αὔξει τὴν
ἑαυτοῦ κακίαν. ὥσπερ οὐκ ἐνθυμούμενος, ὅτι ἐπίκειται αὐτῷ τέλος τοῦ βίου τῇ γενέσει ὅμοιον,
καὶ ὅτι ἀνόνητα μοχθεῖ. εἰς δέ τινα μᾶλλον ἄνεμον ὁρμὴν, ἤπερ τῇ ἑαυτοῦ σπουδῇ χαριζόμενος,
καταναλώσας τὸν ἑαυτοῦ βίον σύμπαντα, ἔν τε ἐπιθυμίαις ἀνοσιωτάταις, καὶ ἐν ὁρμαῖς
ἀλόγοις, ἔτι δὲ λύπαις καὶ ἀρρωστίαις. καὶ συνελόντι φάναι, σκότος μέν εἰσι τῷ τοιούτῳ
αἱ ἡμέραι. πένθος δὲ ἡ ζωή. ἀγαθόν γε μὴν ἐκεῖνο καὶ οὐκ ἀπόβλητον. θεοῦ γάρ ἐστι δῶρον, τὸ
δυνηθῆναι ἀπολαῦσαι ἄνθρωπον τῶν ἑαυτοῦ καμάτων ἐν εὐφροσύνῃ θεόσδοτα, καὶ οὐχ ἁρ-
πακτικὰ δεξάμενον κτήματα. οὔτε γὰρ λύπαις οὗτός γε νοσεῖ, οὔτε ὡς ἐπὶ πολὺ ἐνθυμήσεσι πο-
νηραῖς δουλεύει. συμμετρεῖται δὲ τὸν ἑαυτοῦ βίον εὐποιΐαις, τοῖς πᾶσιν εὐθυμούμενος. καὶ ἀ-
γαλλόμενος τῇ τοῦ θεοῦ δωρεᾷ. περιέξομαι δὲ τῷ λόγῳ, τὴν μάλιστα ἐπιπολάζουσαν ἀνθρώ-
ποις κακοπραγίαν, ὅταν θεὸς μὲν τὰ καταθύμια αὐτῶν ἅπαντα ἐπιχορηγήσῃ, μηδενὸς
οὑτινός, τῶν εἰς ἐπιθυμίαν ἐλθόντων αὐτῷ ἀφέληται, μὴ περιουσίας, μὴ πολυδοξίας, μὴ τῶν
λοιπῶν περὶ ὅσα ἄνθρωποι ἐπτόηνται. ὁ δὲ τοῖς πᾶσιν εὐθηνούμενος, ὥσπερ τούτῳ μόνῳ θε-
ηλάτῳ κακῷ συνεχόμενος, τῷ μὴ ἀπολαύειν, ἑταίρῳ τῷ αὐτοῦ ταμιεύσεται, ξένος ὢν ἄκαρ-
πος καὶ ἑαυτῷ, καὶ τοῖς πλησίον. τοῦτο μέγα τεκμήριον καὶ ἔλεγχον περιφανῆ, ὑπερβαλ-
λούσης ἐγὼ τίθεμαι πονηρίας ἄνδρα τε ἐκεῖνον, ὃς πλείστων πατὴρ ὀνομασθεὶς τέκνων ἀσι-
νῶς, βιοὺς δὲ χρόνον μακρὸν, οὐκ ἐπλήσθη χρηστότητος τὴν ψυχὴν ἐπὶ τοσοῦτον, θανάτου πε-

ρας οὐ λαβὼν, τοῦτον ἔγωγε, οὔτε τῆς πολυπαιδίας, οὔτε τῆς πολυημερίας ζηλώσαιμ' ἄν.
καὶ προκρίνω δὲ αὐτοῦ τὸ ἄωρον γαστρὸς μητρώας ἐκπεσὸν ἔμβρυον. ἐκεῖνο γὰρ ὥσπερ ἦλθε
ματαίως, οὕτως ἄπεισι καὶ λαθραίως ἐν ἀμνηστίᾳ, οὐχ ἁψάμενον κακῶν, οὐδὲ προσβλέψαν
ἡλίῳ. τοῦτο κουφότερον, ἤπερ τῷ πονηρῷ, κἂν χιλίοις ἔτεσι τὴν ἑαυτοῦ ζωὴν ἀναμετρησαμέ-
νῳ ἀγαθὸν ὅπερ τι μὴ ἐπιγνῶ. τέλος δὲ ἀμφοῖν θάνατος, ἐλεγχομένου ἄφρονος, μάλιστα
περὶ πλησμονὴν μηδ' ὁπωσοῦν λαμβάνειν ἐπιθυμίας. ὁ δὲ σώφρων, τούτοις οὐκ ἀνέχεται τοῖς
πάθεσι. ὡς δ' ἐστὶ τὸ πλεῖστον εὐθὺ τῆς ζωῆς ἀνθρώποις τῇ πενίᾳ ὁδηγεῖ, ὑφίστησι δὲ πολλοὺς ὀ-
φθαλμῶν λίχνων θεάματα, τὴν ψυχὴν ἐρεθίζοντα, ἐπ' ἀνόνητον σπουδὴν ἕλκοντα, διὰ
τοῦ ὀφθῆναι κενῆς ἐπιθυμίας. τὰ μέν τοι νῦν γεγενημένα ἤδη ἔγνωσται καὶ σαφὲς τυγ-
χάνει, ὡς τοῖς ὑπὲρ αὐτὸν ἄνθρωπος ἀντιτάττεσθαι οὐχ οἷός τε. φλυαρίαι γε μὴν κατὰ
ἀνθρώπων στρέφονται, τὴν τῶν χρωμένων ἄνοιαν ἐπαυξάνουσαι. μηδαμῶς γὰρ πλέον τι
ὠφελουμένου τοῦ γινώσκοντος τὰ ἐν τῷ συμβησόμενα παρὰ τὸν βίον καταθύμια. θεοῦ
μὲν γὰρ τοῦτο, ὅμως δὲ καὶ τῶν ἀνθρώπων περιεργία ἐπιτεχνᾶται, ὡς καὶ τὰ μετὰ θάνα-
τόν τινος ἑκάστου ἐσόμενα, πολυπραγμονεῖν τι καὶ δοκεῖν εἰδέναι. μνήμη δὲ ἀγαθὴ ψυχῇ
προσηνεστέρα, ἤπερ σώματι ἔλαιον· καὶ βίου ἔξοδος, ἀμείνων γενέσεως· καὶ αἱρετώτερον
πενθεῖν, ἢ κωμάζειν, καὶ τὸ παρεῖναι τοῖς λυπουμένοις, ἢ τοῖς μεθυσκομένοις. ἔστι γὰρ οὕτω
λαβόντα τινὰ τοῦ βίου τέλος μὴ ἐπιλανθάνεσθαι περὶ τῶν ἀμφ' αὐτόν. γέλωτος δὲ θυμὸς ἔμ-
φρων προτιμότερος. αὐστηρὰ γὰρ διαθέσει προσώπου, κατορθοῦται ψυχή. αἱ μὲν τοίνυν
τῶν σοφῶν ψυχαὶ, σκυθρωπάζουσι καὶ συστέλλονται, αἱ δὲ τῶν ἀφρόνων, ἐπαιρόμεναι δια-
χέονται. πολὺ δέ ἐστιν εὐκταιότερον ἐπίπληξιν σοφοῦ ἀνδρὸς δέξασθαι, ἢ ὅλου χοροῦ ἀνθρώπων
φαύλων καὶ δυστήνων ᾠδὴν τῶν γενέσθαι ἀκροατήν. τῶν γοῦν ἀφρόνων ἀνθρώπων ὁ γέλως,
ἀκανθῶν πολλῶν λαύρων πυρὶ καιομένων ἤχῳ προσέοικεν. ἄθλιον δὲ καὶ τοῦτο, κακόν γε μὴν
μέγιστον ἡ συκοφαντία. αὕτη γὰρ καὶ σοφῶν ἐπιβουλεύει ψυχαῖς, καὶ ἐπιχειρεῖ διαφθείρειν
τὴν γενναίαν στάσιν τῶν ἀγαθῶν. λόγων δὲ οὐκ ἀρχόμενον, ἀλλὰ παυόμενον, ἐπαινεῖν προ-
σήκει, καὶ τὸ μέτριον ἦθος ἀποδέχεσθαι, καὶ μὴ τὸ μετεωριζόμενον καὶ τετυφωμένον. πάνυ
δὲ χρὴ θυμοῦ φείδεσθαι, καὶ μὴ εἰς ὀργὴν προχείρως καταφέρεσθαι, ᾗ τινι ἄφρονες δουλεύου-
σιν, ἁμαρτάνουσι δὲ οἱ λέγοντες τοῖς προτέροις ἀμείνονα δεδόσθαι βίον. καὶ οὐ συνιᾶσιν, ὅτι πάμ-
πολυ διαφέρει σοφία, τῆς τῶν χρημάτων περιουσίας· καὶ τοσοῦτόν ἐστι φανερωτέρα, ὅσον
ἄργυρος λαμπρότερος φαίνεται τῆς ἑαυτοῦ σκιᾶς. ζωὴ γοῦν ἀνθρώπου, οὐκ ἐξ ἐπικήρου πλού-
του κτήσεως, ἀλλ' ἐκ σοφίας περιγίνεται. τίς δὲ καὶ δυνήσεται, εἰπέ μοι, τὴν τοσαύτην τε
οὕτω χρηστὴν τοῦ θεοῦ πρόνοιαν ἐξειπεῖν; ἢ τίς ἀνακαλέσασθαι τὰ δοκοῦντα παρημελῆσθαι
ὑπὸ θεοῦ δικαίως; πάλαι δὲ οὐκ ὀρθῶς πρότερον ἔγωγε κατενόησα τὰ σύμπαντα, καὶ
δίκαιον ἐμμένοντα τῇ δικαιοσύνῃ, καὶ μέχρι θανάτου μὴ ἐξιστάμενον, ἀλλὰ καὶ δι' αὐτὴν ἐπι-
βουλευόμενον, καὶ ἀσεβεῖς συναποθνήσκοντας τῇ ἑαυτοῦ κακίᾳ. χρὴ δὲ δίκαιον ὄντα, μὴ πάνυ
τοιοῦτον εἶναι δοκεῖν, μηδὲ ἄγαν σοφὸν καὶ ὑπέρμετρον, ὅπως μή τι πταίσας, πολλαπλασίο-
να ἁμαρτήσῃ. καὶ μὴ ἴσο τολμηρὸς καὶ προπετὴς, μή σε θάνατος ἁρπάσῃ ἄκαιρος. μέ-
γιστον δὲ ἀγαθὸν ἀντιλαμβάνεσθαι θεοῦ, καὶ ἐν τούτῳ ὄντα μηδὲν ἁμαρτάνειν. τῶν γὰρ ἀ-
μιάντων χερσὶν ἀνάγκη ψαύειν μυσαρῶν. ὁ δὲ μετὰ φόβου θεοῦ ὑπείκων ἅπαντα διαφεύγει
τἀναντία. σοφία δὲ βοηθείας, στίφους ἀνδρῶν τῶν δυνατωτάτων ἐν πόλει μείζονα δύνα-
ται, ἣ καὶ συγγινώσκει δικαίως πολλάκις τῶν δεόντων ἀποτυγχάνουσιν. ἄπταιστος γάρ ἐστιν οὐδὲ
εἷς. ἀσεβῶν δὲ λόγοις, οὐδ' ὁπωσοῦν τι χρὴ προσέχειν, ὅπως μὴ τῶν κατὰ σοῦ λόγων αὐτή-
κοος γενόμενος, ὥσπερ δούλου πονηροῦ φλυαρίας, ἔπειτα δηχθεὶς τὴν καρδίαν, ὕστερον ἐν
πολλαῖς πράξεσιν εἰς τὸ ἀντικαταράσασθαι καὶ σὺ ἐκβαίνῃς. ἔγνων δὲ ταῦτα ἐγὼ, ἅπαν-
τα σοφίαν ἐκ θεοῦ λαβὼν, ἣν ὕστερον ἀποβαλὼν, οὐκ ἔτι οἷός τε ἤμην ὅμοιος εἶναι. ἔφυγε γὰρ
ἀπ' ἐμοῦ σοφία εἰς μῆκος ἄπειρον, καὶ εἰς βάθος ἀμέτρητον, ὡς μὴ ἂν αὐτῆς λαβέσθαι μη-
κέτι, ὥστε ὕστερον καὶ τοῦ ἐπιζητεῖν αὐτὴν, τέλεον ἀπεχόμην, καὶ οὔτε ἐνεθυμούμην ἔτι τοῦ
κατανοεῖν τὰς τῶν ἀσεβῶν ἀφροσύνας καὶ βουλὰς ματαίας, καὶ ἀλύοντα βίον. οὕτω δὲ
διακείμενος, εἰς αὐτὰ ἐνέχθην, καὶ ἐπιθυμίᾳ συσχεθεὶς θανατηφόρῳ, ἔγνων τὴν γυναῖ-
κα, γῆν τινὰ, ἢ εἴ τι ἕτερον τοιοῦτον ὑπάρχουσαν. καρδία μὲν γὰρ αὐτῆς, σαγηνεύει τοὺς πα-
ριόντας, χειρὶ δὲ χεῖρα συνάψασα μόνον, κατέχει ἢ ἐν δεσμοῖς περιβάλλουσα ἕλκει. μόνος
δ' ἂν ἀπ' αὐτῆς ῥυσθείη, ὃν θεὸν ἵλεων καὶ ἐπόπτην ἔχει ποιῶς. ὡς ὅ γε ἁμαρτίᾳ δεδουλωμένος
οὐκ ἂν ἐκφύγοι. ζητήσας δ' ἐγὼ διὰ πασῶν γυναικῶν, σωφροσύνην αὐτῶν εὗρον ἐν οὐδεμιᾷ,
καὶ ἄνδρα μέν τις ἐν χιλίοις γνοίη ἂν σώφρονα, γυναῖκα δὲ οὔ· κατενόησα δὲ ἐκεῖνο μάλιστα,
ὅτι ἄνθρωποι ὑπὸ θεοῦ ἁπλοῖ ταῖς ψυχαῖς γινόμενοι, ἑαυτοῖς ἐπισπῶνται λογισμοὺς ποι-
κίλους καὶ ζητήσεις ἀπεράντους, καὶ σοφίαν ζητεῖν προσποιούμενοι, περὶ ῥημάτια κατα-
τρίβονται.

ζόντι. σοφία δὲ ἐν ἀνθρώπῳ ἐξεταζομένη, καὶ δὴ πρὸ αὐτοῦ φαίνεται φωτίζουσα τὸν κεκτημένον. ὥσπερ οὖν ἀναιδῆ, μισοῦσιν εὐθὺς ὀφθέντα ἄξιον ἐκεῖνον ἐλέγχει, ὥσπερ οὖν φημί, πάνυ δὲ χρὴ ἐμμελῶς τοῖς τοῦ βασιλέως προσέχειν λόγοις, ὅρκον δὲ ἐκ παντὸς τρόπου φεύγειν, μάλιστα τὸν εἰς θεοῦ ὄνομα γινόμενον. ἐφίστασθαι δὲ ὅμως προσήκει λόγῳ πονηρῷ, ἀλλὰ φυλάττεσθαι ἀπέχειν τῆς εἰς τὸν δεσπότην βλασφημίας. οὐ γὰρ δὴ ἐπάγοντός τι μέμφεσθαι ὑπάρξει, οὐδὲ ἀντιλέγειν τοῖς τοῦ μόνου δυνάστου καὶ βασιλέως δόγμασι. βέλτιον δὲ, καὶ λυσιτελέστερον ἐμμένοντα ταῖς ἱεραῖς ἐντολαῖς, λόγων τῶν πονηρῶν ἐκτὸς καθεστάναι. σοφὸς γὰρ ἀνὴρ, ἐπίσταται καὶ προγινώσκει τὴν εἰς καιρὸν κρίσιν, ὅτι δικαία ἔσται. πάντα γὰρ τὰ ἐν τῷ βίῳ τῶν ἀνθρώπων πράγματα, περιμένει τὴν ἄνωθεν κόλασιν, πλὴν ὅ γε πονηρὸς, οὐ λίαν γινώσκειν ἔοικεν, ὅπολλῆς ἐπ' αὐτῷ οὔσης προνοίας, οὐδὲ ἐν ὅπερ εἰς τὸ μετέπειτα λήσεται. οὐ γὰρ οἶδε τὰ ἐσόμενα. οὐδὲ ἐν γὰρ αὐτῶν κατ' ἀξίαν τις ἀναγγεῖλαι δυνήσεται, ὅτι οὐχ οὕτως τις ἰσχυρὸς ὑπάρξει, ὡς τὸν ἀφαιρούμενον τὴν ψυχὴν αὐτοῦ ἄγγελον κωλῦσαι δύνασθαι. οὐδέ τις ὅλως μέθοδος εὑρεθείη ἂν τοῦ παρασχέσθαί πως τὸν καιρὸν τῆς τελευτῆς, ἀλλ' ὥσπερ ἐν πολέμῳ μέσῳ ληφθέντα, ἄφυκτα πανταχόθεν ἐστὶν ὁρᾶν. ἀσέβεια δὲ πᾶσα ἀνθρώπου, συνεξόλλυται. καὶ ἐκπέπληγμαι δὲ, ὁπότ' ἂν ἀπίδω οἷα καὶ ὅσα εἰς βλάβην τῶν πέλας ἄνθρωποι ἐπιτηδεύουσιν. ἐπίσταμαι δὲ καὶ προαναρπαζομένους ἐνθένδε τοὺς ἀσεβεῖς καὶ γνωρίμους ἐκποδὼν, ἀνθ' ὧν ἑαυτοὺς ματαιότητι δεδώκεσαν. ἐπειδὴ γὰρ οὐκ ἐφ' ἅπασι τὴν μετὰ δίκης ἔρχεται ἡ τοῦ θεοῦ πρόνοια, ὀξέως διὰ τὴν πολλὴν ἀνεξικακίαν, οὐκ αὐτίκα τιμωρεῖται τὰς πλημμελείας, τούτου χάριν αὐτὸ δεῖν ὁ πονηρὸς ἀνὴρ ἁμαρτάνειν τὸ πλεῖον, ὡς ἀθῷος ἀπαλλάξων· οὐ συνιεὶς, ὅτι κἂν μετὰ πάμπολυν χρόνον ἀδικήσας οὐ λήσεται. ἀγαθόν γε μὴν μέγιστον, εὐλαβεῖσθαι θεόν. ὥσπερ ἀσεβεῖς ἐκ ποδῶν, οὐ πολλοῦ χρόνου τῇ ἑαυτοῦ μωρίᾳ καταχρήσεται. χρεία δὲ καὶ ἐψευσμένη δόξα ἀνθρώπων ἐπινέμεται πολλάκις, τά τε δικαίων καὶ ἀδίκων. ὑπολαμβάνουσι γὰρ τῶν ἐναντίων τἀναντία, καὶ δίκαιος γέ τις ὢν, οὐ πονηρὸς ἔδοξε· καὶ πάλιν ἀσεβὴς, ἐμφανὴς ἀνομίᾳ ἦν. ταύτην ἔγωγε τὴν πλάνην, χαλεπὴν ἐν τοῖς μάλιστα τίθεμαι. ἔδοξα δέ ποτε τὸ μέγιστον τῶν ἀγαθῶν, βρῶσιν εἶναι καὶ πόσιν, κἀκεῖνον θεοφιλέστατον, ὃς ἂν τούτων ἀπολαύων πάντα τὸν αὐτοῦ βίον, ὡς οἷόν τε καὶ μάλιστα, καὶ παραμυθίαν τῆς ζωῆς, τὴν τοιαύτην εὐθυμίαν μόνην ἡγησάμενος, καὶ τοίνυν προσεῖχον οὐδενὶ ἑτέρῳ, ἢ τῇ οἰήσει ταύτῃ, ὡς μήτε νύκτωρ, μήτε μεθ' ἡμέραν ἀπαύστην, ὅσα πρὸς τρυφὴν ἀνθρώποις εὕρηται, ἐμαυτὸν ἀπάγειν· ἔγνων δὲ τοσοῦτον, ὅτι ἐν ἐκείνοις τις, ἐμφύρων, οὐδαμῶς δυνήσεται, οὐδὲ πολλὰ μοχθήσας εὑρεῖν, τὸ ὄντως ἀγαθόν. ἀμέλει γὰρ ἅπαντας τότε τοὺς αὐτοῦ ἀνθρώπους ἠξιῶσθαι, καὶ εἴτε τις σοφὸς, δικαιοσύνης μὲν ἐπιμελῆ, ἀδικίαν δὲ ἐξελαύνει, καὶ ἔχθραν ἔφυγε πρὸς ἅπαντας δεξιὸς ὤν, ὅπερ ἐστὶν ἀγαθὸν θεῷ, οὗτος ματαιοπονεῖν ἐφαίνετο. τέλος δὲ ἓν ἰδὸν καὶ δικαίου τε καὶ ἀσεβοῦς, ἀγαθοῦ τε καὶ κακοῦ, καθαροῦ τε καὶ ἀκαθάρτου, καὶ θεὸν ἱλασκομένου, καὶ μή. ὅτε γὰρ ἄδικος καὶ ὁ ἀγαθὸς, ὅτε ἐπίορκος, καὶ ὁ τὸν ὅρκον ἐκτρεπόμενος, εἰς ταυτὸ τέλος ἐλαύνειν ἐλπίζετο. κατάγνωσίς τις ὕπεισι τῷ εἰς ὅμοια τελευτᾶν ἅπαντας. γινώσκω δὲ νῦν ὡς ἀφρόνων ταῦτα ἐνθυμήματα, καὶ πλάναι καὶ ἐξαπάται, καὶ πολλὰ λέγουσιν, ὡς ὁ ἀποθανὼν οἴχεται τέλεον, καὶ προτιμητέον τὸν ζῶντα τοῦ τεθνηκότος, κἂν ἐν σκότῳ κείμενος ᾖ, κἂν κυνὸς τρόπον τὸν βίον διαπεράνῃ, παρὰ τὸν λέοντα τὸν τεθνηκότα. οἱ μὲν γὰρ ζῶντες τοῦτο γοῦν ἐπίστανται, ὅτι τεθνήξονται· οἱ δὲ νεκροὶ, οὐδ' ὁτιοῦν γινώσκουσιν. ἀμοιβαὶ οὐδενὸς δὲ πρόκεινται μετὰ τὸ ἀποβιῶναι τὸ χρεών, ἥ τε ἔχθρα καὶ ἡ φιλία ἡ πρὸς τοὺς τεθνηκότας, τέλος ἔχει. ἐκείνων γὰρ, εἴτε ζῆλος, ἐξέλιπεν· εἴτε βίος, ἠφάνισται. μέτεισι δὲ οὐδενὸς τῷ ἅπαξ ἐντεῦθεν ἀπελθόντι. ταῦτα ἡ πλάνη ἐπάδουσα ἔτι, καὶ τοιαῦτα συμβουλεύει. τί πράττεις ὦ οὗτος, καὶ οὐ τρυφᾷς, οὐδὲ ἐμφορῇ μετὰ ἡδονῶν παντοίων, οἴνου δὲ ὑπερεμπίπλασαι; οὐκ αἰσθάνῃ, ὡς ἐκ θεοῦ ταῦτ' ἐδίδοτο πρὸς ἀπόλαυσιν ἀνεπικώλυτον; περιβαλοῦ ἐσθῆτα νεόπλυτον, καὶ μύρῳ τὴν κεφαλὴν χρισάμενος, ὅρα τὴν γυναῖκα ταύτην, κἀκείνην δὲ ματαίως τὸν μάταιον παρελθὲ βίον. ἕτερον γὰρ οὐδὲν ὑπολέλειπταί σοι παρὰ ταῦτα, οὐκ ἐνθάδε, οὐδὲ μετὰ θάνατον· ἀλλὰ πράττε τὰ προστυχόντα. οὔτε γὰρ λογισμὸν ἔστι τις τούτων ἀναπράξεται, οὔτε ὅλως γινώσκεται ἐκ τῶν ἀνθρώπων τὰ ὑπ' ἀνθρώπων γινόμενα. ᾅδης δὲ ὅτι ποτέ καὶ ἔστιν, εἰς ὃν ἀπιέναι λεγόμεθα, σοφίας καὶ αἰσθήσεως ἀμοιρεῖ. ταῦτα μὲν οἱ μάταιοι. ἐγὼ δὲ εὖ οἶδα, ὡς οὔτε οἱ κουφότατοι δοκοῦντες τὸν μέγαν δρόμον ἐκεῖνον ἀνύουσιν, οὔτε οἱ δυνατοὶ καὶ φοβεροὶ παρὰ ἀνθρώποις δεδοξασμένοι, τὸν φοβερὸν πόλεμον νικῶσιν, ἀλλ' οὐδὲ ἐν ἰδιώταις πλήθει φρόνησις δοκιμάζεται, οὐδὲ σύνεσις πλούτῳ κοινωνεῖν εἴωθεν. οὐδὲ συγχαίρω τοῖς οἰομένοις ἅπαντας τῶν ὁμοίων τεύξεσθαι. πάνυ δὲ ὑπνώττειν ἐοίκασιν οἱ τὰ τοιαῦτα ἐνθυμούμενοι, καὶ μὴ λογιζόμενοι, ὡς δίκην ἰχθύων καὶ ὀρνέων ἀνάρπαστοι γινόμενοι, οἱ κακοὶ καταβιβάσονται, ἄφνω τῆς ἀξίας λαχόντες ἐπιτιμίας. ἐγὼ δὲ σοφίαν οὕτω τι μέγα ἡγοῦμαι, ὡς καὶ πόλιν μικρὰν ὑπ' ὀλίγων μὲν οἰκουμένην, ὑπὸ δὲ μεγάλου πολιορκουμένην βασιλέως χειρὶ, πολλὴν καὶ μεγάλην ἡγοῦμαι εἰ καὶ ἕνα σοφὸν ἄνδρα πολίτην ἔχοι πένητα. δύναιτο γὰρ ἂν οὗτος καὶ ἐκ τῶν πολεμίων, καὶ ἐκ τῶν χαρακωμάτων, τὴν ἑαυτοῦ διασῶσαι πόλιν. καὶ ἄλλοι μὲν τὸν σοφὸν ἐκεῖνον οὐ γινώσκουσι πένητα. ἐγὼ δὲ καὶ πάνυ προκρίνω τῆς ἐν σοφίᾳ ἰσχὺν ταύτης τῆς δημώδους δυνάμεως· ἀλλ' ἐνθάδε μὲν ἀτιμάζεται σοφία πενίᾳ συνοικοῦσα. ἀκουσθήσεται δὲ μετὰ ταῦτα ὑπερφωνοῦσα δυνάστας καὶ τυράννους καθωπλισμένους. σοφία γὰρ καὶ σιδήρου δυνατωτέρα. ἀφροσύνη τε ἑνὸς, πολλοῖς κίνδυνον ἐργάζεται, καὶ πολὺ εὐκαταφρόνητος ἦν. καὶ γὰρ μυῖαι ἐμπεσοῦσαι μύρῳ, καὶ ἐναποπνιγεῖσαι, ἄμοιρα τοῦ ἡδέος ἐκείνου χρίσματος, τήν τε ὄψιν, καὶ τὴν χρίσιν ἐργάζονται. σοφίας δὲ καὶ ἀφροσύνης οὐδὲ ἐν τῷ αὐτῷ μεμνῆσθαι προσῆκον. ὁ μὲν γε σοφὸς ἑαυτὸν ἐπὶ δεξιὰ τῶν πραγμάτων ὁδηγεῖ, ἄφρων δὲ εἰς ἀριστερὰ ἀπονεύει. οὐδ'

ἔστιν ὅτε καὶ χρὴ ὀλίγων πραγμάτων ἀφοσιώσει χρῆσθαι. μάταια δὲ αὐτοῦ καὶ τὰ ἐνθυμήματα, ἀφοσιώσεως
ἀναπεπλησμένα. εἰ δὲ καὶ πνεῦμά σοι ποτὲ ὦ φίλος, πολέμιον προσπνεύσοι, οὕτω δὴ ἐρρωμένως, γινώ-
σκων ὡς καὶ πολλῶν ἀνθρώπων πλῆθος, θεὸς ἱλάσασθαι δύναται. τυραννεῖ δὲ ἔργα ταῦτα, καὶ πρὸς πά-
σης πονηρίας, τὸν μὲν ἄφρονα εἰς ὕψος αἴρεσθαι, τὸν πλούσιον δὲ φανερῶς ταπεινοῦσθαι καὶ δούλους μὲν ἀμφὶ πᾶν
ἵππων φερομένους, ἄνδρας δὲ ἱερεῖς βαδίζοντας, ἀλήμονας ὁρᾶσθαι τῶν πονηρῶν γεωργουμένων. εἰ δέ τις ἑτέ-
ρῳ ἐπιβουλεύει, λέληθεν αὐτὸν ὡς ἑαυτῷ πρὸ τούτου, καὶ μόνῳ ἐνέδραν ἐργάζεται. ὁ δὲ καθαιρῶν ἄλλου ἀσφά-
λειαν, πολλάκις ἐπεσεῖται ὄφεως δήγματι. ἀλλὰ καὶ ὁ λίθους ἐξαιρούμενος, ὑποίσει πόνον οὐ μικρόν, ἀλλὰ καὶ
σχίζων ξύλα, ἐν αὐτῷ τῷ οἰκείῳ ὅπλῳ τὸν κίνδυνον οἴσει. ἐὰν δὲ συμβῇ τὸ σκεῦος τὸν πέλεκυν ἐκπεδῆσαι,
θορυβεῖσθαι ἀνάγκη ὁ ταῦτα ἐργαζόμενος, οὐκ ἐπ᾽ ἀγαθῷ συγκομίζων, καὶ ἐπαύξων αὐτὸς τὴν ἑαυτοῦ ἄδικον
καὶ ὠκύμορον δύναμιν. ὄφεως δὲ δῆγμα λαθραῖον. οὐκ ἦν παραμυθήσονται οἱ ἐπάδοντες. μάταιοι γάρ εἰσιν.
ἀλλ᾽ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται αὐτῷ τε καὶ τοῖς πλησίον, ὁ δὲ ἄφρων εἰς ὄλεθρον ἐμπεσεῖται διὰ τῆς
αὐτοῦ φλυαρίας· καὶ ἅπαξ ἀνοίξας τὸ στόμα, ἄρχεται ἀφρόνως, καὶ παύεται ταχέως, διὰ παντὸς ἐνδεικνύ-
μενος τὴν ἑαυτοῦ ἄνοιαν. ἀνθρώπῳ δὲ ἀδύνατόν τι γνῶναι, καὶ παρὰ ἀνθρώπου μαθεῖν τὰ ἀπ᾽ ἀρχῆς, ἢ τὰ
ἐπιόντα. τίς γὰρ ἔσται ὁ μηνύσων ἀνθρώποις; ὃς οὐκ οἶδεν εἰς τὴν ἀγαθὴν πορευθῆναι πόλιν, κάκωσιν ὑπο-
μένει, τοῖς τε ὀφθαλμοῖς, καὶ τῷ παντὶ προσώπῳ. πόλει δὲ ἐκείνῃ κακὰ προλέγω, ἧς ὅ, τε βασιλεὺς νέος, καὶ
οἱ ἄρχοντες γαστρίμαργοι. μακαρίζω δὲ γῆν τὴν ἀγαθήν, ἧς βασιλεὺς ὁ τῶν ἐλευθέρων υἱός. εἶθα δικαίως
ἀπολαύουσιν ἀγαθῶν, οἱ ἐκείνης ἄρχειν ἠξιωμένοι. ὀκνηρὸς δὲ καὶ ἀργός, οἶκον ἐλαττοῦσι χλευαστοὶ γενόμε-
νοι, καὶ εἰς τὴν ἑαυτῶν λαιμαργίαν, τοῖς πᾶσι καταχρώμενοι, ἀργυρίῳ ἀσχήμονι, ἐν ᾧ καὶ ὅλην τιμώμενοι,
πάντα αἰσχρῶς καὶ ταπεινῶς πράσσειν ὑπομένοντες. βασιλεῖ δέ, καὶ ἄρχουσιν, ἢ δυνάσταις ὑπακούειν προσ-
ήκει, καὶ οὐκ ἀπεχθάνεσθαι, οὐδ᾽ ὅλως λυπηρόν τι εἰς αὐτοὺς ῥῆμα ἀπορρίπτειν. δέος γάρ, μὴ καὶ τὸ κατὰ μόνας
εἰρημένον, εἰς φανερόν πως ἔλθῃ. τῷ γὰρ μόνῳ καὶ πλουσίῳ καὶ μεγάλῳ βασιλεῖ, ἄγγελοι ὀξεῖς καὶ ὑπόπτε-
ροι ἅπαντα διακομίζουσι, πνευματικὴν ὁμοῦ καὶ λογικὴν τελοῦντες ὑπηρεσίαν. κοινωνεῖν γε μὴν ἄρτου καὶ
τῶν ἀναγκαίων, ἃ πρὸς τὸν βίον ἀνθρώποις δίκαιον. εἰ γὰρ καὶ παραυτίκα περὶ δόξης ἀπολλύναι, ὥσπερ ὕ-
δατι τὸν ἄρτον παραδίδου, ἀλλ᾽ οὖν προϊόντος τοῦ χρόνου, οὐκ ἀνόνητός σοι φανεῖται ἡ φιλανθρωπία. δίδου δὲ
ἀφειδῶς, καὶ μέριζε τὰ σαυτοῦ πλείοσιν. οὐ γὰρ ἐπίστασαι τί τέκῃ ἡ ἐπιοῦσα ἢ ἐπίουσα ἡμέρα. κατέχουσι δὲ οὐκ
νεφέλαι τὸν ἑαυτῶν πολὺν ὑετόν. ἀλλὰ τὸν ὄμβρον τῇ γῇ ἀφιᾶσι. καὶ οὐκ ἔστι δένδρον εἰς ἀεὶ ἑστηκός, ἀλλὰ καὶ
αὐτόθεν αὐτοῦ φέρεται, ἀνέμῳ γοῦν ἀναπίπτεται. πολλοὶ δὲ βούλονται καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἐσόμενα προγι-
νώσκειν, καί τις εἰς τὰς νεφέλας ἀφορῶν, καὶ τηρούμενος ἄνεμον. ἀμήτου ἢ λικμήτου ἀπέχεται, μηδενὶ
πεπεισμένος, μηδὲ γινώσκων τι τῶν ἐκ θεοῦ ἐσομένων, ὥσπερ οὐδὲ δι᾽ ἣν ἡ κυοφοροῦσα τέξεται. σπείρας δὲ ἐν
καιρῷ, συγκόμιζε τοὺς καρπούς, ὁπότ᾽ ἂν τούτου καιρὸς ᾖ. ἄδηλον γάρ, ὁποῖα αὐτῶν ἔσται ἀμείνω τῶν φυ-
έντων. γένοιτο δὲ ἅπαντα εἰς ἀγαθόν. λογιζόμενος δέ τις, ὡς καλὸς μὲν ὁ ἥλιος, ἡδὺς δὲ οὗτος ὁ βίος,
ἀγαθὸν δὲ καὶ τὸ πολυχρόνιον γενέσθαι διὰ παντὸς εὐφραινόμενον, καὶ ὡς φοβερὸν ὁ θάνατος, καὶ ἀΐδιον κακόν,
καὶ εἰς τὸ μηδὲν ἄγων, οὐκέτι χρήσεται, πάντων μὲν ἀπολαύειν τῶν παρόντων καὶ δοκούντων ἡδέων. συμβουλεύει
δὲ καὶ τοῖς νέοις, τῇ ἑαυτῶν ὥρᾳ καταχρῆσθαι ἀνέντας τὰς ἑαυτῶν ψυχὰς εἰς πᾶσαν ἡδονήν, καὶ χαρίζεσθαι
μὲν ἐπιθυμίαις, πράττειν δὲ τὰ αὐτοῖς δοκοῦντα, καὶ βλέπειν τὰ πρέποντα, καὶ ἀποστρέφεσθαι τὰ μὴ οὕτως
ἔχοντα. πρὸς δὲ τὸν τοιοῦτον λέξω, ἀνοηταίνεις ὦ οὗτος, μὴ προσδοκῶν τὴν ἐφ᾽ ἅπασι τούτοις ἐκ θεοῦ κρί-
σιν ἐσομένην. πονηρὸν δὲ ἀσέβεια καὶ ἀσέλγεια, καὶ ῥυπαρὰ σωμάτων ἡμετέρων ὕβρεις ὀλέθριοι. νεότητι μὲν γὰρ
ἄνοια παρέπεται. ἄνοια δὲ ἄγει εἰς ὄλεθρον. χρὴ δὲ ἔτι νέον ὄντα φοβεῖσθαι θεόν, πρὶν ἢ ἑαυτὸν παραδοῦναι κα-
κοῖς, πρὶν ἐλθεῖν τὴν τοῦ θεοῦ μεγάλην ἡμέραν καὶ φοβεράν, ὁπότε ἥλιος μὲν οὐκέτι λάμψει, οὐδὲ σελήνη,
οὐδὲ οἱ λοιποὶ ἀστέρες. κινηθήσονται δὲ αἱ ὑπέρτεροι δυνάμεις, οἱ ἐκείνῳ τῷ τῶν ὅλων χειμῶνι καὶ ταράχῳ, οἱ
κοσμοφύλακες ἄγγελοι. παύσονται μὲν ἄνδρας δυνάσται, παύσονται δὲ καὶ γυναῖκας ἐργαζομένας
φέρουσας εἰς τὰ σκοτεινὰ τῶν οἰκημάτων, κεκλεισμένων ἁπασῶν τῶν θυρῶν, καί τις γυνὴ τὸ ἀλήθειν ἀπαγο-
μένη διὰ τὸ δέος. ἰσχνοτάτῃ φωνῇ χρήσεται ὥσπερ λεπτότατον ὄρνεον. ἅπασαι δὲ αἱ ἄγριαι γυναῖκες εἰς γῆν
πεσοῦνται, καὶ πόλεις καὶ αἱ τούτων ἀρχαὶ αἱ μιαιφόνοι, περιμένουσι τὴν αἰώνιον κόλασιν, οἱ στάνδες κα-
ρῦ. πικρότατοι καὶ αἱματώδεις, ὥσπερ ἀνθοῦντες ἀμυγδάλαι καὶ συνεχῶν ἐπικειμένων κολάσεων ὥσπερ
πλῆθος ἐφιπταμένων ἀκρίδων, καὶ ἐκποδὼν ῥιπτουμένων τῶν παρανόμων, ὥσπερ μελαίνης καὶ διεσταφο-
νίτου καππάρεως. ὁ δὲ μὲν ἀγαθὸς ἀνὴρ εἰς αἰώνιον οἶκον τὸν ἑαυτοῦ χαίρων πορεύσεται. οἱ δέ γε φαῦλοι,
πάντα τὰ αὐτῶν ἐμπλήσουσι κοπτόμενοι, πρὶν ἢ τὸ ἀργύρεον ἀποθησαυρισμένον, ἢ τι χρυσίον δόκιμον
ἐπωφελοῦς ἔτι μεγάλης γὰρ ἅπαντα καθέξει πληγή, καὶ μέχρις ὑδρίας ἑστώσης πρός τινι κρήνῃ, καὶ τροχοῦ
ὀχήματος, ὃν ἂν τύχῃ καταλελεῖφθαι ἐν τῷ κοιλώματι πεπτωκυίας. χρόνον γὰρ παρελθόντος, καὶ τοῦ δι᾽
ὕδατος ζωῆς παραδύντος τοῦ λυσοφόρου αἰῶνος. ἀνθρώπων δὲ ἐπὶ γῆς κειμένων, μία σωτηρία, εἰ ἐπιγνοῖεν
αὐτὸν αἱ ψυχαί, καὶ πρὸς αὐτὸν ἀναπτᾶσιν ὑφ᾽ οὗ καὶ γεγόνασι. λέγω τοίνυν αὖθις ἃ καὶ πρότερον εἴρηκα, πά-
ντα ματαίως ἀνθρώπους διακεῖσθαι, καὶ μήτε ὑπερβολὴν ὅλως ἀνέχεσθαι τῶν ἐπιτεινομένων πραγμάτων τῆς
ματαιότητος. περιττὸς δέ μοι ὁ κάματος ἐκκλησιάζοντι σοφῶς, ὃς διδάσκειν ἐπιχειρῶ τὸν λαὸν τοῦτον
ἀδιδάκτως καὶ ἀνιάτως ἔχοντα. δεῖ δὲ ἀνδρὸς γενναίου, πρὸς τὸ συνιέναι λόγους σοφίας δυνηθῆναι. ἐγὼ
δὲ ἤδη πρεσβύτης ὤν, καὶ μακρὸν βίον διελθὼν χρόνον, ἔκαμον εἰς τὸ ἀνευρεῖν τὰ τῷ θεῷ ἀρεστὰ διὰ τῶν τῆς ἀ-
ληθείας μυστηρίων. ἐπίσταμαί τε ὡς ἐπεγείρει ψυχάς, καὶ νύττει οὐχ ἧττον τὰ τῶν σοφῶν παραγγέλματα, ἢ δο-
πίζεται τὰ σώματα βουκέντρῳ ἢ ἥλῳ ἐμπαρονηθέντα. διάσουσι δέ τινες τὰ σοφὰ ἐκεῖνα διδάγματα, τῶν

οἷος

οἷος ἀγαθοῦ λαβόντες ποιμένος καὶ διδασκάλου, ὥσπερ ἐξ ἑνὸς στόματος ἅπαντες αὐτοῖς συμφώνως δαψιλέστερον τὰ πεπονθότα διηγούμενοι. λόγων δὲ πολλῶν οὐκ ἔστιν ὄφελος, οὐδέ σοι συμβουλεύω ὦ φίλος αἰδόντα καταγράφειν τὰ περὶ τὰ πεπονθότα, ἐν οἷς τὸ κάμνειν εἰκῆ οὐδὲν ἔστιν πλέον. ἀλλά μοι λοιπὸν τοῦ λόγου [illegible] δέ ἐστιν, ὅτι ὦ ἄνθρωποι, ἰδοὺ διαρρήδην ὑμῖν καὶ συντόμως προαγορεύω, φοβεῖσθαι μὲν τὸν τὸ πᾶν τοῦτο διαποιοῦντα ὁμοῦ καὶ ἐπόπτην, τηρεῖν δὲ αὐτοῦ καὶ τὰ παραγγέλματα, πείθεσθαι δὲ πάντα τινὰ μετέπειτα, καὶ κατὰ θέσθαι, καὶ κατ' ἀξίαν ἀπολήψεσθαι ἕκαστον τῶν αὐτοῦ ἔργων τὴν ἀμοιβὴν ἀγαθῶν τε ὁμοῦ καὶ φαύλων.

ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ΣΤΗΛΙΤΕΥΤ. ΠΡΩΤΟΣ.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. καλῶ γὰρ ἅπαντας ὥσπερ ἐξ ἀπόπτου τινὸς καὶ μεγίστης περιωπῆς, μεγάλῳ τε καὶ ὑψηλῷ τῷ κηρύγματι. ἀκούσατε λαοί, φυλαί, γλῶσσαι, πᾶν γένος ἀνθρώπων, καὶ ἡλικία πᾶσα· ὅσοι τε νῦν ἐστὲ καὶ ὅσοι γενήσεσθε. καὶ ἵν' ᾖ μοι μεῖζον τὸ κήρυγμα, πᾶσα δύναμις τῶν οὐρανῶν, πάντες ἄγγελοι, οἷς ἔργον ἡ τοῦ τυράννου κατάλυσις, οὐ τὸν Σηὼν καταλῦσι τὸν βασιλέα τῶν Ἀμμορραίων, οὐδὲ τὸν Ὢγ βασιλέα τῆς Βασάν, μικροὺς δυνάστας καὶ μικρὸν μέρος τῆς οἰκουμένης κακώσαντας τὸν Ἰσραήλ. ἀλλὰ τὸν δράκοντα, τὸν ἀποστάτην, τὸν νοῦν, τὸν μέγαν, τὸν Ἀσσύριον, τὸν κοινὸν ἁπάντων ἐχθρὸν καὶ πολέμιον, τὸν πολλὰ μὲν ἐπὶ γῆς μανέντα καὶ ἀπειλήσαντα, πολλὴν δὲ ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντά τε καὶ μελετήσαντα. ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ. καιρὸς γάρ μοι τὰ αὐτὰ τῷ μεγαλοφωνοτάτῳ τῶν προφητῶν Ἡσαΐᾳ συμφθέγξασθαι. πλὴν ὅσον ὁ μὲν ἐπὶ τῷ Ἰσραὴλ ἀσεβήσαντι, ταῦτα καλεῖ καὶ μαρτύρεται. ἐγὼ δὲ ἐπὶ τῷ τυράννῳ καὶ ἀθετήσαντι, καὶ πεσόντι πτῶμα τῆς ἀσεβείας ἄξιον. ἄκουε καὶ ἡ τοῦ μεγάλου Κωνσταντίνου ψυχή, εἴ τις αἴσθησις. ὅσαι τε πρὸ αὐτοῦ βασιλέων φιλόχριστοι, τὸ δὲ καὶ παντὸς μάλιστα, ὅσῳ τῇ Χριστοῦ κληρονομίᾳ συγκυθεὶς, καὶ αὐξήσας ταύτην εἰς δύναμιν, καὶ χρόνῳ βεβαιωσάμενος, ὥστε τῶν πάντων διὰ τοῦτο γενέσθαι τῶν πώποτε βασιλέων ὀνομαστότατος (ὢ τῆς ἀπειρίας) ἀγνόημα ἠγνόησας, σφόδρα τῆς οἰκείας εὐσεβείας ἀνάξιον. ἔλαβες ἐκτρέφων Χριστιανοῖς τὸν Χριστοῦ πολέμιον. καὶ τοῦτον μόνον τῶν ἁπάντων οὐ καλῶς ἐφιλανθρωπεύσω, καὶ σώσας καὶ βασιλεύσας, ὃς κακῶς καὶ σωθέντα, καὶ βασιλεύσαντα, καὶ διὰ τοῦτο μάλιστα ἂν ἠθελεν, ὥσπερ ἐπὶ καταλύσει τῆς ἀσεβείας καὶ τοῖς Χριστιανῶν πράγμασιν εἰς τὸ ἀρχαῖον ἐπανελθοῦσιν, οὕτω δὴ καὶ τῷ λόγῳ. λόγον γὰρ ἀναθήσω τῷ θεῷ χαριστήριον, πάσης ἀλόγου θυσίας, ἱερώτερόν τε καὶ καθαρώτερον, οὐ κατὰ τοὺς ἐναγεῖς ἐκείνου λόγους καὶ λήρους, καὶ τὰς ἐναγεστέρας θυσίας. ὧν ἡ πολυουσία καὶ τὸ δυνατὸν ἀσεβείας ἦν δύναμις, καὶ ἄσοφος, ἵν' οὕτως ὀνομάσω σοφία. ἐπεὶ καὶ πᾶσα ἡ τοῦ αἰῶνος τούτου δύναμίς τε καὶ παίδευσις, ἐν σκότει διαπορευομένη, καὶ τοῦ τῆς ἀληθείας φωτὸς πόρρω πίπτουσα ἐκείνη μὲν διὰ τοιαύτη καὶ παρὰ τοιούτοις, καὶ τοιαύτας ἔχουσα τὰς ἐπικαρπίας, ὡσεὶ χόρτος ταχὺ ἀποξηραινομένη, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπίπτουσα, καὶ συναπίπτουσα τοῖς πταίσασιν ἀπολλυμένοις μετ' ἤχου. καὶ περιφανεστέρους τῇ πτώσει, ἢ τὴν ἀσέβειαν. ἐμοὶ δὲ θύοντι θυσίαν αἰνέσεως σύμφορον, καὶ τὴν ἀναίμακτον τῶν λόγων τιμὴν ἀναπέμποντι, τίς βέλτιον πολυστίχῳ τῇ χάριτι ἐπιτεθύμηται, ἢ τίς συναγωνιεῖται γλῶσσα τοσοῦτον, ὁπόσον καὶ βούλομαι; τίς ἀκοῇ τῷ λόγῳ συμπροθυμηθήσεται; καὶ γὰρ οὐ τῷ λόγῳ μόνον ἢ διὰ λόγου χαίρεις οἰκειότατε μὲν τῶν ἄλλων ὧν ὀνομάζεται, καὶ ταύτῃ χαίροντι τῇ προσηγορίᾳ διαφερόντως, καὶ τῇ δυνάμει τῆς κλήσεως, ἀλλὰ καὶ κἀκείνῳ πρέπουσα δίκη, λόγῳ κολάζεσθαι ὑπὲρ τῆς εἰς λόγους παρανομίας. ὧν κοινῶν ὄντων λογικοῖς ἅπασιν, ὡς ἰδίων αὐτῶν Χριστιανοῖς ἐφθόνησεν. ἀλογώτατα τῶν λόγων διανοηθείς, ὁ πάντων, ὡς ᾤετο, λογιώτατος. πρῶτον μὲν, ὅτι κακούργως τὴν προσηγορίαν μετέθηκεν ἐπὶ τὸ ἐθνικόν. ὥσπερ τῆς θρησκείας ὄντα τὸν ἑλληνικὸν λόγον, ἀλλ' οὐ τῆς γλώττης· καὶ διὰ τοῦτο ὡς ἀλλοτρίων καλῶν φῶρας, τῶν λόγων ἡμᾶς ἀπήλασεν. ὥσπερ ἂν εἰ καὶ τεχνῶν εἶρξεν ἡμᾶς, ὅσαι παρ' Ἕλλησιν εὕρηνται, καὶ τοῦτο διαφέρειν αὐτῷ διὰ τὴν ὁμωνυμίαν ἐνόμισεν. ἔπειτα δὲ λανθάνειν ἡμᾶς ὑπέλαβεν, οὐκ ἀγαθοῦ τινος τῶν πρώτων ἀποστερήσειν μέλλων, οἵ γε καὶ σφόδρα τούτους ποιούμεθα τοὺς λόγους, ἀλλὰ τοὺς ἐλέγχους τῆς δυσσεβείας φοβούμενος. ὥσπερ ἐν τῇ κομψείᾳ τῆς λέξεως τὴν ἰσχὺν ἔχοντας, ἀλλ' οὐκ ἐν τῇ γνώσει τῆς ἀληθείας καὶ τοῖς ἐνθυμήμασιν· ὧν ἐπισχεῖν ἡμᾶς ἀδυνατώτερον, ἢ τὸν θεὸν ὁμολογεῖν γλῶσσαν ἔχοντας. ἐπεὶ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἰδιοεργοῦμεν τοὺς λόγους ὥσπερ τὰ σώματα. λύειν ἂν καὶ τούτοις ἀγωνίζεσθαι δεῖν τὸ τῆς ἀληθείας, ὥσπερ ὁ τοῦτο προστάξας. ἀτιμάζειν μὲν ἐκώλυσε, τὸ δὲ ἀληθεύειν οὐκ ἔπαυσε. καὶ τὸ μὲν ἑαυτοῦ σαθρὸν ἤλεγξε, τοὺς ἐλέγχους δὲ οὐ διέφυγεν, ὅτι μὴ καὶ μᾶλλον τούτοις ἑαυτὸν ὑποθεὶς ἠγνόησεν. οὐ γὰρ θαρσοῦντος ἦν, οὔτε τοῖς ὑπὲρ τῆς θρησκείας δικαίοις, οὔτε τοῖς λόγοις αὐτοῖς, τὸ τοὺς ἡμετέρους ἀπεῖρξαι λόγους. ὥσπερ ἂν εἴ τις κράτιστον ἑαυτὸν νομίζοι τῶν ἀθλητῶν, καὶ ἀξιοίη κατὰ πάντων κηρύττεσθαι, μηδένα τῶν γενναίων ἀγωνίζεσθαι, μηδὲ καταβαίνειν εἰς τὸ στάδιον ἐπιτάξας. ὅπερ ἀνανδρίας μᾶλλον ἢ ῥώμης τεκμήριον. κατὰ γὰρ τῶν ἀγωνιζομένων, οὐ τῶν ἀγωνοθετουμένων οἱ στέφανοι, καὶ τῶν πάσῃ τῇ ῥώμῃ χρωμένων, οὐ τῶν πεπηρωμένων τὸ πολὺ τῆς δυνάμεως. εἰ γὰρ ἐχθρὸς συμμίξει καὶ εἰς χεῖρας ἐλθεῖν ἐφοβεῖτο, αὐτῷ τούτῳ τὴν ἧτταν ἐδέξατο καὶ νικᾶν ὑπῆρξε μηδὲ ἀγωνισαμένῳ ὃν ἠγωνίζετο μὴ ἀγωνίσασθαι. ταῦτα μὲν ὁ σοφὸς ἡμῖν βασιλεύς τε καὶ νομοθέτης. ὥσπερ ἵνα μηδὲν αὐτῷ τῆς τυραννίδος ἄμοιρον ᾖ, καὶ προκηρύξῃ τὴν ἀλογίαν, ἐν ἀρχῇ τῆς ἑαυτοῦ βασιλείας τυραννήσας πρὸ τῶν ἄλλων τοὺς λόγους. ἡμῖν δὲ καλὸν καὶ ὑπὲρ τῶν λόγων αὐτῶν ὁμολογεῖν τῷ θεῷ χάριν τὴν ἐλευθερίαν ἀπολαβόντων. καὶ μάλιστα μὲν καὶ τοῖς ἄλλοις τιμᾶν αὐτὸν ἀναθήμασι φεισαμένους μηδενός, μήτε χρημάτων, μήτε κτημάτων, ἃ τοῦ καιροῦ γενόμενα καὶ τῆς τυραννίδος ἡ φιλανθρωπία τοῦ θεοῦ διεσώσατο, τιμᾶν δὲ πρὸ τῶν ἄλλων τοῖς λόγοις τὴν δικαίαν καρποφορίαν καὶ κοινὴν ταύτην, ὅσοι τοῦ χαρίτος μετειλήφασιν. ἀλλ' ὁ μὲν γὰρ ὑπὲρ τῶν λόγων λόγος τοιοῦτος, ἵνα μὴ μακρότερον ἀποτείνοντες, ἔξω τοῦ καιροῦ πίπτωμεν, καὶ ἄλλο τι μᾶλλον σπουδάζειν δοκῶμεν, ἢ οὗ χάριν συνεληλύ-

θοσμεν. ἤδη δέ μοι σπουδῇ καὶ ἴτω πρὸς πανηγυρισμὸν ὁ λόγος, καὶ τοῖς ὁρωμένοις συμφωνείτω, καὶ καλείτω πάντας εἰς χορείαν πνευματικήν, ὅσοι τε πένθει καὶ κλαυθμῷ καὶ λύπῃ προσεκάθηντο, νύκτας καὶ ἡμέρας αἰτούμενοι λύσασθαι τὴν κατέχουσαν ἀνιαρῶν, καὶ δεξιὸν ἐν τοῖς κακοῖς φάρμακον, τὴν οὐ καταισχύνουσαν ἐλπίδα ποιούμενοι. ὅσοι τε μεγάλων ἀνατλάντες ἀγῶνας καὶ ἄθλων, καὶ πολλαῖς πληγοῦντες, καὶ χαλεπαῖς τῶν καιρῶν προσβολαῖς, θέατρον ἐγενήθησαν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις κατὰ τὴν τοῦ ἀποστόλου φωνήν. καὶ τὰ μὲν σώματα κάμνοντες, ταῖς δὲ ψυχαῖς ἀήττητοι διαμένοντες, καὶ πάντα ἰσχύοντες ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ. ὅσοι τε κοσμικὴν ἀφέμενοι κακίαν ὕλην καὶ δυναστείαν, ἢ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων μετὰ χαρᾶς προσδεξάμενοι, ἢ τῆς ἑαυτῶν, ὃ δὴ λέγεται φυγαδευθέντων ἀδίκως, ἢ ἀδελφῶν, ἢ γυναικῶν, ἢ γονέων, ἢ τέκνων, ἢ ὅσοις ἄλλοις ὀνόμασι τῶν μικρῶς οἰκειοτάτων κατεχόμεθα, τούτων πρὸς ὀλίγον διαζευχθέντων καὶ τῷ Χριστοῦ καρποφορησάντων αἵματι, τὰ ὑπὲρ Χριστοῦ πάθη, νῦν αὖ ἐκεῖνο λέγοιεν, καὶ ᾄδοιεν ἐν καιρῷ, τὸ ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. κατὰ ταῦτα καὶ τὴν ἑτέραν μοῖραν εἰς τὴν πανήγυριν, ὅσοι τὸν μὲν τῶν ὅλων ὁμολογοῦντες θεόν, καὶ μέχρι τούτου τῶν λογισμῶν ὑγιαίνοντες, τοῖς δὲ τῆς προνοίας λόγοις οὐκ ἐμβατεύοντες, ἐκ τῶν ἐναντίων πολλάκις τὰ βελτίω διοικουμένης, καὶ τῇ χρηστότητι προκαλυμμένης τὴν ἐπανόρθωσιν, ἀλλὰ διὰ πτωχείαν ψυχῆς καὶ κουφότητι, ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ τῶν λογισμῶν ἐμπυριζόμενοί τε καὶ ἀναπτόμενοι. καὶ ὁρῶντες ἀμφοτέρων ἡμῶν οὐ φέροντες (ὅ φησιν ὁ ψαλμός) οὐδ' ὑπομένοντες τοῦ θεοῦ τὴν βουλήν, καὶ πρὸς τοὺς ὑβριστὰς μακροθυμοῦντος, δοῦλοι δὲ ὄντες ἀεὶ τῶν παρόντων καὶ τῶν ὁρωμένων, τοῖς τοιούτοις θαύμασι βεβαιοῦνται πρὸς τὴν ἀλήθειαν. καὶ καλῶ καὶ τὰς ἐπτοημένας ψυχὰς περὶ τὴν τοῦ κόσμου τούτου σκηνήν, καὶ τὸ μέγα θέατρον. καὶ καλῶ γε τοῖς Ἡσαΐου ῥήμασι, γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε. καὶ τὸ τῆς ψυχῆς ὄμμα ἐκ τῆς ἔξω περιπλανήσεως ἐπιστρέψασαι, σχολάσατε καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ὁ θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. ἀεί ποτε ἐν πᾶσιν οἷς ἐποίησε θαυμασίοις καὶ τέρασι, καὶ τοῖς νῦν ἐναργέστερον. εἴθε μοι τοῦ χοροῦ μέρος ἦν κἀκεῖνο τὸ σύστημα, ὃ σὺν ἡμῖν ἴσως τῷ θεῷ προσᾷδον, οὐ κίβδηλον ᾠδήν, οὐδὲ ἀδόκιμον, ἀλλὰ καὶ τῆς δεξιᾶς ποτὲ στάσεως ἀξιούμενον. πιστεύω δὲ ὅτι καὶ μετ' ὀλίγον ἀξιωθησόμενον, οὐκ οἶδ' ὅ τι παθόν, ἐξαίφνης μεθαρμόζεταί τε καὶ μεθίσταται. καὶ οὐδὲ ὑπὸ τῆς κοινῆς εὐφροσύνης, ὃ καὶ θαυμάζω μᾶλλον, εἰς ταὐτὸν ἔρχεται. ἀλλ' ἰδίαν ἵστησιν οὐκ εὔρυθμόν τινα ταύτην χορείαν, οὐδὲ ἐναρμόνιον. τοσοῦτον γὰρ ἴσως εἰπεῖν καὶ αὐτοὶ δώσουσιν, ἀλλ' ὁποίαν καὶ τίνα, εἰ καὶ κινεῖται λέγειν ὁ ζῆλος, ἀλλ' ἡ πίστις κρατεῖ. καὶ κατέχω τοῦ λόγου τὸ ἀκρατές, αἰδοῖ τῆς ἐλπίδος. ἔτι μὲν περιλείπω τὰ μέλη, ἔτι δίδωμι πλέον τῇ πρὶν ἀγάπῃ τῆς πάσης ὑπεροψίας. καὶ διὰ τοῦτο γίνομαι μακροθυμότερος, ἵν' ὀνειδίσω θερμότερον. μίαν μοῖραν, ἐν ψυχῶν γένος ἀκηρυκτεύω τῆς πανηγύρεως. στένων μὲν καὶ ἀλγῶν, καὶ οὐδὲ ἐπαινοῦντας ἴσως πενθῶν, οὐδ' αἰσθανομένων τῆς ἑαυτῶν ἀπωλείας ὀδυρόμενος. ὅ τι τὸ τῆς πληγῆς αὐτῶν τὸ ἐλεεινότατον, ἀκηρυκτεύω δ' ὅμως. οἱ σπαρέντες, οὐκ ἐπὶ τὴν στερεὰν πέτραν, καὶ ἄσειστον, ἀλλ' ἐπὶ τὴν ξηράν τε καὶ ἄγονον. εἰσὶ δὲ οἱ τῷ λόγῳ προσελθόντες ἐπιπολαίως καὶ ὀλιγόπιστοι, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς, εὐθέως ἐξανατείλαντες, καὶ προκύψαντες, ἵνα τοῖς πλησίον ἀρέσκωσιν, ἔπειτα ὑπὸ βραχείας τοῦ πονηροῦ προσβολῆς, καὶ ὀλίγου πειρασμοῦ καὶ καύσωνος, ἐξηράνθησαν καὶ ἀπέθανον. καὶ τούτων ἔτι χείρους, καὶ μᾶλλον ἀκηρυκτέοι τῆς πανηγύρεως, ὅσοι μηδὲ πρὸς ὀλίγον ἀντέβησαν τῷ καιρῷ, καὶ τοῖς τὴν κακὴν αἰχμαλωσίαν ἡμᾶς αἰχμαλωτίζουσιν. ἀπὸ τοῦ ἀναβαίνοντος εἰς ὕψος, καὶ κατὰ τῶν ἡμᾶς αἰχμαλωτίσαντος, ἀλλ' ἐκ προθυμίας ἐφάνησαν πονηροί τε καὶ εὔωνοι. οὐδὲ πρὸς ὀλίγον ἀντισχόντες, οὐδὲ γενομένης πρὸς αὐτοῖς θλίψεως ἢ πειρασμοῦ, διὰ τὸν λόγον σκανδαλισθέντες. ἀλλὰ προσκαίρου κέρδους ἢ θεραπείας, ἢ δυναστείας μικρᾶς οἱ δείλαιοι, τὴν ἑαυτῶν σωτηρίαν ἀπεμπολήσαντες. ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τοῦ χοροῦ τὸ πλήρωμα, φέρε ὅση δύναμις ἁγνισάμενοι καὶ σώματα καὶ ψυχάς, καὶ μίαν ἀναλαβόντες φωνήν, ἐν ἑνὶ συναρμοσθέντες πνεύματι, τὴν ἐπινίκιον ᾄδωμεν ἐκείνην ᾠδήν, ἥν ποτε ᾖσεν ὁ Ἰσραὴλ ἐπὶ τοῖς Αἰγυπτίοις τῇ ἐρυθρᾷ κατακλυσθεῖσιν, ἐξάρχοντος Μωϋσέως, καὶ ἀνακρουομένης τὸ τύμπανον. ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν, τοσοῦτον μεθαρμόζω τῆς ᾠδῆς. ἀλλ' ὅπερ φίλον ἦν αὐτῷ, καὶ ὅπως αὐτὸς ἐδικαίωσεν ὁ ποιῶν πάντα, καὶ μετασκευάζων. εἶπέ που τοῦ ἑαυτοῦ προφήτου Ἀμὼς φιλοσοφῶν ἐνθεώτατα, ὁ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων, καὶ οἱονεὶ δὴ κύκλον τινὸς εὐθύνων, καὶ διεξάγων τὸν ἅπαντα κόσμον, καὶ τὰ ἡμέτερα, σαλευόμενά τε ὁμοῦ καὶ μὴ σαλευόμενα. ταῖς μεταβολαῖς μὲν κινούμενα καὶ περιτρεπόμενα, καὶ ἄλλοτε ἄλλως ἔχοντα. τῇ τάξει δὲ τῆς προνοίας, πάγια καὶ ἀκίνητα, κἂν δὴ τῶν ἐναντίων ὁδεύῃ. τῷ λόγῳ μὲν ἄδηλον, ἡμῖν δὲ ἀγνοούμενον. ὁ καθαιρῶν δυνάστας ἀπὸ θρόνων, καὶ αὖ ὑπόδηλον κοσμῶν διαδήματι, παρὰ τῆς θείας καὶ τοῦτο λαμβάνω γραφῆς. ὁ γόνασιν ἀδυνατοῦσι θάρσος περιτιθείς, καὶ συντρίβων ἁμαρτωλοῦ καὶ πονηροῦ βραχίονας, καὶ ταῦτα παρ' ἄλλοις. ὅπως ἂν ἕκαστον ἐπὶ τῇ μνήμῃ πολλῶν συμπαρεχόντων μοι τὴν ᾠδήν, καὶ συνδραμόντων τὸ χαριστήριον. ὁ διδοὺς ὁρᾶσθαι τὸ ἀσεβές, καὶ τὴν ὑπὲρ τὰς κέδρους ἔπαρσιν, καὶ τὴν εἰς τὸ μηκέτι εἶναι καθαίρεσιν. ὅταν αὐτοῦ παρελθεῖν δυνηθῶμεν, τάχει καὶ ἀσφαλείᾳ ποδὸς τὴν ἀσέβειαν. τίς ταῦτα πρὸς ἀξίαν φράσει, καὶ διηγήσεται τῶν τὰ θεῖα διηγουμένων; τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ. τίνα φωνήν, ἢ τίνα λόγου δύναμιν ἐξισώσει τῷ θαύματι; τίς συνέτριψεν ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον; τίς συνέθλασε τὰς

κεφαλάς

κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. τίς ἔδωκεν αὐτὸν βρῶμα λαοῖς, τοῖς οἷς καὶ πέ-
δωκε; τίς ἔστησεν εἰς αὔραν τὴν καταιγίδα; τίς εἶπε τῇ θαλάσσῃ, σιώπα, πεφίμωσο, καὶ ἐν
σοὶ συντριβήσονταί σου τὰ κύματα. καὶ μέντοι καὶ συνέτριψας, οὐκ ἐπὶ πολὺ μετεωρισθέν-
τα καὶ ἀφρίζοντα. τίς ἐπαίω ὄφεων καὶ σκορπίων πατεῖν ἐδωρήσατο. οὐκ ἔτι λάθρα τὴν
πτέρναν τηρούντων ὡς ἡ κατάκρισις, ἀλλὰ φανερῶς ἐπανισταμένων, καὶ διαιρόντων τὴν κε-
φαλήν, ἣν πατεῖσθαι κατεδικάσθησαν. τίς ὁ κρίνας κρίμα καὶ δικαιοσύνην ἀδικηθεῖσι;
τίς ὁ μὴ παντελῶς ἐπαφεὶς τὴν ῥάβδον τῶν ἁμαρτωλῶν; ἆρα θαρρῆσαι χρὴ περὶ κλήρου
τῶν δικαίων εἰπεῖν, ἢ ὅτι τούτου μετεωροτέρους, περὶ κλήρου τὸν αὐτὸν γινωσκόντων. οὐ γὰρ ὡς δί-
καιοι ἐπαιδεύθημεν, ἐπεὶ γὰρ ὀλίγοι καὶ ὀλιγάκις. ἵν' ὡς ἀθληταὶ γενναῖοι, τὸν πειρασμὸν κα-
ταγωνίσωσιν. ἀλλ' ὡς ἁμαρτάνοντες κατεκρίθημεν, εἶτα ἠλεήθημεν κηδεμονικῶς τε καὶ
πατρικῶς. ὅσον σωφρονισθῆναι τοὺς ἀλγοῦντας, καὶ ὅσον πρὸς αὐτὸν ἐπιστρέψαι νουθετηθέν-
τας. ἠλέγχθημεν μὲν γὰρ οὐ περὶ θυμῷ δέ. καὶ ἐπαιδεύθημεν μέν, οὐ τῇ ὀργῇ δέ, δι' ἀμφοτέρων δεί-
κνὺς τὸ φιλάνθρωπον, καὶ τὸ ἀποτόμως ἴσως καὶ τὸ αἰτίως. τίς ὁ κρίνας ἐκδίκησιν ἐν τοῖς
ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς; κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέ-
μῳ. μίαν ἐκείνην φωνήν, ἐν μέλος τὸν παρόντα τῶν ἀξίους, ἣν ἡσαΐας πρὸ ἡμῶν ἀνε-
φθέγξατο, σφόδρα τῷ νῦν καιρῷ πρέπουσαν, καὶ τῷ μεγέθει τῆς εὐεργεσίας ἁμιλλωμένην. εὐ-
φρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. ῥηξάτω τὰ ὄρη εὐ-
φροσύνην, καὶ οἱ βουνοὶ ἀγαλλίασιν. ἐπεὶ καὶ κτίσις πᾶσα, καὶ δυνάμεις οὐράνιοι, κατὰ τὴν
τοιαύτην ὥς γε δὴ ὁ ἐμὸς λόγος συμπαθαίνονται. οὐ γὰρ συστενάζει μόνον καὶ συνωδίνει
δουλεύουσα τῇ φθορᾷ τοῖς κάτω λέγω γινομένοις τε καὶ ἀπογινομένοις. ἀποκαραδοκοῦσα
τὸ τέλος τούτων, καὶ τὴν ἀποκάλυψιν, ἵνα καὶ αὐτὴ ποτὲ τύχῃ τῆς ἐλπιζομένης ἐλευθερίας,
ὡς νῦν ἄκουσα τούτοις προσδεδεμένη διὰ τὴν τοῦ δημιουργήσαντος δύναμιν, ἀλλὰ καὶ συν-
δοξάζει καὶ συναγάλλεται, τοῖς τοῦ θεοῦ τέκνοις εὐφραινομένοις. τί χορεύω; οὐ γὰρ ἀφέξο-
μαι θείων φωνῶν θείαν ἐξηγούμενος δύναμιν, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρί-
νον. ἡ χήρα χθὲς καὶ πρώην ὥς γε ἐδόκει καὶ ἄνανδρος ἐκκλησία. ἢ πᾶς ὁ τῷ φόβῳ ἢ
ἀτονίᾳ χειμῶνι τῆς ἀσεβείας τέως συνεσταλμένος. ὅτι ἠλέησε κύριος τὸν λαὸν αὐτοῦ, καὶ
τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλέλοιπεν. ὅτι ἐποίησε θαυμαστὰ πράγματα, βουλὴν
ἀρχαίαν ἀληθινήν. ἡ δὲ ἦν, εὐδοκεῖν ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ τοὺς ἐλπίζοντας ἐπὶ τὸ
ἔλεος αὐτοῦ. ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. ὅτι διὰ
τὰς ἀνομίας ἡμῶν ἐταπεινώθημεν, ἀλλ' ἀπελύθημεν καὶ τῆς παγίδος συντριβείσης ἐρ-
ρύσθημεν ἐν χάριτι τοῦ καλέσαντος ἡμᾶς, καὶ τοὺς ταπεινοὺς τῇ καρδίᾳ παρακαλοῦντος
θεοῦ. ὁρᾶτε ὅπως ἐπλέκω τὴν ᾠδήν, θείοις καὶ ῥήμασι καὶ διανοήμασι. καὶ οὐκ οἶδ' ὅπως
ἀλλοτρίοις ἐπαίρομαί τε καὶ καλλωπίζομαι. καὶ ὥσπερ ἔνθεος, ὑφ' ἡδονῆς γίνομαι. ἀπι-
μάζω δὲ ἅπαν ταπεινὸν καὶ ἀνθρώπινον, ἀλλ' ἄλλοις συμβιβάζων καὶ συναρμόζων, καὶ εἰς
ἓν ἄγων τὰ τοῦ αὐτοῦ πνεύματος; πρότερον μὲν οὖν ἐδείκνυ τοῦ θεοῦ τὰ θαυμάσια, ἐν ὀχ-
ήματι θέμενος, ἠλίας ἀναλαμβανόμενος, νῶε διασωζόμενος καὶ διασώζων τὰ σπέρματα
τῶν γενῶν ἐν μικρῷ ξύλῳ τὸν κόσμον, φυγόντων οἰκουμένης ἐπίκλυσιν, ἵν' ἡ γῆ κοσμηθῇ πάλιν
εὐσεβεστέροις οἰκήτορσιν. ἀβραὰμ καλούμενος, καὶ παιδὶ παρ' ἡλικίαν τιμώμενος, εἰς πί-
στιν ἑτέρου τοῦ ἐπηγγελμένου σπέρματος. καὶ τὸν μονογενῆ προσφέρων θυσίαν πρόθυ-
μον, καὶ ἱερεῖον ξένον, καὶ ἀντὶ τοῦ παιδὸς κομιζόμενος. παράδοξος ἀσεβῶν ἀπώλεια, πυ-
ρὶ καὶ θείῳ κατακλυσθέντων. εὐσεβῶν κλοπὴ παραδοξοτέρα. στήλη ἁλός, τὴν πρὸς τὸ κα-
κὸν ἐπιστροφὴν θριαμβεύουσα. ἰωσήφ τε πιπρασκόμενος, καὶ ἐρώμενος, καὶ σωφρονῶν,
καὶ παρὰ θεοῦ δοξαζόμενος, καὶ ἐλευθερούμενος, καὶ δυναστεύων, καὶ σιτοδοτῶν ἐπ'
οἰκονομίᾳ μείζονι. μωσῆς θεοφανείας ἀξιούμενος, καὶ νομοθετούμενος, καὶ νομοθετῶν. καὶ
θεὸς φαραὼ γινόμενος, καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τῷ ἰσραὴλ ἐξηγούμενος. αἰγυ-
πτίων τε ἀριθμούμεναι μάστιγες. καὶ σωτηρία τῶν τυπουμένων, ἐν μέσοις τοῖς αἰγυπτίοις. θά-
λασσά τε ἀποχωροῦσα ῥάβδῳ, καὶ συνιοῦσα λόγῳ. καὶ τοὺς μὲν ὡς ξηρᾷ παραπέμπουσα, τοὺς
δὲ κατὰ τὴν φύσιν ἑαυτῆς ἐπιφέρουσα. τἆλλά τε ὅσα τούτοις ἐπηκολούθησε. στῦλος νεφέ-
λης ἐπισκιάζων ἡμέρας, στῦλος πυρὸς φωτίζων νυκτός, καὶ ὁδηγοῦντες ἀμφότεροι. ἄρ-
τος ὑόμενος ἐν ἐρήμῳ, ἄρτον ἐξ οὐρανοῦ πεμπόμενον, ὁ μὲν τῇ χρείᾳ σύμμετρος, τὸ δὲ καὶ
ὑπὲρ τὴν χρείαν, ὕδωρ ἐκ πέτρας. τὸ μὲν ἐκδιδόμενον, τὸ δὲ γλυκαινόμενον. ἀμαλὴκ εὐ-
χῇ καταπολεμούμενος, καὶ χειρῶν ἐκτάσει καὶ μυστικῷ σχήματι. ἥλιος ἱστάμενος, καὶ
σελήνη κατεχομένη, καὶ ἰορδάνης ἀνακοπτόμενος. τείχη κατασειόμενα, ἱερέων πολιορκίᾳ,
καὶ σαλπίγγων ἤχῳ, καὶ ῥυθμῷ δύναμιν ἔχοντι. γῆ καὶ πόντος ἐναλλασσόμενά τε καὶ ἀθρο-
ως διαμένοντα, δύναμις ἐν θεοῖς, στρατιᾶς ὅλας ἀντίρροπος, λογάδες ὀλίγοι λαψάντων,

καὶ νικῶν

καὶ νικᾶν πειθόμενοι, καὶ νικῶντες κατὰ τὰς ἐλπίδας, ὁ βραχὺς ἀριθμός, τὰς πλείονας χιλιάδας. τί με δεῖ καταριθμεῖν ἕκαστα ὅσα δι' αὐτοῦ Χριστὸς κατὰ τὴν ἐπιδημίαν αὐτοῦ παρουσίαν καὶ σάρκωσιν. ὅσα μετ' ἐκεῖνόν τε καὶ δι' ἐκεῖνον, τοῖς ἱεροῖς ἀποστόλοις αὐτοῦ καὶ ὑπηρέταις τοῦ λόγου τεθαυματούργηται. πόσα ταῦτα αἱ βίβλοι καὶ μνῆμαι φέρουσι. τὰ δὲ ἐν νῦν. δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅπως ἂν γενεὰ γενεᾷ ἑτέρα, καὶ διαδοχαὶ γονέων, τῆς τοῦ θεοῦ δυναστείας τὰ θαύματα. ἐπεὶ δὲ οὐχ οἷόν τε πάντα διηγεῖσθαι, μὴ τὸ τοῦ κινδύνου παραστήσαντας μέγεθος, ἔστι δὲ οὐχ οἷόν τε μὴ τὸν τρόπον κατὰ κόσμον διελέγξαντας, καὶ ἐξ οἵων ἀρχῶν καὶ τῆς κακίας ἀφορμῆς, ἐπὶ τὴν κακοδαιμονίαν ταύτην ἐξέπεσε, κατὰ μικρὸν τὴν ἀσέβειαν συναυξήσας, ὥσπερ τὸν ἰὸν τῶν ἑρπετῶν καὶ τῶν θηρίων ὅσα πικρότατα, ταῦτα μὲν ἐκτραγῳδεῖν τὰ ἐκείνου βίβλοις καὶ ἱστορίαις παρήσομεν. οὐ γὰρ ἡμῖν γε σχολή, μακροτέρα τῆς παρούσης ὑποθέσεως ῥαψῳδεῖν. αὐτοὶ δὲ ὀλίγα ἐκ πολλῶν διελθόντες, στηλογραφίαν ὥσπερ τινὰ τοῖς καθ' ἡμᾶς καταλείψομεν, ἐπὶ τὰ κυριώτατα καὶ περιφανέστατα τῶν κατ' ἐκεῖνον, τῷ λόγῳ χωρίζοντες. ἐκεῖνος οὖν μὲν καὶ πρῶτον, ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου σωθείς, ἄρτι παρὰ τοῦ πατρὸς διαδεξαμένου τὸ κράτος, ἡνίκα ὁ στρατιωτικὸς ἐξωπλίσθη κατὰ τῶν ἀτελῶν, καινοτομῶν φόβῳ καινοτομίας. καὶ διὰ νέων πεσόντων κατέστη τὰ βασίλεια, καὶ σωθεὶς γε σὺν τῷ ἀδελφῷ εὐσεβείας ἄπιστον καὶ παράδοξον, οὔτε τοῦ θεοῦ χάριν ἔχει τῆς εὐσεβείας, οὔτε τῷ βασιλεῖ, δι' οὗ σέσωστο. ἀλλ' ἀμφοτέροις ὤφθη κακός, τοῦ μὲν ἀποστασίαν ὠδίνων, τῷ δὲ ἐπανάστασιν. ὃ δεῖ μοι πρὸ τούτων εἰπεῖν ἀναγκαῖον, διαίτης μὲν καὶ θεραπείας οὔ τινι τῶν βασιλικῶν χωρίων ἠξιοῦντο βασιλικῆς παρὰ τῆς φιλανθρωπίας τοῦ βασιλέως ὡς τοῦ γένους λείψανα τῇ βασιλείᾳ τηρούμενοι. ὅμως μέν, ἀπολογίαν ἐννοοῦντος τῶν πατρῴων τὴν ἀρχὴν τῆς βασιλείας, ὡς οὐ κατ' ἐκείνου γνώμην τετολμημένων, ὅμως δὲ καὶ τὸ μεγαλόψυχον ἐνδείξασθαι ζητοῦντος τῇ κοινωνίᾳ τῆς βασιλείας. καὶ τρίτον, τὴν ἀρχὴν καταστήσασθαι ταῖς προσθήκαις βεβαιοτέραν, ὅπερ ἦν διανοουμένου χρηστότερα ἢ σοφώτερα. ἐπεὶ δὲ ἦγον ἀπὸ ταύτης σχολήν, τῆς μὲν βασιλείας μελλούσης ἔτι καὶ μελετωμένης, τῆς δὲ ἡλικίας ἅμα καὶ τῆς ἐλπίδος ταῖς δευτέραις τῶν ἀρχῶν οὐ προσαγούσης, ἐχρῶντο μὲν καὶ τῶν ἄλλως παιδευταῖς μαθημάτων, πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν, ἐκπαιδεύοντος αὐτοὺς τοῦ θείου καὶ βασιλέως. ἐχρῶντο δὲ καὶ τῇ καθ' ἡμᾶς φιλοσοφίᾳ πλέον, οὐ τῇ περὶ λόγους μόνον, ἀλλ' ὅση καὶ διὰ τῶν ἠθῶν ἔχει τὸ εὐσεβές, αἰδούμενοί τε τοῖς σπουδαιοτάτοις προσομιλοῦντες. καὶ πράξεων ταῖς χαριεστάταις καὶ πολλὴν ἐχούσαις τῆς ἀρετῆς τὴν ἐπίδειξιν, τῷ μέν γε κλήρῳ φέροντες ἑαυτοὺς ἐγκατέλεξαν, ὥστε καὶ τὰς θείας ὑπαναγινώσκειν τῷ λαῷ βίβλους, οὐδ' ἑνὸς ἔλαττον εἰς δόξαν αὐτοῖς τοῦτο εἶναι νομίζοντες, ἀλλὰ καὶ ταύτην μεῖζον καλλώπισμα, τὴν εὐσέβειαν. μαρτύρων τε μνήμασι πολυτελεστάτοις, καὶ ἀναθήμασι τῶν φιλοτιμίας, καὶ πᾶσιν οἷς ὁ θεῖος φόβος χαρακτηρίζεται, τὸ φιλόσοφον, καὶ φιλόχριστον κατεμήνυον. ὁ μὲν καὶ κατὰ ἀλήθειαν εὐσεβῶν. καὶ γὰρ ἦν, εἰ καὶ τὴν φύσιν θερμότερος, ἀλλ' οὖν γνήσιος εἰς εὐσέβειαν. ὁ δὲ τὸν καιρὸν ἐξωνούμενος, καὶ κρύπτων οἱ ἐπιεικείας πλάσματι, τὸ κακόηθες. τεκμήριον δέ, καὶ γὰρ οὐκ ἂν δυναίμην παραδραμεῖν τὸ συμβὰν θαῦμα, σφόδρα τε ὂν μνήμης ἄξιον, καὶ πολλοὺς παιδεῦσαι τῶν ἀσεβῶν δυνάμενον. ἐμερίζοντο μὲν τοῖς μάρτυσιν ὅπερ εἶχον ἀμφότεροι, καὶ ἀντεφιλοτιμοῦντο λαμπρῶς ἀλλήλοις, καὶ χειρὶ πολλῇ καὶ δαπάνῃ τὸν οἶκον ἐγείροντες. ἐπεὶ δὲ οὐκ ἐκ τῆς αὐτῆς προαιρέσεως, οὐδὲ εἰς ὅμοιον τέλος προΐβαινεν ἀμφοτέροις ὁ πόνος. τοῦ μὲν γὰρ τὸ ἔργον ηὔξετο, καὶ κατὰ λόγον ἐχώρει τοῦ πρεσβυτέρου λέγω τῶν ἀδελφῶν. οἷα τοῦ θεοῦ τὴν ἐπίδοσιν ἑτοίμως προσιεμένου, κατὰ τὴν Ἄβελ θυσίαν, ὀρθῶς καὶ προσενεχθεῖσαν καὶ διαιρεθεῖσαν. καὶ ἦν ὥσπερ πρωτοτόκου τῆς καθιερώσεως, ἡ ἐπίδοσις. τοῦ δὲ (φεῦ τῆς ἀντεῦθεν ἤδη τῶν ἀσεβῶν ἀτιμίας τὰ ἐκεῖθεν μαρτυρουμένης, καὶ μικροῖς μηνύμασι τὰ μεγάλα προκηρυττούσης) ὥσπερ τὴν Κάιν θυσίαν ὁ τῶν μαρτύρων θεὸς ἀπεπέμπετο. καὶ ὁ μὲν ἐπόνει, ἡ γῆ δὲ τὸ πονηθὲν ἀπεσείετο. καὶ ὁ μὲν ἐφιλονείκει μᾶλλον, ἡ δὲ ἀπηξίου δέχεσθαι θεμελίους τοῦ σαθροῦ πρὸς εὐσέβειαν. οἷα βοῶσα τὸν ἐσόμενον ἐξ ἐκείνου σεισμόν, καὶ τιμῶσα τοὺς μάρτυρας, τῇ περὶ τὸν ἀσεβέστατον ἀτιμίᾳ. τοῦτο τὸ ἔργον προφητεία τις ἦν τῆς ὕστερον τοῦ ἀνδρὸς αὐθαδείας τε καὶ ἀπονοίας, καὶ τῆς εἰς μάρτυρας ἀτιμίας, καὶ περὶ τοὺς ἁγίους οἴκους παρανομίας. τοὺς μὲν ἄλλους λανθάνουσα, τὸν δὲ διώκτην πόρρωθεν προδιώκουσα, καὶ τὰ τῆς ἀσεβείας ἐπίχειρα προσημαίνουσα. ὢ ψυχῆς σοφῆς· εἰς τὸ κακοποιῆσαι, τὴν δὲ ἰδίαν οὐ φυγούσης βάσανον. ὢ θεοῦ τὸ μέλλον κηρύττοντος, ἵν' ἢ ἀνακόψῃ τὴν ἀσέβειαν, ἢ δείξῃ τὴν πρόγνωσιν. ὢ παραδόξου μέν, ἀληθοῦς δὲ πλέον ἢ παραδόξου θαύματος. ὢ τῆς τῶν μαρτύρων φιλαδελφίας, οὐκ ἐδέξαντο τιμήν, τοῦ πολλοὺς μάρτυρας ἀτιμάσοντος, οὐ προσήκαντο δῶρον, τοῦ πολλοὺς ἀθλητὰς ἀποδείξοντος.

δέξοντος, μᾶλλον δὲ φθονήσοντος καὶ αὐτῆς τῆς ἀθλήσεως. ἢ τό γε ἀληθέστερον εἰπεῖν, οὐκ ἠνέγκαμεν μόνοι μαρτύρων ὑβρίζεσθαι, τὴν ἄλλων ὁσίαις χερσὶ τεθησομένων τέ καὶ θεραπευθησομένων. οὐδὲ δεῖν ὑπὸ σοφιστοῦ τῆς κακίας, ταῖς ὕβρεσιν ἐγκαυχήσασθαι. ἵνα μὴ τὰ τῆς αὐτῆς χειρὸς, τὰ μὲν ἀνίστηται μαρτύρων μνήματα, τὰ δὲ καταλύηται. καὶ οἱ μὲν τιμῶντι μάρτυρας, οἱ δὲ ἀτιμάζοντι, μικρὸν φθανούσης τῷ οἰδήματι τιμῆς τὴν ἀληθινὴν ἀτιμίαν. μηδὲ πρὸς τῷ μεγέθει τῆς ὕβρεως καὶ σοφὸς εἶναι νομίσῃ περὶ ἑαυτῷ, λανθάνων ὥσπερ ἀνθρώπους. οὕτω καὶ θεὸν, τὸν πάντων ὀξύτατον καὶ σοφώτατον, καὶ δραττόμενον τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν, διὰ τοῦ φαινομένου προβλήματος. ἀλλὰ γινώσκοι νοούμενος, καὶ μὴ ὑπεραίρηται καταλαμβανόμενος. εἰ γὰρ καὶ τὴν ἀσέβειαν οὐκ ἐπέσχεν ὁ τῶν μαρτύρων θεὸς, οὐδὲ τὴν μελετωμένην δὲ κρυπτομένην κακίαν, ὥσπερ ῥεῦμα πονηρὸς εὐθὺς ἀνεξήρανεν ἢ ἀνέκοψεν, οἷς αὐτὸς ἠπίστατο λόγοις κατὰ τὴν ἄρρητον αὐτοῦ σοφίαν τε καὶ κυβέρνησιν, καθ' ἣν καὶ τὰς ἀμορραίων ἀνομίας ἀναπληρωθῆναι ᾠκονόμει, ἀλλ' ἴδετε τήν τε κακόηθειαν μισηθῆναι, καὶ τὴν τιμὴν ἀρθῆναι τὴν πολλῶν εἵνεκεν, καὶ δεχθῆναι τοῦ θεοῦ τὴν περὶ πάντα τὰ προσφερόμενα, ἰσότητά τε καὶ καθαρότητα. ὁ γὰρ εἰπὼν, ἀσεβοῦντι περὶ Ἰσραὴλ, ἐὰν προσφέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι ἐστὶ, τάς τε νεομηνίας αὐτῶν καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐ προσδεχόμενος. μηδὲ γὰρ δεῖσθαι πλήρης ὢν μηδενὸς τῶν ἀνθρωπίνων τε καὶ μικρῶν, ἵνα χαίρῃ καὶ τοῖς ἀναξίως προσφερομένοις, τήν τε τῶν ἀνόμων θυσίαν, καὶ ἢ μόσχος, ὡς κυνὸς βδελυττόμενος, καὶ ὡς βλασφημίαν τὸν λίβανον, καὶ ἄλλαγμα πόρνης ἐξορίζων τοῦ ἱεροῦ καὶ ἀποσειόμενος, μόνην δὲ θυσίαν τιμῶν ἣν καθαρὰ ὑπὸ καθαρωτάτῳ προσφέρονται χειρῶν, καὶ νοῦς ὑψηλός τε καὶ ἡγιασμένος, τί θαυμαστὸν, εἰ μηδὲ τὴν ἐκείνου τιμὴν προσεδέξατο, πονηρῶς τε καὶ μετὰ πονηρᾶς τῆς διανοίας προσαγομένην. ὁ μὴ καθορῶν ὡς ἄνθρωπος, μηδὲ εἰς τὸ φαινόμενον βλέπων, ἀλλ' εἰς τὸν κρυπτὸν ἄνθρωπον, καὶ εἰς τὸ ἔνδον τῆς κακίας, ἢ τῆς ἀρετῆς ἐργαστήριον. ταῦτα μὲν δὴ τοιοῦτα, καὶ εἴ τις ἀπιστεῖ, τῶν τεθεαμένων αὐτῶν ἐπιμαρτυρόμεθα. πολλοὶ δέ εἰσιν, οἳ καὶ ἡμῖν καὶ τοῖς ἔπειτα τὸ θαῦμα τοῦτο παρέπεμψάν τε καὶ παραπέμψουσιν. ἐπεὶ δὲ εἰς ἄνδρας προϊόντι ἤδη τῶν ἐν φιλοσοφίᾳ δογμάτων ἥψατο ὡς μήποτε ὤφελον, καὶ τὴν ἐκ τοῦ λόγου προσελάμβανεν δύναμιν, ἣ τοῖς μὲν ἐπιεικέσιν, ἀρετῆς ὅπλον, τοῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται, οὐκέτι κατέχειν ὅλην τὴν νόσον οἷός τε ἦν. οὐδὲ παντελῶς τὸν τῆς ἀσεβείας δόλον ἐν ἑαυτῷ μόνῳ φιλοσοφεῖν, ἀλλ' ὥσπερ πῦρ ἐμφωλεῦον ὕλῃ, καὶ μήπω πρὸς φλόγα λαμπρὰν ἀρθῆ, σπινθῆρσί τισιν ἐξαλλομένοις, ἢ καπνός ἐκ βάθους ὑποσημαίνουσιν. εἰ βούλει δὲ, τὴν πηγῶν αἳ σήραγγάς τινας ὑποτρέχουσαι μετὰ πνεύματος, εἶτ' εὐρυχωρίαν οὐκ ἔχουσαι, οὐδὲ διέξοδον ἐλευθέραν, πολλαχοῦ τῆς γῆς ἀναφυσῶσι καὶ ὑπηχοῦσι κάτωθεν, ὑπὸ μὲν τοῦ πνεύματος ἀνωθούμεναι, ὑπὸ δὲ τῆς ἄνωθεν βίας κατεχόμεναί τε καὶ ἀνακοπτόμεναι, οὕτω καὶ αὐτὸς τὸ μὲν πολὺ τῆς ἀσεβείας κατέκρυπτεν, ὑπὸ τοῦ καιροῦ καὶ τοῦ κρατοῦντος παιδαγωγίας. οὔπω γὰρ τὸ φανερῶς ἀσεβεῖν ἦν ἀσφαλές. ἔστι δ' ὅπῃ καὶ παραγύμνου τῆς γνώμης τὸ ἀπόρρητον τοῖς ὀξυτέροις τὴν ἀσέβειαν ἢ τὴν σύνεσιν, εἴ τε τοῖς πρὸς τὸν ἀδελφὸν λόγοις πλέον ἢ καλῶς εἶχεν, ὑπὲρ Ἑλλήνων διατεινόμενος. προφάσει δῆθεν, ὡς τὸν ἥττω γυμνάζων λόγον. τὸ δὲ ἦν, ὄντως γυμνασία κατὰ τῆς ἀληθείας. καὶ πᾶσι χαίρων, οἷς ἀσεβὴς τρόπος χαρακτηρίζεται. ἐπεὶ δὲ τὸν μὲν ἀδελφὸν ἡ φιλανθρωπία τοῦ αὐτοκράτορος ἀποδείκνυσι βασιλέα, καὶ μέρος οὐκ ὀλίγον ἐγχειρίζεται τῆς οἰκουμένης, ὑπὸ δὲ ὑπῆρχε κατὰ πολλὴν ἐξουσίαν καὶ ἄδειαν, καὶ λόγων καὶ διδασκάλοις τοῖς ὀλεθριωτάτοις προσομιλεῖν, ἀσίᾳ δὲ ἦν αὐτῷ τὸ τῆς ἀσεβείας διδασκαλεῖον, ὅσοι τὰ περὶ ἀστρονομίαν καὶ τὰς γενέσεις καὶ φαντασίαν προγνώσεως τερατεύεται, καὶ τὴν ἑπομένην τούτοις γοητικήν, ἐς ἔτι τὸ λεῖπον ἦν προστεθῆναι τῇ ἀσεβείᾳ καὶ δύναμιν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ταύτην δίδωσιν αὐτῷ καθ' ἡμῶν, ἡ πληθυνθεῖσα τῶν πολλῶν ἀνομία, καὶ ἡ ἐπ' ἄκρως ὡς ἂν εἴποι τις χριστιανῶν εὐεξία, τὴν ἐναντίαν ζητοῦσα μεταβολήν. καὶ ἡ ἐξουσία, καὶ ἡ τιμὴ, καὶ ὁ κόρος; οἷς ἐνυβρίζομεν. ὑπὸ ὅτι γὰρ κινδυνεύει χαλεπώτερον εἶναι τὸ καταχεῖν τὰ ἀγαθὰ, τοῦ μὴ παρόντα κτήσασθαι. καὶ ῥᾷον ἀπελθοῦσαν εὐημερίαν ἀνακαλέσασθαι δι' ἐπιμελείας, ἢ τὴν ὑπάρχουσαν διασώσασθαι. καὶ πρὸ μὲν συντριβῆς, ἡγεῖται ὕβρις, αἱ παροιμίαι καλῶς φασιν. πρὸ δὲ δόξης, ταπείνωσις. ἢ ἵνα σαφέστερον εἴπω, ὕβρει μὲν ἕπεται συντριβὴ, ταπεινώσει δὲ εὐδοξία. κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. καὶ ἀντεισάγει τὰ ἐναντία τοῖς ἐναντίοις, ὁ πάντα δικαίως ἐπιμετρῶν. ταῦτα εἰδὼς καὶ ὁ θεῖος Δαβὶδ, εἴ τι τῶν ἀγαθῶν καὶ τὸ συστέλλεσθαι τίθεται, καὶ χάριν ὁμολογεῖ ὑπὲρ συστάλαντι, ὡς τοῦ τὰ δικαιώματα μαθεῖν ἐντεῦθεν προσγινομένου, καὶ πρὸ τοῦ με ταπεινωθῆναι, φησὶν, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. μέσους πλημμελείας τε καὶ

διορθώσεως, τιθεὶς τὴν ταπείνωσιν. ὡς ἐκ μὲν ταύτης γεννωμένην, τὴν δὲ γεννῶσαν. ἁμαρτία μὲν γὰρ ταπεινώσεως μήτηρ, ἐπιστροφῆς δὲ ταπείνωσις. ἡμεῖς γοῦν ὑψωθέντες, ὅτε ἦμεν ἐπιεικεῖς τε καὶ μέτριοι, καὶ κατὰ μικρὸν αὐξηθέντες ὡς εἰς τόδε τὸ σχῆμα καὶ πλῆθος σὺν χειραγωγίᾳ θεοῦ προελθεῖν, ἡνίκα ἐλιπάνθημεν, ἐσκιρτήσαμεν. καὶ ἡνίκα ἐπλατύνθημεν, ἐστενοχωρήθημεν. καὶ ἣν οἱ τοῖς διωγμοῖς, καὶ ταῖς θλίψεσι συνελεξάμεθα δόξαν καὶ δύναμιν, ταύτην εὖ πράττοντες κατελύσαμεν. δηλώσει δὲ τὰ ἑξῆς τοῦ λόγου. ὅρον μὲν ἡ βασιλεία τοῦ καίσαρος, καὶ ὁ βίος λαμβάνει. τὰ γὰρ ἐν μέσῳ σιωπήσομαι, φειδοῖ καὶ τοῦ πεποιηκότος, καὶ τοῦ πεπονθότος. ὧν ἀμφοτέρων αἰδούμενος τὴν εὐσέβειαν, οὐκ ἐπαινῶ τὴν θρασύτητα. ἐπειδὴ γὰρ ἔδει τι, καὶ ἁμαρτεῖν ὄντας ἀνθρώπους, τοῦτο δ' ἴσως τάχα ἄν τις ἀμφοτέρων οὐκ ἐπαινέσειεν. εἰ μὴ καὶ ταῦτα δι' ὧν τοῦ ἑτέρου κατηγορήσομεν, τὸν ἕτερον αἰτίας ἀφήσομεν. ὁ δὲ εὐθὺς μὲν κληρονόμος τῆς τοῦ ἀδελφοῦ βασιλείας, ἀλλ' οὐκ εὐσεβείας, μικρὸν δὲ ὕστερον καὶ τοῦ βασιλεύσαντος αὐτὸς γίνεται. τὸ μὲν ἑκόντος, τὸ δὲ βιασθέντος τῷ κοινῷ τέλει, καὶ ἐπιτήδειος ἦλθεν παντὶ τῷ κόσμῳ κακὸν καὶ ὀλέθριον. τί τοῦτο ὦ θειότατε βασιλέων καὶ φιλοχριστότατε (προσάγομαι γὰρ ὡς παρόντι καὶ ἀκούοντι μέμψασθαι, καὶ εἰ πολὺ κρείττονα γινώσκω τῆς ἡμετέρας μέμψεως, μετὰ τοῦ θεοῦ τεταγμένον. καὶ τῆς ἐκεῖ δόξης κληρονομήσαντα καὶ τοσοῦτον μεταχωρήσαντα, ὅσον μεταλλάξασθαι τὴν βασιλείαν) τίνα ταύτην ἐβουλεύσω βουλήν, παρὰ τὴν σύνεσιν ἀγχινοίᾳ κατὰ πολὺ διαφέρων; οὐ τὴν ἐπὶ σοῦ βασιλέων μόνον, ἀλλὰ καὶ τὴν ἔμπροσθεν. ὁ τὸ βαρβαρικὸν ἀνακαθαίρων κύκλῳ, καὶ τὸ ἔνδον τυραννικὸν χειρούμενος, τὸ μὲν τοῖς λόγοις, τὸ δὲ τοῖς ὅπλοις, καὶ τοῦτο ἑκάτερον ὡς μηδὲν ὑπὸ τοῦ ἑτέρου διοχλούμενος. οὗ μεγάλα μὲν τρόπαια, τὰ μεθ' ὅπλων καὶ μάχης. μείζω δὲ καὶ περιφανέστερα τὰ ἀναίμακτα. πρὸς ὃν καὶ αἱ πανταχόθεν πρεσβεῖαι καὶ ἱκεσίαι, ὧν τὰ μὲν ὑπήκουε, τὰ δὲ ἔμελλε. παρὰ δὲ ἦν τὸ ἐλπισθὲν ἴσον τῷ χειρωθέντι. ὁ χειρὶ θεοῦ πρὸς πᾶσαν καὶ βουλὴν καὶ πρᾶξιν ὁδηγούμενος. οὐ μᾶλλον μὲν τῆς χειρὸς, ἡ σύνεσις. μᾶλλον δὲ τῆς συνέσεως, ἡ χεὶρ ἐθαυμάζετο. πλέον δὲ τῆς ἐν ἀμφοτέροις εὐδοκιμήσεως, ἡ εὐσέβεια. πῶς οὖν ἐνταῦθα μόνον ἀμαθὴς ἐφάνης καὶ ἀπερίσκεπτος; τί τὸ τάχος τῆς ἀπανθρώπου φιλανθρωπίας; τίς συνῆλθε δαιμόνων τῷ σκέμματι; πῶς τὸν μέγαν κλῆρον, καὶ τὸ πατρῷον καλλώπισμα, τὸν ἐπώνυμον λέγω χριστοῦ, τὸ πανταχοῦ τῆς οἰκουμένης ἐκλάμψαν ἔθνος, τὸ βασίλειον ἱεράτευμα, τὸ πολλῷ πόνῳ, καὶ πολλοῖς ἱδρῶσι συναυξηθὲν, οὕτως ἐν ὀλίγῳ καὶ ἀκμῇ βραχείᾳ καιροῦ, τῷ κοινῷ παλαμναίῳ φθορεῖ παρέδωκας. ἴσως τι καὶ ἀσεβεῖν ὑμῖν ἀδελφοὶ φαίνομαι καὶ ἀγνωμονεῖν ἐν τοῖς λόγοις τούτοις. καὶ ὅτι μὴ ταχὺ τοῖς τῆς κατηγορίας ῥήμασιν, ἐπάγω τὰ τῆς ἀληθείας, καίτοι γε ἱκανῶς ἀπολελόγημαι, καὶ δι' αὐτῶν ὧν ἐγκέκληκα, εἴ τι τῇ κατηγορίᾳ τὸν νοῦν προσέχετε, καὶ ταῦτα μόνον ἡ κατηγορία τὴν ἄφεσιν ἔχει, χριστότατα γὰρ εἰπὼν, τὴν ἀπολογίαν ἐδήλωσα. τίς γὰρ οὐκ οἶδε καὶ τῶν μετρίως ἐκεῖνον ἐπισταμένων, ὅτι ἕνεκα μὲν εὐσεβείας καὶ τοῦ περὶ ἡμᾶς φίλτρου καὶ τοῦ βούλεσθαι πᾶν ἡμῖν ἀγαθὸν, μὴ ὅτι ἐκεῖνον παρεῖδεν ἂν, ἢ γένους ὅλου τιμὴν ἢ προσθήκην τῆς βασιλείας, ἀλλὰ καὶ αὐτῆς τῆς βασιλείας, καὶ παρ' αὐτὴν τὴν ζωὴν, καὶ τῆς ψυχῆς αὐτῆς, ἧς οὐδὲν οὐδενὶ τιμιώτερον, τὴν ἡμετέραν ἀσφάλειάν τε καὶ σωτηρίαν, οὐκ ἂν χαλεπῶς ἠλλάξατο. οὐδενὶ γὰρ οὐδενὸς οὕτω πώποτε πράγματος ἔρως θερμὸς ἐνέσκηψεν, ὡς ἐκείνῳ χριστιανοὺς αὐξηθῆναι, καὶ εἰς πλεῖστον καὶ δόξης προελθεῖν καὶ δυνάμεως. καὶ οὔτε ἔθνη χειρούμενα, οὔτε τὸ κοινὸν εὐνομούμενον, οὐ πλῆθος χρημάτων, οὐ δόξης περιουσία, οὐ τὸ βασιλέα βασιλέων καὶ εἶναι καὶ ὀνομάζεσθαι, οὐχ ὅσοις ἄλλοις ἀνθρώπων εὐδαιμονία γνωρίζεται, οὐδὲν οὕτω τὴν παρ' αὐτὴν ἐκεῖνον εὔφραινεν, ὡς τὸ δι' ἑαυτοῦ μὲν ἡμᾶς, διὰ δὲ ἡμῶν ἐκεῖνον, καὶ παρὰ θεῷ καὶ ἀνθρώποις εὐδοκιμεῖν καὶ ἀκατάλυτον ἡμῖν εἰς τὸν ἅπαντα χρόνον παραμεῖναι τὴν δυναστείαν. καὶ γὰρ πρὸς τοῖς ἄλλοις, ἐκεῖνο ᾔδει σαφῶς, ὑψηλότερόν τε καὶ βασιλικώτερον, ἢ κατὰ τοὺς πολλοὺς περὶ τούτων διανοούμενος, ὅτι τοῖς χριστιανῶν πράγμασι τὰ ῥωμαίων συνηύξηται, καὶ συνεισῆλθε τῇ ἐπιδημίᾳ χριστοῦ, τὸ κράτος, οὔπω πρότερον τελέως, εἰς μοναρχίαν νενικηκὸς, καὶ διὰ τοῦτο πλέον ἐδόκει μοι περιέπειν εὖ ποιῶν τὰ ἡμέτερα. ὅς γε καὶ εἴ τι παρελύπησεν ἡμᾶς, οὐ περιφρονῶν, οὐδὲ ὑβρίζων, οὐδὲ ἄλλοις τισὶ περὶ ἡμῶν χαριζόμενος, ἀλλ' ὥστε πάντας ἓν εἶναι, καὶ συμφρονεῖν παρελύπησε, καὶ μὴ διασχίζεσθαι, μηδὲ διΐστασθαι τοῖς σχίσμασιν. ἀλλ' ὅπερ εἶπον, ἀφύλακτον ἡ ἁπλότης, καὶ μετὰ τοῦ σαθροῦ τὸ φιλάνθρωπον. καὶ ἥκιστα κακίαν ὑφορᾶται, τὸ κακίας ἐλεύθερον. διὰ τοῦτο ἠγνοήθη τὸ μέλλον, καὶ τὸ πλάσμα, οὐκ ἐφωράθη, καὶ παρεισῆλθε κατὰ μικρὸν ἡ ἀσέβεια, καὶ δύο χριστότητες συνεισῆλθον ἀλλήλαις, ἥ τε περὶ τὸ εὐσεβὲς ζῆλος καὶ τὸν ἀσεβέστατον πάντων καὶ ἀθεώτατον. ὅς τι μεμφόμενος χριστιανοῖς, τί δὲ οὐκ ἐπαινεῖν ἔχων τῶν ἡμετέρων,

τέρων, τί δὲ τῶν παρ' Ἕλλησι δογμάτων ὑπερφυὲς νομίσας, καὶ δυσκίνητον λόγῳ; ποίῳ δὲ
ἀκολουθῶν ὑποδείγματι, γνωριμώτατον ἑαυτὸν ἐξ ἀσεβείας κατέστησε, καὶ καινότερον τρόπον
ἠμιλλήθη περὶ ἀσέβειαν τινί; ἐπειδή γε οὐκ ἦν ὑπερβάλλειν ἀρετῇ καὶ τοῖς κρείττοσι, διὰ
τῆς ἐναντίας φανῆναι φιλονεικήσας τῆς εἰς δυσσέβειαν ἀμετρίας, καὶ τῆς περὶ τὸ χεῖρον φιλο-
τιμίας. ἡ μὲν οὖν ὑπὲρ χριστιανῶν τοῦ ἀνδρὸς, καὶ πρὸς χριστιανοὺς ἀπολογία τοιαύτη, καὶ
οὕτω δικαία τοῖς γε νοῦν ἔχουσιν. ἐπειδὴ δὲ εἰσί τινες, οἳ καὶ ταύτης ἡμᾶς ἀπολύουσι τῆς αἰ-
τίας, ἑτέρας οὐκ ἀφιέντες, ἀλλὰ κατηγοροῦντες εὐήθειαν, ὅτι τῷ δυσμενεστάτῳ καὶ πο-
λεμιωτάτῳ τὴν ἀρχὴν ἐνεχείρισε, καὶ τὸν αὐτῶν ἐχθρὸν πρότερον, ἔτι ἰσχυρὸν κατεσκεύα-
σε, τὴν μὲν ἔχθραν διὰ τῆς τοῦ ἀδελφοῦ σφαγῆς προκαταβαλλόμενος, τὴν δὲ δύναμιν διὰ
τῆς βασιλείας προσθείς, ἀναγκαῖον καὶ περὶ τούτου βραχέα διεξελθεῖν, καὶ δεῖξαι μὴ παν-
τάπασιν ἄλογον τὴν φιλανθρωπίαν, μηδὲ ἔξω τῆς βασιλικῆς μεγαλονοίας καὶ προμηθείας.
καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ τοιαύτης παρ' αὐτοῦ τυχόντες τιμῆς, καὶ τοσοῦτον αὐτὸν εὐσεβείᾳ
διαφέρειν πεπιστευκότες, μὴ τὰ δίκαια συνηγορήσαιμεν. ὃ καὶ τοῖς μηδὲν εὐεργετηκόσιν
ὀφείλεται παρ' ἡμῶν τῷ λόγου καὶ ἀληθείας θεραπευτῇ. καὶ ταῦτα μετὰ τὴν ἐντεῦθεν
ἀπαλλαγήν. ἵνα καὶ τὸ κολακεύειν δοκεῖν ἐκπεφεύγαμεν, καὶ πονηρᾶς ἐλεύθερος ὑπο-
νοίας ὁ λόγος. τίς γὰρ οὐκ ἂν ἤλπισεν εἰ μή τι ἄλλο ταῖς τιμαῖς κινήσειν αὐτὸν ἡμερώτερον,
τὸ δὲ οὐκ ἐκ τῆς πίστεως ἦν ὑπιστεύθη καὶ παρὰ τὸ εἰκὸς δικαιότερον. ὡς ἀμφοῖν δικαία καὶ
βασιλικῇ κρίσει, τοῦ μὲν ὑποτιμηθέντος, τοῦ δὲ προβληθέντος. ὁ δὲ εἶτ' ἂν δεύτερον τιμήσας οἷς
οὐκ ἄν τις ἤλπισεν, οὐδὲ αὐτὸς ὁ τυχὼν τῆς τιμῆς, δῆλον ὡς οὐδὲ τὸν πρότερον, ἄνευ δικαίας
ὀργῆς ἐκολάσατο. καὶ τὸ μὲν τῆς ἐκείνου προπετείας ἦν, τὸ δὲ τῆς τοῦ τετιμηκότος φι-
λανθρωπίας. καὶ ἅμα τὸ θαρρεῖν εἶχεν εἰ δεῖ τι μεῖζον εἰπεῖν, οὐ τοσοῦτον ἐκ τῆς ἐκείνου πί-
στεως, ὅσον ἐκ τῆς ἰδίας δυνάμεως. ἥ μοι δοκεῖ καὶ Ἀλέξανδρος θαρρήσας ὁ πάνυ, δοῦναι
μὴ μόνον τὸ ζῆν τῷ ἡττημένῳ Πώρῳ, καὶ ταῦτα νεανικῶς οὕτως ἠγωνισμένῳ περὶ τῆς βασιλείας,
ἀλλὰ καὶ τὴν βασιλείαν αὖθις Ἰνδῶν. ὡς τὸ μεγαλόψυχον μὲν οὐκ ἄλλως, ἢ οὕτως ἐπιδει-
ξόμενος, ὧν κρατηθῆναι χεῖρον ἐνόμιζεν Ἀλέξανδρος ὤν, ἢ τοῖς ὅπλοις. τοῦ δὲ εἰ κακὸν λάβοι
χειρώσασθαι πάλιν, ἐπ' αὐτῷ τυγχάνοντος. καὶ ἦν αὐτῷ ἡ περιουσία τοῦ θαρρεῖν, τὸ φι-
λάνθρωπον. καὶ τί τέως ἀγωνίζομαι, σφόδρα οἷον κρατεῖν καὶ ἡττημένων; εἰ γὰρ ὁ πιστεύσας
κακός, τί ποτ' ἂν εἴη περὶ ἐκεῖνον ὁ πιστευθείς; καὶ εἰ τὸ μὴ προειδέναι τὸν τρόπον ὑπαίτιος,
αὐτήν γε τὴν κακίαν που θήσομεν, ἀλλ' ὄντως ἀσυλλόγιστόν τι πρᾶγμα ἡ πονηρία, καὶ οὐκ
ἔστιν ὃ τῶν μοχθηρῶν ἄν τις βελτιόνων κρίνειεν, ὁπότε κἀκεῖνος εὐνούστατος φανῆναι δί-
καιος ἦν. καὶ εἴ τι κακίας εἶχεν ἐμπύρευμα ταὐτ' ἀνελεῖν, ὁ δ' ἐκ τούτων εἰς μεῖζον ἀνῆφθη
μῖσος. καὶ ὅπως ἂν ἀμύνηται τὸν εὐεργέτην, ἐσκόπει. ταῦτα Πλάτωνες αὐτὸν καὶ Χρύσιπ-
ποι, καὶ ὁ σεμνὸς Περίπατος, καὶ ἡ στοὰ, καὶ οἱ τὰ κομψὰ λαρυγγίζοντες ἐξεπαίδευσαν.
ταῦτα ἡ τῆς γεωμετρίας ἰσότης, καὶ περὶ δικαιοσύνης λόγοι, καὶ τὸ χρῆναι ἀδικεῖσθαι
μᾶλλον αἱρεῖσθαι ἢ ἀδικεῖν. ταῦτα οἱ γενναῖοι διδάσκαλοι, καὶ τῆς βασιλείας συναγωνι-
σταί τε καὶ νομοθέται. οὓς ἐκ τῶν τριόδων καὶ τῶν βαράθρων ἑαυτῷ συνελέξατο. ὧν οὐ τὸν
τρόπον ἐτίμησεν, ἀλλὰ τὴν ἑλληνίαν ἐθαύμασε. καὶ οὐδὲ ταύτην ἴσως, ἀλλὰ τὴν ἀσέβειαν
μόνην, ὡς σύμβουλον ἱκανὴν καὶ τῶν πρακτέων καὶ μὴ διδάσκαλον. πῶς δὲ θαυμάζειν
ἄξιον τούτους οἳ καὶ λόγῳ πλάττουσι πόλεις τὰς ἔργῳ συστῆναι μὴ δυναμένας; καὶ τὰς σε-
μνὰς τυραννίδας μονονοὺ προσκυνοῦσι, καὶ τὸν ὀβολὸν ὑπὲρ τῶν θεῶν ἄγουσι μετὰ τῆς ὀ-
φρύος; καὶ οἱ μὲν οὐδὲ εἶναι θεὸν τὸ παράπαν, οἱ δὲ οὐ προνοεῖν τῶν τῇδε δογματίζουσιν, ἀλλ'
εἰκῇ καὶ ὡς ἔτυχε τὸ πᾶν φέρεσθαι, οἱ δὲ ἄστρασιν ἄγεσθαι, καὶ χρηματισμοῖς ἀνάγκης,
οὐκ οἶδ' ὑπό τινος ἀγομένοις καὶ ὅθεν. οἱ δὲ εἰς ἡδονὴν τὸ πᾶν φέρουσι. καὶ τέλος εἶναι περὶ
ζωῆς ἀνθρωπίνης ὑπολαμβάνουσιν. ἡ ἀρετὴ δὲ αὐτοῖς, ἄλλως ὄνομα εὐπρεπές, καὶ οὐδὲν τοῦ
παρόντος βίου μακρότερον. οὐδέ τις ἐξέτασις τῶν ἐνταῦθα βεβιωμένων ὕστερον, τὴν ἀδι-
κίαν συστέλλουσα. ἤγουν οὐ συνεῖδέ τις ταῦτα τῶν παρ' ἐκείνοις σοφῶν, ἀλλὰ βαθεῖ βορβόρῳ
τὸ δὴ λεγόμενον καὶ ἀφεγγεῖ ζόφῳ πλάνης καὶ ἀγνοίας συγκαλυφθεὶς, μηδ' ὅσον προσβλέ-
ψαι ταῖς τῆς ἀληθείας αὐγαῖς καθαρθεὶς τὴν διάνοιαν, ἀλλὰ περὶ τὰ κάτω καὶ τὴν αἴ-
σθησιν ἰλυσπώμενος, καὶ μηδὲν ὑπὲρ τῶν δαιμόνων φανταισθῆναι δυνηθεὶς, καὶ διαφρονῆ-
ναι τοῦ πεποιηκότος ἀξίως, ἢ εἴ τις διέβλεψε καὶ μικρὸν, ὡς ὀλίγου λόγου, καὶ μὴ θεῷ χρώ-
μενος, ὑπὸ τοῦ πιθανωτέρου παρεσύρη. καὶ τοῦ μᾶλλον τῶν πολλῶν ἕλκοντος δι' ἐγγύτητα.
τί οὖν θαυμαστὸν, τὸν ἐκ τοιούτων μὲν ὁρμώμενον δογμάτων, ὑπὸ τοιούτων δὲ κυβερνη-
τῶν εὐθυνόμενον, οὕτω καὶ περὶ τὸν πεπιστευκότα φανῆναι κακὸν, καὶ περὶ τιμήσαντι τὸν τιμη-
θέντα. εἰ γὰρ δεῖ τι καὶ διὰ τῆς κατηγορίας ἀπολογήσασθαι, οὔ μοι δοκεῖ τοσοῦτον ὑπεραλ-
γῶν τοῦ ἀδελφοῦ, ὅν γε καὶ πολέμιον ἐκ τῆς θρησκείας ἐγίνωσκον, ὅσον τὰ χριστιανῶν οὐ φέρων

αὐξανόμενα, καὶ λυσσῶν κατὰ τῆς εὐσεβείας τοῖς κατὰ Περσικὸν ἐπιτολμᾷ καὶ ζητεῖ ἐλευ-
θερίαν τῇ ἀπονοίᾳ. χρῆναι γὰρ φιλοσοφίαν καὶ βασιλείαν ὡς ὁ ἐκείνου λόγος εἰς ταυτὸν
συνελθεῖν. οὐχ ἵνα παύσωνται κακῶν αἱ πόλεις, ἀλλ᾽ ἵνα πληθυνθῶσι. καὶ τὸ μὲν πρῶτον αὐ-
τῶν τῆς αὐθαδείας καὶ ἀπονοίας, ἑαυτὸν ἀναδῆσαι. καὶ τῇ μεγάλῃ προσηγορίᾳ τιμῆσαι, ἣν
οὐχ ἅρπαγμα τύχης, ἀλλ᾽ ἀρετῆς ἆθλον ἢ χρόνος ἢ ψῆφος βασιλέως χαρίζεται, ἢ τῆς συγκλή-
του βουλῆς ὡς τὸ παλαιὸν, κρίσις. καὶ οὐ κρίνεται τῷ μέτρῳ τῆς τιμῆς κύριον τὸν τῆς βασιλείας.
δεύτερον δὲ, καὶ τὸ ἀναγκαίαν ἑαυτῷ τὴν ἀπόνοιαν ἐκ τῶν ἤδη τετολμημένων τεχνικῶς,
τί διανοεῖται, καὶ τοῖς πρόσθεν ἀσεβείας τε καὶ θρασύτητος, ὦ τῆς μανιώδους ἐκείνης ψυ-
χῆς, ἐπ᾽ αὐτὸν ἐκστρατεύει. καὶ τῆς δύσεως ἀπανίσταται. προφάσει μὲν, ὡς ἀπολογησόμενος
ὑπὲρ τοῦ ἐγκλήματος, ἐπεὶ γ᾽ ἐδόκει κρύπτειν ἑαυτοῦ τὴν ἀπόνοιαν, τὸ δὲ ἀληθὲς, ὡς μηδὲ συ-
ζῶν εἰς ἑαυτὸν ἅπαν τὸ κράτος. καὶ διὰ τῆς ἀγχινοίας θαυμασθησόμενος, καὶ οὐκ ἐψεύ-
σθη γε τῆς ἐλπίδος. μὴ θαυμαζέτωσαν οἱ τῶν τοῦ θεοῦ λόγων, ὑφ᾽ ὧν τὸ πᾶν φέρεται, τὸ ἀ-
τέκμαρτον μὴ ἐπιστάμενοι βάθος, καὶ μὴ παραχωροῦντες τῷ τεχνίτῃ τῆς κυβερνήσεως,
ἡμῶν γε πάντως συνεπιτρόπῳ, καὶ ἄγοντι τὸ οἰκεῖον ὅπῃ καὶ ὅπως βούλεται. πάντως δὲ πρὸς
τὸ κρεῖττον καὶ τὴν ἰατρείαν, καὶ οἱ θεραπευόμενοι δυσχεραίνωσιν. ὑφ᾽ ὧν λόγων κἀκεῖνος,
οὐκ ἐπήρθη μὲν εἰς τὴν κακίαν (ἀναίτιον γὰρ παντάπασι κακῶν τὸ θεῖον) ἀγαθὸν τῇ φύσει
τυγχάνον, καὶ τοῦ προειλημμένου τὰ τῆς κακίας. οὐ μὴν ἐπεσχέθη γε τῆς ὁρμῆς, ἀλλὰ τάχει πο-
λῷ τήν τε οἰκείαν καὶ τῆς βαρβαρικῆς ὄχθος ἐστὶν ἐπιδιαδραμὼν, καὶ τὸ λαθεῖν μᾶλλον, ἢ
τὸ κρατῆσαι τὴν παράδοξον ἁρπάσας, πλησίον τῶν βασιλείων γίνεται, ὡς μὲν οἱ τὰ ἐκείνου
φρονοῦντες, κατὰ πρόγνωσιν ἐπὶ τὴν ἐκστρατείαν ἀρθεὶς. καὶ δαιμόνων κίνησιν τὸ μέλλον
ὑπεσχημένων, καὶ μηχανὴν προσταττόντων τοῖς πράγμασιν, ὡς δὲ ὁ τῶν ἀληθευόντων λό-
γος κατὰ προθεσμίαν τινὰ, ἀπορρητοτέραν τε καὶ βαθυτέραν, ἣν ἀποδιδόναι ἐπιθεῖα-
τον. οὐ δημιουργὸς αὐτὸς ἦν, κλέψας τινὶ τῶν εἴδων τὴν ἐπιχείρησιν, ὥστε μὴ εἶναι πρόγνωσιν, ἀλ-
λὰ γνῶσιν. καὶ πονηρίας ἔργον, ἀλλὰ μὴ δαιμόνων εὕρημα τὸ γινόμενον. οἵ γε πῶς εὔστο-
χοι τὰ τοιαῦτα, περὶ ὅσης, σαφῶς ἔδειξε. καὶ πιστευσάτωσαν οἱ τὸ ἐκείνου τάχος, τοῖς δαίμο-
σιν ἐπιφημίζοντες. εἰ μή γε καὶ αὐτὸ τὸ, κακὸν εἶναι, τούτοις προσθήσομεν. εἰ μὲν οὖν προὔ-
λαβε τὴν ἔφοδον τοῦ τυράννου, τὸ τέλος τοῦ βασιλέως, μηδ᾽ ὁ ἀφανὴς πόλεμος τῆς φανε-
ρᾶς χειρὸς πλέον ἴσχυσε, τάχα ἂν ἔγνω καθ᾽ ἑαυτοῦ ταχέως ὁ ἀλιτήριος. καὶ πρὶν ἐπὶ
πέρασιν τῆς ἐμπληξίας σωφρονισθῆναι, τῆς ἀπονοίας ἔδωκεν ἂν δίκην οἱ ὅροις ῥωμαίων, ὧν κα-
κῶς κατατετόλμηκε, τεκμήριον δέ. καὶ γὰρ ἔτι προϊὼν καὶ ἀγνοούμενος ὡς ἐνόμιζε, ἐπὶ
τοῦ γενναιοτάτου βασιλέως στρατιᾷ περιλαμβάνεται, προκατεγνωκότι καὶ τὴν φυγὴν, ὡς
δῆλον γέγονεν ἐκ τῶν ὕστερον. καὶ γὰρ ἤδη τὸ κράτος ἔχοντι τὸ κρατῆσαι ταύτης, οὐ μι-
κρὸν ἔργον ἐγένετο. νῦν δὲ ὁ μὲν θυμῷ ζέων κατὰ τῆς ἀπονοίας ὁμοῦ καὶ τῆς ἀσεβείας, καὶ τὸν
σοφώτατον ἔχων ἐναρκοῦσιν, ὦ τῆς ἡμετέρας κακίας ἐν ἀκμῇ τῆς ὁδοῦ, καταλύει τὸν βίον. πολ-
λὰ καὶ θεῷ καὶ ἀνθρώποις, ὑπὲρ τῆς ἑαυτοῦ φιλανθρωπίας ἀπολογησάμενος. καὶ διὰ
τῆς ὁρμῆς δείξας χριστιανοῖς, τὴν ὑπὲρ τῆς εὐσεβείας κίνησιν. ὧδε δέ τι δάκρυον ἐπέρχεταί
μοι χαρᾷ συμμιγὲς, διὰ τὰ ἑξῆς τοῦ λόγου, καὶ δι᾽ ποταμοῦ, καὶ πελάγους μάχη, καὶ μίξις,
καὶ στάσις, ἀλλήλοις ἀντιστατούντων καὶ συνιόντων. ἐκ μὲν γὰρ τῶν τελευταίων, τὰ τῆς ἡ-
δονῆς, ἐκ δὲ τῶν προλαβόντων τὸ δάκρυον. οὐχ ὑπὲρ χριστιανῶν μόνον, καὶ τῆς συμπεσούσης
αὐτοῖς ἐπηρείας, ἢ παρὰ τοῦ πονηροῦ προσπεσούσης, ἢ παρὰ θεοῦ συγχωρηθείσης, δι᾽ ἃς οἶ-
δεν αἰτίας, καὶ τυχὸν διὰ τὴν ἔπαρσιν ἡμῶν δεομένην καθαιρέσεως, ἀλλὰ καὶ ὑπὲρ αὐ-
τῆς τῆς ἐκείνου ψυχῆς, καὶ τῶν ὑπ᾽ αὐτοῦ συναρπασθέντων πρὸς τὴν αὐτὴν ἀπώλειαν, οἱ
μὲν γὰρ τὰς τελευταίας αὐτῶν πληγὰς, καὶ τὰς ἐντεῦθεν βασάνους ὀδύρονται, οἷς τὸ ζῆν
τοῦτο, νομίζεται μόνον. καὶ οὐκ ἐξικνοῦνται τῇ διανοίᾳ πρὸς τὰ ἐκεῖθεν, οὐδὲ εἶναί τινα νομί-
ζουσι τῶν τῇδε βεβιωμένων λογισμὸν καὶ ἀντίδοσιν. ἀλλὰ ζῶσι βίον ἄλογον, τὸ πρὸς ἡμέραν
καὶ τὸ παρὸν ἀεὶ βιοτεύοντες. οἱ ἐν τούτῳ τῇ ἐντεῦθεν ῥαστώνῃ μετροῦντες τὸ εὐδαιμονεῖν,
καὶ τοὐναντίον τὸ κακοδαιμονεῖν τοῖς ἀντιπίπτουσι. ἐμοὶ δὲ πλέον θρηνεῖν αὐτοὺς ἔπεισι
τῶν ἐκεῖθεν βασάνων, καὶ τῆς ἀποκειμένης τοῖς πονηροῖς κολάσεως, καὶ οὔπω λέγω τὸ μέ-
γιστον. αὐτὸ τὸ ἐξωσθῆναι θεοῦ, πηλίκον αὐτοῖς εἰς κόλασιν. πῶς μὴ δακρύσω τὸν ἄθλιον;
πῶς μὴ πλέον μὲν τῶν διωγμῶν τῶν προσορμησάντων; πλέον δὲ τῶν αὐτομολησάντων
εἰς τὴν κακίαν, θρηνήσω τὸν συναρπάσαντα. μᾶλλον δὲ τοῖς μὲν οὐδὲν δεινὸν τὸ ὑπὲρ χριστοῦ
παθεῖν, ἀλλὰ καὶ πάντων μακαριστότατοι, οὐ διὰ τὰ ἐκεῖθεν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐν-
τεῦθεν εὐδοξίαν καὶ παρρησίαν, ἣν διὰ τῶν κινδύνων ἑαυτοῖς ἐχαρίσαντο. τοῖς δὲ προοί-
μιον τῶν ἀποκειμένων καὶ ἀπειλουμένων, ἅπερ ἤδη πεπόνθασι. καὶ βέλτιον ἦν αὐτοῖς ἐ-
ντεῦθεν μακρότερον ἐκολάσθησαν, ἢ τοῖς ἐκεῖ δικαιωτηρίοις ἐταμιεύθησαν. ταῦτα μὲν
οὖν διὰ

οὕτω διὰ τὸν νόμον, τὸν περὶ τῷ πτώματι τοῦ ἐχθροῦ μὴ ἐπιχαίρειν κελεύοντα, καὶ τὸ συμπαθεῖν ἅ που τοιαῦτα παρὰ τὴν ἰσότητα. ἐμοὶ δὲ πάλιν πρὸς αὐτὸν ἐπανακτέον τὸν λόγον, τίς ἡ τοιαύτη τοῦ καινοῦ φιλονεικία; τίς ὁ τῆς ἀσεβείας ἔρως; τίς ὁ δρόμος τῆς ἀπωλείας; πόθεν οὕτω μισόχριστος ὁ Χριστοῦ μαθητὴς, ὁ τοσούτοις λόγοις τῆς ἀληθείας προσομιλήσας. καὶ τὰ μὲν εἰπὼν, τὰ δὲ ἀκούσας τῶν φερόντων εἰς εὐσέβειαν. οὐ γὰρ ἔφθη κληρονομήσας τὴν βασιλείαν, καὶ παρρησιάζεται τὴν ἀσέβειαν, ὥσπερ καὶ τὸ γενέσθαι ποτὲ Χριστιανὸς αἰσχυνόμενος, ἢ μνησικακῶν ὑπὲρ τούτου Χριστιανοῖς, οἷς τοῦ ὀνόματος ἐκοινώνησε. καὶ τὸ μὲν πρῶτον αὐτῷ τῶν τολμημάτων, ὡς οἱ τοῖς ἀπορρήτοις ἐκείνου καλλωπιζόμενοι (εἰς οἵαν ἐμπίπτειν ἀναγκάζομαι λόγων) αἵματι μὲν οὐχ ὁσίῳ τὸ λουτρὸν ἀπορρύπτεται, τῇ καθ' ἡμᾶς τελειώσει, τὴν τελείωσιν τοῦ μύσους ἀντιτιθεὶς, ὗς ὁ βορβόρῳ κυλισθεὶς κατὰ τὴν παροιμίαν. καὶ τὰς χεῖρας ἀφαγνίζεται, τῆς ἀναιμάκτου θυσίας ἀποκαθαίρων, δι' ἧς ἡμεῖς Χριστῷ κοινωνοῦμεν, καὶ τῶν παθημάτων, καὶ τῆς θεότητος. ἐν τόμοις δὲ καὶ θυσίαις, καθισῶν τὰ βασίλεια, καὶ τοῖς συμβούλοις κακῶς ἀρχῆς χρώμενος. ἀλλ' ἐπειδή γε τεμένους ἐμνήσθην, καὶ τῆς περὶ τὰ τοιαῦτα τοῦ ἀνδρὸς δεισιδαιμονίας, ἢ κακοδαιμονίας εἰπεῖν, οἰκειότερον, οὐκ οἶδα ὁπότερον γραφῇ παραδῶ τὸ θρυλλούμενον θαῦμα, ἢ ἀπιστήσω τοῖς λέγουσι. καὶ γὰρ καὶ αὐτὸς ταλαντεύομαι τὴν γνώμην, καὶ οὐκ ἔχω ὁποτέρωσε νεύσω, μεμιγμένων τῶν δικαίως ἂν πιστευθέντων, τοῖς οὐκ ἀξίοις πίστεως. τὸ μὲν γὰρ ἐπισημῆναί τι, τῇ τοσαύτῃ τοῦ κακοῦ καινοτομίᾳ, καὶ δυσσεβείᾳ, τῶν οὐκ ἀπίστων, ἀλλὰ καὶ πολλάκις ἤδη συμβεβηκότων περὶ τὰς μεγίστας μεταβολάς. τὸ δὲ καὶ τὸν τρόπον τοῦτον, σφόδρα ἔμοιγ' οὖν θαύματος ἄξιον. καὶ πᾶσι τοῖς καθαρῶς δηλοῦσθαι τὰ καθαρὰ βουλομένοις τε καὶ νομίζουσι. τὸ δ' οὖν λεγόμενον, ὅτι θυομένῳ τὰ σπλάγχνα τὸν σταυρὸν ἀναδείκνυσι στεφανούμενον. ὃ τοῖς μὲν ἄλλοις, φρίκην παρέχει, καὶ ἀγωνίαν, καὶ τοῦ ἡμετέρου κράτους συναίσθησιν. τῷ δὲ διδασκάλῳ τῆς ἀσεβείας, καὶ θάρσος ἐνθεῖν, ὡς περιγεγραμμένων ἡμῶν καὶ συνηγμένων. οὕτω γὰρ τὸν σταυρὸν καὶ τὸν κύκλον παρεξηγοῦσι. τοῦτο μὲν δὴ, τὸ ἐμὸν θαῦμα. καὶ εἰ μὲν ψευδὲς, αὔραις φερέσθω. εἰ δὲ ἀληθὲς, πάλιν Βαλαὰμ προφητεύει, καὶ Σαμουὴλ ἕλκεται ἢ δοκεῖ δι' ἐγγαστριμύθου. καὶ δαίμονες ὁμολογοῦσι τὸν Ἰησοῦν ἄκοντες, καὶ διὰ τῶν ἐναντίων, ἵνα καὶ πιστευθῇ μᾶλλον, ἡ ἀλήθεια δείκνυται. τυχὸν καὶ ἐκεῖνον ἐπισχεθῆναι τῆς ἀσεβείας διὰ τούτων ἐπρυτανεύετο. πολλὰς γοῦν καὶ παραδόξους ὁδοὺς εὐσεβείας οἶδε τὸ θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον. ὃ δὲ λέγεται ὑπὸ πλειόνων, καὶ πιστεύειν οὐκ ἀπιστότερον, κατάγει μὲν εἴς τι τῶν ἀδύτων τοῖς πολλοῖς ἀβάτων καὶ φοβερῶν, ὡς ὄφελόν γε καὶ τὴν εἰς ᾅδου φέρουσαν, πρὶν εἰς τοιαῦτα κακὰ προελθεῖν. συμπρόοντος αὐτῷ καὶ τοῦ πολλῶν ἀδύτων ἀξίου, τοῦ σοφοῦ τὰ τοιαῦτα εἴτουν σοφιστοῦ. ἔστι γὰρ δὴ καὶ τοῦτο εἶδος μαντείας αὐτοῖς, ζόφῳ τινὶ καὶ ὑποχθονίοις δαίμοσι, περὶ τῶν μελλόντων συγγίνεσθαι. εἴτε ὡς σκότῳ χαίρουσι μᾶλλον (ἐπεὶ καὶ εἰσὶ σκότος, καὶ σκότους δημιουργοὶ τῆς κακίας) εἴτε ὡς φεύγουσι τὰς ἐπιμιξίας τῶν εὐσεβῶν ὑπὲρ γῆς, καὶ διὰ ταύτας ἀσθενέστεροι. ὡς δὲ προσιόντα τὸν γενναῖον προσβάλλει τὰ δείματα, καὶ ἀεὶ πλείω καὶ φοβερώτερα, ἤχους τινὰς φασὶν ἀήθεις καὶ ὀδμὰς τῶν ἀηδῶν καὶ πυραυγῆ φάσματα, καὶ οὐκ οἶδ' οὕς τινας ὕθλους καὶ λήρους, τῷ ἀδοκήτῳ πληγεὶς (καὶ γὰρ ἦν ἀρτιμαθὴς τὰ τοιαῦτα) ἐπὶ τὸν σταυρὸν καταφεύγει. καὶ τὸ παλαιὸν φάρμακον, καὶ τοῦτο σημειοῦται κατὰ τῶν φόβων, καὶ βοηθὸν ποιεῖται τὸν διωκόμενον, καὶ τὰ ἑξῆς φρικωδέστερα. ἴσχυσεν ἡ σφραγὶς, ἡττῶνται οἱ δαίμονες, λύονται οἱ φόβοι. εἶτα τί; ἀναπνεῖ τὸ κακὸν, θρασύνεται πάλιν, αὖθις ὁρμὴ καὶ οἱ αὐτοὶ φόβοι, καὶ ἡ σφραγὶς πάλιν, καὶ ἠρεμοῦντες οἱ δαίμονες, καὶ ὁ μύστης ἐν ἀπορίᾳ, καὶ ὁ μυσταγωγὸς, ἐγγύθεν παρεξηγούμενος τὴν ἀλήθειαν. ἐβδελύχθημεν λέγων, οὐκ ἐφοβήσαμεν. νικᾷ τὸ χεῖρον. λέγει γὰρ ταῦτα. καὶ εἰπὼν, πείθει. καὶ πείσας, ἄγει τὸν μαθητὴν ἐπὶ τὸ τῆς ἀπωλείας βάραθρον, καὶ θαυμαστὸν οὐδέν. πρόχειρος γοῦν ἡ πονηρία πρὸς τὸ κακὸν μᾶλλον ἀκολουθεῖν, ἢ ὑπὸ τοῦ κρείττονος ἀνακόπτεσθαι. ἃ μὲν οὖν εἰπὼν, ἢ ποιήσας, ἢ ἐξαπατηθεὶς ἀναπέμπεται, εἰδεῖεν ἂν οἱ τὰ τοιαῦτα τελοῦντές τε καὶ τελούμενοι. ἄνεισι δ' οὖν καὶ τῇ ψυχῇ δαιμονῶν καὶ τοῖς πράγμασι, καὶ περὶ μανιώδει τῶν ὀφθαλμῶν ἐπισημαίνων, οὓς ἐθεράπευσεν. εἰ μή γε καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπλήσθη δαιμόνων, ἀφ' ἧς οὕτω πονηρὰ προῆλθε. ἀλλὰ τότε, καὶ περιφανέστερον. ἵνα μὴ μάτην ᾖ κατεληλυθὼς καὶ τῶν δαιμόνων μετειληφώς. ὃν ἐνθουσιασμὸν ἐκεῖνοι καλοῦσι, μεταποιοῦντες σεμνῶς τὰ ὀνόματα. τὰ μὲν δὴ πρῶτα, τοιαῦτα. ἐπεὶ δὲ ἡ ὠδὶς ἐκράτει, καὶ ὁ διωγμὸς ἐξερρήγνυτο, ἔδει τι. εἴτ' οὖν ἀνδρὸς σοφοῦ τὴν κακίαν καὶ ταμείου τὴν ἀσέβειαν, εἴτ' οὖν ἐδιδάχθη παρὰ τῶν εἰς ταύτην αὐτὸν ἀλειψάντων, ὡς τὸ μὲν φανερῶς ἀνελέσθαι τὸν πόλεμον, καὶ προκαθηγεῖσθαι τῆς ἀσεβείας αὐτόχειρα, πρὸς τὸ λίαν εἶναι θρασὺ καὶ ἀπαίδευτον. ἔτι δὲ ἀνονητότατον τῷ σκοπῷ παντελῶς. φιλονεικοτέρους γὰρ

ἂν ἡμᾶς γενέσθαι βιαζομένων, καὶ αὐτὴ δίδωσι τῇ τυραννίδι, τὴν ὑπὲρ εὐσεβείας φιλοτιμίαν. φιλεῖ γὰρ τὰ γενναῖα φρονήματα, πρὸς δὲ βίᾳ κραταιῶς αὐθαδίζεσθαι. καὶ καθάπερ φλὸξ ὑπὸ ἀνέμου ῥιπιζομένη, τοσούτῳ μᾶλλον ἀνάπτεται, ὅσῳ ἂν σφοδρότερον καταπνέηται. καὶ τοῦτο οὐκ ἐκ τοῦ λογισμοῦ εἰδέναι μόνον, ἀλλὰ καὶ τοῖς προλαβοῦσι διωγμοῖς εἶχε γνῶναι, οἳ τιμιώτερον τὸν χριστιανισμὸν ἀπέφηναν θᾶττον ἢ ἀσθενέστερον. ῥωννῦσι γὰρ τὰς ψυχὰς εἰς εὐσέβειαν, καὶ ὥσπερ σίδηρον θερμὸν ὕδατι, τοῖς κινδύνοις στομοῦσιν οὗτοι. ὁ δὲ μετὰ τῆς τέχνης στρατεύσεται, καὶ τὸ πείθειν τῷ βιάζεσθαι χρώσεται, ἢ καθάπερ χαλκῷ περιβάλλοι δέλεαρ τῇ τυραννίδι τὸ προσηνὲς, σοφόν τε οὕτως ἂν ἅμα καὶ δυναστικὸν γενέσθαι αὐτῷ τὸ ἀγώνισμα. καὶ γὰρ πρὸς τοῖς ἄλλοις, καὶ τῆς τῶν μαρτύρων τιμῆς ἐφθόνει τοῖς ἀθληταῖς. καὶ διὰ τοῦτο μηχανᾶται αὐτὸς μὲν καὶ βιάζεσθαι, καὶ μὴ δοκεῖν. ἡμᾶς δὲ καὶ πάσχειν, καὶ μὴ τιμὴν ἔχειν, ὡς ὑπὲρ χριστοῦ πάσχοντας. ὢ τῆς εὐηθείας. πρῶτον μὲν εἰ λανθάνειν ἐνόμιζεν, ὑπὲρ τίνος οἱ κίνδυνοι, καὶ συγκαλύψειν τὴν ἀλήθειαν τοῖς σοφίσμασιν, ἀλλ' οὐχ ὅσῳ κατὰ τῶν τιμῶν ἐπενόει, τοσούτῳ μείζους αὐτὰς ποιήσειν καὶ λαμπροτέρας. δεύτερον δὲ, εἰ δόξης ἐπιθυμίᾳ κινδυνεύειν ἡμᾶς, ἀλλὰ μὴ τῆς ἀληθείας ὑπέλαβε. ταῦτα μὲν παρ' ἐκείνοις ἐμπεδοκλεῖς καὶ ἀρισταῖοι, καὶ ἐμπεδότιμοι τινὲς καὶ τροφώνιοι, καὶ τοιοῦτος δυστυχῶν ἀριθμὸς ὧν ὁ μὲν τοῖς σικελικοῖς κρατῆρσιν ἑαυτὸν δοὺς ὡς ᾤετο, καὶ εἰς τὴν κρείττονα λῆξιν ἀφ' ἡμῶν ἀναπέμψας, ὑπὸ φιλτάτῳ σανδάλῳ κατεμηνύθη παρὰ τοῦ πυρὸς ἐκβρασθέντι. καὶ οὐ θεὸς ἐδείχθη μετ' ἀνθρώπων, ἀλλ' ἄνθρωπος κενόδοξος καὶ ἀφιλόσοφος μετὰ θάνατον, καὶ οὐδὲ τὰ κοινὰ συνετός. οἱ δὲ ἀδύτοις τισὶν ἑαυτοὺς ἐγκρύψαντες ὑπὸ τῆς αὐτῆς νόσου καὶ φιλαυτίας, εἶτ' ἐλεγχθέντες, οὐ μᾶλλον ἐκ τῆς κλοπῆς ἐτιμήθησαν, ἢ ἐκ τοῦ μὴ λαθεῖν κατῃσχύνθησαν. χριστιανοῖς δὲ ἴδιον ὑπὲρ εὐσεβείας τὸ πάσχειν, κἂν πάντας λανθάνωσιν, ἢ ἄλλοις τὸ εὐδοξεῖν μετὰ τῆς εὐσεβείας. τοῦ μὲν γὰρ ἀνθρώποις ἀρέσκειν, βραχὺς ἡμῖν ὁ λόγος· τῆς δὲ παρὰ θεοῦ τιμῆς, ἡ πᾶσα ἔφεσις, μᾶλλον δὲ καὶ ὑπὲρ ταύτης, οἵ γε ἀληθῶς φιλόσοφοι καὶ φιλόθεοι, τὴν πρὸς τὸ καλὸν οἰκείωσιν ἀγαπῶντες δι' αὐτὸ τὸ καλὸν, οὐ τὰς ἀποκειμένας ἐκεῖθεν τιμάς. δευτέρα γὰρ αὕτη τάξις τῶν ἐπαινετῶν, τὸ μισθοῦ τι πράσσειν καὶ δι' ἀντίδοσιν. ὥσπερ τρίτη, τὸ φόβῳ κολάσεως, φεύγειν τὴν μοχθηρίαν. τὰ μὲν οὖν ἡμέτερα, τοιαῦτα καὶ οὕτως ἔχοντα, καὶ ῥᾴδιον τοῦτο ἐκ πλειόνων ἐπιδεῖξαι τοῖς βουλομένοις. ὁ δὲ ὡς μεγάλης τιμῆς ἀποστερήσειν μέλλων χριστιανοὺς, κρίνουσι γὰρ οἱ πολλοὶ τὰ τῶν ἄλλων τοῖς ἰδίοις πάθεσι, τοῦτο διώκει περὶ τῶν ἄλλων, τὴν εὐδοκίμησιν. καὶ οὐδὲ μεγαλοψύχως τοῖς ἄλλοις διώκταις ὁμοίως ἀποχειρίζεται τὴν ἀσέβειαν, οὐδ' εἰ μὴ βασιλικῶς, τυραννικῶς γε πάντα πᾶσι διανοεῖται περὶ ἡμῶν, ἵν' ᾖ μεγαλοπρεπὲς αὐτῷ τὸ ἀσέβημα βιάζεσθαι λαὸν οἰκουμένης, καὶ τυραννῆσαι δόγμα πάντων δογμάτων ὑπερανεστηκός. δυσλοπρεπῶς δὲ λίαν καὶ ἀγεννῶς κακουργεῖ τὴν ἀσέβειαν, καὶ τὰς περὶ τοὺς λογισμοὺς κλοπὰς καὶ διπλόας, ὑπὲρ καθ' ἡμῶν διωγμοῦ φέρων ἐπεισάγαγε. τεμνομένου εἰς δύο ταῦτα διῃρημένου τοῦ κρατεῖν, τὸ πείθειν καὶ τὸ βιάζεσθαι, ὁ μὲν ἦν ἀπανθρωπότερον, δήμοις ἀφῆκε, καὶ πόλεσι τὸ τῆς τυραννίδος. ὧν καὶ μᾶλλον ἄλυπος ἡ ἀπόνοια. διὰ τὴν ἀλογίαν καὶ τὴν ἀπερίσκεπτον ἐπὶ πάντα φοράν. καὶ τοῦτο οὐ προστάγματι δημοσίῳ, τῷ δὲ μὴ ἀνακόπτειν τὰς ὁρμὰς, ἄγραφον προσθεὶς νόμον τὸ βούλεσθαι. ὁ δὲ ἡμερώτερον καὶ βασιλικώτερον εἰς ἑαυτὸν ἀνέθετο, φέρει τὸ τῆς πειθοῦς. οὐ μὴν εἰς τὸ παντελὲς τοῦτό γε διεσώσατο, οὐδὲ γὰρ εἶχε φύσιν ἢ παρὰ δύναμιν ἀποστῆναι τὸ κατὰ φύσιν, ἢ αἰθίοπα τὸ μέλαν, ἢ πῦρ τὸ καίειν, ἢ τὸν πονηρὸν τὴν μισανθρωπίαν, ἀπ' ἀρχῆς ἀνθρωποκτόνον τυγχάνοντα, ἢ ἐκεῖνον τὴν πονηρίαν, ἀφ' ἧς καθ' ἡμῶν ὥρμησεν, ἀλλ' ὥσπερ τὸν χαμαιλέοντα λόγος παντοῖον γενέσθαι ῥᾳδίως, καὶ πάσας μὲν ἀναλαμβάνειν χρόας, πλὴν μιᾶς τῆς λευκότητος (τὸν γὰρ πρωτέα παρίημι τὸν τοῦ μύθου τὸν αἰγύπτιον σοφιστὴν) οὕτω καὶ ἐκεῖνος πάντα ἦν καὶ ἐγίνετο χριστιανοῖς, πλὴν ἡμερότητος. καὶ ἦν λίαν ἀπάνθρωπον αὐτῷ τὸ φιλάνθρωπον, καὶ τὸ πιθανὸν βίαιον. καὶ ἀπολογία τῆς ἀγριότητος, ἡ χρηστότης. ἵν' εἰκότως δοκῇ βιάζεσθαι, τοῦ πείθειν ἀποτυγχάνων. καὶ τοῦτο δῆλον ἐξ ὧν βραχὺ μετὰ τοῦ αὐτῷ τὸ τῆς πειθοῦς, πλεῖον δὲ τὸ τῆς βίας εὑρίσκετο ἑπόμενον ἦν, ἵν' ὥσπερ ἐν τοῖς θήραις, ἢ τοῖς πάγαις ἁλῶμεν ἢ τοῖς διώγμασι. καὶ ἕως γε τρόπος πάντως ἡμᾶς χειρώσηται. οὕτω δὲ διανοηθείς τι καὶ διελόμενος, δεύτερον ἐκεῖνο στρατηγεῖ, καὶ μόνον ἀσφαλῶς, εἰ καὶ ἀσεβῶς λίαν, ἐκ τῶν ἐγγυτάτω, καὶ τῆς περὶ αὐτὸν χειρός. ὃ πᾶσι διώκταις συνήθως τῆς κακίας ἄρχεται. καὶ γὰρ οὐδὲ οἷόν τε τοῖς ἐκτὸς ἐγχειρῆσαι, μὴ πρῶτον οἰκειωθέντων. ὥσπερ οὐδὲ στρατὸν ἐπάγειν ἐχθροῖς, πρὸς τὸν στρατηγὸν στασιάζοντα. καὶ διὰ τοῦτο μεταποιεῖ μὲν τὰ βασίλεια, τοὺς μὲν θανάτῳ προυπεξαγαγὼν πρότερον, τοὺς δὲ παρωσάμενος. οὐχ ὡς εὔνους ὑπὲρ μεγάλω βασιλεῖ μόνον, ἀλλὰ καὶ ὡς εὐνουστέρους ὑπὲρ μείζονι, καὶ ἀλυσιτελεῖς αὐτῷ κατ' ἀμφότερα.

ἀποπειρᾶται δὲ τὸ στρατιωτικὸν, τὸ μὲν δι᾽ ἑαυτοῦ, τὸ δὲ διὰ τῶν ἐν τέλει. ὃ καὶ μᾶλλον εὔπιστον ὑπελάμβανε, τὸ μὲν τῇ τιμῇ ἡττώμενον, τὸ δὲ ἁπλότητι παρασυρόμενον. καὶ νόμον ἕνα γινώσκον μόνον, τὴν τοῦ βασιλέως βούλησιν. μᾶλλον δὲ τοῦ στρατιωτικοῦ μέρος οὐκ ἐλάχιστον, καὶ ὅσον εὗρε σαθρὸν καὶ νοσῶδες, τοῦ καιροῦ δοῦλον καὶ τότε καὶ πρότερον. οὐ τὸ μὲν ἐβούλετο, τὸ δὲ ἤλπιζεν. οὐ γὰρ δὴ τὸ πᾶν ὑφεῖλεν, οἱ δὲ τοσοῦτον ἔδοξαν αὐτῷ καθ᾽ ἡμῶν, ὁ δι᾽ ἐκείνου διώκτης. ἀλλ᾽ ἔμειναν ὑπὲρ τῶν ἑπτακισχιλίων, οἱ μὴ κάμψαντες γόνυ τῇ Βάαλ, μηδὲ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες, μηδὲ ἀπὸ τῶν ὄφεων τρωθέντες, ἐκ τοῦ βλέπειν εἰς τὸν ὄφιν τὸν κρεμασθέντα καὶ καταλυθέντα τοῖς Χριστοῦ πάθεσι. πολλοὶ μὲν τῶν ἐν δυναστείαις καὶ ὕψεσιν, οὓς μᾶλλον εἰκὸς ἦν ἡττηθῆναι καὶ διὰ φόβον καὶ δι᾽ ἐλπίδας. πολλοὶ δὲ τῶν κάτω καὶ ἀριθμῷ μόνῳ γνωριζομένων, οἷς προσβαλὼν ἀπεκρούσθη καθάπερ ἀπὸ γενναίου τείχους μηχάνημά τι τῶν οὐ καιρίως πολὺ οὐκ ἰσχύϊ μᾶλλον τὸ διαφθεῖρον ἢ ἐθάρσησαν ὡς ἂν λυσσῶντα τὸν ἁλισκόμενον. καὶ τὸ βούλεσθαι, παρίστησι τὸ ἐλπισθὲν ὡς κρατούμενον. τολμᾷ δὲ ἤδη καὶ κατὰ τοῦ μεγάλου συνθήματος, ὃ μετὰ τοῦ σταυροῦ πομπεύει καὶ ἄγει τὸν στρατὸν εἰς ὕψος αἰρόμενον, καμάτων λυτήριον ὄν τε καὶ κατὰ ῥωμαίους ὀνομαζόμενον. καὶ βασιλεῦον ὡς ἂν εἴποι τις τῶν λοιπῶν συνθημάτων. ὅσα τε βασιλέων προσώποις ἀγάλλεται καὶ πεπταμένοις ὑφάσμασιν ἐν διαφόροις βαφαῖς καὶ γράμμασιν. ὅσα τε δρακόντων φοβεροῖς χάσμασιν ἐμπετόμενα ἐπ᾽ ἄκρων δοράτων αἰωρουμένοις, καὶ διὰ τῶν ὁλκῶν ῥιπιζόμενα φολίσιν ὑφανταῖς καταστίκτων ἥδιστόν τε ὁμοῦ καὶ φρικτὸν θέαμα προσπίπτει ταῖς ὄψεσιν. ὡς δὲ εἶχεν αὐτῷ κατὰ νοῦν τὰ πλησίον, καὶ τοῦ ἐν χερσὶν ὡς ὥσπερ κινδύνου κρείττους ἐγένετο, οὕτως ἤδη πειρᾶται, καὶ τῶν ἑξῆς. εὐνοήσατε καὶ [illegible]σατε, καὶ ἀπαιδευτότατε τὰ μεγάλα. σὺ κατὰ τοσούτου κλήρου καὶ τῆς οἰκουμενικῆς δορυφορείας, τῆς πάντα διαλαβούσης τὰ πέρατα, διὰ τῆς εὐτελείας τοῦ λόγου καὶ τῆς μωρίας ὡς ἂν αὐτοὶ φαίητε τοῦ κηρύγματος, ὃ σοφοὺς ἐνίκησε, καὶ δαίμονας ἔπαυσε, καὶ χρόνον ὑπερηκόντισε. ὃ αὐτὸ παλαιόν τε ὁμοῦ τυγχάνον καὶ νέον ὡς ὑμεῖς τῶν θεῶν τινὰ τερατεύεσθε; τὸ μὲν τοῖς ὀλίγοις, τὸ δὲ τοῖς πολλοῖς. καὶ τὸ μὲν τῇ σκιαγραφίᾳ, τὸ δὲ τῇ τελειώσει τοῦ μυστηρίου καιροῖς ἰδίοις ταμιευθέντος; σὺ κατὰ τῆς μεγάλης τοῦ Χριστοῦ κληρονομίας; (ὢ τίς, καὶ πόσος, καὶ πόθεν) τῆς μεγάλης καὶ οὐ παυσομένης. οὐδ᾽ ἂν πλείων ἢ σὺ μανῶσι τινές. ἀλλ᾽ ἤδη πλέον ἀεὶ βαδιουμένης τε καὶ ἀρθησομένης. πιστεύω γὰρ ταῖς προρρήσεσι, καὶ τοῖς ὁρωμένοις, ἣν ὡς θεὸς ἐποίησε καὶ ὡς ἄνθρωπος ἐκληρονόμησεν. ἣν νόμος ἐτύπωσε, καὶ χάρις ἐπλήρωσεν. ἣν προφῆται συνέπηξαν, καὶ ἀπόστολοι συνέδησαν, καὶ εὐαγγελισταὶ κατηρτίσαντο. σὺ κατὰ τῆς Χριστοῦ θυσίας, τοῖς σοῖς μιάσμασι; σὺ κατὰ τοῦ τὸν κόσμον καθήραντος αἵματος, τοῖς σοῖς αἵμασι; σὺ πόλεμον κατὰ τῆς εἰρήνης; σὺ χεῖρα κατὰ τῆς ὑπὲρ σοῦ ἠλωθείσης τε καὶ διὰ σέ; σὺ κατὰ τῆς χολῆς τὴν σὴν γεῦσιν; κατὰ τοῦ σταυροῦ τρόπαιον. κατὰ τοῦ θανάτου κατάλυσιν; κατὰ τῆς ἀναστάσεως ἐπανάστασιν; κατὰ τοῦ μάρτυρος, οὐδὲ μάρτυρας; μετὰ Ἡρώδην διώκτης; καὶ μετὰ Ἰούδαν προδότης; πλὴν ὅσον οὐκ ἀγχόνῃ τὴν μετάνοιαν ἔδειξας ὥσπερ ἐκεῖνος, καὶ Χριστοκτόνος μετὰ Πιλάτους; καὶ μετὰ Ἰουδαίους μισόθεος; οὐκ ᾐδέσθης τὰ ὑπὲρ Χριστοῦ σφάγια; οὐδὲ ἐφοβήθης τοὺς μεγάλους ἀγωνιστάς; τὸν Ἰωάννην ἐκεῖνον, τὸν Πέτρον, τὸν Παῦλον, τὸν Ἰάκωβον, τὸν Στέφανον, τὸν Λουκᾶν, τὸν Ἀνδρέαν, τὴν Θέκλαν, τοὺς ἐπ᾽ ἐκείνοις τε καὶ πρὸ ἐκείνων, τῆς ἀληθείας προκινδυνεύσαντας; οἳ πυρί, καὶ σιδήρῳ, καὶ θηρσί, καὶ τυράννοις προθύμως ἀντηγωνίσαντο. καὶ παροῦσι κακοῖς καὶ ἀπειλουμένοις. ὥσπερ ἐν ἀλλοτρίοις σώμασιν ἢ ἀσωμάτοις τινὸς ἕνεκεν; ἵνα μὴ προδῶσι μηδὲ μέχρι ῥήματος τὴν εὐσέβειαν. ὧν αἱ μεγάλαι τιμαὶ καὶ πανηγύρεις. παρ᾽ ὧν δαίμονες ἐλαύνονται, καὶ νόσοι θεραπεύονται. ὧν αἱ ἐπιφάνειαι, καὶ ὧν αἱ προρρήσεις. ὧν καὶ τὰ σώματα μόνον ἴσα δύνανται ταῖς ἁγίαις ψυχαῖς, ἢ ἐπαφώμενα, ἢ τιμώμενα. ὧν καὶ ῥανίδες αἵματος μόνον, καὶ μικρὰ σύμβολα πάθους, ἴσα δρῶσι τοῖς σώμασι. ταῦτα οὐ σέβεις, ἀλλ᾽ ἀτιμάζεις. ὁ τὴν Ἡρακλέους θαυμάζων πυρὰν τὴν ἐξ ἀτυχήματος, καὶ τῶν περὶ γυναῖκας ἀδικημάτων, καὶ τὴν Πέλοπος κρεουργίαν, τὴν φιλόξενον, ἢ φιλόθεον, ἐξ ἧς ἐπίσημοι Πελοπίδαι περὶ τὸν ὦμον καὶ τοῦ ἐλέφαντος. καὶ τὰς Φρυγῶν ἐκτομὰς, τῶν ὑπ᾽ αὐλοῦ κηλουμένων, καὶ μετὰ τὸν αὐλὸν ὑβριζομένων, καὶ τὰς ἐν Μίθρου βασάνους καὶ καύσεις ἐνδίκους, τὰς μυστικὰς, καὶ τὴν ἐν Ταύροις ξενοκτονίαν, καὶ τὴν ἐν Τροίᾳ θυσίαν τῆς βασιλικῆς κόρης, καὶ τὸ Μενοικέως ὑπὲρ Θηβῶν αἷμα. καὶ τὰς Σκεδάσου θυγατέρων, ἐν Λεύκτροις ὕβρεις. ὁ τοὺς Λακωνικοὺς ἐπαινῶν ἐφήβους, ξαινομένους ταῖς μάστιξι. καὶ τὸ ἐπιβώμιον αἷμα τερπνὸν θεᾷ ἁγνῇ καὶ παρθένῳ. ὁ τὸ Σωκράτους ἐπαινῶν κώνειον, καὶ τὸ Ἐπικτήτου σκέλος, καὶ τὸ Ἀναξάρχου θύλακον. ὧν ἀναγκαία μᾶλλον, ἢ ἑκούσιος ἡ φιλοσοφία, καὶ τὸ Κλεομβρότου πήδημα τοῦ Ἀμβρακιώτου, ἐκ τοῦ ψυχῆς λόγου φιλοσοφηθέν.

καὶ τὴν

καὶ τὴν ὑπὲρ τῶν κυάμων πυθαγορικὴν σιωπὴν, καὶ θανάτου προφερομένην Θεανοῦς, ἢ ὅν οἶδ' οὗ τινος τῶν τὰ ἐκείνου τετελεσμένων ἢ φιλοσοφησάντων. σὺ δὲ εἰ μὴ ἐκεῖνα, τά γε παρόντα θαύμασον ὦ φιλοσοφώτατε καὶ γενναιότατε, καὶ τοὺς Ἐπαμινώνδας ἐκείνους, καὶ τοὺς Σκιπίωνας τῇ καρτερίᾳ βλέπων. ὁ συμβαδίζων τῷ στρατῷ, καὶ σῖτα αἱρούμενος χίλια, καὶ τὴν αὐτουργὸν ἐπαινῶν στρατηγίαν. ἔστι τι γενναίου καὶ φιλοσόφου ψυχῆς μηδὲ πολεμίων ἀρετὴν ἀτιμάζειν, καὶ πλεῖον τιμᾶν ἐχθρῶν γενναιότητα, ἢ κακίαν τὴν οἰκειοτάτην καὶ μαλακίαν. ὁρᾷς τοὺς ἀβιώτους τούτους, καὶ ἀνεστίους, καὶ ἀσάρκους μικροῦ, καὶ ἀναίμονας, καὶ θεῷ κατὰ τοῦτο πλησιάζοντας; τοὺς ἀνιπτόποδας καὶ χαμαιεύνας ὃ φησιν ὁ σὸς Ὅμηρος, ἵνα τινὰ δαιμόνων τιμήσῃ τῷ πλάσματι; τοὺς κάτω, καὶ ὑπὲρ τὰ κάτω; τοὺς ἐν ἀνθρώποις, καὶ ὑπὲρ τὰ ἀνθρώπινα; τοὺς δεδεμένους καὶ ἐλευθέρους; τοὺς κεκρατημένους καὶ ἀκρατήτους; ὧν οὐδὲν ἐν κόσμῳ, καὶ πάντα τὰ ὑπὲρ κόσμον, ὧν διπλοῦν τὸ ζῆν, τὸ μὲν ὑπερορώμενον, τὸ δὲ σπουδαζόμενον; τοὺς διὰ τὴν νέκρωσιν ἀθανάτους, τοὺς διὰ λύσιν θεῷ συνημμένους. τοὺς ἔξω πόθου, καὶ μετὰ τοῦ θείου καὶ ἀπαθοῦς ἔρωτος. ὧν ἡ πηγὴ τοῦ φωτὸς, καὶ ὧν ἤδη τὰ ἀπαυγάσματα; ὧν αἱ ἀγγελικαὶ ψαλμῳδίαι, καὶ ἡ παννύχιος στάσις, καὶ ἡ τοῦ νοῦ πρὸς θεὸν ἐκδημία προαρπαζομένου; ὧν ἡ κάθαρσις, καὶ ὧν τὸ καθαίρεσθαι, μηδὲν μέτρον εἰδότων ἀναβάσεως καὶ θεώσεως; ὧν αἱ πέτραι, καὶ ὧν οἱ οὐρανοί. ὧν τὸ ῥίπτεσθαι, καὶ ὧν οἱ θρόνοι; ὧν ἡ γυμνότης, καὶ ὧν ἀφθαρσίας ἔνδυμα; ὧν ἡ ἐρημία, καὶ ὧν ἡ ἐκεῖθεν πανήγυρις; ὧν τὸ τυραννεῖσθαι τὰς ἡδονὰς, καὶ ὧν ἡ ἀπόλαυσις ἡ ἀναλλοίωτος καὶ ἀνέκφραστος; ὧν τὸ δάκρυον ἁμαρτίας κατακλυσμὸς, κόσμου κάθαρσις, ὧν ἔκτασις χειρῶν φλόγα σβέννυσι, θῆρας κοιμίζει, ἀμβλύνει ξίφη, κλίνει φάλαγγας; ἐπιστομίσει καὶ τὴν σὴν ἀσέβειαν εὖ ἴσθι, κἂν πρὸς ὀλίγον ἀρθῇς, καὶ παίξῃς τὸ τῆς ἀσεβείας δρᾶμα μετὰ τῶν σῶν δαιμόνων. τούτων οὐδὲ ταῦτά σοι φοβερὰ ὦ λίαν τολμηρὲ σὺ καὶ θρασύτατε, εἴπερ ἄλλος τις. πῶς οὐκ αἰδέσιμα; ταῦτα μὲν ἤδη καὶ πολλῷ τιμιώτερα τῆς Ἀλκμαίωνος ἀπληστίας τοῦ σοφοῦ γε, ἣν Κροῖσος ἤλεγξε τῷ Λυδίῳ χρυσῷ, καὶ τῆς Σωκράτους φιλοκαλίας. αἰδοῦμαι γὰρ εἰπεῖν παιδεραστίας, κἂν σεμνοποιῆται ταῖς ἐπινοίαις, καὶ τῆς Πλάτωνος λιχνείας τῆς Σικελικῆς, δι' ἣν καὶ πιπράσκεται, καὶ οὐδ' ὑπό τινος ἐξωνεῖται τῶν αὐτοῦ μαθητῶν, ἢ ὅλως Ἕλληνος. καὶ τῆς Ξενοκράτους ὀψοφαγίας, καὶ τῆς Διογένους στωμυλίας, τοῦ ἐν πίθοις οἰκοῦντος, ὑφ' ἧς τοὺς ξένους ὑπεξίστησι τοῖς τυράννοις ἐκ τῆς τραγῳδίας, τοὺς εὐτελεῖς ἄρτους τοῖς σησαμοῦσι καὶ τῆς Ἐπικούρου φιλοσοφίας. οὐδὲν ὑπὲρ τὴν ἡδονὴν ἀγαθὸν ὁριζομένης. μέγας ὑμῖν ὁ Κράτης, καὶ γὰρ ὄντως φιλόσοφον, τὸ μηλόβοτον ἀφεῖναι τὴν οὐσίαν, καὶ τοῖς παρ' ἡμῖν φιλοσόφοις ὅμοιον· ἀλλὰ πομπεύει τὴν ἐλευθερίαν τῷ κηρύγματι, ὡς ἄν τις οὐ φιλόσοφος μᾶλλον, ἢ φιλόδοξος. μέγας ὁ τῆς νηὸς χειμαζομένης, καὶ πάντων ἐκριπτουμένων, χάριν ὁμολογῶν τῇ τύχῃ συστελλούσῃ εἰς τὸ τριβώνιον. μέγας ὁ Ἀντισθένης, ὅτι τὸ πρόσωπον συντριβεὶς ὑπό τινος τῶν ὑβριστῶν καὶ θρασέων, ἐπιγράφει τῷ μετώπῳ μόνον, ὥσπερ ἀνδριάντι δημιουργοῦ τὸν παίσαντα, ἴσως ἵνα κατηγορήσῃ θερμότερον. ἐπαινεῖς τινα καὶ τῶν οὐ πολὺ πρὸ ἡμῶν, ὅτι πανημέριος ἑστὼς τῷ ἡλίῳ προσηύξατο. ἴσως αὐτὸν Περσικοὺς καὶ προσγειοτέρους, ἵνα καὶ συνέλῃ τὴν εὐχὴν δυομένῳ συγκαταλύσας, καὶ τὴν ἐν Ποτιδαίᾳ στάσιν τὴν ἐν χειμερίῳ τῇ ὥρᾳ παννύχιον τῇ θεωρίᾳ προσφιλοπονήσαντα, ὥστε μηδὲ ἐπαισθάνεσθαι τοῦ κρύους διὰ τὴν ἔκστασιν, ἢ καὶ τὴν Ὁμήρου φιλομάθειαν, περὶ τὸ ἀρκαδικὸν ζήτημα. καὶ τὴν Ἀριστοτέλους φιλοσοφίαν καὶ προσεδρείαν ἐπὶ ταῖς τοῦ Εὐρίπου μεταβολαῖς, ὑφ' ὧν τέθνηκε. καὶ τὸ Κλεάνθους φρέαρ, καὶ τὸν Ἀναξαγόρου ἱμάντα, καὶ τὴν Ἡρακλείτου κατήφειαν. πόσοι ταῦτα, καὶ μέχρι τίνος; τὰς δὲ παρ' ἡμῖν οὐ θαυμάζεις χιλιάδας καὶ μυριάδας, καὶ ταῦτα καὶ τούτων ἔτι θαυμασιώτερα φιλοσοφούντων, ἐν παντὶ τῷ βίῳ, καὶ κατὰ πᾶσαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην ἀνδρῶν τε ὁμοίως καὶ γυναικῶν, εἰς ἀνδρείαν ἁμιλλωμένων, καὶ ταῦτα μόνον ἐπιλανθανομένων τῆς φύσεως, οὐδὲ θεὸν οἰκειοῦσθαι δι' ἁγνείας καὶ καρτερίας, οὐκ ἀγεννῶν μόνον, καὶ τῷ πονεῖν συνηθισμένων διὰ τὴν ἀπ' ἀρχῆς εὐτέλειαν. ἀλλὰ καὶ τῶν λίαν ὑψηλῶν ποτε καὶ λαμπρῶν, καὶ περιουσίᾳ, καὶ γένει, καὶ δυναστείᾳ. καινοτομούντων τὸ δυσπαθεῖν διὰ τὴν Χριστοῦ μίμησιν. ὧν κἂν ὁ λόγος μικρὸς ᾖ διὰ τὸ μηδ' ἐν λόγῳ τίθεσθαι τὴν εὐσέβειαν, καὶ τῆς ἀπὸ τοῦ στόματος σοφίας βραχὺ ἦν τὸν καρπὸν, ὡς καὶ τῶν παρ' ὑμῖν τισι κριτῶν ἔδοξεν, ἀλλὰ τὸ ἔργοις πλεῖον, καὶ ἡ ἐν τοῖς πράγμασι παίδευσις. ἀλλ' ὅμως ἅπαντα παρεὶς ταῦτα, καὶ πρὸς ἓν τοῦτο μόνον ἰδὼν, ὅπως ἂν χαρίσαιτο τοῖς καταγινώσκουσι πολλάκις αὐτοὺς ἀξίως δαίμοσι, πρὶν ἄλλο τι καταστήσασθαι τῶν κοινῶν, ἐπὶ χριστιανοὺς φέρεται, καὶ δύο μὲν ἦν αὐτῷ ταῦτα τὰ μὲν σπουδαζόμενα. Γαλιλαῖοί τε οὓς αὐτὸς ἐφυβρίζων ἐκάλει, καὶ Πέρσαι τῷ πολέμῳ καρτερῶς παραμένοντες, οὕτω δὲ τὸ ἡμέτερον μεῖζον καὶ περισπουδαστότερον, ὥστε

λῆρον

λῆρον καὶ παιδιὰν αὐτῷ, τὸ κατὰ τὰ πατρίως νομίζεσθαι. καὶ τοῦτο οὐκ ἐκφαίνει μὲν, κρύπτει δέ. ἀλλὰ τοσοῦτον ἦν αὐτῷ τὸ πλέον τῆς μανίας, ὥστε ἀεὶ καὶ πρὸς πάντας ὡς λογίας, οὐκ ἐπαύετο. καὶ οὐδὲ τοῦτο συνεῖδεν ὁ συνετώτατος πάντων, καὶ ἄριστος τῶν κοινῶν προστάτης, ὅτι τοῖς μὲν προτέροις διωγμοῖς, ὀλίγον ἦν τὸ συγχεόμενον καὶ παρακινούμενον οὔπω τοῦ καθ' ἡμᾶς δόγματος ἤδη πολλοὺς φθάσαντος, ἀλλ' ἔτ' ἐν ὀλίγοις ισταμένης τῆς ἀληθείας, καὶ δεομένης ἐκλάμψεως. νῦν δὲ ἤδη τοῦ σωτηρίου λόγου χυθέντος, καὶ παρ' ἡμᾶς μάλιστα δυναστεύσαντος, τὸ πειρᾶσθαι τὰ χριστιανῶν μετατιθέναι καὶ παρακινεῖν, οὐδὲν ἕτερον ἦν, ἢ τὴν ῥωμαίων παρασαλεύειν ἀρχὴν, καὶ περὶ τοῦ κοινοῦ παντὶ κινδυνεύειν· καὶ ὧν οὐδ' ἂν οἱ ἐχθροὶ χεῖρόν τι καθ' ἡμῶν εὔξαιντο, ταῦτα πάσχειν ὑφ' ἡμῶν αὐτῶν, καὶ τῆς νέας ταύτης, καὶ θαυμαστῆς φιλοσοφίας καὶ βασιλείας, ὑφ' ἧς ἡμᾶς εὐδαίμονας. καὶ πρὸς τὴν χρυσῆν ἐκείνην γενεάν τε καὶ πολιτείαν ἐπανεληλύθαμεν, τὴν ἀστασίαστόν τε καὶ ἄμαχον. ἢ δῆμος μὲν ἀνεκτῶς διοικούμενος, καὶ φόρων ἄνεσις, καὶ ἀρχόντων ἐκλογὴ, καὶ κλοπῶν ἤδη τίμησις, καὶ τἄλλα ὅσα τῆς προσκαίρου καὶ ἀνθρωπίνης μακαριότητος καὶ φαντασίας, μεγάλην ἔμελλε περὶ τοῦ κοινοῦ πρήξειν τὴν ὠφέλειαν, καὶ περιθρυλλεῖσθαι ἡμῶν εἰς τὰ ὦτα, τούτων ἐπαινουμένων. δῆμοι δὲ στασιάζοντες, καὶ πόλεις, καὶ γένη ῥηγνύμενα, καὶ οἰκίαι διιστάμεναι, καὶ συζυγίαι σχιζόμεναι, ἃ περὶ τοῦ κακοῦ πάντα ἦν εἰκὸς ἀκολουθεῖν ἐκείνῳ, καὶ μέντοι καὶ ἠκολούθησε, σφόδρα ἢ πρὸς εὐδοξίαν ἐκείνῳ κάλλιστα εἶχεν, ἢ περὶ τοῦ κοινοῦ πρὸς ἀσφάλειαν. καίτοι τίς οὕτως ἢ πρὸς ἀσέβειαν εὔκολος, ἢ τῶν κοινῶν ἔξω λογισμῶν, ὅστις ἂν ταῦτα συμφέρειν; ὥσπερ γὰρ ἐν τοῖς σώμασιν οἷς μὲν ἢ ἓν μελῶν ἢ ἀσθενέστερον διακειμένων, οὐ χαλεπῶς ἀναφέρει τὰ λοιπά. καὶ συντηρεῖται τὸ τῆς ὑγιείας ἀγαθὸν περὶ τοῖς πλείοσι. τάχα ἂν κἀκεῖνα πρὸς τὸ βέλτιον ἐπανέλθοι· τοῦ δὲ πλείονος στασιάζοντος καὶ πικρῶς ἔχοντος, οὐδὲ μία μηχανὴ μὴ τὸ πᾶν ἔχειν κακῶς, καὶ κίνδυνος ἤδη τοῦ τοιούτου σαφής· οὕτω καὶ τοῖς ἀρχομένοις τὰς μὲν καθ' ἕκαστον ἀρρωστίας συμβαίνει περὶ τοῦ κοινοῦ κρύπτεσθαι κρεῖσσον ἔχοντι. τῶν πλειόνων δὲ σαθρῶς ἐχόντων, περὶ παντὶ κίνδυνος. ὃ μοι δοκεῖ δῆλον μὲν ἂν ἰδεῖν καὶ τῶν σφόδρα μισούντων ἡμᾶς εἰ περὶ νῦν καιρῷ, καὶ τῇ τοσαύτῃ τῶν χριστιανῶν ἐπιδόσει. τοῦ δὲ ἡ πονηρία τοῖς λογισμοῖς ἐπισκότησε, καὶ διὰ τοῦτο μικροῖς τε ὁμοίως καὶ μείζοσι πλήττει τὸν διωγμόν. ἐκεῖνο μὲν οὖν καὶ σφόδρα μειρακιῶδες καὶ κοῦφον. καὶ οὐχ ὅπως βασιλέως ἄξιον, ἀλλ' οὐδὲ ἄλλου τινὸς τῶν καὶ μετρίως σωφρόνων τὴν διάνοιαν, ὅτι τῇ μεταθέσει τῆς κλήσεως ἐψεῦσθαι νομίσας τὴν ἡμετέραν διάθεσιν, ἢ αἰσχυνεῖν γε ἡμᾶς ὥσπερ τι τῶν αἰσχίστων ἐγκαλουμένοις, εὐθὺς καινοτομεῖ περὶ τὴν προσηγορίαν, γαλιλαίους ἀντὶ χριστιανῶν ὀνομάσας τε καὶ νομοθετήσας. εὖ γὰρ δηλονότι μέγιστον εἰς δόξαν, καὶ τιμιώτατον ἡ τοῦ χριστοῦ κλῆσις, ἐξ ὧν ἀποστερῆσαι ταύτης ἡμᾶς ἐπινόησεν. ἢ φοβούμενός γε τὴν δύναμιν τῆς προσηγορίας, ὥσπερ οἱ δαίμονες, καὶ διὰ τοῦτο μεταβαίνων ἐφ' ἕτερον ὄνομα τῶν οὐκ εἰωθότων, οὐδὲ γνωρίμων. ἡμεῖς δὲ οὐ παρακινήσομεν αὐτοῖς τὰ ὀνόματα. οὐδὲ γάρ ἐστιν εἰς ὅ, τι μεταθείημεν ἄλλο γελοιότερον. τοὺς φαλλοὺς, καὶ τοὺς ἰθυφάλλους, καὶ τοὺς μελαμπύγους, καὶ τὸν τραγόπουν, καὶ τὸν σεμνὸν πᾶνα. τὸν ἐκ πάντων μνηστήρων ἕνα θεὸν, καὶ ὄνομα λαβόντα τὴν ὕβριν, ὥσπερ ἦν ἄξιον. ἔδει γὰρ ἢ ἀποτυχεῖν παρ' ἐκείνοις εἰς πολλὰ ἕνα καὶ τὸν κράτιστον, ἢ ἐκ πολλῶν γίνεσθαι καὶ τὸν αἴσχιστον. οὐκοῦν φθονήσομεν αὐτοῖς, οὔτε τῶν πραγμάτων, οὔτε τῶν ὀνομάτων. ἀλλ' ἀγαλλιάσθωσαν τῆς ἑαυτῶν εὐηθείας, καὶ τοῖς αἰσχίστοις ἐγκαλλωπιζέσθωσαν. εἰ βούλοιντο δὲ, καὶ τὸν βουθοίναν προσθῶμεν αὐτοῖς, καὶ τὸν τριέσπερον, ἵνα καὶ μᾶλλον αὐτοῖς χαρισώμεθα, τὸν καὶ γεννώμενον οὕτως, καὶ γεννῶντα μεγαλοπρεπῶς, καὶ ἆθλον ποιησάμενον τρεισκαιδέκατον, ἐν μιᾷ νυκτὶ τὰς θεστίου πεντήκοντα θυγατέρας, ἵν' ἐκ τούτων ὀνομασθῇ θεός. ἐπεὶ βουλομένοις γε τὰ τοιαῦτα καινοτομεῖν, πολλαὶ κατ' ἐκείνου κλήσεις ἐκ τῶν ἐκείνου χριστιανοῖς αἰσχίστων τε ἅμα καὶ οἰκειοτέραι. τί γὰρ ἂν κωλύσειε καὶ ἡμᾶς περὶ βασιλεῖ κατὰ τὸ ἴσον ἀντιπαίζοντας ῥωμαίων, ὡς δὲ ᾤετο, καὶ τῆς οἰκουμένης; ἐπιτιμώμενος τοῖς διὰ μέσου τὸν εἰδωλικὸν καλεῖν, καὶ τὸν πισαῖον, καὶ τὸν ἀδωναῖον, καὶ τὸν ναυσίταυρον. ὅπερ καὶ ἤδη τινὲς αὐτὸν τῶν παρ' ἡμῖν κομψῶν ὠνόμασαν. ἐπειδὴ ῥᾳστώνη πολλὴ τοῦ πράγματος, ὅσα τε ἄλλα παρακινεῖν ἢ ποιεῖν, ἐκ τῆς ἀληθείας ἡ ἱστορία δίδωσι. πάντων δὲ ἀτοπώτατον, τὸν μὲν σωτῆρα καὶ δεσπότην ἁπάντων τε τοῦδε τοῦ παντὸς δημιουργόν τε καὶ κυβερνήτην, τὸν τοῦ μεγάλου πατρὸς υἱὸν καὶ λόγον, καὶ προσαγωγέα, καὶ ἀρχιερέα, καὶ σύνθρονον. τὸν ὑπὲρ ἡμῶν τὴν ἀτιμασθεῖσαν αὐτοῦ τὴν εἰκόνα, καὶ πρὸς τὸν χοῦν ἀπονενευγμένως καὶ ἁγιάσαντα τῷ μεγάλῳ τῆς συζυγίας μυστηρίοις, μὴ μόνον εἰς δούλου καταβάντα μορφὴν, ἀλλὰ καὶ ἤδη τὸν σταυρὸν ἀναβάντα, καὶ συναγαγόντα τὴν ἐμὴν ἁμαρτίαν τεθνηξομένην, τοῦτον μὲν σαμαρείτην ἀκούοντα, καὶ ὃ πολλῷ χεῖρον, δαιμονᾷ ἐγκαλούμενον, μήτε

ὁ τρισκαιδέκατος Ἡρακλέους πόνος

αἰσχύνεσθαι, μήτε ἐγκαλεῖν τοῖς ὑβρίζουσιν. ᾧ καὶ ταῖς ἀγγελικαῖς παρατάξεσι καὶ λόγῳ μόνῳ ἀμύνεσθαι τὸν πονηρὸν ῥᾴδιον ἦν, ἀλλ' ἡμέρως παθεῖν, καὶ πρᾴως τοὺς ὑβρίζοντας ἀποπέμπεσθαι, καὶ ὑπὲρ τῶν σταυρούντων αὐτὸν ἀφιέναι δάκρυον, ἡμᾶς δὲ οἴεσθαι ἀλγήσειν οὕτω κακουμένους, ἢ αἰσχυνεῖσθαι, ἢ τῆς ὑπὲρ τοῦ καλοῦ φιλοτιμίας διὰ τοῦτο ἀποστήσεσθαι, καὶ πλείω ποιήσεσθαι λόγον τῆς ὕβρεως ταύτης, ἢ τῆς ψυχῆς καὶ σωμάτων ὧν καταφρονεῖν ἴσμεν ὑπὲρ τῆς ἀληθείας. ἀλλὰ τοῦτο μὲν ὅπερ εἶπον, γελοῖον μᾶλλον, ἢ λυπηρόν. καὶ εἰς τὴν σκηνὴν ἀποπεμπόμεθα, πάντως οὔ ποτ' ἂν ὑπερβαλλοίμεθα τῶν ῥᾳδίως ἐκεῖ μετὰ τῆς κόρης, τά γε τοιαῦτα παιζομένων καὶ παίζοντας. ἐκεῖνο δὲ ἤδη καὶ λίαν πονηρὸν καὶ κακόηθες, ὅτι τὸ μὲν φανερῶς πείθειν οὐκ ἔχων, τὸ δὲ βιάζεσθαι τυραννικῶς αἰσχυνόμενος, τῇ λεοντῇ τὴν κερδαλῆν ἐγκρύπτων. εἰ βούλει δὲ τοῦ Μίνωος προσωπείῳ τὴν ἀδικωτάτην (πῶς ἂν εἴποιμι κυρίως) ἠθικῶς ἐβιάζετο. τὰ μὲν οὖν ἄλλα τοῖς βουλομένοις ἱστορεῖν τε καὶ γράφειν παρήσω, τοῦ λόγου ἀποδιδόντος. πολλοῖς δὲ οἶμαι σπουδασθήσεσθαι τοῦ τότε καιροῦ τὴν εἴτε τραγῳδίαν χρὴ λέγειν, εἴτε κωμῳδίαν, οἷς μέρος εὐσεβείας δόξει, λόγῳ βάλλειν τὸν ἀλιτήριον. ὡς καὶ τοῖς ἔπειτα παραδοθῆναι πρᾶγμα τοσοῦτον, καὶ ἥκιστα τοῦ λαθεῖν ἄξιον. αὐτὸς δὲ ἕν τι ταύτῃ ἢ δύο δείγματος ἐρῶ χάριν, τοῖς σφόδρα τὰ ἐκείνου θαυμάζουσιν. ἵν' εἰδῶσιν ὅτου ἐπαινεῖν ἀξιοῦντες, οὐ μηδὲ ψόγου ἐστὶν εὑρεῖν ἀξίους. νόμος ἐστὶ βασιλικός. οὐκ οἶδα μὲν εἰ καὶ πᾶσιν ἀνθρώποις ὅσοις τὸ βασιλεύεσθαι. ῥωμαίοις δὲ, καὶ τῶν λίαν σπουδαζομένων, εἰκόσι δημοσίαις τιμᾶσθαι τοὺς βασιλεύοντας. οὐ γὰρ ἐξαρκοῦσιν οἱ στέφανοι, καὶ τὰ διαδήματα, καὶ τὸ τῆς ἁλουργίδος ἄνθος. οὔτε ἀριθμούμενοι νόμοι καὶ φόροι, καὶ τὸ τῶν ἀρχομένων πλῆθος, συγκροτεῖν τούτοις τὴν βασιλείαν, ἀλλὰ δεῖ καὶ προσκυνήσεως αὐτοῖς, ἐφ' ᾗ σεμνότεροι δόξουσιν, οὐχ ἵν' αὐτοὶ προσκυνῶνται μόνοι, ἀλλὰ καὶ τοῖς ἐν πλάσματί τε καὶ χρώμασιν, ἵν' ᾖ τὸ σέβας αὐτοῖς, ἀπληστότερόν τε καὶ τελεώτερον. τούτοις ταῖς εἰκόσιν, ἄλλοι μὲν ἄλλο τι τῶν βασιλέων προσαναγράφεσθαι χαίρουσιν. οἱ μὲν τῶν πόλεων τὰς λαμπροτέρας δωροφορούσας, οἱ δὲ νίκας ὑπὲρ κεφαλῆς στεφανούσας, οἱ δὲ τῶν ἐν τέλει προσκυνοῦντας, καὶ τοῖς τῶν ἀρχῶν τιμωμένους συνθήμασιν. οἱ δὲ θηροφονίας καὶ εὐστοχίας, οἱ δὲ βαρβάρων ἡττημένων καὶ ὑπὸ τοῖς ποσὶν ἐρριμμένων ἢ κτεινομένων, ποικίλα σχήματα. φιλοῦσι γὰρ οὐ τὰς ἀληθείας τῶν πραγμάτων μόνον, ἐφ' οἷς μέγα φρονοῦσιν, ἀλλὰ καὶ τὰ τούτων ἰνδάλματα. ὁ δὲ τί μηχανᾶται, καὶ τίνα τῶν χριστιανῶν τοῖς στερροτέροις ἵστησι δόλον, ὥσπερ οἱ τοῖς βρώμασι καταμιγνύντες τὰ δηλητήρια. μῖξαι ταῖς ἐξ ἔθους τῶν βασιλέων τιμαῖς τὴν ἀσέβειαν, καὶ εἰς ἓν ἀγαγεῖν νόμους ῥωμαίων, καὶ εἰδώλων προσκύνησιν. καὶ διὰ τοῦτο ταῖς εἰκόσι συμπαραγράφων τοὺς δαίμονας, ὡς δή τινας ἄλλας τῶν ἐξ ἔθους γραφὰς, προυτίθει δήμοις καὶ πόλεσι, καὶ μάλιστα τοῖς τῶν ἐθνῶν ἄρχουσι, τὰς εἰκόνας. ὡς κακοῦ γέ του πάντως μὴ ἐξεῖναι διαμαρτεῖν, ἀλλ' ἢ τῇ τῶν βασιλέων τιμῇ καὶ τὴν τῶν εἰδώλων συμφέρεσθαι, ἢ τῇ τούτων φυγῇ τοὺς βασιλέας ὑβρίζεσθαι, μιᾶς τῆς οὔσης τῆς προσκυνήσεως. τοῦτον τὸν δόλον, καὶ ταύτην τὴν οὕτω σοφιστικῶς ἐνθυμηθεῖσαν πάγην τῆς ἀσεβείας, ὀλίγοι μὲν διέφυγον τῶν εὐλαβεστέρων τε καὶ συνετωτέρων, οἳ καὶ δίκην ἔδοσαν τῆς συνέσεως. πρόσχημα μὲν, ὡς εἰς τιμὴν βασιλέως παρανομήσαντες. τὸ δὲ ἀληθὲς, ὑπὲρ τοῦ ἀληθινοῦ βασιλέως, καὶ τῆς εὐσεβοῦς κινδυνεύσαντες. πολλοὶ δὲ ἥλωσαν τῶν εὐηθεστέρων καὶ ἁπλουστέρων, οἷς καὶ συγγνώμη τυχὸν τῆς ἀγνοίας, τέχνῃ συναρπασθεῖσιν εἰς τὴν ἀσέβειαν. τοῦτο μὲν δὴ τοιοῦτον, ὃ καὶ μόνον ἐξαρκεῖ στηλιτεῦσαι βασιλέως προαίρεσιν. οὐ γὰρ τὰ αὐτὰ βασιλεῦσί τε καὶ ἰδιώταις πρέπειν ὑπολαμβάνομεν, ὅτι μηδὲ τῆς αὐτῆς ἀξίας ἀμφότεροι. ἰδιώτῃ μὲν γὰρ, καὶ τεχνικῶς πράττειν τι συγχωρήσαιμεν. ᾧ γὰρ τὸ φανερῶς βιάζεσθαι μὴ δυνατὸν, τούτῳ συγγνωστέον τὸ τῆς ἐπινοίας. βασιλεῖ δὲ, τοῦ δυνάμει κρατεῖσθαι λίαν αἰσχροῦ τυγχάνοντος, ἔτ' αἴσχιον οἶμαι, καὶ ἀπρεπέστερον, τὸ τέχνῃ κλέπτειν τὰς ἐγχειρήσεις καὶ τὰ προκείμενα. ἕτερον δὲ ὃ διανοίας μέν ἐστι καὶ προαιρέσεως τῆς αὐτῆς, τοῦ μέτρου δὲ πολὺ χεῖρον καὶ ἀσεβέστερον, εἰς πλέον τοῦ κακοῦ φθάνοντος. τοῦτο προσθήσω τοῖς εἰρημένοις. δωρεᾶς βασιλικῆς ἦν ἡμέρα. εἴτ' οὖν ἐπίσημος, εἴτε τινὰ τοιαῦτα τοῦ βασιλέως διατεθεῖσα διὰ τὴν κακουργίαν, καὶ παρεῖναι τὸ στρατιωτικὸν ἔδει τιμηθησομένους, ὡς ἕκαστος ἀξίας εἶχεν, ἢ τάξεως. πάλιν ἡ τῆς ἀσελγείας σκηνὴ, πάλιν τὸ δρᾶμα τῆς ἀσεβείας. φαρμαχθῆναι φιλανθρωπίᾳ τινὶ τῶν ἀπανθρώπων, καὶ χρήμασι δελεασθῆναι στρατιωτικὴν ἀλογίαν, σὺν ἀπληστίᾳ, μεθ' ὧν τὰ πολλὰ βιοτεύουσιν. ὁ μὲν οὖν προὐκάθητο λαμπρὸς, λαμπρῶς πανηγυρίζων κατὰ τῆς εὐσεβείας, καὶ μέγα φρονῶν τοῖς τεχνάσμασι. μελάμπους οἶμαί τις ἢ πρωτεὺς, πάντα ὢν καὶ γινόμενος, καὶ ῥᾳδίως ἑαυτὸν ὑπαλλάττων τοῖς εἴδεσι. τὰ δὲ περὶ αὐτὸν οἷα καὶ ὅσων ὀδυρμῶν τοῖς εὖ φρονοῦσιν ἄξια, οὐ τοῖς τότε παροῦσι μόνοις, ἀλλὰ καὶ τοῖς νῦν ἀκοῇ δεχο-

μένοις

μένοις ἐκεῖνο τὸ θέαμα, προὔκειτο χρυσός, προὔκειτο λίβανος, ἐγγύθεν δὲ πῦρ, οἱ κελεύ-
σαντες πλησίον, καὶ τὸ πρᾶγμα ὡς πιθανόν, βασιλικῆς δωρεᾶς τοῦτον εἶναι δοκεῖν τὸν νόμον, τῆς γε
ἀρχαιοτέρας τε καὶ τιμιωτέρας. εἶτα τί, θυμιᾶν ἔδει κατὰ τοῦ πυρός, καὶ δέχεσθαι παρὰ
τοῦ βασιλέως τὸν τῆς ἀπωλείας μισθόν, οὕτως ὀλίγον τοσούτου πράγματος, ψυχῶν ὅλων
καὶ τῆς εἰς θεὸν ἀσεβείας; φεῦ τῆς πραγματείας, φεῦ τῆς ἀντιδόσεως. στρατὸς ὅλος, εἰς
τεχνάσματος ὤνιος ἦν. καὶ οἱ τὴν οἰκουμένην παραστησάμενοι, μικρῷ πυρὶ καὶ χρυσίῳ
καὶ διὰ κνίσης ὀλίγης ἥττηντο, οὐδὲ τὴν ἑαυτῶν σφαγὴν εἰδότες οἱ πλείους. τοῦτο γὰρ ἦν
τὸ βαρύτατον, παρῄει τις ὡς κερδανῶν, καὶ οὐδὲ ἑαυτὸν εἶχε μετὰ τὸ κέρδος. προσεκύνει
δεξιὰν βασιλέως, καὶ τὸν αὐτόχειρα προσκυνῶν, οὐκ ἠπίστατο. τοῖς δὲ καὶ γνῶσιν οὐδὲν
ἦν πλέον, ἅπαξ τῶν κακῶν προκατειλημμένοις, καὶ νόμον ἄλυτον ἡγουμένοις, τὴν πρόσθεν
ἄνοιαν. ποῖαι ταῦτα περὶ πολλοὺς μυσαχθέντων, τινὲς τρέχουσι, τινὲς σφενδονῶνται κατορθώσαν-
τος σιδηροῦς στρατιώτας, καὶ πανταχόθεν ἄπρατος. ἵνα κατὰ τῶν τειχῶν μηχανήμα-
τα, οἷα χεὶρ μία καὶ καιρὸς εἷς, καὶ βουλὴ μικρὰ κατεπράξατο. μέσον τούτοις τι διήγημα,
τῶν εἰρημένων ἐλεεινότερον. λέγονται τοι τῶν ἁλόντων τινὲς ἐξ ἀγνοίας, ἐπειδὴ τοῦτο πα-
θεῖν, καὶ ἀναχωρήσαντες οἴκαδε, τοῖς συσσίτοις κοινωνεῖν τραπέζης, εἶτα τοῦ πότου παρελ-
θόντος εἰς τὴν συνήθη ψυχροποσίαν, ὡς οὐδενὸς ὄντος αὐτοῖς δεινοῦ τῇ ψυχοφθόρῳ κύλι-
κι, Χριστὸν ἐπικαλεῖν μετὰ τῆς σφραγῖδος ἄνω βλέψαντας. τῶν δὲ συσσίτων τινὸς θαυμά-
σαντος, καὶ τί τοῦτο εἰπόντος, Χριστὸν ἤδη καλεῖτε μετὰ τὴν ἄρνησιν, πῶς ἠρνήμεθα φάναι
τοὺς ἡμιθνῆτας. καὶ τί τοῦτο τὸ καινὸν ἄκουσμα; τοῦ δέ, ὅτι κατὰ τοῦ πυρὸς ἐθυμιάσατε φήσαν-
τος, καὶ τοῦτο εἶναι διδάξαντος τὴν ἄρνησιν, εὐθὺς ἀναπηδήσαντες τοῦ συμποσίου, καθά-
περ ἐκμανεῖς καὶ παράπληγες, ζήλῳ καὶ θυμῷ ζέοντες, διὰ τῆς ἀγορᾶς θεῖν βοῶντες καὶ
λέγοντες· Χριστιανοὶ Χριστιανοὶ τὰς ψυχὰς ἡμεῖς. ἀκουέτω πᾶς ἄνθρωπος, καὶ πρὸ πάν-
των θεός, ᾧ καὶ ζῶμεν καὶ τεθνηξόμεθα. οὐκ ἐψευσάμεθά σε σῶτερ Χριστέ, οὐκ ἠρνησάμεθά
σε τὴν μακαρίαν ὁμολογίαν. εἴ τι καὶ ἡ χεὶρ ἔπταισεν, ἀλλ' ἥ γε διάνοια οὐκ ἠκολούθησε. βα-
σιλεῖ κατεσοφίσθημεν. οὐ χρυσοῦ τραυματίαι γεγόναμεν. ἀπεκδυόμεθα τὴν ἀσέβειαν,
αἵματι καθαιρόμεθα. εἶτα πρὸς βασιλέα προσδραμόντες, καὶ τὸν χρυσὸν προσρίψαντες
λίαν νεανικῶς, οὐ δῶρα δεδέγμεθα βασιλεῦ βοᾶν, ἀλλὰ θάνατον κατακεκρίμεθα. οὐκ εἰς
τιμὴν ἐκλήθημεν, ἀλλ' ἀτιμίαν κατεψηφίσθημεν. δὸς χάριν τοῖς σοῖς στρατιώταις. Χρι-
στῷ σφαγίασον ἡμᾶς, ᾧ μόνῳ βασιλευόμεθα. ἀντίδος πῦρ τοῦ πυρός, τέφραν ἀντὶ τῆς τέ-
φρας ἐκείνης ποίησον, ἀπόκοψον χεῖρας, ἃς κακῶς προὐτείναμεν. πόδας, οἷς κακῶς ἐδράμο-
μεν. ἄλλους τῷ χρυσῷ τίμησον, οἷς οὐ μεταμελήσει λαβοῦσιν. ἡμῖν δὲ ἀρκεῖ Χριστός, ὃν ἀντὶ πάν-
των ἔχομεν, ταῦτα λέγειν τε ὁμοῦ καὶ τοῖς ἄλλοις διακελεύεσθαι, γνῶναι τὴν ἀπάτην, ἀνα-
νῆψαι τῆς μέθης, ἀπολογήσασθαι τῷ Χριστῷ δι' αἵματος. ἐφ' οἷς ἀγανακτήσαντα τὸν
βασιλέα, τὸ μὲν φανερῶς κτεῖναι φυγεῖν, ἵνα μὴ μάρτυρας ἐργάσηται τοὺς ὅσον τὸ ἐπ' αὐ-
τοῖς μάρτυρας. ἐξορίᾳ δὲ παραδόντα, οὕτως ἀμύνασθαι, καὶ μεγίστην εὐεργεσίαν κατατί-
θεσθαι, τὸ πόῤῥω στῆσαι τῶν ἑαυτοῦ μιασμάτων καὶ τεχνασμάτων. καίπερ δὴ οὕτως ἔχων
ὁρμῆς, καὶ πρὸς πολλὰ τῇ κακονοίᾳ χρησάμενος. ὅμως οὐ γὰρ εἶχε πάντη τῆς αἰδοῦς ἡ διάνοια,
οὐδὲ τῶν οἰκείων λογισμῶν μᾶλλον ἦν ἢ τῆς φορᾶς τοῦ δαίμονος, οὐ διεφύλαξεν εἰς τέλος
τὴν γνώμην, οὐδὲ τὸ τῆς πονηρίας ἀπόῤῥητον διεσώσατο· ἀλλ' ὥσπερ τὸ αἰτναῖον πῦρ λόγος
τοῖς πυθμέσι τῆς αἴτνης ἐγκρύπτεσθαι, κάτωθεν πλημμυροῦν, καὶ βίᾳ κρατούμενον, εἴτε
τι ἄλλο τοῦτό ἐστιν, εἴτε ἆσθμα κολαζομένου γίγαντος, τέως μὲν φοβερὸν ὑπηχεῖν, καὶ κα-
πνὸν τοῦ κακοῦ μήνυμα τῆς κορυφῆς ἀπερεύγεσθαι. εἰ δέ που πλεονάσειε τύχοι καὶ δυσκά-
θεκτον γένοιτο, τῶν οἰκείων κόλπων ἀναβρασθέν, ἄνω φερόμενον, καὶ ὑπὲρ τοὺς κρατῆρας
χεόμενον, ἔστιν ἃ καὶ τῆς ὑποκειμένης γῆς φθείρειν ἀπίστῳ καὶ φοβερῷ ῥεύματι, οὕτω κα-
κεῖνόν ἐστιν εὑρεῖν, ἄχρι μέν τινος ἑαυτοῦ κρατοῦντα, καὶ τοῦ σοφιστικοῦ δόγματος, ἀπεί-
πτε διαπειθεῖν κακῶς τὰ ἡμέτερα. εἰ δέ που τὸ ἀκρατὲς τῆς ὀργῆς ὑπερβλύσει, μηδὲ κρύ-
πτειν δύνασθαι τὸ κακόηθες, ἀλλὰ γυμνῷ χρῆσθαι τῷ διωγμῷ, κατὰ τοῦ θείου καὶ εὐσε-
βοῦς ἡμῶν συντάγματος. ἵνα γὰρ ἐάσω τὰ κατὰ τῶν ἁγίων οἴκων προστάγματα, δημο-
σίᾳ τε προτιθέμενα, καὶ ἰδίᾳ πληρούμενα, καὶ σύλησιν ἀναθημάτων τε καὶ χρημάτων,
οὐ μᾶλλον ἐξ ἀσεβείας ἢ ἀπληστίας, καὶ σκευῶν ἱερῶν ἁρπαγήν, χερσὶ βεβήλοις ὑβριζο-
μένων, τούς τε ὑπὲρ τούτων ἀγομένους καὶ στρεβλουμένους ἱερεῖς τε καὶ ἄρχοντας. καὶ τοὺς
πλήρεις αἱμάτων κίονας ταῖς τούτων χερσὶ κυκλουμένους καὶ ζωννυμένους, ξαινομένων ταῖς
μάστιξι, τούς τε διαθέοντας τοξότας κατὰ χώρας καὶ πόλεις, ὠμοτέρους καὶ θερμοτέρους
τοῦ ταῦτα ἐπιτάττοντος. ὡς ἂν ἀντὶ Περσῶν καὶ Σκυθῶν, καὶ τῶν ἄλλων βαρβάρων ἡμᾶς
παραστήσωνται. ἵνα μὴ ταῦτα λέγω, τίς οὐκ οἶδε τὴν Ἀλεξανδρέων ἀπανθρωπίαν. οἱ πρὸς

πολλοῖς ἄλλοις, οἷς ἀνεκαινίζετο τὸ καθ' ἡμῶν, ἀμέτρως τῷ καιρῷ χρησάμενοι, δῆμος ὄντως στασιώδης φύσει καὶ μανικός. ἔτι καὶ τοῦτο λέγονται προσθεῖναι τοῖς ἀσεβήμασιν, αἵματος διὰ πολὺ τὸ ἱερὸν οἶκον ἡμῶν ἐμπλῆσαι, ὅσος τε θυσιῶν, καὶ ὅσος ἀνθρώπων· καὶ ταῦτα ἐξεργάσασθαι, στρατηγοῦντός τινος τῶν βασιλικῶν φιλοσόφων, ἐκ τούτων μόνον ὀνομασθέντος. τίς ἀγνοεῖ τὴν Ἡλιουπολιτῶν συστροφήν; τίς τὴν Γαζαίων ἀπόνοιαν, τῶν ὑπ' ἐκείνου θαυμαζομένων καὶ τιμωμένων, ὅτι καλῶς αὐτοῦ τὴν μεγαλοπρέπειαν ᾔσθοντο; τίς τὴν Ἀρεθουσίων μανίαν τῶν τέως ἀγνοουμένων, ἐξ ἐκείνου δὲ τοῦ καιροῦ, καὶ λίαν ἤδη γινωσκομένων; κοινὰ γὰρ περιβόητα, οὐ δεξιὰ πράξεις μόνον, ἀλλὰ καὶ κακία νικῶσα πονηρῶν εὐδοκίμησεν. οἱ μὲν γὰρ λέγονται (δεῖ γὰρ ἓν ἐκ πολλῶν εἰπεῖν φρίκης, καὶ τοῖς ἄλλοις ἄξιον) παρθένους ἁγνὰς καὶ ὑπερκοσμίους, ἀφανεῖς μικροῦ καὶ ὀφθαλμοῖς ἀῤῥένων, εἰς μέσον προαγαγόντες, καὶ τῆς ἐσθῆτος γυμνώσαντες, ἵνα τῇ θέᾳ πρότερον ἐνυβρίσωσιν, εἶτ' ἀνακείραντες, καὶ διχάσαντες. ὦ πῶς ἀνέγκω σου Χριστὲ τὴν τότε μακροθυμίαν, οἱ μὲν καὶ ἰδίοις ὀδοῦσι κακῶς ἑστιαθῆναι, καὶ τῆς ἑαυτῶν κακοδαιμονίας ἀξίως ὠμῶν τῶν ἡπάτων ἐμφορηθῆναι, καὶ μετ' ἐκείνην τὴν τροφήν, ἄλλην προσενέγκασθαι τὴν κοινήν τε καὶ νενομισμένην. οἱ δὲ σπαιρουσῶν ἔτι τοῖς σπλάγχνοις συνήθη τροφὴν ἤδη σπείραντες, καὶ συῶν ἐπαφέντες τῶν θρεμμάτων, ἵν' ἀναγαγεῖν ἐκεῖνο τὸ θέατρον, σάρκας ἰδεῖν, κειμένας συνεσθιομένας καὶ σπαραττομένας, τροφὴν ἀνάμικτον, καὶ τότε πρῶτον ὀφθεῖσαν καὶ ἀκουσθεῖσαν. ἣν θρέψαι μόνον τὸν ἑαυτοῦ δαίμονα, ὁ τούτων δημιουργὸς ἄξιος ἦν. ὡς μὲν οὖν καλῶς ἔθρεψεν ἐκ τοῦ αἵματος ἐκείνου, καὶ τῆς πληγῆς, ἣν κατὰ τῶν σπλάγχνων ἐδέξατο. καὶ ἀναισθήτως ἔχουσι πρὸς τὰ τοιαῦτα οἱ δείλαιοι, ἢ μηδὲ τὸ φρονεῖν ἐκ τῆς δυσσεβείας ἔχοντες. τὸ δέ γε Μάρκου τοῦ θαυμασίου καὶ Ἀρεθουσίου, τίς οὕτως ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης, ὥστε ἀγνοεῖν, καὶ μὴ φθαίειν τῇ διηγήσει τὸν μνημονεύοντα; οὗτος ἤδη καθελών ποτε τὸν ναὸν κατὰ τὴν τότε διδομένην ἐξουσίαν Χριστιανοῖς, δαιμόνων τι καταβαλὼν οἰκητήριον, καὶ πολλοὺς Χριστιανῶν ἀπὸ τῆς Ἑλληνικῆς πλάνης μεταστήσας εἰς σωτηρίαν, οὐχ ἧττον διὰ τὴν τοῦ βίου λαμπρότητα, ἢ τὴν τοῦ λόγου δύναμιν. ἦν μὲν ἐκ πλείονος ἐν ὀργῇ τοῖς Ἀρεθουσίοις, μᾶλλον δὲ Ἀρεθουσίων τοῖς φιλοδαίμοσιν. ἐπεὶ δὲ τὰ πράγματα ἐκινήθη Χριστιανοῖς καὶ τὰ τῶν Ἑλλήνων φλεγμαίνειν ἤρξατο, τὴν τοῦ καιροῦ δυναστείαν οὐκ ἔφυγε. φιλοῦσι γὰρ οἱ δῆμοι καὶ πρὸς τὸ παρὸν κατατάσσουσι τὰς ὀργάς, ὥσπερ πῦρ ἐμφωλεῦον ὕλαις, ἢ ῥεῦμα βίᾳ κρατούμενον, εἰ καιροῦ λάβοιντο, ἀνάπτεσθαί τε καὶ ἀναῤῥήγνυσθαι. ὁρῶν οὖν τὴν τοῦ δήμου κίνησιν ἐπ' αὐτόν, οὐδὲν μέτριον ἢ διανοουμένων, ἢ ἀπειλούντων, τὰ μὲν πρῶτα δρασμὸν βουλεύεται· οὐ δι' ἀνανδρίαν μᾶλλον, ἢ φεύγειν ἐκ πόλεως εἰς πόλιν κελεύουσαν ἐντολήν, καὶ ὑποχωρεῖν τοῖς διώκταις. χρῆναι γὰρ μὴ τὰ ἑαυτῶν σκοπεῖν ὄντας μόνον Χριστιανούς, μηδ' εἰ λίαν εἶεν ἀνδρειότατοί τε καὶ καρτερικώτατοι, ἀλλὰ καὶ τῶν διωκόντων φείδεσθαι, ὥς τό γε εἰς αὐτοὺς ἧκον μέρος μὴ τῷ κινδύνῳ τι συνεισφέρειν τῶν πολεμίων. ἐπεὶ δὲ ᾔσθετο πολλῶν μὲν δι' αὐτὸν ἑλκομένων καὶ ἀγομένων, πολλῶν δὲ τὸν περὶ ψυχῆς τρεχόντων διὰ τὴν τῶν διωκόντων ὠμότητα, οὐκ ἠνέσχετο καθ' ἑαυτὸν ἀσφαλεῖ τοὺς ἄλλους περιορᾶν κινδυνεύοντας. καὶ διὰ τοῦτο βουλεύεται βουλήν, ἀρίστην τε καὶ φιλοσοφωτάτην· ἐκ τῆς φυγῆς ἐπανέρχεται, καὶ τῷ δήμῳ φέρων ἑαυτὸν ἐκδίδωσι χρῆσθαι ὅ,τι βούλοιντο, καὶ πρὸς τὴν τοῦ καιροῦ παρατάσσεται δυσκολίαν. ἐνταῦθα τί μὲν ἀπῆν τῶν δεινῶν, τί δὲ οὐκ ἐπενοεῖτο βαρύτερον. ἄλλων ἄλλο τι συνεισφερόντων πρὸς ἑνὸς κακοῦ συμφωνίαν. οὐδὲ τὸ φιλόσοφον τοῦ ἀνδρὸς αἰδουμένων (μή τι ἄλλο) τῶν ἐγκειμένων. διὰ τοῦτο μὲν οὖν καὶ πλέον ἀγανακτούντων ὅτι περιφρόνησιν αὐτῶν μᾶλλον, ἢ ἀνδρείαν πρὸς τοὺς κινδύνους τὴν τοῦ ἀνδρὸς παρουσίαν ἐνόμιζον. ἤγετο γέρων ἱερεύς, ἀθλητὴς ἐθελοντής, διὰ μέσης τῆς πόλεως, αἰδέσιμος τὴν ἡλικίαν, τὴν πολιτείαν αἰδεσιμώτερος, πᾶσι πλὴν τῶν διωκόντων καὶ τυραννούντων. ἤγετο δὲ ἡλικίᾳ πάσῃ καὶ τύχῃ. οὐ τῶν μέν, τῶν δ' οὔ, πᾶσι δὲ ὁμοίως, ἀνδράσι, γυναιξί, νέοις, πρεσβύταις. ὅσοι τε τὰ πολιτικὰ διῴκουν, καὶ ὅσοι τῶν ἐπ' ἀξίαις. ἀγὼν δὲ ἦν ἅπασιν εἰς ἀλλήλους ὑπερβάλλεσθαι τῇ παρὰ τὸν πρεσβύτην θρασύτητι. καὶ μέρος εὐσεβείας ἅπασιν ἐνομίζετο, ὅτι πλεῖστα ἐκεῖνον δρᾶσαι κακά, καὶ γέροντα νικῆσαι ἀθλητήν, κατὰ πάσης ἀγωνιζόμενον τῆς πόλεως. εἵλκετο διὰ πλατειῶν, ὠθεῖτο καθ' ὑπονόμων, τῶν τειχῶν εἵλκετο, οὐκ ἔστιν ὅ,τι μὴ μέρους τοῦ σώματος, μιγνυμένης τῇ αἰκίᾳ τῆς ὕβρεως, παρὰ τῶν ἀξίως ἂν μυρίους ταῦτα κολαζομένων. παισὶν ἐκ παιδίων μετέωρος ἀνεπέμπετο, γραφίσιν ὑποδεχομένων τὸ γενναῖον σῶμα, καὶ παίγνιον ποιουμένων τὴν τραγῳδίαν. πίσμασι τὰς κνήμας ἐθλίβετο, μέχρις ὀστέων αὐτῶν. λίνοις τὰ ὦτα διετέμνετο. καὶ τούτων τοῖς στεῤῥοτάτοις καὶ λεπτοτάτοις, σαργάνῃ πρὸς ὕψος αἰρόμενος. μέλιτι καὶ γάρῳ διάβροχος, σφηξὶ καὶ μελίτταις ἐξαίνετο μέσης ἡμέρας, ἡλίου τε φλεγμῶδες ἐκλάμποντος. καὶ τοῦ μὲν τὰς σάρκας ἐκτήκοντος,

τοῖς δὲ

τοῖς δὲ θερμότερον ποιοῦντος τὴν βρῶσιν τῶν μαγγανειῶν ἐκείνων σαρκῶν. οὐ γὰρ ἂν ἀθλίων εἴποιμι. ἐνταῦθα δὴ λέγεται, ὡς ἂν καὶ τῆς ἀξιωθείη γραφῆς, ὁ πρεσβύτης ἐκεῖνος καὶ νέος πρὸς τὸν ἀγῶνα, μηδὲ γὰρ ἐν τοῖς δεινοῖς τὸ φαιδρὸν ἀπολιπεῖν, ἀλλὰ καὶ ἐντρυφᾶν ταῖς βασάνοις τὸ μνημονευόμενον ἐκεῖνο, καὶ ᾀδόμενον ἐπειπεῖν, ὡς ἐπαινοίη τὸ σύμβολον. ἑαυτὸν μὲν ὑψηλὸν ὁρῶν, ἐκείνους δὲ ταπεινοὺς καὶ κάτω κειμένους. τοσοῦτος πόρρω τῆς κρατούσης, καὶ οὕτως ἦν πόρρω τοῦ λυπηρῶν, ὡς ἄλλῳ τινὶ ὢν κινδυνεύοντι καὶ πομπεύων· ἀλλ' οὐ συμφορὰν, τὸ πρᾶγμα ποιούμενος. καίτοι ταῦτα τίς οὐκ ἂν ᾐδέσθη τῶν καὶ μετρίως ἐπιεικῶν τι καὶ φιλανθρώπων; ἀλλ' οὐκ ἐκείνους γε εἴασεν ὁ καιρὸς, οὐδὲ ἡ τοῦ βασιλέως ὁρμὴ, δι' ἣν ἀπάνθρωποι ἅπαντες ἦσαν καὶ δῆμοι, καὶ πόλεις, καὶ ἄρχοντες. εἰ καὶ μὴ τοῖς πολλοῖς ἐδόκει τῶν ἀγνοούντων τὸ βάθος, τῆς ἐκείνου κακοηθείας. τοιαῦτα ἡμῖν τὰ τοῦ στερροῦ γέροντος, καὶ ταῦτα ὑπὲρ τίνος, ἵνα μὴ χρυσοῦ οἷα πένηται τοῖς βασιλισταῖς. ὦ καὶ δῆλον, ὥσπερ εὐσεβείας διεκαρτέρει. ἕως μὲν γὰρ βαρυτίμητα τὴν ποιησάμενοι τοῦ ναοῦ τὴν ἀποτίμησιν, τὸ πᾶν ᾔτουν χρυσίον, ἢ αὐτόν γε ἀναδείμασθαι τὸν νεὼν ἐκέλευον, ἐδόκει τὸ ἀδύνατον τοῦ ἐπιτάγματος μᾶλλον, ἢ τὸ εὐσεβὲς τῆς ψυχῆς, ποιεῖν ἐκείνῳ τὴν ἔνστασιν. ἐπεὶ δὲ νικῶν αὐτοὺς κατὰ μέρος, τῇ καρτερίᾳ καὶ ὑφαιρῶν ἀεί τι τῆς ἀποτιμήσεως, τελευταῖον εἰς τοσοῦτον κατέστη, ὡς καὶ μικρὸν εἶναι τὸ αἰτούμενον, καὶ ὅσον ῥᾷστον καταβαλεῖν. ὁ ἴσος ἀγὼν ἦν τοῖς μὲν νικῆσαι περὶ καὶ ὁπωσοῦν λαβεῖν, τῷ δὲ μὴ κρατηθῆναι περὶ μηδὲ ὀβολὸν καταβαλεῖν, καίτοι πολλῶν ὄντων τῶν καὶ πλέον συνεισφέρειν προθυμουμένων· οὐ μόνον δὴ τὴν εὐσέβειαν, ἀλλὰ καὶ διὰ τὸ τοῦ ἀνδρὸς ἀνάγωγον καὶ ἀήττητον, τηνικαῦτα ἐδείχθη σαφῶς οὐ περὶ χρημάτων, ἀλλὰ περὶ εὐσεβοῦς τὸν ἀγῶνα ποιούμενος. ἆρ' οὖν ἐπιεικείας ταῦτα καὶ ἡμερότητος, ἢ τοὐναντίον θράσους καὶ ἀπανθρωπίας ἐστὶ γνωρίσματα, λεγέτωσαν ἡμῖν οἱ τὸν φιλόσοφον βασιλέα θαυμάζοντες. ἐγὼ μὲν οὐδένα τῶν πάντων ἀπορεῖν οἶμαι τῆς δικαίας καὶ ἀληθοῦς ἀποκρίσεως. καὶ οὔπω προστίθημι ἐπὶ τῆς σκευῆς τὸν ἔσχατον, ἵνα καὶ τὸ γένος αὐτῷ παρεκινδύνευσε καὶ διὰ κλοπῆς ὑπεξαγαγόντων, ὃς οὗτος ἦν. ὑπὲρ οὗ τότε μόνον δικαίως ταῦτα ἔπασχε, καὶ πλείω προσπαθεῖν ἄξιος ἦν, ὅτι καὶ κοινὸν τὸ τοῦτο τῇ οἰκουμένῃ πάσῃ σώζων ἐλάνθανε. φασί τοι διὰ ταῦτα καὶ τὸν τηνικαῦτα ὕπαρχον, γενέσθαι γὰρ ἄνδρα Ἕλληνα μὲν τὴν θρησκείαν, τὸν τρόπον δὲ ὑπὲρ Ἕλληνα, καὶ κατὰ τοὺς ἀρίστους τῶν πάλαι καὶ νῦν ἐπαινουμένων, ἐκεῖνο πρὸς τὸν βασιλέα μετὰ παρρησίας εἰπεῖν, οὐ φέροντα τὸ πολυειδὲς τῆς τοῦ ἀνδρὸς αἰκίας καὶ καρτερίας. οὐκ αἰσχυνόμεθα βασιλεῦ πάντας τοσοῦτον ἡττώμενοι τῶν χριστιανῶν, ὥστε μηδὲ γέροντος ἑνὸς κρατεῖν δυνηθῆναι, πάσας διεξελθόντος βασάνους; καὶ οὐ κρατῆσαι μὴ μέγα, τὸ τούτου πῶς οὐ τῆς ἐσχάτης συμφορᾶς ἀπελθεῖν ἡττημένους; καὶ ὡς ἔοικε τοῖς αὐτοῖς ὕπαρχοι μὲν ᾐσχύνοντο, βασιλεῖς δὲ ἐκαλλωπίζοντο. τούτων τί ἂν γένοιτο τοῖς δρῶσι μᾶλλον ἀθλιώτερον, ἢ τοῖς πάσχουσι; τὰ μὲν δὴ τῶν Ἀρεθουσίων τοιαῦτα καὶ οὕτως ἔχοντα, ὡς μικρὰν εἶναι τὴν ἰχέτου καὶ Φαλάριδος ἀπανθρωπίαν πρὸς τὴν ἐκείνων ὠμότητα. μᾶλλον δὲ τοῦ ταῦτα πάσχοντος καὶ κατασκευάζοντος, ἄνπερ τοῦ σώματος τὰ βλαστήματα, καὶ τοῦ πνεύματος τὸ ναυάγιον. τἆλλα δὲ, οἷα καὶ ὅσα, τίς ἂν μοι δοίη τὴν Ἡροδότου καὶ Θουκυδίδου χολήν τε καὶ γλῶτταν, ἵνα καὶ περὶ μέλλοντι χρόνῳ παραδῶ τὴν τοῦ ἀνδρὸς πονηρίαν, καὶ στηλιτεύσω τοῖς μετέπειτα τὰ τοῦ καιροῦ διηγήματα; σιωπήσομαι τὸν Ὀρόντην, καὶ τοὺς νυκτερινοὺς νεκρούς, οὓς περὶ βασιλεῖ συνέκρυπτεν οὗτος στενόμενος νεκύεσι καὶ κτείνων ἀδήλως. ἐνταῦθα γὰρ τὰ τοῦ ἔπους εἰπεῖν οἰκειότερον. παραδραμοῦμαι καὶ τῶν βασιλείων τὰ κοῖλα καὶ ἄπιστα, ὅσα τε ἐν λάκκοις, καὶ φρέασι, καὶ διώρυξι, κακῶν γέμοντα θησαυρῶν τε καὶ μυστηρίων. οὐ μόνον τῶν ἀνατεμνομένων παίδων τε καὶ παρθένων ἐπὶ ψυχαγωγίᾳ καὶ μαντείᾳ, καὶ θυσίαις οὐ νενομισμέναις, ἀλλὰ καὶ τῶν ὑπὲρ εὐσεβείας κινδυνευόντων. συγχωρήσομεν ἐκείνῳ ταῦτα, οἷς καὶ κεῖνος ᾐσχύνετο. τό γε ποιῶν μέτριον. δῆλον δὲ, περὶ κρύπτειν ἐπιχειρεῖν, ὡς οὐκ εὐπρεπὲς ὂν τὸ ἄγος δημοσιεύεσθαι. τὰ μὲν γὰρ Καισαρέων τῶν ἡμετέρων, τούτων δὴ τῶν μεγαλοφυῶν καὶ θερμοτάτων εἰς εὐσέβειαν, οὕτως ὑπ' αὐτοῦ περιεληλαμένων καὶ ὑβρισμένων, ἴσως οὐδὲν ὀνειδίζειν ἄξιον. ἐδόκει γὰρ ὑπὲρ τῆς τύχης ἐνδίκως ἀγανακτεῖν, ἐν καιρῷ τῆς εὐτυχίας ἀτυχούσης, ἐπὶ ταύτην προεληλυθυῖαν τὴν αἴτησιν. ἐπειδὴ δεῖ τι καὶ συγχωρεῖν καὶ ἀδικίᾳ κατακρατούσῃ. ἀλλὰ τίς οὐκ οἶδεν ὡς δῆμος τινὰς ἐπιμανεὶς τοῖς χριστιανοῖς, καὶ πολλὴν μὲν ἐργασαμένων φόνον, πλείω δὲ ἀπειλούντων, ἐπειδὴ μέσην βαδίζων ὁ τοῦ ἔθνους ἄρχων τοῦ καιροῦ καὶ τῶν νόμων; τὰ μὲν δουλεύειν ᾤετο δεῖν, τῶν δὲ μετρίως ᾐσχύνετο. καὶ δὴ τόσον πολλοὺς μὲν ἀπαγαγὼν χριστιανῶν, ὀλίγοις δὲ τῶν Ἑλλήνων ἐπιτιμήσας, εἶτ' ἀναχθεὶς περὶ βασιλέα κατηγορίας γενομένης, ἄτιμος καὶ ἀνάρπαστος περὶ τούτων ἐκείνετο. καὶ τοὺς νόμους προὔβαλλε, καὶ οὓς ἐπιστεύθη δικάζειν. μικροῦ μὲν ἀπήχθη τὴν ἐπὶ θανάτῳ. τέλος δὲ φιλανθρω-

φιλανθρωπίας τυχὼν, ὑβρείαν κατακρίνεται. καὶ ἡ ἀπόφασις, ὡς θαυμασία τε καὶ φιλάνθρωπος. τί δὲ μέγα φησὶν ὁ δίκαιος δικαστὴς, εἰ μὴ διώκων χριστιανοὺς, εἰ γαλιλαίους δέκα, μία χεὶρ ἑλληνικὴ κατεργάσαιτο. ταῦτα οὐκ ὠμότης περιφανής; ταῦτα οὐ πρόσταγμα διωγμοῦ. καὶ πολύ γε τῶν δημοσίᾳ προτεθειμένων ἐναργέστερον καὶ φοβερώτερον; τί γὰρ διαφέρει τοῦ κίνδυνον προλέγεσθαι χριστιανοῖς, τὸ τοῖς διώκουσι χριστιανοὺς ἡδομένους φαίνεσθαι, καὶ μέγα ἔγκλημα κρίνεσθαι τὸ μετριάζειν; τὸ γὰρ βούλεσθαι βασιλέως, ἄγραφός ἐστι νόμος, τῷ κράτει συνηγορούμενος. καὶ πολύ γε τῶν γραπτῶν ἰσχυρότερος, τῶν οὐ δυναστείᾳ βοηθουμένων. οὔ φασιν οἱ τὰ ἐκείνου σέβοντες, καὶ τὸν νέον ἡμῖν θεὸν ἀναπλάττοντες, τὸν ἥδιον καὶ φιλάνθρωπον. ἀλλ' ὅτι μὴ δημοσίᾳ διωκέσθωσαν χριστιανοί, προὔθηκε, καὶ πάντα πασχέτωσαν, ὅσα δοκεῖ τοῖς διώκουσιν, ἀφιέντες αὐτοὺς τῆς τοῦ διώκειν αἰτίας. τὴν ὕδραν δὲ, οὐδεὶς πώποτε εἶπεν ἥμερον, ὅτι ἐννέα κεφαλὰς ἀντὶ μιᾶς προὐβάλλετο, εἴ τι τῷ μύθῳ πιστέον, οὐδὲ τὴν παταρικὴν χίμαιραν, ὅτι τρεῖς καὶ ἀνομοίους, ὥστε εἶναι φοβερωτέραν. ἢ τὸν ἐν ᾅδου κέρβερον, ὅτι τοσαύτας τε καὶ ὁμοίας. ἢ τὸ θαλάττιον κακὸν τὴν σκύλλαν, ὅτι ἐξ ἐν κύκλῳ καὶ φονικωτάτας. καίτοι γε τὰ ἄνω φασὶν αὐτῆς χρηστὰ καὶ φιλάνθρωπα, καὶ εἰς ὄψιν οὐκ ἀηδῆ. κόρη γὰρ ἦν, πρὸς ἡμᾶς τι συγγενὲς ἔχουσα. αἱ δὲ ἀπὸ τούτου κυνώδεις κεφαλαὶ καὶ θηριώδεις, οὐδενὸς ἧσσαν ἀγαθοῦ. τοὺς πλέοντας ὅλους ἁρπάζουσαι, καὶ μηδὲν εἰς κίνδυνον διαφέρουσαι, τῆς ἀντιπόρου χαρύβδεως. ἢ καὶ τῶν τοξοτῶν σὺ, καὶ τῶν σφενδονητῶν τὰ βέλη καὶ τοὺς λίθους καταιτιάσῃ. ἀλλ' οὐ τοὺς σφενδονῶντας, καὶ τοὺς τοξεύοντας. ἔτι δὲ τῶν κυνηγετῶν τοὺς κύνας, καὶ τῶν φαρμακέων τὰ δηλητήρια, καὶ τῶν κερατιζόντων βοῶν, καὶ σπαραττόντων θηρίων τὰ κέρατα καὶ τοὺς ὄνυχας. οἱ δὲ χρώμενοι τούτοις, ἐκτὸς ἵστανται, καὶ οὐ μεθέξουσι τῆς ὧν πλημμελοῦσιν αἰτίας, πολλῆς ταῦτα τῆς ἀλογίας, καὶ ὄντως σοφιστοῦ δεόμενα. τοῖς ἑαυτοῦ συνηγοροῦντος κακοῖς, καὶ τῇ τοῦ λόγου δυνάμει τὸ ἀληθὲς συγκαλύπτοντος. ἀλλ' οὐκ ἔστιν ὅπως ἑαυτὸν ἀποκρύψει, οὐδ' ἂν πολλὰ γράφῃ, καὶ παντοῖος γίνηται ταῖς ἐπινοίαις, οὐδ' εἰ τὴν ἄϊδος κυνέην (ὃ δὴ λέγεται) περιθέμενος ἢ τῷ δακτυλίῳ γύγου, καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος, ἑαυτὸν ἀποκλέψειε. τοὐναντίον μὲν οὖν, ὅσῳ φεύγειν ἐπιχειρεῖ καὶ διαδιδράσκειν, τοσούτῳ πλέον ἁλίσκεται παρὰ ἀληθείᾳ δικαζούσῃ, καὶ τοῖς συνετωτέροις τούτων κριταῖς, ὡς ταῦτα πράττων τε καὶ τολμῶν. οἷς οὐδ' ἂν αὐτὸς ὡς δικαίοις, πραττομένοις ἔχει συνηγορεῖν. οὕτως εὐάλωτός ἐστιν ἡ πονηρία, καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα. καὶ οὐχ ἃ μὲν ἔπραττεν ἤδη, τοιαῦτα καὶ οὕτω πόρρω βασιλικῆς εὐγενείας καὶ μεγαλοπρεπείας. ἃ δὲ διενοεῖτο πράξειν, ἡμερώτερά τε καὶ βασιλικώτερα. πολλοῦ μὲν τ' ἂν ἄξιον ἦν, εἰ μὴ πολὺ τῶν εἰρημένων ἀπανθρωπότερα. ὥσπερ γὰρ δράκοντος κινουμένου, φολίδες αἱ μὲν ἤδη φέρονται, αἱ δὲ ἐπιφέρονται, αἱ δὲ μέλλουσι. τὰς δὲ οὐκ ἔστι μὴ κινηθῆναι, κἂν ἠρεμοῦσαι τέως τυγχάνωσιν. ἢ βούλει δὲ ὥσπερ κεραυνοῦ, τὰ μὲν ἤδη κατέχεται, τὰ δὲ προμελαίνεται, μέχρις ἂν καὶ ταῦτα ἐπέλθῃ τοῦ κακοῦ δυναστεύοντος· οὕτω κἀκείνῳ τὰ μὲν ἤδη παρηνομεῖτο, τὰ δὲ ὑπεγράφετο ταῖς ἐλπίσι, καὶ ταῖς καθ' ἡμῶν ἀπειλαῖς· καὶ ταῦτα οὕτως ἔκτοπα καὶ πόρρω τῶν ἐθισμένων, ὡς τῆς ἐκείνου διανοίας εἶναι μόνης, ταῦτα καὶ βουλεύσασθαι, καὶ εἰς ἔργον ἀγαγεῖν ἐθελῆσαι. καίτοι πολλῶν πρὸ αὐτοῦ γεγενημένων διωκτῶν, καὶ πολεμίων χριστιανοῖς. ἃ γὰρ μήτε διοκλητιανὸς ὁ πρῶτος ἐνυβρίσας χριστιανοῖς, μήτε ὁ τοῦτον ἐκδεξάμενος, καὶ ὑπερβακχῶν μαξιμιανὸς ἐνεθυμήθη πώποτε, μήτε μαξιμῖνος ὁ μετ' ἐκείνους, καὶ ὑπὲρ ἐκείνους διώκτης, οὗ τὰ σύμβολα τῆς ἐπὶ τούτῳ πληγῆς αἱ εἰκόνες φέρουσιν ἔτι δημοσίᾳ προκείμεναι, καὶ στηλιτεύουσαι τὴν λώβην τοῦ σώματος. ταῦτα ἐκεῖνος διενοεῖτο μὲν, ὡς οἱ τῶν ἀπορρήτων ἐκείνου κοινωνοὶ καὶ μάρτυρες. ἐπεσχέθη δὲ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ, καὶ τοῖς χριστιανῶν δάκρυσιν, ἃ πολλὰ δὴ καὶ παρὰ πολλῶν ἐχέθη, τοῦτο μόνον ἐχόντων κατὰ τοῦ διώκτου φάρμακον. ταῦτα δὲ ἦν, πάσης μὲν παρρησίας ἀποστερεῖσθαι χριστιανοὺς, πάντων δὲ αὐτοὺς εἴργεσθαι, συλλόγων, ἀγορῶν, πανηγύρεων, τῶν δικαστηρίων αὐτῶν. μὴ γὰρ ἐξεῖναι κεχρῆσθαι τούτοις, ὅς τις μὴ κατὰ τῶν βωμῶν θυμιάσειεν ἔμπροσθεν κειμένων, καὶ μισθὸν δοίη μέγαν οὕτω καὶ τοσούτου πράγματος. ὦ νόμοι, καὶ νομοθέται, καὶ βασιλεῖς, οἷς καθάπερ οὐρανοῦ κάλλος, καὶ ἡλίου φῶς, καὶ ἀέρος χύσις, ἅπασι πρόκειται φιλανθρωπία κοινή τε καὶ ἄφθονος· οὕτω δὲ καὶ τὴν τῶν νόμων μετουσίαν προθέντες ἅπασιν ἐλευθέροις, ἴσην τε καὶ ὁμότιμον, ἧς ἐκεῖνος ἀποστερήσειν διενοεῖτο χριστιανοὺς, ὡς μήτε τυραννουμένοις δίκας ἐξεῖναι λαβεῖν, μήτε ζημιουμένοις εἰς χρήματα, μήτε ἄλλο τι πάσχουσι μικρὸν ἢ μεῖζον τῶν ἀπηγορευμένων ἐπικουρεῖσθαι τοῖς νόμοις. ἀλλ' ὑβρεῖσθαι τοῖς ἐθέλουσι, καὶ ἀναιρεῖσθαι, καὶ μικροῦ τῶν ἀναπνοῶν εἴργεσθαι. ἃ τοῖς μὲν πάσχουσι, πλείω φιλοτιμίαν εἶχε καὶ τὴν πρὸς θεὸν παρρησίαν, τοῖς δρῶσι δὲ μείζω τὴν

παρανο-

παρανομίαν καὶ ἀδικίαν. καὶ ὁ λόγος ὡς πάνσοφος τοῦ φονευτοῦ, καὶ ἀκρατοῦς, καὶ παρανόμου, καὶ νομοθέτου. ἵν' εἰκαιότερον εἴπω, τοῦ ἐχθροῦ καὶ ἐκδικητοῦ κατὰ τὸ θεῖ ἡμῖν εἰρημένον λόγιον. ἔστι γὰρ τοῦ ἡμετέρου νόμου, μήτε ἀμύνεσθαι, μήτε δικάζεσθαι, μήτε κεκτῆσθαί τι τὴν ἀρχὴν, μήτε νομίζειν ἴδιον. ἀλλὰ ζῆν ἑτέρωθι καὶ τῶν παρόντων καταφρονεῖν ὡς οὐκ ὄντων. κακῷ δὲ μὴ ἀντιδιδόναι, μηδὲ ἐξεῖναι κακὸν, μήτε τὴν παρειὰν παιομένου, φείδεσθαι ταύτης, ἀλλὰ καὶ τὴν ἑτέραν ἐμπαρέχειν, τῷ παίοντι, καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαποδύεσθαι. προσθήσει δὲ ἴσως, ὅτι καὶ ὑπερεύχεσθαι τῶν ἀδικούντων, καὶ τὰ κάλλιστα βούλεσθαι τοῖς διώκουσι. τί δὲ οὐκ ἔμελλε ταῦτα γινώσκειν ἀκριβῶς, ὁ τῶν θείων ὑπαναγνώστης ποτὲ λογίων, καὶ τῆς τοῦ μεγάλου βήματος ἠξιωμένος τιμῆς; καὶ τοὺς μάρτυρας τιμῶν σηκοῖς τε καὶ τεμένεσιν. οὗ δὴ καὶ πρῶτον θαυμάζω, πῶς τούτοις μὲν ἀκριβῶς καθωμίλησεν, ἐκεῖνο δὲ οὐκ ἀπέγνω ἢ ἑκὼν παρέδραμεν. ὅτι καὶ κακὸς κακῶς ἀπολεῖται, πᾶς ὁ τὸ θεῖον ἐξαρνησάμενος. καὶ ὃ τούτου μεῖζόν ἐστι, τοὺς ἐμμένοντας τῇ ὁμολογίᾳ περιωθῶν, καὶ τοιούτοις κακοῖς περιβάλλων, οἷς αὐτὸς περιπεσεῖν ἦν ἄξιος. εἰ μὲν οὖν ὥσπερ ἡμᾶς τοιούτους εἶναι νομοθετεῖ, καὶ τοῖς θεσμοῖς ἐμμένειν, οὕτω δύναται δεῖξαι, καὶ αὐτοὺς δ' ἥκιστον εἶναι προστεταγμένον ἢ τοῖς αὐτοῦ θεοῖς, εἰ καλῶς δὴ τυγχάνοι, καὶ εἰς δύο ταῦτα διῃρημένας τὰς ἕξεις, ἀρετήν τε φημὶ καὶ κακίαν, ἡμῖν μὲν ἀποκεκρίσθαι τὴν κρείττω μοῖραν, αὐτοῖς δὲ ἀπερρίφθαι τὴν χείρονα, λεγέτω δή. καὶ οὕτω νικῶμεν, ὑπὸ μάρτυσι τοῖς ἐχθροῖς, καὶ τοῖς διώκουσι τὰ ἡμέτερα. εἰ δὲ καὶ αὐτοί τοι μεταποιοῦνται καλοκαγαθίας καὶ ἡμερότητος, λόγῳ γοῦν, εἰ καὶ μὴ τοῖς ἔργοις αὐτοῖς, καὶ οὐχ οὕτως εἰσὶν αἴσχιστοι, καὶ σφόδρα ὥστε κακοὶ καὶ πονηροῖς θεοῖς χαίροντες, ὥστε φάσκειν ὥσπερ ἄλλον τινὰ κλῆρον προσήκειν αὐτοῖς τὴν κακίαν, δειξάτωσαν πῶς ἢ ποῦ δίκαιον, ἡμᾶς μὲν καὶ πάσχοντας καρτερεῖν, αὐτοὺς δὲ μηδὲ φειδομένους φείδεσθαι. σκόπει γὰρ οὕτω. τῶν μὲν ἡμῖν γεγονότων καιρῶν τοῦ δύνασθαι, τῶν δὲ ὑμῖν ἄλλοτε ἄλλως τούτων περιτρεχόντων τε καὶ μεθισταμένων, τί δὴ παρὰ χριστιανῶν συνέβη τοῖς ὑμετέροις, οἷα παρ' ὑμῶν πολλάκις χριστιανοῖς; ποίας παρρησίας ὑμᾶς ἀπεστερήσαμεν, τίσι δήμους ἐπανεστήσαμεν ζέοντας, τίσιν ἄρχοντας πλέον τῶν ἐπιτεταγμένων ὑπερτείνοντας, τίσι τὸν περὶ ψυχῆς ἐπηγάγομεν κίνδυνον. μᾶλλον δὲ τίνας ἀρχῶν ἀπηλάσαμεν, καὶ τῶν ἄλλων τιμῶν αἳ τοῖς ἀρίστοις ὀφείλονται. καὶ συνελόντα φάναι, τίνι τοιούτοις ἐπενηνόχαμεν, οἷα πολλὰ παρ' ὑμῶν τὰ μὲν ἐτολμήθη, τὰ δὲ ἠπειλήθη. ἀλλ' οὐδ' ἂν αὐτοὶ φαίητε, οἱ δ' ἡμέρους ἡμῖν ἐγκαλοῦντες, καὶ τὸ φιλάνθρωπον. ἔπειτα πῶς ἐκεῖν' οὐ λογίζῃ ὦ σοφώτατε πάντων καὶ συνετώτατε, ὁ πρὸς τὸ τῆς ἀρετῆς ἄκρον συγκλείων χριστιανοὺς, ὅτι τῆς ἡμετέρας νομοθεσίας τὰ μὲν ἀνάγκην ἔχει τοῖς ἐπιτεταγμένοις, ἃ καὶ μὴ φυλάττουσι κίνδυνος, τὰ δὲ οὐκ ἀνάγκην, αἵρεσιν δὲ, ἃ φυλάττουσι μὲν, τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάττουσι δὲ, μηδ' ὁντινοῦν κίνδυνον. εἰ μὲν γὰρ οἷόν τ' ἦν ἅπαντας ἀρίστους εἶναι, καὶ τοῦ ἄκρου τῆς ἀρετῆς ἐπιβαίνειν, τοῦτ' ἂν ἦν κράτιστόν τε καὶ τελεώτατον. ἐπεὶ δὲ χωρεῖς τὰ θεῖα τῶν ἀνθρωπίνων, καὶ τοῖς μὲν οὐκ ἔστιν ὅτου μὴ τῶν καλῶν μέτεστι, τοῖς δὲ μέγα, κἂν εἰ τοῦ μέσου τυγχάνοιεν, τί σοι βούλεται τὸ ταῦτα νομοθετεῖν, ἃ μὴ τῶν πάντων ἐστὶν, ἢ κατακρίσεως εἶναι τοὺς οὐ φυλάσσοντας. ὥσπερ γὰρ ὅς τις οὐ κολάσεως ἄξιος, ἤδη καὶ ἀναρρήσεως· οὕτως ὅς τις οὐκ ἀναρρήσεως, ἤδη καὶ τιμωρίας. ἀλλ' ἐν ὅροις δεῖ μένοντας τῆς ἡμετέρας φιλοσοφίας, καὶ τῆς ἡμετέρας δυνάμεως, οὕτως ἀπαιτεῖν καὶ τὸ κατορθουμένους. ἀλλ' ἀνακτέον μοι πάλιν τὸν λόγον ἐπὶ τοὺς λόγους. οὐ γὰρ φοβῶ, μὴ τοῦτο πολλάκις ἀνακυκλεῖν, καὶ πειρατέος συνηγορῆσαι τούτοις εἰς δύναμιν. πολλῶν γὰρ καὶ δεινῶν ὄντων, ἐφ' οἷς ἐκεῖνος μισεῖσθαι δίκαιος, οὐκ ἔστιν ὅ, τι μᾶλλον, ἢ δὴ τοῦτο παρανομήσας φαίνεται. καί μοι συναγανακτείτω πᾶς ὅς τις λόγοις χαίρων, καὶ τῇ μοίρᾳ ταύτῃ προσκείμενος, ὧν εἶναι καὶ αὐτὸς οὐκ ἀρνήσομαι. τὰ μὲν γὰρ ἄλλα παρῆκα τοῖς βουλομένοις, πλοῦτον, εὐγένειαν, εὔκλειαν, δυναστείαν, ἃ τῆς κάτω περιφορᾶς ἐστι, καὶ ὀνειρώδους τέρψεως. τοῦ λόγου δὲ περιέχομαι μόνου, καὶ οὐ μέμφομαι χερσαίοις τε πόνοις καὶ θαλασσίοις, οἳ τούτους μοι συνεπόρισαν. ἐμοὶ γοῦν εἴη, καὶ ὅς τις ἐμοὶ φίλος, τὸ τῶν λόγων κράτος. ὃ πρῶτον μετὰ τὸ πρῶτον ἠσπασάμην τε καὶ ἀσπάζομαι, τὰ θεῖα λέγω, καὶ τὰς ἔξω τῶν ὁρωμένων ἐλπίδας. ὥστ' εἰ δ' οἰκείους πιέζεσθαι κατὰ Πίνδαρον, ἀναγκαῖος ὁ περὶ τούτων ἔμοιγε λόγος, καὶ μάλιστα δικαίους ὡς οὐκ οἶδ' εἴ τι τῶν ἄλλων, λόγῳ τὴν ὑπὲρ λόγων χάριν ἀποδιδόναι τοῖς λόγοις. πόθεν οὖν ἐπῆλθέ σοι δὴ ὦ κουφότατε πάντων, καὶ ἀπληστότατε, τὸ λόγων ἀποστερῆσαι χριστιανούς; δὴ γὰρ οὐ τῶν ἀπειλουμένων ἦν, ἀλλὰ τῶν ἤδη νενομοθετημένων. πόθεν, καὶ τίνος αἰτίας; τίς Ἑρμῆς σοι λόγιος, ὡς ἂν αὐτὸς εἴποις. τοῦτ' ἐπὶ νοῦν ἤγαγε. τίνες τελχῖνες πονηροὶ, καὶ βάσκανοι δαίμονες. εἰ βούλει δὲ καὶ τούτου τὴν αἰτίαν, ἡμεῖς παραστήσομεν. ἔδει

γάρ σε

γάρ σε πολλοῖς ἐγχειροῦντα καὶ ἐπαιρόμενον κενοῖς, εἰς τοῦτο ὑπαχθῆναι τελευτῶντα, ὥστε σαυτῷ πρὸ δ' ἄλλων περιπεσεῖν. ἵν' ᾧ μάλιστα φρονεῖν ᾤου δεῖν, τούτῳ μάλιστα λαθῃς οἷα ἀγα-μενῶν, καὶ ἀλογίαν κατακρινόμενος. ἀπόκειται γάρ τι σοι τὸ δόγμα βούλεται, καὶ τίς ὁ λόγος τῆς περὶ λόγων καινοτομίας. καί τι δίκαιον δόξεις λέγειν, αἰτιασόμεθα μὲν, οὐ μεμψόμεθα δέ. καὶ γὰρ ὥσπερ σὺ λόγῳ νικᾶν, οὕτω καὶ νικᾶσθαι κατὰ λόγους μεμαθήκαμεν. ἡμέτεροι φησὶν οἱ λόγοι, καὶ τὸ ἑλληνίζειν, ὧν καὶ τὸ σέβειν θεούς. ὑμῶν δὲ ἡ ἀλογία, καὶ ἡ ἀγροικία. καὶ οὐδὲν ὑπὲρ τὸ, πίστευσον, τῆς ὑμετέρας ἐστὶ σοφίας. οὐκ αὖ μὲν οἶμαι τοῦτο καταγελάσουσιν οἱ περὶ ὑμῖν τὰ Πυθαγόρου φιλοσοφοῦντες, οἷς τὸ, αὐτὸς ἔφα, τὸ πρῶτον καὶ μέγιστόν ἐστι τῶν δογμάτων, καὶ τῶν χρυσῶν ἐπῶν, εἴτ' οὖν μολιβδῶν αἱρετώτερον; μετὰ γὰρ τὴν πρώτην καὶ πολυύμνητον τοῖς τὰ ἐκείνου τελουμένοις φιλοσοφίαν τῆς σιωπῆς, ἵνα λόγου μέτρα σιωπᾶν ἀσκηθῶσιν, αἰ νόμον φασὶν ἦν ὅπου τῶν δογμάτων ἐρωτωμένοις, ἔπειτ' ἀποφαινομένοις, ἀπαιτουμένοις καὶ λόγου, ἄλλο μὲν μηδὲν ἀποκρίνεσθαι, ὅτι δὲ Πυθαγόρᾳ τοῦτ' ἦν δεδογμένον. καὶ λόγον εἶναι τοῦ δόγματος, τὸ παραστῆναι ἐκείνῳ, αὐτὸν ἱκανόν τε καὶ ἀβασάνιστον. εἰς ταυτὸν ἥκοντες τῷ, αὐτὸς ἔφα, τὸ περὶ ἡμῖν, πίστευσον, οἱ ἄλλαις συλλαβαῖς τε καὶ ῥήμασι, καὶ εἰ μὴ τοιῶσδε κωμῳδοῦντες τοῦτο καὶ διασύροντες. βούλεται γὰρ ἡμῖν ὁ λόγος, μὴ ἐξεῖναι διαπιστεῖν, τοῖς ὑπὸ τῶν θεοφόρων ἀνδρῶν εἰρημένοις. ἀλλ' ἀπόδειξιν εἶναι τοῦ λόγου, τὸ ἐκείνων ἀξιόπιστον, πάσης δυνάμεως λογικῆς καὶ ἀντιλογικῆς, ἰσχυρότερον. ἔστω δὲ καὶ τοῦτο τῶν ἡμετέρων ἀνεπηρέαστον. πῶς σὺ δείξεις τοὺς λόγους, σοὶ διαφέροντας; εἰ δὲ καὶ σοὺς, πῶς τούτων ἡμῖν, οὐ κατὰ τὴν σὴν νομοθεσίαν καὶ ἀλογίαν; τίνος γὰρ, τοῦ ἑλληνίζειν εἰσὶν οἱ λόγοι; καὶ τοῦ πῶς λεγομένου, καὶ νοουμένου ἵν' ἐγώ σοι διέλω τὴν τοῦ ὀνόματος δύναμιν, ὦ περὶ τὰς ὁμωνυμίας ἔχων σὺ, καὶ τὰ δηλούμενα ἡ μιᾷ προσηγορίᾳ, διάφορα, ἢ διαφόροις ταυτὰ, ἢ ἑτέροις ἕτερα. ἢ γὰρ τῆς θρησκείας εἶναι τοῦτο φήσεις. ἢ τοῦ ἔθνους δηλαδὴ, καὶ τῶν πρώτων εὑρεσκομένων τῆς διαλέκτου τὴν δύναμιν. εἰ μὲν οὖν τῆς θρησκείας, δεῖξον που, καὶ παρὰ τίσι τῶν ἱερῶν, τὸ ἑλληνίζειν αἴνομεν, ὥσπερ τὸ θύειν ἐστὶν ἰδεῖν, καὶ οἷς τῶν δαιμόνων οὔτε γὰρ πᾶσι τὰ αὐτὰ, οὔτε αἰεὶ τὰ πάντα, οὔτε τὸν αὐτὸν τρόπον, ὡς τοῖς περὶ ὑμᾶς ἱεροφάνταις δοκεῖ, καὶ τοῖς τῶν θυσιῶν τεχνολόγοις. ποῦ δὲ ὥσπερ Λινδίοις εὐσεβὲς, τὸ καταρᾶσθαι περὶ βουθοίνα, καὶ τοῦτο εἶναι θεοῦ τιμὴν, τὰς εἰς αὐτὸν λοιδορίας, ἢ Ταύροις τὸ ξενοκτονεῖν, ἢ Λάκωσι τὸ ἐπιβώμια ξαίνεσθαι, ἢ Φρυξὶ τὸ κατατέμνεσθαι ὑπ' αὐλῶν κηλουμένων, καὶ ἀναφερομένοις ὑφ' ἅλματος, ἢ τὸ παιδεραστεῖν ἄλλοις, ἢ τὸ πορνεύειν ἑτέροις, ἢ ὅσα τῶν ἄλλων μυστηρίων ἐστὶν, ἵνα μὴ λέγω καθ' ἕκαστον. οὕτω δὲ καὶ τὸ ἑλληνίζειν, ἐκείνου τινος θεῶν ἢ δαιμόνων. καί τοι καὶ εἰς τοῦτ' ἦν, οὔπω δῆλοις ὡς ἑλληνικὸν ἦν, ἢ τινι τῶν ὑμῖν θεῶν ἢ δαιμόνων, τὸ κοινὸν ἀπεκρίθη. ὥσπερ καὶ ἄλλα πολλὰ τῶν κοινῶν, θύειν νενομοθέτηται. εἰ δ' οὐχὶ τοῦτο φήσεις, τῆς γλώττης δὲ, ὡς ὑμετέρας μεταποιήσῃ, καὶ διὰ τοῦτο πόρρω θήσεις ἡμᾶς, ὥσπερ κλήρου πατρικοῦ καὶ οὐδὲν ἡμῖν διαφέροντος; πρῶτον μὲν οὐχ ὁρῶ πῶς ὁ λόγος. ἢ πῶς τοῦτο προσάξεις τοῖς δαίμοσιν; οὐ γὰρ εἰ τοὺς αὐτοὺς, τήν τε γλῶσσαν ἑλληνίζοντας, καὶ τὴν θρησκείαν ἤδη συμβέβηκεν εἶναι τῆς θρησκείας τοὺς λόγους. καὶ διὰ τοῦτ' αὖ εἰκότως, ἔξω ταύτης ἡμᾶς γραφείημεν, ἀλλὰ τοῦτό γε καὶ ἀσυλλόγιστον δοκεῖ τοῖς καθ' ὑμᾶς τεχνολόγοις. οὐ γὰρ εἰ περὶ ταυτὸν ἄμφω, καὶ ἀλλήλοις ἄμφω ταυτά. ἢ οὕτω γε εἰ χρυσοχόον τὸν αὐτὸν καὶ ζωγράφον θείημεν, τὸ χρυσοχοεῖν εἰς τὸ ζωγραφεῖν, ἢ τὸ ζωγραφεῖν εἰς τὸ χρυσοχοεῖν περιστήσεται; πολλῶν παῦσαι τῶν λημμάτων. ἔπειτα ἐρήσομαί σε ὦ φιλέλλην σὺ καὶ φιλόλογε. πότερον παντὸς εἶρξας ἡμᾶς τοῦ ἑλληνίζειν, ὃ δὴ καὶ τῶν αἰμύσφ, καὶ πεζῶν τούτων ῥημάτων, ὅ τῆς τῶν πολλῶν χρήσεως; ἢ τοῦ κομψοῦ τε καὶ ὑπεραίροντος, ὃς οὐκ ἄλλοις ἐφικτὸς, ἢ τοῦ κατὰ παίδευσιν διαφέροντος. εἰ μὲν γὰρ τούτου, τίς ἡ ἀποκλήρωσις, τὸ μὲν σμερδαλέον, καὶ τὸ κοναβίζειν, καὶ τὸ μαῶν, καὶ τὸ δήπουθεν, καὶ τὸ ἄττα, καὶ τὸ ἀμωσγέπως, εἶναι τῶν διαλέκτων μόνης, τἄλλα δὲ ἀπερρίφθαι εἰς κυνοσαργὲς ὥσπερ τὸ πάλαι, τοὺς νόθους. εἰ δὲ καὶ τὸ εὐτελὲς τοῦ λόγου, καὶ ἀκαλλώπιστον, ὁμοίως τοῦ ἑλληνίζειν ἐστὶ, τί μὴ, καὶ τούτων ἀποστερεῖτε ἡμᾶς; ἔχει γὰρ οὕτως, ἵνα σοι φιλοσοφήσω περὶ τούτων, ὑψηλότερόν τε καὶ τελεώτερον. εἰ μὲν καὶ θεῖαι τινές εἰσι φωναὶ, φωνητικοῖς ὀργάνοις ἐκπορεύεται, καὶ διὰ τοῦ ἀέρος χεόμεναι, καὶ ἀκοαῖς εἰσρέουσαι, τῶν ἡμετέρων κρείττους καὶ εὐσημότεραι (γελῶ γὰρ ὑμῶν τῶν σεμνῶν, τὸ μῶλυ, καὶ τὸ ξάνθον, καὶ τὴν χαλκίδα) οἱ διὰ γυμνῶν ἀλλήλοις συγγίνονται τῶν ἐννοιῶν καὶ τῶν τυπωμάτων, οὐχ ἡμετέροις λέγειν. τὸ δ' οὖν ἡμέτερον, τοιοῦτόν ἐστιν, οὔτε φωνὴ τῶν εὑρομένων μόνον ἐστὶν, ἀλλὰ πάντων τῶν μετεχόντων. οὔτε τέχνη τις ἢ ἐπιτήδευσις, ἣν αὖ ἐνθυμηθῆναι θελήσῃς, ἀλλ' ὥσπερ οἱ ἁρμονίᾳ τεχνικῇ τε καὶ μουσικῇ, ἄλλος μὲν ἦχος, ἄλλης τινὸς τῶν νευρῶν συντεταγμένος ἢ ἀναιρούμενος, πάντα δὲ τοῦ εἰδότος ἁρμόσαι καὶ τεχνίτου, πρὸς ἕν τι κάλλος ἁρμονίας συντείνοντα,

πέπονται, οὔπω καὶ τούτοις ὁ τεχνίτης καὶ δημιουργὸς λόγος, ἄλλον μὲν ἄλλης τινὸς ἰδέας τε εὑρέσεως, ἢ τέχνης ἀρετὴν προεστήσατο. πάντα δὲ εἰς μέσον προὔθηκε, πᾶσι τοῖς βουλομένοις τοῦ κοινωνικοῦ καὶ φιλανθρώπου, συνδέων τὸν βίον ἡμῖν, καὶ ποιῶν ἡμερώτερον. σὸν δ᾽ ἑλληνίζειν εἰπέ μοι. τί δὲ οὐ φοινίκων τὰ γράμματα, ὡς δέ τινες αἰγυπτίων; ἢ τῶν ἔτι τούτων σοφωτέρων ἑβραίων, οἳ καὶ πλαξὶ θεοχαράκτοις ἐγγεγράφθαι τὸν νόμον πεπιστεύκασι; σὸν δ᾽ ἀττικίζειν; τὸ πεττεύειν δὲ καὶ ἀριθμεῖν καὶ λογίζεσθαι δακτύλοις, μέτρα τε καὶ σταθμά, καὶ ἔτι πρὸ τούτων τὰ τακτικὰ καὶ πολεμικά; τίνος; οὐκ εὐβοέων, εἴπερ εὐβοεὺς ὁ παλαμήδης, ὁ πολλῶν εὑρετής, καὶ διὰ τοῦτο ἐπίφθονος, καὶ μέντοι καὶ δίκας τῆς σοφίας ἀποτιθεὶς, καὶ κατακριθεὶς τοῖς ἐπὶ ἰλίου στρατεύμασι; τί οὖν, ἂν αἰγύπτιοι καὶ φοίνικες, ἑβραῖοί τε οἷς ἡμεῖς συγχρώμεθα πρὸς τὴν ἡμετέραν παίδευσιν; τί δ᾽ ἂν οἱ τὴν νῆσον οἰκοῦντες εὐβοεῖς, μεταποιῶνται τούτων ὡς αὐτοῖς διαφερόντων, κατὰ τὰς σὰς ὑποθέσεις, τί δράσομεν; ἢ τί δικαιολογησόμεθα πρὸς αὐτούς, τοῖς οἰκείοις ἑαλωκότες νόμοις, ἢ πᾶσι στέρεσθαι τούτων ἀνάγκη. καὶ τὸ τοῦ κολοιοῦ πάσχειν γυμνοὺς ἐν τῷ ἀλλοτρίων περιαιρεθέντας πτερῶν καὶ ἀσχήμονας. σὰ τὰ ποιήματα; τί δὲ οὐ τῆς γραὸς μᾶλλον ἐκείνης, ἣ τὸν ὦμον σεισθεῖσα παρά τινος αὐτῇ προσιόντος, ὡς λόγος. εἶτ᾽ ὀνειδίζουσα τοῦ σφοδροῦ τῆς ὁρμῆς, ἔπος ἐφθέγξατο, καὶ τοῦτ᾽ [illegible], καὶ φιλοπονώτερον μετηνεχθὲν, τὴν θαυμασίαν σου ταύτην ἐδημιούργησε ποίησιν; τί τἄλλα. εἰ δὲ τοῖς ὅπλοις μέγα φρονεῖς, παρὰ τίνων σοι τὰ ὅπλα ὦ γενναιότατε, οὐ τῶν κυκλώπων, ἐξ ὧν τὸ χαλκεύειν; εἰ δέ σοι μέγα καὶ μέγιστον τὴν ὀντὴν ἡ ἁλουργίς, ἐξ ἧς σοφὸς σύ, καὶ τῶν τοιούτων νομοθέτης. τί οὐκ ἀποδώσεις ταύτην τυρίοις, ὧν ἡ ποιμενικὴ κύων, ἢ τῇ κόχλῳ βρωθείσῃ, καὶ τὰ χείλη καθαιμαχθείσῃ, τῷ ποιμένι τὸ ἄνθος γνωρίσασα. καὶ διὰ τούτων παραδοῦσα τοῖς βασιλεῦσιν ὑμῖν τὸ [illegible] τοῖς κακοῖς ῥάκεσι καὶ ὑφάσμασιν. γεωργίας δὲ καὶ ναυπηγίας τί φήσομεν, ἂν ἀπελαύνωσιν ἡμᾶς ἀθηναῖοι, τὰς δήμητρας καὶ τοὺς τριπτολέμους διηγούμενοι, καὶ τοὺς δράκοντας. ἔτι δὲ κελεούς τε καὶ ἰκαρίους, καὶ πᾶσαν τὴν περὶ ταῦτα μυθολογίαν, ἣ καὶ μυστηρίοις ὑμῖν αἰσχρῶν ταῦτα ἐποίησε, καὶ νυκτὸς ὄντως ἄξια. βούλει τἄλλα παρείς, ἐπ᾽ αὐτὰ τὰ κεφάλαια ἀναδράμω τῆς σῆς ἐμπληξίας, εἴτουν θεοβλαβείας; αὐτὸ δὲ πόθεν σοι, τὸ μυεῖσθαι καὶ μυεῖν, καὶ τὸ θρησκεύειν, οὐ παρὰ θρᾳκῶν; καὶ ἡ κλῆσις πειθέτω σε. τὸ θύειν δὲ οὐ παρὰ χαλδαίων, εἴτ᾽ οὖν κυπρίων; τὸ ἀστρονομεῖν δὲ οὐ βαβυλώνιον; τὸ δὲ γεωμετρεῖν, οὐκ αἰγύπτιον; τὸ δὲ μαγεύειν, οὐ περσικόν. τὴν δὲ δι᾽ ὀνείρων μαντικήν, τίνων, ἢ τελμισσέων ἀκούεις. τὴν οἰωνιστικὴν δὲ τίνων; οὐκ ἄλλων, ἢ φρυγῶν τῶν πρώτων πολυπραγμονησάντων, ὀρνίθων πτῆσίν τε καὶ κινήματα. καὶ ἵνα μὴ μακρολογῶ, πόθεν σοι τὸ καθ᾽ ἕκαστον. οὐχ ἓν ἐξ ἑκάστων; ὧν πάντων εἰς ταὐτὸν συνελθόντων, ἡ δεισιδαιμονίας συνέστη μυστήριον; τί οὖν δεξόμεθα πάντων ἀποχωρισθέντων, εἰς τοὺς πρώτους τε καὶ τοὺς εὑρομένους, μηδὲν ἔχειν ἴδιον, πλὴν τῆς κακίας, καὶ τῆς περὶ τὸ θεῖον ταύτης καινοτομίας; πρῶτος γὰρ χριστιανῶν, ἐπανάστασιν τοῦ δεσπότου καθάπερ αἱ δοῦλαί ποτε τοῖς σκύθαις, ὥς φασιν, ἐπενόησας, πολλοῦ μὲν τ᾽ ἂν ἄξιον, ἔστι διαλυθῇ τὸ πονηρὸν τοῦτο σύνταγμα, κατὰ τοὺς σοὺς ὅρους καὶ νόμους. ἢ ἡμεῖς ἡμῖν πραγμάτων ἀπηλλαγμένοι. καὶ πάλιν ἐπὶ τῆς ἀρχαίας εὐδαιμονίας, τὴν ῥωμαϊκὴν ἀρχὴν ὁρᾶν ὑπῆρχε, πάσης ἀπηλλαγμένην ἐμφυλίου στάσεως. ὃ τοῦ πρὸς τὸν ἔξωθεν πολέμου, πολλῷ φευκτότερόν ἐστι καὶ φοβερώτερον ὅσῳ τοὺς οἰκείους δαπανᾶν στέρξαι, τῶν ἀλλοτρίων φευκτότερον. εἰ δὲ ταῦτά σοι κακουργίας ἐστὶν ἀκμὴ τὸ λεῖον ἡμφιεσμένης, καὶ τὸ ἔξω βασιλικῆς μεγαλοπρεπείας, φέρε σοι παραστήσω καὶ τὰ τούτων ἔτι κερδαλεώτερα. ὁρῶ γὰρ τὸν ἡμέτερον λόγον μέγαν μὲν ὄντα τοῖς δόγμασι, καὶ ταῖς ἄνωθεν μαρτυρίαις, ὄντα αὐτὸν παλαιόν τε καὶ νέον, παλαιὸν μὲν ταῖς προρρήσεσι, καὶ τοῖς ὑπεσταλμένοις κινήμασι τῆς θεότητος, νέον δὲ τῇ τελευταίᾳ θεοφανείᾳ, καὶ τοῖς ἐκ ταύτης, καὶ περὶ ταύτην θαύμασιν. ἔτι δὲ μείζω καὶ γνωριμώτερον τοῖς παραδιδομένοις καὶ εἰς τόδε τετηρημένοις τύποις τῆς ἐκκλησίας. ἵνα μηδὲ τοῦτο ἀκακούργητον μένῃ, τί μηχανᾶται, καὶ τί ποιεῖ. μιμεῖται ῥαψάκην τὸν ἀσσύριον. ἐστρατήγει δ᾽ ἄρα τοῦ βασιλέως τῶν ἀσσυρίων σενναχηρείμ· οὗτος ἐπὶ τὴν ἰουδαίαν στρατεύσας, καὶ δυνάμει πολλῇ καὶ χειρί, τὰ ἱεροσόλυμα πολιορκῶν, καὶ τῇ πόλει προσκαθεζόμενος, ἐπεὶ μήτε δυνάμει παραστήσασθαι τὴν πόλιν οἷός τε ἦν, μήτε τι τῶν ἔνδον αὐτῷ παρὰ τῶν προδοτῶν ἐνεδίδοτο, λόγοις ἡμεδαποῖς καὶ ὁμογλώσσοις ὑποποιεῖσθαι τὴν πόλιν ἐπιχειρεῖ· ὃ δὴ συνιέντας λέγεται τοὺς πολιορκουμένους, τοῦτο παραιτήσασθαι πρῶτον, συριστὶ λαλεῖσθαι αὐτοῖς, ἀλλὰ μὴ ἑβραϊστί, κελεύοντας ὡς τάχα ἂν εἰς δουλείαν κλαπεῖσι, τοῦ ἡμεδαποῦ τῆς διαλέξεως. τοῦτο δὴ καὶ οὗτος διανοηθεὶς διδασκαλεῖα μὲν ἱδρύσασθαι κατὰ πᾶσαν πόλιν ἕτοιμος ἦν, βήματά τε καὶ προεδρείας καὶ ὑφεδρείας, ἑλληνικῶν τε δογμάτων ἀναγνώσεις καὶ ἀναπτύξεις. ὅσαι τε ἤθη ῥυθμίζουσι,

καὶ ὅσα τῆς ἐπικρύψεως, εὐχῶν τε τῶν ἐν νυκτὶ μέτρα, καὶ τὰς τῶν ἁμαρτανόντων κατὰ μέτρον ἐπιτιμήσεις· προτελείων δὲ καὶ τελειώσεως, καὶ ὅσα τῆς ἡμ[ετέρ]ας σαφῶς ἐστὶν εὐταξίας· ἔτι δὲ καταγώγια πήξασθαι καὶ ξενῶνας, ἁγνευτήριά τε, καὶ παρθενῶνας, καὶ φροντιστήρια, καὶ τὴν εἰς τοὺς δεομένους φιλανθρωπίαν. τήν τε ἄλλην ὁπόση καὶ τὴν ἐν τοῖς ἐπιστολιμαίοις συνθήμασιν, οἷς ἡμεῖς ἐξ ἔθνους εἰς ἔθνος τοὺς χρῄζοντας παραπέμπομεν. ἃ δὴ καὶ μάλιστα τῶν ἡμετέρων εἶχε θαυμάσας. ταῦτα διενοεῖτο μὲν, ὁ καινὸς δογματιστής τε καὶ σοφιστής. μὴ ἐπιτελῆ δὲ γενέσθαι, μηδὲ εἰς ἔργον ἀχθῆναι τοῦ αἰδέσας τὴν ἐγχείρησιν. οὐκ οἶδ' εἴ τε ἡμῖν κέρδος τοῖς ἐκείνου καὶ τῆς ἐκείνου θᾶττον ἀπαλλαγμένοις, εἴ τε τοῦ προελθόντι μέχρι τῆς ἀναιρέσεως. ἐδείχθη γὰρ ἂν τινὰ μὲν ἀνθρώπων κινήματα, τινὰ δὲ πιθήκων μιμήματα. ἐπεὶ καὶ οὗτοι μιμεῖσθαι μὲν λέγονται τὰ ἀνθρωπίνως τινὰ δελεασμάτων, κακοτέχνως προτιθεμένων, τούτοις μέντοι καὶ ἁλίσκονται, μὴ δυνάμενοι ἐξίκεσθαι τοῦ ἡμετέρου σοφοῦ, τῆς μιμήσεως. οὐ γὰρ μᾶλλον ἵππος θεσσαλονικὴ, καὶ γυνὴ λακεδαιμονία, καὶ ἄνδρες οἱ τῆς Ἀρεθούσης πίνοντες, εἶδη δὴ λέγω Σικελιώτας, ὡς ὁ περὶ αὐτῶν χρησμός, τὸ ἔκκειτον τῶν ὁμογενῶν ἔχουσιν, ἢ Χριστιανοῖς τὰ τοιαῦτα ἔθη τε καὶ νομοθετήματα τῶν προειπόντων ἐστὶ, καὶ οἷα ὑπ' οὐδενὸς αὖ ἄλλου ζηλωθέντα τῶν ἡμῖν ἐπιθέσθαι βουλομένων, ἐπειδὴ μὴ ἀνθρωπίναις ἐπινοίαις μᾶλλον, ἢ θείᾳ δυνάμει καὶ χρόνου βεβαιότητι τὰ τοιαῦτα νενίκηκεν. οὐκ ἦν δὲ δὴ, καὶ τὴν θαυμασίαν αὐτῶν ταύτην ἀναπλάσιν ἢ μετάπλασιν ὡς ἐπὶ σκηνῆς διαφῆσαι καὶ καταμαθεῖν, τίς μὲν αὖ ὁ τῆς διδασκαλίας ἦν τρόπος αὐτοῖς, τί δὲ τὸ τέρας τῶν συναλλάσεων. ἵν' ὅ φησι Πλάτων περὶ τῆς ἐν λόγῳ πόλεως, ἴδωμεν κινουμένην αὐτῶν τὴν ἐπίνοιαν. εἰς δύο γὰρ ταῦτα διῃρημένης πάσης φιλοσοφίας, θεωρίαν τε λέγω, καὶ πρᾶξιν, καὶ τῆς μὲν ὑψηλοτέρας οὔσης δυσεπιμάρτου δὲ, τῆς δὲ ταπεινοτέρας, χρησιμωτέρας δὲ, ἡμῖν μὲν ἀμφότερα δι' ἀλλήλων εὐδοκιμεῖ. καὶ γὰρ θεωρίαν συνέκδημον πρὸς τὰ ἐκεῖθεν ποιούμεθα, καὶ πρᾶξιν θεωρίας ἐπίβασιν. οὐδὲ γὰρ οἷόν τε εἶναι σοφίας μετέχειν, μὴ σοφῶς ἀναστραφέντας. τοῖς δὲ οὐκ οἶδα ὁπότερον δόξει γελοιότερόν τε καὶ ἀσθενέστερον· οὐκ ἔχουσιν ἐκ θείας ἐπιπνοίας τὸ δυνατὸν τοῦ συστήματος. ὥσπερ τῶν ῥιζῶν, αἳ καθ' ὕδατος ὀχοῦνται, πῆξιν οὐκ ἔχουσαι. καὶ δὴ βάλλωμεν εἰς τὴν μαγγανείαν αὐτῶν, ἵν' ὀλίγα καὶ αὐτοὶ παίζωμεν αὐτοῖς καὶ μυθολογῶσιν, ὥσπερ ἐν πολλοῖς τῶν δραμάτων συμπαίζομεν. καὶ προστεθείη τοῦ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίουσι συνδακρύειν, τὸ καὶ λυπουμένοις συλλυπεῖν ἀνέχεσθαι, καὶ γέλωτα ἐν δακρύοις ποιεῖται γινώσκουσιν. ἔστω τὸ θέατρον εὐπρεπὲς, ἢ οὐκ οἶδ' ὅτι καὶ καλεῖν δεῖ οἶκον αὐτῶν, κωλυέσθω. οἱ κήρυκες βοάτωσαν, ὁ λαὸς σιγάτω, τὴν προεδρίαν ἐχέτωσαν. εἴ τε οἱ πολιᾷ ἢ χρόνῳ, καὶ τοῦ τῆς πολιτείας ἐξελεγμοῦ προέχοντες, εἴ τε οἱ γένει καὶ δόξῃ περίβλεπτοι, καὶ σοφίᾳ τῇ κάτω τελουμένῃ καὶ πλεῖον ἔχουσι τὸ τερπνὸν τοῦ ἀληθοῦς εὐσεβείας. τοῦτο δὲ ἐπ' αὐτοῖς ποιησόμεθα, τί ποιήσουσι τὰ ἑξῆς; αὐτοὶ τοὺς ἑαυτῶν προέδρους γραψάτωσαν. ἀλουργὶς αὐτοὺς κοσμείτω καὶ ταινία, καὶ στέφανον ἄνθος καὶ κάλλος. ἐπειδὴ πολλαχοῦ τὸ σεμνὸν ἔγνων αὐτοῖς σπουδαζόμενον, καὶ τὸ ὑπὲρ ἄνω τοῦ ἰδιώτου. ὡς τοῦ μὲν κοινοῦ καὶ ταπεινοῦ, τὸ εὐκαταφρόνητον ἔχοντος. τοῦ δὲ ὑπερόγκου καὶ δυσεφίκτου, τὸ ἀξιόπιστον, ἢ καὶ τοῦτο θαυμάχοις ἡμῶν καταβήσονται. μὴ τὸ ἐν τοῖς σχήμασιν ὑψηλὸν μᾶλλον ἢ τὸ ἐν τῷ τρόπῳ, πρέπειν αὐτοῖς ὥσπερ ἡμεῖς νομίζοντες. ἡμῖν γὰρ τοῦ μὲν φαινομένου καὶ γραφομένου, βραχὺς ὁ λόγος. ἡ πλείων δὲ πραγματεία περὶ τὸν ἐντὸς ἄνθρωπον, καὶ μεθέλκειν τὸν θεατὴν ἐπὶ τὸ νοούμενον, οὗ καὶ μᾶλλον τοὺς πολλοὺς ἐκπαιδεύομεν. ταῦτα μὲν δὴ ταύτῃ. τί δὲ τὸ ἐντεῦθεν; προθήσεις αὐτοῖς τοὺς προφήτας δηλαδὴ θεοφόρων λογίων, ὡς αὖ αὐτοὶ φαῖεν, καὶ βίβλους ἀναλέξεις θεολογικάς τε καὶ ἠθικάς. τίνας ταύτας εἰπέ μοι, καὶ τίνων; καλὸν προσάδειν

Hesiodi Theogonia

τὴν Ἡσιόδου θεογονίαν αὐτοῖς, καὶ τοὺς ἐκεῖ πολέμους καὶ κλόνους, τοὺς Τιτᾶνας, τοὺς γίγαντας. μετὰ τῶν φοβερῶν ὀνομάτων τε καὶ πραγμάτων, Κόττος, Βριάρεως, Γύγης, Ἐγκέλαδος. οἱ δρακοντόποδες ὑμῶν, οἱ κεραυνοφόροι θεοί, αἱ τούτοις ἐπαφιέμεναι νῆσοι. βέλη τε ὁμοῦ καὶ τάφοι τοῖς ἀπαντῶσι. τὰ πικρὰ τούτων γεννήματα καὶ προβλήματα, ὕδραι, χίμαιραι, κέρβεροι, γοργόνες, φιλοτιμία παντὸς κακοῦ. ταῦτα ἔστω τῶν Ἡσιόδου καλῶν,

Orphei hymni

τοῖς ἀκροαῖς προτιθέμενα. Ὀρφεὺς προΐτω μετὰ τῆς κιθάρας, καὶ τῆς πάντα ἑλκούσης ᾠδῆς. ἐπιβροντάτω δὲ τὰ μεγάλα καὶ ὑπερφυῆ τῆς θεολογίας ῥήματα καὶ νοήματα· Ζεῦ κύδιστε μέγιστε θεῶν εἰλυμένε κόπρῳ, ὅσσῃ τε μηλείῃ, ὅσσῃ τε ἵππων, ὅσσῃ τε ἡμιόνων. ἵν' ἐντεῦθεν οἶμαι δεχθῇ τὸ ζωογόνον τοῦ θεοῦ καὶ φερέσβιον. οὐ γὰρ ἄλλως οἷόν τε ἦν, καὶ μηδὲ τῆς ἄλλης
» φείδεσθαι μεγαληγορίας. ὡς εἰποῦσα θεὰ, δισσοὺς ἀνεσύρατο μηρούς, ἵνα τελέσῃ τοὺς ἐραστάς. ἃ καὶ νῦν ἔτι τελεῖ τοῖς ἀγάλμασιν. ἐπὶ πᾶσιν ὁ Φάνης τε καὶ ὁ Ἠρικεπαῖος, καὶ ὁ πάντας καταπίνων τοὺς ἄλλους, εἶτ' ἀναδιδοὺς θεοὺς, ἵνα γένηται πατὴρ ἀνδρῶν τε θεῶν τε. ταῦτα

ἐπισκευ-

ἐπεισκυκλείσθω τοῖς θαυμασίοις τῆς θεολογίας ἀκροαταῖς, εἶτ' ὠδινέσθω τούτοις ἀλλη-
γορήματα καὶ τερατεύματα. καὶ τῶν προκειμένων ἐκπιπτέτω ὁ λόγος εἰς βάραθρα χωρεί-
τω καὶ κρημνῶν θεωρίας οὐκ ἐχούσας τὸ στάσιμον. ὃ μικρὸν δὲ προσθήσεις, τὸ μέγα τῶν θεῶν
σου κωμῳδιογράφον, εἴτ' οὖν τραγῳδοποιόν; ἀμφότερα γὰρ εὑρήσεις ἐν τοῖς θαυμασίοις
αὐτῶν ποιήμασι· τὰ μὲν συμφορᾶς, τὰ δὲ γέλωτος ἄξια. καὶ γὰρ ὄντως οὐ μικρᾶς τῆς φρον-
τίδος ἐκεῖνο ἰδεῖν. πῶς μὲν ὠκεανὸς τηθύϊ καταμίγνυται δι' ἥρας, πορνικῶς κοσμουμένης.
ἐπειδὴ κίνδυνος περὶ παντὶ χρόνον τινὰ σωφρονοῦν τὴν αὐτὴν, εἴτ' οὖν τὴν ξηρὰν φύσιν, καὶ
τὴν ὑγρὰν καταλλάττεσθαι δέοι μὴ περὶ πλεονασμῷ τοῦ ἑτέρου τὸ πᾶν συγχυθῇ, εἴτε πάλ-
λαι τοιοῦτον ὠδινοῦσα ἀτοπώτερον. τίς δὲ ἡ θαυμασία μίξις τοῦ νεφεληγερέτου, καὶ τῆς σεμνῆς
ἥρας, ἡνίκα ἀγρυπνεῖν αὐτὸν ἀναπεισθῇ μεσούσης ἡμέρας. καὶ οἱ κρῖνοι μηδὲ τὴν μητρῴαν
αὐτὸν κολακεύωσι, λωτὸν ὑποστρωννυμένων ἕρποντα, καὶ κρόκοι ἀναφύονται ἐκ τῆς γῆς
καὶ ὑάκινθον. πόθεν ταῦτα, καὶ τίς τούτων ὁ λόγος; πῶς δὲ ἡ αὐτὴ καθ' ὑμᾶς ἥρα τοῦ με-
γάλου διὸς ἀδελφὴ καὶ ὁμόζυγος, νῦν μὲν ἐν αἰθέρι καὶ νεφέλαις κρεμαμένη, καὶ σιδη-
ροῖς ἄκμοσι καθελκομένη, καὶ χρυσοῖς τιμωμένη χειροπέδαις. ἡ λευκώλενός τε καὶ ῥοδο-
δάκτυλος, ὡς μηδὲ τοῖς πείθεσθαι βουλομένοις τῶν θεῶν ἀκινδύνως εἶναι τὴν φιλαν-
θρωπίαν. νῦν δὲ ὅλον τὸν τῶν ἐρώτων κεστὸν ἀφ' ἑαυτῆς ἕλκουσα, διὰ τὴν πρὸς τὸν διὰ κα-
λλωπισμὸν τὴν, ὡς καὶ πάντας ὁμολογεῖσθαι αὐτῷ τῶν ἤδη πάσους ἔρωτας, οἷς τούτου
παραπολὺ λειπομένων. τίς δὲ ὁ φόβος μὲν τῶν θεῶν κινουμένων ὑπὲρ τῆς λακαίνης μοιχά-
δος, καὶ οὐρανοῦ σαλπίζοντος, ἀναρραγῇ μὲν γῆς ἕδρα, μεθαρμοσθῇ δὲ θάλασσα, δημο-
σιευθῇ δὲ ᾅδου βασίλεια, καὶ εἰς τοὐμφανὲς ἔλθῃ τὰ τῷ μακρῷ χρόνῳ κεκαλυμμένα. τίς
δὲ ἡ τῶν κυανέων ὀφρύων ἐπίνευσις, καὶ ἡ τῶν ἀμβροσίων τριχῶν συγκίνησις, ὅλον ὄλυμπον
κατασείουσα; τίς δὲ ὁ πτερωσκόμενος ἄρης, ἢ χαλκῷ κεράμῳ κατακλειόμενος, ὁ τῆς χρυ-
σῆς ἀφροδίτης ἀφυὴς ἐραστὴς καὶ μοιχὸς ἀπερίσκεπτος, καὶ τῷ ἀμφιγυήεντι κρατούμενος,
καὶ θέατρον τῶν θεῶν ἐφ' ἑαυτῷ συλλέγων ἀσχημονοῦντι, καὶ μικροῖς χρήμασιν ἀφιέμενος;
ταῦτα πάντα καὶ πλείω τούτων οὕτω σοφῶς καὶ πολυτρόπως συγκείμενα, καὶ παντά-
πασιν ἔξω τοῦ νενομισμένου ὄντα, τίς οὕτως ἡμῖν ὑψηλός τε καὶ μέγας, καὶ ὄντως δὴ μῆτιν ἀτά-
λαντος, ὡς εἰς τὸ εὐπρεπὲς ἀναγαγεῖν λόγοις θεωρίας ὑπερνεφοῦς, καὶ ὑπὲρ τὰ ἡμέτερα
μέτρα τῆς καταλήψεως; καί τοι ταῦτα εἰ μὲν ἀληθῆ, μήτ' αἰσχυνέσθωσαν, καὶ φιλοτι-
μείσθωσαν· ἢ ὅτι μὴ αἰσχρά, πειθέτωσαν. καὶ τί δεῖ καταφεύγειν αὐτοὺς ἐπὶ τὸν μῦθον, ὡς τῆς
ἀσχημοσύνης συγκάλυμμα. οὐ γὰρ θαρρούντων, ἀλλ' ἀπαγορευόντων ἐστὶν ὁ μῦθος. εἰ δὲ
ψευδῆ, πρῶτον μὲν ἐνδεικνύτωσαν ἡμῖν τοὺς γυμνοὺς θεολόγους, ἵν' ᾖ πρὸς ἐκείνους ἡμῖν
ὁ λόγος. ἔπειτα λεγέτωσαν πῶς οὐκ εὔηθες, οἷς ὡς μυθικοῖς αἰσχύνονται, τούτοις ὡς ἱερ-
οῖς καλλωπίζεσθαι· καὶ ἃ τῶν πολλῶν λανθάνειν δυνατὸν ἦν (οὐ γὰρ πάντων ἡ παίδευσις)
ταῦτα δημοσιεύειν τοῖς ἁπάντων ὄψεσιν ἐν πλάσμασί τε καὶ σχήμασι, καὶ τὸ δεινότατον
μὲν ὅσης τῆς εἰς χρήματα ζημίας, ἔν τε ναοῖς, καὶ βωμοῖς, καὶ ἱδρύμασι, καὶ ἀναθήμασι, καὶ
θυσίαις πολυταλάντοις, καὶ ἀζημίως ἐὸν εὐσεβεῖν, ἀσεβεῖν αἱρεῖσθαι μετὰ ζημίας. εἰ δὲ ταῦ-
τα μὲν ποιητῶν εἶναι φήσουσι πλάσματα καὶ ληρήματα, δύο τούτοις προσχρωμένων εἰς τὸ
τερπνότερον τῆς κρίσεως, μέτρῳ καὶ μύθῳ, καὶ δι' ἃ καταγλυκαινόντων τούτοις τὴν ἀκοήν, αὐ-
τοῖς δὲ ἀπορρητότερον εἶναι καὶ βαθύτερον τὸν ἀνακείμενον τούτοις νοῦν καὶ διαβαίνει τοὺς ὀλί-
γους τῶν σοφωτέρων, σκοπεῖτε τε ὡς ἁπλῶς καὶ δικαίως περὶ τούτων ἐγὼ διαλέξομαι.
πρῶτον μὲν πῶς ἐπαινοῦσι τοὺς ὧν σέβουσιν ὑβριστάς, καὶ μικροῦ τῶν ἰσοθέων ἀξιοῦσι τι-
μῶν. οἷς τὸ μὴ δοῦναι δίκην τῆς ἀσεβείας, κέρδος αὔταρκες ἦν. εἰ γὰρ τοῖς εἰς οἷα θεὸν αὐ-
τῶν καὶ ἰδίᾳ καὶ μικρὰ βλασφημήσασι θάνατος ἡ ζημία παρὰ τῶν νόμων, τί πάσχειν
ἔδει τοὺς πᾶσιν ὁμοῦ καὶ δημοσίᾳ καὶ ἤδη τοῖς αἰσχίστοις ἐπαφιέντας τὴν κρίσιν, καὶ μα-
κρῷ χρόνῳ παραδόντας τὴν κωμῳδίαν. ἔπειτα καὶ τοῦτο λογίζεσθαι ἄξιον. εἰσὶ καὶ παρ'
ἡμῖν κατ' ἐπίκρυψιν λόγοι τινὲς οὐκ ἀρνήσομαι. ἀλλὰ τίς ὁ τρόπος αὐτῶν τῆς διπλόης,
καὶ τίς ἡ δύναμις; οὔτε τὸ φαινόμενον ἀπρεπὲς, καὶ τὸ κρυπτόμενον θαυμάσιον, καὶ ὑπὲρ
λαμπρὸν τοῖς εἰς τὸ βάθος εἰσαγομένοις. καὶ ὥσπερ τι σῶμα καλὸν καὶ ἀπρόσιτον, οὐ φαύ-
λῃ τῇ ἐσθῆτι περικαλύπτεται. δεῖ γὰρ ὡς γοῦν ἔμοιγε δοκεῖ, τῶν θείων μηδὲ τὰς ἐνδείξεις,
καὶ τὰς ἐμφάσεις ἀπρεπεῖς εἶναι καὶ ἀναξίας τῶν δηλουμένων, μηδὲ οἵας ἂν καὶ ἄνθρωποι λο-
γομένοις περὶ αὐτῶν δυσχεραίνοιεν. ἀλλ' ἢ τὸ κάλλιστον πάντως ἔχειν, ἢ μὴ τὸ αἴσχιστον. ἵνα τὸ
μὲν τοὺς σοφωτέρους εὐφραίνῃ, τὸ δὲ μὴ βλάπτῃ τοὺς πλείονας. ὑμῖν δὲ οὔτε τὸ νοούμενον ἀξιό-
πιστον, καὶ τὸ προβεβλημένον ὀλέθριον. καὶ τίς ἡ σύνεσις διὰ βορβόρου πρὸς πόλιν ἄγειν, ἢ
διὰ προβόλων τε καὶ ὑφάλων, εἰς ὅρμον ἐπείγεσθαι. τί γὰρ ἐκ τούτου συμβαίνει; καὶ τί
τῶν λόγων ἐστὶ πέρας, σὺ μὲν ληρήσεις καὶ ἀλληγορήσεις τὰς σὰς ἀτυχίας ἢ φαντασίας. ὁ

Δία

δὲ πεισόμενος οὐκ ἔσται. τὸ γὰρ ὁρώμενον, πιθανώτερον. οὔτε οὖν τὸ ἀκροατὴν ἄπιστος, ὁ τὸν θεατὴν ἀπώλεσας μετὰ τοῦ φαινομένου γενόμενον· ἀλλ' ὁ μὲν θεωρητικὸς τρόπος αὐτοῖς, τοιοῦτος, καὶ οὕτω πόῤῥω τῆς ἀποδείξεως, ὡς πάντα πρότερον εἶναι συμβαλεῖν ἀλλήλοις. καὶ εἰς ἓν ἀγαγεῖν τὰ μακρὰν κεχωρισμένα, ἢ ταῦτα συνθεῖναι καὶ συναρμόσαι, καὶ τοῦ αὐτοῦ εἴδους εἶναι φῆσαι, τὰ μυθολογήματα λέγω καὶ τὰ σκέμματα. τί δ' αὖ εἴποις περὶ τοῦ ἠθικοῦ μέρους αὐτῶν πόθεν καὶ ἐκ τίνων ὁρμώμενοι καὶ τίσι χρώμενοι λόγοις πλάττειν αὐτοὺς εἰς ἀρετὴν διωκίζονται, καὶ πλείστου ποιεῖν ἀξιοῦσι τοῖς παραινέσεσιν; ἄριστον ὁμόνοια, καὶ τὸ συμφρονεῖν ἀλλήλοις πόλεις, καὶ δήμους, καὶ οἰκίας, καὶ τὸν καθ' ἕκαστον, νόμῳ καὶ τάξει φύσεως ἑπομένους. ἢ πάντα διαλέγει καὶ συνέδησε, καὶ τὸ πᾶν τοῦτο κόσμον εἶα ἐκ πλειόνων συνέπηξε. τίσι τοῦτο διδάσκουσιν ὑποδείγμασι; ἆρα τοὺς πολέμους λέγοντες τῶν θεῶν, καὶ τὰς στάσεις, καὶ τὰς ἐπαναστάσεις, καὶ τῶν κακῶν τὸ πλῆθος, ὧν αὐτοί τε ἔσχον, καὶ ἀλλήλοις παρέσχον. ἰδίᾳ τε καὶ δημοσίᾳ, ὧν μικροῦ πᾶσαι πεπλήρωνται συγγραφαί τε καὶ ποιήσεις; θᾶττον μέντ' ἂν ἐξ εἰρηνικῶν μαχίμους, καὶ παραπλῆγας ἀντὶ σοφῶν, ἢ τοιῶνδε τινὰς μετρίους, καὶ σώφρονας ἀντὶ θρασέων καὶ ἀπαιδεύτων, τοῖς τοιούτοις ἂν ἐργάσαιντο παραδείγμασιν. οὓς γὰρ καὶ δίχα τῶν εἰς τὸ χεῖρον ἑλκόντων χαλεπὸν μεταστῆσαι κακίας, καὶ πρὸς τὴν κρείττω μεταθεῖναι μοῖραν ἀπὸ τῆς χείρονος, τούτους τίς ἂν πείσειεν ἐμμέτρους εἶναι καὶ καθεκτοὺς, θεοῖς χρωμένους ὁδηγοῖς τῶν παθῶν καὶ προστάταις. εἴθε δὲ κακὸν εἶναι, καὶ τίμιον, ὡς θεῶν τινα προϊσταμένοις. οὐ τὸ πάθος δεῖ, βωμοῖς τε καὶ θυσίαις τιμώμενον, καὶ παῤῥησίᾳ ἐλαφρὸς ἔννομον. τοῦτο γὰρ τὸ δεινότατον, ὅτι ἃ τοῖς νόμοις κολάζεται, ταῦτα ὡς θεῖα σέβεται. τοσαύτη τις ὑμῖν τῆς ἀδικίας ἡ περιουσία. δεύτερον αὐτοῖς προκείσθω, γονέων αἰδὼς καὶ τιμή. καὶ τὸ τὴν πρώτην αἰτίαν τοῦ εἶναι σέβειν μετὰ τὴν πρώτην. τοῦτο καὶ λόγος εἰσηγείσθω, καὶ θεολογία παιδευέτω. πῶς δὲ οὐ πείσει Κρόνος οὐρανὸν ἐκτεμὼν, ἵν' ἄρχων ᾖ θεῶν, καὶ διὰ κύμασιν ἀποτελέσαι θεὸν, ἀφροῦ γέννημα. καὶ Κρόνῳ Ζεὺς ἐπανιστάμενος, κατὰ μίμησιν τοῦ πατρὸς ὁ θηλυκὸς λίθος, καὶ πικρὸς τυραννοκτόνος. εἰ τί τι ἄλλο τοιοῦτον αὐτοῖς, ὡς τιμὴν τῶν γενησαμένων αἱ βίβλοι φέρουσι. τρίτον αὐτοῖς ἔστω χρημάτων ὑπεροψία, καὶ τὸ μὴ πανταχόθεν κερδαίνειν, μηδὲ τοῦ δυστυχεῖν ἀῤῥαβῶνα, τὸ κακῶς κτᾶσθαι λαμβάνειν. πῶς οὖν ὁ κερδῷος αὐτοῖς στήσεται, καὶ τὸ σωκίλλιον προβληθήσεται, καὶ ἡ κλεπτικὴ δύναμις τοῦ θεοῦ τιμηθήσεται, καὶ τὸ αὐθάδε χαλκοῦ, φοῖβον μὴ μαντεύεσθαι, μηδὲ εἶναί τι τοῦ ὀβολοῦ τιμιώτερον. ταῦτα γὰρ αὐτῶν τὰ σεμνὰ καὶ σεβάσμια. τί ἔτι; σωφροσύνην διδασκέτωσαν, ἐγκράτειαν εἰσηγείσθωσαν. καὶ ὁ πείθων ἐγγὺς, πάντα γινόμενος διὰ τὰς γυναῖκας ὁ Ζεὺς, καὶ Φρυξὶ μειρακίσκοις ἀετὸς ἐραστὴς ὁ φίλτατος. ἵν' ὡς ἥδιστα συμποσιάζοιεν οἱ θεοὶ, τοῖς Διὸς οἰνοχοούμενοι παιδικοῖς, καὶ ταῖς πεντήκοντα Θεστίου θυγατράσιν ἐναθλεύων Ἡρακλῆς, ἐν μιᾷ νυκτὶ ὁ τρισέσπερος, καὶ τρισκαιδέκατον ἆθλον τοῦτον ἐπιτελέσας, οὐκ οἶδ' ὅπως τοῖς ἄλλοις γε οὐ συναριθμούμενον, ἐπιτηδευέτω τὸν θυμὸν Ἄρης, μέθην Διόνυσος, μισοξενίαν Ἄρτεμις, ἀπάτην ὁ Λοξίας αὐτῶν χρησμολόγος, γέλωτος ἀμετρίαν ὁ καταχωλεύων θεὸς τῶν θεῶν λυπουμένων, καὶ ἀραιαῖς ταῖς κνήμαις ἐπιῤῥωννύμενος. γαστριμαργίαν ὁ Ζεὺς ἐπὶ δαῖτα λιπαρὰν τρέχων μετ' ἀμύμονας Αἰθιοπῆας, σὺν τοῖς λοιποῖς δαίμοσιν. ὁ Βουθοίνας, τὸν γεωργὸν τυραννήσας, καὶ τὸν ἀρότην βοῦν λαφύξας, καὶ τὴν κλῆσιν λαβὼν ἐκ τῆς πράξεως, καὶ πάντες ταῖς κνίσσαις, καὶ ταῖς λοιβαῖς ἐπιτρέχοντες. καίτοι πῶς ταῦτα τῶν ἡμετέρων ἐγγὺς, οἷς ὅρος μὲν φιλίας αὐτὸς ἕκαστος. καὶ τὸ τὰ αὐτὰ βούλεσθαι τοῖς πλησίον ἃ καὶ σφίσιν αὐτοῖς. ἔγκλημα δὲ οὐ μόνον τὸ γενέσθαι κακὸν, ἀλλὰ καὶ τὸ μελλῆσαι μικροῦ καὶ τῆς ὁρμῆς κολαζομένης, ὡς πράξεως. οἷς σωφροσύνη μὲν οὕτω σπουδάζεται, ὥστε καὶ ὀφθαλμὸς ἀναστέλλεται. χεὶρ δὲ φονικὴ τοσοῦτον πόῤῥωθεν εἴργεται, ὥστε καὶ θυμὸς σωφρονίζεται. ἐπιορκεῖν δὲ χωρῖσαι ἢ ὀμόσαι οὕτω δεινὸν καὶ ὑπέρογκον, ὥστε καὶ τὸν ὅρκον μόνοις ἡμῖν τυγχάνειν ἀπώμοτον. χρήματα δὲ τοῖς μὲν πολλοῖς οὐδ' ἐγένετο, πολλοῖς δὲ διὰ τοῦτ' αὖ ἦν ἴδια πλείω καὶ μόνον, ἵνα πλειόνων ὑπερίδωσι, τὸ μηδὲν ἔχειν ἀντὶ παντὸς πλούτου φιλοσοφοῦντες. γαστέρα δὲ τοῖς πολλοῖς ἀποξηράναντες ὡς πικρὰν δέσποιναν καὶ ἀπόπληστον, καὶ πάντων κακῶν μητέρα, οὐ μέγα φῆσαι ὅτι μηδὲ σαρκὸς εἶναι βιάζονται, ὑπὲρ ἀθανασίας τὸ θνητὸν ἀναλίσκοντες. καὶ νόμος ὡς αὐτοῖς ἀρετῆς, τὸ μηδὲ τῶν μικρῶν ἡττᾶσθαι καὶ τοῖς παροργωμένοις. τὸ γὰρ κάλλιστον, ὅτι τῶν ἄλλων τὰ τέλη τιμωρουμένων κατὰ τοὺς νόμους, ἡμεῖς καὶ τὰς ἀρχὰς κολάζομεν ὥσπερ τι σπέρμα πονηρὸν καὶ δυσκάθεκτον πόῤῥωθεν ἀναστέλλοντες. ποῦ δὲ, καὶ παρὰ τίσιν ἀνθρώπων εἰπέ μοι, τὸ λοιδορουμένους εὐφημεῖν, βλασφημουμένους παρακαλεῖν, ὡς οὐ τῆς κατηγορίας βλαπτούσης μᾶλλον, ἢ τῆς ἀληθείας, διωκομένους ὑποχωρεῖν, γυμνουμένους

προσυπη-

προσωπεκδύεσθαι, καὶ ταρωμένους ὑπερδείχεσθαι τῶν ἀφορμῶν, ἐν λόγῳ χρηστότητι νικῆν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες. καὶ τὰ κατ' εὐκαιρίαν δείκνυμεν κολάζειν αὐτοῖς τοῖς τοῦ πλάσματος τραυματίσαι. πρὸς δ' φθάσαι πρὸς τὰ μέτρα τῆς ἡμετέρας ἀρετῆς καὶ παιδεύσεως, οἷς καὶ τὸ μὴ προσβαίνειν τῷ καλῷ, μειονεκτεῖν αὐτῇ παλαιῶν ἀεὶ γίνεσθαι, ἀλλ' οὐ ταῦτα μένειν κακία δοκεῖ. στρόμβου τὸ πάθος περιτρέχοντος, οὐ προϊόντος, καὶ στάσιμον κινουμένου, ἵν' οὕτως εἴπω τῇ βίᾳ τῆς μάστιγος. καὶ δεῖ τὸ μὲν ἡμῖν ἐξιοῦσθαι τὴν κακίαν, τοῦ δὲ ἔχεσθαι, τοῦ δὲ ἐφίεσθαι, μέχρι τοῦ τέλους καὶ τῆς θεώσεως, ἐφ' ἣν γεγόναμεν, καὶ πρὸς ἣν ἐπειγόμεθα, οἵ γε διαβατικοὶ τὴν διάνοιαν, καί τι τῆς τοῦ Θεοῦ μεγαλονοίας ἐλπίζοντες ἀξίους.

ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ΣΤΗΛΙΤΕΥΤΙΚὸς δεύτερος.

Οὗτος μὲν δὴ τῶν ἡμετέρων λόγων ὁ πρῶτος ἆθλος ἐκτετέλεσται, καὶ διήνυσται. οὐ γὰρ ἐπιδείξασθαι ἱκανῶς τὴν τοῦ ἀνδρὸς κακόνοιαν, ἐν οἷς ἐθρασύνετο καθ' ἡμῶν, καὶ οἷς ἔμελλεν ἀεί τι τῶν πρόσθεν ὠδίνων βαρύτερον. νῦν αὐτὲ σκοπὸν ἄλλον ὃν οὐκ οἶδ' εἴ τις βέβληκεν, ἤδη τῷ λόγῳ προστησόμεθα, Θεῷ τε ἱερώτερον, καὶ ἡμῖν ἡδίω, καὶ τοῖς ἔπειτα χρησιμώτερον. τοῖς εἰρημένοις προσθεῖναι τὰ δικαιώματα τοῦ Θεοῦ σαφηνίσαι, καὶ οἷς αὐτῇ ταλαντεύεται κρίσει. τοῖς μὲν αὐτόθεν ἅπασι τοῖσι, τοῖς δὲ καὶ μικρὸν ὕστερον, ὅπως ἂν οἶμαι τῷ τεχνίτῃ λόγῳ δοκῇ, καὶ ταμίᾳ τῶν ἡμετέρων. ὃς οἶδε συμφορᾷ μὲν ὠδικώτερον ἰλέω, θράσος δὲ ἀτιμίᾳ σωφρονίζειν καὶ μάστιξιν, οἷς οὐδὲ ἐπίσταται μέτροις παιδεύσεως. νόσους μὲν δὴ τῶν ἀσεβῶν οἱ δίκης καὶ ῥήξεις οὐκ ἀφανεῖς, καὶ πολυτρόπους ἄλλας πληγὰς καὶ μάστιγας, οἷς τετολμήκασι παραπλησίως, καὶ θανάτους οὐ κατὰ τὸ εἰωθὸς χωρίζοντας, καὶ τὰς ἐν αὐτοῖς τοῖς δεινοῖς ἐξαγορεύσεις, καὶ ἀνονήτους μεταμελείας, ταῖς τε δι' ὀνειράτων παιδεύσεις, καὶ τὰ καθ' ὕπαρ φαντάσματα, τίς ἂν ἀξίως ἐκτραγῳδήσειεν; ὅσα τε ἢ περὶ τοὺς θείους οἴκους παρανομήσασιν, ἢ περὶ τὰς ἱερὰς τραπέζας ἐξυβρίσασιν, ἢ περὶ τοὺς μυστικοὺς κρατῆρας μανεῖσιν, ἢ τῶν σωμάτων ἡμῶν ἀΐδιον ἐμφορουμένοις, ἢ τἄλλα πάντα ὅσα τετολμήκασι. καταιδουμένοις αὐτοῖς ἀπήντησε, τὰ τοῦ Θεοῦ κατὰ τῶν τοιούτων ὀργῆς ἐναργῆ καὶ φανερὰ γνωρίσματα. ταῦτα μὲν οὖν ἑκὼν ὑπερβήσομαι, οὐκ ἀπιστῶν τοῖς ὁρωμένοις, καὶ λεγομένοις, οὐδὲ αὐτομάτῳ τινὶ φορᾷ, καὶ συντυχίᾳ διδοὺς τὰ συμβαίνοντα, κατὰ τοὺς εἰκῇ τὰ τοιαῦτα ὑπολαμβάνοντας. ἀλλ' ἵνα μὴ περὶ τὰ μικρὰ διατρίβειν δόξω παρεὶς τὰ μείζω καὶ ὀνομαστότερα, ὃ δ' οὖν περιβόητον πᾶσι θαῦμα, καὶ οὐδὲ τοῖς ἀθέοις αὐτοῖς ἀπιστούμενον λέξων ἔρχομαι. ἐμαίνετο καθ' ἡμῶν ἀεί τι πλέον ὥσπερ κύμασιν ἐπεγείρων κύματα, ὁ καθ' ἑαυτοῦ πρῶτος μανεὶς καὶ πατήσας τὰ ἅγια, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας, Ἱεροβοὰμ εἰπεῖν οἰκειότερον, ἢ Ἀχαὰβ τὸν Ἰσραηλίτην τῶν παρανομωτάτους, ἢ Φαραὼ τὸν Αἰγύπτιον, ἢ Ναβουχοδονόσορ τὸν Ἀσσύριον, ἢ τὰ πάντα συνελόντες, οἷα καὶ τὸν αὐτὸν ὀνομάσομεν. ἐπεὶ καὶ τὰς πάντων κακίας εἰς ἑαυτὸν συλλεξάμενος φαίνεται. Ἱεροβοὰμ τὴν ἀποστασίαν, Ἀχαὰβ τὴν μιαιφονίαν, Φαραὼ τὴν σκληρότητα, Ναβουχοδονόσορ τὴν ἱεροσυλίαν, πάντων ὁμοῦ τὴν ἀσέβειαν. ἐπεὶ δὲ πάντα διεξελθὼν τἄλλα, καὶ πᾶν εἶδος τῆς καθ' ἡμῶν τυραννίδος, ὡς μικρόν τι, καὶ ἀγεννὲς ἀτιμάσας, οὐ γὰρ ἐγένετο πολυμηχανωτέρα φύσις ἐκείνης εἰς κακῶν εὕρεσιν καὶ ἐπίνοιαν, τέλος ἐπαφῆκε καὶ τὸ Ἰουδαίων φῦλον ἡμῖν τὴν παλαιάν τε αὐτῶν κουφότητα, καὶ τὸ καθ' ἡμῶν ἄνωθεν ὑποσμυχόμενον ἐν αὐτοῖς μῖσος συνεργὸν λαβὼν τοῦ τεχνάσματος, ὑποθεσπίζων τὰ δῆθεν ἐκ τῶν παρ' αὐτοῖς βίβλων καὶ ἀπορρήτων, ὡς νῦν αὐτοῖς ἀποκείμενον ἐπανελθεῖν εἰς τὴν ἑαυτῶν. καὶ τὸν νεὼν ἀναδείμασθαι, καὶ τῶν πατρίων τὸ κράτος ἀνανεώσασθαι, καὶ ἀποκρυπτόμενος εὐνοίας πλάσματι τὴν ἐπίνοιαν. ἐπειδὴ ταῦτα καὶ διενοήθη, καὶ ἔπεισεν. εὔκολον γὰρ εἰς ἀπάτην τὸ πρὸς ἡδονὴν ἅπαν, οἱ μὲν ὡς ἀναστήσοντες διεσκοποῦντο τὸ ἱερόν, καὶ χειρὶ πολλῇ, καὶ προθυμίᾳ περὶ τὸ ἔργον ἐταλαιπώρουν. φασὶ γέ τοι καὶ τὰς γυναῖκας αὐτῶν οἱ τὰ ἐκείνων θαυμάζοντες, οὐ μόνον ἅπαντας τὸν περὶ τὸ σῶμα κόσμον περιελομένας ἑτοίμως συνεισφέρειν τῷ ἔργῳ καὶ τοῖς πονουμένοις, ἀλλὰ καὶ τοῖς κόλποις τὸν χοῦν ἐκφερούσας, καὶ οὔτε πολυτελοῦς ἐσθῆτος, οὔτε μελῶν ἁπαλότητος φειδομένας, εὐσεβεῖν οἰομένας, καὶ πάντα ἐλάττω νομίζειν τοῦ ἐγχειρήματος. ὡς δὲ ὑπὸ ἀγρίας λαίλαπος, καὶ βρασμοῦ γῆς ἄφνω συνελαθέντες, ἐπί τι τῶν πλησίον ἱερῶν, οἱ μὲν ὡς ἱκετεύσοντες ὥρμησαν, οἱ δὲ ὥσπερ ἐν τοῖς τοιούτοις φιλεῖ, συμβαίνειν τῷ παρόντι χρώμενοι πρὸς βοήθειαν, οἱ δὲ ἄλλως τῇ ταραχῇ συμφερόμενοι, καὶ τοῖς θέουσι συνεισπίπτοντες. εἰσὶ μὲν οἳ λέγουσιν, ὡς οὐδὲ τὸ ἱερὸν αὐτοὺς προσεδέξατο, ἀλλ' ἀναπεπταμέναις προσελθόντες ταῖς πύλαις ἐπιτεθείσαις οἱ ἔτυχον ἐκλείσθησαν ἀοράτου καὶ ἀφανοῦς δυνάμεως ἢ τὰ τοιαῦτα τερατουργεῖ πρὸς τὴν τῶν

ἀσεβῶν κατάπληξιν, καὶ τὴν τῶν εὐσεβῶν ἀσφάλειαν. Ὃ δὲ ἅπαντες ἤδη καὶ λέγουσι καὶ πιστεύουσιν, τῶν βιαζομένων αὐτῶν καὶ φιλονεικούντων περὶ τὴν εἴσοδον, πῦρ ἐξιὸν ἀπαντῆσαι ἐκ τοῦ ἱεροῦ, καὶ τοὺς μὲν κατέφλεξε καὶ ἀνάλωσεν, ὡς ὅμοιόν τι περὶ αὐτοὺς συμβῆναι τοῖς Σοδομιτῶν πάθεσιν, ἢ τῷ περὶ Ναδὰβ καὶ Ἀβιοὺδ θαύματι, ξένως καὶ θυμιάσασι καὶ κινδυνεύσασι. Τοὺς δὲ τὴν κακίαν ἀκρωτηριάσας(?), στήλην ἀφεῖναι ἔμψυχον τῆς τοῦ θεοῦ κατὰ τῶν ἁμαρτωλῶν ἀπειλῆς καὶ κινήσεως. Τοῦτο μὲν δὴ τοιοῦτο, καὶ ἀπιστείτω μηδείς, ἐπεὶ μηδὲ ταῖς ἄλλαις τοῦ θεοῦ δυνάμεσιν. Ὃ δὲ ἔτι τούτου παραδοξότερον καὶ περιφανέστερον, ἔστη φῶς ἐν τῷ οὐρανῷ τὸν σταυρὸν περιγράφον. Καὶ τὸ πρότερον ἐπὶ γῆς ἀτιμαζόμενον τοῖς ἀθέοις καὶ σχῆμα καὶ ὄνομα, νῦν ἐν οὐρανῷ δείκνυται πᾶσιν ἐπίσης, καὶ γίνεται τρόπαιον τοῦ θεοῦ τῆς κατὰ τῶν ἀσεβῶν νίκης, τροπαίου παντὸς ὑψηλότερον. Πρὸς ταῦτα, τί φήσουσιν οἱ τοῦ αἰῶνος τούτου σοφοί, καὶ τὰ παρ' αὐτοῖς ἀχρειμωνούντων(?), οἱ τὰς βαθείας ὑπήνας ἕλκοντες, καὶ τὸ κομψὸν περισύροντες ἡμῖν τριβώνιον; ἀπόδυθί μοι καὶ σύ, τὰ σά. Ὁ τοὺς μακροὺς λόγους γράφων, καὶ τὰς ἀπίστους συντιθεὶς ἱστορίας καὶ κεχηνὼς πρὸς τὰ ἄνω, καὶ τῶν οὐρανίων καταψευδόμενος, καὶ πλέκων ἐκ τῆς τῶν ἀστέρων κινήσεως, τὰς γενέσεις καὶ τὰ συμβαίνοντα. Λέγε μοι καὶ σὺ τοὺς σοὺς ἀστέρας, τὸν Ἀριάδνης στέφανον, καὶ τὸν Βερενίκης πλόκαμον, καὶ τὸν ἀσελγῆ κύκνον, καὶ τὸν ὑβριστὴν ταῦρον. Εἰ δὲ βούλει, τὸν ὀφιοῦχόν σου, καὶ τὸν αἰγόκερων, καὶ τὸν λέοντα, ἄλλους τε ὅσους ἐπὶ τῷ κακῷ γνωρίσας, ἢ θεοὺς, ἢ ἀστέρας ἐποίησας. Ποῦ σὺ τοῦτον ἔχεις τὸν κύκλον, ἐν τοῖς σοῖς μαθήμασι; ποῦ δὲ τὸν ἐπὶ Βηθλεὲμ δραμόντα πρότερον ἐκ τῆς ἑῴας ἀστέρα, τὸν ὁδηγὸν τῶν σῶν μάγων καὶ πρόξενον; Ἔχω τι κἀγὼ λέγειν ἐκ τῶν οὐρανίων. Ἐκεῖνος τὴν Χριστοῦ παρουσίαν ἐγνώρισεν ὁ ἀστήρ. Οὗτος τῆς Χριστοῦ νίκης ὁ στέφανος. Ταῦτα μὲν ἐκ τῶν οὐρανίων, καὶ τῶν ἄνω συμπασχόντων τοῖς ἡμετέροις κατὰ τὴν μεγάλην τοῦ παντὸς ἁρμονίαν τε καὶ οἰκείωσιν. Τὰ δὲ ἑξῆς ὁ ψαλμῳδὸς συμπληρούτω μοι, ὃς καὶ πόλεις καθεῖλες, ὡς τὰς παλαιὰς ἐκείνας ἐπὶ τοῖς αὐτοῖς ἀσεβήμασιν, οὐ ταῖς καθ' ἡμῶν παρανομίαις, τὰς μὲν πελαγίοις ἐπικλυσθείσας, τὰς δὲ σεισμῷ κατενεχθείσας, ὡς μικροῦ καὶ τὸ λειπόμενον ἔχειν εἰπεῖν, ὅτι ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου καὶ περιβόητον τῆς ἀπωλείας. Τοσαύτη γὰρ αὐτῶν ἡ πτῶσις, καὶ τοιοῦτον τὸ σύντριμμα, καὶ τῶν ἐκ γειτόνων, καὶ μάλιστα τῇ ἀσεβείᾳ περιχαιρόντων, ὡς πολλοῦ χρόνου δεῖν αὐτοῖς, εἴ τις ἄρα καὶ τολμήσειε τοῦτο, εἰς ἐπανόρθωσιν. Ἀλλ' οὖν γῆ μὲν οὕτω, καὶ οὐρανός. Αἰθὴρ δὲ οὐκ ἐπισημαίνει τοῖς τοιούτοις καιροῖς, οὐδὲ ἠγνοήθη τότε τοῖς σημείοις τῶν παθῶν; ἐπιδεικνύτωσαν ἔτι καὶ νῦν τὰς ἐσθῆτας, οἱ τοῦ θαύματος ἐκείνου θεαταὶ καὶ μύσται, τὰς τότε κατασημανθείσας τοῖς τοῦ σταυροῦ στίγμασιν. Ὁμοῦ τε γὰρ ταῦτα διηγεῖτό τις (εἴτ' οὖν τῶν ἡμετέρων, εἴτ' οὖν τῶν ἔξωθεν) ἢ διηγουμένου ἤκουε, καὶ τὸ θαῦμα ἑώρα παρ' ἑαυτῷ, ἢ περὶ τὸν πλησίον γινόμενον, κατάστερος ὤν, ἢ ἐκεῖνον ὁρῶν τοιούτοις τοῖς ἐσθήμασι, πάσης ἱστουργικῆς ψηφῖδος, ἢ περιέργου ζωγραφίας ἀμπεχόμενον ποικιλώτερον. Ἐκ τούτου τί γίνεται; τοσαύτη τῶν ὁρωμένων κατάπληξις, ὡς μικροῦ μὲν ἅπαντας ὥσπερ ἐξ ἑνὸς συνθήματος καὶ μιᾶς φωνῆς, τὸν τῶν Χριστιανῶν ἀνακαλεῖσθαι θεόν, εὐφημίαις τε πολλαῖς καὶ ἱκεσίαις αὐτὸν ἐξιλάσκεσθαι· πολλοὺς δὲ οὐκ εἰς ἀναβολάς, ἀλλὰ παρ' αὐτὰ τῶν συμβάντων προσδραμόντας τοῖς ἱερεῦσιν ἡμῶν, καὶ πολλὰ καταδεηθέντας τῆς τε ἐκκλησίας γενέσθαι μέρος, καὶ μυηθῆναι τὰ τελειότερα, περὶ ἱερῷ καθαγιασθέντας βαπτίσματι, καὶ διὰ τῶν φόβων ὠφεληθέντας. Ἔχει μὲν οὖν οὕτω ταῦτα, ὁ δὲ ταῖς κατὰ μικρὸν μανίαις οἰστρηλατούμενος καὶ δονούμενος ἐπ' αὐτὸ τὸ κεφάλαιον ἀπαντᾷ τῶν ἑαυτοῦ συμφορῶν. Ὡς γὰρ κατὰ νοῦν ἔχειν αὐτῷ τὰ Χριστιανῶν ᾤετο, καὶ οἷς ἤδη κατείργαστο καὶ περὶ ἄκρον τὸν ἐῶν(?) θελήμασι μόνοις ἐλπίσας, καί τινα κατὰ τῶν ἑσπερίων βαρβάρων εὐημερίαν ἁρπάσας, μίαν βουλεύεται ταύτην βουλὴν συνετωτάτην τε καὶ φιλανθρωποτάτην. Ἄρας δὴ τοὺς οἰκείους(?) στρατούς, τὸν μὲν ὁπλιτῶν, τὸν δὲ τῶν ἀγόντων αὐτὸν δαιμόνων, ᾧ καὶ μᾶλλον εἶχε θαρρεῖν, ἐπὶ Πέρσας στρατεύει, θράσους ἀλογίᾳ μᾶλλον, ἢ ῥώμης ἀσφαλείᾳ πιστεύσας. Καὶ οὐδ' ἐκεῖνο συνιδεῖν δυνηθεὶς ὁ σοφώτατος, ὅτι θάρσος καὶ θράσος κἂν ἐν τοῖς ὀνόμασι πλησιάζοι, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται, ἀνδρείᾳ τε ὥς φαμεν καὶ ἀνανδρίᾳ. Τὸ μὲν γὰρ ἐν τοῖς τολμητέοις θαρρεῖν ἀνδρείας ἐστίν, ὥσπερ τὸ ὑφίεσθαι δειλίας. Οὗ δὲ πλείων ὁ κίνδυνος ὁμόσε χωρεῖν, καὶ ὠθίζεσθαι, ἀλλὰ μὴ κατέχεσθαι, θράσους, ὥσπερ τὸ ὑποχωρεῖν, ἀσφαλείας. Καὶ οὐ τοῦ αὐτοῦ λόγου θετέον φυλάξαι τὰ ὄντα καὶ τὴν οὐκ οὖσαν τι προσλαβεῖν. Τὸ μὲν γὰρ μάλιστα καὶ πρῶτον τοῖς νοῦν ἔχουσι, τιμητέον· τὸ δὲ, ἂν μὲν ὑπάρχῃ μηδὲ ῥᾳστώνης, δεκτέον· ἂν δὲ ἀντιπίπτῃ, περιοπτέον. Ὁ δὲ ὑπὲρ τοῦ κτήσασθαί τι τῶν ἐλπιζομένων πᾶσι τοῖς ὑπάρχουσι κινδυνεύων, λίαν ἀνόητος. Καί μοι προσεοικέναι δοκεῖ τινι τῶν κακῶν τὴν τέχνην

πλεῖν τὴν

Ariadnae corona

Berenices Coma

ἀὴρ

ρ.

πλεῖν τὴν στάσιν εἰθίσθαι, προσβαλλομένῳ· ἢ κυβερνήτῃ λελυμένης αὐτῷ τῆς νεὼς καὶ τοῦ πλοΐ-
μου ἐχούσης, ναυῶν καταδύοντι πολεμίαν, ἢ καταδύειν ἑαυτὸν δοκοῦντι. ὧν μοι δοκεῖ μηδὲ ἐ-
κεῖνος ἐνθυμηθεὶς, ἐγχειρεῖν ἀπερισκέπτως τοῖς ἐγνωσμένοις ἐπὶ τῇ ῥωμαϊκῶν ὠδῖνον τὴν
αὐτῷ καὶ κακῶς διακειμένων, τῷ διωγμῷ μάλιστα τὴν ἀλλοτρίαν περινοῶν. καὶ σαλμω-
νεύς εἶναί τις ἐκ Βύρσης βροντῇ, πρὸς τὸν τραϊανὸν βλέπων ἐκεῖνον, καὶ τὸν ἀδριανὸν τὸν
ὧν οὐχ ἧττον τοῦ ἀνδρείου, τὸ ἀσφαλὲς ἐθαύμαζε. τὸν κάρον δὲ οὐκ ἐνενόει ἐκεῖνον, οὐδὲ τὸν
οὐαλεριανὸν, οἳ δίκας ἔδοσαν ὁρμῆς ἀλογίστου. ἵν᾽ ὅ φησιν ἡ τραγῳδία, μὴ ὀνειδίζω τὰς τύχας.
οἱ περσῶν ὅροις ἐν ἀκμῇ τῆς εὐτυχίας καταλυθέντες, ἀλλ᾽ οὖν ἔδοξε ταῦτα, καὶ τῆς ὁρμῆς
ἦν, πάσαις μαντείαις καὶ γοητείαις ῥητοῖς τε καὶ ἀῤῥήτοις θυσίαις τερατείαν εἰσαγαγὼν.
ἵν᾽ ἐν βραχεῖ πᾶσαν καταλύσῃ καὶ τὸ καλλιέρημα, ὡς μέγα καὶ ὑπερφυὲς, ὦ Χριστὲ καὶ λό-
γε καὶ πάθη τοῦ ἀπαθοῦς καὶ κόσμου παντὸς μυστήριον, ὅλον τὸ χριστιανῶν γένος παραθῆ-
σαι τοῖς δαίμοσιν, ἢ τοῦ προκειμένου κρατήσειε. τὰ μὲν οὖν πρῶτα τῆς ἐγχειρήσεως αὐτῷ,
καὶ λίαν νεανικὰ, καὶ πολλοῖς τῶν τὰ ἐκείνου φρονούντων περιβοώμενα ταῦτα. τὴν γὰρ
τῶν ἀσσυρίων ὅσην διαῤῥεῖ ὁ εὐφράτης, καὶ τὴν περσίδα παραμειβόμενος, ἐκεῖσε τῷ τί-
γρίδι μίγνυται, ταύτην ἑλὼν καὶ τεμὼν, καί τινα τῶν φρουρίων ἐξελὼν κατὰ πολλὴν τοῦ
κωλύσοντος ἐρημίαν. εἴτ᾽ οὖν λαθὼν διὰ τὸ τῆς ἐφόδου τάχος, εἴτε ὑπὸ περσῶν οὕτω
στρατηγούμενος, καὶ κατὰ μικρὸν ὑπαγόμενος εἰς τοὔμπροσθεν, λέγεται γὰρ ἀμφό-
τερα οὕτω γ᾽ οὖν προϊὼν καὶ τῷ στρατῷ παραπορευομένῳ, καὶ ταῖς ναυσὶ διὰ τοῦ ποτα-
μοῦ σιτηγούσαις τε καὶ σκευαγωγούσαις, οὐ μικρὸν τὸ ἐν μέσῳ, καὶ κτησιφῶντι προσβάλ-
λει ἧς καὶ τὸ πλησίον γενέσθαι, νίκης μέρος αὐτῷ διὰ τὸν πόθον ἐνομίζετο. ἐντεῦθεν δὲ ἤ-
δη ὥσπερ ψάμμου ποδῶν ὑποσπασθείσης, ἢ νηὶ ζάλης ἀντιπεσούσης, εἰς τοὐπίσω χωρεῖ τὰ
πράγματα. ἡ γὰρ κτησιφῶν, φρούριόν ἐστι καρτερὸν καὶ δυσάλωτον, τείχει δὲ ὀπτῆς πλίν-
θου, καὶ τάφρῳ βαθείᾳ, καὶ τοῖς ἐκ τοῦ ποταμοῦ τενάγεσιν ὠχυρωμένη. ποιεῖ δὲ αὐτὴν ὀχυ-
ρωτέραν, καὶ φρούριον ἕτερον, ᾧ προσηγορίαν κωχὴ μετὰ τῆς ἴσης ἀσφαλείας συγκείμενον.
ὅσον τε φυσικὴ, καὶ ὅσον χειροποίητος, τοσοῦτον ἑνούμενον, ὡς μίαν πόλιν δοκεῖν ἀμφοτέρας,
τῷ ποταμῷ μέσῳ διειργομένας. ταύτας οὔτε γὰρ ἐξελεῖν οἷόν τε ἦν ἐξ ἐπιδρομῆς ἀθρόας,
ἢ πολιορκίᾳ παραστήσασθαι, οὔτε διεξάξαι καὶ τῷ ναυτικῷ μάλιστα (κινδυνεύσειν ἂν
ἐξ ὑπερδεξίων ἀμφοτέρωθεν βαλλόμενον καὶ εἰργομένοις) κατὰ τὸ πρὶν ἑαυτοῦ ποιεῖται τὸν
τρόπον τοῦτον. τοῦ εὐφράτου ποταμοῦ ὄντος μεγίστου, μέρος οὐκ ἐλάχιστον ἀποῤῥήξας, καὶ
περιαγαγὼν, ὅσον ναυσὶν εἶναι πλοΐμους ἐκ διώρυγος ἣς καὶ ἀρχαίας φασὶν ἴχνη φαίνε-
σθαι, καὶ ταύτῃ τῷ τίγριδι συμβαλὼν μικρὸν ἔμπροσθεν, οὕτω διασώζει τὰς ναῦς. ἐκ
τοῦ ποταμοῦ τῷ ποταμῷ δοθείσας ἐν ἀσφαλείᾳ. ὧδε μὲν οὖν τὸν ἐκ τῶν φρουρίων τού-
των διεδίδρασκε κίνδυνον. ὡς δὲ προϊόντι περσικὴ δύναμις παρεφαίνετο, καὶ ἀεί τις ἐπὶ
εὖσα προσγινομένη, κατὰ μέτωπον μὲν ἵστασθαι, καὶ διακινδυνεύειν οὐκ ᾤετο δεῖν δίχα με-
γάλης ἀνάγκης, ἐνὸν ἐκ περιουσίας κρατεῖν. ἐκ δὲ τῶν λόφων καὶ τῶν στενῶν ἧ παρείκοι,
βάλλουσι καὶ τοξεύουσι, καὶ τὰ κρείττω τῆς ὁδοῦ προκαταλαμβάνουσι ῥᾳδίως εἴργειν τῆς
προόδου, ἡνίκα ταῦτα ἡ ἀπορία τε ἦν ἤδη πολλή. καὶ οὐκ ἔχων ὅποι τράποιτο, λύσιν εὑρίσκει
πονηρὰν τοῦ βουλεύματος. ἀνὴρ γάρ τις τῶν οὐκ ἀδοκίμων ἐν πέρσαις, τὸν ἐπὶ βαβυλῶ-
νι πρὸς κῦρον, ζώπυρον μιμησάμενος, ὡς δή τι τῶν περὶ τὸν βασιλέα, μᾶλλον δὲ μέγιστα καὶ
ἐπὶ μεγίστοις προσκεκρουκὼς, καὶ δύσνους μὲν τοῖς ἐκείνου μάλιστα, εὔνους δὲ τοῖς ῥωμαίων
πράγμασι διὰ τοῦτο τυγχάνων, καὶ τὸ πιστεύεσθαι λαβὼν ἐκ τοῦ πλάσματος, τί ταῦτα
φησὶν ὦ βασιλεῦ, πῶς οὕτω σαθρῶς περὶ τοσούτου βουλεύεσθε πράγματος; τίς ὁ νηΐτης οὗ-
τός σοι σῖτος, καὶ ὁ περιττὸς φόρτος, ὁ τῆς ἀνανδρίας διδάσκαλος; οὐδὲν γὰρ οὕτω δύσμα-
χον καὶ φιλόνεικον, ὡς γαστὴρ, καὶ τὸ ἐν χερσὶν ἔχειν τὴν σωτηρίαν. ἀλλ᾽ εἴ τι ἐμοὶ πείθῃ, τὸ
μὲν ναυτικὸν τοῦτο, χαίρειν ἐάσεις, καὶ τὴν ἐπιμέλειαν ἐκλύσῃ τῷ γενναίῳ τούτῳ στρατῷ. αὐ-
τὸς δὲ δι᾽ ἄλλης ὁδοῦ εὐπορωτέρας τε καὶ ἀσφαλεστέρας ἧς ἐγώ σοι καθηγητὴς (ἔμπειρος δὲ
εἴ τις ἄλλος φημὶ, τῆς χώρας εἶναι τῆς περσικῆς) ἐμβαλεῖς τε εἰς τὴν πολεμίαν, καὶ τὴν κατὰ
γνώμην τυχὼν ἐπανήξεις. ἡμᾶς δὲ ἡνίκα ταῦτα εὖ ποιήσεις, ἡνίκα αὐτῷ ἔργῳ πεῖραν λάβῃς τῆς
ἡμετέρας εὐνοίας καὶ παραινέσεως. ὡς δὲ, εἶπε ταῦτα, καὶ εἰπὼν, ἔπεισεν, εὔπιστον γὰρ ἡ κου-
φότης, καὶ τοῦ θεοῦ μάλιστα συνελαύνοντος, ἅπαντα ἦν ὁμοῦ τὰ δεινά. ταῖς μὲν ναυσὶν εἶχε
τὸ πῦρ, καὶ ὁ σῖτος οὐκ ἦν, καὶ προσῆν ὁ γέλως. αὐτόχειρ γὰρ ἡ σφαγὴ σχεδὸν, τὰ δὲ τῶν ἐλ-
πίδων φροῦδα, καὶ ὁδηγὸς συναπῆλθε ταῖς ὑποσχέσεσιν. ἐν κύκλῳ δὲ οἱ πολέμιοι, καὶ πα-
ειῤῥίων ὁ πόλεμος. ἥ τε πρόοδος οὐ ῥᾳδία, ἡ τροφὴ δὲ οὐκ εὔπορος, ἐν ἀθυμίᾳ δὲ ὁ στρατὸς,
καὶ δι᾽ ὀργῆς εἶχον τὸν βασιλέα. ἐλείπετο δὲ χρηστῆς ἐλπίδος οὐδέν. μία δὲ ὡς ἐν τοῖς παροῦσιν ἐδόκει
μόνη, τῆς πονηρᾶς ἀπαλλαγῆναι βασιλείας καὶ στρατηγίας, τὰ δὲ δὴ μέχρι τούτων, τοιαῦτα.

Ctesiphon oppidum munitissimum.

τὰ δὲ ἐντεῦθεν, οὐχ εἷς λέγεται λόγος, ἄλλος δὲ ἄλλῳ συμφέρεται καὶ συντίθεται, τῶν τε παρόντων ὁμοίως τῇ μάχῃ, καὶ τῶν ἀπόντων. οἱ μὲν γὰρ ὑπὸ Περσῶν αὐτὸν κατηκοντίσθαι φασὶν, ἀτάκτοις ἐκδρομαῖς χρωμένων. καὶ ἄλλοτε ἄλλῃ καὶ πάσῃ, σὺν ἐμπληξίᾳ. καὶ ὅμοιόν τι παθεῖν αὐτὸν συμβῆναι, τῷ Κύρου τοῦ Παρυσάτιδος. ὃς τοῖς μυρίοις συναναβὰς ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, καὶ νικητικῶς μαχόμενος, θρασύτητι τὴν νίκην διέφθειρεν. οἱ δὲ τοιοῦτόν τινα ἐπ' αὐτῷ διηγοῦνται λόγον, ἐπί τινα λόφον τῶν ὑψηλοτέρων ἀνελθὼν, ὡς ἐκ περιωπῆς τὸν στρατὸν ὄψει λαβεῖν, καὶ ὅσος ὑπελείφθη τῷ πολέμῳ μαθεῖν. ἐπειδὴ οἱ φανῆναι πολὺ τὸ πλῆθος, καὶ τῆς ἐλπίδος ἀφθονώτερον, ὡς ῥᾴδιον εἰπεῖν, εἰ πάντας τῇ Ῥωμαίων γῇ τούτους ἐπανάξομεν, ὡς ἄν τις βασκαίνων αὐτοῖς τῆς σωτηρίας, ἐφ' ᾧ τινα τῶν στρατιωτῶν χαλεπήναντα, καὶ οὐ κατασχόντα τὴν ὀργὴν, ὥσπερ κατὰ τῶν σπλάγχνων ἀλγήσαντα τῆς ἑαυτοῦ σωτηρίας. ὡς δὲ ἄλλοι τῶν γελωτοποιῶν βαρβάρους τινὰ τοῦτο τολμῆσαι, οἳ τοῖς στρατιώταις ἕπονται. λύπης τε ψυχαγωγία, καὶ πότοις ἥδυσμα. εἰσὶ δὲ οἳ καὶ Σαρακηνῶν τινι τὸ κλέος τοῦτο διδόασι, πλὴν δέχεται πληγὴν καιρίαν ὄντως, καὶ παντὶ τῷ κόσμῳ σωτήριον, καὶ μιᾷ τόλμῃ, πολλῶν σπλάγχνων ἀπαιτεῖται δίκην κακῶς τεθυμένων. ὃ θαυμάζω πῶς ἅπαντα γινώσκειν ὁ μάταιος αὐτόθεν οἰόμενος, οὐ τοῦτο τὴν κατὰ τῶν ἑαυτοῦ σπλάγχνων πληγὴν ἐγνώκειν. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν τοῦ αἰδοῦς, μεγίστην τῆς ἐκείνου κακοδαιμονίας ἐπὶ πολλοῖς ἔχειν ἀπόδειξιν. ἔκειτο μὲν ἐπὶ τῇ ὄχθῃ τοῦ ποταμοῦ, καὶ πονήρως εἶχε τοῦ τραύματος, πολλοὺς δὲ εἰδὼς τῶν πρὸ αὐτοῦ δόξης ἠξιωμένων, ὡς ἂν ὑπὲρ ἀνθρώπους νομισθεῖεν τέχναις τισὶν ἐξ ἀνθρώπων ἀφανισθέντας, καὶ διὰ τοῦτο θεοὺς νομισθέντας, ἔρωτι τῆς αὐτῆς δόξης ἁλόγως, καὶ ἅμα τῷ τρόπῳ τῆς τελευτῆς, διὰ τὸ τῆς ἀβουλίας ἄδοξον, αἰσχυνόμενος, τί μηχανᾶται, καὶ τί ποιεῖ. οὐδὲ γὰρ τῷ βίῳ συναναλίσκεται πονηρία. ῥῖψαι κατὰ τοῦ ποταμοῦ πειρᾶται τὸ σῶμα. καὶ πρὸς τοῦτο ἐχρῆτό τισι τῶν πιστῶν ἑαυτοῦ συνέργοις καὶ μύσταις τῶν ἀπορρήτων. καὶ εἰ μὴ τῶν βασιλικῶν εὐνούχων τις τὸ πρᾶγμα αἰσθόμενος, καὶ τοῖς ἄλλοις καταμηνύσας, μίσει τοῦ κακουργήματος τὴν ὁρμὴν διεκώλυσε, καὶ ἐφάνη τις ἄλλος τοῖς ἀνοήτοις θεὸς νέος ἐξ ἀτυχήματος, ἀλλ' ἐκεῖνος οὕτω μὲν βασιλεύσας, οὕτω δὲ στρατηγήσας, οὕτω καὶ καταλύει τὸν βίον. διαδεξάμενος δὲ τὴν βασιλείαν εὐθὺς μετ' ἐκεῖνον ὁ μετ' ἐκεῖνον ἀναῤῥηθεὶς ἐν αὐτῷ τῷ στρατοπέδῳ, καὶ τῇ τῶν κινδύνων ἀκμῇ ἀναγκαίως ἤδη ζητούσῃ τὸν ἡγησόμενον, ἀνὴρ ἤδη φανεὶς τά τε ἄλλα καὶ τὴν εὐσέβειαν, καὶ τὸ εἶδος ἀληθῶς τυραννίδος ἄξιος, τὸ μὲν εἰς χεῖρας ἰέναι Πέρσαις ἢ προϊέναι, οὐδαμῶς οἷός τε ἦν (καίτοι γε ἀνδρείας καὶ προθυμίας οὐδὲν ἐλλείπων) τοῦ στρατοῦ παρεικότος τὰς χεῖρας καὶ τὰς ἐλπίδας. ἐζήτει δὲ τὴν ἀναζεύξιν, καὶ ὅπως ἂν ἀσφαλοῦς τύχοι ταύτης ἐσκόπει, ὥσπερ οὐ βασιλείας, ἀλλ' ἥττης γεγονὼς κληρονόμος. εἰ μὲν οὖν μὴ ὑβρίζειν τῇ νίκῃ μετεωρίζοντες, καὶ γὰρ νόμος οὗτος αὐτοῖς εἰδέναι μετρεῖν εὐπραγίαν, ἤ τι δεδιότες ἄλλο τῶν λεγομένων, εἰς συμβάσεις ἐτράποντο, καὶ ταύτας ἀδοκήτους οὕτω καὶ φιλανθρώπους, οὐδὲν ἐκώλυε, μηδὲ πυρφόρον ὃ δή φασιν ὑπολειφθῆναι τῷ στρατῷ. τοσοῦτον ἐχρῆν αὐτοὺς οἱ Πέρσαι διὰ χειρὸς. εἰ γὰρ τοι δίκῃ μαχόμενοι, καὶ προσεπηρμένοι τοῖς γεγονόσιν. ἱκανὸν γὰρ τὸ προσλαβεῖν εὐημερίας, καὶ πρὸς τὴν ἐλπίδα τοῦ μέλλοντος. νῦν δὲ ὁ μὲν, ὅπερ εἶπον, οἷός τε ἦν τοῦ διασώσασθαι τὸν στρατὸν, καὶ τὰ νεῦρα Ῥωμαίοις ὑπολιπεῖν. νεῦρα γὰρ ἦσαν, καὶ εἰ κακῶς ἔπραξαν ἀβουλίᾳ μᾶλλον τοῦ στρατηγήσαντος, ἢ σφῶν αὐτῶν ἀνανδρίᾳ. οἱ δὲ ἐπὶ ταῖς συνθήκαις ταύταις συνέβησαν, ταῖς οὕτως αἰσχραῖς τε καὶ ἀναξίαις τῆς Ῥωμαίων χειρὸς, ἵν' εἴπω τὸ συντομώτατον. ὧν εἴ τις ἐκεῖνον ἀφεὶς τῆς αἰτίας, τοῦτον καταμέμφοιτο, λίαν ἐστὶν ἀγνώμων ἔμοιγε λογιστὴς τῶν τότε συμβεβηκότων. οὐ γὰρ τοῦ ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος. οὐδὲ τοῦ κατασβέσαι δυνηθέντος ὁ ἐμπρησμὸς. τοῦ δὲ ἀνάψαντος, καὶ τὸ τοῦ Ἡροδότου περὶ τῆς Σαμίων τυραννίδος καιρὸς εἰπεῖν, ὅτι τοῦτο τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἱστιαῖος, ὑπεδύσατο δὲ Ἀρισταγόρας, ὁ τὰ τοῦ προειληφότος ὑποδεξάμενος. τί λοιπὸν ἦν, ἢ τὸ σῶμα Ῥωμαίοις ἐπαναχθῆναι τοῦ δυσσεβοῦς, καὶ ὑπὲρ ὅτου καταστρέψαντος. ἐπεὶ δὲ καὶ ἡμῖν ἐστι νεκρὸς ὁ πρὸ αὐτοῦ καταλύσας τὸν βίον, ἴδωμεν καὶ ταῦτα τοῖν βασιλέοιν ἀμφοῖν τὸ διάφορον. εἴ τι καὶ τοῦτο φέρει πρὸς εὐδαιμονίαν, ἢ κακοδαιμονίαν, τοῖς ἀπελθοῦσιν. ὁ μὲν γε παραπέμπεται πανδήμοις εὐφημίαις τε καὶ πομπαῖς. καὶ τούτοις δὴ τοῖς ἡμετέροις σεμνοῖς. ᾠδαῖς παννύχοις καὶ δᾳδουχίαις. αἷς Χριστιανοὶ τιμᾶν μετάστασιν εὐσεβῆ νομίζομεν, καὶ γίνεται πανήγυρις μετὰ πάθους, ἡ ἐκκομιδὴ τοῦ σώματος. ἐλέγετο πιστὸς ὁ λόγος, καὶ τοῦτο διεδόθη ταῖς τῶν πολλῶν ἀκοαῖς. ὅτι ἐπειδὴ τὸν Ταῦρον ὑπερβάλλει τὸ σῶμα πρὸς τὴν πατρῴαν αὐτοῦ πόλιν διαβιβαζόμενον, ταύτην δὴ τὴν ὁμώνυμον ἐκείνου καὶ μεγαλώνυμον, φωνή τις ἐκ τῶν ἀκρωρειῶν, οἷς ἐξηκούετο, δι' ψαλλόντων τε καὶ παραπεμπόντων, ἀγγελικῶν οἶμαι δυνάμεων, γέρας τῆς εὐσεβείας ἐκείνῳ,

εἶδε τό

ἐκείνῳ, καὶ αἱ πόθοις ἤδη τάφος. καὶ γὰρ εἰ τὴν ὀρθὴν δόξαν παρακινεῖν ἔδοξεν, ἀλλὰ καὶ τοσοῦτον τῶν ἀποδυναστευόντων σκαιότητος καὶ κακοδοξίας τὸ ἔγκλημα, οἳ ἁπλῆν καὶ ἀπαγῆ εἰς εὐσέβειαν παραλαβόντες ψυχὴν, οὐ προορωμένην τὰ βάραθρα, ἀπήγαγον ᾗπερ ἐβούλοντο, καὶ πράγματι ἀκριβείας τὸν ζῆλον κακίας εἰργάσαντο. ἀλλ' οὖν ἡμεῖς τὸ κοινότερον, τόν τε πατέρα εὐνοοῦντες τὸν βαλόμενον τὴν κρηπῖδα, τῆς βασιλικῆς τῶν χριστιανισμῶν δυναστείας καὶ πίστεως, καὶ τὸν εἰς αὐτὸν καταλήξαντα κλῆρον τοῦ δόγματος, ἐγεραίρομεν τὰ εἰκότα, τοῦ σκήνους τῇ δικαίᾳ βασιλείᾳ συζήσαντος, καὶ τὸν βίον καταλύσαντος ὁσίῳ τέλει. καὶ τὸ κράτος ἡμῖν καταλείψαντος. ὡς δὲ πλησιάζοι τῇ μεγάλῃ καὶ βασιλίδι πόλει, τί δεῖ λέγειν δορυφορίας τε τοῦ στρατοῦ παντὸς καὶ τάξιν ἐνόπλιον, ὡς ζῶντι τῷ βασιλεῖ γινομένην; ἢ τῆς λαμπρᾶς πόλεως ἔκχυσιν, ὁπόμαστοτε ἴσην τῶν πώποτε γενομένων, ἢ ἐσομένων; ἀλλ' ὁ θρασὺς καὶ γεννάδας ἐκεῖνος, καὶ νέα τῇ περιφανείᾳ καλλωπιζόμενος, καὶ διὰ τοῦτο ὡς τὸ εἰκὸς μέγα φρονῶν, μέρος γίνεται καὶ αὐτὸς ἐκείνῳ τῆς προπομπῆς τιμῆς, τὴν αὐτὴν καὶ διδοὺς καὶ ἀντιλαμβάνων χάριν, τὸ μέν τι βιασθεὶς, τὸ δὲ ἑκὼν ὡς λέγουσιν. ὁ γὰρ στρατὸς ἅπας, εἰ καὶ τοῦ παρόντος ἥττητο κρατοῦντος. ἀλλ' οὖν πλεῖον τῷ κατοιχομένῳ νέμων αἰδοῦς. ἐπειδὴ καὶ πεφύκασι μὲν εὐνούστεροί πως εἶναι τοῖς ἔτι προσφάτοις πάθεσι, τῶν φίλτρων προσανάγοντος, καὶ τὸν ἔλεον τούτῳ προσνέμοντος, καὶ διὰ τοσοῦτον αἰσχυνόμενοι τὸ μὴ οὐχ ὡς βασιλέα τιμηθῆναι, τοσοῦτον καὶ προσδεχθῆναι, πέλας τε τῆς ἀρχῆς αὐτὴν καὶ συναναγκάζουσιν ὑπαντῆσαι τῷ νεκρῷ. μετὰ τοῦ προσήκοντος σχήματος. τὸ δὲ ἦν ἀποκοσμήσαντα τὴν κεφαλὴν τοῦ διαδήματος, καὶ ὑποκύψαντα τῷ βασιλεῖ τὰ εἰκότα, οὕτως ἤδη τὸν τάφον συμπαραπέμψαι τοῖς ἁγίοις, καὶ τὸν ἀοίδιμον τῶν ἀποστόλων σηκὸν, οἳ δὲ τὸ ἱερὸν γένος καὶ ὑπεδέξαντο, καὶ διαφυλάττουσι, μικροῦ τὰ ἴσα γέρα καρπούμενοι. οὕτως ὁ ἡμέτερος. τοῦ δὲ αἱ ἀρχαὶ μὲν τὰ τῆς ἐκστρατείας, ἠλαύνετο δήμοις καὶ πόλεσι καὶ φωναῖς δημοσίαις καὶ βωμολόχοις, ὧν ἔτι καὶ νῦν οἱ πολλοὶ μνημονεύουσιν. ἀδοξοτέρα δὲ ἡ ἐπάνοδος. τίς δὲ ἡ ἀδεξία; μῖμοι γελοίων ἦγον αὐτὸν, καὶ τοῖς ἀπὸ τῆς σκηνῆς αἴσχεσιν ἐπομπεύετο, καταλυόμενός τε καὶ κατορχούμενος, καὶ τὴν ἀποστασίαν, καὶ τὴν ἧτταν, καὶ τὸ τέλος ὀνειδιζόμενος. καὶ τί γὰρ οὐ πάσχων κακῶς; τί δὲ οὐκ ἀκούων, οἷς οἱ τοιοῦτοι κανιδύονται, τέχνην τὴν ὕβριν ἔχοντες, ἕως ἡ Ταρσέων αὐτὸν ὑπεδέξατο πόλις. οὐκ οἶδ' ὅπως καὶ αὐτὴ ὅτου τὴν ὕβριν ταύτην κατακριθεῖσα. ἔνθα δὲ οἱ τέμενος ἄτιμον, καὶ τάφος ἐξάγιστος, καὶ ναὸς ἀπόπτυστος. καὶ οὐδὲ θεατὸς, εὐσεβῶν ὄψεσι. καὶ ταῦτα δῆλον, ὡς μέγιστα τῶν ἐκείνου κατηγορημάτων καὶ κυριώτατα, οὐκ ἀγνοῶν δὲ. δυσὶ μὲν καὶ τρισὶ τῶν περὶ τὰ βασίλεια κολάκων, καὶ τὴν ἀσέβειαν ὁμοτίμων (τοὺς γὰρ δὴ τοὺς ἔνθεν παρίημι) τοσοῦτος ἐδόθη τῆς ἀσεβείας μισθὸς, ὥστε οὐδὲν ἐκώλυεν εἰς ὀλίγου χρόνου πᾶσαν αὐτοὺς ἀπολήσασθαι τὴν ὑπὸ ῥωμαίοις γῆν τε καὶ θάλασσαν. εἰ μὴ θᾶττον πέρας ἐδόθη τοῖς πράγμασι δεξιόν. τοσοῦτον ὑπερέβαλλον λῃστείᾳ καὶ ἀπληστίᾳ, τὸν πρὶν ἑκατοντάχειρας. αἱ δὲ τῶν ἐθνῶν ἀρχαὶ, οὐ τοῖς ἐπιεικεστάτοις, ἀλλὰ τοῖς ἀπανθρωποτάτοις ἐνεχειρίζοντο, καὶ μία ψῆφος ἦν εἰς ἀρχὴν, ἡ πρᾶσις, καὶ τὸ τυχεῖν τῶν παρ' ἐκείνου δωρεῶν, τῶν τὰ κάκιστα περὶ ἑαυτῶν βουλευσαμένων. τί δ' εἰ λέγοιμι δικῶν μεταθέσεις, καὶ μετακλίσεις διὰ μέσης νυκτὸς πολλάκις μεταβαλλομένων, καὶ περιτρεπομένων, ὥσπερ ἀμπώτιδας. ἐπεὶ καὶ δικάζειν ὁ γεννάδας ἠξίου, πάντα ἑαυτοῦ διὰ φιλοτιμίαν ποιούμενος. τάχα ἂν μικρὰ λίαν ἐγκαλεῖν δόξαιμι, καὶ τὰ μέγιστα τοῖς μικροῖς καθυβρίζειν. πλήν γε ὁμολογείσθω ὅτι οὐκ ἠλυσίων πεδίων, ἄξια ταῦτα. οὐδὲ τῆς ῥαδαμάνθυος ἐκεῖσε δόξης, ἧς μοίρας ἀξιοῦσιν ἐκεῖνον, οἱ τῆς αὐτῆς φατρίας τε καὶ τάξεως, οὓς τῶν ἐκείνου θαυμάζειν ἔχω. πολλοὺς γὰρ τῶν αὐτῷ συνήθων τε καὶ γνωρίμων, ἐκ τῶν κατὰ τὴν ἀσίαν διατριβῶν μάλιστα, ἐκάλει μὲν κατὰ πᾶσαν σπουδήν. ὡς δράσων θαυμάσια οἷα, καὶ ταῖς ἐλπίσιν ἐπῆρεν, μεμνημένος τῶν ὑποσχέσεων. ἐπεὶ δὲ παρῆσαν, τοσοῦτον ἐκείνου αἱ τῶν ψήφων κλοπαὶ, καὶ τῶν ὄψεων ἀπάται. τοὺς μὲν, τόνδε τὸν τρόπον· τοὺς δὲ τὸν διαπαίζων. ἔστι δὲ οὓς καὶ τραπέζῃ φιλοφρονούμενος, καὶ πολὺ τὸ ἑταιρεῖ προπίνων, καὶ λαρυγγίζων ἀντ' ἄλλου τινὸς δελεάματος, ἀπλήστους ἀπέπεμπεν, οὐκ ἔχοντας ὅτῳ μέμψονται πλέον, ἐκείνου τῆς ἀπάτης, ἢ σοφίσαι αὐτοῖς τῆς κουφότητος. ἐκεῖνο δὲ πῶς οὐκ ἐπαινετὸν, τῆς τοῦ φιλοσόφου παιδεύσεως. ὅτι τοσοῦτον ἀόργητος ἦν, καὶ τῶν παθῶν ὑψηλότερος κατὰ τῶν πώποτε τῶν βασιλέων ἀτρεπτότερος καὶ ἀκινητότερος, καὶ μηδ' αὖ ἔτι γέλοιον τοῦ προσώπου τι παραψύξαντας, ἢ πάθος ἴχνος ἤδη σημαίνοντας, ὥσθ' ὅτι μὲν βοῶν καὶ σεισμῶν ἐπλήρου τὰ βασίλεια δικάζων, ὥσπερ αὐτὸς ὢν ὁ τυραννούμενος καὶ ζημιούμενος, οὐκ ἄλλοις ταῦτα παροινῶν καὶ ἐπαμύνων, ταῦτα μὲν οὐδὲ λόγου τινὸς ἀξιώσομεν. τοσοῦτο δὲ, τίς ἀγνοεῖ τῶν ἁπάντων, ὅτι πολλοὺς προσιόντας οἱ δημοσίᾳ καὶ τῶν ἀγροικοτέρων, ὥστε τυχεῖν τινος ὧν ἄνθρωποι βασιλέων δέονται, παίων πὺξ δημοσίᾳ καὶ λὰξ ἐναλλόμενος, οὕτω διε-

Constantini laus eximia.

πιθηκικῶς, ὥστ' ἀγαπᾶν ἐκείνους εἰ μή τι παθεῖν χαλεπώτερον. τὰς δὲ φυσήσεις τε καὶ ἀποφυσήσεις ἃς ὁ θαυμάσιος ἐκεῖνος καὶ τὰ ἡμέτερα διασύρων, τοῖς χειλιδίοις αὐτ' ἐπεδείκνυτο, τὸ ἐπιβώμιον πῦρ ἐκλάπτων, ποῦ λόγου θήσομεν; ἃ καλοῦσι τῶν ῥωμαίων βασιλέως, τὰς γναθμὸν ὁρᾶν ἀσχημονούσας, καὶ γέλωτα πολλὴν παρεχούσας, οὐ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ αὐτοῖς, οἷς ταῦτα ποιῶν ἀρέσκειν ᾤετο. τὴν ἀθλίαν δὲ οὐκ ᾔδει, τὴν ἑαυτοῦ δηόν, ὅτι καὶ τοῖς χείλεσι κατηράσατο, οἷς ἐνασχημονοῦσιν ἑαυτῇ κατεμάνθανεν, αὐτ' ἐσόπτρῳ χρώμενος τῷ ὕδατι. τὰς δὲ προπόσεις τε καὶ φιλοτησίας, ἃς δημοσίᾳ ταῖς πόρναις προὔπινέ τε καὶ ἀντιπροὔπινε, ὑπερβαλλόντων τῷ ἀσελγοῦς μυστηρίου προσχήματι. πῶς οὐ θαυμάζειν ἄξιον; ταῦτα τοῖς μὲν ἄλλοις ἡ πεῖρα παρέστησε, καὶ ἡ δυναστεία προλαβοῦσα τὴν ἐξουσίαν. ἐμοὶ δ' ἐκ πόρρωθεν, τρόπον τινὰ ἑωρᾶτο, ἐξ οὗ τῷ ἀνδρὶ συνεγενόμην Ἀθήνησιν. ἦλθε γὰρ κἀκεῖσε, ἄρτι τὴν κατὰ τὸν ἀδελφὸν αὐτοῦ νεωτερισθεῖσαν τὴν τοῦ βασιλέα, τοῦτο αὐτὸ παραιτησάμενος. διττὸς δὲ αὐτοῦ τῆς ἐπιδημίας ὁ λόγος· ὁ μὲν εὐπρεπέστερος, καθ' ἱστορίαν τῆς ἑλλάδος καὶ τῶν ἐκεῖσε παιδευτηρίων. ὁ δὲ ἀπορρητότερος, καὶ οὐ πολλοῖς γνώριμος, ὥστε τοῖς ἐκεῖσε θύταις καὶ ἀπατεῶσι περὶ τῶν καθ' ἑαυτὸν συγγενέσθαι, οὔπω παρρησίαν ἐχούσης τῆς ἀσεβείας. τότε τοίνυν, οὐ φαῦλος ἐγὼ τοῦ ἀνδρὸς εἰκαστὴς οἶδα γενόμενος. καίτοι γε οὐ τῶν εὖ πεφυκότων περὶ ταῦτα εἷς ὤν. ἀλλ' ἐποίει με μαντικὸν ἡ τοῦ ἤθους ἀνωμαλία, καὶ τὸ περιττὸν τῆς ἐκστάσεως. εἴπερ μάντις ἄριστος, ὅστις εἰκάζει καλῶς. οὐδὲν γάρ ἐδόκει μοι σημεῖον εὖ χριστοῦ, αὐχὴν ἀπαγής. ὦμοι παλλόμενοι, καὶ ἀνασηκούμενοι. ὀφθαλμὸς σοβούμενος, καὶ περιφερόμενος, καὶ μανικὸν βλέπων, πόδες ἀστατοῦντες, καὶ μετοκλάζοντες, μυκτὴρ ὕβριν πνέων, καὶ περιφρόνησιν, προσώπου σχηματισμοὶ καταγέλαστοι τὸ αὐτὸ φέροντες, γέλωτες ἀκρατεῖς τε καὶ βρασματώδεις, νεύσεις καὶ ἀνανεύσεις, σὺν οὐδενὶ λόγῳ. λόγος ἱστάμενος, καὶ κοπτόμενος πνεύματι, ἐρωτήσεις ἄτακτοι καὶ ἀσύνετοι. ἀποκρίσεις οὐδὲν τούτων ἀμείνους, ἀλλήλαις ἐπεμβαίνουσαι καὶ οὐκ εὐσταθεῖς, οὐδὲ τάξει προϊοῦσαι παιδεύσεως. τί ἂν τὰ καθ' ἕκαστον γράφοιμι; τοιοῦτον πρὸ τῶν ἔργων ἐθεασάμην, οἷον καὶ ἐπὶ τῶν ἔργων ἐγνώρισα. καὶ εἴ μοι τῶν τότε τινὲς τῶν τηνικαῦτα συνόντων καὶ ἀκουσάντων, οὐ χαλεπῶς ἂν ἐμαρτύρησαν. οἷς ἐπειδὴ ταῦτα ἐθεασάμην, εὐθὺς ἐφθεγξάμην· οἷον κακὸν ἡ ῥωμαίων τρέφει, καὶ προσαγορεύσας, καὶ γενέσθαι ψευδόμαντις ἐμαυτοῦ κατευξάμενος. κρεῖσσον γάρ, ἢ τούτων ἀπολαῦσαι τὴν οἰκουμένην κακῶν, καὶ τοιοῦτον ἀναφανῆναι τέρας. ὃ μήπω πρότερον, πολλῶν μὲν ἐπικλυσμῶν θρυλλουμένων, πολλῶν δὲ ἐμπρησμῶν καὶ βρασμῶν γῆς καὶ χασμάτων, ἔτι δὲ ἀνδρῶν ἀπανθρωποτάτων καὶ θηρίων ἀλλοκότων τε καὶ συνθέτων. ὧν ἡ φύσις ἐκαινοτόμησε. τούτου τοι καὶ τέλος ἄξιον ἐνήνοχε τῆς ἀπονοίας. ἐνταῦθα μόνον οὐκ ἀνασχομένου τοῦ θεοῦ τῆς συνήθους μακροθυμίας, ἔνθα πολλοῖς κακὸν ἦν τὸ φιλάνθρωπον, καὶ πολλὴν μὲν ἔμελλε παρέξειν ἀθυμίαν τοῖς κατορθοῦσι· πολλὴν δὲ τοῖς ἁμαρτάνουσι καταφρόνησιν, ὡς οὐκ ἐφορῶντος οὐδενὸς τὰ ἡμέτερα, οὐδὲ ὄντος τινὸς κυβερνήσοντος, ἢ ἀνταποδόσεως, ἀλλὰ τοῦ αὐτομάτου τὸ πᾶν φέροντός τε καὶ περιάγοντος. ὃ διανοίας δεῖ πονηρᾶς, καὶ λίαν ἐπισφαλοῦς περὶ τῶν μεγίστων διημαρτηκυίας. ταῦτα τῶν γαλιλαίων ἡμῶν. ταῦτα τῶν ἀτίμων τὰ διηγήματα. ταῦτα οἱ τὸ ἐσταυρωμένον προσκυνοῦντες ἡμεῖς. ταῦτα οἱ τῶν ἁλιέων μαθηταί, καὶ τῶν ἀπαιδεύτων ὡς αὐτὸ λέγουσι. ταῦτα οἱ τοῖς γραϊδίοις συγκαθιζόμενοι, καὶ συμψάλλοντες. ταῦτα οἱ ταῖς μακραῖς νηστείαις ἐκτετηγμένοι, καὶ ἡμιθνῆτες. ταῦτα οἱ μάτην ἀγρυπνοῦντες ἡμεῖς. καὶ ταῖς παννυχίσι στάσεσι παραληροῦντες, καὶ ἡμᾶς καταβάλλοντες. ποῦ εἰσὶν οἱ γραμματικοί, ποῦ εἰσὶν οἱ σύμβουλοι, ἐκ τῶν παρ' ἡμῖν τινος ἀσόφων. ὥς γ' ἂν ὑμῖν δοκεῖ, λαμβανόντων ἐπινίκιον, ποῦ αἱ θυσίαι καὶ τελεταὶ καὶ μυστήρια. ποῦ σφάγια φανερά τε καὶ ἀφανῆ, ποῦ τέχνη κατὰ τῶν οἰομένων ἐπινοουμένη, ποῦ τερατεία περιγραφάς, καὶ σημεῖα ἐγγαστριμύθων, ποῦ Βαβυλὼν ἡ ἄδοξος θρυλλουμένη, καὶ οἰκουμένη πᾶσα περινοουμένη, δι' ὀλίγου καὶ ἀνάγνου αἵματος, ποῦ δὲ οἱ ἐν τῇ χειρὶ κρατούμενοι πάρεδροι καὶ μῶδοι, ποῦ δὲ οἱ προπεμπόμενοι καὶ παραπέμποντες καὶ προπέμποντες, καὶ προπολεμοῦντες, καὶ συμπολεμοῦντες θεοί. ποῦ αἱ κατὰ χριστιανῶν μαντεῖαι καὶ ἀπειλαί, καὶ ἡ κατὰ προθεσμίαν κατάλυσις ἡμῶν μέχρις ὀνόματος. οἴχεται πάντα, διέψευσται, διερρύηκεν, ὄναρ ἐφάνη, τῶν ἀσεβῶν τὰ κομπάσματα. ὁ μὲν οὖν τοῦ Ἰούδα βασιλεὺς Ἐζεκίας, ἐλθόντος ἐπ' αὐτὸν δυνάμει πολλῇ τῶν ἀλλοφύλων τινὸς βασιλέως, καὶ στρατοπέδῳ κυκλοῦντος τὴν ἱερουσαλήμ, λέγοντός τε βλασφήμως καὶ ἀσεβῶς κατά τε τοῦ βασιλέως καὶ αὐτοῦ τοῦ θεοῦ πικρῶς ἀπορρίψαντος, ὡς οὐδ' ἂν ὁποιουοῦν γένηται περισώσοντος ἐκ τῆς αὐτοῦ δυναστείας τὴν πόλιν, ἐπὶ τὸ ἱερὸν ἐλθὼν, καὶ τὴν ἐσθῆτα περιρρηξάμενος, δακρύων τε προχέων πηγάς, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας, τὸν θεὸν τῆς Σεναχηρεὶμ βλασφημίας ἐπιμαρτύρεται. κἀκεῖνον ἔκδικον γενέσθαι, τῆς τῶν ἀπειλουμένων ὑπερηφανίας ἐπιζητεῖ. εἰδὼς κύειν λέγων,

ὅσα ὠδίνει

χρηστοῦ

ἀντὶ

ὅσα ὠνείδισέ σε ὁ ἀλλόφυλος, τὸν Θεὸν τοῦ Ἰσραήλ. ἀλλὰ σὺ κύριε, μὴ παρασιωπήσῃς, καὶ οὐκ ἐψεύσθη γε τῆς αἰτήσεως. ἀλλ' ἔκειτο ἔργον τῆς ἑαυτοῦ μανίας ὁ θεομάχος, καὶ ἀπῆλθεν ἄπρακτος μετὰ τῶν ἀπειλῶν, ὑπό τινος ἀοράτου δυνάμεως ἐπιπεσούσης ἄφνω. καὶ τὸ πολὺ τῆς στρατιᾶς ἀποβαλὼν, καὶ ἀγγελίᾳ πικρᾷ μεταναστὰς, ἀδοκήτως λύει καὶ τὴν πολιορκίαν, καὶ τὰς ἐλπίδας. ταῦτα Ἐζεκίας ὁ τὴν πολλὴν περιβεβλημένος δύναμιν, ὁ τῆς μεγάλης βασιλεὺς Ἱερουσαλήμ, ὁ τάχα ἂν ἀχρηστούμενος, καὶ δι' ἑαυτοῦ τὸν πόλεμον. ἡμεῖς δὲ οἷς μόνον καὶ ὅπλον, καὶ τεῖχος, καὶ ἄλλο πᾶν ἀμυντήριον, ἡ πρὸς τὸν Θεὸν ἐλπὶς ὑπελείπετο πάντων ἀνθρωπίνων περιῃρημένοις καὶ περικεκομμένοις ἐπικουρίαν πανταπᾶσι. τίνα ἄρα ἕτερον, ἢ τὸν τῆς εὐχῆς ἀκροατὴν, ἢ κωλυτὴν τῶν ἀπειλουμένων ἕξειν ἐμέλλομεν, ἢ τὸν ὀμνύοντα κατὰ τῆς ὑπερηφανίας Θεὸν Ἰακώβ; ὢ τῶν ἀπίστων διηγημάτων, ὢ τῆς τῶν ἐλπιζομένων θρασύτητος. ἐπηγγέλθημεν ἀντ' ἄλλου τινὸς ἱερεῖα τοῖς δαίμοσι, καὶ ἡ μεγάλη τοῦ Θεοῦ κληρονομία, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα μιᾶς ἆθλον ἐλπίδος καὶ ἑνὸς πολέμου νικητήριον ἐγενόμεθα. ταῦτα χριστιανοῖς παρὰ σοῦ ἀνθ' ὧν ἐσώθης διὰ τὸν κακῶς τὰ ἐπίχειρα; ταῦτα κυρίῳ τῷ Θεῷ ἀνταπόδωκας; πρότερον μὲν οὖν ἐπιεικῶς ἔτι ἀνεῖχε καὶ ἀνεβάλλετο τὴν ὑπὲρ ἡμῶν ὀργὴν ὁ Θεὸς, καὶ οὕτω πάντα τὸν ἑαυτοῦ ζῆλον ἐξέκαυσεν, ἀλλ' ὑψηλὴν ἔτι κατὰ τῶν ἀσεβῶν εἶχε τὴν χεῖρα καὶ τὸ τόξον ἐνέτεινε μὲν καὶ ἡτοίμασε, κατεῖχε δὲ βίᾳ, καὶ ὥσπερ τι νόσημα ὕπουλον καὶ κακόηθες ἐκραγῆναι πρότερον ὅλην αὐτοῦ τὴν πονηρίαν ἀνέμενεν. ὥσπερ δὴ Θεοῦ κρίσεως νόμος, ἵν' ἢ σώσῃ μετανοίᾳ, ἢ κολάσηται δικαιότερον, τότε μὲν συνεχώρει τοιοῦτος τοῖς γινομένοις, καὶ πρὸς τὸ μέλλον κάμνοντος. οὐ γὰρ ἐφέρομεν τὴν ἀχρηστουμένην αὐτοῦ τοῖς οἰκείοις χρηστότητα, ἐκείνας ἠφίεμεν πρὸς τὸν Θεὸν τὰς φωνὰς, τὰς μὲν ὡς δεσπότην ἐπικαλούμενοι, τὰς δὲ ὡς πρὸς πατέρα χρηστὸν ποτνιώμενοι, τὰς δὲ καὶ ὀνειδίζοντες καὶ δικαιολογούμενοι πρὸς αὐτὸν, οἷα τὰ τῶν ἀλγούντων, ἵνα τί ἀπώσω ὁ Θεὸς εἰς τέλος. ὠργίσθη ὁ θυμός σου, ἐπὶ πρόβατα νομῆς σου. καὶ μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἣν περιεποιήσω τοῖς τοῦ μονογενοῦς λόγου σου πάθεσιν, ἣν τῆς μεγάλης σου διαθήκης ἠξίωσας καὶ εἵλκυσας εἰς οὐρανὸν τῷ καινῷ μυστηρίῳ, καὶ τῷ ἀρραβῶνι τοῦ πνεύματος. ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὑπομιμνήσκοντες ὅσα ἐπονηρεύσαντο κατὰ τῶν ἁγίων σου, οἱ ἐχθροὶ, καὶ κατὰ τῶν ἑορτῶν σου ἐνεκαυχήσαντο. τὴν ῥομφαίαν τε προσεκαλούμεθα, καὶ τὰς αἰγυπτιακὰς μάστιγας, καὶ δικάσαι τὴν ἑαυτοῦ δίκην ἐδεόμεθα καὶ διαναστῆναί ποτε διεκελευόμεθα, κατὰ τῶν ἀσεβῶν. ἕως πότε ἁμαρτωλοὶ κύριε λέγοντες, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται, τόν τε λαόν σου ταπεινώσουσι, καὶ τὴν κληρονομίαν σου κακώσουσι. φθέγξονταί τε ὁμοίως ἀνομίαν, καὶ φράσουσι, καὶ μὴν κἀκείνας ἔτι τὰς ἱερὰς καὶ τούτων οἰκειοτέρας φωνάς· ἰδοὺ ἡμᾶς εἰς ἀπολογίαν καὶ ὕβριν τοῖς γείτοσιν ἡμῶν, παραβολήν τε τοῖς ἔθνεσι, καὶ γέλωτα πᾶσιν ἀνθρώποις. ἀμπελῶνά τινα ἐλέγομεν, καὶ ἐξ Αἰγύπτου μετενηνεγμένην τοῦ σκοτεινοῦ ἀθεΐας, καὶ εἰς κάλλος πίστεως αὐξηθεῖσαν καὶ μέγεθος. εἶτα τὸν φραγμὸν περιῃρημένην, τὴν φρουροῦσαν τέως ἡμᾶς ἐπισκοπὴν τοῦ Θεοῦ, καὶ πᾶσι τοῖς διοδεύουσιν ἐκκειμένην πονηροῖς δυνάσταις καὶ λελυμασμένην ἀγρίῳ συΐ, τῷ τὴν κακίαν ἰδιάζοντι πονηρῷ, καὶ κακίας βορβόρου γέμοντι. ταῦτα μὲν οὖν πρότερον καὶ διενοούμεθα, καὶ ἀνεβόων πρὸς τὸν Θεόν. νυνὶ δὲ οἵας ἀνθ' οἵων μεταλαμβάνω φωνάς. θρηνῶ λοιπὸν τὴν ἀσεβῶν τὴν ἀπώλειαν, καὶ γίνομαι φιλάνθρωπος τοῖς μισοῦσι, καὶ τοιαῦτα φθέγγομαι. πῶς ἐγένοντο εἰς ἐρήμωσιν, ἐξαίφνης ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν, ὡς κονιορτὸς ὃν ὑφέλετο λαῖλαψ, ὡς χοῦς ὑπ' ἀνέμου διαρριπτόμενος, ὡς ἑωθινὴ δρόσος, ὡς ῥοῖζος παμφθόρος βέλους, ὡς βολὴ βροντῆς, ὡς ἀστραπὴ διάττουσα. εἰ μὲν οὖν νῦν μεταβληθεῖεν, καὶ τῆς πολλῆς παυσάμενοι πλάνης καὶ μέθης, μεταδιώξαιεν τὴν ἀλήθειαν, τάχα ἄν τι γένοιτο κέρδος αὐτοῖς καὶ τοῦ πτώματος. ἐπειδὴ καὶ τὸ παιδευθῆναι πολλάκις, εἰς καλὸν τοῖς πάσχουσιν. εἰ δ' ἐπὶ τῆς αὐτῆς μένοιεν γνώμης, καὶ περιέχοιντο τοῦ εἰδώλου ἔτι, καὶ ὃ μηδὲ τὸν ἠλιθίων παιδεία, σωφρονισθεῖεν τῇ συμφορᾷ. τὴν μὲν Ἱερουσαλὴμ θρηνεῖ τοσοῦτον Ἱερεμίας, ὥστε καὶ τοῖς ἀψύχοις διακελεύεται θρηνεῖν, καὶ τῶν τειχῶν προκαλεῖται δάκρυον. τούτοις δὲ τίς εὑρεθήσεται θρῆνος ἐπάξιος; ἢ τίς ἂν ὀδύραιτο τῶν παρόντων, ἀφεὶς τὰ τῆς μελλούσης δακρύειν κολάσεως; ἀνθ' ὧν ἠφάνισαν τὸ ἐμακρύνθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς λατρεύουσι τῷ Θεῷ ἐπανέστησαν, καὶ χεῖρα ἐπανετείναντο δυσσεβῆ, καὶ τοιαύτην κακῶν ἀξίαν. τοῦτο μὲν οὖν ὅπῃ τῷ Θεῷ φίλον οὕτως ἐχέτω. τίς οἶδεν εἰ ὁ λύων τοὺς πεπεδημένους Θεὸς καὶ ἀνάγων ἐκ τῶν πυλῶν τοῦ θανάτου, τὸν βαρύν τε καὶ κάτω νεύοντα, ὁ μὴ βουλόμενος τοῦ ἁμαρτωλοῦ τὸν θάνατον, ἀλλὰ τὴν ἐπάνοδον, ὁ καὶ ἡμᾶς καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου φωτίσας καὶ συνετίσας, καὶ τούτους ποτὲ ἀναλήψεται, καὶ ποιμανεῖ τῇ ποιμαντικῇ ῥάβδῳ, τὴν βαρεῖαν καὶ σιδηρᾶν καταθέμενος. ἐμοὶ δὲ πάλιν πρὸς τὸν αὐτὸν ἐπινίκιον ἀναδραμεῖται ὁ λόγος, ἔπεσε Βὴλ, συνετρίβη Δαγὼν, ἕλη ἐγένετο ὁ Σαρὼν,

κατηχθώθη ὁ λίβανος, οὐκ ἔτι οὐ μὴ ἔμπνοσι τῶν μορφῶν ἄρχειν, τῶν ἀκινήτῳ καὶ ἀναισθήτῳ τὴν εἰδώλων σχήματι. οὐδὲ ζητήσουσι μυῖαν θεὸν ἀκαρῶν, ἢ εἴ τι τούτων ἐστὶ γελοιότερον, οὐκ ἔτι τὰ ἄλση τιμήσουσι καὶ τὰ ὑψηλά, καὶ πᾶν ὄρος εὔκομον καὶ κατάσκιον, οὐκ ἔτι θύσουσι τοὺς υἱοὺς αὐτῶν, ἢ τὰς θυγατέρας τοῖς δαιμονίοις, ὅπερ πάλαι ὁ Ἰσραὴλ ὑπὸ τῶν προφητῶν ὠνειδίζετο. ἀλλὰ τί τοῦτο ἐμοί, πρὸς τὰ παρόντα καὶ ἡμέτερα τρέψομαι, οὐκ ἔτι τοῖς ἱεροῖς οἴκοις ἡμῶν πονηρῶς ἐμβλέψουσιν, οὐκ ἔτι μιανοῦσιν αἵματι μιαρῷ τὰ τῆς καθαρωτάτης καὶ ἀναιμάκτου θυσίας ἐπώνυμα θυσιαστήρια. οὐδὲ βωμοῖς ἀθέοις τὰ ἄβατα καταισχυνοῦσιν, οὐκ ἔτι συλήσουσι καὶ βεβηλώσουσιν ἀναθήματα, πλεονεξίᾳ ἀσέβειαν μίξαντες, οὐκ ἔτι καθυβρίσουσι πολιὰν ἱερέων, σεμνότητα διακόνων, αἰδῶ παρθένων, οὐκ ἔτι σπλάγχνοις ἁγίων ἀνατμηθεῖσιν ἐπιφήσουσι συῶν μιαρίαν, ἵν᾽ ὁμοῦ τε τῆς τροφῆς, καὶ τῶν σπλάγχνων ἐμφορηθῶσιν, οὐκ ἔτι προσοίσουσι πῦρ μαρτύρων μνήμασιν, ὡς ἄλλων ἐφέξοντες ἄθλησιν, ταῖς κατ᾽ αὐτῶν ἀτιμίαις. οὐκ ἔτι πυρὶ καταναλώσουσιν ἁγίων λείψανα, ὅσοις ἀτιμοτάτοις συνατιμάζοντες, καὶ τοῖς ἀνέμοις δώσουσιν, ἵνα καὶ τῆς ὀφειλομένης τιμῆς τοῖς τοιούτοις ἀποστερήσωσιν. οὐκ ἔτι καθέδρας λοιμῶν συγκροτήσουσι τοῖς κατ᾽ ἐπισκόπων ἢ πρεσβυτέρων, ἔτι δὲ προφητῶν ἢ ἀποστόλων, καὶ αὐτοῦ τοῦ Χριστοῦ βλασφημίαις ἐντρυφήσουσιν. οὐκ ἔτι τυραννήσουσι καθ᾽ ἡμῶν νόμῳ τῆς κιβδήλου παιδεύσεως ἀποκλείσαντες, ὡς ὁμοῦ τούτῳ, καὶ τὰς γλώσσας ἡμῶν ἐμφράξοντες. δός μοι τοὺς λόγους τοὺς σοὺς βασιλικούς τε καὶ σοφιστικούς, τοὺς ἀφύκτους συλλογισμούς σου, καὶ τὰ ἐνθυμήματα. ἴδωμεν οἷα καὶ παρ᾽ ἡμῖν οἱ ἁλιεῖς καὶ ἄγροικοι φθέγξονται. μετάστησον ἤχου ᾠδῶν σου, καὶ ψαλμὸν ἐργάσασθαι σε διακελεύεταί σοι προφήτης ἐμός. ᾀδέτω δὲ αὖθις σοι ἐλευθερίας Δαβίδ, ὁ τὸν ὑψηλὸν Γολιὰθ λίθοις μυστικοῖς καταβαλών, ὁ διὰ τῆς πραότητος νικήσας πολλούς, καὶ διὰ τῆς πνευματικῆς ἁρμονίας θεραπεύσας Σαοὺλ τὸν τῷ πονηρῷ δαίμονι συμπνιγόμενον. σβεσάτω τὸ πῦρ ὁ δαδοῦχος. ἁπτέτωσαν τῷ νυμφίῳ αἱ φρόνιμοι καὶ ἱεραὶ παρθένοι τὰς ἑαυτῶν λαμπάδας. ἀποθέσθω τὴν ποδήρη ἱεροφάντης στολήν, ἱερεῖς ἐνδύσασθε δικαιοσύνην, ἢ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας, ἢ τὸν μέγαν ἢ ἄραφον χιτῶνα Χριστοῦ, τὸ ἡμέτερον κόσμημα. σιγάτω σὸς κῆρυξ τὰ ἄτιμα, φθεγγέσθω κῆρυξ ἐμὸς τὰ ἔνθεα. παυσάσθωσαν τὰς γοητικὰς ἢ μαντικὰς βίβλους, αἱ προφητικαὶ δὲ καὶ ἀποστολικαὶ μόναι ἀνελιττέσθωσαν, ἐπισχέτωσαν τὰς αἰσχρὰς καὶ σκότους γεμούσας νύκτας, ἀντιδότωσαν τὰς ἱερὰς ἐμοὶ καὶ λαμπρὰς παννυχίδας, φραξάτω τὰ ἄδυτά σου, καὶ τὰς εἰς ᾅδου φερούσας ὁδοὺς ἐγὼ τὰς φανεράς, καὶ φερούσας πρὸς οὐρανὸν ἐξηγήσομαι. ποῦ σοι ταῦτα αἱ καταπλῆξαι τοῦ στόλου παρασκευαὶ καὶ μηχανήματα τὴν ἐπίνοιαν, ποῦ σου μυριάδες ἀνδρῶν καὶ φάλαγγες, ὅσα ἱκετεύοντες μόνον ἡμεῖς καὶ θεὸς βουληθεὶς κατειργάσατο. λόγῳ τὸ σκότος ἤλασε, λόγῳ τὸ φῶς ὑπεστήσατο, ἤδρασε γῆν, ἐγύρωσεν οὐρανόν, ἀστέρας ἔταξεν, ἐστόρεσεν ἀέρα, θάλασσαν ὥρισε, ποταμοὺς εἵλκυσε, ζῷα ἐψύχωσεν, ἄνθρωπον πρὸς ἑαυτὸν ἐμόρφωσε, κόσμον τοῖς ἅπασι περιέθηκε, λόγῳ καὶ τὴν νῦν σκοτομήνην λύσας εἰς φῶς ἅπαντα καὶ τάξιν, καὶ ἁρμονίαν τὴν αὐτῆς ἐπανήγαγεν. οὐκ ἔτι μὲν λίχνοι καὶ ἀπατηλοὶ δαίμονες δυναστεύουσιν, οὐκ ἔτι δὲ καθυβρίζεται κτίσις σχήμασι τιμῆς ἀντὶ θεοῦ προσκυνουμένη. κατάβαλε τοὺς περιπολίμους σου καὶ τοὺς κηλητάς, καὶ τοὺς μυστικοὺς δράκοντας. αἰσχύνθητί ποτε ταῖς τῶν θεολόγων σου βίβλοις Ὀρφέως. δέξαι τοῦ κηρύγματος τὸ δῶρον, τὴν ἀσχημοσύνην σου συγκαλύπτοντος. εἰ δὲ ταῦτα μῦθοι καὶ πλάσματα, ἐγώ σου τὰ τῆς νυκτὸς ἀποκαλύψω μυστήρια, οὐκ ἔτι φθέγγεται δρῦς, οὐκ ἔτι λέβης μαντεύεται, οὐκ ἔτι Πυθία πληροῦται, οὐκ οἶδ᾽ ὧν τινων πλὴν μύθων καὶ ληρημάτων. πάλιν ἡ Κασταλία σεσίγηται καὶ σιγᾷ, καὶ ὕδωρ ἐστὶν οὐ μαντευόμενον, ἀλλὰ γελώμενον. πάλιν ἀνδριὰς ἄφωνος ὁ Ἀπόλλων, πάλιν ἡ Δάφνη φυτόν ἐστι μύθῳ θρηνούμενον, πάλιν ἀνδρόγυνος ὁ Διόνυσος, καὶ χορὸς μεθυόντων ἴσχει τιμώμενος, καὶ τὸ μέγα σου μυστήριον ὁ φαλλός, καὶ πρὸς ὕμνῳ τῶν καλῶν θεὸς παθαινόμενος· πάλιν Σεμέλη κεραυνῷ βάλλεται, πάλιν ἀμφιγυήεις Ἥφαιστος, ἀλλὰ ταχὺς εἰς μοιχῶν εὕρεσιν. καὶ θεὸς κατηθαλαμένος εἰ καὶ κλυτοτέχνης, καὶ Θερσίτης Ὀλύμπιος. πάλιν δεσμώτης Ἄρης διὰ μοιχείαν μετὰ τοῦ Δείμου, καὶ τοῦ Φόβου, καὶ τὴν κωμῳδίαν, καὶ τραυματίας διὰ θρασύτητα. πάλιν Ἀφροδίτη πόρνη γινωμένη τε αἰσχρῶς, καὶ γάμων αἰσχρῶν ὑπηρέτις. πάλιν Ἀθηνᾶ παρθένος τέ ἐστι, καὶ τίκτει δράκοντα. πάλιν Ἡρακλῆς μαίνεται, μᾶλλον δὲ μαινόμενος πέπαυται. πάλιν τὰ πάντα γίνεται δι᾽ ἀσέλγειαν καὶ ἀκαθαρσίαν ὁ Ζεύς, ὁ τῶν θεῶν μήστωρ καὶ ὕπατος, καὶ μόνος μὲν πάντας σὺν πᾶσι τοῖς οὖσιν ἀνέλκων θεούς, αὐτὸς δὲ ὑπὸ πάντων οὐ καθελκόμενος. πάλιν τοῦ Διὸς τάφος ὁ Κρήτῃ δείκνυται, ἀνίδωσαν τὸν κόρδακα, καὶ τὸν λόγιον ἀγώνιον. συγκρύπτω τοὺς ὀφθαλμούς, καὶ παρατρέχω σου τὸν θεόν. αἰδοῖ τοῦ θεάματος, σὺ δ᾽ ἐμοὶ προσκύνει τὸ σιώπησον τοῦ λόγου καὶ τὸ ποικίλλιον· ὃ σὺ μόνος αἰδέσιμον.

αἱ τῶν

αἱ τῶν Αἰγυπτίοις δι' αἰθερογόνων τιμαὶ τοῦ Νείλου, αἵ τε Ἴσιδος, καὶ οἱ Μενδήσιοι θεοί, καὶ οἱ ἄπιδες. τἄλλά τε ὅσα πλάττεις ἢ γράφεις θηρία σύνθετα καὶ ἀλλόκοτα. γελῶ σου τὸν Πᾶνα καὶ τὸν Πρίαπον, καὶ τὸν Ἑρμαφρόδιτον, καὶ τοὺς ὑπὸ μανίας ἐκκεκομμένους ἢ διεσπασμένους θεούς. ἀλλὰ ταῦτα μὲν τῇ σκηνῇ παρίημι, καὶ τοῖς κοσμοῦσιν αὐτοὺς ποιηταῖς. ἐγὼ δὲ εἰς παραίνεσίν τινα καταλύσω τὸν λόγον. ἄνδρες ὁμοῦ καὶ γυναῖκες, νέοι τε καὶ πρεσβύται, ὅσοι τε εἰς τὸ βῆμα ἔσω τελεῖτε, καὶ ὅσοι τὴν κάτω τετάχθε χώραν, πάντες ὅσους ἐλυτρώσατο κύριος. πρότερον μὲν ἐκ τῆς πλάνης καὶ τῆς ἀσεβείας, νυνὶ δὲ τῆς ἐπαναστάσεως τῶν ἐχθρῶν, καὶ τῶν ἤδη γε παρόντων κακῶν καὶ προσδοκωμένων ἀκούσατε λόγον αἰδέσιμον οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου, ἔκ τε τῶν ὁσημέραι συμβαινόντων καὶ τῶν παλαιῶν ἱστοριῶν καὶ βίβλων, καὶ πράξεων. μέγα μὲν γὰρ μηδενὸς πειραθῆναι τῶν δυσχερῶν. ἴσως δὲ οὐδὲ μέγα, εἴπερ ἀληθὴς ὁ λόγος, ὃ δ' ἂν ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται, καὶ οὐ κήδεται. ἀλλὰ μέγα μὲν γὰρ μηδὲ τὴν ἀρχὴν τυχεῖν ἁμαρτόντας, ἢ μὴ τὰ μέγιστα. ἐπειδὴ γὰρ τὸ παντελῶς ἀναμάρτητον, ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἔταξεν ὁ θεός. δεύτερον δέ, ὡς ἔμοιγε δοκεῖ, τὸ πταίσαντάς τι καὶ παιδευθέντας, εἶτα ἐπανελθόντας ἐν αἰσθήσει γοῦν διαμεῖναι τῆς παιδαγωγίας, καὶ φυγεῖν δευτέραν ἐκ δευτέρας κακίας μάστιγα. τοιγάρτοι καὶ ἡμεῖς ἔργῳ τῆς θείας παιδεύσεως ἐπαιδευθώμεθα. δείξωμεν ἡμᾶς αὐτοὺς ἀξίους οὐχ ὧν πρότερον πεπόνθαμεν, ἀλλ' ὧν ὕστερον τετυχήκαμεν. ἀναλογισώμεθά τι περὶ τῆς κατασχούσης ἡμᾶς συμφορᾶς, ὅτι οὐχ ὡς κακοῦργοι τοῖς ἔθνεσι παρεδόθημεν, ἀλλ' ὡς παῖδες ἐσωφρονίσθημεν. μὴ ἐπιλαθώμεθα τῆς ζάλης ἐν τῇ γαλήνῃ, μηδὲ τῆς ἀρρωστίας ἐν τῷ καιρῷ τῆς ὑγιείας, μηδὲ τῆς αἰχμαλωσίας, ἀνασωθέντες εἰς τὴν Ἱερουσαλήμ, μηδὲ τῆς Αἰγύπτου μετὰ τὴν Αἴγυπτον. μὴ ποιήσωμεν ἀμείνω τὸν τῆς κακοπαθείας καιρὸν τοῦ τῆς ἀνέσεως. ποιήσωμεν δέ, εἰ φανούμεθα τότε μὲν συνεσταλμένοι, καὶ μετριάζοντες, καὶ πάσας εἰς οὐρανὸν ἀνατείνοντες τὰς ἐλπίδας. νυνὶ δὲ ἐπαιρόμενοι καὶ χαυνούμενοι, καὶ πάλιν εἰς τὰς αὐτὰς ἀναστρέφοντες ἁμαρτίας, ἐξ ὧν εἰς τὰς συμπεσούσας ἡμῖν συμφορὰς ὑπήχθημεν, μὴ οὕτω γένοιτο μή. λέγει που καὶ θεσπέσιος ὁ ἱερεὺς Ἠλεὶ τοὺς ἑαυτοῦ παῖδας εἰς θεὸν ἁμαρτάνοντας. ἀλλ' εἰδότες ὅτι ῥᾷόν ἐστιν, εὐπραγίαν ἀπελθοῦσαν ἀνακαλέσασθαι, ἢ παραγενομένην ἐκ θεοῦ διασώσασθαι. τὴν μὲν γὰρ τὸ σωφρονεῖν ἐπανάγει, τὴν δὲ διαλύει τὸ ῥᾴθυμον. καὶ ὅτι τὰ σώματα κάμνοντα μὲν, ταῖς θεραπείαις ἀναφέρει καὶ ταῖς ἐνδείαις, ἀνειληφότα δὲ ταῖς κατὰ μικρὸν ἀμελείαις καὶ ταῖς πλησμοναῖς, πάλιν ὑπορρεῖ, καὶ πρὸς τὰς αὐτὰς ἀρρωστίας ἐπάνεισι. ταῦτα εἰδότες, καὶ ἀλλήλους διδάσκοντες, γενώμεθα ἡμῶν αὐτῶν. καὶ σωφρόνως τὸν καιρὸν διαθώμεθα, πρῶτον μὲν ἀδελφοὶ πανηγυρίσωμεν, μὴ φαιδρότητι σώματος, μηδὲ ἐσθῆτος ἐξαλλαγαῖς, καὶ ποικιλίαις, μηδὲ κώμοις καὶ μέθαις, ὧν κοίτας καὶ ἀσελγείας τὸν καρπὸν ἐμάθετε. μηδὲ ἄνθεσι στέψωμεν ἀγυιάς, μηδὲ μύρων αἰσχύναις τραπέζας, μηδὲ πρόθυρα καλλωπίσωμεν, μὴ τῷ αἰσθητῷ φωτὶ καταλαμπέσθωσαν οἰκίαι, μηδὲ συναυλίαις καὶ κρότοις περιηχείσθωσαν. οὗτος μὲν γὰρ ἑλληνικῆς ἱερομηνίας ὁ νόμος. ἡμεῖς δὲ μὴ τούτοις τὸν θεὸν γεραίρωμεν, μηδὲ τὸν παρόντα καιρὸν ἐπαίρωμεν, οἷς οὐκ ἄξιον, ἀλλὰ ψυχῆς καθαρότητι, καὶ διανοίας φαιδρότητι, καὶ λύχνοις τοῖς ὅλον τὸ σῶμα φωτίζουσι τῆς ἐκκλησίας, θείοις λέγω θεωρήμασι καὶ νοήμασιν ἐπί τε τὴν ἱερὰν λυχνίαν ἐγειρομένοις, καὶ πᾶσαν τὴν οἰκουμένην καταλάμπουσι, μικρόν μοι πρὸς τοῦτο τὸ φῶς, πάντα ὅσα ἰδίᾳ τε καὶ δημοσίᾳ πανηγυρίζοντες ἀνάπτουσιν ἄνθρωποι. ἔχω τι καὶ μύρον (ἀλλ' ᾧ χρίονται μόνον ἱερεῖς τε καὶ βασιλεῖς ὄντι ποικίλῳ τε καὶ πολυτελεῖ, καὶ δι' ἡμᾶς κενωθέντι) μεγάλου μυρεψοῦ τέχνῃ συγκείμενον. εἴθε μοι γένοιτο τούτου τοῦ μύρου τὴν εὐωδίαν προσβαλεῖν τῷ θεῷ. ἔχω καὶ τράπεζαν τὴν πνευματικὴν ταύτην καὶ ἔνθεον, ἣν ἡτοίμασέ μοι κύριος ἐξ ἐναντίας τῶν θλιβόντων με. ᾗ προσαναπαύομαι καὶ τρυφῶ, καὶ οὐδὲν ἐξυβρίζω διὰ τὸν κόρον. ἀλλὰ καὶ κοιμίζω πᾶσαν παθῶν ἐπανάστασιν, ἔχω καὶ ἄνθη πάντων ἐαρινῶν εὐανθέστερά τε καὶ μονιμώτερα, τοῦ ἀγροῦ τοῦ πλήρους, ὃν εὐλόγησε κύριος, τοὺς ἱερεῖς καὶ εὐώδεις ποιμένας καὶ διδασκάλους, καὶ τοῦ λαοῦ, ὅσον καθαρόν τε καὶ ἔκκριτον. τούτοις στεφανωθῆναι βούλομαι καὶ πομπεῦσαι, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, κατὰ τὸν ἱερὸν ἀπόστολον. ἀναλάβωμεν ὕμνους ἀντὶ τυμπάνων, ψαλμῳδίαν ἀντὶ τῶν αἰσχρῶν λυγισμάτων καὶ ᾀσμάτων, κρότον εὐχαριστήριον, ἀντὶ κρότων θεατρικῶν, καὶ χειρῶν πρᾶξιν εὔηχον. σύννοιαν ἀντὶ γέλωτος, ἀντὶ μέθης ἔμφρονα λόγον, ἀντὶ θρύψεως σεμνοπρέπειαν, εἰ καὶ ὀρχήσασθαι δεῖ σε, ὡς πανηγυριστὴν καὶ φιλέορτον, ὄρχησαι μέν, ἀλλὰ μὴ τὴν Ἡρωδιάδος ὄρχησιν τῆς ἀσχήμονος, ἧς ἔργον, βαπτιστοῦ θάνατος· ἀλλὰ τὴν Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ, ἣν ἡγοῦμαι τῆς εὐκινήτου καὶ πολυστρόφου κατὰ θεὸν πορείας εἶναι μυστήριον. πρῶτον μὲν δὴ τοῦτο καὶ μέγιστον τῆς ἡμῶν παραινέσεως. δεύτερον δὲ χαλεπὸν οἶδα λέγων ἐρῶ, καὶ δυσπαράδεκτον τοῖς πολλοῖς, φιλεῖ γὰρ ἡ ἐξουσία τῶν ἀνθρώπων

κακῶς γενόμενος ἄνθρωπος. ὅμως τε δὲ καὶ δικαίαν ἔχει τὴν ὀργήν, ἐξ ὧν πέπονθεν ἴσως
σα λόγῳ πείθεσθαι χαλινοῖς, τὸν θυμὸν ἀνακόπτοντος, ἀνασχέσθαι δὲ ὅμως καὶ προσδε-
χθῆναι ἄξιον. μὴ ἀπλήστως χρησώμεθα τῷ καιρῷ, μὴ κατατρυφήσωμεν τῆς ἐξουσίας, μὴ πι-
κροὶ γενώμεθα τοῖς ἠδικηκόσι. μὴ ὧν κατέγνωμεν, ταῦτα πράξωμεν. ἀλλ' ὅσον φυγεῖν τὰ
δεινὰ τῆς μεταβολῆς ἀπολαύσαντες, ὅσον εἰς ἀνταπόδοσιν ἥκει μισήσωμεν. αὐτάρκης δίκη τοῖς γε
μετρίοις, ὁ τῶν λελυπηκότων δέος, καὶ τὸ προσδοκῆσαι ταῦτα παθεῖν, ὧν εἰσὶν ἄξιοι, καὶ τὸ
κεῖσθαι συνειδότι βασανισθῆναι. ὃ γάρ τις ὡς πεισόμενος δέδοικε, τοῦτο τὰ πολλὰ καὶ μὴ πά-
θῃ, καὶ πλέον ἢ εἰ αὐτοῦ τυχὸν, ἢ τῶν δρασάντων κολάζεται. μὴ τοίνυν θελήσωμεν τὴν ὀρ-
γὴν μετρηθῆναι, μηδὲ φανῶμεν ἐλάττονα κολάσαι τῆς ἀξίας. ἀλλ' ἐπειδὴ τὸ παῦσαι εἰς πρά-
ξασθαι μὴ δυνάμεθα, τὸ παῦσαι συγχωρήσωμεν. γενώμεθα τούτῳ κρείττους τῆς ἠδικηκότων, καὶ
ὑψηλότεροι. δείξωμεν τί μὲν διδάσκουσιν ἐκείνων οἱ δαίμονες; τί δὲ ἡμᾶς ἐκπαιδεύει Χρι-
στός; ὃς οἷς πέπονθε τὸ εὐδοκιμεῖν ἔχων, οὐχ ἧττον νενίκηκεν οἷς δυνάμενος οὐ πεποίηκεν. ἀντι-
δῶμεν τῷ θεῷ χαριστήριον. αὐξήσωμεν χρηστότητι τὸ μυστήριον, εἰς ὃ τῷ καιρῷ χρησώμεθα,
νικήσωμεν ἐπιεικείᾳ τοὺς τυραννήσαντας. καὶ μάλιστα μετὰ φιλανθρωπίας ἴσω τὸ συγχωρεῖν;
καὶ ἡ τῶν ἐν τοσαύτῃ δύναμις, τὴν ἴσην ἀντιδιδοῦσα φιλανθρωπίαν ἡμῖν, ἐν οἷς αὐτοὶ χρῄζομεν.
ᾧ γὰρ μέτρῳ μετροῦμεν, ἀντιμετρεῖσθαι γινώσκομεν. εἰ δὲ καὶ λίαν τις πικρῶς ἔχει, ἀφῶμεν
θεῷ τοὺς λελυπηκότας, καὶ τῷ ἐκεῖθεν δικαστηρίῳ. μηδὲ τῆς μελλούσης ὀργῆς διὰ τῆς ἡμετέ-
ρας χειρὸς ἐλαττώσωμεν, μὴ δήμευσιν ἐννοήσωμεν, μὴ βήμασι παραστήσωμεν, μὴ πατρίδος ὑπε-
ρορίσωμεν, μὴ μάστιξιν αἰκισώμεθα, μηδέ τι τῶν ὅσα πεπόνθαμεν, ἢ ἔσω τι συντόμως
δράσωμεν. ποιήσωμεν καὶ ἐκείνους ἐπιεικεστέρους, εἰ ἄρα δυνηθῶσι, τῷ καθ' ἡμᾶς ὑποδεί-
γματι. εἴπω τι πέπονθεν υἱός, εἴπω πατήρ, εἴπω γυνὴ συγγενής, φίλος, ἢ ἄλλος τις τῶν τιμίων
πᾶσι τὸ παθεῖν ἔμμισθον καταστήσωμεν, διὰ τὴν πεῖσαι φέρειν καρτερῶς ἃ πεπόνθασι. τί μεῖ-
ζον αὐτοῖς, ἢ ἄλλό τι χαριούμεθα, εἴπω καὶ τὸ μέγιστον ὧν εὖ πάσχομεν; δήμοις καταβοῶνται ταῖς
πόλεσιν οἱ διώξαντες, ἐν θεάτροις, ἐν ἀγοραῖς, ἐν συλλόγοις. τὰ παλαιὰ μακαρίζεται, τὰ νέα στη-
λιτεύεται. ἐπὶ τῷ αὐτῷ τῷ συνδιωξάντων, ὃ καὶ παράδοξον, αὐτοὶ καθέλκονται περὶ αὐτῶν μὲν πάσης
καταβοάσθωσαν, οἱ θεοί, ὡς πολλῷ αὐτοὺς ἀπατήσαντες χρόνον, καὶ ὀψὲ τῆς ἀπάτης ἐλεγχθέντες.
καὶ ὁ χθὲς προσκυνητής, σήμερον ὑβριστής. τούτου τί μεῖζον ἐπιζητοῦμεν; νῦν ταῦτα καὶ ἴσως
μικρὰ τοῖς ἀθλίοις, ἔσται καιρὸς ἡνίκα ὀψόμεθα τοὺς ἡμᾶς ὑβρίσαντας, καὶ τὴν μέλαιναν ἐκεῖ κατα-
γαιον, τὴν ἑαυτῶν ἀπολαυομένους κακίαν, ἡνίκα ἂν πᾶσαν κρίνῃ καὶ βασανίζῃ πονη-
ρίαν. ἰδοὺ τὰ θεῖα καὶ τὰ ἡμέτερα, καὶ τὰς καθ' ἡμῶν ἐκεῖθεν ἀπηρτημένας μάστιγας. ἀλλὰ καὶ
ἐπὶ τοὺς σοὺς ἴδε λόγους καὶ φόβους, οὐ ποιηταῖς μόνοις, ἀλλὰ καὶ ἀνδράσι φιλοσόφοις
ἀρέσκοντας, τοὺς πυριφλεγέθοντάς σου καὶ τοὺς κωκυτούς, καὶ τοὺς ἀχέροντας, οἷς ἀδικίαν κολά-
ζουσι, ταντάλους, τιτυούς, ἰξίονας, ἐν λίαν ὃς ταύτης ὁ βασιλεὺς ὑμῶν τῆς φατρίας. μετ' ἐκεί-
νων ἀριθμηθήσεται, καὶ πρὸ ἐκείνων, κατά γε τὸν ἐμὸν λόγον καὶ ὅρον. οὐ δίψῃ κολαζόμενος ἐν λί-
μναις ἐπιγονέοις, ἢ κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον ὡς τῇ ῥαγῳδίᾳ δοκεῖ. ἀεὶ μὲν
ἀνωθούμενον, ἀεὶ δὲ καταστρεφόμενον, οὐδὲ ῥιζουμένῳ τροχῷ συγκυκλούμενος, οὐδὲ ὄρνισι, τὸ ἧπαρ κει-
ρόμενος, οὔποτε λεῖπον ἀεὶ δὲ πληρούμενον· εἴτε ἀλήθεια ταῦτά ἐστιν, εἴτε μῦθος, παραδεικνὺς τῆς
ἀληθείας ἐν τοῖς πλάσμασιν. ἀλλ' ὀψόμεθα τίσι καὶ οἵοις πλείοσι κολαζόμενον. καὶ ὡς πο-
λὺ τούτων χαλεπωτέροις εἴπερ πρὸς μέτρον τῶν ἁμαρτανόντων αἱ τίσεις καὶ ἀνταποδόσεις. τοῦ-
τό τοι αὐτὸ ποδὸς ξένιον ὦ λῷστε καὶ συνετώτατε, ἵνα σοι προσείπω τοῖς σοῖς. ταῦτα οἱ τῶν λό-
γων ἀπηλαθέντες ὑμεῖς, κατὰ τὴν μεγάλην καὶ θαυμαστὴν σου νομοθεσίαν. ὁρᾷς ὡς οὐκ εἰς τέ-
λος ἐμέλλομεν σιωπήσεσθαι, οὐδὲ ἀλογίαν καταχριθήσεσθαι τοῖς σοῖς δόγμασιν, ἀλλὰ ῥήξειν
φωνὴν ἐλευθέριον, καὶ τῆς σῆς ἐλεγκτικὴν ἀλογίας; οὔτε τοὺς νειλώους καταρράκτας ἐπισχεῖν
μηχανή τις, τοὺς ἀπ' Αἰθιοπίας ὑπὲρ Αἴγυπτον πίπτοντας, οὔτε ἡλιακὴν ἀκτῖνα, κἂν πρὸς
ὀλίγον νέφος καλύπτῃ, οὔτε χριστιανῶν γλῶσσαν παύσασθαι τὰ ὑμέτερα στηλιτεύουσαν. ταῦτά
σοι Βασίλειος καὶ Γρηγόριος οἱ τῆς σῆς ἐγχειρήσεως ἀντίθετοι καὶ ἀντίτεχνοι. ὡς αὐτός τε
ᾤου καὶ τοὺς ἄλλους ἔπειθες, ἀξιομνημόνευτον ἡμᾶς οἷς ἠπείλεις, καὶ ἔργων πλείω πρὸς τὴν ἀσέ-
βειαν, οὓς καὶ βίῳ καὶ λόγῳ, καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ περιφανεῖς καὶ γνωρίμους ἔτ'
ἀπὸ τῆς Ἑλλάδος εἰδὼς τὴν κυκλώπειον ἐτίμας τιμήν, καὶ τελευταίους ἐταμιεύου τῷ διω-
γμῷ, καὶ δῶρον ἐπινίκιον ἴσως ἐπενόεις τοῖς δαίμοσι, μέγα τι καὶ μεγαλοπρεπές, εἰ σοὶ ἀπὸ
τῆς περσίδος ὑποδέξονται ἐπανήκοντι, ἢ καὶ συναρπάσειν πρὸς τὸ σὸν βάραθρον ἤλπι-
σας, κακῶς οἰόμενος. οὐ γὰρ ἀγεννέστεροι τῶν νεανίσκων ἐκείνων ἡμεῖς, τῶν ἐν πυρὶ δροσισθέντων,
καὶ θῆρας νικησάντων ἐκ πίστεως, καὶ μητρὶ γενναίᾳ καὶ ἱερεῖ γενναιοτέρῳ προθύμως συγ-
κινδυνευσάντων, καὶ δειξάντων ὅτι μόνον τῶν ἁπάντων πίστις ἀνάλωτον, ἢ τούτων δὴ τῶν τρι-
ῶν νεανίσκων. ὧν ὁ μὲν τὴν μητέρα τῶν σῶν θεῶν καταλύσας, καὶ βωμὸν διασπείρας, προσήχθη-
μεν ὡς

μὲν ὡς κατάκριτος· ἐξῆλθε δὲ ὡς νικηφόρος. καὶ πολλαπλάσιον τῆς ἀλουργίδος καὶ τὴν λόγων κατεγέλασαι, ὡς ψοφολογικῶν καὶ γελοίων, μηδὲ πλεῖον τι ἐξῆλθε τῆς παρρησίας, ὡς εἴ τις ἀερόδεπτον ἐπαναστρέφοι, καὶ λαμπρῶς ἐστάλησαν. ὁ δὲ ἅπαν τὸ σῶμα διερχαλίσιν κατεξαίνετο εἰς βάθος, καὶ μικρὰ πνέων ἐπὶ τοῖς τραύμασι. τοσοῦτον ἀπεῖχεν ἐνδιδόναι πρὸς τὰς βασάνους, ἢ δεινόν τι τὴν πεῖραν νομίζειν, ὥστε ἐπειδή τι τοῦ σώματος εἶδεν ἀνεπηρέαστον ταῖς πληγαῖς, καὶ προσκαλεῖτο τοὺς βασανιστὰς, ὡς ὑβριστὰς, καὶ οὐ παῦσαι τὸ σῶμα τιμήσαντας, ἀλλά τι περὶ τὰς ἄξαι τοῦ καὶ ἀΐδιον. περιαδεφθεὶς ἅμα τὴν κνήμην, ὡς μόνην διαφυλάξαι τοὺς ὄνυχας, καὶ μηδὲ ταύτης φείδεσθαι διακελευόμενος. οὗτος ὁ λόγος σοι τῶν πορφυρῶν ψευσμάτων καὶ λημμάτων, οἷς ὑμεῖς ὡς θείαις φωναῖς ἀγάλλεσθε, ἢ τοῦ σοῦ Μιθροπώγωνος ἔτ' οὖν αἰγιοχίνου. ἀμφότερα γὰρ ἐπιγράφεις τῷ λόγῳ, οὐ τί χριστιανοῖς ἀτιμότερον; ὃν τότε μὲν ἡ πορφυρὶς μέγαν ἐποίει, καὶ οἱ παῖς τα τὰ σὰ θαυμάζοντες κόλακες. νῦν δὲ πώγων ἐστὶ πολὺ φερόμενος, καὶ πολυσυρόμενος, καὶ τοῖς συμπεπτωκόσιν ὁμοῦ γελώμενος, εἰ φῇ σύ, τῷ μὲν ἀπολείπῳ τοῦ σώματος, καὶ ἐστὶ μηδὲ πώποτε τυχεῖν ἀπεψηφίσαις ἐξ ἀπληστίας, μέγα φυσᾷς ὡς δή τι θαυμάσιον λέγων. ὅ δὲ χριστιανοὺς ἤλασας οὕτω πικρῶς, καὶ τοσοῦτον ἔθνος καὶ οὕτως ἱερὸν περὶ ἀλγεινὰς, ἐκεῖνον περιεῖχες, καί τοι γε οἷος μὲν αἰδεῖσθαι ἀπαπτίζεσθαι, ἢ ἐρυγὰς φιλονεικίας ἀφειτέος. τί περὶ τούτου ὁ κενὸς βλάβος; τοσούτου δὲ διωγμοῦ κινηθέντος, καὶ τοσαύτης καινοτομηθείσης συγχύσεως; πῶς οὐκ ἀνάγκη πᾶσι τὰ ῥωμαίων ἔχειν κακῶς. ὥσπερ οὖν ἐρικότα φαίνεται, αὕτη σοι περὶ ἡμῶν στήλη τῆς ἡρακλείων στηλῶν ὑψηλοτέρα τε καὶ περιφανεστέρα. αἱ μὲν γὰρ ἐφ' ἑνὸς τόπου πεπήγασι, καὶ μόνοις εἰσὶ θεαταὶ, τοῖς ἐκεῖσε ἀφικνουμένοις. τὴν δὲ οὐκ ἔστι μὴ πανταχοῦ καὶ πᾶσι γνωρίζεσθαι κινουμένην, ἣν καὶ ὁ μέλλων ὑπολήψεται χρόνος εὖ οἶδα σέ τε καὶ τὰ σὰ στηλιτεύουσαν, καὶ τοὺς λοιποὺς πάντας παιδεύουσαν, μή τινα τοιαύτην κατὰ θεοῦ τολμᾶν ἐπανάστασιν, ἵνα μὴ τὰ ὅμοια δράσαντες, τὴν ἴσην καὶ ἀντιτύχωσιν.

ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ ΠΡΟΣ ΚΛΗΔΟ-νιον πρεσβύτερον, ἐπιστολὴ α'.

Τῷ τιμιωτάτῳ καὶ θεοφιλεστάτῳ καὶ συμπρεσβυτέρῳ Κληδονίῳ, Γρηγόριος ἐν κυρίῳ χαίρειν. βουλόμεθα μαθεῖν, τίς ἡ καινοτομία περὶ τὴν ἐκκλησίαν, ἵν' ἐξῇ παντὶ βουλομένῳ καὶ τῷ παρερχομένῳ κατὰ τὸ γεγραμμένον διασπᾶν τὴν ποίμνην καλῶς ἡγμένην, καὶ συλαγωγεῖν κλοπιμαίοις ἐφόδοις, μᾶλλον δὲ λῃστρικοῖς καὶ παραλόγοις διδάγμασιν. εἰ μὲν γὰρ εἶχόν τι καταγινώσκειν ἡμῶν περὶ τὴν πίστιν οἱ νῦν ἐπελθόντες, οὐδ' οὕτω μὲν χωρὶς ὑπομνήσεως ἡμῶν ἔδει τὰ τοιαῦτα τολμᾶν. πείθειν δὲ ἐχρῆν ἢ πεισθῆναι βελτίους, πρότερον, εἴπερ τις καὶ ἡμῶν λόγος ὡς τὸν θεὸν φοβουμένων καὶ κοπιασάντων ὑπὲρ τοῦ λόγου καὶ τὴν ἐκκλησίαν ὠφελησάντων, καὶ τότε εἴπερ ἄρα καινοτομεῖν, πλὴν καὶ ἀπολογία τις ἦν ἴσως τοῖς ὑβρισταῖς. ἐπειδὴ δὲ καὶ ἐγγράφως καὶ ἀγράφως, καὶ ἐνταῦθα καὶ πόρρωθεν, καὶ μετὰ κινδύνων, καὶ ἀκινδύνως ἡ πίστις ἡμῶν κεκήρυκται. πῶς οἱ μὲν ἐγχειροῦσι τοῖς τοιούτοις, οἱ δὲ ἡσυχάζουσι, καὶ οὐχὶ τοῦτό πω δεινὸν καίπερ ὂν δεινόν, εἰ τῇ ἑαυτῶν κακοδοξίᾳ ἄνθρωποι τὰς ἁπλουστέρας ψυχὰς διὰ τῶν κακουργοτέρων ἀναπείθοιεν, ἀλλ' ὅτι καὶ ἡμῶν καταψεύδονται ὡς ὁμοδόξων καὶ ὁμοφρόνων, ὥσπερ χαλκὸν τὸ δέλεαρ περιβάλλοντες, καὶ διὰ τοῦ προσχήματος τούτου, τὸ ἑαυτῶν θέλημα κακῶς ἐκπληροῦντες, καὶ τῇ ἁπλότητι ἡμῶν, ἐξ ἧς ἀδελφικῶς αὐτοὺς ἑωρῶμεν καὶ οὐκ ἀλλοτρίως, κακίας ἐφόδιον ποιησάμενοι, οὐ μόνον δὲ, ἀλλ' ὅτι καὶ ὑπὸ τῆς δυτικῆς συνόδου δεδέχθαι φασὶν ὡς πυνθάνομαι, ὑφ' ἧς τὸ πρότερον ἦσαν κατακριθέντες, ὡς πᾶσιν εὔδηλον. εἰ μὲν οὖν ἐδέχθησαν ἢ νῦν ἢ πρότερον οἱ τὰ Ἀπολιναρίου φρονοῦντες, τοῦτο δειξάτωσαν, καὶ ἡμεῖς στέρξομεν δῆλον γὰρ, ὅτι τῷ ὀρθῷ λόγῳ συνθέμενοι. οὐ γὰρ ἐνδέχεται ἄλλως, εἰ τούτου τετυχήκασι. δείξουσι δὲ πάντως, ἢ διὰ τόμου συνοδικοῦ ἢ δι' ἐπιστολῶν κοινωνικῶν. οὗτος γὰρ τῶν συνόδων ὁ νόμος. εἰ δὲ λόγος τοῦτό ἐστι καὶ ἀναπλασμός, εὐπρεπείας εἵνεκεν αὐτοῖς καὶ πιθανότητος τῆς πρὸς τοὺς πολλοὺς ἐφευρημένος διὰ τὸ τῶν προσώπων ἀξιόπιστον. διδάξον αὐτοὺς ἠρεμεῖν καὶ διέλεγχε. τῷ γὰρ σῷ πολιτείᾳ καὶ ὀρθοδοξίᾳ τοῦτο πρέπειν ὑπολαμβάνομεν. μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι, μηδὲ ἀπατάσθωσαν ἄνθρωπον ἄνευ δεχόμενοι τὸν κυριακὸν ὡς αὐτοὶ λέγουσι. μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ θεόν. οὐδὲ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν. πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ θεὸν καὶ υἱὸν μονογενῆ καὶ προαιώνιον, ἀμιγῆ σώματος, καὶ τῶν ὅσα σώματος. ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας. παθητὸν σαρκὶ, ἀπαθῆ θεότητι, περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι, τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλῳ ἀνθρώπῳ τῷ αὐτῷ καὶ θεῷ ὅλος ἄνθρωπος ἀναπλασθῇ πεσὼν ὑπὸ τῆς ἁμαρτίας. εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος. εἴ τις ὡς διὰ σωλῆνος

τοῦ παρθένου φραμένην· ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγοι θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς· θεϊκῶς μὲν, ὅτι χωρὶς ἀνδρὸς· ἀνθρωπικῶς δὲ, ὅτι νόμῳ κυήσεως, ὁμοίως ἄθεος. εἴ τις διαπεπλάσθαι τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι λέγει θεὸν, κατάκριτος. οὐ γέννησις γὰρ θεοῦ τοῦτο ἐστὶν, ἀλλὰ φυγὴ γεννήσεως. εἴ τις εἰσάγει δύο υἱοὺς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρὸς, δεύτερον δὲ τὸν ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος. ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα. υἱοὶ δὲ, οὐ δύο, οὐδὲ θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου, καὶ τὸ ἐκτὸς προσηγόρευσε. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ. εἴπερ μὴ ταὐτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον, οὐκ ἄλλος δὲ καὶ ἄλλος. μὴ γένοιτο. τὰ γὰρ ἀμφότερα ἓν τῇ συγκράσει, θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν, ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία καὶ ταὐτὸν τῇ θεότητι. εἴ τις ὡς ἐν προφήτῃ λέγοι κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ συνάπτεσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας. μᾶλλον δὲ πλήρης τῆς ἐναντίας. εἴ τις μὴ προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω, καὶ τετάχθω μετὰ τῶν θεοκτόνων. εἴ τις ἐξ ἔργων τετελειῶσθαι, ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγοι, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. τὸ γὰρ ἠργμένον ἢ προκόπτον, ἢ τελειούμενον, οὐ θεὸς, κἂν διὰ τὴν κατὰ μικρὸν ἀνάδειξιν οὕτω λέγηται. εἴ τις ἀποτεθεῖσθαι νῦν τὴν σάρκα λέγοι, καὶ γυμνὴν εἶναι τὴν θεότητα σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν τῆς παρουσίας. ποῦ γὰρ τὸ σῶμα νῦν, εἰ μὴ μετὰ τοῦ προσλαβόντος; οὐ γὰρ δὴ κατὰ τοὺς μανιχαίων λήρους περὶ ἡλίῳ ἐναποτέθειται, ἵνα τιμηθῇ διὰ τῆς ἀτιμίας, ἢ εἰς τὸν ἀέρα ἐχέθη καὶ διελύθη, ὡς φωνῆς φύσις, καὶ ὀδμῆς ῥύσις, καὶ ἀστραπῆς δρόμος οὐχ ἱσαμένης. ποῦ δὲ καὶ τὸ ψηλαφηθῆναι αὐτὸν μετὰ τὴν ἀνάστασιν, ἢ ὀφθήσεσθαί ποτε ὑπὸ τῶν ἐκκεντησάντων; θεότης γὰρ καθ' ἑαυτὴν ἀόρατος, ἀλλ' ἥξει μὲν μετὰ τοῦ σώματος ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἢ παρεδείχθη ὑπερνικώσης τῆς σαρκὸς τῆς θεότητος. ὥσπερ δὲ ταῦτα λέγομεν ἀποσκευαζόμενοι τὴν ὑπόνοιαν, οὕτω κἀκεῖνα γράφομεν διορθούμενοι τὴν καινοτομίαν. εἴ τις λέγει τὴν σάρκα ἐξ οὐρανοῦ καταβεβηκέναι, ἀλλὰ μὴ ἐντεῦθεν εἶναι καὶ παρ' ἡμῶν, ἀνάθεμα ἔστω. τὸ γὰρ ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ εἴ τι ἄλλο τοιοῦτο νομιστέον λέγεσθαι διὰ τὴν πρὸς τὸν οὐράνιον ἕνωσιν, ὥσπερ καὶ τὸ διὰ Χριστοῦ γεγονέναι τὰ πάντα, καὶ κατοικεῖν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν, οὐ κατὰ τὸ φαινόμενον τοῦ θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον κιρναμένων ὥσπερ τῶν φύσεων. οὕτω δὴ καὶ τῶν κλήσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας. εἴ τις εἰς ἄνθρωπον ἤλπικεν ἄνουν, ἀνόητος ὄντως ἐστὶ, καὶ οὐκ ἄξιος ὅλος σώζεσθαι. τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον. ὃ δὲ ἥνωται τῷ θεῷ, τοῦτο καὶ σώζεται. εἰ ἥμισυς ἔπταισεν ὁ ἀδὰμ, ἥμισυ καὶ τὸ προσειλημμένον καὶ τὸ σωζόμενον. εἰ δὲ ὅλος ὅλῳ τῷ γεννηθέντι ἥνωται, καὶ ὅλως σώζεται. μὴ τοίνυν βασκαινέτωσαν ἡμῖν τῆς παντελοῦς σωτηρίας, μηδὲ ὀστᾶ μόνον καὶ νεῦρα καὶ ζωγραφίαν ἀνθρώπου, τῷ σωτῆρι περιτιθέτωσαν. εἰ μὲν γὰρ ἄψυχος ὁ ἄνθρωπος, τοῦτο καὶ ἀρειανοὶ λέγουσιν, ἵν' ἐπὶ τὴν θεότητα τὸ πάθος ἐνέγκωσιν. ὡς τοῦ κινοῦντος τὸ σῶμα τούτου καὶ πάσχοντος. εἰ δὲ ἔμψυχος, εἰ μὲν οὐ νοερῶς, πῶς καὶ ἄνθρωπος; οὐ γὰρ ἄνουν ζῶον ὁ ἄνθρωπος, καὶ ἀνάγκη τὸ σχῆμα μὲν ἀνθρώπειον εἶναι καὶ τὴν σκηνὴν. τὴν δὲ ψυχὴν ἵππου τινὸς, ἢ βοὸς, ἢ ἄλλου τῶν ἀνοήτων. τοῦτο γοῦν ἔσται καὶ τὸ σωζόμενον, καὶ διέψευσμαι ἐγὼ παρὰ τῆς ἀληθείας, ἄλλου τιμηθέντος, ἄλλος μεγαλαυχούμενος. εἰ δὲ νοερὸς, ἀλλ' οὐκ ἄνους ὁ ἄνθρωπος, παυσάσθωσαν ὄντως ἀνοηταίνοντες. ἀλλ' ἤρκει φησὶν ἡ θεότης ἀντὶ τοῦ νοῦ. τί οὖν πρὸς ἐμὲ τοῦτο; θεότης γὰρ μετὰ σαρκὸς μόνης οὐκ ἄνθρωπος, ἀλλ' οὐδὲ ψυχῆς μόνης, οὐδὲ ἀμφοτέρων χωρὶς τοῦ νοῦ, ὃ καὶ μᾶλλον ἄνθρωπος. τήρει οὖν τὸν ἄνθρωπον ὅλον, καὶ μίξον τὴν θεότητα, ἵνα με τελείως εὐεργετῇς. ἀλλ' οὐκ ἐχώρει φησὶ δύο τέλεια. οὐδὲ γὰρ εἴπερ σωματικῶς σκοπεῖς, ἀγγεῖον γὰρ μεδιμναῖον, οὐ χωρήσει διμέδιμνον. οὐδὲ σώματος εἷς τόπος, δύο ἢ πλείω σώματα. εἰ δὲ ὡς νοητὰ καὶ ἀσώματα, σκόπει ὅτι καὶ ψυχὴν καὶ λόγον, καὶ νοῦν, καὶ πνεῦμα ἅγιον. ὁ αὐτὸς ἐχώρησα, καὶ πρὸ ἐμοῦ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα, ὁ κόσμος οὗτος τὸ ἐξ ὁρατῶν λέγω καὶ ἀοράτων σύστημα. τοιαύτη γὰρ ἡ τῶν νοητῶν φύσις ἀσωμάτως, καὶ ἀμερίστως, καὶ ἀλλήλοις, καὶ σώμασι μίγνυσθαι. ἐπεὶ καὶ φωναὶ πλείους ἀκοῇ μιᾷ χωροῦνται, καὶ ὄψεις πλειόνων τοῖς αὐτοῖς ὁρατοῖς, καὶ ὀσφρανταῖς ὀσφρήσεις, οὔτε τῶν αἰσθήσεων στενοχωρουμένων ὑπ' ἀλλήλων, ἢ ἐκθλιβομένων· οὔτε τῶν αἰσθητῶν ἐλαττουμένων περὶ πλήθει τῆς ἀντιλήψεως. ποῦ δὲ καὶ τέλειος νοῦς ἀνθρώπου ἢ ἀγγέλου συγκρίσει θεότητος, ἵνα τὸ ἕτερον ἐκθλί-

βῃ τὸ

ἐπὶ παρουσίᾳ τοῦ μείζονος. οὐδὲ γὰρ αὐγή τις πρὸς ἥλιον, οὐδὲ νοτὶς ὀλίγη πρὸς ποταμὸν, ἵνα τὰ μικρὰ προαναλώσωμεν· οἴκου μὲν αὐγὴν, γῆς δὲ νοτίδα, καὶ οὕτω χωρηθῇ τὰ μείζω καὶ τελεώτερα. πῶς γὰρ χωρήσει δύο τέλεια, οἶκος μὲν αὐγὴν καὶ ἥλιον, γῆ δὲ νοτίδα καὶ ποταμόν. τοῦτο διασκεψώμεθα. καὶ γὰρ πολλῆς ὄντως τὸ πρᾶγμα φροντίδος ἄξιον. ἢ ἀγνοοῦσιν, ὅτι τὸ πρός τι τέλειον πρὸς ἕτερον ἀτελὲς, ὡς βουνὸς πρὸς ὄρος, καὶ κόκκος σινάπεως πρὸς κύαμον, ἤ τι ἄλλο τῶν μειζόνων ἀριθμῶν, κἂν τῶν ὁμογενῶν μεῖζον λέγηται. εἰ δὲ βούλει, καὶ ἄγγελος πρὸς θεὸν, καὶ πρὸς ἄγγελον ἄνθρωπος. τέλειον οὖν ὁ ἡμέτερος νοῦς, καὶ ἡγεμονικὸν, ἀλλὰ ψυχῆς καὶ σώματος, οὐχ ἁπλῶς τέλειον. θεοῦ δὲ δοῦλον καὶ ὑποχείριον, ἀλλ' οὐ συνηγεμονικὸν, οὐδὲ ὁμότιμον. ἐπεὶ καὶ μωυσῆς, φαραὼ μὲν θεὸς, θεοῦ δὲ θεράπων ὡς ἀναγέγραπται. καὶ ἀστέρες νύκτα μὲν καταλάμπουσιν, ἡλίῳ δὲ κρύπτονται, ὡς μηδ' ὅτι εἰσὶν ἐν ἡμέρᾳ γνωρίζεσθαι· καὶ λαμπὰς ὀλίγη μεγάλῃ πυρκαϊᾷ προσχωρήσασα, οὔτε ἀπόλλυται, οὔτε φαίνεται, οὔτε χωρίζεται, ἀλλ' ὅλον ἐστὶ πυρκαϊὰ τοῦ ὑπερέχοντος ἐκνικήσαντος. ἀλλὰ κατάκριτός φησιν ὁ ἡμέτερος νοῦς. τί δαὶ ἡ σάρξ; οὐ κατάκριτος; ἢ τοῦτο παῦσον τῆς ἀφοσιώσεως διὰ τὴν ἁμαρτίαν, ἢ κἀκεῖνον πρόσαγε διὰ τὴν σωτηρίαν. εἰ τὸ χεῖρον προσείληπται, ἵν' ἁγιασθῇ διὰ τῆς σαρκώσεως, τὸ κρεῖττον οὐ προσληφθήσεται, ἵν' ἁγιασθῇ διὰ τῆς ἐνανθρωπήσεως; εἰ ὁ πηλὸς ἐζυμώθη καὶ νέον φύραμα γέγονεν ὦ σοφοὶ, ἡ εἰκὼν οὐ ζυμωθήσεται, καὶ πρὸς θεὸν ἀνακραθήσεται θεωθεῖσα διὰ τῆς θεότητος; κἀκεῖνο προσθήσομεν, εἰ διέπτυσται πάντως ὁ νοῦς ὡς ἁμαρτητικὸς καὶ κατάκριτος, καὶ διὰ τοῦτο σῶμα μὲν προσείληπται, νοῦς δὲ παραλέλειπται, συγγνώμη τοῖς πταίουσι περὶ νοῦν. μαρτυρία γὰρ θεοῦ κατὰ σὲ σαφῶς ἔδειξε τὸ τῆς θεραπείας ἀδύνατον. εἴπω τὸ μεῖζον; σὺ μὲν διὰ τοῦτο ἀτιμάζεις ὦ βέλτιστε τὸν ἐμὸν νοῦν, ὡς σαρκολάτρης, εἴπερ ἀνθρωπολάτρης ἐγὼ, ἵνα συνδήσῃς θεὸν πρὸς σάρκα, ὡς οὐκ ἄλλως δεθῆναι δυνάμενον, καὶ διὰ τοῦτο ἐξαιρεῖς τὸ μεσότοιχον. ὁ δὲ ἐμὸς λόγος τίς, τοῦ ἀφιλοσόφου καὶ ἀπαιδεύτου. ὁ νοῦς περὶ νοῒ μίγνυται ὡς ἐγγυτέρῳ καὶ οἰκειοτέρῳ, καὶ διὰ τούτου σαρκὶ μεσιτεύοντος θεότητι καὶ παχύτητι. τίς δὲ καὶ ὁ λόγος αὐτοῖς τῆς ἐνανθρωπήσεως ἴδωμεν, εἴτ' οὖν σαρκώσεως, ὡς αὐτοὶ λέγουσιν. εἰ μὲν ἵνα χωρηθῇ θεὸς, ἄλλως ἀχώρητος ὢν, καὶ ὡς ὑπὸ παραπετάσματι τῇ σαρκὶ τοῖς ἀνθρώποις προσομιλήσῃ, κομψὸν τὸ προσωπεῖον αὐτοῖς, καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως, ἵνα μὴ λέγω ὅτι καὶ ἄλλως ὁμιλῆσαι ἡμῖν οἷόν τε ἦν, ὥσπερ ἐν βάτῳ πυρὸς καὶ ἀνθρωπίνῳ εἴδει τὸ πρότερον. εἰ δὲ ἵνα λύσῃ τὸ κατάκριμα τῆς ἁμαρτίας τῷ ὁμοίῳ τὸ ὅμοιον ἁγιάσας, ὥσπερ σαρκὸς ἐδέησε διὰ τὴν σάρκα κατακριθεῖσαν, καὶ ψυχῆς διὰ τὴν ψυχὴν, οὕτω καὶ νοῦ διὰ τὸν νοῦν, οὐ πταίσαντα μόνον ἐν τῷ ἀδὰμ, ἀλλὰ καὶ πρωτοπαθήσαντα, ὅπερ οἱ ἰατροὶ λέγουσιν ἐπὶ τῶν ἀρρωστημάτων. ὃ γὰρ τὴν ἐντολὴν ἐδέξατο, τοῦτο καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν. ὃ δὲ οὐκ ἐφύλαξε, τοῦτο καὶ τὴν παράβασιν ἐτόλμησεν. ὃ δὲ παρέβη, τοῦτο καὶ σωτηρίας ἐδεῖτο μάλιστα. ὃ δὲ τῆς σωτηρίας ἐδεῖτο, τοῦτο καὶ προσελήφθη. ὁ νοῦς ἄρα προσείληπται. τοῦτο νῦν ἀποδέδεικται, κἂν μὴ βούλωνται γεωμετρικαῖς ὥς φασιν αὐτοὶ ἀνάγκαις καὶ ἀποδείξεσι. σὺ δὲ ποιεῖς παραπλήσιον, ὥσπερ ἂν εἰ ὀφθαλμοῦ ἀνθρώπου πταίσαντος, καὶ ποδὸς προσπταίσαντος, τὸν πόδα μὲν ἐθεράπευες, τὸν δὲ ὀφθαλμὸν ἀθεράπευτον εἴας. ἢ ζωγράφου τι μὴ καλῶς γράψαντος, τὴν μὲν γραφὴν μετεποίεις, τὸν δὲ ζωγράφον ὡς κατορθοῦντα παρέτρεχες. εἰ δὲ ὑπὸ τούτων στενοχωρούμενοι τῶν λογισμῶν, καταφεύγουσιν ἐπὶ τὸ δυνατὸν εἶναι θεῷ, καὶ χωρὶς νοῦ σῶσαι τὸν ἄνθρωπον, δυνατὸν δήπου καὶ χωρὶς σαρκὸς, μόνῳ τῷ βούλεσθαι, ὥσπερ καὶ τὰ ἄλλα πάντα ἐνεργεῖ, καὶ ἐνήργησεν ἀσωμάτως. ἄνελε οὖν μετὰ τοῦ νοῦ καὶ τὴν σάρκα, ἵν' ᾖ σοι τέλειον τὸ τῆς ἀπονοίας. ἀλλ' ἀπατῶνται ὑπὸ τοῦ γράμματος, καὶ διὰ τοῦτο σαρκὶ προστρέχουσι, τῇ συνηθείᾳ τῆς γραφῆς ἀγνοοῦντες. ἡμεῖς αὐτοὺς καὶ τοῦτο διδάξομεν. ὅτι μὲν γὰρ πανταχοῦ τῆς γραφῆς ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου προσαγορεύεται, τί δεῖ πρὸς εἰδότας καὶ λέγειν; εἰ δὲ διισχυρίζονται περὶ, ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ διὰ τοῦτο περιξέουσι τοῦ ἀνθρώπου τὸ κάλλιστον, ὥσπερ οἱ σκυτεῖς τὰ παχύτερα τῶν δερμάτων, ἵνα θεὸν σαρκὶ συγκολλήσωσιν, ὥρα λέγειν αὐτοὺς καὶ σαρκῶν μόνον τὸν θεὸν εἶναι θεὸν, ἀλλ' οὐχὶ καὶ ψυχῶν, διὰ τὸ γεγράφθαι, καθὼς ἔδωκας αὐτῷ περὶ ἐξουσίαν πάσης σαρκὸς, καὶ πρὸς σὲ πᾶσα σὰρξ ἥξει. καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. τουτέστι πᾶς ἄνθρωπος. ἢ πάλιν ἀσωμάτους καὶ ἀοράτους καταβεβηκέναι τοὺς πατέρας ἡμῶν εἰς αἴγυπτον, καὶ τὴν ψυχὴν τοῦ ἰωσὴφ δεδέσθαι μόνην ὑπὸ τοῦ φαραὼ, διὰ τὸ γεγράφθαι, ἐν ἑβδομηκονταπέντε ψυχαῖς κατέβησαν εἰς αἴγυπτον. καὶ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, πρᾶγμα δεθῆναι μὴ δυνάμενον. ἀγνοοῦσι γὰρ οἱ ταῦτα λέγοντες, ὅτι συνεκδοχικῶς τὰ τοιαῦτα ὀνομάζεται, ἀπὸ μέρους τοῦ παντὸς δηλουμένου· ὥσπερ καὶ νεοσσοὶ τῶν κοράκων ἐπικαλοῦνται τὸν θεὸν, ἵν' ἡ πτηνὴ δηλωθῇ φύσις, καὶ πλειὰς καὶ ἕσπερος καὶ ἀρκτοῦρος μνημονεύονται, ἀντὶ πάντων ἀστέρων, καὶ τῆς περὶ τούτων οἰκονομίας. καὶ ἅμα οὐκ ἄλλως οἷόν τε ἦν τὴν τοῦ θεοῦ δηλωθῆναι περὶ ἡμᾶς ἀγάπην, ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα, ὅτι δι' ἡμᾶς κατέ-

κατέ-

κατέβη καὶ μέχρι τοῦ χείρονος. σάρκα γὰρ εἶναι ψυχῆς ἀτελέστερον, πᾶς τῶν εὖ φρονούντων ὁμολογήσει. ὥστε ὁ λόγος σὰρξ ἐγένετο, ἴσον δοκεῖ μοι δύνασθαι τῷ καὶ ἁμαρτίαν αὐτὸν γεγενῆσθαι λέγεσθαι καὶ κατάραν, οὐκ εἰς ταῦτα τοῦ κυρίου μεταποιηθέντος. πῶς γὰρ; ἀλλ' ὡς διὰ τοῦ ταῦτα δέξασθαι τὰς ἀνομίας ἡμῶν ἀναλαβόντος, καὶ τὰς νόσους βαστάσαντος. ταῦτα μὲν οὖν ἱκανῶς ἐν τῷ παρόντι διὰ τὸ σαφὲς καὶ τοῖς πολλοῖς εὔληπτον. οὐ γὰρ λογογραφεῖν, ἀλλ' ἐπισχεῖν τὴν ἀπάτην βουλόμενοι, ταῦτα γράφομεν. εἰ δὲ τελεώτερον περὶ τούτων λόγον, εἰ δοκεῖ καὶ διὰ μακροτέρων ἀποδώσομεν. ὃ δὲ τούτων ἐστὶ βαρύτερον, οὐδ' αὐτὸ τοῦτο παραλιπεῖν ἀναγκαῖον. ὄφελον, καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς, καὶ δεύτερον Ἰουδαϊσμὸν, καὶ δευτέραν περιτομὴν, καὶ θυσίας δευτέρας εἰσάγοντες. εἰ γὰρ τοῦτο, τί κωλύει καὶ πάλιν γεννηθῆναι Χριστὸν εἰς ἀνάστασιν τὴν αὐτὴν, καὶ προδοθῆναι πάλιν ὑπὸ Ἰούδα, καὶ σταυρωθῆναι, καὶ ταφῆναι, καὶ ἀναστῆναι, ἵνα πληρωθῇ πάντα, τὰ τῆς αὐτῆς ἀκολουθίας, κατὰ τὴν Ἑλληνικὴν ἀνακύκλησιν, τὰ αὐτὰ περιφορᾶς τῆς αὐτῆς τῶν ἄστρων κινήσεως. τίς γὰρ ἡ ἀποπλήρωσις, τὸ μέν τι γενέσθαι τῶν τότε συμβάντων, τὸ δὲ παρεθῆναι; τοῦτο δειξάτωσαν οἱ σοφοὶ, καὶ περὶ πλῆθος τῶν βιβλίων φιλοτιμούμενοι. ἐπειδὴ δὲ τῷ περὶ τριάδος φυσιούμενοι λόγῳ, καταψεύδονται μὲν ἡμῶν, ὡς οὐχ ὑγιῶς ἐχόντων περὶ τὴν πίστιν, δελεάζουσι δὲ τοὺς πολλοὺς. ἐκεῖνο γινώσκειν ἀναγκαῖον, ὅτι Ἀπολινάριος μὲν τὸ τῆς θεότητος ὄνομα τῷ ἁγίῳ πνεύματι δοὺς, τὴν δύναμιν τῆς θεότητος οὐκ ἐφύλαξε. τὸ γὰρ ἐκ μεγάλου καὶ μείζονος καὶ μεγίστου συνιστᾶν τὴν τριάδα, ὥσπερ ἐξ αὐγῆς, καὶ ἀκτῖνος, καὶ ἡλίου, τοῦ πνεύματος, καὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς, ὅπερ σαφῶς ἐν τοῖς ἐκείνου γέγραπται λόγοις, κλίμαξ ἐστὶ θεότητος, οὐκ εἰς οὐρανὸν ἄγουσα, ἀλλ' ἐξ οὐρανοῦ κατάγουσα. ἡμεῖς δὲ θεὸν μὲν γινώσκομεν τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα. ταῦτα δὲ οὐ κλήσεις ψιλὰς τεμνούσας ἀξιωμάτων ἢ δυνάμεων ἀνισότητας, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ὥσπερ προσηγορίαν, οὕτω καὶ θεότητος φύσιν, καὶ οὐσίαν καὶ δύναμιν. εἰ δέ τις ταῦτα μὲν ὀρθῶς οἴεται λέγεσθαι, ἐγκαλεῖ δὲ τὴν τῶν αἱρετικῶν κοινωνίαν, δειξάτω τις τοῦτο τῶν ἡμετέρων, καὶ ἢ πείσομεν, ἢ ἀναχωρήσομεν. πρὸ κρίσεως δὲ οὐδ' ἄλλό τι καινοτομεῖν ἀσφαλὲς, μή τι πρᾶγμα τοσοῦτον καὶ περὶ τηλικούτων. ἡμεῖς μὲν οὖν ταῦτα καὶ διεμαρτυράμεθα θεὸν καὶ ἀνθρώπους, καὶ διαμαρτυρόμεθα. καὶ οὐδὲ νῦν εὖ ἴσθι ταῦτ' ἂν ἐγράψαμεν, εἰ μὴ τὴν ἐκκλησίαν ἑωρῶμεν διασπωμένην καὶ τεμνομένην, καὶ ταῖς ἄλλαις τερατείαις, καὶ τῷ νῦν συνεδρίῳ τῆς ματαιότητος. εἰ δέ τις ταῦτα λεγόντων ἡμῶν καὶ διαμαρτυρομένων, ἢ διὰ χρείας τινὰς, ἢ διὰ φόβον ἀνθρώπινον, ἢ διὰ μικροψυχίας ἄτοπον, ἢ διὰ τὸ ἀποίμαντον τέως καὶ ἀκυβέρνητον, ἢ διὰ τὸ ξενοχαρὲς, καὶ πρὸς τὰς καινοτομίας ἕτοιμον, διαπτύει μὲν ἡμᾶς, ὡς οὐδενὸς λόγου ἀξίους, προστρέχει δὲ τοῖς τοιούτοις, καὶ διαιρεῖ τὸ καλὸν σῶμα τῆς ἐκκλησίας, αὐτὸς βαστάσει τὸ κρίμα, ὅστις ἐὰν ᾖ, καὶ ὑφέξει τῷ θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως. εἰ δὲ οἱ μακροὶ λόγοι καὶ τὰ νέα ψαλτήρια, καὶ ἀντίφθογγα τῷ Δαβὶδ, καὶ ἡ τῶν μέτρων χάρις, ἡ τρίτη διαθήκη νομίζεται, καὶ ἡμεῖς ψαλμολογήσομεν, καὶ πολλὰ γράψομεν καὶ μετρήσομεν. ἐπειδὴ δοκοῦμεν καὶ ἡμεῖς πνεῦμα θεοῦ ἔχειν, εἴπερ πνεύματος χάρις τοῦτό ἐστιν, ἀλλὰ μὴ ἀνθρωπίνη καινοτομία. ταῦτά σε βούλομαι διαμαρτύρασθαι τοὺς πολλοὺς, ἵνα μὴ βάρος ἔχωμεν ὡς τοιοῦτο κακὸν παρορῶντες, καὶ παρὰ τῆς ἡμετέρας ῥᾳθυμίας, πονηροῦ δόγματος νομὴν καὶ ἰσχὺν λαμβάνοντος.

ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ ΠΡΟΣ ΚΛΗΔΟΝΙΟΝ ἐπιστολὴ β΄.

Ἐπειδὴ πολλοὶ προσελθόντες τῇ σῇ εὐλαβείᾳ, πληροφορίαν ζητοῦσι περὶ πίστεως, καὶ διὰ τοῦτο ἀπῄτησας ἡμᾶς ἀγαπητικῶς σύντομον ὅρον τινὰ καὶ κανόνα τοῦ ἡμετέρου φρονήματος· διὰ τοῦτο ἐγράψαμεν τῇ σῇ εὐλαβείᾳ ὃ καὶ πρὸ τοῦ γράμματος ἐγνώριζες, ὅτι ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν τῶν ἁγίων πατέρων τῶν ἐκεῖ συνελθόντων ἐπὶ καθαιρέσει τῆς ἀρειανῆς αἱρέσεως, οὐδὲν οὔτε προετιμήσαμεν πώποτε, οὔτε προτιμᾶν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως σὺν θεῷ καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον ἐκείνοις περὶ τοῦ ἁγίου πνεύματος, διὰ τὸ μήπω κεκινῆσθαι τηνικαῦτα τοῦτο τὸ ζήτημα, ὅτι μιᾶς θεότητος εἰδέναι χρὴ τὸν πατέρα καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα, θεὸν καὶ τὸ πνεῦμα γινώσκοντας. τοὺς οὖν οὕτω φρονοῦντας καὶ διδάσκοντας, ἔχε κοινωνικοὺς, ἐπεὶ καὶ ἡμεῖς. τοὺς δὲ ἑτέρως ἔχοντας ἀποστρέφου, καὶ ἀλλοτρίους ἡγοῦ, καὶ τοῦ θεοῦ καὶ τῆς καθολικῆς ἐκκλησίας. ἐπειδὴ δὲ καὶ περὶ τῆς θείας ἐνανθρωπήσεως, ἤτοι σαρκώσεως κινεῖταί τι ζήτημα, καὶ τοῦτο δηλούσθω πᾶσι περὶ ἡμῶν, ὅτι τὸν υἱὸν τοῦ θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς καὶ μετὰ τοῦτο ἐκ τῆς ἁγίας παρθένου Μαρίας εἰς ἓν ἄγομεν, καὶ οὐ δύο υἱοὺς ὀνομάζομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἐν ἀδιαιρέτῳ θεότητι, καὶ τιμῇ προσκυνοῦμεν. εἰ δέ τις οὐ συντίθεται τούτοις ἢ νῦν ἢ ὕστερον.

αὐτὸς

αὐτῆς ὑφέξει τῷ Θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως. ἡ μὲν οὖν πρὸς τὴν ἀνόητον αὐτῶν περὶ
τοῦ νοῦ δόξαν ἔνστασις ἡμῶν καὶ ἀντίθεσις, ὡς ἐν βραχεῖ τοιαύτη καὶ οὕτως ἔχουσα. μόνοι γὰρ σχε-
δὸν δογματίζουσιν οὕτως καὶ πάσχουσιν, ἀνοίᾳ τὸν νοῦν περικόπτοντες. ἵνα δὲ μὴ κατηγορῶσιν
ἡμῶν ὡς τὴν τοῦ ἀγαπητοῦ Βιταλίου πίστιν, ἣν ἀπαιτηθεὶς ὑπὸ τοῦ μακαρίου Δαμάσου τοῦ τῆς
Ῥώμης ἐπισκόπου, ἔγγραφον ἐπιδέδωκε, πρότερον μὲν ἀποδεχομένων, νῦν δὲ ἀναινομένων,
καὶ περὶ τούτου βραχέα δηλωσόμεθα. οὗτοι γάρ, ἡνίκα μὲν ἂν τοῖς γνησίοις αὐτοῦ μαθηταῖς
καὶ μύσταις τὴν ἀπόρρητον θεολογῶσιν ὥσπερ οἱ Μανιχαῖοι τοῖς ἐκλεκτοῖς λεγομένοις, ὅ-
λην τὴν νόσον αὐτοῖς ἐκκαλύπτοντες, μόλις καὶ τὴν σάρκα τῷ Σωτῆρι διδόασιν. ὅταν
δὲ ταῖς κοιναῖς ὑπολήψεσι περὶ τῆς ἐνανθρωπήσεως, ἃς ἡ Γραφὴ παρίστησιν, ἐλέγχων-
ται καὶ πιέζωνται, τὰς μὲν εὐσεβεῖς λέξεις ὁμολογοῦσι. περὶ δὲ τὸν νοῦν κακουργοῦσιν, οὐκ
ἄψυχον μὲν οὐδὲ ἄλογον οὐδὲ ἄνουν, οὐδὲ ἀτελῆ ὁμολογοῦντες τὸν ἄνθρωπον. ψυχὴν δὲ τὸν
λόγον καὶ νοῦν, αὐτὴν εἰσάγοντες τὴν θεότητα, ὡς αὐτῆς τῇ σαρκὶ συγκραθείσης μόνης, ἀλλ'
οὐχὶ καὶ τῶν ἡμετέρων καὶ ἀνθρωπίνων, εἰ καὶ τὸ ἀναμάρτητον κρεῖττον ἢ καθ' ἡμᾶς ἦν,
καὶ τῶν ἡμετέρων παθῶν καθάρσιον. οὕτω γοῦν καὶ τό, ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἐξηγοῦν-
ται κακῶς καὶ λίαν εὐήθως, νοῦν Χριστοῦ τὴν θεότητα λέγοντες, οὐχ ὅπερ ἡμεῖς ὑπολαμ-
βάνοντες, τό, οἱ τὸν ἑαυτῶν νοῦν καθήραντες μιμήσει τοῦ νοὸς ἐκείνου, ὃν ὑπὲρ ἡμῶν ὁ Σωτὴρ ἀνε-
δέξατο, καὶ πρὸς αὐτὸν ῥυθμίζοντες ὡς ἐφικτόν. οὗτοι νοῦν Χριστοῦ ἔχειν λέγονται, ὡς καὶ σάρ-
κα Χριστοῦ μαρτυρηθεῖεν ἂν ἔχειν ἐκεῖνοι τὴν σάρκα παιδαγωγηθέντες, καὶ σύσσωμοι καὶ συμ-
μέτοχοι Χριστοῦ κατὰ τοῦτο γενόμενοι. καὶ ὡς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω, φησί, φορέσο-
μεν, καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. οὕτω δὲ καὶ τέλειος αὐτοῖς ἄνθρωπος, οὐχ ὁ κατὰ πεπειραμένος
κατὰ πάντα τὰ ἡμέτερα χωρὶς ἁμαρτίας, ἀλλὰ τὸ ἐκ Θεοῦ καὶ σαρκὸς σύγκραμα δογματίζεται.
τοῦτο γάρ φασι τελειότερον, τὸ δ' αὐτὸ καὶ περὶ τὴν τῆς ἐνανθρωπήσεως κακουργοῦσι φω-
νήν, τὸ ἐνηνθρώπησεν, οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ὃν ἑαυτῷ περιέπηξεν, ἐξηγούμενοι κατὰ τὸ εἰρημέ-
νον, αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ἀνθρώποις ὡμίλησε, καὶ συνεπολιτεύ-
σατο, λέγοντες καὶ διδάσκοντες, καὶ πρὸς ἐκείνην καταφεύγοντες τὴν φωνήν, τὴν μετὰ
τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη λέγουσαν. καὶ τί ἄν τις ἀγωνίζοιτο
ἐπὶ πλεῖον, εἰ τὸν ἄνθρωπον ἀποσκευαζόμενοι, καὶ τὴν ἔνδον εἰκόνα τὸ ἐκτὸς ἡμῶν καθαί-
ρουσι μόνους διὰ τοῦ καινοῦ προσωπείου, καὶ τοῦ ὁρωμένου. τοσοῦτον ἑαυτοῖς μαχόμενοι, ὡς
ποτὲ μὲν διὰ τὴν σάρκα, καὶ τὰ ἄλλα παχέως, καὶ σαρκικῶς ἐξηγεῖσθαι. ἐντεῦθεν γὰρ αὐ-
τοῖς ὁ δεύτερος Ἰουδαϊσμὸς ὥρμηται, καὶ ἡ χιλιοέτις καὶ ληρώδης ἐν τῷ παραδείσῳ τρυ-
φή, καὶ σχεδὸν τὸ τὰ αὐτὰ πάλιν ἐπὶ τοῖς αὐτοῖς ἀναλαμβάνειν ἡμᾶς. ποτὲ δὲ δόκησιν μᾶλ-
λον ἢ ἀλήθειαν τῆς σαρκὸς εἰσάγειν, ὡς οὐδὲν τῶν ἡμετέρων παθούσης, οὐδὲ ὅσα τῆς ἁμαρτίας ἐστὶν
ἐλεύθερα, καὶ κεχρῆσθαι πρὸς τοῦτο τῇ ἀποστολικῇ φωνῇ, οὐκ ἀποστολικῶς νοουμένῃ, ἢ λεγομένῃ,
ἐν ὁμοιώματι ἀνθρώπων τὸν Σωτῆρα ἡμῶν γεγενῆσθαι, καὶ σχήματι εὑρεῖσθαι, ὡς ἄνθρωπον,
ὡς οὐχὶ τοῦ ἀνθρωπίνου εἴδους ἐν τούτοις δηλουμένου, φαντασίας δέ τινος ἀπατηλῆς καὶ δοκή-
σεως. ἐπειδὴ τοίνυν αὗται φωναί, καλῶς μὲν νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ ἐξη-
γούμεναι τὸ δυσσεβὲς ἔχουσι, τί θαυμαστὸν εἰ καὶ τοὺς Βιταλίου λόγους, ἡμεῖς μὲν ἐπὶ τὸ εὐ-
σεβέστερον ἐδεξάμεθα, οὕτω τοῦ βούλεσθαι πείθοντος, ἄλλοι δὲ πρὸς τὸν τῶν γεγραμμένων νοῦν ἀγριαί-
νουσιν. ὅ μοι δοκεῖ καὶ Δάμασος αὐτὸς μεταδιδαχθείς, καὶ ἅμα πυθόμενος ὅτι τῶν προτέρων
μένουσιν αὐτοὶ ἐξηγήσεων, ἀποκηρύξασθαι αὐτοὺς πεποίηκε, καὶ τὸ γραμματεῖον ἀνατέτροφε
τῆς πίστεως σὺν ἀναθεματισμῷ, καὶ πρὸς αὐτὴν τῆς ἀπάτης αὐτοῦ δυσχερείας, ἣν ἔπαθον ἐξ
ἁπλότητος. ταῦτ' οὖν ἐληλεγμένοι σαφῶς, μὴ χαλεπαινέτωσαν, ἀλλ' ἐντρεπέσθωσαν, μη-
δὲ καταψευδέσθωσαν, ἀλλὰ συστελλέσθωσαν, καὶ τὴν πλάνην ἐξαλειφέτωσαν, τὸ μέγα καὶ
θαυμαστὸν αὐτῶν, οὐκ ἐκεῖνο πρόγραμμά τε καὶ κήρυγμα τῆς ὀρθοδοξίας, μετὰ ζητήματος εὐ-
θὺς ἀπαιτοῦντες τοῖς εἰσιοῦσι καὶ διακρίσεως, τὸ δεῖν προσκυνεῖν μὴ ἄνθρωπον θεοφόρον, ἀλ-
λὰ Θεὸν σαρκοφόρον. τούτου τί γένοιτ' ἂν ἀλογώτερον; κἂν τὸ ῥῆμα ᾖ μέγα τοῦτο φωνῶσιν οἱ
νέοι τῆς ἀληθείας κήρυκες. χάριν μὲν γὰρ ἔχει τινὰ σοφιστικὴν τῷ τάχει τῆς ἀντιστροφῆς, καὶ ψη-
φολογικὴν τερατείαν, τῶν ἀπαιδεύτων τέρπουσαν. ἔστι δὲ τῶν γελοίων γελοιότερον, καὶ τῶν
ἀσυνέτων ἀσυνετώτερον. εἰ γάρ τις μεταβαλὼν τὴν ἄνθρωπος φωνήν, καὶ τῇ σαρκὶ εἰς Θεόν,
ὧν τὸ μὲν ἡμῖν ἀρέσκει, τὸ δὲ αὐτοῖς. ἔπειτα ἀντιστροφῇ χρήσαιτο τῇ θαυμασίᾳ ταύτῃ καὶ
θεοπνεύστῳ. τί συναχθήσεται; τὸ δεῖν προσκυνεῖν μὴ σάρκα θεοφόρον, ἀλλὰ Θεὸν ἀνθρω-
ποφόρον. ὢ τῆς ἀτοπίας, τὴν ἀποκεκρυμμένην μετὰ Χριστὸν σοφίαν σήμερον καταγγέλλου-
σιν, ἐφ' ᾧ καὶ δακρύειν ἄξιον. εἰ γὰρ πρὸ τριάκοντα τούτων ἐτῶν ἡ πίστις ἤρξατο, τετρακο-
σίων σχεδὸν ἐτῶν γεγονότων ἀφ' οὗ Χριστὸς πεφανέρωται, κενὸν ἐν τοσούτῳ χρόνῳ τὸ εὐαγ-
γέλιον ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ἡμῶν, καὶ μάτην μὲν οἱ μάρτυρες μεμαρτυρήκασι,

μάννα δὲ τῷ λαῷ προΐσχεσθαι οἱ τοιοῦτοι καὶ τηλικοῦτοι προστάται. καὶ τὴν μήτραν ἡ χάρις, ἀλλ᾽ οὐ τὸ τῆς πίστεως. τίς δὲ οὐκ αὖ αὐτοὺς ἀγάζεται τῆς παιδεύσεως, οἱ σαφῶς αὐτοὶ τὰ Χριστοῦ διαιροῦντες, ὃ τὸ μὲν ἐγεννήθη, καὶ ἐπειράσθη, καὶ ἐπείνησε, καὶ ἐδίψησεν, ἐκοπίασέ τε καὶ ὕπνωσεν, ὅσα ἀνθρωπίνῳ προσνέμοντες. τὸ δὲ ὑπὸ ἀγγέλων ἐδοξάσθη, καὶ τὸν πειράσαντα ἐνίκησε, καὶ ἔθρεψε λαὸν ἐν ἐρήμῳ, καὶ ἔθρεψεν οὕτω, καὶ ὑπὲρ θαλάσσης ἐπέζευσε, τῇ θεότητι λογιζόμενοι. καὶ τὸ μὲν, ποῦ τεθείκατε Λάζαρον, ἡμέτερον εἶναι λέγοντες. τὸ δὲ Λάζαρε δεῦρο ἔξω βοᾶν, καὶ τὸν τεταρταῖον νεκρὸν ἐγείρειν, ὑπὲρ ἡμᾶς. καὶ τὸ μὲν ἠγωνίασε, καὶ ἐσταυρώθη, καὶ ἐτάφη, τοῦ προκαλύμματος. τὸ δὲ ἐθάρσησε, καὶ ἀνέστη, καὶ ἀνέβη, τοῦ ἀποθησαυρίσματος. ἔπειτα κατηγοροῦσιν ἡμῶν, ὡς δύο φύσεις εἰσαγόντων ἀπηρτημένας ἢ μαχομένας, καὶ μεριζόντων τὴν ὑπερφυῆ καὶ θαυμασίαν ἕνωσιν, δέον ἢ μὴ ποιεῖν ὃ κατηγοροῦσιν, ἢ μὴ κατηγορεῖν ὃ πράττουσιν. εἴπερ ἑαυτοῖς γοῦν ἀκολουθεῖν ἐγνώκασιν, ἀλλὰ μὴ καὶ τὰ ἴδια λέγειν, καὶ τὰ τῶν ἀντιπάλων, τοσοῦτόν ἐστιν ἡ ἀλογία, καὶ πρὸς ἑαυτὴν καὶ πρὸς τὴν ἀλήθειαν ἀντιμάχεται, ὡς μηδὲ περιπίπτοντας αὐτοὺς ἑαυτοῖς ἢ νοεῖν, ἢ αἰσχύνεσθαι, καὶ εἴ τις οὕτω ταῦτα γράφειν ἡμᾶς ἢ λέγειν ἑκόντας, ἀλλ᾽ οὐ τυραννουμένους, καὶ τὴν οἴασιν ἀντιδιδόντας, ἀλλ᾽ οὐχὶ καὶ λίαν σπουδάζοντας, ἴσως κακῶς φρονῶν, καὶ οὐκ ἐστοχασμένως τῆς ἡμετέρας ἐπιθυμίας, οἷς οὐδὲν εἰρήνης ἐστὶν, ἢ γέγονε προτιμότερον, ὡς αὐτὰ τὰ πάθη τὰ πράγματα, καὶ ἃ ποιοῦσί τε καὶ πάσχουσι καθ᾽ ἡμῶν ἀντιλέγειν παντοίως τὴν ὁμόνοιαν.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ.
λόγου τέλος.

ΤΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ἘΠΙΣΤΟΛΑΙ.

ΚΕΛΕΥΣΙΩι ἌΡΧΟΝΤΙ.

Ἐγκαλεῖς μοι τὴν σιωπὴν ἐγκαλεῖς, καὶ τὴν ἀγροικίαν, ὦ καλὲ καὶ ἀστικέ, φέρε σοι δὴ καὶ μυθολογήσω μῦθον οὐκ ἄμουσον, εἴ πως ἀλλὰ ταύτῃ γε δυνηθείην ἀποσχεῖν σε τῆς φλυαρίας. ἐπέσκωπτον αἱ χελιδόνες τοὺς κύκνους, τὸ μὴ ἐθέλειν ὁμιλεῖν τοῖς ἀνθρώποις, μηδὲ δημοσιεύειν τὴν μουσικήν, ἀλλ' ἀμφὶ τοὺς λειμῶνας διάγειν, καὶ τοὺς ποταμούς, καὶ τὴν ἐρημίαν ἀσπάζεσθαι, καὶ βραχέα μὲν ᾄδειν· ἃ δὲ καὶ ᾄδοιεν, ᾄδειν ἐν σφίσιν αὐτοῖς, ὥσπερ αἰσχυνομένους τὴν μουσικήν. ἡμῶν δὲ ἔφασαν αἱ πόλεις, καὶ οἱ ἄνθρωποι, καὶ οἱ θάλαμοι, καὶ περιλαλοῦμεν τοῖς ἀνθρώποις, καὶ τὰ ἡμέτερα αὐτοῖς διηγούμεθα. ταῦτα δὴ ταῦτα τὰ ἀρχαῖα καὶ Ἀττικά, τὸν Πανδίονα, τὰς Ἀθήνας, τὸν Τηρέα, τὴν Θρᾴκην, τὴν ἀποδημίαν, τὸ κῆδος, τὴν ὕβριν, τὴν ἐκτομὴν τῆς γλώττης, τὰ γράμματα, καὶ ἐπὶ πᾶσι τὸν Ἴτυν, καὶ ὡς ἐγενόμεθα ἐξ ἀνθρώπων ὄρνιθες. οἱ δὲ μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου, τῆς ἀδολεσχίας μισοῦντες. ἐπεὶ δὲ ἠξίωσαν, ἀλλ' ἡμᾶς μὲν ἕνεκεν ὧν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφικνοῖτό τις, ὥστε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον, ὥστ' εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν. ἀλλ' αὐτὸ δὴ τοῦτο κάλλιστόν ἐστιν ἡμῶν, ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος, καὶ οὐκ ἀναμίγνυμεν θορύβοις τὴν μουσικήν. ὑμᾶς δὲ καὶ εἰσοικιζομένας οἱ ἄνθρωποι δυσχεραίνουσι, καὶ ᾀδούσας ἀποστρέφονται, καὶ μάλα γε δικαίως. αἵ γε οὐδὲ ἐκτμηθεῖσαι τὴν γλῶτταν, δύνασθε σιωπᾶν. ἀλλ' αὐταὶ τὴν ἀφωνίαν ὑμῶν ὀδύρεσθε, καὶ τὸ ἐφ' ὑμῖν πάθος, ἔπειτα ἐστὲ λαλίστεραι, τῶν οὐκ ἐχόντων τὴν γλῶτταν, καὶ μουσικῶν. συνίετε οὖν, τί λέγω, φησὶν ὁ Πίνδαρος, κἂν εὕρῃς τὴν ἐμὴν ἀφωνίαν, ἀμείνω τῆς σῆς εὐγλωττίας, παῦσαι καταφλυαρῶν ἡμῶν τῆς σιωπῆς. ἤ σοι προοιμίαν ἐρῶ μάλιστα μὲν ἀληθῆ, μάλιστα δὲ σύντομον, ὅτι τότε ᾄσονται κύκνοι, ὅταν κολοιοὶ σιωπήσωσιν.

ΤΩι ΝΙΚΟΒΟΥΛΩι.

Ἀεὶ προτιμήσας ἐμαυτοῦ τὸν μέγαν Βασίλειον, εἰ κἀκείνῳ τοὐναντίον δοκεῖ, καὶ νῦν προτιμῶ, οὐχ ἧττον διὰ τὴν ἀλήθειαν, ἢ τὴν φιλίαν. διὰ τοῦτο προτιθεὶς τὰς ἐκείνου ἐπιστολάς, τὰς ἐμὰς ὑποτίθημι. καὶ γὰρ ἐπιθυμῶ πανταχοῦ συνεζεῦχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τύπον παρέχειν τοῖς ἄλλοις τοῦ μετρίου καὶ τῆς ὑφέσεως.

ΤΩι ΑὙΤΩι.

Τὸ λακωνίζειν οὐ τοῦτό ἐστιν, ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείστων ὀλίγας. οὕτως ἐγὼ καὶ βραχυλογώτατον Ὅμηρον λέγω, καὶ πολὺν τὸν Ἀντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

ΤΩι ΝΕΚΤΑΡΊΩι.

Τὰ μὲν καθ' ἡμᾶς ἔχει ὡς ἔχει. ἄνευ πολέμου καὶ πραγμάτων καθήμεθα, σιωπῆς ἀκίνδυνον γέρας ἀντὶ πάντων τιμήσαντες. καί τι καὶ ὠνάμεθα τῆς ἡσυχίας, ἐλέῳ θεοῦ ἱκανῶς τῆς ἀῤῥωστίας ἀνενεγκόντες. σὺ δὲ κατευοδοῦ καὶ βασίλευε, ὡς ὁ θεῖος Δαβὶδ φησί, καί σοι συνδιέποι τὴν ἱερωσύνην ὁ τιμήσας θεός, πάσης ἐπηρείας ὑψηλοτέραν ταύτην χαριζόμενος. ἵνα δὲ τοῦ θαῤῥεῖν ἀλλήλοις ἀπόδειξιν δῶμεν, καὶ μή τι πάσχωμεν ἀνθρώπινον θεῷ παριστάμενοι, ἐγὼ μὲν ταῦτα πρεσβεύω πρὸς σέ. σὺ δέ μοι προθύμως ἐπίνευσον. τοῦ γνησιωτάτου γὰρ ὑμῶν Παγκρατίου κηδόμεθα, πολλῶν ἕνεκεν ἀναγκαίως τοῦτο ποιοῦντες. τοῦτον καὶ προσίεσθαι θέλησον δυνάμενος, καὶ συστῆσαι τῶν φίλων τοῖς σπουδαιοτέροις, ὥστε τοῦ σκοποῦ τυχεῖν. ὁ δὲ σκοπός, στρατείᾳ τινὶ τὴν ἀπραγμοσύνην λαλεῖν. ἐπειδὴ ὡς βίος αὐτεπηρέαστος τοῖς πονηροῖς, ὃ καὶ αὐτὸς γινώσκεις.

ΤΩι ΑὙΤΩι.

Τί αὖ ἐποίησας, εἰ παρὼν αὐτὸς εἶχον πράγματα; ἢ δῆλον, ὅτι πᾶσαν αὖ ἔθου σπουδήν, ἐλευθερῶσαί με τῆς ἐπηρείας, εἴπερ τι δεῖ τοῖς προλαβοῦσι τεκμαίρεσθαι. τοῦτο καὶ νῦν ἡμῖν χάρισαι, διὰ τῆς κοσμιωτάτης ἀδελφῆς ἡμῶν, αὐτῆς προσαιτούσης σοι δι' ἡμῶν· αἰδεσθεὶς μὲν τὴν ἡλικίαν τῆς ἱκέτιδος, αἰδεσθεὶς δὲ τὸν τρόπον καὶ τὴν εὐλάβειαν, οὐ παρὰ τὰς πολλὰς οὖσαν γυναῖκας· αἰδεσθεὶς δὲ πρὸς τοῖς ἄλλοις καὶ τὴν ἀπραγμοσύνην τῆς γυναικός, καὶ τὸ παρὰ τῶν οἰκείων νῦν ἔχειν πράγματα. πρὸ πάντων δὲ τὴν ἡμετέραν παράκλησιν. ἡ μείζων δὲ χάρις, τὸ τάχος τῆς εὐεργεσίας, ἣν αἰτοῦμεν. τὸ μὲν γὰρ φιλάνθρωπον τῇ χήρᾳ, καὶ ὁ ἄδικος ἐν τῷ εὐαγγελίῳ κριτὴς ἐχαρίσατο. ἀλλὰ μετὰ πολλὴν ἱκεσίαν, καὶ προσεδρείαν. παρ' ἡμῶν δὲ ὑπαρχέτω τὸ τάχος, ἵνα μὴ κάμνῃ μακρὰ

ταῖς φροντίσι, καὶ ταῖς ὑπὲρ τῆς ἀλλοδαπῆς κακοπαθείαις, εἰ καὶ τὰ μάλιστα οἶδα σαφῶς ὅτι οἰκείαν αὐτῇ ποιήσει καὶ τὴν ἀλλοτρίαν, ἡ σὴ θεοσέβεια.

ΤΩι ΕΛΛΑΔΙΩι.

Ἤσθην τοῖς γράμμασι· πῶς δ' οὐκ ἔμελλον, περὶ μνήμην εἶναί σοι καὶ τῶν τεθνηκότων. προσόντων δὲ καὶ τῶν συμβόλων τῆς ἑορτῆς, πλείων ἡ χάρις. ἀλλὰ πρόσθες οἷς δίδως ἅπερ αἰτεῖς. προσεύχου δὲ περὶ ἡμῶν. εἰ μὲν συμφέρει, πάλιν ἡμᾶς ὑπομνησθῆναι καὶ ὑπομνῆσαι τῆς ἑορτῆς. εἰ δὲ μὴ, πρὸς τὰ ἐκεῖσε μετατεθῆναι, καὶ τὴν ἀληθῆ ἑορτὴν ἢ λαβεῖν, ἢ ἰδεῖν. ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία. τῶν γὰρ τοῦ βίου στροφῶν κεκορέσμεθα.

ΤΩι ΑΥΤΩι.

Ὁρῶ τὰ ἐλπιζόμενα πόῤῥωθεν διαχθέντων (χρήσομαι γὰρ τοῦ σοῦ προοιμίου) καὶ τοῖς ἤδη παροῦσιν εὐφραινόμεθα. τὴν γὰρ ἁγίαν τοῦ πάσχα ἡμέραν, εἰς ἣν κατηντήκαμεν, τὴν ἐκεῖθεν ἀγαθῶν οἷα μυσταγωγίαν, ἑορτὴν οὖσαν διαβατήριον. ὃ καλῶς ἐποίησας καὶ αὐτὸς ἀναμνήσας ἡμᾶς, οἷς ἀπέσταλκας καὶ οἷς γέγραφας. ἐγὼ δὲ πολλὰ μὲν ἤδη πάσχα διῆλθον, καὶ τοῦτο ὠνάμην τῆς μακροτέρας ζωῆς. νῦν δὲ καθαρώτερον ἐπιθυμῶ, τὴν αἰγυπτίαν ταύτην ἐξελθὼν, τοῦ βίου τὴν βαρεῖαν καὶ σκοτεινὴν, καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερωθεὶς ᾗ συνδεδέμεθα, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μεταναστῆναι. ταύτην ἡμῖν προσεύχου, εἴ τι σοι μέλει τοῦ τὰ μέγιστα εὐποιεῖν ἡμᾶς. σὲ δὲ πολλάκις γένοιτο συνεορτάσαι τῷ κοινῷ τῆς ἐκκλησίας βιωσίμως ἔχοντα. εἰ δέ μοι δοίητε καὶ τὸ γῆρας ἐν καλῷ καταλῦσαι, τῇ ἐκκλησίᾳ ταύτῃ δόντες ἐπίσκοπον, ὃν ἀναδείξει τὸ πνεῦμα τὸ ἅγιον, ἔργον ἀγαθὸν ἐργασάμενοι, καὶ ἵν' εἴπω, πατρικῶν εὐλογιῶν ἄξιον.

ΠΡΟΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ.

Τοῦ πληρωθῆναί σοι τὸ ἐπίταγμα, τὸ μέν τι δεῖν ἐφ' ἡμῖν· τὸ δέ γε, καὶ οἶμαι τὸ πλεῖον, ἐπὶ τῇ σῇ εὐλαβείᾳ. ἐφ' ἡμῖν μὲν, τὸ τῆς ὁρμῆς καὶ τῆς προθυμίας. οὔτε γὰρ ἄλλοτέ ποτε τὴν σὴν συντυχίαν ἐφύγομεν, ἀλλ' ἀεὶ ταύτην διώκομεν. καὶ νῦν ταύτην πλεῖον ποθοῦμεν. ἐπὶ δὲ τῇ σῇ ὁσιότητι, τὸ διορθωθῆναι τὰ ἡμέτερα. προσεδρεύομεν γὰρ τῇ κυρίᾳ τῇ μητρὶ πολὺν ἤδη καμούσῃ χρόνον ὑπὸ ἀῤῥωστίας. καὶ εἰ μὴ μέλλοιμεν ἀμφιβόλως αὐτὴν καταλείψειν, οὐ ζημιωθησόμεθα εὖ ἴσθι τὴν συνουσίαν. μόνον ταῖς εὐχαῖς, τῇ μὲν πρὸς τὴν ὑγείαν, ἡμῖν δὲ πρὸς τὴν ὁδὸν ἐπικούρησον.

ΤΩι ΑΥΤΩι.

Ἐψευσάμην, ὁμολογῶ τὴν ὑπόσχεσιν, συνέσεσθαί σοι καὶ συμφιλοσοφήσειν καθομολογήσας ἐκ τῶν Ἀθήνῃσιν ἔτι καὶ τῆς ἐκεῖσε φιλίας καὶ συμπνοίας. οὐ γὰρ ἔχω τι τούτων εἰπεῖν οἰκειότερον. ἐψευσάμην δὲ οὐχ ἑκὼν, ἀλλὰ νόμῳ νόμον νικήσαντος, τοῦ θεραπεύειν κελεύσαντος τοὺς γεννήτορας, τὸν τῆς ἑταιρείας καὶ συνηθείας. οὐ μὴν παντάπασι ψεύσομαι, ἂν τοῦτο αὐτὸ καταδέξῃ. τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα. τὰ δὲ αὐτὸς ἡμῖν θελήσον, ἵν' ᾖ τὰ πάντα κοινὰ, καὶ τὸ τῆς φιλίας ὁμότιμον. οὕτω γὰρ ὑπάρξει, καὶ τὸ τούτους μὴ λυπεῖν, καὶ τὸ σοῦ τυγχάνειν.

ΤΩι ΜΕΓΑΛΩι ΒΑΣΙΛΕΙΩι.

Οὐ φέρω τὴν Τιβερινὴν ἐγκαλούμενος, καὶ τοὺς ἐνταῦθα πάγους καὶ χειμῶνας, ὦ λίαν ἄπηλε σὺ, καὶ ἀκροβάμων, καὶ τὰς πλάκας κατακροαίνων, καὶ ὑπόπτερε σὺ καὶ μετάρσιε, καὶ περὶ ἀβάσιμος οἰστῷ συμφερόμενε. ἵνα καὶ καππαδόκης ὢν, φεύγῃς τὰ καππαδοκίας. ἢ ἀδικοῦμεν, ὅτι ὑμεῖς μὲν ὠχριᾶτε, καὶ στενὸν ἀναπνεῖτε, καὶ μετρεῖσθε τὸν ἥλιον. ἡμεῖς δὲ λιπῶμεν καὶ κορεννύμεθα, καὶ ὁ περιγεγράμμεθα. ἀλλὰ ταῦτα ὑμῖν δεῖ. τρυφᾶτε δὲ καὶ πλουτεῖτε καὶ ἀγοράζετε. τοῦτο οὐκ ἐπαινῶ. ἢ τοίνυν παῦσαι τοὺς πηλοὺς ὀνειδίζων ἡμῖν. οὔτε γὰρ σὺ τὴν πόλιν ἐδημιούργησας, οὔτε τὸν χειμῶνα ἡμεῖς. ἢ καὶ ἡμεῖς σοι προσοίσομεν, ἀντὶ πηλῶν τοὺς καπήλους, καὶ ὅσα αἱ πόλεις μοχθηρὰ φέρουσιν.

ΤΩι ΑΥΤΩι.

Σὺ μὲν σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα, εἴτε παίζων, εἴτε καὶ σπουδάζων. οὐδὲν τοῦτο πρᾶγμα. μειδία μόνον, καὶ τῆς παιδεύσεως ἐμφοροῦ, καὶ τῆς φιλίας ἡμῶν ἀπόλαυε. πάντα ἡμῖν χρυσᾶ τὰ παρὰ σοῦ, ὁποῖα ποτ' ἂν ᾖ, καὶ ὅπως ἂν ἔχῃ. καὶ γάρ μοι καὶ τὰ ἐνταῦθα σκώπτειν δοκεῖς, οὐχ ἵνα σκώψῃς, ἀλλ' ἵνα πρὸς ἑαυτὸν ἑλκύσῃς. εἴ τι γε ἐγώ σου συνίημι. ὥσπερ οἱ τὰ ῥεύματα φράσσοντες, ἵν' ἀλλαχοῦ μεθελκύσωσι. τοιαῦτα ἡμῖν ἀεὶ τὰ σά. ἐγὼ δέ σου τὸν πόντον θαυμάσομαι, καὶ τὴν ποντικὴν ζοφοφορίαν, καὶ τὴν φυγῆς ἀξίαν μονήν. τούς τε ὑπὲρ κεφαλῆς λόφους καὶ θῆρας, οἳ τὴν πίστιν ὑμῶν δοκιμάζουσι. καὶ τὴν ὑποκειμένην ἐσχατιὰν, εἴτ' οὖν μυοξίαν μετὰ τῶν σεμνῶν ὀνομάτων τὸ φροντιστήριον,

καὶ τὸ μοναστήριον τὸ τῆς χελώνης, λόγχμας τε ἀγρίων φυτῶν, καὶ βαθυκρημνῶν ὀρῶν στέφανον· ὑφ' οὗ μὴ στεφανοῦσθε, ἀλλὰ συγκλείεσθε. τόν τε μετρούμενον ἀέρα, καὶ τὸν ποθούμενον ἥλιον· ὃν ὡς διὰ κάπνης αὐγάζεσθε, ὦ Ποντικοὶ Κιμμέριοι καὶ ἀνήλιοι. καὶ οὐ τὴν ἑξάμηνον νύκτα μόνον κατακεκριμένοι, ὃ δή τινων λέγονται, ἀλλ' οὐδὲ μέρος τῆς ζωῆς ἄσκιον ἔχοντες. μίαν δὲ νύκτα μακρὰν, τὸν ἅπαντα βίον, καὶ ὄντως σκιὰν θανάτου, ἵν' εἴπω τὸ τῆς γραφῆς. ἐπαινῶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν, οὐκ οἶδα εἴτε εἰς βασιλείαν, εἴτε εἰς ᾅδην φέρουσαν. σοῦ δὲ ἕνεκεν εἰς βασιλείαν φερέτω. καὶ τὴν ἐν μέσῳ τί βούλει, πότερον Ἐδὲμ ὀνομάσω ψευδόμενος, καὶ τὴν εἰς τέσσαρας ἀρχὰς μεριζομένην πηγὴν, ἐξ ἧς καὶ οἰκουμένη ποτίζεται; ἢ τὴν ξηρὰν τε καὶ ἄνικμον ἐρημίαν, ἣν τις ἡμερώσει Μωσῆς, ῥάβδῳ πέτραν πηγάσας; ἔστι γὰρ ὅσον μὲν διαπέφευγε τὰς πέτρας, χαραδρεών· ὅσον δὲ τὰς χαράδρας, ἀκανθεών· ὅσον δὲ ὑπὲρ τὰς ἀκάνθας κρημνός, καὶ ἡ ὑπὲρ τοῦτον ὁδὸς, ἐπίκρημνός τε καὶ ἀμφιτάλαντος, τῶν ὁδευόντων τὸν νοῦν συνάγουσα καὶ γυμνάζουσα πρὸς ἀσφάλειαν. ποταμὸς δὲ κάτω ῥοχθεῖ, οὗτος ὁ Ἀμφιπολίτης σοι, Στρυμὼν καὶ ἡσύχιος, καὶ οὐκ ἰχθυοφόρος μᾶλλον, ἢ λιθοφόρος· οὐδὲ εἰς λίμνην ἀναχεόμενος, ἀλλ' εἰς βάθη καταστρεφόμενος. ὦ λίαν ὑψηγόρε σὺ, καὶ ποιητὰ καινῶν ὀνομάτων. ἔστι γὰρ μέγας τε φοβερὸς καὶ ὑπερηχῶν τῶν ἄνω τὰς ψαλμῳδίας. οὐδὲν πρὸς τοῦτον οἱ καταράκται, καὶ οἱ κατάδουποι. τοσοῦτον ὑμῶν καταβοᾷ, νυκτός τε καὶ ἡμέρας. τραχὺς μὲν ὢν, ἄπορος δέ· καὶ θολερὸς μὲν, ἄποτος δέ. οὐ τοῦτο μόνον φιλάνθρωπον, ὅτι μὴ παρασύρει τὴν μονὴν ὑμῶν, ὅταν αὐτὸν αἱ χαράδραι, καὶ οἱ χειμῶνες ἐκμαίνουσιν. ἃ μὲν οὖν ἡμᾶς συνώισμεν, ταῖς τῶν μακάρων νήσοις ταύταις, εἴτ' οὖν τῶν μακαρίων ὑμῶν, ταῦτά ἐστι. σὺ δὲ μὴ θαύμαζε τοὺς μηνοειδεῖς ἀγκῶνας, τὰ βάσιμα τῆς ὑπωρείας ὑμῶν ἀπαγχονίζοντας μᾶλλον, ἢ ἀποτειχίζοντας. καὶ τὸν κορυφῆς ὑπερτέλλοντα τένοντα, ὃς Ταντάλειον ὑμῖν ποιεῖ τὴν ζωὴν, τάς τε διαρρεούσας αὔρας, καὶ τῆς γῆς ἀναπνοὰς, αἳ λειποθυμοῦντας ὑμᾶς ἀναψύχουσι. τούς τε ᾠδικοὺς ὄρνιθας, ᾄδοντας μὲν, ἀλλὰ τὸν λιμόν· καὶ περιϊπταμένους μὲν, ἀλλὰ τὴν ἐρημίαν. ἐπιδημεῖ δὲ οὐδεὶς, ὅτι μὴ κατὰ θήραν λέγεις. πρόσεστιν, καὶ ὥστε νεκροὺς ὑμᾶς ἐπισκέπτεσθαι. ταῦτα μακρότερα μὲν ἴσως ἢ κατ' ἐπιστολὴν, ἐλάττω δὲ κωμῳδίας. σὺ δὲ εἰ μὲν οἴσεις μετρίως τὴν παιδιὰν, ὀρθῶς ποιήσεις· εἰ δὲ μὴ, καὶ τὰ πλείω προσθήσομεν.

ΤΩι ΜΕΓΑΛΩι ΒΑΣΙΛΕΙΩι.

Ἐπειδὴ φέρεις μετρίως τὴν παιδείαν, καὶ τὰ ἑξῆς προσθήσομεν. ἐξ Ὁμήρου δὲ τὸ προοίμιον· ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἔνδον κόσμον ἄεισον, τὴν ἄστεγον σκέπην καὶ ἄθυρον, τὴν ἄπυρον ἑστίαν καὶ ἄκαπνον, τοὺς πυρὶ ξηραινομένους τοίχους, ἵνα μὴ ταῖς τοῦ πηλοῦ ῥανίσι βαλλώμεθα. Ταντάλειοί τινες καὶ κατάκριτοι, διψῶντες ἐν ὕδασι, τὴν ἐλεεινὴν ἐκείνην καὶ ἄτροφον πανδαισίαν, ἐφ' ἣν ἀπὸ Καππαδοκίας ἐκλήθημεν, οὐχ ὡς λωτοφάγων πενίαν, ἀλλ' ὡς Ἀλκινόου τράπεζαν ἡμεῖς οἱ νέοι ναυαγοί τε καὶ τλήμονες. μέμνημαι γὰρ τῶν ἄρτων ἐκείνων, καὶ τῶν ζωμῶν. οὕτω γὰρ ὠνομάζοντο, ἀλλὰ καὶ μεμνήσομαι, καὶ περιολισθαινόντων τοῖς βλωμοῖς ὀδόντων· εἶτα ἀντεχομένων καὶ ἀνελκομένων, ὥσπερ ἐκ τέλματος. αὐτὸς ταῦτα τραγῳδήσεις ὑψηλότερον, ἐκ τῶν οἰκείων παθῶν ἔχων τὸ μεγαλόφωνον, ὧν εἰ μὴ ταχέως ἡμᾶς ἡ μεγάλη καὶ πτωχοτρόφος ὄντως ἐξερρύσατο, τὴν σὴν λέγω μητέρα, ὥσπερ λιμὴν ἐν καιρῷ φανεῖσα χειμαζομένοις. πάλαι ἂν ἦμεν νεκροὶ, πίστεως Ποντικῆς οὐκ ἐπαινούμενοι μᾶλλον ἢ ἐλεούμενοι. πῶς παρέλθω τοὺς ἀκήπους κήπους ἐκείνους καὶ ἀλαχάνους; καὶ τὴν Αὐγέου κόπρον, ἐκ τῆς οἰκίας ἐκκαθαιρομένην, ἣ τούτους ἀνεπληρώσαμεν, ἡνίκα τὴν γεώλοφον ἅμαξαν ἐγώ τε ὁ Βοτρύαν, καὶ ὁ λάμυρος σὺ, τοῖς αὐχέσι θύροις καὶ ταῖς χερσὶ ταύταις, αἳ τῶν πόνων ἔτι τὰ ἴχνη φέρουσιν. ὦ γῆ καὶ ἥλιε, καὶ ἀὴρ καὶ ἀρετή. τραγῳδήσω γάρ τι μικρὸν, οὐχ ἵνα τὸν Ἑλλήσποντον ζεύξαιμεν, ἀλλ' ἵνα τὸν κρημνὸν ὁμαλίσωμεν. τούτοις εἰ μὲν οὐδὲ γὰρ ἀχθεσθήσῃ λεγομένοις, πάντως οὐδὲ ἡμεῖς. εἰ δὲ ἀχθεσθήσῃ πόσον γινομένοις, ἡμεῖς καὶ τὰ πλείω παρήσομεν, αἰδοῖ τῶν ἄλλων, ὧν πολλῶν ἀπηλαύσαμεν.

ΤΩι ΜΕΓΑΛΩι ΒΑΣΙΛΕΙΩι.

Ἃ μὲν πρότερον ἐπεστέλλομεν περὶ τῆς Ποντικῆς διατριβῆς, παιζόντων ἦν, οὐ σπουδαζόντων, ἃ δὲ νῦν γράφω, καὶ λίαν σπουδαζόντων. τίς ἄν με θείη κατὰ μῆνας ἡμερῶν τῶν ἔμπροσθεν ἐκείνων, ἐν αἷς συνεκτρύφων σοι τὸ κακοπαθεῖν; ἐπειδὴ τὸ ἑκούσιον λυπηρὸν, τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον. τίς δώσει τὰς ψαλμῳδίας ἐκείνας καὶ τὰς ἀγρυπνίας, καὶ τὰς δι' εὐχῆς πρὸς θεὸν ἐκδημίας; καὶ τὴν οἷον ἄϋλον ζωὴν καὶ ἀσώματον; τίς ἀδελφῶν συμφυΐαν καὶ συμψυχίαν, τῶν ὑπὸ σοῦ θεουμένων καὶ ὑψουμένων; τίς

ἅμιλλαν ἀρετῆς καὶ παράθηξιν, ἣν ὅροις γραπτοῖς καὶ κανόσιν ἠσφαλισάμεθα; τίς θείων λογίων φιλοπονίαν; καὶ τὸ ἐν αὐτοῖς φῶς εὑρισκόμενον, σὺν ὁδηγίᾳ τοῦ πνεύματος; ἢ ἵνα τὰ μικρότερα λέγω καὶ εὐτελέστερα, τὰς ἐφημερίας καὶ αὐτουργίας, τὰς ξυληγίας καὶ λατομίας; τὰς δὲ φυτοκομίας καὶ ὀχετηγίας; τὴν δὲ πλάτανον τὴν χρυσῆν, καὶ τῆς Ξέρξου τιμιωτέραν, ὑφ᾽ ἧς οὐχὶ βασιλεὺς ἐκαθέζετο τεθρυμμένος, ἀλλὰ μοναστὴς τετρυχωμένος. ἣν ἐγὼ ἐφύτευσα, ἀπολλὼς ἐπότισεν, ἡ σὴ τιμιότης. ἀλλ᾽ ὁ θεὸς ηὔξησεν, εἰς τιμὴν ἡμετέραν, ἵνα ὑπόμνημα σώζηται παρ᾽ ὑμῖν τῆς ἡμετέρας φιλοπονίας, ὥσπερ ἐν τῇ κιβωτῷ λέγεται καὶ πιστεύεται ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα. ταῦτα εὔξασθαι μὲν ῥᾷστον, λαβεῖν δὲ οὐ ῥᾴδιον. ἀλλά μοι καὶ πάρεσο, καὶ σύμπνει τὴν ἀρετὴν, καὶ συνεργάζου. καὶ ἥν ποτε συνελεξάμεθα ὠφέλειαν, συντήρει διὰ τῶν προσευχῶν, ἵνα μὴ κατὰ μικρὸν ὥσπερ σκιὰ λυθῶμεν κλινούσης ἡμέρας. ὡς ἐγὼ σὲ πνέω μᾶλλον ἢ τὸν ἀέρα. καὶ τοσοῦτον ζῶ μόνον, ὃ μετὰ σοῦ γίνομαι, ἢ παρὼν ἢ ἀπὼν τοῖς ἰνδάλμασιν.

ΤΩ͂Ι ΜΕΓΑ΄ΛΩΙ ΒΑΣΙΛΕΙ΄ΩΙ.

Πῶς ὑπερφυῶς ἡμῖν τὰ σὰ, ὦ θεία καὶ ἱερὰ κεφαλή; ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; ἢ πῶς τοῦτο εἰπεῖν ἐθάρσησας; ἵνα τι καὶ αὐτὸς θαρρήσω μικρόν; πῶς ἡ διάνοια ὥρμησεν; ἢ μέλαν ὑπηρέτησεν; ἢ χάρτης ἐδέξατο; ὦ λόγοι καὶ ἀθῆναι καὶ ἀρεταὶ, καὶ λόγων ἱδρῶτες. μικροῦ γάρ με καὶ τραγῳδεῖν, οἷς γράφεις ποιεῖς. πότερον ἡμᾶς ἀγνοεῖς, ἢ σεαυτόν; ὁ τῆς οἰκουμένης ὀφθαλμὸς, ἡ μεγάλη φωνὴ καὶ σάλπιγξ, τὸ τῶν λόγων βασίλειον. μικρὰ γεωργεῖον τὰ σά; τί οὖν τις ἄλλο θαυμάσειεν τῶν ἐπὶ τῆς γῆς, εἰ μὴ σύ; γεωργεῖον ἓν μὲν ἔαρ ἐν ὥραις, εἷς δὲ ἥλιος ἐν ἀστράσιν, εἷς δὲ περιέχων ἅπαντα οὐρανός. μία δὲ κατὰ πάντων φωνὴ ἡ σή. εἴπερ τι ἐγὼ ἱκανὸς τὰ τοιαῦτα κρίνειν, μηδὲ ἀπατᾷ με τὸ φίλτρον, ὅπερ οὐκ οἴομαι. εἰ μὲν ὅτι μὴ πρὸς ἀξίαν θαυμάζομεν, τοῦτο ἐγκαλεῖς, ἐγκάλει καὶ πᾶσιν ἀνθρώποις. οὐδὲ γὰρ ἄλλος τις ἀξίως ἐθαύμασεν ἢ θαυμάζεται, ὅτι μὴ σὺ, καὶ ἡ σὴ μεγαλοφωνία. εἴπερ οἷόν τε ἦν ἑαυτὸν ἐπαινεῖν, καὶ τοῦτο εἶχεν ὑμῖν ὁ τῶν λόγων νόμος. εἰ δὲ τὸ καταφρονεῖν ἐγκαλούμεθα, τί μὴ μανίαν πρότερον; ἀλλ᾽ ὅτι φιλοσοφοῦμεν ἀγανακτεῖς; δὸς εἰπεῖν, τοῦτο μόνον καὶ τῶν λόγων τῶν σῶν ὑψηλότερον.

ΤΩ͂Ι ΑΥ΄ΤΩ͂Ι.

Ἐπαινῶ σου τῆς ἐπιστολῆς τὸ προοίμιον. τί δὲ τῶν σῶν οὐκ ἐπαινετέον; καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς γεγραφότες. ἐπειδή γε εἰς τὸν πρεσβυτέρων βαθμὸν ἐβιάσθημεν. καίτοι γε, οὐ τοῦτο ἡμῖν ἐσπουδάζετο. ἀλλήλοις γάρ ἐσμεν, εἴπερ ἄλλοι τινὲς, ἀξιόπιστοι μάρτυρες τοῦ τὴν πεζὴν στέργειν φιλοσοφίαν καὶ κάτω μένουσαν. ἀλλὰ τοῦτο μὲν μὴ γενέσθαι μὲν, ἴσως ἄμεινον ἦν. ἢ οὐκ οἶδ᾽ ὅ,τι καὶ φῶ, ἕως γνῶ τὴν οἰκονομίαν τοῦ πνεύματος. ἐπεὶ δὲ ἐγένετο, φέρειν ἀνάγκη, ὥς γοῦν ἐμοὶ καταφαίνεται, καὶ μάλιστα διὰ τὸν καιρὸν, πολλὰς ἡμῖν αἱρετικῶν ἐπεισάγοντα γλώσσας, καὶ μὴ καταισχύνειν μήτε τὰς τῶν πεπιστευκότων ἐλπίδας, μήτε τὸν ἡμέτερον βίον.

ΤΩ͂Ι ΑΥ΄ΤΩ͂Ι.

Καιρὸς εὐβουλίας καὶ καρτερίας, καὶ τοῦ μηδένα φανῆναι ἡμῶν ἀνδρικώτερον, μηδὲ τοὺς πολλοὺς ἱδρῶτας καὶ πόνους ἐν ὀλίγῳ καταλυθῆναι. γράφω διατί ταῦτα καὶ πόθεν; ὁ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Εὐσέβιος (οὕτω γὰρ δεῖ περὶ αὐτοῦ λοιπὸν καὶ φρονεῖν καὶ γράφειν) λίαν πρὸς ἡμᾶς ἔχει συμβατικῶς τε καὶ φιλικῶς, καὶ ὥσπερ σίδηρος πυρὶ τῷ χρόνῳ μαλάσσεται. καὶ οἶμαι καὶ γράμμα ἥξειν πρὸς σὲ, παρακλήσεώς τε καὶ κλήσεως, ὡς ἐμοί τε παρεδήλωσε, καὶ πολλοὶ πείθουσιν ἡμᾶς τῶν τὰ ἐκείνου σαφῶς εἰδότων. ὃν προλάβωμεν, ἢ παρόντες ἢ ἐπιστείλαντες, μᾶλλον δὲ προεπιστείλαντες, εἶτα παρόντες, ἵνα μὴ αἰσχυνθῶμεν ὕστερον ἡττηθέντες, δέον νικῆσαι τὸ καλῶς ἡττηθῆναι καὶ φιλοσόφως, ὃ παρὰ τῶν πολλῶν ἀπαιτούμεθα. ἧκε οὖν ἐμοὶ πεισθεὶς, καὶ διὰ τοῦτο, καὶ διὰ τὸν καιρόν. ἐπειδὴ σύστασις αἱρετικῶν κατατρέχει τὴν ἐκκλησίαν, τῶν μὲν ἤδη παρόντων καὶ τεθρασυσμένων, τῶν δὲ ὡς λόγος παρεσομένων. καὶ δέος παρασυρῆναι τὸν λόγον τῆς ἀληθείας, εἰ μὴ τάχιστα κινηθείη τὸ πνεῦμα Βεσελεὴλ, τοῦ σοφοῦ τῶν τοιούτων ἀρχιτέκτονος λόγων τε καὶ δογμάτων. εἰ δὲ δοκεῖς αὐτὸν ἐμὲ παρεῖναι καὶ διάξοντα ταῦτα, καὶ συνοδεύοντα, οὐδὲ τοῦτο φευξόμεθα.

ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ καισαρείας.

Ἐπειδὴ πρὸς ἄνδρα ποιοῦμαι τοὺς λόγους οὔτε ἀγαπῶντα τὸ ψεῦδος, καὶ τὸ ἐν ἑτέρῳ φωρᾶσαι πάντων ὀξύτατον, κἂν ὅτι μάλιστα σοφοῖς πλέκηται καὶ ποικίλοις τοῖς λαβυρίνθοις, πρὸς δὲ οὐδὲ αὐτῷ μοι φίλον τὸ τεχνικόν. ἀρέσκει γὰρ κἂν ᾖ φορτικώτερον, πεφυκότι τε οὕτω καὶ τυπουμένῳ παρὰ τοῦ λόγου, διὰ τοῦτο γράφω τὰ παριστάμενα. καί μου δέξαι τὴν παρρησίαν, ἢ ἀδικήσεις γε τῆς ἐλευθερίας ἀφαιρῶν καὶ ἀναγκάζων ἐν ἑαυτῷ κατέχειν τὴν ὠδῖνα τῆς λύπης, ὥσπερ τι νόσημα ὕπουλον καὶ κακόηθες. ἐγὼ χαίρω μὲν ὑπὸ σοῦ τιμώμενος, ἄνθρωπος εἰμί. τοῦ προειρηκότος ὁ λόγος καὶ καλούμενος ἐπί τε συλλόγους καὶ συνόδους πνευματικούς. οὐ φέρω δὲ τὴν γεγενημένην ὕβριν εἰς τὸν τιμιώτατον ἀδελφὸν Βασίλειον, καὶ γινομένην ἔτι παρὰ τῆς σῆς εὐλαβείας, ὃν καὶ βίου καὶ λόγου κοινωνὸν, καὶ τῆς ὑψηλοτάτης φιλοσοφίας εἱλόμην ἐξ ἀπαρχῆς, καὶ νῦν ἔχω, καὶ οὐδὲν ἐμαυτῷ μέμφομαι τῆς ἐπ' αὐτῷ κρίσεως. οὕτω γὰρ εἰπεῖν μετριώτερον, ἵνα μὴ ἐμαυτὸν ἐπαινεῖν δόξω, τὰ ἐκείνου θαυμάζων. σὺ δέ μοι δοκεῖς ποιεῖν παραπλήσιον, τὸν μὲν ἀτιμάζων, τιμῶν δὲ ἡμᾶς, ὥσπερ ἂν εἴ τις ἑνὸς ἀνδρὸς τῇ μὲν τῶν χειρῶν καταψήχει τὴν κεφαλὴν, τῇ δὲ παίοι τὴν παρειάν· ἢ καὶ θεμελίους ὑποσπῶν οἰκίας, διαζωγραφοίη τοὺς τοίχους, καὶ καλλωπίζοι τὰ ἔξωθεν. εἴ τι οὖν ἐμοὶ πείθῃ, τοῦτο ποιήσεις. πεπεῖσθαι δὲ ἀξιῶ. καὶ γὰρ δίκαιον, εἰ ἐκεῖνον θεραπεύσεις τὰ εἰκότα, καὶ παρ' ἐκείνου θεραπευθήσῃ. τὸ δὲ καθ' ἡμᾶς ἕψεται ὥσπερ τοῖς σώμασιν αἱ σκιαὶ, μικρούς τε ὄντας, καὶ πρὸς εἰρήνην ἑτοιμοτέρους. οὐδὲ γὰρ οὕτως ἀθλίως πράττομεν, ὥστε τ' ἄλλα μὲν ἐθέλειν φιλοσοφεῖν, καὶ τῆς κρείττονος εἶναι μερίδος· ὑστερεῖν δὲ πράγματος, ὃ τοῦ καθ' ἡμᾶς λόγου κεφάλαιόν ἐστι τῆς ἀγάπης. ἄλλως τε καὶ πρὸς ἄνδρα ἱερέα τε καὶ τοιοῦτον, ὃν καὶ βίῳ καὶ λόγῳ καὶ πολιτείᾳ πάντων ἄριστον ὧν ἴσμεν γινώσκομεν. οὐ γὰρ ἐπισκοτήσει τὸ λυπεῖσθαι τῇ ἀληθείᾳ.

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΚΑΙΣΑΡΕΙΑι ΩΣ ΕΚ ΠΡΟσώπου τοῦ ἑαυτοῦ πατρός.

Εἰμὶ μὲν ποιμὴν ὀλίγος, καὶ ποιμνίου μικροῦ προεστηκὼς, καὶ πολλοστὸς ἐν ὑπηρέταις τοῦ πνεύματος. ἡ χάρις δὲ οὐ στενὴ, οὐδὲ τόποις περιγραπτή. διὰ τοῦτο δεδόσθω καὶ τοῖς μικροῖς παρρησία. ἄλλως τε καὶ περὶ κοινῶν καὶ τηλικούτων ὄντος τοῦ λόγου, καὶ μετὰ τοσαύτης βουλευομένοις τῆς πολιᾶς, ἣ τυχὸν ἔχει τι καὶ τῶν πολλῶν συνετώτερον. οὐ περὶ μικρῶν, οὐδὲ τῶν τυχόντων βουλεύεσθε, ἀλλ' ὧν ἢ εὖ ἢ κακῶς ἐχόντων, ἀνάγκη καὶ τὸ κοινὸν ἢ ἐκείνως ἢ οὕτως ἔχειν. περὶ γὰρ ἐκκλησίας ἡμῖν ὁ λόγος, ὑπὲρ ἧς Χριστὸς ἀπέθανεν, καὶ τοῦ ταύτην θεῷ παραστήσοντος καὶ προσάξοντος. λύχνος μὲν γὰρ τοῦ σώματός ἐστιν ὀφθαλμὸς, ὡς ἠκούσαμεν, οὐ μόνον οὗτος ὁ σωματικῶς ὁρῶν καὶ ὁρώμενος, ἀλλὰ καὶ ὁ πνευματικῶς θεωρῶν καὶ θεωρούμενος. λύχνος δὲ τῆς ἐκκλησίας, ὁ ἐπίσκοπος, ὃ δῆλον ὑμῖν κἂν αὐτοὶ μὴ γράφωμεν. ἀνάγκη τοίνυν ὥσπερ ἐκείνου καθαρῶς μὲν ἔχοντος ὀρθῶς ἄγεσθαι καὶ τὸ σῶμα, μὴ καθαροῦ δὲ τυγχάνοντος οὐκ ὀρθῶς, οὕτω δὴ καὶ τοῦ προεστῶτος τῆς ἐκκλησίας, ὁποτέρως ἂν ἔχῃ, πάντως ἢ συνδιακινδυνεύειν, ἢ συνδιασώζεσθαι. πάσης μὲν οὖν ἐκκλησίας φροντιστέον ὡς Χριστοῦ σώματος. μάλιστα δὲ τῆς ἡμετέρας, ἣ μήτηρ σχεδὸν ἁπασῶν τῶν ἐκκλησιῶν, ἦν τε ἀπ' ἀρχῆς, καὶ νῦν ἐστι καὶ νομίζεται, καὶ πρὸς ἣν τὸ κοινὸν βλέπει, ὡς κέντρῳ κύκλος περιγραφόμενος. οὐ μόνον διὰ τὴν ὀρθοδοξίαν ἄνωθεν πᾶσι κεκηρυγμένην, ἀλλὰ καὶ τὴν ἐκ θεοῦ δεδομένην αὐτῇ προδήλως χάριν τῆς ὁμονοίας. ἐπεὶ τοίνυν κεκλήκατε μὲν καὶ ἡμᾶς εἰς τὴν περὶ τούτου διάσκεψιν ποιοῦντες ὀρθῶς καὶ κανονικῶς, κρατούμεθα δὲ γήρᾳ καὶ ἀρρωστίᾳ, εἰ μὲν καὶ αὐτοὶ παρείημεν τοῦ πνεύματος ἐπιρρώσαντος, οὐδὲν γὰρ ἄπιστον τοῖς πιστοῖς, τοῦτο τῷ παντὶ βέλτιον, καὶ ἡμῖν ἥδιον. ἵνα καὶ ὑμῖν τι συνεισενέγκωμεν, καὶ αὐτοὶ τῆς εὐλογίας μετέχωμεν. εἰ δὲ τὰ τῆς ἀσθενείας νικήσῃ ἀπολειφθείην, ὅσα γε ἐξ οὗ δυνατὸν, συνεισφερόμεθα. πείθομαι μὲν καὶ ἄλλους εἶναι τῆς προστασίας ἀξίους παρ' ὑμῖν ὡς ἐκ πόλεως τοσαύτης καὶ οὕτω, καὶ ὑπὸ τοιούτων ἡγεμόνων ἄνωθεν. ἑνὸς δὲ οὐδένα δύναμαι προτιμῆσαι, τῶν παρ' ὑμῖν τιμωμένων τοῦ θεοφιλεστάτου υἱοῦ ἡμῶν Βασιλείου τοῦ πρεσβυτέρου, λέγω δὲ ὡς ὑπὸ θεῷ μάρτυρι, ἀνδρὸς καὶ βίῳ καὶ λόγῳ κεκαθαρμένου, καὶ μόνου τῶν πάντων, ἢ ὅτι μάλιστα κατ' ἀμφότερα δυναμένου στῆναι πρὸς τὸν νῦν καιρὸν, καὶ τὴν κατέχουσαν τῶν αἱρετικῶν γλωσσαλγίαν. ταῦτα καὶ ἱερατικοῖς γράφω καὶ μοναστικοῖς, καὶ τοῖς ἐκ τοῦ ἀξιωματικοῦ καὶ βουλευτικοῦ τάγματος, καὶ τοῦ δήμου παντός. εἰ μὲν οὖν τοῦτο συνδόξειε, καὶ ἡ ψῆφος ἡμῶν κρατοίη, οὕτως ὑγιῶς τε καὶ ὀρθῶς ἔχουσα ὡς μετὰ θεοῦ ψηφιζομένων, καὶ παρείημι πνευματικῶς καὶ πάρειμι. μᾶλλον δὲ, καὶ ἐπιβέβληκα τὴν χεῖρα ἤδη,

καὶ θαρρῶ τῷ πνεύματι. εἰ δὲ ἄλλως, καὶ μὴ τοῦτο συνδόξει, καὶ κατὰ φατρίας καὶ συγγενείας τὰ τοιαῦτα κρίνοιτο, καὶ ὀχλώδης χεὶρ πάλιν παρασύροι τὸ ἀκριβὲς, πράττοιτε καθ' ὑμᾶς αὐτοὺς τὸ ἀρέσκον. ἡμεῖς δὲ συσταλησόμεθα.

ΤΟΙΣ ΕΠΙΣΚΟΠΟΙΣ, ΩΣ ΕΚ ΠΡΟΣΩΠΟΥ τοῦ ἑαυτοῦ πατρός.

Ὡς ἡδεῖς ὑμεῖς καὶ φιλάνθρωποι, καὶ πολλοὶ τὴν ἀγάπην· κεκλήκατε ἡμᾶς ἐπὶ τὴν μητρόπολιν, ὡς οἶμαι, περὶ ἐπισκόπου τι βουλευσόμενοι. τοῦτο γὰρ ὑμῶν αἰσθάνομαι. οἵ γε μήτε ὅτι παρεῖναι δεῖ, μήτε ἐφ' ᾧ, μήτε ὅτι προσαγορεύοντες ἀθρόως ἡμῖν ἔτι ἐξορμᾶσθαι δεδηλώκατε, ὡς ἂν τινῶν ἢ τιμᾶν ἐγνωκότων, ἢ ἔχειν ἐσπουδακότων, ἀλλὰ τὸ παρεῖναι κατασπουδαζόντων, ἵνα μηδὲ ἄκουσιν ἡμῖν περιπέσηται. τὸ μὲν οὖν ὑμέτερον τοιοῦτον, καὶ οἴσομεν ὑβριζόμενοι. τὸ δὲ ἡμέτερον ὅπως ἔχει, παραστήσομεν. ἄλλοι μὲν οὖν ἄλλους δὴ προβαλοῦνται, κατὰ τοὺς ἑαυτῶν ἕκαστοι τρόπους ἢ πόθους. ὅπερ γὰρ τοῖς τοιούτοις φιλεῖ συμβαίνειν. ἡμεῖς δὲ οὐδένα προτιμῆσαι δυνάμεθα, οὐδὲ γὰρ ὅσιον, τοῦ τιμιωτάτου υἱοῦ ἡμῶν Βασιλείου τοῦ συμπρεσβυτέρου. τίνα γὰρ ἂν ἴσμεν εὑρίσκομεν ἢ βίον δοκιμώτερον, ἢ λόγον δυνατώτερον, καὶ πανταχόθεν εἰς ἀρετῆς κάλλος ἐξησκημένον; εἰ δὲ ἡ ἀσθένεια πρόφασις, οὐ γὰρ ἀθλητὴν προβαλεῖσθε, ἀλλὰ διδάσκαλον. καὶ ἅμα τοῦ τοῦτο δυνατὸν τοῦ τοὺς ἀσθενεῖς ἄνπερ ὦσι τοιοῦτοι ῥωννῦντος καὶ ὑπερείδοντος. εἰ ταύτην δέχεσθε τὴν ψῆφον, καὶ παρέσομαι, καὶ συλληψόμεθα, ἢ πνευματικῶς ἢ σωματικῶς. εἰ δὲ ὑπὲρ ῥοπῆς ὁ ὅρος, κἂν κρατεῖν μέλλωσιν αἱ στάσεις παρὰ τὸ δίκαιον, χαίρομεν παρεωραμένοι. ὑμέτερον ἔστω τὸ ἔργον, ἡμῶν δὲ ὑπερεύχεσθε.

ὁ,ζ

ΤΩι ΜΕΓΑΛΩι ΒΑΣΙΛΕΙΩι.

Ἐγώ σε καὶ βίου καθηγητὴν, καὶ δογμάτων διδάσκαλον, καὶ πᾶν εἴ τι τῶν ἐπὶ τοῖς τῶν καλῶν ἐθέμην τε ἀπ' ἀρχῆς, καὶ νῦν τίθεμαι, καὶ εἴ τις ἄλλος ἐπαινέτης τῶν σῶν, ἢ μετ' ἐμοῦ πάντως, ἢ μετ' ἐμέ. τοσοῦτον ἥττημαί σου τῆς εὐλαβείας, καὶ οὕτω καθαρῶς εἰμὶ σός. καὶ θαυμαστὸν οὐδέν. οὗ γὰρ πλείων ἡ συνουσία, πλείων καὶ ἡ πεῖρα. οὗ δὲ ἡ πεῖρα δαψιλεστέρα, καὶ ἡ μαρτυρία τελειοτέρα. καὶ εἴ τι ἄλλο μοι τοῦ ζῆν ὄφελος, ἡ σὴ φιλία καὶ συνουσία. ἔχω μὲν οὖν οὕτω περὶ τούτων καὶ ἔχοιμι. ἃ δὲ νῦν γράφω, γράφω μὲν οὐχ ἑκὼν, γράφω δὲ ὅμως. καί μοι μηδὲν ἀχθεσθῇς, ἢ λίαν αὐτὸς ἀχθεσθήσομαι, εἰ μὴ κατ' εὔνοιαν ταῦτα λέγειν τε, καὶ γράφειν πρὸς σὲ πιστευθείην. πολλοὶ κατεγνώκασιν ἡμῶν, ὡς περὶ τὴν πίστιν οὐκ ἰσχυρῶν, ὅσοι κοινοποιοῦσι τὰ ὑμέτερα καλῶς ποιοῦντες. καὶ οἱ μὲν ἀσέβειαν ἐγκαλοῦσι φανερῶς, οἱ δὲ δειλίαν. καὶ ἀσέβειαν μὲν, οἱ μηδὲ ὑγιῶς λέγειν πιστεύοντες, δειλίαν δὲ οἱ τὴν ὑποστολὴν αἰτιώμενοι. καὶ τὰ μὲν τῶν ἄλλων τί χρὴ καὶ λέγειν; ὃ δὲ οὖν νεωστὶ συνέβη, τοῦτό σοι διηγήσομαι. συμπόσιον ἦν, καὶ τοῦ συμποσίου μετεῖχον οὐκ ὀλίγοι τῶν ἐπιφανῶν καὶ ἡμῖν φίλων. ἐν δὲ τούτοις καί τις ἀνὴρ τὸ τῆς εὐλαβείας ὄνομα καὶ σχῆμα περικείμενος. οὔπω πότος ἦν, καὶ λόγος ἦν περὶ ἡμῶν, ὅπερ ἐν τοῖς συμποσίοις φιλεῖ συμβαίνειν. ἀντ' ἄλλου τινὸς ἐπεισοδίου προτιθεμένων, πάντων δὲ τὰ σὰ θαυμαζόντων, καὶ προστιθέντων, καὶ ἡμᾶς ὡς τὰ ἴσα φιλοσοφοῦντας, καὶ τὴν φιλίαν λεγόντων καὶ τὰς Ἀθήνας, καὶ τὴν ἐν ἅπασι σύμπνοιαν καὶ ὁμόνοιαν, δεινὸν τὸ πρᾶγμα ποιεῖται ὁ φιλόσοφος. καὶ τί τοῦτο, φησὶν, ὦ οὗτοι, μάλα τι νεανικὸν ἐκβοήσας, ὡς λίαν ὑμεῖς ψευδεῖς τε καὶ κόλακες; τὰ μὲν ἄλλα ἐπαινείσθωσαν οἱ ἄνδρες, εἰ δοκεῖ. οὐδὲ αὐτὸς ἀντιλέγω. τὸ μέγιστον δὲ οὐ δίδωμι. τὴν ὀρθοδοξίαν μάτην μὲν ἐπαινεῖται Βασίλειος, μάτην δὲ Γρηγόριος. ὁ μὲν προδιδοὺς τὴν πίστιν οἷς διαλέγεται, ὁ δὲ συμπροδιδοὺς οἷς ἀνέχεται. πόθεν τοῦτο, ἔφην, ὦ μάταιε σὺ, καὶ νέε Δαθὰν, καὶ Ἀβειρὼν τὴν ἀπόνοιαν; πόθεν ἡμῖν ἥκεις δογματιστής; πῶς σεαυτὸν ποιεῖς τηλικούτων κριτήν; ἐκ τῆς κατ' εὐψύχιον ἔφη συνόδου νῦν ἥκω τοῦ μάρτυρος. καὶ γὰρ εἶχεν οὕτως. κἀκεῖ ἤκουσα τοῦ μεγάλου Βασιλείου θεολογοῦντος, τὰ μὲν πατρὸς καὶ υἱοῦ ἄριστά τε καὶ τελειότατα, καὶ ὡς οὐκ ἄν τις ἄλλος ῥᾳδίως εἴποι, τὸ πνεῦμα δὲ παρασύροντος. καὶ προστίθει τινὰ εἰκασίαν. ὥσπερ τῶν ποταμῶν οἱ τὰς μὲν πέτρας παρατρέχοντες, τὴν δὲ ψάμμον κοιλαίνοντες. ἢ τί δή ποτε σὺ ὦ θαυμάσιε, σὺ μὲν ἔφη πρὸς ἐμὲ βλέπων, οὕτω φανερῶς τὸ πνεῦμα θεολογεῖς, καί τινος ἀπ' ἐμοῦ μονῆς τε τῶν ἐμῶν, ὡς συνόδου πολυανθρώπου θεολογήσαντος, εἶτα ἐπιπόντος τῷ πνεύματι τοῦτο δὴ τὸ περιβόητον, ἕως μέχρι τίνος ὑπὸ τὸν μόδιον τὸν λύχνον κρύψομεν. ὁ δὲ ὑποφαίνει μὲν ἀμυδρῶς, καὶ οἷον σκιαγραφεῖ τὸν λόγον, οὐ παρρησιάζεται δὲ τὴν ἀλήθειαν, πολιτικώτερον ἢ εὐσεβέστερον τὴν ἀκοὴν ἐπικλύζων, καὶ τῇ δυνάμει τοῦ λόγου τὴν διπλόην περικαλύπτων. ὅτι ἐγὼ μὲν ἔφην ἐν βραχεῖ κείμενος, καὶ τοῖς πολλοῖς ἀγνοούμενος, καὶ μηδὲ ἃ λέγοιμι, μηδὲ ὅτι λέγοιμι σχεδὸν γινωσκόμενος, ἀκινδύνως φιλοσοφῶ.

ματαιε

l. v.

ἀπεμνημόνευε

φιλοσόφου. τοῦ δὲ πλείων ὁ λόγος, ὡς περιφανεστέρου καὶ παρ' ἑαυτοῦ καὶ παρὰ τῆς ἐκκλησίας. καὶ δημόσια πᾶν τὸ λεγόμενον, πολύς τε περὶ αὐτὸν ὁ πόλεμος, ζητούντων λαβέσθαι τῶν αἱρετικῶν γυμνῆς τῆς φωνῆς καὶ αὐτοῦ Βασιλείου. ἵν' ὁ μὲν ἐξωσθῇ τῆς ἐκκλησίας ὁ μόνος σχεδὸν ὑπολειπόμενος τῆς ἀληθείας σπινθήρ, καὶ ἡ ζωτικὴ δύναμις τῶν κύκλῳ πάντων καταλελυμένων. ῥιζωθῇ δὲ τὸ κακὸν ἐν τῇ πόλει, καὶ ὥσπερ ἀπό τινος ὁρμητηρίου τῆς ἐκκλησίας ταύτης, πᾶσαν καταδράμῃ τὴν οἰκουμένην. βέλτιον οὖν οἰκονομηθῆναι τὴν ἀλήθειαν, μικρὸν εἰξάντων ἡμῶν, ὥσπερ νέφει τινὶ τοῦ καιροῦ, ἢ καταλυθῆναι τῷ φανερῷ τοῦ κηρύγματος. ἡμῖν μὲν γὰρ οὐδὲν βλάβος καὶ ἀπ' ἄλλων λέξεων τῶν συναγουσῶν, θεὸν τὸ πνεῦμα γινώσκειν. οὐ γὰρ ἐν ἤχῳ μᾶλλον, ἢ διανοίᾳ κεῖσθαι τὴν ἀλήθειαν. τῇ ἐκκλησίᾳ δὲ μεγάλη ζημία τὸ δι' ἑνὸς ἀνδρός, διωχθῆναι τὴν ἀλήθειαν. οὐκ ἐδέξαντο τὴν οἰκονομίαν ὡς ἕωλον καὶ παίζουσαν αὐτοὺς οἱ παρόντες· ἀλλὰ καὶ κατεβόων ἡμῶν, ὡς τὴν δειλίαν μᾶλλον, ἢ τὸν λόγον οἰκονομούντων. πολὺ γὰρ εἶναι βέλτιον, τὸ ἡμέτερον φυλάττειν διὰ τῆς ἀληθείας, ἢ τοῦτό γε ἀχρειοῦν, καὶ μὴ προσλαμβάνειν τὸ ἀλλότριον, διὰ τῆς δι' ἡμῶν οἰκονομίας. τὰ μὲν οὖν καθ' ἕκαστον, ὧν τε εἶπον, ὧν τε ἤκουσα, καὶ ὡς ἠγανάκτησα πρὸς τοὺς ἀντιτείνοντας, παρὰ τὸ μέτρον καὶ τῆς ἐμαυτοῦ συνηθείας, μακρὸν ἂν εἴη νῦν ἐκδιηγεῖσθαι, καὶ ἴσως οὐκ ἀναγκαῖον. τέλος δὲ τοῦ λόγου, τοὺς μὲν οὕτως ἀπεπεμψάμην. σὺ δὲ δίδαξον ἡμᾶς ὦ θεία καὶ ἱερὰ κεφαλή, μέχρι τίνος προϊτέον ἡμῖν, τῆς τοῦ πνεύματος θεολογίας. καὶ τίσι χρηστέον φωναῖς, καὶ μέχρι τίνος οἰκονομητέον, ἵν' ἔχωμεν ταῦτα πρὸς τοὺς ἀντιλέγοντας. ἐγὼ δὲ ὁ δεόμενος νῦν τοῦ μανθάνειν, πάντων μάλιστα σέ τε καὶ τὰ σὰ γινώσκων, καὶ πολλάκις περὶ τούτων πληροφορίαν καὶ δεδωκὼς καὶ δεξάμενος, πάντων ἂν εἴην ἀμαθέστατός τε καὶ ἀθλιώτατος.

ΤΩ͂Ι ΜΕΓΑΛΩΙ ΒΑΣΙΛΕΙΩΙ.

Τοῦτο μὲν ὅπερ ἄλλος μὲν ἄν τις ὑπείδετο τῶν συνετωτέρων. ἐγὼ δὲ οὐκ ἔδεισα πρός σε γράφων, ὁ λίαν ἀρχαῖος καὶ μάταιος. ἐλύπησέ σε τὰ γράμματα. ὡς δὲ ἐγώ φημι οὐκ ὀρθῶς, οὐδὲ δικαίως, ἀλλὰ καὶ λίαν περιττῶς. καὶ τὴν λύπην οὐχ ὡμολόγησας μέν, ἔκρυψας δέ, εἰ καὶ σοφῶς τοῦτο ἐποίησας, ὥσπερ τινὶ προσωπείῳ, τῇ αἰδοῖ τὸ τῆς λύπης καλύψας πρόσωπον. ἐγὼ δέ, εἰ μὲν δολερῶς καὶ κακοήθως τοῦτο ἐποίησα, οὐχ ὑπὸ τῆς σῆς λύπης μᾶλλον ἢ τῆς ἀληθείας βλαβήσομαι. εἰ δὲ ἁπλῶς καὶ μετὰ τῆς συνήθους εὐνοίας, τὰς ἐμὰς ἁμαρτίας, οὐ τὴν σὴν διάθεσιν αἰτιάσομαι, πλήν γε ὅτι διορθώσασθαι ταῦτα μᾶλλον εἶχε καλῶς, ἢ πρὸς τοὺς συμβουλεύοντας δυσχεραίνειν. τὸ μὲν οὖν σόν, καὶ αὐτὸς ὄψει, καὶ ἄλλοις συμβουλεύειν τὰ αὐτά, ἱκανὸς ὤν. ἐμὲ δὲ προθύμως ἔχεις, ἐὰν διδῷ ὁ θεός, καὶ παρεσόμενον, καὶ συναγωνιούμενον, καὶ τὰ δυνατὰ συνεισοίσοντα. τίς γὰρ ἂν ἀδυνήσεται; τίς δὲ οὐ θαρρήσει ὑπό σοι καὶ μετὰ σοῦ, περὶ τῆς ἀληθείας λέγων καὶ ἀγωνιζόμενος;

ΤΩ͂Ι ΑΥΤΩ͂Ι.

Οὐ παύσῃ βλασφημῶν ἡμᾶς, ὡς ἀπαιδεύτους καὶ σκαιοὺς καὶ ἀφίλους, καὶ οὐδὲ ζῆν ἀξίους, ὅτι συνεῖναι τετολμήκαμεν ἃ πεπόνθαμεν. οὐ γὰρ ἄλλο γε οὐδὲν ἀδικοῦμεν, αὐτὸς ἂν εἴποις. οὐδέ τι συνίσμεν αὐτοῖς ἡμῖν ἢ μικρὸν ἢ μεῖζον περὶ σὲ κακοῖς γεγονόσι, μηδὲ συγγνοίημεν. πλὴν τοῦτο μόνον ἐγνώκαμεν ἠπατημένοι. ὀψὲ μὲν ἄγαν, ἐγνώκαμεν δέ, καὶ τὸν θρόνον αἰτιώμεθα, ὡς ὑψηλότερόν σε ἡμῶν ἀθρόως ποιήσαντα. καὶ κάμνομεν τὰ σὰ ἐγκαλούμενοι, καὶ ἀπολογούμενοι, πρὸς τοὺς σαφῶς εἰδότας καὶ τὰ πρῶτα ἡμῶν καὶ τὰ νῦν. τοῦτο γὰρ ὧν πάσχομεν τὸ γελοιότατον, ἢ ἐλεεινότατον, τοὺς αὐτοὺς καὶ ἀδικεῖσθαι καὶ ἐγκαλεῖσθαι. ὅπερ νῦν καὶ ἡμῖν συμβέβηκεν. ἐγκαλοῦσι δὲ καὶ ἄλλοι μὲν ἄλλο τι. καὶ ὅ, τι ἂν ἕκαστος βούληται, κατὰ τὸν ἑαυτοῦ τρόπον, ἢ τὸ μέτρον τῆς ὑπὲρ ἡμῶν ὀργῆς. οἱ φιλανθρωπότατοι δέ, ὑπεροψίαν καὶ περιφρόνησιν καὶ τὸ παρερρίφθαι ἡμᾶς μετὰ τὴν χρείαν, ὥσπερ τῶν σκευῶν τὰ ἀτιμότατα, καὶ τοῦ μηδενὸς ἄξια, ἢ τῶν δρασμάτων ταῦτα, ὑπὲρ ὧν αἱ ἀψῖδες, ἃ μετὰ τὴν πῆξιν ὑφαιρεῖται καὶ διαπίπτει. τούτους μὲν οὖν χαίρειν ἐάσομεν, καὶ λέγειν ὅτι ἂν λέγωσιν. οὐδεὶς ὑφέξει γλώσσης αὐτονομίαν. καὶ σύ μοι τὸν μισθὸν κατάβαλε τὰς μακαρίας καὶ κοινὰς ἐλπίδας, ἃς κατὰ τῶν βλασφημούντων ἐξεῦρες, ὡς διὰ τιμὴν ὑβρίζων τοὺς κούφους ἡμᾶς, καὶ προχείρους πρὸς τὰ τοιαῦτα. ἐγὼ δὲ τὸ ἐμὸν ὡς ἔχω δηλώσω, καί μοι μηδὲν ὀργισθῇς. ἐρῶ γάρ, ἃ καὶ παρ' αὐτὰ τοῦ πάθους ἀπεφθεγξάμην, οὐ χεῖρον ἢ τοῦ θυμοῦ ζέσας, ἢ τοῦ γεγονότι καταπλαγείς, ὥστε κλαπῆναι τοὺς λογισμούς, καὶ ἀγνοεῖν ἅπερ ἔλεγον. οὔτε ὅπλα κτήσομαι, οὔτε τὰ τακτικὰ μαθήσομαι ἃ μὴ πρότερον ἔμαθον, ἡνίκα καιρὸς εἶναι μᾶλλον ἐδόκει πάντων ὁπλιζομένων καὶ μαινομένων. οἶσθα τὰ τῶν ἀσθενῶν ἀρρωστήματα. οὔτε τὸν ἀρήιον Ἄνθιμον ὑποστήσομαι, καίπερ ἄωρον ὄντα πολεμιστήν, ψιλός τε ὢν καὶ ἀπόλεμος, καὶ πρὸς τὰ τραύματα ἐπιτηδειότερος. ἀλλ' ἐκείνῳ μὲν αὐτὸς πολέμει, εἰ τοῦτό σοι φίλον. καὶ γὰρ τοὺς ἀσθενεῖς πολλάκις,

αἱ χρεῖαι

αἱ χρεῖαι ποιοῦσι πολεμιστάς. ἢ ζήτει τοὺς πολεμήσοντας, ὅτ᾽ ἂν σοῦ τῶν ἡμαιόνων λαμβάνωνται τὰ ἔργα τῶν χειρῶν, καὶ ὥσπερ ὁ Ἀμαλὴκ ἐκεῖνος, εἴργειν τὸν Ἰσραήλ. ἡμῖν δέ, ἀντὶ πάντων δώσαι τὴν ἡσυχίαν. τί γὰρ δεῖ μάχεσθαι περὶ γαλαθηνῶν, καὶ ὀρνίθων, καὶ τούτων ἀλλοτρίων; ὡς δὲ τὰ περὶ ψυχῶν καὶ κανόνων. τί δὲ τῶν λαμπρῶν Σασίμων ἀποστερεῖν τὴν μητρόπολιν, ἢ γυμνοῦν καὶ ἀνακαλύπτειν τὸ τῆς γνώμης ἀπόρρητον, συγκρύπτειν δέον. ἀλλὰ σὺ μὲν ἀνδρίζου καὶ κραταιοῦ, καὶ πάντα ἕλκε πρὸς τὴν ἑαυτοῦ δόξαν, ὥσπερ οἱ ποταμοὶ τοὺς χειμάρρους, μήτε φιλίαν, μήτε συνήθειαν τοῦ καλοῦ προτιμῶν, καὶ τῆς εὐσεβείας, μήτε τοῦ ποῖός τις εἶναι δόξεις ἐκ τοῦ ταῦτα ποιεῖν φροντίζων, ἀλλ᾽ ἑνὸς ὢν τοῦ πνεύματος. ἡμεῖς δὲ τοσοῦτον μόνον κερδανοῦμεν ἐκ τῆς φιλίας, τὸ μὴ πιστεύειν φίλοις, μήτε τοῦ θεοῦ ποιεῖσθαί τι προτιμότερον.

ΤΩι ΑΥΤΩι.

Ἐγκαλεῖς ἡμῖν ἀργίαν καὶ ῥαθυμίαν, ὅτι μὴ τὰ σὰ Σάσιμα κατελάβομεν, μηδὲ ἐπισκοπικῶς κινούμεθα, μηδὲ ὥσπερ κυσὶ βρῶμα ῥιφὲν ἐν μέσῳ κατ᾽ ἀλλήλων ὑμῶν ὁπλιζόμεθα. ἐμοὶ δὲ μεγίστη πρᾶξις ἐστὶν ἡ ἀπραξία. καὶ ἵνα εἰδῇς τι τῶν ἐμῶν καλῶν, τοσοῦτον τῇ ἀπραγμοσύνῃ φιλοτιμοῦμαι, ὥστε οἴεσθαι καὶ νόμον εἶναι πᾶσι τῆς περὶ τοῦτο μεγαλοψυχίας. καὶ ὡς εἰ πάντες ἡμᾶς ἐμιμοῦντο, οὐδὲ ἂν ἦν πράγματα ταῖς ἐκκλησίαις, οὐδ᾽ ἂν ἡ πίστις περιεσύρετο, τῶν ἰδίων ἑκάστου φιλονεικιῶν ὅπλον τυγχάνουσα.

ΤΩι ΑΥΤΩι.

Ὡς θερμὸν ἐξάλλῃ καὶ πωλικὸν ἐν τοῖς γράμμασι, καὶ θαυμαστὸν οὐδέν. ἄρτι αὐτὸς ἔξω γενόμενος ἡμῖν ἐπιδείκνυσθαι βούλεσθαι ἣν τινα δόξαν εὕρισκες, ἵν᾽ οὕτως σεαυτὸν μᾶλλον σεμνὸν ποιῇς, ὥσπερ τῶν γραφέων οἱ τὰς ὥρας γράφοντες. ἐμοὶ δὲ τὸ μὴ πάντα ἐκδιηγεῖσθαι τὰ τῆς ἐπισκοπῆς, καὶ τὰ τῆς ἐπιστολῆς, ἐφ᾽ ᾗ σὺ δυσχεραίνεις, ὅθεν τε ἠρξάμεθα, καὶ ὅπου προέβημεν, καὶ εἰς ὃ κατελήξαμεν, μακρότερον ἢ κατ᾽ ἐπιστολὴν εἶναι φαίνεται, καὶ οὐκ ἀπολογίας μᾶλλον ἔργον ἢ ἱστορίας. ὡς δὲ συντόμως δηλῶσαι, ἧκεν ἡμῖν ὁ γενναιότατος Ἄνθιμος, μετά τινων ἐπισκόπων. εἴτε ὡς τὸν πατέρα ἐπισκεψόμενος τὸν ἐμόν, καὶ τοῦτο γὰρ ἐδείκνυ. εἴτε ὅπερ ἐπλάσσον ἅπερ ἐσπούδασε. πολλὴν δὲ ἡ περὶ πολλῶν πεῖραν καθεὶς, τῶν προοιμίων, τῶν Σασίμων λιμνῶν, τῆς ἡμετέρας χειροτονίας, χαριζόμενος, αἰτήσας, ἀπειλήσας, δικαιολογησάμενος, ψέξας, ἐγκωμιάσας, κύκλους ἑαυτοῦ περιγράψας, ὡς δέον πρὸς αὐτὸν μόνον ὁρᾶν ἡμᾶς, καὶ τὴν νέαν μητρόπολιν μείζονα οὖσαν. τί περιγράφεις ἔσω τὴν ἡμετέραν πόλιν, ἡμῶν ποιουμένων καὶ τὴν ἐκκλησίαν, ὡς ὄντως ἐκκλησιῶν μητέρα καὶ ἄνωθεν; τέλος, ἀπῆλθεν ἄπρακτος, πολλὰ περιπνεύσας, καὶ Βασιλισμὸν ἡμῖν, ὡς Φιλιππισμὸν, ἐγκαλέσας. μὴ τοῦτο ἀδικεῖν σε δοκοῦμεν; οὐκ οἴομαι. σκόπει δὲ καὶ τὸ τῆς ἐπιστολῆς, ὅπως ἔχει παρὰ τῶν ὑβριστῶν ἡμῶν. κλῆσιν συνοδικὴν ἐτύπωσαν πρὸς ἡμᾶς. ἐμοῦ δὲ ἀντιλέγοντος, ἐν ὕβρει τὸ πρᾶγμα φάσκοντος, ἀλλά τό γε δεύτερον ἀξιοῦν, δι᾽ ἐμοῦ παρακληθῆναι ὑμᾶς περὶ τούτων βουλευσομένους. τοῦτο ἐπῄνουν, ἵνα μὴ τὸ πρότερον γένηται, τὸ πᾶν ἐφ᾽ ὑμῖν ποιούμενος, εἰ βούλεσθε συναγαγεῖν αὐτοὺς, καὶ ὅπου, καὶ ἡνίκα· ὅπερ τιμῶντος ἦν οὐχ ὑβρίζοντος. ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἀδικοῦμεν, ἐπὶ τὸ λειπόμενον. εἰ παρ᾽ ἐμοῦ τοῦτο δεῖ μαθεῖν ὑμᾶς, αὐτὴν ὑμῖν ἀναγνώσομαι τὴν Ἀνθίμου ἐπιστολήν. ἣν ὅτε κατεῖχε λίμνας, ἡμῶν ἀπαγορευόντων καὶ ἀπειλούντων, ἐπέστελλε πρὸς ἡμᾶς καὶ ὑβρίζων καὶ ὀνειδίζων, καὶ ὥσπερ ἐπινίκιόν τινα καθ᾽ ἡμῶν ᾄδων ὡς ἡττημένων. καὶ τίνα ἔχει λόγον; ἐκεῖνον μὲν προσκρούειν δι᾽ ὑμᾶς, ὑμῖν δὲ ἀπαρέσκειν, ὡς ἐκείνῳ χαριζομένους. ταῦτα δὲ ἔδει πρότερον μαθεῖν ὃ θαυμάσει, καὶ μηδὲ τότε ὑβρίζειν, εἰ μή τι ἄλλο, ὡς πρεσβυτέρους. εἰ δὲ λίαν ἐπιδεικτικῶς ἔχεις καὶ φιλοτίμως, καὶ ἐξ ὑπερδεξίων ἡμῖν διαλέγῃ, ὡς μητροπολίτης μικροπολίταις, ἢ καὶ ἀπόλισιν, ἔστι καὶ ἡμῖν ὀφρὺς ἣν ἀνθεξόμεθα. ῥᾷστον γὰρ τοῦτο παντί, καὶ ἴσως εὐλογώτερον.

ΤΩι ΑΥΤΩι.

Ἐπειδή σε τεθέντα ἐπὶ τοῦ ὑψηλοῦ θρόνου ἔγνων, καὶ τὸ πνεῦμα ἐνίκησε, τὸν λύχνον ἐπὶ τῆς λυχνίας δημοσιεῦσαν, οὐδὲ τὸ πρὶν ἀμυδρῶς λάμποντα, ἥσθην μὲν ὁμολογῶ. τί δ᾽ οὐκ ἔμελλον, τὸ κοινὸν τῆς ἐκκλησίας ὁρῶν κακῶς ἔχον, καὶ τοιαύτης χρῇζον χειραγωγίας; προσέδραμον δὲ οὐκ εὐθύς, οὐδὲ προσδραμοῦμαι. μηδὲ γε τοῦτο αὐτὸς ἀπαιτήσῃς. πρῶτον μὲν, ἵνα σοι τὸ σεμνὸν φυλάξω, καὶ μὴ συνάγειν δόξῃς τοὺς σπουδαστάς, ὑπό τινος ἀπειροκαλίας καὶ θερμότητος, ὡς ἂν φαῖεν οἱ ἐνδιαβάλλοντες. δεύτερον δὲ, ἵνα ἐμαυτῷ πραγματεύσωμαι, τὸ σταθερόν τε καὶ ἀνεπίφθονον. πότε οὖν ἥξεις, τυχὸν ἐρεῖς, καὶ μέχρι τίνος ἀναδύσῃ; ἕως ἂν ὅτε θεὸς κελεύσει, καὶ παρέλθωσιν αἱ σκιαί, τῶν νῦν ἐπιβουλευόντων καὶ βασκαινόντων. οὐ γὰρ ἐπὶ πλεῖον ἀνθέξουσιν οἱ λεπροί, σαφῶς οἶδα, τῷ Δαβὶδ τὴν Ἱερουσαλὴμ ἀποκλείοντες.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Πυνθάνομαί σε παρελθεῖν, περὶ τῆς καινοτομίας, καὶ πράγματα ἔχειν ἀπό τινος σοφιστοῦ τῶν κρατούντων, καὶ συνήθους περιεργίας. καὶ θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ ἠγνόουν τὸν φθόνον, καὶ ὅτι πολλοὶ τῶν περὶ σὲ τὰ ἑαυτῶν διὰ σοῦ θεραπεύοντες, καὶ τὸν συνήθη τῆς μικροψυχίας ἀνάπλεοντες εἰσίν. ἐκεῖνο μὲν οὖν οὐ δέδοικα, μή τι πάθῃς ἀφιλόσοφον ἐν τοῖς λυπηροῖς, καὶ σεαυτοῦ καὶ ἡμῶν ἀνάξιον. ἀλλ᾽ ἡγοῦμαι νῦν δὴ καὶ μάλιστα γνωρισθῆναι τὸν ἐμὸν Βασίλειον, καὶ ἣν ἐν παντὶ τῷ χρόνῳ συνελέξω φιλοσοφίαν, διαδειχθήσεσθαι, καὶ ὑπορχήσειν τὰς ἐπηρείας, ὥσπερ ὑψηλῷ κύματι, καὶ μένειν ἄσειστον, ἄλλων ταρασσομένων. εἰ δὲ δοκεῖ, καὶ αὐτὸς παρέσομαι, τυχὸν μὲν καὶ γνώμης τινὸς κοινωνήσων. εἴπερ ὕδατος δεῖται θάλασσα, καὶ σὺ τοῦ συμβουλεύοντος. πάντως δέ, ὠφεληθησόμενος καὶ φιλοσοφήσων, τὸ συνυβρίζεσθαι.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Μὴ θαυμάσῃς, ἐάν τι παράδοξον λέγειν δόξω, καὶ μὴ πρότερόν τισιν εἰρημένον. ἐμοὶ δοκεῖς, σὺ δόξαν μὲν ἔχειν ἀνδρὸς βεβηκότος καὶ ἀσφαλοῦς καὶ στερρᾶς τὴν διάνοιαν, πολλὰ δὲ βουλεύεσθαι καὶ πράττειν ἁπλούστερον, ἢ ἀσφαλέστερον. τὸ γὰρ κακίας ἐλεύθερον, καὶ ὑφορᾶσθαι κακίαν ἀργότερον. οἷόν τι καὶ τὸ νῦν περὶ ἐμέ. ἐκάλεσας ἡμᾶς ἐπὶ τὴν μητρόπολιν, περὶ ἐπισκόπου βουλῆς προκειμένης. καὶ πρᾶγμα ὡς εὐπρεπές τι καὶ πιθανόν, ἀρρωστεῖν ἔδοξας, καὶ ἀναπνεῖν τὰ τελευταῖα, καὶ ποθεῖν ἰδεῖν τι ἡμᾶς, καὶ τὰ ἔσχατα φθέγξασθαι, οὐκ οἶδα ἵνα τί γένηται, καί τι προσόντος τῷ πράγματι συντελέσωμεν. ἐγὼ δὲ ὥρμησα μέν, τῷ πράγματι περιαλγήσας. τί γάρ ἐμοὶ τῆς σῆς ζωῆς ὑψηλότερον; ἢ τῆς ἐκδημίας ἀνιαρότερον; καὶ δακρύων ἀφῆκα πηγάς, καὶ ἀνῴμωξα, καὶ ᾐσθόμην ἐμαυτοῦ, νῦν πρῶτον ἀφιλοσόφως διακειμένου. καὶ τί γὰρ οὐ τῶν ἐπιταφίων ἐπλήρωσα; ἐπεὶ δὲ ᾐσθόμην ἐπισκόπους συντρέχειν ἐπὶ τὴν πόλιν, ἀνεκόπην μὲν τῆς ὁρμῆς. ἐθαύμαζον δέ, πρῶτον μέν, εἰ μὴ συνεῖδες τὸ εὔσχημον. μηδὲ τὰς τῶν πολλῶν ἐφυλάξω γλώσσας, αἳ τάχιστα τοῖς ἀκεραιοτέροις ἐπηρεάζουσι. δεύτερον δέ, εἰ μὴ ταῦτά σοί τε καὶ ἡμῖν πρέπειν ὑπολαμβάνεις. οἷς καὶ βίος καὶ λόγος καὶ τὰ πάντα κοινά, οὕτως ἐκ θεοῦ τὰ πρῶτα συναρμοσθεῖσι. τρίτον, ἔστω γὰρ καὶ τοῦτο εἰπεῖν, εἰ τῶν εὐλαβεστέρων ἐνόμισας τὰς τοιαύτας εἶναι προβολάς. ἀλλὰ μὴ τῶν δυνατωτέρων, καὶ τοῖς πλήθεσιν οἰκειοτέρων. ἐγὼ μὲν οὖν διὰ ταῦτα, πρύμναν ἐκρουσάμην καὶ ἀναδύομαι. σοὶ δὲ εἰ δοκεῖ, καὶ αὐτῷ τοῦτο δεδόχθω, φυγεῖν τοὺς ἐν μέσῳ θορύβους, καὶ τὰς πονηρὰς ὑπονοίας. τὴν δὲ σὴν εὐλάβειαν τηνικαῦτα ὄψομαι, ἡνίκα ἂν τά τε πράγματα καταστῇ, καὶ καιρὸς ᾖ, καὶ ὀνειδίσω γε πλείονα καὶ βαρύτερα.

ΣΙΜΠΛΙΚΙ͂ΑΙ ΤΗ͂Ι ΑἹΡΕΤΙΚΗ͂Ι.

Ἐπαινεῖς τὸν ἅγιον καὶ κοινὸν ἡμῶν πατέρα, τὸ τῆς πίστεως ἔρεισμα, τὸν τῆς ἀληθείας κανόνα, καὶ χαρακτῆρα τῆς ἐκκλησίας, τὴν πλήρη φρονήσεως πολιάν, τὸν ζωῆς ἀνθρωπίνης καὶ ἀρετῆς μέτρα νικήσαντα, τὸν πιστὸν θεράποντα, καὶ μέγαν ἀρχιερέα τὸν τοῦ θεοῦ καὶ ἀνθρώπων μεσίτην, τὸ τοῦ πνεύματος καταγώγιον. τοῦτο μὲν ὀρθῶς ποιεῖς. ἐπεὶ καὶ πᾶς λόγος ἐλάττων ἐστὶ τῆς ἁγίας ἐκείνης καὶ μακαρίας ψυχῆς, εἰ μή με ἀπατᾷ τὸ φίλτρον, ἢ καὶ τὸ πάθος τῷ λόγῳ πόθον κιρνάμενον. ἐκεῖνο δέ σου καὶ λίαν τεθαύμακα, πῶς ἐπαινεῖς μὲν ὡς ἅγιον, καὶ μέχρι τούτου τὰ εἰκότα τιμᾷς, τὸ δὲ ἔργον αὐτοῦ καταλύειν ἐπιχειρεῖς, ὥσπερ τῶν ἀναγίων, καὶ μάλιστα ὕβρεων ὄντων ἀξίων, τῶν εἰκῆ ζησάντων καὶ μεταστάντων. εἰ μὲν γὰρ ὡς ἀνδραπόδου μεταποιεῖ ἰδίου τοῦ συμποιμένος, καὶ τὸ μικρὸν τοῦτο κέρδος διώκεις, καὶ σφόδρα τοῦτο τῆς σῆς μεγαλοψυχίας ἀνάξιον. πῶς γὰρ οὐκ ἄτοπον, χρυσῷ μὲν καὶ ἀργύρῳ τιμᾶν τὸ θεῖον, καὶ τοῖς περιττοῖς τῆς κτήσεως, ἔνθα καὶ πλεῖον τοῦ πρὸς εὐσέβειαν ἴσως τὸ κατ᾽ ἐπίδειξιν, ἱερέα δὲ ὅλως βούλεσθαι ζημιοῦν ἐκκλησίαν, καὶ ἱεροσυλεῖν τῶν ἀναθημάτων τὸ ἁγιώτατον; εἰ δὲ ὅτι κατ᾽ ἐξουσίαν τοῦτο πεποιήκαμεν, ἀλλ᾽ οὐχὶ τὴν σὴν εὐγένειαν ὑπεμνήσαμεν, οὐδὲ τῇ φιλοτιμίᾳ καιρὸν δεδώκαμεν δυσχεραίνεις, λέγοις μὲν ἄν τι δίκαιον, καὶ τὸ πάθος ἀνθρώπινον. πλὴν ἀνθρώπινον. ἴσθι δέ, μεῖζον ἐπιδόσεως εἶναί σοι νῦν, ἢ τῷ τότε καιρῷ, ὅσον τοῦ αὐτὴν ἐπιδοῦναι, τὸ λαβεῖν συγχωρῆσαι φιλοτιμότερον. κἀκείνους μέν, τῷ θεῷ μόνῳ ἔδοξας χαρίζεσθαι. οὕτω δὲ καὶ ἡμῖν τοῖς ἐκεῖνον θεραπεύουσι, καὶ τὸ ὄνομα αὐτοῦ βαστάζειν ἀξιουμένοις. μὴ τοίνυν μήτε ἐκεῖνον χαλέπαινε, μήτε ἡμῖν. ὁ μὲν γὰρ τετυράννηται, οὐκ ἠδίκηκέ τι. ἡμεῖς δὲ τί θαυμαστόν, εἰ τῇ σῇ χρηστότητι θαρροῦντες, ἐπὶ τοῦτο προεληλύθαμεν; καὶ ἅμα τῇ κοινῇ τοῦ παντὸς χωρίου ψήφῳ πιστεύσαντες, ἣν εἰ μὲν πρὸς χάριν ἐποιήσαντό τινες ἢ κακοῦργος, αὐτοὶ ἂν εἰδεῖεν, καὶ τῷ θεῷ λόγον ὑφέξουσιν. οὐ γὰρ ἡμέτερον τοῦτο εἰδέναι, οὐδὲ ταῖς πάντων ἐμβατεύειν γνώμαις. ἡμᾶς δέ, πῶς περιιδέσθαι ῥᾴδιον ἦν, ἢ πρὸς τοσαῦτα δάκρυα περιιδεῖν, ἢ τοῦ χωρίου τὴν ἐρημίαν ἐπὶ τοσοῦτον καὶ ἀθερα-

πεύτου, καὶ ἀποιμάντου, καὶ τὴν ἐν πνεύματι ἐπιστασίαν οὐκ ἔχοντος. ἐκεῖνο δέ σοι καὶ πρὸ πάντων δῆλον, ὅτι οἱ τότε μὲν συντιθέμενοι, νῦν δὲ ἀρνούμενοι, πρᾶγμα ποιοῦσιν οὔτε εὐσεβές, οὔτε ἐλεύθερον. καὶ πολλῷ βελτίους ἂν ἦσαν, τότε ἀντιλέγοντες, ἢ νῦν κολακεύοντες, καὶ τὰ ἑαυτῶν καταλύοντες, καὶ ἀνθρώπους μᾶλλον ἢ τὸν θεὸν φοβούμενοι. οὓς πάλιν εὑρεῖν οἷον διὰ τὴν δειλίαν, ὅτι φόβῳ τῷ πρός σε μετέθεντο. καὶ πολλῷ γε ἀληθέστερον, ἐπειδὴ δεῖ πᾶσιν μὲν αἰδεῖσθαι, θεραπεύειν δὲ ψευδῶς καὶ σεσοφισμένας ἀπολογίας. εἰ δὲ σοι ταῦτα μὴ ὀρθῶς δοκεῖ λέγεσθαι, οἰκονομίας δὲ ἀπαιτεῖς λόγον· ἐπειδὴ τοῦτο ἀκούω, οὐ γὰρ ἐν τοῖς γράμμασιν ἐνεκάλεσας. δικαίως τοῦτον ἀπαιτεῖσθαι καὶ φιλανθρώπως, καὶ οὐδὲν μεμψόμεθα. οὐδὲ γὰρ ἡμῖν ἀρεστὸν ζημιοῦσθαι διὰ τοῦτο τὴν ἐπιείκειαν. τί λοιπόν ἐστιν; ὡς ἀναξία τοῦ ἀνδρὸς ἴσως ὑπολαμβάνεσθαι, καὶ διὰ τοῦτο ἐπισκήπτειν τῇ κατασχέσει. τοῦτο γάρ πως καὶ ἐγκαλεῖν εὐπρεπέστερον. ὁ δέ μοι πρὸς τοῦτο λόγος, ἁπλοῦς καὶ ῥᾴδιος. ἡμᾶς οὐδ' ἄλλον τινὰ τῶν ἐν αἰτίαις ἀφεῖμεν ἀνεξέταστον. οὐδ' ἂν πάνυ τῶν φίλων ᾖ, καὶ τῶν εὖ γεγονότων. οὐδὲν γὰρ τοῦ θεοῦ, καὶ τοῦ κανόνος αἰδεσιμώτερον, οὔτε τοῦτον ἀφήσομεν. ἀλλ' εἴ τις ἔχει τι κατηγορεῖν, εἰ μὲν βούλει παρούσης σου καὶ συνδικαζούσης· εἰ δὲ μή, καὶ ἀπούσης ἐφ' ἡμῶν ἐξετασθείς, εἰ μὲν ἀθῶος εὑρίσκοιτο, κἂν ᾖ δοῦλος ἀποφευγέτω. ἐπειδὴ καὶ δούλων καὶ δεσποτῶν ὁ αὐτὸς πατὴρ καὶ θεός, καὶ οὐ ταῖς ἀξίαις τὸ δίκαιον διορίζεται. εἰ δὲ ἁλίσκοιτο, τηνικαῦτα ὑπὸ τῆς ἰδίας ἁμαρτίας κατακριθήσεται. καὶ οὕτως οὔτε ὁ κανὼν ὑβρισθήσεται, οὔτε ὁ ἀπελθὼν ἀτιμασθήσεται. τὸ γὰρ καθ' ἡμᾶς, ἴσως καὶ παροπτέον, ὡς οὐδενὸς ἄξιον. καὶ αὐτὰ φεῦξαι πονηρὰν ὑπόνοιαν, ὡς διὰ τὸ ἀλλοτρίως ἔχειν πρὸς ἡμᾶς, καὶ τὴν ὑγιῆ πίστιν, ταῦτα τεχνάζουσα, σοφιστικῶς, ἀλλ' οὐκ εὐγενῶς. καὶ ὑπ' ἄλλου μὲν βεβλημένη, εἰς ἄλλο δὲ ἀποσκήπτουσα. ὃ συμβουλεύω σοι μὴ παθεῖν, ὡς οὔτε ὅσιον, οὔτε εὐπρεπές. μηδὲ τοὺς ἡμετέρους νόμους ἀτιμάσασαν, ἐπὶ τοὺς ἔξωθεν καταφεύγειν. μηδὲ προσφιλονεικεῖν ἡμῖν, ἀλλὰ συγγινώσκειν, εἴ τι ἁπλούστερον πεποιήκαμεν διὰ τὴν ἐλευθερίαν τοῦ χάριτος, καὶ δέξασθαι νικᾶσθαι μᾶλλον καλῶς, ἢ νικῆσαι κακῶς ὑπὲρ ἀντιβαίνοντι πνεύματι.

ΕΥΔΟΞΙΩι ΡΗΤΟΡΙ.

Ἐρωτᾷς πῶς τὰ ἡμέτερα; καὶ λίαν πικρῶς. Βασίλειον οὐκ ἔχω. Καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν καὶ τὸν σωματικόν. ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, μετὰ τοῦ Δαβὶδ φθέγγομαι· τὰ τοῦ σώματος πονηρῶς ἔχει. τὸ γῆρας ὑπὲρ κεφαλῆς, φροντίδων ἐπιπλοκαί, πραγμάτων ἐπιδρομαί, τὰ τῶν φίλων ἄπιστα, τὰ τῆς ἐκκλησίας ἀποίμαντα. ἔρρει τὰ καλά, γυμνὰ τὰ κακά, ὁ πλοῦς ἐν τῇ νυκτί, πυρσὸς οὐδαμοῦ, Χριστὸς καθεύδει. τί χρὴ παθεῖν; μία μοι τῶν κακῶν ἡ λύσις, ὁ θάνατος. καὶ τὰ ἐκεῖθεν μοι φοβερά, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

ΤΩι ΑΥΤΩι.

Καισάριον οὐκ ἔχω. ἐρῶ γάρ, καὶ εἰ μὴ φιλόσοφον τὸ πάθος. τὸ ἔργῳ τὰ Καισαρίου. καὶ ὅτι ποτ' ἂν ἴδω Καισαρίου γνώρισμα, καὶ περιπτύσσομαι καὶ ἀσπάζομαι, καὶ ἀεὶ αὐτὸν ὁρᾶν δοκῶ, καὶ συνεῖναι καὶ διαλέγεσθαι. καὶ οἷον ἔπαθον νῦν ἐπὶ τοῖς σοῖς γράμμασιν. ὁμοῦ γε ἀνέγνων τὸ πρόγραμμα τῆς ἐπιστολῆς, τὸ γλυκύ μοι πρᾶγμα καὶ ὄνομα τὸ Φιλάγριον. καὶ πάντα μοι ἀθρόως ὑπεισῆλθε τὰ ποτὲ τερπνά, αἱ πόλεις, αἱ διατριβαί, ἡ τράπεζα, ἡ [illegible], τὰ τῆς ἐρατεινῆς ὁμηλικίης, ὅ φησιν Ὅμηρος, ἡ παιγνιά, ἡ σπουδάσματα. οἱ τῶν λόγων ἱδρῶτες, οἱ κοινοὶ παιδευταί, τὸ τῶν ἐλπίδων ὕψος. πάντα ὅσα ἂν εἴποις τῶν τηνικαῦτα καλῶν, οἷς ἐγὼ χαίρω διαφερόντως, καὶ μεμνημένος. ἵν' οὖν ἔτι μᾶλλον ὁμιλῶμεν, τούτοις διὰ σοῦ κίνει τῇ γραφίδι καὶ χαρίζου τὸ ἐπιστέλλειν. πάντως οὐδὲ τοῦθ' ἡμῖν μακρόν, εἰ καὶ τὸ μέγιστον ἥρπασεν ἡμῶν ὁ φθόνος τῆς συνουσίας, λυπηρῶς διαθεὶς τὰ ἡμέτερα.

ιλ. γ.

ΤΩι ΑΥΤΩι.

Πῶς ἔχει σοι τὰ τοῦ σώματος; ἢ δηλονότι βραχὺς ὁ λόγος, ὅπως ἂν ἔχῃ. περὶ δὲ τῆς ψυχῆς οὐκ ἐρωτῶμαι πῶς. οἶδα γάρ, ὅτι καὶ λίαν καλῶς. ἐπειδὴ γενναίως εἰ φιλοσοφεῖς τοῖς τοῦ σώματος, ὥσπερ βάσανον ἀρετῆς, ἀλλ' οὐχ ὕλης ἀνωμαλίαν τὸ πρᾶγμα δεξάμενος, ἵνα ᾖ σοι τὸ κακοπαθεῖν, τῆς τῶν ἄλλων ὑγιείας μακαριώτερον, δῆλος εἶ ταύτην ἱκανὴν τῆς φιλοσοφίας ἀπόδειξιν, τὸ τοιαῦτα καὶ περὶ τοιούτων ἐπιστέλλειν ἡμῖν. ἃ κἂν ἄλλοις θαρροῦμεν γράφειν. ἀλλὰ τό γε ὑπὸ σοὶ κριτῇ κινδυνεύειν, οὐκ ἀσφαλές. πειρασόμεθα δ' ὅμως, μὴ ἀντιλέγειν κελεύοντι.

ΓΡΗΓΟΡΙΩι ΝΥΣΣΗΣ.

Δυσχεραίνεις τῇ περιόδῳ καὶ ἀστατεῖν σεαυτῷ φαίνῃ, καθάπερ τῶν ξύλων ἃ καθ' ὕδατος φέρεται. μηδαμῶς, ὦ θαυμάσιε, μὴ οὕτως ἔχε. τῶν μὲν γάρ, ἀκούσιος ἡ φορά. σοῦ δὲ κατὰ θεὸν ἡ περίοδος. καὶ μέγιστον τὸ τοὺς πολλοὺς εὖ ποιεῖν, κἂν εἰ μὴ τόπῳ πεπήγεις.

εἰ μὴ

εἰ μὴ καὶ τὸν ἥλιον αἰτιῷτό τις, ὅτι περιτρέχει τῶν ἀστέρων τὴν ἀκτῖνα, καὶ πάντα ζωογονῶν ὅσα ὑπέρχεται. ἢ καὶ τῶν ἀστέρων τοὺς ἀπλανεῖς ἐπαινῶν, κακίζει τοὺς πλανήτας, ὧν καὶ τὸ πλεῖον ἐναρμόνιον.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Μὴ σφόδρα δάκνου τοῖς λυπηροῖς. ὧν γὰρ ἧττον λυπούμεθα, ἧττον δὲ καὶ λυπηρά. οὐδὲν δεινόν, εἰ ἀντεθάλφθησαν οἱ αἱρετικοί, καὶ τῷ ἔαρι θαῤῥοῦσι τῶν φωλεῶν ἐξερπύσαντες, ὡς αὐτὸς γράφεις. μικρὰ συρίσουσιν εὖ οἶδα, εἶτα καταδύσονται, καὶ τῇ ἀληθείᾳ καὶ τῷ καιρῷ πολεμούμενοι· καὶ τόσῳ μᾶλλον, ὅσῳ περ ἂν τῷ θεῷ τὸ πᾶν ἐπιτρέπωμεν.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Περὶ ὧν ἐπέσταλκας, οὕτως ἔχομεν. ὅτι ὑπεροφρώμενοι δυσχεραίνομεν, καὶ τιμώμενοι χαίρομεν. τῆς μὲν γὰρ ὑμεῖς ἄξιοι, τὸ δὲ τῆς ἡμετέρας φιλοτιμίας. προσεύχου περὶ ἡμῶν· τῇ βραχυλογίᾳ συγγίνωσκε. πάντως γάρ, εἰ καὶ μικρὰ ταῦτα, σιωπῆς γε μακρότερα.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Καὶ τοῦτο ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι, καὶ τὴν ἁγίαν ψυχῆς ἐκδημίαν, ἣν ἐξελήλυθεν ἀφ' ἡμῶν, ἵν' ἐνδημήσῃ πρὸς κύριον, πάντα τὸν βίον μελετήσας τοῦτο πεποιημένος. ἀλλ' ἐγὼ μὲν τῶν ἄλλων, καὶ τοῦτο ἀφῄρημαι, διὰ τὸ καὶ νῦν ἔτι πονήρως ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν, καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι, καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. τὸ γὰρ τὴν τῆς ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκαρεμένης δόξαν, καὶ τοιοῦτον ἀφῃρημένης στέφανον, οὔτε ὄψει θεατόν, οὔτε ἀκοῇ χορηγόν, τοῖς γε νοῦν ἔχουσι. σὺ δέ μοι δοκεῖς πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν, ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι, ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου μνήμης. οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα, καὶ οἷόν τις στάθμη πνευματική, τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας, καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας. ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐταξίαν τε διαθέσθαι μετρίως, καὶ συμφορὰν εὐσχημόνως. ταῦτα τὰ παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα. ἡμῖν δέ τις παραμυθήσεται χρόνος, ἢ λόγος τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν. ἵνα ἐν σοὶ τὰ ἐκείνου καθορῶντες, ὥσπερ εἰς ἔσοπτρον καλόν τε καὶ διαυγῆ, κἀκεῖνον ἔχειν νομίζωμεν.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. καὶ τὸ κεφάλαιον τῶν κακῶν, ἐν πολέμῳ καὶ στάσει τὰ ἡμέτερα. καὶ ἣν παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων εἰρήνην οὐκ ἐτηρήσαμεν. ταύτην μὲν οὖν οἶδ' ὅτι αὐτὸς ἀποκαταστήσεις, ἐν τῇ δυνάμει τοῦ σέ τε καὶ τὰ σὰ φέροντος πνεύματος. ἡμῶν δὲ μηδεὶς καταψεύδεσθαι παρακαλῶ, μηδὲ τῶν κυρίων τῶν ἐπισκόπων· ὅτι ἀκόντων ἡμῶν, ἄλλον ἐπεκήρυξαν ἡμῖν ἐπίσκοπον. οὐ γὰρ πρὸς τοῦτον αὐτοῖς ἀποῤῥίπτεσθαι, οὐδὲ οὕτως ἔχουσι πρὸς ἡμᾶς ἀπεχθῶς· ἀλλὰ πολλὰ δεηθεὶς διὰ τὴν ἐμαυτοῦ νέκρωσιν, καὶ ἅμα τὸ βάρος φοβηθεὶς τῆς ἐκκλησίας ἀμελουμένης, ταύτην τε ᾔτησα παρ' αὐτῶν χάριν, οὔτε κανόσιν ἐναντιουμένην, καὶ ἡμᾶς ἀναψύχουσαν, δοθῆναι τῇ ἐκκλησίᾳ ποιμένα, ὃς καὶ δίδοται ταῖς σαῖς εὐχαῖς ἄξιος τῆς ὑμετέρας θεοσεβείας. ὃν καὶ εἰς χεῖρας σοι τίθημι, τὸν αἰδεσιμώτατον Εὐλάλιον, τὸν θεοφιλῆ ἐπίσκοπον, οὗ καὶ ταῖς χερσὶν ἐναποψύξαιμι. εἰ δέ τις οἴεται μὴ χρῆναι ζῶντος ἐπισκόπου ἄλλον χειροτονεῖν, ἴστω μηδὲν ταύτῃ κρατῶν ἡμῶν. πᾶσι γὰρ δῆλον, ὅτι μὴ Ναζιανζοῦ, Σασίμων δὲ προεβλήθημεν, εἰ καὶ πρὸς ὀλίγον αἰδοῖ τοῦ πατρὸς καὶ τῶν ἱκετευσάντων, ὡς ξένοι τὴν προστασίαν κατεδεξάμεθα.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Ἔχω τι δεξιὸν ἐν τῇ φύσει. μεγαλαυχήσομαι γὰρ ἕν τι τῶν πολλῶν καὶ αὐτός. ὁμοίως ἐμαυτῷ τε δυσχεραίνω βουλευομένῳ κακῶς καὶ τοῖς φίλοις. ἐπειδὴ τοίνυν φίλοι πάντων ἀλλήλων καὶ συγγενεῖς οἱ κατὰ θεὸν ζῶντες, καὶ τῷ αὐτῷ εὐαγγελίῳ στοιχοῦντες, τί οὐκ ἀκούσει παρ' ἡμῶν μετὰ παῤῥησίας, ἃ πάντες ὑποψιθυρίζουσιν; οὐκ ἐπαινοῦσί σου τὴν ἄδοξον εὐδοξίαν, ἵν' εἴπω καθ' ὑμᾶς, καὶ τὴν κατὰ μικρὸν ἐπὶ τὰ χείρω κλοπὴν, καὶ τὴν κακίστην δαίμονα, ἥν φησιν Εὐριπίδης φιλοτιμίαν. τί γὰρ παθὼν ὦ σοφώτατε, καὶ τί σεαυτοῦ καταγνούς, τὰς μὲν ἱερὰς καὶ ποτίμους βίβλους ἀπέῤῥιψας, ἃς ὑπανεγίνωσκες ποτὲ τῷ λαῷ; μὴ γὰρ αἰσχυνθῇς ἀκούων. ἢ ὑπὲρ καπνοῦ τέθεικας, ὡς τὰ πηδάλια χειμῶνος ὥρᾳ, καὶ τὰς ἐχέτλας. τὰς δὲ ἁλμυρὰς καὶ ἀπότους μετεχειρίσω. καὶ ῥήτωρ ἀκούειν μᾶλλον, ἢ χριστιανὸς ἠθέλησας. ἡμεῖς δὲ τοῦτο μᾶλλον, ἢ περ ἐκεῖνο. καὶ πᾶσα τῷ θεῷ χάρις. μὴ σύ γε ὦ ἄριστε. ἀλλ' ὅτι μὴ ἤδη πολὺ τοῦτο πάθῃς, ἀλλ' ἔκνηψον ὀψὲ γοῦν, καὶ πρὸς σεαυτὸν ἐπάνελθε, καὶ ἀπολόγησαι μὲν πιστοῖς, ἀπολόγησαι δὲ θεῷ καὶ θυσιαστηρίοις, καὶ μυ-

Φοινίσσαις.

Hesiod.

ὦ ἄριστε, ἦν οἶκ. quando optimus eras.

στηρίοις, ἀφ' ὧν ἐμακάρισας. καὶ μή μοι τὰ κομψὰ ταῦτα καὶ ῥητορικὰ ῥήματα εἴποις. τί δὲ οὐκ ἐχριστιανίζομεν ῥητορεύων; ὅτι δὲ ἧττον πιστὸς ἐν τοῖς μειρακίσκοις στρεφόμενος; καὶ ἴσως ἐπιμαρτύρει θεόν. οὐδαμῶς ὦ θαυμάσιε. οὐκ οὖν ὅσον εἰκός. εἰ καὶ μέρος τι δέδωκεν. τὸ δὲ καὶ τὸ πλήσσειν ἄλλους ἐξ ὧν νῦν πράττεις, φυσικῶς πρὸς τὸ κακὸν ὄντας ἐπιρρεπεστέρους. καὶ τὰ χείρω διδόναι περὶ σοῦ ὑπονοεῖν καὶ λέγειν, ἔξω ψεύδους. ἀλλὰ τίς ἡ ἀνάγκη; οὐ γὰρ ἑαυτῷ ζῇ τις μόνον, ἀλλὰ καὶ τῷ πλησίον. οὐδὲ ἀρκεῖ τὸ πεῖσαι σεαυτόν, εἰ μὴ καὶ τοὺς ἄλλους, εἰ καὶ πυκτεύων σύ γε ἐν τῷ κοινῷ, ἢ καὶ παιόμενος περὶ κόρρης, καὶ παίων ἐν τοῖς θεάτροις, ἢ καὶ τὰ αἰσχρὰ λυγιζόμενος, καὶ κατασείομενος, ἅπαν ἂν ὡς ἤδη ψυχὴν ἐσωφρόνεις. οὐ σωφρονοῦντος ὁ λογισμός. κοῦφον τὸ ταῦτα δέχεσθαι. εἰ μὲν οὖν μεταβάλλοιο, ἀλλὰ νῦν χαιρήσομαι, τῶν πυθαγορικῶν ἔφη τις φιλοσόφων ἑταῖρον ἐκπεπτωκότα δογμάτων. εἰ δὲ μή, ἐκεῖνος μὲν ἔγραψε, τέθνηκάς μοι. ἐγὼ δὲ τέως μὲν οὐκ ἐρῶ σοι χαίρειν ἔτι. φίλος γὰρ ὤν, ἐχθρὸς ἐγένου. ἀλλ' ὅμως φίλος, ἡ τραγῳδία φησίν. ἀνιάσομαι δὲ, τέως γὰρ εἰπεῖν μέτριον. εἰ μή τι αὐτὸς συνορᾷς τὸ δέον, ὃ τῶν πρώτων δεῖ τῶν ἐπαινετῶν μερίδος. μηδὲ ἄλλου δὲ εἰπόντι κατακολουθήσεις, ὃ τῶν δευτέρας. τοσαῦτα τὰ τῆς παραινέσεως. καί μοι σύγγνωθι διὰ φιλίαν ἀλγοῦντι. καὶ ὁμοίως ὑπέρ τε σοῦ, καὶ τοῦ ἱερατικοῦ παντὸς τάγματος φλεγομένου. προσθήσω δὲ, ὅτι καὶ πάντων χριστιανῶν. εἰ δὲ δεῖ καὶ συνεύξασθαι ἢ ὑπερεύξασθαι, θεὸς βοηθείη σου τῇ ἀσθενείᾳ, ὁ καὶ τεθνηκότας ζωοποιῶν.

ΓΡΗΓΟΡΙῼ ΑΡΧΟΝΤΙ.

Οὐκ ἐπαινῶ τὸν ἡσίοδον, ὅτι τοὺς ὁμοτέχνους ἀντιτέχνους ὀνόμασε, καὶ κεραμεὺς κεραμεῖ κοτέει λέγων, καὶ τέκτονι τέκτων. οὐ γὰρ φθονεῖ μᾶλλον, ἢ περιέχει τε καὶ ἀσπάζεται, ὡς ἐμὸς λόγος, καὶ ὡς οἰκεῖα προσδέχεται. αἰδὼς δὲ ἀεὶ διδοὺς τὸν πλέον, ἔσω καὶ λόγος ἐπὶ τούτοις τὸ σπουδαζόμενον. τέως δὲ καὶ αὐτὸς πεπονθὼς πρὸς τὴν σὴν λογιότητα, εἰ μὲν οὕτως εἶχον τοῦ σώματος, ὥστε ταῖς τῆς ψυχῆς ὁρμαῖς ὑπουργεῖν δύνασθαι, οὐκ ἄν με τις ἔφθη καὶ προσδραμὼν καὶ περιπτυξάμενος, καὶ τὰ ἐπιβατήρια προσφθεγξάμενος, ἀλλ' ἀλίον μὲν ἐπισκοτεῖ νέφος. ἐμοὶ δὲ καὶ ἡ ἀρρωστία, καὶ τὸ φθονερὸν τοῦτο σαρκίον καὶ δεσμωτήριον. ἆρα δέξῃ μου τὴν ἐπιστολὴν, ἀντὶ τῆς παρουσίας; ναὶ δέξῃ, λόγιος τε ὤν, καὶ συγγνώμων, εὖ οἶδα τοῦτο. καὶ οὐκ εἰκάζειν ἔχω. ἵν' εἰδῇς ὅσον θαρρῶ τῇ σῇ καλοκαγαθίᾳ. ἰδοὺ καὶ πρεσβείαν προσάγω σοι, σφόδρα ἡμῖν ἀναγκαίαν. καὶ πρὸς τῆς σῆς φιλίας αἰτῶ τὰ τῶν φίλων. τὸν ἐμὸν νικόβουλον, ἀπὸ τῆς ἐμῆς δεξιᾶς, ἐγχειρίζω σοι σὺν τοῖς ἀδελφοῖς, οὐ διδόντα δίκην, ἀλλὰ λαμψόμενον. καὶ χήραν ἄωρον τὴν τούτων μητέρα. καὶ οἰκίαν ἣν ὅτε λαμπρὰν ἦσαν καὶ ἀπόβλεπτον, ἕως περιῆν ὁ πολὺς ἡμῖν νικόβουλος. νῦν δὲ οὐδὲ περιθεῖσαι συγχωρηθεῖσαν, ἐκ τῶν ἤδη ἀναφανέντων κακῶν, καὶ προσδοκωμένων, εἰ μή σε τε προστασίαν, καὶ τῇ σῇ δίκῃ χρήσασθαι πρὸς τὸν πονηρὸν δαίμονα, καὶ ὑμᾶς τιμῆσαι. καὶ τὸ ἀνθρώπινον αἰδεσθῆναι, καὶ λαμπρὰν σεαυτῷ ποιῆσαι τὴν ἀρχὴν, διὰ τῆς εἰς ἡμᾶς εὐποιΐας.

ΕΚΗΒΟΛΙῼ.

Βούλομαί τι κατ' ἐμαυτοῦ, καὶ συγγνώμη τῷ ἀλγοῦντι, τὰ ἀλγοῦντος φθέγξασθαι, ὦ σαρκίον πονηρὸν καὶ κακόηθες, οἷά με κακὰ δρᾷς, οἷα ἐργάζῃ. ἐγγὺς ἀνὴρ, ὃν καὶ πόρρω τυγχάνοντα μεταδιώκειν τῶν ἀναγκαίων ἦν, τῆς τε ἀρχικῆς ἀρετῆς εἵνεκα, καὶ τῆς ἄλλης ἡμεροτητος. σὺ δὲ πονήρως ἔχεις, καὶ χεδὸν ἀκινήτως, καὶ περιορᾷς ἄλλους τοῦ ἀγαθοῦ μεταλαμβάνοντας, ἡμᾶς δὲ ζημιουμένους. τὰ μὲν οὖν τῆς κατηγορίας τοιαῦτα. ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ τὸ ἀποδύρασθαι μόνον ἃ πάσχομεν, ἀλλὰ δεῖ τινὸς καὶ φαρμάκου πρὸς τὴν πληγὴν, τοῦτο ἐξεύρομεν, τὸ θαρρῆσαι πρὸς τὴν ἐπιστολὴν ταύτην, καὶ τοῖς γράμμασι σκιαγραφῆσαι τὴν παρουσίαν. εἰ δὲ καὶ τὸ εὖ ποιεῖν ἡμᾶς ἐπιζητεῖς βεβαιῶν τὸ ἀγαθὸν, προσάγομεν θαρροῦντες οἰκίαν ἐλεεινὴν καὶ φιλανθρωπίας ἀξίαν, χήραν μετ' ὀρφανῶν ἔτι θερμὴν ἐν τοῖς δάκρυσι. τὴν τε ἀδελφὴν τὴν ἐμὴν λέγω, καὶ τοὺς ταύτης παῖδας. οἳ πατρὸς ἀγαθοῦ γεγονότες, καὶ πολλὰ μὲν βασιλεῦσι καμόντος ἐν ὅπλοις οὐκ ἀνωνύμως, ἀλλὰ καὶ λίαν λαμπρῶς, πολλὰ δὲ τοῖς ἄρχουσιν ὑμῖν ὑπουργήσαντος, εἴ τινα νικόβουλον ἀκούεις, κινδυνεύουσι νῦν πάσχειν τὰ χαλεπώτατα. μετὰ γὰρ τὴν τῶν φίλων ἔκδοσιν καὶ τοὺς ὅρκους ἐκείνους, οὓς ἐπὶ τῇ ἐξετάσει ὑπέστησαν, νῦν πάλιν ἐπηρεάζειν ἐπιχειροῦσι τοῖς ὀρφανοῖς.

ΟΛΥΜΠΙῼ.

Πάλιν φιλανθρωπίας καιρὸς, καὶ πάλιν ἐγὼ τολμηρὸς γράμμασι πιστεύων, περὶ τοσούτου παράκλησιν πράγματος. ποιεῖ γάρ με θρασὺν ἡ νόσος, οὐδὲ περιϊέναι συγχωροῦσα. οὐ γὰρ εὐπρεπῆ παρέχει τὴν εἴσοδον. τίς οὖν ἡ πρεσβεία. καί με δέξαι ταύτην ἡμέραν φιλανθρώπως. δεινὸν μὲν καὶ ἀνδρὸς θάνατος. πῶς γὰρ οὔ, τοῦ σύμβρον ὄντος, καὶ εὔελπιν οὐκ ἐσομένου, οὐδὲ πρὸς ἡμᾶς ἀναλύοντος, πολλῷ δὲ δεινότερον πόλιν ἀφανίζειν,

λὴν Βασι-

σου

ὡς γὰρ ὤν, ἐχθρὸς ἐγένου ἀλλ' ὅμως φίλος.

ἣν βασιλεὺς ἱδρύσατο, καὶ χρόνος συνεστήσατο, καὶ ἀκολουθία μακρὰ διεφύλαξεν. ὑπὲρ τῶν Διοκαισαρέων ὁ λόγος, τῶν ποτὲ πόλεως, νῦν δὲ οὐ πόλεως, εἰ μὴ σὺ νεύσειας ἥμερον. ταύτην σοι προσπίπτειν νόμιζε δι' ἡμῶν, καὶ φωνὴν ἐχέτω. καὶ σχῆμα τραγικὸν περικείσθω. καὶ κειράσθω κόμας ὥσπερ ἐν δράματι. καὶ τούτοις πιεζέσθω πρός σε τοὺς λόγους. δός μοι χεῖρα χαμαὶ κειμένῃ, βοήθησον ἀσθενούσῃ. μὴ συνεπιθῇ τῷ χρόνῳ, μηδὲ διαφθείρῃς τὰ πρόσω λείψανα. πόλεις ἐγείρειν σοι πρεπωδέστερον, ἢ καταλύειν τὰς κεκμηκυίας. γενοῦ πολιστὴς ἢ περὶ προσθεῖναί τι τοῖς οὖσιν, ἢ περὶ φυλάξαι τὴν οὖσαν. μὴ ἀνάσχῃ μέχρι τῆς σῆς ἀρχῆς εἶναι πόλιν, καὶ μετὰ σὲ μηκέτ' εἶναι, μηδὲ δεῖξαι πονηρὸν περὶ χρόνου διήγημα, λαβεῖν ἀριθμουμένην ἐν πόλεσιν, καὶ καταλιπεῖν χωρίον ἀοίκητον τὴν ποτὲ πόλιν ὄρεσι καὶ κρημνοῖς καὶ ὕλαις μόναις γνωριζομένην. ταῦτα μὲν ποιείτω καὶ λεγέτω περὶ τὴν σὴν φιλανθρωπίαν, ἡ τοῦ πλάσματος πόλις. ἡμῶν δὲ ὡς φίλων δέξαι παραίνεσιν. σωφρονίσαι μὲν θέλησον τοὺς ἐξημαρτηκότας εἰς τὸ πρόσταγμα τῆς σῆς ἐξουσίας. ὑπὲρ γὰρ τούτου οὐδὲν θαῤῥοῦμεν, εἰ καὶ μὴ ἀπὸ κοινοῦ σκέμματος φασὶν εἶναι τὸ θράσος, ἀλλὰ μειρακίσκων τινῶν ὁρμὴν ἀλόγιστον, τὸ πλεῖον δὲ τῆς ὀργῆς συγχωρῆσαι, καὶ λογισμῷ χρήσασθαι μείζονι. μηδ' οἷς ὑπερήλγησαν νεκρουμένης, οὐκ ἤνεγκαν πολίται καλεῖσθαι, καὶ εἶναι ἀπόλιδες. ἐμάνησαν, παρηνόμησαν, ἀπέγνωσαν τῆς ἑαυτῶν σωτηρίας. ἔκφρονας αὐτοὺς τὸ παράδοξον τοῦ πάθους ἐποίησεν. ἆρ' οὖν διὰ τοῦτο χρὴ μηκέτ' εἶναι πόλιν τὴν πόλιν; μηδαμῶς ὦ θαυμάσιε. μὴ τοῦτο ἐπιγράφῃς. ἀλλὰ τίμησον μὲν, πάντας πολίτας τε καὶ πολιτευομένους καὶ ἀξιωματικοὺς ἱκετεύοντας. πάντων γὰρ οὐκ ἴσην τὴν συμφορὰν ὁμοίως ἀπεῖσθαι, καὶ εἰ περὶ μεγέθει τῆς σῆς ἐξουσίας ἐφησυχάζουσιν, οἷον ὑποβρύχια σχόντων. τίμησον δὲ τὴν ἡμετέραν πολιάν. ὃς δ' ἀνὴρ ὢν ποτε τὴν μεγάλην πόλιν ἔχοντες, νῦν μηδὲ πόλιν ἔχομεν, καὶ θεῖον οἰκητήριον γένοιτο μετὰ τὴν σὴν ἀρχὴν, ὅ,τε ναὸς ὃν ἠγείραμεν τῷ θεῷ, καὶ ἡ περὶ τοῦτον ἡμῶν φιλοκαλία. οὐδὲ γὰρ οἱ ἀνδριάντες κατενεχθέντες, τοῦτο δ' εἰπεῖν, εἰ καὶ ἄλλως δ' εἰπεῖν. μηδὲ περὶ τούτων νομίσῃς ἡμῖν εἶναι τὸν λόγον, οἷς περὶ τὰ κρείττονα ἡ σπουδή. ἀλλ' οἱ συγκατενεχθήσονται τούτοις πόλις ἀρχαία, καὶ τι λαμπρὸν γεγονυῖα, ζώντων ἡμῶν καὶ ὁρώντων τῶν παρὰ σοὶ τιμωμένων, καί τινα ἰσχὺν ἔχειν νομιζομένων. ἀλλ' ὁ μὲν περὶ τούτων λόγος τοιοῦτος. οὐδὲ γὰρ εἰ πλείονα εἴποιμεν, ἰσχυρότερόν τι τῶν σῶν εὕροιμεν λογισμῶν, οἷς ἐννόει τοιοῦτον ἄγει τι καὶ ἀχθείσης πλείω καὶ μείζω, καὶ ἔτι μείζοσι ταῖς ἀρχαῖς. ἐκεῖνο δὲ ἀναγκαῖον γνῶναι τὴν σὴν μεγαλόνοιαν περὶ τῶν προπεπτωκότων, ὅτι παντελῶς εἰσὶν ἄθλιοι. ἀπεῤῥιμμένοι, καὶ μηδεμιᾶς ἀταξίας τοῖς ἡμαρτηκόσι κοινωνήσαντες, ὡς πολλοὶ πείθουσιν ἡμᾶς τῶν τότε παρόντων. πρὸς ταῦτα βούλευσαι, ὅ,τι ἂν συμφέρειν νομίζῃς, καὶ πρὸς τὴν ἐντεῦθεν δόξαν, καὶ πρὸς τὰς ἐκεῖθεν ἐλπίδας. ἡμεῖς δὲ τὸ παρὰ σοῦ οἴσομεν οὐκ ἀλύπως μὲν, οἴσομεν δέ. τί γὰρ ἂν καὶ πράξαιμεν ἕτερον; εἰ δὲ τὰ χείρω νικήσειεν ἐν χαλεπαινοῦμεν, καὶ τῇ προτέρᾳ πόλει ἐπιβαλοῦμεν δάκρυον.

ΤΩι ΑΥΤΩι.

ΗΜῖν ἄρχων σὺ καὶ μετὰ τὴν ἀρχήν. κρίνομεν γὰρ ἑτέρως, ἢ ὡς οἱ πολλοὶ τὰ πράγματα, ὅτι πᾶσαν ἀρχικὴν ἀρετὴν ἐν σεαυτῷ συλλαβὼν ἔχεις. πολλοὶ γὰρ τῶν ὑψιθρόνων ἐμοὶ κάτω, οὓς ἡ χεὶρ ποιεῖ ταπεινοὺς καὶ δούλους τῶν ἀρχομένων. πολλοὶ δὲ ὑψηλοὶ καὶ μετέωροι, κἂν ἑστήκασι κάτω, οὓς ἄνω τίθησιν ἀρετὴ, καὶ ποιεῖ μείζονα ἀρχὴν ἀξίας. ἀλλὰ τί τούτων ἐμοί. οὐκ ἔτι μεθ' ἡμῶν ὁ μέγας Ὀλύμπιος. οὐδὲ φέρει τοὺς ἡμετέρους οἴακας. οἰχόμεθα, προδεδόμεθα, γεγόναμεν αὖθις δευτέρα Καππαδοκία, πρώτη παρὰ σοῦ γεγονότες. καὶ τὰ μὲν τῶν ἄλλων τί χρὴ καὶ λέγειν; ἀλλὰ τίς γεροκομήσει τὸν σὸν γηρέσιον, καὶ φαρμακεύσει τὴν ἀσθένειαν ταῖς τιμαῖς, καὶ θήσει τιμιώτερον τὸν παρὰ σοῦ πολλοῖς προξενοῦντα τὸ φιλάνθρωπον. νῦν μὲν οὖν ἄπιθι τὴν ὑμετέραν ὁδὸν, σὺν ὁδηγίᾳ καὶ πομπῇ κρείττονι, πολλὰ μὲν δάκρυα καταλιπόντες ἡμῖν, πολὺ δὲ πλέον ἐπικομιζόμενοι παρ' ἡμῶν, καὶ οἷον οὐ πολλοὶ τῶν ἀρχόντων τὴν εὐδοξίαν, καὶ τὸ ἀνάγραπτοι τυγχάνειν ταῖς πάντων ψυχαῖς στήλαις οὐκ εὐκινήτοις. εἰ δὲ πάλιν ἡμῖν ἐπισταίητε, μετὰ μείζονος καὶ λαμπροτέρας τῆς ἀρχῆς, τοῦτο γὰρ ὁ πόθος ἡμῖν μαντεύεται, πλειότερα τῷ θεῷ τὰ χαριστήρια πάντως ἀνοίσομεν.

ΠΡΟΚΟΠΙῼ.

ΕΧει μὲν οὕτως, εἰ δεῖ τἀληθὲς γράφειν, ὥστε πάντα σύλλογον φεύγειν ἐπισκόπων, ὅτι μηδεμιᾶς συνόδου τέλος εἶδον χρηστόν. μηδὲ λύσιν κακῶν μᾶλλον ἐσχηκυίας, ἢ προσθήκην. αἱ γὰρ φιλονεικίαι, καὶ φιλαρχίαι. ἀλλ' ὅπως μήτε φορτικὸν ὑπολάβῃς οὕτω γράφοντα, καὶ λόγου κρείττονος, καὶ θᾶττον ἄν τις ἐγκληθείη κακίαν ἑτέρων δικάζων, ἢ τὴν ἐκείνων λύσειε. διὰ τοῦτο εἰς ἐμαυτὸν συνεστάλην, καὶ μόνην ἀσφάλειαν ψυχῆς, τὴν ἡσυχίαν ἡγησάμην. νῦν δὲ καὶ τὴν ἀῤῥωστίαν ἔχω προστιθοῦσαν τῆς κρίσεως, ὡς ἀεὶ σχεδὸν

τὰ πλούτου πενίαν, καὶ εἰς οὐδὲν ἐμαυτῷ χρῆσθαι δυνάμενος. διὰ τοῦτο συγγνωστέος μὲν ἡ σὴ μεγαλόνοια. παιδευτέος δὲ διὰ σοῦ, καὶ ὁ εὐσεβέστατος βασιλεύς, μὴ ῥᾳθυμίαν ἡμῶν καταγινώσκειν, ἀλλὰ συγγινώσκειν τῇ ἀσθενείᾳ. δι᾽ ἣν οἶδε καὶ συγχωρήσας ἡμῖν διάβασιν αὐτ᾽ ἄλλης εὐεργεσίας τὴν ἀναχώρησιν.

ΑΝΥΣΙΩι.

Πῶς ἔχει τὰ πράγματα ἡμῖν, ἐρωτᾷς; μετά τινος ἱστορίας ἀποκρινούμεθα. ἐπρέσβευον Ἀθηναῖοι πρὸς Λακεδαιμονίους φασίν, ἡνίκα ἐτυραννοῦντο. ἡ πρεσβεία δὲ ἦν γενέσθαι τι αὐτοῖς ἐκείνων φιλάνθρωπον. ὡς δὲ ἐπανῆκον ἐκ τῆς πρεσβείας, ἐπυνθάνετό τις· πῶς ὑμῖν οἱ Λακεδαιμόνιοι; οἱ δέ, ὡς μὲν δούλοις ἔφασαν λίαν χρηστῶς· ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς. τοῦτο νῦν καὶ αὐτὸς ἔχω γράφειν. πράττομεν γὰρ τῶν μὲν ἀπεγνωσμένων, φιλανθρωπότερον· τῶν δὲ μελλόντων ζῆν, φορτικώτερον. ἔτι γὰρ νόσος ἐπιπαλυπεῖ. οἵ τε φίλοι κακουχοῦνται, οὐκ ἰῶνται, καὶ τὰ δυνατὰ βλάπτοντες. ἀλλ᾽ εὔχου τὸ θεῖον εὐμενὲς ἡμῖν εἶναι. καὶ λύοιμεν θάτερον, ἢ φευξόμεθα τὰ δεινὰ πάντως, ἢ καρτερήσομεν. ἔτι δὲ καὶ τοῦτο τῶν κακῶς συμφορᾶς ἐλάττωσις.

ΤΩι ΑΥΤΩι.

Αἰσθάνομαι τῶν ἐγκλημάτων τοῦ σιωπῶντος. γάμους ἐστιῶμεν, ἴσως ἐρεῖς, καὶ ταῦτα τῆς χρυσῆς Ὀλυμπιάδος καὶ σῆς. καὶ παρῆν ὑποσκόπων ὅμιλος. σὺ δὲ ἀπῆς ἡμῖν ὁ γενναῖος, ἢ ἀπαξιώσας, ἢ κατοκνήσας, οὐδέτερον οὐ θαυμάσω. ἀλλ᾽ οὐκ ἦν οἶμαι πρέπον τὰ τραγικῶς, πανηγυρίζειν κωμικῶς, καὶ ἅμα παντελῶς ἄωρον καὶ οὐ γαμικόν, ἐν οἷς ποδαλγοὶ περιφερόμενοι καὶ γελώμενοι μέσοι πηδώντων. ἵνα τι σοι καὶ προσπαίζωμεν γαμικῶς. ἐπεὶ δέ γε βούλεσθε, τῷ πάρειμι, καὶ συνεορτάζω, καὶ τῶν νέων τὰς δεξιὰς ἀλλήλαις τε ἐμβάλλω, καὶ ἀμφοτέρας τῇ τοῦ θεοῦ. πρέπει γὰρ ὥσπερ ἄλλο σοι πᾶν ἀγαθόν, οὕτω σοι καὶ τὴν συζυγίαν ὑπὸ παντὶ βελτίστῳ γενέσθαι, καὶ ὑπὲρ τὰς κοινὰς ἡμῶν εὐχάς.

ΤΩι ΑΥΤΩι.

Ἰδοὺ καὶ δεύτερός σοι γαμβρός. τὸ γλυκὺ φορτίον ἀποσκευάζῃ, καλῶς ποιῶν. ἀργοὶ δὲ ἡμεῖς, ὡς ἂν αὐτὸς εἴποις. ὡς δὲ ὁ ἀληθὴς λόγος, ἀσθενεῖς, οὐκ ἀργοί. πλὴν καλῶς ἡμῖν ἔχει τὰ ἐκ θεοῦ. τὸν μὲν γὰρ θόρυβον, ἄλλοις παρεχωρήσαμεν, τῆς φιλοσοφίας δὲ ἡμεῖς ἀπολαύομεν. ἐπειδ᾽ αὖ θεῷ συντελεῖς, καὶ ὅλως τῆς ἄνω γῆς, μηδενὶ δεσμῷ κατεχόμενος. καὶ νῦν δὲ τοῖς γάμοις συνεισφέρομεν τὰς εὐχάς, εἰ δεῖ δωροφορεῖν ἡμῖν τὸ κάλλιστον.

ΑΜΦΙΛΟΧΙΩι.

Ἄρτους μὲν οὐκ ᾐτήσαμεν παρὰ σοῦ. ὅτι μηδὲ ὕδωρ, παρὰ τῶν Ὀστρακίνην οἰκούντων. λάχανα δὲ εἰ αἰτοίημεν παρὰ ἀνδρὸς Ὀζιζαλέως, ὧν ἀφθονία ὑμῖν, παρὰ δὲ ἡμῖν πολλὴ σπάνις, θαυμαστὸν οὐδέν, οὐδὲ ἔξω τῆς συνηθείας. καταξιοῦμεν οὖν λάχανα ἡμῖν ἀποστεῖλαι πλεῖστα καὶ κάλλιστα, ἢ ὅσα γε δυνατόν, ἐπεὶ καὶ τὰ μικρὰ μεγάλα τοῖς πένησιν. ἐπειδὴ καὶ τὸν μέγαν Βασίλειον δεξιούμεθα οὐ μὴ Βουληθῇς ὥσπερ ἐπαρέβης κεκορεσμένου φιλοσοφοῦντος, οὕτω παραβλέψαι πεινῶντος, καὶ δυσχεραίνοντος.

ΤΩι ΑΥΤΩι.

Ὡς μικρολόγως ἡμῖν ἥκει τὰ λάχανα παρ᾽ ὑμῶν. καὶ τί γὰρ ἄλλο ἢ χρυσολάχανα, καίτοι γε ὁ πᾶς πλοῦτος ὑμῖν, κῆποι καὶ ποταμοί, καὶ ἄλση καὶ παράδεισοι. καὶ λαχανοφόρος ὑμῖν ἡ χώρα, ὡς χρυσοφόρος ἄλλοις. καὶ λειμώνια φύλλα νέμεσθε. ὁ δὲ σῖτος ὑμῖν, ἡ μυθικὴ μακαρία. καὶ ὁ ἄρτος, ὁ δὴ λέγεται ἄρτος ἀγγέλων, οὕτως ἄσπαστός τε καὶ ἄπιστος. ἢ τοίνυν μεταδίδοτε τούτων ἡμῖν ἀφθονώτερον, ἢ ἄλλο μὲν οὐδὲν ἀπειλοῦμεν. τὸν δὲ σῖτον ἐφέξομεν, καὶ ἐσόμεθα, εἰ οὕτως δρόσῳ μόνῃ τρέφονται, τέττιγες.

ΒΟΣΠΟΡΙΩι ΚΟΛΩΝΙΑΣ.

Ἐνόμιζον μὲν καὶ ὑπὲρ τῶν προτέρων χρῆναι ἀπαιτεῖσθαί μοι παρ᾽ ὑμῶν ἀπολογίαν. οὕτως ἀρχαῖός τις εἰμὶ καὶ μάταιος. ἐπειδὴ δὲ οὐκ ἀνίετε πλημμελοῦντες ἡμῖν, ἀλλ᾽ ἀεὶ τοῖς προτέροις ἐπαγωνίζεσθε, καὶ ταῖς ὕβρεσιν ὕβρεις προσεξευρίσκετε, οὐκ οἶδα δι᾽ ἥν τινα τὴν αἰτίαν, εἴτε ἡμᾶς μισοῦντες, εἴτε ἄλλοις τὴν ἀτιμίαν ἡμῶν χαριζόμενοι, ταῦτα μὲν τῷ θεῷ καὶ ἀληθείᾳ κρίνειν παρήκομεν. ὃν λανθάνει τῶν ὄντων οὐδέν, ὅ φησιν ἡ θεία γραφή, κἂν κινῶμεν τῆς ἀληθείας τὸ πρόσωπον, ὑπερπαίας ἕνεκεν τῆς πρὸς τοὺς πολλούς. εὐαγγελιζόμεθα δὲ τὴν ὑμετέραν εὐλάβειαν, ἡττήμεθα. καὶ τῆς ἐκκλησίας ἂν διδῷ θεός, τὰ δυνατὰ φροντίζειν, οὐ κατοκνήσομεν. ἐπειδὴ τοῦτο ἀγωνίζεσθε, καὶ μάλιστα τοῦ καιροῦ κατεπείγοντος διὰ τὴν προσδοκωμένην τῶν ἐναντίων ἐπιδρομήν, ὡς αὐτοὺς γράφεις. ἀλλὰ τὸ γε παρὸν τοῦτο σῶμα, χρήσομεν τῷ θεῷ. μέχρις ἂν διαρκῇ καὶ ἀσθενῶμεν. ἵνα μήτε ὑμεῖς βάρος ἔχωμεν, κατακενούμενοι παρ᾽ ὑμῶν, καὶ παρὰ παντὸς τοῦ κλήρου καταβοώμενοι, πανδήμοις ὀδυρμοῖς ἐκλείποντος

ἐκθλίβοντος ἡμᾶς, καὶ τὴν ἐκκλησίαν ὁρῶντος ἀμελουμένην, καὶ τοὺς πολλοὺς πλεονεκτοῦντας, ὥσπερ ὑποβορῶντας τὰ τῆς ἐκκλησίας. μήτε ὑμεῖς μακρότερα κάμνητε, ἀτιμοῦντες ὑμᾶς. καὶ τοῦτο πράξομεν ταῖς ὑμετέραις εὐχαῖς, εἰ αὐτοὺς ὀκνεῖς τῆς ἐκκλησίας τὴν προστασίαν, ὡς αὐτός τε λέγεις, καὶ πείθει τὰ πράγματα. βέλτιον γὰρ, ἐκείναις ἐναποθανεῖν ταῖς φροντίσιν, ἢ ταύταις. ἐπειδὴ δεῖ πάντως ταλαιπωρεῖν, οὕτω τυπωθέντος τοῦ θεοῦ τὰ ἡμέτερα.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Δὶς ἤδη τοῦτο ἐπιβεβούλευμαι παρ' ὑμῶν, καὶ ἠπάτημαι. οἶδας ὃ λέγω. καὶ εἰ μὲν δικαίως, ὀσφρανθείη κύριος ὑμῶν ὀσμὴν εὐωδίας· εἰ δὲ ἀδίκως, συγγνοίη κύριος. οὕτω γὰρ ἐμὲ περὶ ὑμῶν λέγειν εὔλογον, ἐπειδὴ φέρειν καὶ ἀδικούμενοι προστάγμεθα, πλὴν ὥσπερ ὑμεῖς κύριοι τῆς ὑμετέρας γνώμης, οὕτω κἀγὼ τῆς ἐμῆς. οὐκ ἔτι βαρὺς ὑμῖν ἔσται Γρηγόριος ὁ βαρύς. ἀναχωρήσω πρὸς θεὸν τὸν μόνον καθαρόν τε καὶ ἄδολον. εἰς ἐμαυτὸν συστέλλομαι. ταῦτα ἐμαυτὸν ἐνουθέτηκα. δὶς γὰρ πρὸς τὸν αὐτὸν λίθον προσπταίειν, τοῖς ἀνοήτοις μόνοις ἡ παροιμία δίδωσιν.

ΚΑΙΣΑΡΙΩ͂Ι ΤΩ͂Ι ἸΔΙΩΙ ἈΔΕΛΦΩ͂Ι.

Οὐδὲ οἱ φόβοι τοῖς εὖ φρονοῦσιν ἄχρηστοι· ὡς δὲ ἐγὼ φημὶ, καὶ λίαν καλοὶ, καὶ σωτήριοι. εἰ γὰρ καὶ γίνεσθαι αὐτοὺς ἀπευχόμεθα, γινομένοις γε παιδευόμεθα. κάμνουσα γὰρ ψυχὴ, ἐγγύς ἐστι θεοῦ, φησί που θαυμασιώτατα λέγων ὁ Πέτρος. καὶ παντὶ διαφυγόντι κίνδυνον, πλείων ἡ χάρις περὶ τὸν περισώσαντα. μὴ οὖν ὅτι μετέσχομεν τοῦ κακοῦ δυσχεραίνωμεν, ἀλλ' ὅτι διαπεφεύγαμεν, εὐχαριστήσωμεν. μηδὲ ἄλλοι φανῶμεν περὶ θεὸν, παρὰ τὸν καιρὸν τῶν κινδύνων, καὶ ἄλλοι μετὰ τοὺς κινδύνους. ἀλλὰ βουληθῶμεν εἴτε ἐνδημοῦντες, εἴτε ἰδιωτεύοντες, εἴτε τὰ κοινὰ πράττοντες. δεῖ γὰρ οὕτω λέγειν, καὶ μὴ λαπεῖν περὶ σώσαντι κατακολουθεῖν, καὶ γίνεσθαι τῆς ἐκείνου μοίρας, μικρὰ τῶν μικρῶν καὶ χαμαὶ ἐρχομένων φροντίσαντες. καὶ δῶμεν τι δώρημα τοῖς εἰς ὕστερον, μέγα μὲν εἰς δόξαν ἡμῶν, μέγα δὲ εἰς ὠφέλειαν ψυχῆς. τὸ δὲ αὐτὸ καὶ παίδευμα τοῖς πολλοῖς χρησιμώτατον, ὅτι κρείττων ἀσφαλείας κίνδυνος, καὶ συμφορὰ εὐημερίας αἱρετωτέρα. εἴ γε πρὸ μὲν τῶν φόβων ἦμεν τοῦ κόσμου, μετὰ δὲ τοὺς φόβους τοῦ θεοῦ γεγενήμεθα. ἴσως σοι φορτικοὶ δοκοῦμεν, πολλάκις σοι περὶ τῶν αὐτῶν ἐπιστέλλοντες, καὶ οὐ παραινοῦσιν, ἀλλ' ἐπίδειξιν νομίζειν τοὺς λόγους. διὸ τούτων μὲν ἅλις. ἡμᾶς δὲ ἴσθι προθυμουμένους καὶ εὐχομένους, μάλιστα μὲν γενέσθαι μέχρι σου, συνηδομένους τῇ σωτηρίᾳ σου, καὶ περὶ τούτων τελεώτερον διαλεξομένους. εἰ δ' οὔ, ἀλλ' ἐνταῦθα σε δεξομένους ὡς τάχιστα, συνεορτάσαι τὰ χαριστήρια.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Ἱκανῶς ἠρυθριάσαμεν ὑπὲρ σοί. τὸ γὰρ ὅτι ἐλυπήθημεν, τί χρὴ γράφειν, τῷ γε πάντων μάλιστα πεπεισμένῳ; ἵνα δὲ μὴ τὰ ἡμέτερα λέγωμεν, μηδὲ ὅσης ἀθυμίας ἐνέπλησεν ἡμᾶς ἡ περὶ σὲ φήμη, δέος δὲ εἰπεῖν καὶ δέους, ἐβουλόμην εἴ πως οἷόν τε ἦν, παρεῖναί σε τοῖς τῶν ἄλλων λόγοις, οἰκείων τε ὁμοίως καὶ ξένων, καὶ τῶν ὁπωσοῦν γνωρίμων ἡμῖν. ἀλλ' οὖν χριστιανῶν, οὓς περὶ σοῦ τε καὶ ἡμῶν λέγουσιν, οὐχ οἱ μὲν, οἱ δὲ οὔ, ἀλλὰ πάντες ἑξῆς ὁμοίως. ἐπειδὴ καὶ περιεργότερον ἐν τοῖς ἀλλοτρίοις φιλοσοφοῦσιν ἄνθρωποι. ὥσπερ ἄλλη τις μελέτη γέγονεν αὐτοῖς, ταῦτα τὰ ῥήματα. νῦν μὲν υἱὸν ἐπισκόπου στρατεύεσθαι, νῦν δὲ ὀρέγεσθαι τῆς ἔξωθεν δυναστείας καὶ δόξης, νῦν δὲ ἡττᾶσθαι χρημάτων, ὁπότε χρημάτων κοινὸν αὐξάνεται πῦρ, καὶ τὸν περὶ ψυχῆς δρόμον τρέχουσιν ἄνθρωποι. ἀλλ' οὐχὶ μόνην ἡγεῖσθαι καὶ δόξαν καὶ ἀσφάλειαν καὶ εὐπορίαν, τὸ γενναίως ἵστασθαι πρὸς τὸν καιρόν. καὶ ὅτι ποῤῥωτάτω ποιεῖν ἑαυτὸν, παντὸς ἄγους τε καὶ μιάσματος. πῶς δὲ ἂν ἄλλον νομοθετήσειεν οἱ ἐπίσκοποι, μὴ συμπαρασύρεσθαι τῷ καιρῷ, μηδὲ τοῖς ἀδίκοις συναναφύρεσθαι; πῶς δ' ἂν τοῖς ἄλλο τι πλημμελοῦσιν ἐπιτιμήσειεν, αὐτὸς ἀφ' ἑστίας τὴν παῤῥησίαν οὐκ ἔχων. ταῦτα καθ' ἑκάστην ἀκούοντες ἡμᾶς τὴν ἡμέραν, καὶ ἔτι πλείω τούτων καὶ χαλεπώτερα, τῶν μὲν καὶ διὰ φιλίαν λεγόντων ἴσως, τῶν δὲ καὶ διὰ δυσμένειαν ὑποτιθεμένων. πῶς οἴει διακεῖσθαι καὶ τίνας ἔχειν ψυχὰς ἀνθρώπους τῷ θεῷ προθεμένους δουλεύειν, καὶ πρὸς τὰς μελλούσας ὁρᾶν ἐλπίδας, μόνον ἀγαθὸν κρίνοντας; τὸν μὲν οὖν κύριον τὸν πατέρα ὑμῶν πάνυ δυσφοροῦντα τὰ πρὸς τὴν ἀκοὴν, καὶ πρὸς τὸν βίον αὐτὸν ἀπαγορεύοντα, ὁπωσοῦν αὐτὸς παραμυθοῦμαι καὶ ψυχαγωγῶ, τὴν σὴν ἐγγυώμενος γνώμην, καὶ ὡς οὐχ ὑπομενεῖς ἔτι πλεῖον λυπεῖν ἡμᾶς. τὴν δὲ κυρίαν τὴν μητέρα, εἰ πύθοιτό τι τῶν κατὰ σέ. μέχρι γὰρ τοῦ νῦν τέως ἀπεκρυψάμεθα πολλαῖς ἐπινοίαις, οἶον καὶ παντελῶς ἀπαραμύθητον ἕξειν τὸ πάθος. ὡς γυναῖκά τε οὖσαν μικρόψυχον, καὶ ἄλλως διὰ τὸ λίαν εὐλαβὲς μετριάζειν περὶ τὰ τοιαῦτα οὐ δυναμένην. εἰ μὲν οὖν τινὰ καὶ σεαυτοῦ καὶ ἡμῶν ποιῇ λόγον, βούλευσαί τι βέλτιον καὶ ἀσφαλέστερον. πάντως δὲ καὶ τὰ ἐνταῦθα, πρὸς ἐλευθέριον διαγωγὴν αὐτάρκη, τῷ γε λίαν μὴ ἀπλήστῳ,

μὴ ἀπλήστῳ, μηδὲ ἀμέτρῳ περὶ τὴν ἐπιθυμίαν τοῦ πλείονος. ἀλλὰ καὶ τοῦ κατασταθῆναί σε τὸν χεῖρω, οὐχ ὁρῶ ἵνα καιρὸν ἀναμενοῦμεν τὸν νῦν ἐάσαντες. εἰ δὲ τῆς αὐτῆς ἔχῃ γνώμης, καὶ μικρὰ ταῦτά σοι πρὸς τὴν ἰδίαν ὁρμήν, ἄλλο μὲν οὐδὲν εἰπεῖν βούλομαι δυσχερές. τοσοῦτον δὲ προλέγω καὶ διαμαρτύρομαι, ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ γνήσιον μένοντα χριστιανόν, τὴν ἀτιμοτάτην αὐτοῦ τετάχθαι, καὶ πράττειν ἀναξίως καὶ σεαυτοῦ καὶ τῶν ἐλπίδων. ἢ τῆς τιμῆς ἐφιέμενον, περὶ τὰ καιριώτερα βλάπτεσθαι, τοῦ καπνοῦ γε μετέχοντα, εἰ καὶ μὴ τοῦ πυρός.

ΣΩΦΡΟΝΊῼ ὙΠΆΡΧῼ.

Ὁρᾷς οἷα τὰ ἡμέτερα, καὶ ὅπως κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, νῦν μὲν τῶν, νῦν δὲ τῶν ἀνθούντων καὶ ἀπανθούντων. καὶ ὅτε τοῦ εὖ πράττειν ἑστῶτος ἡμῖν, ὅτε τοῦ δυστυχεῖν ὃ δὴ λέγουσιν, ἀλλὰ τάχιστα μετακινουμένων καὶ μεταπιπτόντων, ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν, καὶ γράμμασι τοῖς καθ' ὕδατος, ἢ ἀνθρώπων εὐημερίᾳ. τίνος χάριν; ἐμοὶ δοκεῖ, ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωροῦντες, μᾶλλόν τι προστρέχωμεν τῷ θεῷ, καὶ τῷ μέλλοντι. καὶ ἵνα ποιώμεθα καὶ ἡμῶν αὐτῶν ἐπιμέλειαν βραχέα τῶν σκιῶν καὶ τῶν ὀνειράτων φροντίζοντες. ἀλλὰ πόθεν ἡμῖν ὁ λόγος; οὐ γὰρ εἰκῆ ταῦτα φιλοσοφῶ, οὐδὲ διακενῆς καλλωπίζομαι. ἦν ποτε τῶν οὐκ ἀφανῶν καὶ ὁ σὸς Καισάριος. εἰ δὲ μὴ ὡς ἀδελφὸς ἀπατῶμαι, καὶ τῶν λίαν ἐπιφανῶν, γνώριμος μὲν ἐπὶ παιδεύσει. καλοκαγαθίᾳ δὲ ὑπὲρ τοὺς πολλούς, λαμπρὸς δὲ φίλων περιουσίᾳ. ὧν πρῶτον, εἴ τι καὶ τὴν σὴν εὐμένειαν ὑπάρχειν αὐτῷ, αὐτός τε ἐφρόνει, καὶ ἡμᾶς ἔπειθε. τὰ μὲν δὴ παλαιὰ ταῦτα. καὶ τὰ πλείω παρὰ σαυτὸν προσθήσεις τιμῶν αὐτὸν ἐπιτάφια. καὶ ὃ φύσει πάντες ἔχομεν ἄνθρωποι, μᾶλλόν τι τῷ ἀπελθόντι χαριζόμενοι. τὰ δὲ νῦν καὶ ὅπως μὴ παραδεξάμενος ἀδακρυτὶ τὸν λόγον, ἢ δακρύσας γε εἰς καλὸν καὶ χρήσιμον. ὁ μὲν κεῖται νεκρός, ἄφιλος, ἔρημος, ἐλεούμενος, σμύρνης ὀλίγης ἠξιωμένος. εἴ γε καὶ τούτου. καὶ μικρῶν ἐνδυμάτων τῶν τελευταίων. πολύ γε ὅτι καὶ τοῦτο τῶν ἐλεουμένων. ἐπιπεπηδήκασι δὲ οἱ ἐχθροί, ὥς γε πυνθάνομαι. καὶ ἄλλος ἄλλοθεν τὰ ἐκείνου ἐπὶ πολλὴν ἐξουσίαν. οἱ μὲν διαρπάζουσι, οἱ δὲ μέλλουσιν. ὢ τῆς ἀναλγησίας, ὢ τῆς ὠμότητος. καὶ ὁ κωλύσων οὐδείς. ἀλλ' ὅ γε φιλανθρωπότατος, τοῦτο χαρίζεται μόνον. ἀνακαλεῖται τοὺς νόμους. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, δρᾶμα γεγόναμεν, οἱ ποτὲ νομισθέντες εὐδαίμονες. ταῦτα μὴ ἀνεκτὰ φανήτω σοι, ἀλλὰ καὶ συνάλγησον. καὶ συναγανάκτησον. καὶ δὸς χάριν νεκρῷ Καισαρίῳ. ναὶ πρὸς τῆς φιλίας αὐτῆς, ναὶ πρὸς τῶν σῶν φιλτάτων καὶ τῶν ἐλπίδων, ἃς ποίησον σεαυτῷ δεξιάς, πιστὸς τῷ ἀπελθόντι φανεὶς καὶ γνήσιος. ἵνα καὶ τοῖς ζῶσι τοῦτο χαρίσῃ, καὶ ποιήσῃς αὐτοὺς εὐέλπιδας. οἷον περὶ χρημάτων ἡμᾶς ἀλγεῖν; τὸ γὰρ αἰσχύνης ἡμῖν ἀφορητότερον, εἰ δόξει μόνος τῶν ἁπάντων Καισάριος μὴ ἐσχηκέναι φίλους, ὁ δὴ καὶ πολλοὺς ἔχειν οἰόμενος. ἡ μὲν οὖν πρεσβεία τοιαύτη, καὶ παρὰ τοιούτων. ἐπειδή σοι καὶ τὸ καθ' ἡμᾶς ἴσως οὐ πάρεργον. ἃ δὲ βοηθήσεις, καὶ δι' ὧν καὶ ὅπως, τό τε πρᾶγμα τε ὑποθήσεται, καὶ ἡ σὴ διασκέψεται σύνεσις.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Ἔχει τι δεξιὸν ἡμῖν ἡ ἀναχώρησις, τὸ ἄπραγμον καὶ ἡσύχιον. ἀλλ' οὔπω τοσοῦτον, ὅσον σκαιόν, τὸ τῆς ὑμετέρας χωρίζειν φιλίας καὶ συνουσίας, τοσούτου πράγματος. ἄλλοι τῆς σῆς τελειότητος ἀπολαύουσι, ἡμῖν δὲ τοῦτο μέγα κἂν εἰ τοῦτο ἔχοιμεν, σκιὰν ὁμιλίας τὴν ἐν τοῖς γράμμασιν. ἆρα σε ὀψόμεθα πάλιν; ἆρα σε περιπτυξόμεθα τὸ ἡμέτερον σεμνολόγημα. καὶ τοῦτο δοθήσεται παρὰ τῆς ζωῆς ἡμῶν λείψανον; εἰ μὲν δοθείη, πᾶσα παρὰ θεοῦ χάρις. εἰ δὲ μή, τεθνήκαμεν τῷ πλείστῳ μέρει. σὺ δὲ μέμνησο τοῦ σοῦ γρηγορείου, καὶ διηγοῦ τὰ ἡμέτερα.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Φιλοσοφοῦμεν ἐφ' ἡσυχίας. τοῦτο οἱ μισοῦντες ἡμᾶς ἠδίκησαν. ὡς εἴθε τι καὶ ἄλλο τοιοῦτον, ἵνα μᾶλλον εὐεργέτας αὐτοὺς γινώσκωμεν. πολλὰ γὰρ ἔστι καὶ ἀδικεῖσθαι δοκοῦντας εὖ πάσχειν. καὶ καλῶς πάσχοντας ἀδικεῖσθαι. τὰ μὲν οὖν ἡμέτερα τοιαῦτα, καὶ εἰ μὴ τοὺς ἄλλους πείθομεν, αὐτόν γέ σε ἀντὶ πάντων εἰδέναι βουλόμεθα. ᾧ λόγον ὑπέχομεν ὅλως τῶν ἡμετέρων. μᾶλλον δέ, εἰδέναι πεπείσμεθα, καὶ πείθειν τοὺς ἀγνοοῦντας. ὑμῖν δὲ παρακαλῶ πᾶσα σπουδὴ γενέσθαι. νῦν γοῦν εἰ καὶ μὴ πρότερον, συμφρονῆσαι καὶ εἰς ἓν ἐλθεῖν τὰ τῆς οἰκουμένης τμήματα κακῶς διεστῶτα. καὶ μάλιστα εἰ λάβοιτε αὐτοὺς οὐχ ὑπὲρ τοῦ λόγου τῆς πίστεως, ἀλλ' ὑπὲρ τῶν ἰδίων μικροψυχιῶν διεστῶτας. ὅπερ ἐγὼ τετήρηκα. τοῦτο καὶ ὑμῖν ἔμμισθον ἂν εἴη τὸ δυνάσθαι. καὶ ἡμῖν ἡ ἀναχώρησις ἀλυποτέρα, εἰ φανείημεν, μὴ κακῶς ταύτην ἁρπάσαντες, ἀλλ' ἑκόντες ῥίψαντες ἡμᾶς αὐτοὺς κατὰ πελάγους, ὥσπερ Ἰωνᾶς ἐκεῖνος, ἵν' ὁ κλύδων παύσηται, καὶ σωθῶσιν ἀσφαλῶς οἱ ἐμπλέοντες. εἰ δὲ οὐδὲν ἧττον χειμάζονται, τό γε ἡμέτερον ἠσφάλισται.

ΕΥ̓ΣΤΟΧΙΩι ΣΟΦΙΣΤΗ͂ι.

Ὤδυσσεῦ, μάλα πῶς με καθίκεο, σχετλιασμὸν ὀνειδίζων, καὶ κατασοφίζεις δέον ἡμᾶς ἐπιμελεῖσθαι. καί σου τὴν παῤῥησίαν ἐπαινῶ, ἐφ᾽ οἷς ἔγραφας ἃ γράφεις. κρεῖσσον γὰρ, ἐκλαλεῖν τὸ λυποῦν, ἢ κρύπτειν ὡς βρέφη ἀγνοοῦντας. ἔχω δὲ καὶ ἐγκαλεῖν ὅμως. ἵνα δὲ νόμον φυλάξω δικαστικὸν, ἀπολογήσομαι πρότερον, εἶτα κατηγορήσω· καὶ ἀμφότερα μετὰ τῆς ἴσης εὐνοίας. τοῦ καλοῦ σχετλιασμοῦ προσῆλθεν Νικόβουλος ὁ ἐμός. οὔ τι καθ᾽ ἡμέτερόν γε νόον. μὴ τοῦθ᾽ ὑπολάβῃς. οὐχ οὕτως ἢ τῶν Ἀθηναίων ἐπιλελήσμην ἐγὼ, ἢ τῆς σῆς φιλίας καὶ ἑταιρείας· ἀλλ᾽ ὁρμήσας μὲν παρ᾽ ἑαυτοῦ, καὶ τοῦ πατρὸς οὕτω θελήσαντος. παρ᾽ ἐμοῦ δὲ, διὰ τῶν γραμμάτων ἐνεχειρίσθη. τί γὰρ ἄφιλον ἢ ἀπάνθρωπον; ἔδει δὲ τὴν ἀπολογίαν ἔχεις, δέξαι καὶ τὴν κατηγορίαν. οὐκ ἐπαινῶ σου τοὺς κοροπλάθας, καὶ τοὺς τελχῖνας οἷς βάλλεις κακῶς τὸν ἀντίτεχνον. ἐπειδὴ νενίκηκε τοὺς ὁμοτέχνους ἀντιτέχνους καλεῖν, μέχρι τίνος γὰρ ταῦτα. καὶ ποῦ στησόμεθα τῆς σοφιστικῆς ἐπηρείας. ἕως ἄν τι γένηται; ἕως ἂν θάνατος ἡμᾶς διακόψῃ τῆς πονηρίας. ταῦτα γὰρ νέον μὲν ὄντα, φιλοτιμίας ἡττώμενον, κέρδους μεταποιούμενον, καὶ τότε μετρίως ποιεῖν, ἔχει τινὰ συγγνώμην. μικρὸν γάρ τι δημοσθενίσω σὺν χάριν. ἐν τούτῳ δὲ τῆς ἡλικίας, καὶ οὕτω πράττοντα, κνίζειν τε καὶ κνίζεσθαι, παντελῶς ἄωρον καὶ φιλόνεικον. οὐ μόνον ὅτι ἀπρεπὲς καὶ παντάπασιν ἀνελεύθερον, ἀλλ᾽ ὅτι καὶ ῥαστώνη πολλὴ τοῦ πράγματος. ὁποῖόν κ᾽ εἴπησθα ἔπος, τοῖον καὶ ἐπακούσαις, καθάπερ ῥεύματος ἀντιστρέφοντος. πάλιν γὰρ Ὁμήρῳ συγχρήσομαι. τὸν ξύοντα δὲ ἀντιξύειν, παντελῶς ἀνεπίφθονον. τίς οὖν ἡ σοφία, ἐξὸν ἀρετῇ πρωτεύειν, ἡττᾶσθαι κακίᾳ. ἢ καὶ νικᾶν, ὃ πολλῷ χεῖρόν ἐστιν. ἀλλ᾽ ἔγωγε καὶ τῶν δικαστῶν μέμφομαι, εἰρήσεται γὰρ τἀληθές. ὅτι ἃ κολάζουσι κρίνοντες, ταῦτα ἐπαινοῦσιν ἀκροώμενοι. οὐ μόνον δὲ, ἀλλὰ καὶ πολλοὺς ἔχουσι τοὺς συνεπαινέτας, καὶ τὴν κακίαν ἀνάπτοντας, καὶ ταῖς αὐτοδίαις ἄχρι τούτου μεμερισμένους. δέον εἰ μὲν ἀπιστοῦνται, μὴ ἐπαινεῖσθαι· εἰ δὲ πιστεύονται, δημοσίᾳ κρίνεσθαι. ἢ οὕτω, εἰ μὲν ψευδῆ, τοὺς κατηγόρους ἐλέγχεσθαι· εἰ δὲ ἀληθῆ, τοὺς καθ᾽ ὧν ὁ λόγος. καὶ μὴ οὕτω μέγιστον πρᾶγμα τὴν τῶν εὖ γεγονότων ὑπόληψιν, οὕτω ῥᾳδίως παίζεσθαι. εἴ τι οὖν ἐμοὶ πείθεσθε, πρὸς γὰρ ἀμφοτέρους ὁ λόγος, τοὺς μὲν τοιούτους λόγους καὶ ψόγους, χαίρειν ἐάσατε. εἰ μή τι ἄλλο, τὴν πολιὰν αἰδούμενοι, ἢ καὶ ἀρξαμένων ἐν τοῖς αἰσχίστοις. αὐτοὶ δὲ βουλεύσασθε, τὴν παλαιὰν τιμῆσαι παραίνεσιν. τὴν, ἕως ἂν ὁ βίος ἱκανὸς ᾖ, ἀρετὴν ἀσκεῖσθαι κελεύουσαν. καὶ οὐκ ἐπιβουλεύετε μὲν ἡμῖν αὐτοῖς. ἐπιβουλεύσετε δὲ ταῖς τῶν νέων ἐλπίσιν, οἳ πάντως ἂν τὰ δεινότατα πάθοιεν, εἰ λόγους ἀσκούμενοι κακίαν μάθοιεν. καὶ ταύτην οὐκ ἀμαθῆ, ὥσπερ οὐκ ἀρετὴν, ἀλλὰ ταύτης ἔχοντες ἡμᾶς διδασκάλους. εἰ δέ σοι φορτικὸς εἶναι δοκῶ ταῦτα γράφων, ἄμυναί με τοῖς ἴσοις, καὶ αὐτὸς παραινέσας τι τῶν χρησίμων, ἵν᾽ ἢ πειθόμενος ἐπαινῇς, ἢ ἐγκαλῇς ἀντιτείνοντι.

ΤΩι ΑΥ̓ΤΩ͂ι.

Οἷον ἠγνόησας ὡς σκαιὸν λίαν καὶ ἀπαίδευτον ἄνδρα σοφιστὴν φονεῦσαί ποτε. ὦ τῆς ἀγροικίας, καὶ οὐδὲ ὑπὸ τῆς παροιμίας τῆς ἰδιωτικῆς ἐπαιδεύθην φαλακρὸς ὢν περὶ κουρᾶς μὴ νυστάζειν αὐτοπρόσωπος, μηδὲ σοφίαν κατ᾽ ἐμαυτοῦ, γλῶσσαν πρὸς τὸ κακῶς λέγειν ἑτοιμοτέραν. τοῦτο μὲν οὖν οὐ πάνυ τι δυσχεραίνω. μετὰ δὲ πολλῶν προστίθημι ὥς γε πυνθάνομαι. εἰ δὲ ζώοις καὶ πρὸ πολλῶν. ἐκεῖνο δὲ μᾶλλον οἷα μὴ ἐπιστεύθην φιλικῶς γὰρ ποιεῖν, πλὴν ὑγιαίνοις καὶ σῶμα καὶ ψυχὴν, καὶ τὴν γλῶσσαν κατέχοις εἰ δυνατόν. ἀλλὰ νῦν γε ἡμέτερον εἴρξομεν.

ΕΥ̓ΔΟΞΙΩι ῬΗΤΟΡΙ.

Νόμος ἦν Ἀθήνησι παλαιὸς, ὡς δὲ ἐγὼ φημὶ, καὶ κάλλιστα ἔχων. ἐπειδὰν φθάσαιεν εἰς ἥβην οἱ νέοι, πρὸς τέχνας ἄγεσθαι, ἄγεσθαι δὲ τὸν τρόπον τοῦτον. προτίθεσθαι δημοσίᾳ ἑκάστης τέχνης ὄργανα, καὶ προσάγεσθαι τούτοις τοὺς νέους. ὅτῳ δὲ τύχῃ χαίρων ἕκαστος, καὶ προστρέχων, τούτου καὶ τὴν τέχνην διδάσκεσθαι. ὡς τοῦ μὲν περὶ φύσιν ἐπιτυγχάνοντος, ὡς τὰ πολλὰ, τοῦ δὲ παρὰ φύσιν διαμαρτάνοντος. τί βούλεταί μοι τὸ διήγημα; καὶ σέ φημι χρῆναι, πρὸς φιλοσοφίαν δὲ ἔχεις ἐπιτηδείως, ταύτης μὴ ἀμελεῖν· μηδὲ πρὸς ἄλλο τι μᾶλλον ἐθίζεσθαι τῶν οὐκ οἰκείων, ἢ ταύτης περιέχεσθαι πρὸς ἣν γέγονας. οὐχ ὅτι ἀρίστη μόνον ἐστὶν, ἀλλ᾽ ὅτι καὶ προσφυεστέρα. τὸ δὲ μὴ βιάζεσθαι ῥοῦν ποταμοῦ, καὶ ἡ παροιμία παιδεύει. καὶ ἱπποσύνην διδάσκουσα μὴ ᾄδειν ἐθέλει ἢ πείσεις. μὴ τί γένηται; μὴ καὶ τῆς ἱπποσύνης διαμάρτῃς, καὶ τῆς ᾠδῆς. ἀλλὰ τίς ἐπιτηδειότης; ὡς γοῦν ἐμοὶ καταφανὴς θεωρήσαντι, πρῶτον μὲν ὁ τρόπος ἐστὶ καὶ τὸ τοῦ ἤθους γαληνόν τε καὶ ἄτεχνον, καὶ πρὸς τὰς τοῦ βίου στροφὰς ταύτας, ἀνεπιτήδειον. ἔπειτα τὸ τῆς ψυχῆς εὐφυὲς καὶ ὑψηλὸν, καὶ πρὸς θεωρίαν εὐκίνητον. τρίτον ἡ νοσοκομία, καὶ τὸ τοῦ σώματος ἀσθενές. ἐπειδὴ καὶ τοῦτο οὐ μικρὸν εἰς φιλοσοφίαν εἶναι δοκεῖ τῷ Πλάτωνι. καὶ μὴν καὶ ἡλικίας οὕτως ἔχεις, ὡς ἤδη τὰ πάθη κλίνεσθαι. καὶ τῇ ὑγιείᾳ οὐ κατηγορεῖσθαί μοι δοκεῖς μᾶλλον ἢ καλλωπίζεσθαι, τό, τε αἰσχύνεσθαι εὐλογίας

οὐ κατὰ ῥήτορας, ἀλλ' οὐδὲ φωνὴ μιαρά σοι, οὐδὲ γείτονας κακῶς, οὐδὲ ἀγοραῖος εἶ. οὐδὲ τὶ τὸ τρίτον ἔχεις, ἵν' εἴπω συντόμως, οἷς πλάττει τὸν ἀγοραῖον Δημοσθένης εἰς διαβολὴν Αἰσχίνου τοῦ σοφιστοῦ. ἀλλὰ ῥήτωρ καλούμενος πάντα πρότερον ἢ ἤδη τὸ ἦθος τελέως εἰς ῥήτορας. μὴ τοίνυν θελήσῃς περιιδεῖν τῆς φιλοσοφίας ἧς περιείληφας. μηδὲ τὰ δεύτερα ἔχῃς ἐν τοῖς δευτέροις μᾶλλον, ἢ τὰ πρῶτα ἐν τοῖς μεγίστοις, εἰ δὲ καὶ τὰ πρῶτα τῶν ἐνταῦθα διώκομεν, μὴ ἀνάγκη ἀριστεύειν ἐν κολοιοῖς, ἀετὸς εἶναι δυνάμενος. μέχρι τίνος φυσώμεθα τοῖς μικροῖς καὶ χεῖμαι βρεχομένοις, καὶ παίζομεν ἐν μειρακίσκοις, καὶ πλάσμασι, καὶ ὑπὸ τῶν λεπτῶν αἰρόμεθα. μεταθώμεθα ἐν τῷ βάθει. ἄνδρες γενώμεθα. ῥίψωμεν τὰ ὀνείρατα, παραδράμωμεν τὰς σκιάς. ἄλλοις παρῶμεν τὰ τερπνὰ τοῦ βίου, καὶ πλέον ὀδυνηρά. ἄλλους πραγματευέσθω καὶ μεταρριπτείτω καὶ παιζέτω, φθόνος, καὶ χρόνος καὶ τύχη. ὃ δή φασι τῶν ἀνθρωπίνων τὸ ἄστατον καὶ ἀνώμαλον, ἐῤῥέτωσαν, θρόνοι, δυναστεῖαι, πλοῦτοι, λαμπρότητες, ἐπάρματα, πτώματα, τὸ εὐτελὲς τοῦτο δοξάριον, καὶ ἀπόπτυστον, ὃ μᾶλλον ἀδοξήσειέ τις αἰρόμενος, ἢ γελώμενος τὰ τῆς μεγάλης ταύτης σκηνῆς, παίγνιά τε καὶ θεατρίσματα. ἡμεῖς τοῦ λόγου περιδραξώμεθα, καὶ θεὸν ἀντὶ πάντων ἔχειν ἑλώμεθα τὸ μόνον διαρκὲς ἀγαθὸν, καὶ ἡμέτερον. ἵν' ἡμῖν καὶ τὸ ἐνταῦθα εὐδαιμονεῖν γένηται, τοῖς ἔτι μικροῖς, καὶ τοῦτο ζητοῦσιν, ἢ τὸ ἐκεῖθεν πάντως. ἐπειδὰν τῆς ἀρετῆς ἄθλον θεὸν γενέσθαι, καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, οὗ ἐν τῇ τριάδι μονάδι θεωρουμένου, ἧς νῦν μετρίως ἔχομεν τὰς αὐγάς. πρὸς ταῦτα ἴθι, πρόβαινε, πτέρου τῇ διανοίᾳ. λαβοῦ τῆς αἰωνίου ζωῆς μηδαμοῦ τῆς ἐλπίδος, ἕως ἔλθῃς ἐπὶ τὸ ἄκρον ἐφετὸν καὶ μακάριον· καὶ ἡμᾶς ἐπαινέσεις, εὖ οἶδα, νῦν μὲν ὀλίγα, μικρὸν δὲ ὕστερον ἀφθονώτερα. ἐπειδὰν ἴδῃς σεαυτὸν ἐν οἷς ὑποσχόμεθα, καὶ μὴ κρίνῃς μακαρίαν ταύτην εὐφημίας, μηδὲ διανοίας ἀναπλασμοὺς, ἀλλὰ πραγμάτων ἀλήθειαν.

ΤΩι ΑΥΤΩι.

Εὖ γε ὅτι φιλοσοφεῖς ἐν τοῖς πάθεσι, καὶ γίνῃ πολλοῖς ὑπόδειγμα τῆς ἐν τοῖς ἀλγεινοῖς καρτερίας. καὶ ὥσπερ ἐπὶ παντὶ βελτίστῳ κατεχρῶ τῷ σώματι ἡνίκα ὑγιαινῶς εἶχες, οὕτω καὶ νῦν τοῦτο χρῇ καλῶς. ἐπειδή γε ἀλγεινῶς ἔχεις, καὶ οὐκ ἀργεῖς οὐκ ἀργῶς, ἵν' οὕτως εἴπω. φιλοσοφεῖς δὲ, καὶ ὅ φασι διηγήσω εἰρηκέναι ποτὲ πυρέττοντα, καὶ διακαρτεροῦντα, τοῦτο καὶ αὐτὸς παρέχεις ὁρᾶν, ψυχῆς πάλην καὶ σώματος. τοῦτο ἔπρεπε τῷ ἐμῷ φιλαγρίῳ, μὴ μαλακίζεσθαι, μηδὲ κάμπτεσθαι πρὸς τὰ πάθη, ἀλλὰ περιφρονεῖν τὸν πηλόν. καὶ τὸ μὲν σῶμα ἐᾶν πάσχειν τὰ ἑαυτοῦ, πάντως ἢ νῦν ἢ ὕστερον λυθησόμενον νόμῳ φύσεως. οἰχήσεται γὰρ ἢ νόσῳ κάμνον, ἢ χρόνῳ. αὐτὸν δὲ, ὑψοῦ τὴν ψυχὴν ἔχειν, καὶ μετὰ θεοῦ τετάχθαι τοῖς λογισμοῖς, κἀκεῖνο εἰδέναι ὅτι τῶν ἀτόπων ἐστὶν, ἡμᾶς ἔξω μὲν κινδύνων φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλοσόφους φαίνεσθαι, καὶ διαψεύδεσθαι τὴν ὑπόσχεσιν. πάντα ἐπῆλθον δηλαδὴ τῇ διανοίᾳ, ὅσα ἡμέτερα, ὅσα ἀλλότρια, ὅσα ἀνὴρ πεπαιδευμένος ἐν ἀμφοτέροις καὶ παιδευτὴς ἄλλων. καὶ ἐκ πάντων σεαυτῷ συνελέξω τὸ τῆς ἀνθρωπίας φάρμακον. ἵνα δέ σοι κἀγὼ συμφιλοσοφήσω μικρὸν, εἰ τοῦτο κελεύεις, οὐκ ἐπαινῶ τὸν Ἀριστοτέλους τὸ μικρολόγον, ὃς τὴν εὐδαιμονίαν ἡμῖν ὁριζόμενος, μέχρι μέν τινος περιῆλθεν ὀρθῶς, ψυχῆς ἐνέργειαν κατ' ἀρετὴν εἶναι ταύτην ἀφορισάμενος· καὶ προσθεὶς ἐν βίῳ τελείῳ, καὶ τοῦτο μάλα σαφῶς, διὰ τὸ τρεπτὸν ἡμῶν καὶ εὐμετάπτωτον τῆς φύσεως. ἐκεῖνο δὲ οὐκ ἔτι μεγαλοπρεπῶς, ἀλλὰ καὶ λίαν ταπεινῶς, ὅτι καὶ τὴν ἔξωθεν εὐτυχίαν προσέθηκεν. ὡς εἰ τύχοι πένης τις ὢν, ἢ νοσώδης, ἢ δυσγενὴς, ἢ φυγόπατρις, παρὰ τοῦτο αὐτῷ τῆς εὐδαιμονίας κωλυομένης. ἐπαινῶ δὲ τὸ ἐκ τῆς στοᾶς, τὸ νεανικόν τε καὶ μεγαλόνουν. εἰ μηδὲν κωλύειν φασὶ πρὸς εὐδαιμονίαν τὰ ἔξωθεν. ἀλλ' εἶναι τὸν σπουδαῖον μακάριον, κἂν ὁ φαλάριδος ταῦρος ἔχῃ καιόμενον. καὶ διὰ τοῦτο θαυμάζω μὲν τοὺς παρ' ἡμῖν ὑπὲρ τοῦ καλοῦ κινδυνεύσαντας, ἢ συμφορὰν ἐνηνοχότας νεανικῶς. θαυμάζω δὲ καὶ τῶν ἔξωθεν τοὺς τούτοις παραπλησίους. οἷον τὸν ἀνάξαρχον ἐκεῖνον, τὸν ἐπίκτητον, τὸν σωκράτην, ἵνα μὴ λέγω πολλοὺς· ὧν ὁ μὲν ἐν ὅλμῳ κοπτομένου αὐτοῦ τῶν χειρῶν, οὕτω τοῦ τυράννου κελεύοντος, πτίσσειν τὸν ἀναξάρχου θύλακον διετέλει τοῖς βασανισταῖς τοῦτο λέγων, τὸ μοχθηρὸν ἡμῶν σαρκίον, ὡς ἀνάξαρχόν γε οὐ πτισσομένου τῆς φιλοσόφου ψυχῆς· ἅπερ ἡμῖν ὁ ἐκτὸς, καὶ ὁ ἐντὸς ἄνθρωπος ὀνομάζεται. ὁ δὲ τὸ σκέλος κατατεινόμενος, καὶ στρεβλούμενος, ἐφιλοσόφει ὥσπερ ἐν ἀλλοτρίῳ τῷ σώματι· καὶ θᾶττον κατεαγῆναι τὸ σκέλος, ἢ ἐπαισθάνεσθαι τῆς βίας ἔδοξε. σωκράτης δὲ τὸν θάνατον ὑπὸ ἀθηναίων κατακριθεὶς, καὶ εἰπὼν ὡς ᾄδεται τὸ δεσμωτήριον, τέως μὲν, ὡς ὑπὲρ ἄλλου δεσμωτηρίου τοῦ σώματος τοῖς μαθηταῖς διελέγετο καὶ φυγεῖν οὐκ, ἀπηξίωσεν. ἐπειδὴ δὲ προσηνέχθη τὸ κώνειον, δέχεται μάλα ἡδέως, ὥσπερ οὐκ ἐπὶ θανάτῳ δεχόμενος, ἀλλὰ φιλοτησίας προπινόμενος. προσέθηκα δ' ἂν τούτοις καὶ ἰὼβ τὸν ἡμέτερον, εἰ μή σε ᾔδειν, οὐ πόῤῥω τῶν ἐκείνου παθῶν, καὶ ὄντα σὺν θεῷ, καὶ ἐσόμενον. ταῦτά μοι δοκεῖς κατεπᾴδων σεαυτοῦ, ὦ θεία καὶ ἱερὰ κεφαλὴ, καὶ οὕτως

καὶ οὕτως ἑαυτὸν ἰατρεύων, αὐτός τε ἂν ῥᾴων γένοιτο, καὶ ἡμᾶς εὐφραίνοι τοὺς σοὺς ἐπαινέτας καὶ ἐραστάς, οὐδὲ ὑπὸ τῆς νόσου καμπτόμενος· οὐδέ, ὅ φησιν ὁ θεῖος Δαβίδ, ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρτωλῶν, καὶ τῆς κατὰ τὸν βίον τοῦτον εὐροίας αὐτῶν ἐγκοπτόμενος· ἀλλὰ καὶ καθαιρόμενος, εἰ θέμις ὑπὲρ σοῦ τοῦτο εἰπεῖν, καὶ ὕλην ἀρετῆς ποιούμενος τὴν ἀσθένειαν.

ΤΩι ΑΥΤΩι.

Τοῦ δὲ μὴ δύνασθαι ἡμᾶς συγγίνεσθαι ἀλλήλοις, ταὐτὸν αἴτιον ἀμφοτέροις. σοί τε γὰρ χρῆται τὸ σῶμα, ὡς χρῆται, ἵνα μηδὲν λέγω πλέον· ἐμέ τε ἔτι λίαν ἔχοντα πονηρῶς. οὐ γὰρ ἂν ὤκνησα πρὸ πάντων ἐπανάκων ἐκ τῆς ἀποδημίας, εὖ τοῦτο ἐπίστω, καὶ προσδραμεῖν σοι, καὶ περιπτύξασθαι, καὶ συμβούλῳ χρήσασθαι περὶ τῶν προκειμένων ἀνδρὶ καὶ φίλῳ καὶ συνετῷ καὶ ὑψηλῷ τὴν εὐσέβειαν. ὃ δὲ λειπόμενόν ἐστι, τὸ διὰ γραμμάτων ὁμιλεῖν ἡμᾶς ἀλλήλοις, τοῦτο ἐποίησας μὲν αὐτὸς εὖ ποιῶν. ποιοῦμεν δὲ καὶ ἡμεῖς. οὐ μακρὰ ἡμῖν δεῖν οὐδὲ μακροῦ λόγου περὶ ὧν ἐπέστελλες, ὅθεν οὐδὲ αὐτοὶ παρέργως, οὐδὲ ῥαθύμως ταῦτα διασκεψάμενοι, ἀλλὰ καὶ λίαν ἐπιμελῶς ἐπὶ τὴν κρίσιν ταύτην ἐληλύθαμεν. κεκμήκαμεν ἀγωνιζόμενοι πρὸς τὸν φθόνον, καὶ τοὺς ἱεροὺς ἐπισκόπους, τὴν κοινὴν ὁμόνοιαν διαλύοντας, καὶ τὴν ἰδίαν φιλονεικίαν τῆς πίστεως πάρεργον ποιουμένους. διὰ τοῦτο ἔγνωμεν πρύμναν διακρούσασθαι τὸ τοῦ λόγου, καὶ εἰς ἡμᾶς αὐτοὺς συσταλῆναι, ὥσπερ τὸν ναυτίλον φασὶν ἰχθύν, ὅταν χειμῶνος αἰσθάνηται. καὶ τοὺς μὲν ἄλλους ὁρᾶν πόρρωθεν βαλλομένους καὶ βάλλοντας, αὐτοὶ δὲ πρὸς τὰ ἐκεῖσε μετασκευάζεσθαι. εἰ δὲ τὴν ἐκκλησίαν καταλιπεῖν ἐπικίνδυνον, ὡς γράφεις. ποίαν; εἰ μὲν τὴν ἡμετέραν, κἀγώ φημι, καὶ ὀρθῶς λέγεται· εἰ δὲ τὴν μηδὲν προσήκουσαν, μηδὲ ἐπικηρυχθεῖσαν ἡμῖν, ἀκίνδυνον. ἀλλ᾽ ὅτι ἐπεμελήθημεν χρόνον τινά, τοῦτο κρατούμεθα. πολλοὶ καὶ ἄλλοι κρατηθεῖεν ἄν, ὅσοι ξένων ἐπεμελήθησαν. καὶ τάχα τὸ μὲν καμεῖν ἔμμισθον, τὸ δὲ ἀπειπεῖν οὐχ ὑπεύθυνον. μηδὲν οὖν δείσῃς περὶ ἡμῶν τούτου γε ἕνεκεν· ἀλλ᾽ ἐκεῖνο μᾶλλον, μή τι βλαπτώμεθα.

ΤΩι ΑΥΤΩι.

Μέμνημαι τῆς συνουσίας, ἣν ἀλλήλοις συνεγενόμεθα πρώην ἐν Ματζάλῃ τῇ ἐμῇ. ἐμὰ γὰρ καλῶ καὶ ὑπολαμβάνω τὰ σά, καὶ τῆς φιλοσοφίας, ἣν τηνικαῦτα ἐφιλοσόφησας, ἧς φείδου καὶ νῦν μεμνημένος. ἐγὼ μὲν ἐξηγούμην σοι τὸν οβʹ ψαλμόν. σὺ γὰρ ἐκέλευες, καὶ ἀντιλέγειν οὐκ ἦν. ἐν ᾧ Δαβὶδ ἰλιγγιᾷ, καὶ ἀσχάλλει πρὸς τοὺς κακῶς εὐθηνοῦντας. εἶτα τέμνων τοὺς λογισμοὺς πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια, καὶ τὴν ἀποκειμένην τοῖς βίοις ἀντίδοσιν, οὕτω τῆς ταραχῆς ἵσταται, καὶ τὸ λυποῦν θεραπεύεται. καὶ ὡς οἷόν τε ἦν εἷλκον τὴν ἐξήγησιν πρὸς τὸ πάθος. ἐκ τῶν ἡμετέρων, ἐκ τῶν ἔξωθεν ταῦτα φιλοσοφῶν, ὡς ἀνδρὶ πεπαιδευμένῳ καὶ τοσούτῳ διαλεγόμενος, καὶ ἅμα τοῦ πνεύματος οὕτω φέροντος, καὶ τοῦ ἀλγεῖν παραθήγοντος. οὐδὲν γὰρ τοῦ πάσχειν εὑρετικώτερον. ἔτρεχέ πως ὁ λόγος. σὺ δὲ μεταξὺ τοῦ λόγου διαναστάς, ὥσπερ ἐξ ὑπόλυγος, καὶ τὰς χεῖρας ἐπὶ τὸν οὐρανὸν ἀνατείνας, πρός γε ἀνατολὰς οἷον βλέπων. καὶ γὰρ τὸ βλέπειν εἶχεν. εὐχαριστῶ σοι πάτερ, ἐβόας, ὦ ποιητὰ τῶν σῶν ἀνθρώπων, καὶ ποιητά, ὅτι ἄκοντας ἡμᾶς εὖ ποιεῖς, καὶ τὸν ἐκτὸς καθαίρεις τὸν ἐντὸς ἄνθρωπον. καὶ διὰ τῶν ἐναντίων διεξάγεις ἡμᾶς, πρὸς τὸ μακάριον τέλος. οἷς αὐτὸς ἐπίστασαι λόγοις. καὶ τί ἂν λέγοιμι πάντα, οἷς πρὸς φιλοσόφους ἡμᾶς καὶ συμφιλοσόφους, ὥσπερ τῇ νόσῳ χαίρων. καὶ εἶχεν μαθητὴν τὸν διδάσκαλον. ἀλλὰ πρὸς τί τούτων ἐμνήσθην; ἐκεῖνο πᾶσι διὰ σοῦ βοῶν καὶ κηρύσσων, ὅτι θρηνητέοι μᾶλλον ἡμῖν οἱ κακοὶ τῆς ἔνδον νόσου, ἤπερ ἐκείνοις ἡμεῖς, τῆς ἐκτὸς ἂν οὕτως ἔχωμεν. καὶ ὅτι κρείττων εὐημερίας ἀχαλινώτου, νόσος φιλόσοφος.

ΤΩι ΑΥΤΩι.

Λαμβάνονταί σου τινές, αἰσθάνομαι γάρ, ὡς φιλοκαλοῦντος τὸ μόνον σου κτῆμα, καὶ φιλεργοῦντος ἐν τοιαύτῃ τῇ καταστάσει τοῦ σώματος. καὶ θαυμαστὸν οὐδέν. ἐπειδὴ καὶ ῥᾷον ἐν τοῖς ἀλλοτρίοις ἢ τοῖς οἰκείοις φιλοσοφεῖν. ἐγὼ δὲ εἰ μὲν ἑώρων σε παρὰ τὸ μέτριον τοῦτο ποιοῦντα, ἢ πλεονεκτικῶς ἢ βιαίως, τῇ φιλοπονίᾳ προσκείμενον, κἂν ἐμεμψάμην, εἰρήσεται γὰρ τἀληθές, μηδὲν τὴν φιλίαν ἢ τὴν παίδευσιν αἰδεσθείς. εἰ δὲ φιλεργεῖς μέν, οὐκ ἔξω δὲ τοῦ μέτρου, χρῇ δὲ εἰς δέον οἷς φιλεργεῖς, πρόσεστι δὲ καὶ τὸ πάθος, ἐνασχολοῦν σε ταῖς φροντίσι, καὶ πεῖθον ὡς ὑπὲρ τὸ σῶμά σοι τὰ τοῦ σώματος, οὐκ ἔχω πῶς μὴ τοῖς μεμφομένοις μέμψωμαι, σὲ τῆς αἰτίας ἐλευθερῶν. καὶ πρός γε τούτῳ ἐμαυτὸν πείθω. ὅτι μήτε λογίσασθαι περὶ πραγμάτων σοῦ τις ἀμείνων. ὅν γε καὶ πρὸς τὰ ἑαυτῶν ἅπαντες χρῶνται διδασκάλῳ καὶ παραινέτῃ, ὁμοίως ἰδίᾳ καὶ δημοσίᾳ, μήτε ψυχῆς φροντίσαι φιλοσοφώτερος. εἰ δὲ καὶ τῷ σώματι τὴν ὑγείαν φυλάσσειν ἢ ἐπανάγειν, μόνης ἰατρικῆς, τίς οὕτω τολμηρὸς καὶ ἀπαίδευτος, ὥστε σε περὶ τούτων νομοθετεῖν; τοὺς μὲν οὖν

πολλοὺς ἔα χαίρειν καὶ εἶναι κολοιοὺς ὑπὸ τῆσιν ἀετῶν δοκιμάζοντας, αὐτὸς δὲ σεαυτοῦ γενοῦ σύμβουλος, καὶ τοῦ θεοῦ, περί τε τοῦ πάθους, καὶ ὅσα περὶ τὸ πάθος, καὶ οὐχ ἁμαρτήσεις τοῦ δέοντος.

ΤΩι ΑΥΤΩι.

Πρότερον μὲν αὐτὸς ἔγραφόν σοι τοὺς παρακλητικοὺς εἰς τὸ πάθος. περιπεπτώκας γάρ. νῦν δέ μοι δοκεῖς αὐτὸς ἂν ἡμᾶς παρακαλέσαι, μικροῦ τὰ ἴσα κακοπαθοῦντας. ἔδει γὰρ ἡμᾶς φίλους ὄντας, μηδὲ ταῦτα χωρίζεσθαι. μᾶλλον δὲ ἤδη παρακέκληκας, εἰς καρτερίαν τὸ καρτερεῖν εἰσηγούμενος.

ΤΩι ΑΥΤΩι.

Ἀλγῶ τῇ νόσῳ. καὶ χαίρω, οὐχ ὅτι ἀλγῶ, ἀλλ' ὅτι τοῦ καρτερεῖν τοῖς ἄλλοις εἰμὶ διδάσκαλος. ἐπειδὴ γὰρ τὸ μὴ πάσχειν οὐκ ἔχω, τοῦτό γε τοῦ πάσχειν προσκερδαίνω, τὸ φέρειν καὶ τὸ εὐχαριστεῖν, ὥσπερ ἐν τοῖς εὐθύμοις, οὕτω δὲ καὶ τοῖς ἀλγεινοῖς. ἐπειδὴ πείθομαι μηδὲν ἄλογον εἶναι, παρὰ τοῦ λόγου τῶν ἡμετέρων, κἂν ἡμῖν οὕτω φαίνηται.

ΤΩι ΑΥΤΩι.

Ἃ μὲν δ' ἐστί σοι λυπηρά, πάντως καὶ ἡμῖν. κοινὰ γὰρ ποιούμεθα πάντα τὰ τῶν φίλων, ἅ τε καὶ ὡς ἑτέρως ἔχοντα. ὥσπερ δὴ καὶ φιλίας ὅρος ἐστί. καί τοι περὶ τούτων ὅ τι δεῖ φιλοσοφῆσαι, καὶ τὰ εἰκότα διαλεχθῆναί σοι. ὥσπερ οὖν δεῖ καὶ ὁ τῆς φιλίας ὑποτίθεται νόμος, οὐ βούλομαί σε, οὐδέ γε καλῶς ἔχειν ὑπολαμβάνω, Φιλάγριον ὄντα, καὶ τὰ θεῖα διαφερόντως πεπαιδευμένον, ταὐτὸν πάσχειν τοῖς πολλοῖς· οὐδὲ συγκαταπίπτειν τῷ σώματι, οὐδὲ ὡς ἀνήκεστον τὴν κακοπάθειαν ὀδύρεσθαι, ἀλλ' ἐμφιλοσοφεῖν τῷ πάθει, καὶ τὴν διάνοιαν νῦν δὴ καὶ μάλιστα ἐκκαθαίρεσθαι, καὶ κρείττω φαίνεσθαι τῶν δεσμῶν, καὶ ἡγεῖσθαι τὴν νόσον παιδαγωγίαν πρὸς τὸ συμφέρον. ὅταν δὲ ἴδῃς περιφρονοῦντα τὸ σῶμα καὶ τὰ σωματικά, καὶ πᾶν ὅτι ῥέον καὶ ταραχῶδες καὶ ἀπολλύμενον, ὅλον τῆς ἄνω γενέσθαι μοίρας. καὶ ζῆν ἀντὶ τοῦ παρόντος τῷ μέλλοντι, θανάτου μελέτην ὅπερ φησὶ Πλάτων τὸν τῇδε βίον ποιούμενον, καὶ λύοντα τὴν ψυχήν, τοῦ εἴτε σώματος, εἴτε σήματος κατ' ἐκεῖνον εἰπεῖν, ὅση δύναμις. ἂν ταῦτα φιλοσοφῇς, ὦ ἄριστε, καὶ οὕτως ἔχῃς, αὐτός τε ὀνήσῃ τὰ μέγιστα, καὶ ἡμᾶς ῥᾴους ποιήσεις, καὶ πολλοὺς διδάξεις ἐμφιλοσοφεῖν τοῖς πάθεσι. καὶ πρός γε οὐ μικρὸν κερδανεῖς, ὅτι σοι καὶ τούτου μέλλει, τὸ παρὰ πάντων θαυμάζεσθαι. τῶν δὲ συνεκτίων ὧν ᾔτησας, τὸ μὲν εὗρον, καὶ ἔπεμψά σοι προθύμως, τὸ Δημοσθενικὸν λέγω· τὸ δὲ ἐζημιώθην, οὐκ ἔχων οὐδὲ χρήζων, τὴν Ἰλιάδα. μὴ γάρ μοι διαπιστήσῃς, ὅτι μόνον τοῦτο τῶν [illegible] νομίζω, καὶ μόνα κεκτῆσθαι καλῶς, ὧν ἂν αὐτὸς μετάσχοις, καὶ οἷς ἂν ὡς σεαυτοῦ χρήσαιο.

ΤΩι ΑΦΡΙΚΑΝΩι.

Τίσιν ἵπποι μάλιστα χαίρουσιν; δῆλον, ὡς ἵπποις. ἀετοὶ δὲ τίσιν; οὐκ ἄλλοις ἢ ἀετοῖς. κολοιὸν δὲ ποτὶ κολοιὸν ἱζάνειν, καὶ τῆς παροιμίας ἀκούεις. οὕτω δὴ καὶ ἀστεῖον ἀστείοις οἶον χαίρειν, καὶ τὸν καλοκαγαθίας μεταποιούμενον, τοῦ ταύτης ἐραστῇ καὶ προστάτῃ. τοιοῦτος γὰρ ὁ ἄρχων εἶναί μοι φαίνεται. βοηθὸς ἀρετῆς καὶ ἀνταγωνιστὴς κακίας, κἂν τὴν ἀναίμακτον ἀρχὴν ἄρχῃ, καθάπερ ὑμεῖς, κἂν τὴν μετὰ ξίφους καὶ τελαμῶνος. αἷμα γὰρ οὐδὲ σοὶ περιθήσομεν, ἀρετῇ κρατοῦντα γινώσκοντες, οὐ βίᾳ καθείργοντα, καὶ φόβῳ μᾶλλον ἢ ἔργῳ κολάζοντα τοὺς κακούς. ὅπερ τῆς ἀρίστης ὅρος ἀρχῆς. διὰ δὴ ταῦτα, σφόδρα μὲν τῆς συντυχίας ἐσπουδάζετό μοι. καὶ νῦν ἔτι σπουδάζεται. οὐκ ἔχων δὲ ὅπως τούτου τύχοιμι διὰ τὴν ἀρρωστίαν, ἀναγκαίως ἦλθον ἐπὶ τὰ γράμματα. καὶ τὸ κάλλιστον, ὅτι προσφθέγγομαί σε δι' ἀνδρὸς οἰκείου καὶ φίλου καὶ συγγενοῦς, τοῦ θαυμασιωτάτου πάντα ἐμοὶ Νικοβούλου. ὃς καὶ ἀπολογήσεταί σοι περὶ ἡμῶν. ἀξιόπιστος δὲ ὁ ἀνήρ, εἴπερ ἄλλος τις, ὅσα δεῖ ἐμὲ γινώσκειν, καὶ δι' ἡμῶν ἑαυτὸν γνωρίσει τῇ σῇ τελειότητι.

ΤΩι ΑΣΤΕΡΙΩι.

Τί θεοῦ δικαιότερον; ἀλλ' ὅμως πάντων ποιητὴς ὢν καὶ δεσπότης, ἐξαίρετον ἑαυτοῦ λαὸν ποιεῖται καὶ ὀνομάζει τὸν Ἰσραήλ, καὶ οὐκ αἰσχύνεται, μὴ ἄδικος παρὰ τοῦτο νομίζηται. τί οὖν θαυμαστόν, εἰ καὶ ἡμεῖς πάντων κηδόμενοι τῶν ὑπὸ τὴν ἡμετέραν χεῖρα καὶ προστασίαν, πλέον τοῦ υἱοῦ Νικοβούλου περιεχόμεθα, ὃν καὶ γηροκόμον καὶ νοσοκόμον γινώσκομεν. καὶ οἷον ἔρεισμα καὶ βακτηρίαν τῆς ἀσθενείας ἡμῶν ὑποβεβλήμεθα. τοῦτον ὑπὸ τὰς σὰς τίθεμεν χεῖρας, καὶ διὰ τῶν σῶν ταῖς τοῦ ἄρχοντος, πάνυ δεινὸν νομίζοντες, τοὺς μὲν ἄλλους καὶ τῶν μεγίστων ἐλευθεροῦν δι' ἡμῶν, καὶ πράττεις γε τοὺς νῦν πικροὺς κατηγόρους. τοῦτον δὲ μηδὲ τῆς ἐπηρείας δύνασθαι. καὶ ἧς τυγχάνομεν ἐπὶ τῶν ξένων τιμῆς, ταύτης ἐφ' ἡμῶν αὐτῶν μὴ τυγχάνειν. ἀλλὰ ταὐτὸν πάσχειν τοῖς ὀφθαλμοῖς, οἳ τ' ἄλλα ὁρῶντες, ἑαυτοὺς οὐχ ὁρῶσιν· ἢ τῶν πηγῶν ταῖς ἐν βάθει κειμέναις, αἳ τὰ πλησίον οὐχ ὑποῤῥέουσαι, τὰ πόῤῥω ποτίζουσιν.

ποτίζουσιν. ἔστι δεινὰ τὰ τολμώμενα τοῖς παιδαρίοις ἃ ὑποδέδεια. ὥσπερ οὐδὲν ἴσως, ἢ μικρὸν εὑρεθήσεται. εἰ μὴ τοῦ καιροῦ τῆς ἐξετάσεως ἐγχαρισθείημεν. ἀλλὰ τί τοῦτο πρὸς τοὺς δεσπότας, οἳ μηδενὸς τῶν γεγενημένων κεκοινωνήκασιν; ἢ τίς ὁ λόγος, ὑπὲρ ἀλλοτρίων ἁμαρτημάτων, ἐν ἄλλοις ἀπαιτεῖσθαι δίκην, καὶ νῦν δημοσίων φροντίζειν, ἵνα λυπῇ τοὺς ἰδίους.

ΤΩ͂ι ΑΥ̓ΤΩ͂ι.

Τί τοῦτο ἴσως ὁρᾷς; πάλιν ἡμῖν ὁ Γρηγόριος; πάλιν ἐπιστολαί; πάλιν αἰτήσεις; ὢ τῆς ἀπληστίας, ἣν αὐτοὶ κεκινήκαμεν. μηδαμῶς ἂν θαυμάσῃς, μὴ τοῦτο πάθῃς. τίνων γὰρ οἱ λιμώδεις, ἢ τῶν χειμαζομένων; τίνων δὲ τὰ φάρμακα, ἢ τῶν ἀρρωστούντων; ὧν περ ἡμεῖς μὴ ἀποστερηθείημεν. καὶ τοσούτῳ μᾶλλον, ὅσῳ πιστεύομεν, δύνασθαι παρὰ σοί. οὐκ ἔτι γὰρ αἰτοῦμεν, ἀλλ' ἀπαιτοῦμεν, ἀεὶ χάριτος χάριν προκαλουμένην. Νικόβουλος ἐν ὑπαρχίαις, τοῦτο γὰρ εἰπεῖν ὅτι ἡμεῖς. ἡμῶν γὰρ οὐδὲν ἀνάπαυσις. καὶ πῶς οἷόν τε σιωπᾶν, ἢ μὴ φορτικὸν εἶναι καὶ τὸν σφόδρα φιλόσοφον; δὸς χεῖρα πιεζομένοις, ἵνα καὶ αὐτὸς τῆς ἐκ θεοῦ τύχῃς, χρήζων ταύτης ὡς ἄνθρωπος. ἢ χρῆσαι πάσῃ τῇ φιλίᾳ καὶ τῇ συνέσει, ἢ τὸ δύνασθαι σὺν θεῷ, περὶ τὰ ἡμέτερα πράγματα. οὔτε γὰρ σίδηρος ἔμπυρος πολλῶν δεῖται τῶν παρὰ τοῦ λίθου, ἵνα τὸ ἐγκείμενον πῦρ δημοσιευθῇ. ἀλλ' ἐπλήγη τε ὁμοῦ, καὶ τὸ πῦρ ἤστραψεν. οὔτε αὐτὸς μακροτέρας δέῃ παρακλήσεως. καὶ τοῦτο ὑπὲρ ἡμῶν, καὶ πείστου τοῦ πείθοντος ὄντος, καὶ οὕτω γνησίου κοινωνοῦ τῆς ἀρχῆς. ἓν καὶ σύντομον φθέγξομαι. τὰς μὲν ἄλλας χάριτας, ἄλλοι δὲ ἡμῶν ἐλάμβανον. ταύτης δὲ ἡμεῖς χρήζομεν ὑπὲρ ἡμῶν αὐτῶν, ὃ καὶ μᾶλλον δυσωπησάτω τὴν σὴν λογιότητα.

ΠΟΣΤΟΥΜΙΑΝΩ͂ι, ΠΕΡῚ ΕἸΡΉΝΗΣ.

Ὑψηλὸς εἶ τὴν παίδευσιν· καὶ ταύτην ὁποτέραν βούλει, καὶ εἰς ὅτι βούλει τῶν λόγων εἶδος. τὴν μὲν γὰρ ἑλληνικὴν οἷον ἀκούομεν. οὐ γὰρ ῥωμαϊκός τις ἐγὼ τὴν γλῶτταν, οὐδὲ τὰ ἰταλῶν δεινός. τῆς δὲ πεπειράμεθα, ὥστε καὶ ἄλλοις γνωρίζειν ἔχειν, εἴ τι καὶ ἡμῖν μέτεστι τὰ τοιαῦτα κρίνειν. μετεῖναι δέ, οὐκ ὀλίγοι φασίν· ἦρξας ἀρχὰς οὐκ ὀλίγας. μᾶλλον δὲ ἦρξας οὐκ ὀλίγας, εἰ δεῖ τὸν ἀληθέστερον εἰπεῖν λόγον. ἦλθες ἐπὶ τὸ ἀκρότατον τῆς ἐξουσίας. οὐ τύχης δῶρον, ὡς ἂν οἱ πολλοὶ φαῖεν, ἀλλ' ἀρετῆς ἆθλον ταύτην δεξάμενος, ἵνα καὶ αὐτὴ γένηται τιμιωτέρα, καὶ βασιλεὺς ἐπαινεθῇ τῆς ὑπὲρ σοῦ κρίσεως. ἔτι καὶ ταῦτα μικρά. προσθήσω τι καὶ τῶν ἡμετέρων. προετελέσθης πρότερον τὴν εὐσέβειαν, εἶθ' ὑπεδέξω. μέμνημαι γὰρ τῶν σῶν λόγων, καὶ τὸ θαῦμα ἐνέχει ἔτι ταῖς ἐμαῖς ἀκοαῖς. εἰ τούτοις προσθείης τό, καὶ μεμνῆσθαι τῶν φίλων. προσθήσεις δὲ οἶδ' ὅτι, τοῖς παρελθοῦσι τοῦτο τεκμαίρομαι· μᾶλλον σε θαυμαζόμεθα, οὗτος τῆς ἀνθρωπίνης ὅρος εὐδαιμονίας, εἴτουν μακαριότητος. τὸ δὲ πρόσω γαδεί-ρων, μὴ περατὸν εἶναι ἀνθρώποις, Πινδάρῳ φιλοσοφοῦντι πειθόμεθα, ἐπεὶ δὲ μεγάλων τυχὼν μεγάλων καὶ ὑπόχρεως εἶ, καί σε πεποίηκεν ἡμέτερον πρότερον, εἶτα ἐπέστησεν ἡμῖν εὖ ποιῶν ὁ θεός, καὶ ἅμα τὸν ἄτοπον ἄνδρα τοῦτον μὴ τὰ μέγιστα ἀπαιτῶν, ἐκεῖνο δεῖξαι με παρακαλοῦντα. μηδὲν οὕτω νόμιζε τῇ σῇ πρέπειν ἀρχῇ, ἐπειδὴ πάλιν σύνοδος ἐπισκόπων, οὐκ οἶδα δὲ ὅτι καὶ ὅπως συναγομένων· ὡς τὸ ὑπὸ σοῦ καὶ διὰ σοῦ εἰρηνεύσασθαι τὰς ἐκκλησίας, κἂν δέῃ σφοδρότερον ἐπιτιμῆσαι τοῖς στασιάζουσιν. εἰ δέ τῳ δοκῶ περιττὸς εἶναι, τῶν μὲν πραγμάτων ἀναχωρήσας, τῆς δὲ φροντίδος μὴ καταλύσας, τοῦτο σὺ μὴ θαυμάζῃς. οὐ γὰρ ὥσπερ τῶν θρόνων καὶ τῆς ὀφρύος τοῖς βουλομένοις, οὕτω καὶ τῆς εὐσεβείας ἂν χαρισαίμεθα. ἀλλὰ νῦν ἀξιόπιστοι καὶ πλέον ὡς οἶμαι καὶ σοὶ δοκεῖν, ὡς οὐδὲν ἴδιον, ἀλλὰ τὸ κοινὸν θεραπεύοντες.

ΣΑΤΟΥΡΝΊΝΩ͂ι, ΠΕΡῚ ἘΚΚΛΗΣΙΑΣΤΙΚΗ͂Σ ΕἸΡΉΝΗΣ.

Ἀγαπητὰς οὐκ οἶδα τὰ φιλικά, καὶ εἰ τολμηρὸν ἄλλως τὸ γράφειν. σοὶ μὲν γὰρ ἔξω τὴν ἐξουσίαν, ἡμῖν δὲ νεμεῖς τὴν παρρησίαν, ὡς ὁμόδουλος ἀγαθός, τοῖς θεῷ πλησιάζειν ἀξιουμένοις. διὰ τοῦτό σε καὶ προσφθεγγόμεθα, καὶ ποθοῦντι παρασημαίνομεν τὰ ἡμέτερα. πάντα ἡμῖν σὺν θεῷ καλῶς ἔχει, πλὴν ἑνός, τοῦ μερίμνῃ περὶ τῶν ἐκκλησιῶν, οὕτω ταρασσομένων. ταύτας ὅτι ἂν εἰσενεγκεῖν δυνηθῇς, μὴ κατοκνήσῃς τὴν κοινὴν ὁμόνοιαν καὶ λόγῳ καὶ ἔργῳ βραβεῦσαι. ἐπειδὴ πάλιν σύνοδος ἐπισκόπων. καὶ δέος πάλιν μὴ καὶ νῦν αἰσχυνθῶμεν, μικρὸν καὶ ταύτης λαβούσης τέλος, ὥσπερ ἡ πρότερον. τὰ γὰρ ἡμέτερα θεῷ περὶ τὰ πάντα εἰδότι καὶ γινώσκειν καὶ κρίνειν ἀφήσομεν. εἰ καὶ ἡδέως εἴξαμεν περὶ φθόνον τοῖς βουλομένοις, οὐ χρηστοῦ τινὸς πράγματος, ὡς δοκεῖ τοῖς πολλοῖς· ἀλλὰ καὶ λίαν ἐπικινδύνου παραχωρήσαντες, καὶ ὥσπερ ἐκ χειμῶνος δεινοῦ καὶ τραχέος, εἰς εὔδιόν τινα ὅρμον καὶ ἀσφαλῆ καταντήσαντες.

ἈΜΑΖΟΝΊΩ͂ι.

Ἄν τις ἔρηταί σε τὸν κοινῶν φίλον, πολλοὺς δὲ εἶναι πέπεισμαι τοιούτους, ποῦ δὲ νῦν ὁ Γρηγόριος; πράττει δὲ τί; θαρρῶν εἰπέ, ὅτι ἐφ' ἡσυχίας φιλοσοφεῖ. τοσοῦτα τῶν ἀδικούντων φροντίζων, ὅσα τῶν οὐδὲ γεγόνασι γινωσκομένων. οὕτως οὐδὲν ἀήττητος. ἂν δέ σε

πάλιν ὁ αὐτὸς ἐπανορθοῖ. πῶς δὲ τὴν διάζευξιν φέρεις τῶν φίλων; μηκέτι θαρρῶν εἴποις ὅτι φιλοσοφεῖ; ἀλλὰ καὶ λίαν ἀγεννῶς ἔχει. ἄλλου μὲν γὰρ ἄλλος ἄπειρον δεῖν, ἡμᾶς δὲ φιλίας καὶ φίλων. τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος Ἀμαζόνιος. τάχα ἂν ἐν μόνον θεραπεύσαις ἡμᾶς, καὶ ῥάους ἡμῖν σὺ ποιήσαις, εἰ μνημονεύοις ἡμῶν· καὶ ὅπερ νῦν ποιεῖς, πάθοις τοῖς γράμμασιν.

ΚΕΛΕΥΣΊῼ.

Εἰσεδεξάμην σε καὶ σιωπῶν, ἵνα μάθῃς καὶ σιωπῆς λόγον τῇ γραφίδι λαλούμενον. λαλήσω δέ, ἃ πρέπει φιλίᾳ καὶ τοιούτῳ καιρῷ. παρανομεῖς ὁ δικαστὴς οὐ νηστεύων. καὶ πῶς φυλάξεις τοὺς ἀνθρωπίνους νόμους, τῶν θείων καταφρονῶν; καθαρόν σου τὸ δικαστήριον, ἵνα μὴ δυοῖν ἐν, ἢ γίνῃ κακός, ἢ νομίζῃ. τὸ περιθεῖναι δίκας αἰσχράς, ἑαυτὸν δεῖ θεραπεύειν. κεφάλαιον τοῦ λόγου, ἴσθι κρινόμενος ὁ δικαστής, καὶ πλεῖον ἁμαρτήσεις. τούτων οὐδὲν ἔχω σοι παρασχεῖν ἄμεινον.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Μὴ κρῖνε με σιγῶντα, οὐδὲ γὰρ ἐγώ σε φθεγγόμενον. ὃ περὶ τῶν βρωμάτων ὁ Παῦλος, ἐγὼ νομοθετῶ σιγῆς. εἰ δὲ κρίνεις, φοβοῦ τὴν γλῶσσαν μὴ κατὰ σοῦ κινηθῇ πρῶτον, ἄν τι λάβοι τοῦ σιωπᾶν ἄξιον.

ΠΡῸΣ ΕΥ̓ΣΈΒΙΟΝ ἘΠΊΣΚΟΠΟΝ ΣΑΜΟσατέων ἐν ἐξορίᾳ ὄντα.

Ὅτε παρῄει σου ἡ θεοσέβεια διὰ τῆς πατρίδος ἡμῶν, οὔτε δωματίου προκύψαι οἷός τε ἤμην, ἐν ἐσχάτῃ ἀρρωστίᾳ διάγων. ἐλύπει δέ με οὐ τοσοῦτον ἡ νόσος τὸν περὶ τῶν ἐσχάτων φόβον ἐπάγουσα, ἀλλ' ὅτι τῆς ἱερᾶς σου καὶ ἀγαθῆς συντυχίας ἀπεστερούμην. τοσαύτην εἶχον περὶ τὸ ἰδεῖν σου τὸ τίμιον πρόσωπον ἐπιθυμίαν, ὅσην εἰκὸς ἔχειν τὸν χρῄζοντα τῆς θεραπείας τῶν ψυχικῶν τραυμάτων. ταύτην δὲ παρὰ τῆς σῆς τελειότητος ἕξειν ἐλπίζοντα. ἀλλ' εἰ καὶ τῶν ἁμαρτιῶν τῶν ἐμῶν γέγονεν ἔργον τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον διαμαρτεῖν με τῆς σῆς συντυχίας, νῦν διὰ τῆς σῆς ἀγαθότητος, ἔστι δυνατὸν γενέσθαι μοί τινα τῶν λυπηρῶν ἐπανόρθωσιν. εἰ γὰρ καταξιώσειας κἀμοῦ μνήμην ποιεῖσθαι ἐν ταῖς εὐπροσδέκτοις σου προσευχαῖς, πάσης ἔσται μοι τοῦτο τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἐφόδιον, καὶ ἐν ταύτῃ μου τῇ ζωῇ, καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι. τὸν γὰρ ἄνδρα τοιοῦτον, οὕτως ἐναθλοῦντα τῇ πίστει τοῦ εὐαγγελίου, καὶ τηλικούτους διωγμοὺς ὑπομένοντα, καὶ τοσαύτην ἑαυτῷ παρρησίαν ἐπὶ τοῦ δικαιοτάτου θεοῦ ἑτοιμάζοντα, διὰ τῆς τῶν θλίψεων ὑπομονῆς, τοῦτον καὶ ἡμᾶς καταξιοῦν γενέσθαι προστάτην διὰ τῶν προσευχῶν, πέπεισμαι, ὅτι τοσαύτην ἔχει τὴν δύναμιν, ὅσην ἂν ἦν μοι, καὶ εἰ παρά τινος τῶν ἁγίων μαρτύρων ἐτύγχανον. ὥστε παρακλήθητι ἀπαραλείπτως μεμνῆσθαι τοῦ σοῦ γεωργίου, ἐν οἷς εὔχομαι εἶναί σου τῆς μνήμης ἄξιος.

ΤΩΙ ΑΥ̓ΤΩΙ.

Πόθεν ἄρξομαι τῶν σῶν ἐγκωμίων; καὶ τί προσειπών σε, κυρίως ἂν ὀνομάσαιμι; στῦλον καὶ ἑδραίωμα τῆς ἐκκλησίας, ἢ φωστῆρα ἐν κόσμῳ, τὰ αὐτὰ τῷ ἀποστόλῳ φθεγγόμενος; ἢ στέφανον καυχήσεως, τῷ σωζομένῳ μέρει χριστιανῶν; ἢ θεοῦ δῶρον, ἢ πατρίδος ἔρεισμα, ἢ κανόνα πίστεως, ἢ πρεσβευτὴν ἀληθείας, ἢ ὁμοῦ πάντα καὶ πλείω τούτων; καὶ τὴν ὑπερβολὴν τῶν ἐπαίνων τοῖς δρωμένοις πιστώσομαι. τίς οὕτως ὑετὸς ὥριμος ἦλθε διψώσῃ γῇ. ποῖον ἐκ πέτρας ὕδωρ τοῖς ἐν ἐρήμῳ πλημμυροῦσιν; τίνα τὸν ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος; τίσιν Ἰησοῦς ὁ κύριος, ὁ κοινὸς τοῖς ἑαυτοῦ μαθηταῖς οὕτως ἐν καιρῷ βαπτιζομένοις ἐπέστη, ἵνα καὶ τὸ πέλαγος ἡμερώσῃ, καὶ τοὺς κινδυνεύοντας περισώσηται, οἷος σὺ κάμνουσιν ἡμῖν καὶ ἀνιωμένοις, καὶ οἷον οὐδὲ ναυαγοῦσιν ἐφάνης. τί δεῖ τὰ τῶν ἄλλων λέγειν; ὅσας εὐθυμίας καὶ ἀσθενεῖς ψυχὰς ὀρθοδόξων ἐνέπλησας, καὶ ὅσων ἀπόγνωσιν ἔλυσας. ἀλλ' ἡ μήτηρ ἡμῶν ἡ ἐκκλησία, τὴν Καισαρείαν λέγω, νῦν ὄντως ἀπολύεται τὰ ἐνδύματα τῆς χηρείας ἐπὶ τῇ σῇ θέᾳ, καὶ στολὴν εὐφροσύνης ἀναλαμβάνει, καὶ λαμπρυνθήσεται μᾶλλον, ἐπειδὰν ποιμένος τύχοι ἑαυτῆς τε καὶ τῶν προειληφότων, καὶ τῶν ὑμετέρων χειρῶν ἀξίου. τὰ γὰρ ἡμέτερα καὶ αὐτὸς ὁρᾷς οἷα. καὶ ὅσον ἐθαυματούργησεν ὁ σὸς ζῆλος καὶ ἱδρὼς, καὶ ἡ πρὸς θεὸν παρρησία. γῆρας ἀνακαινίζεται, καὶ ἀρρωστία νικᾶται, καὶ πηδῶσιν οἱ ἐπὶ κλίνης, καὶ ἀσθενοῦντες περιζωννύονται δύναμιν. τούτοις εἰκάζω καὶ τὰ ἡμέτερα παρὰ νοῦν ἐκβήσεται. τὸν μὲν οὖν πατέρα ἔχεις ἀνθ' ἑαυτοῦ, καὶ ἀνθ' ἡμῶν. τέλος παντὶ τῷ βίῳ, καὶ τῇ σεμνῇ πολιᾷ καλὸν ἐπιθήσονται, τὸν νῦν ὑπὲρ τῆς ἐκκλησίας ἀγῶνα, καὶ δεξόμεθα τοῦτον εὖ οἶδα εὐχαῖς ὑμετέραις ἐρρωμενέστερόν τε καὶ νεανικώτερον, αἷς πάντα δεῖ θαρροῦντα πιστεύειν. εἰ δὲ καὶ τῇ φροντίδι καταλύσειεν, οὐ ζημία τοιαύτης καὶ ἐπὶ τοιούτοις τυχεῖν τελευτῆς. ἐμοὶ δὲ παρακαλῶ συγγνώμην ἔχετε, κἂν εἰ μικρὸν ταῖς τῶν πονηρῶν γλώσσαις ὑποχωρήσας, μικρὸν ὕστερον ἡμῖν καὶ προσδράμοιμι, καὶ περιπτυξαίμην, καὶ ὅσα πρέπει νῦν, δι' ἐμαυτοῦ προσθείην τῆς εὐφημίας.

Τῷ

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Τὰ πάντα τίμιος ἡμῖν, καὶ τῶν φίλων ἐν τοῖς γνησίοις, ὁ αἰδεσιμώτατος ἀδελφὸς ἡμῶν Εὐπράξιος, ἤδη μᾶλλον τιμιώτερος ὤφθη καὶ γνησιώτερος ἐκ τῆς περί σε διαθέσεως. ὅς γε καὶ νῦν οὕτως ὥρμησε πρὸς τὴν σὴν θεραπείαν, ἵν' εἴπω τὸ τοῦ Δαβίδ, ὡς ἔλαφος πολύδιψος, τὸ σὸν φορητὸν πότιμον καὶ καθαρὰ τῇ πηγῇ καταψύχουσαν διὰ τῶν θλίψεων ὑπομονῆς, τοῦτο καὶ ἡμῶν καταξιοῖ γενέσθαι πρὸς ταύτης. καὶ μακάριος ὁ σοὶ πλησιάζειν ἀξιούμενος. μακαριώτερος δὲ, ὁ τοῖς ὑπὲρ χριστοῦ παθήμασι, καὶ τοῖς ὑπὲρ τῆς ἀληθείας ἱδρῶσι τοιαύτην ἐπιθεὶς κορωνίδα, ἧς ὀλίγοι τῶν φοβουμένων τὸν θεὸν τετυχήκασιν. οὐ γὰρ ἀβασάνιστον ἐπεδείξω τὴν ἀρετὴν, οὐδὲ ἐν εὐδίας καιρῷ μόνος ὀρθῶς ἔπλευσας, καὶ τὰς τῶν ἄλλων ψυχὰς ἐκυβέρνησας, ἀλλὰ ταῖς δυσχερείαις τῶν πειρασμάτων ἐφάνης, καὶ τῶν διωκόντων γέγονας ὑψηλότερος τὸ γενναίως μεταστῆναι τῆς ἐνεγκούσης. καὶ ἄλλοι μὲν τὸ πατρῷον ἔδαφος ἔχουσιν, ἡμεῖς δὲ τὴν ἄνω πόλιν. ἄλλοι τὸν ὑμέτερον ἴσως θρόνον, ἡμεῖς δὲ τὸν χριστόν. ὢ τῆς πραγματείας· οἵων ὑπεριδόντες, οἷα κεκοσμήμεθα. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος. πιστεύω δὲ, ὅτι καὶ ἐξελευσόμεθα εἰς ἀναψυχήν. οὐ γὰρ εἰς τέλος ἐγκαταλείψει ἡμᾶς ὁ θεὸς, οὐδὲ περιόψεται τὸν ὀρθὸν λόγον διωκόμενον, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν ἡμῶν, αἱ παρακλήσεις αὐτοῦ εὐφραίνουσιν ἡμᾶς. τοῦτο μὲν οὖν καὶ πιστεύομεν καὶ εὐχόμεθα. σὺ δὲ παρακαλῶ ὑπερεύχου τῆς ταπεινώσεως ἡμῶν. καὶ ὁσάκις ἂν ἐμπίπτῃ καιρὸς, καὶ εὐλογεῖν ἡμᾶς διὰ γραμμάτων μὴ κατόκνει, καὶ εὐθυμοτέρους ποιεῖν, τὰ κατὰ σαυτὸν δηλῶν. ὃ ποιῆσαι καὶ νῦν κατηξίωσας.

ΤΩ͂Ι ὈΛΥΜΠΙ͂Ω.

Τοῦτό μοι τῆς ἀρρωστίας δεινὸν καὶ βαρύτερον, τὸ ἀρρωστοῦντα μηδὲ πιστεύεσθαι, ἀλλ' ἐνδημίαν οὕτω μακρὰν ὑποπτεύεσθαι, καὶ εἰς μείζους θορύβους ἐμβαλεῖσθαι. ὧν τὴν ἀναχώρησιν ἠγαπήσαμεν, μακροῦ καὶ χαίρειν διὰ τοῦτο τῇ τοῦ σώματος κακοπαθείᾳ ὁμολογήσαντες. ἀπράγμων γὰρ ἡσυχία, τῆς ἐν πράγμασι περιφανείας τιμιωτέρα. τοῦτο ἐπέσταλα μὲν καὶ πρώην τῷ θαυμασιωτάτῳ ἰκαρίῳ, τὸ αὐτὸ δεξάμενος πρόσταγμα. ἐπέσταλκα δὲ καὶ νῦν ὑπὲρ ἡμῶν, ἡ σὴ μεγαλόνοια καταξιωσάτω, ὃν ἀξιόπιστον μάρτυρα τῆς ἡμετέρας ἔχομεν ἀρρωστίας. πάθοι δὲ καὶ ἡ ζημία ἣν ἐζημιώθημεν νῦν, μηδὲ προσδραμεῖν καὶ ἀπολαῦσαι σοῦ ἐπιδημήσαντος, ἄρχοντος οὕτω δεξιοῦ, καὶ οὕτω θαυμασίου τὴν ἀρετὴν, ὡς καὶ τὰ προοίμια τῆς σῆς ἀρχῆς εἶναι τιμιώτερα, τῶν διὰ τέλους ἑτέρων εὐδοκιμήσεως.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Πολιτεύεταί τι καὶ πολιὰ, καὶ οὐ πάντῃ τὸ γῆρας, ὡς ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον. ἐγὼ γοῦν πάντων μὲν μάλιστα τῶν ἀπολιτευτῶν εἰδὼς τὴν ἐνθύμησιν, καὶ ἀσέβειαν· ὁρῶν δὲ οὐκ ἀνεκτὴν τὴν ἀπόνοιαν, ἐνόμιζον τῇ μακροθυμίᾳ πράους αὐτοὺς ποιήσειν, καὶ μαλάξειν κατὰ μικρόν. ὥσπερ οὖν καὶ ταῖς ἐλπίσιν ἐπέτεινον. ἔλαθον δὲ, ὡς ἔοικε, κἀκείνους χείρους ποιήσας, καὶ τὴν ἐκκλησίαν βλάψας, τῇ ἀκαίρῳ φιλοσοφίᾳ. οὐ γὰρ δυσωπεῖ τοὺς πονηροὺς ἐπιείκεια. καὶ νῦν εἰ μὲν αὐτὸς μοι δυνατὸν ἦν δι' ἐμαυτοῦ ταῦτα δεῖξαι, οὐκ ἂν ὤκνησα ἰδεῖν καὶ παρὰ δύναμιν κινηθεὶς προσελθεῖν τῇ σῇ τιμιότητι. ἐπειδὴ δὲ περαιτέρω προσήγαγεν ἡμᾶς ἡ ἀρρωστία, καὶ τοῖς ξανξαρίδος θερμοῖς χρήσασθαι ἀναγκαῖον ἐγένετο, τῶν ἰατρῶν τοῦτο συμβουλευσάντων, ἀντ' ἐμαυτοῦ ποιοῦμαι τὰ γράμματα. ἐτόλμησαν οἱ κακοὶ καὶ κακῶς ἀπολούμενοι πρὸς πᾶσι τοῖς ἄλλοις, καὶ κεκαθῃρημένους ἐπισκόπους ὑπὸ πάσης ἀνατολικῆς καὶ δυτικῆς συνόδου καλέσαντες, ἢ παριοῦσι καταχρησάμενοι. οὐ γὰρ ἔχω τοῦτο εἰπεῖν ἀκριβῶς, καὶ πασῶν κατεξανασάντων βασιλικῶν διατάξεων, καὶ ὑμετέρων προσταγμάτων, ἐπισκόπου ὄνομα ἐπιθεῖναί τινι τῶν παρ' αὐτοῖς ἀσεβῶν καὶ κιβδήλων, οὐδενὶ τοσοῦτον ὡς οἶμαι, ὅσον τῇ ἐμῇ νεκρώσει. τοῦτο γὰρ δεῖ λέγειν, θαρρήσαντες. ταῦτα εἰ μὲν ἀνεκτὰ, ἐνεγκάτω μὲν ἡ σὴ στερρότης. εἴσομεν δὲ καὶ ἡμεῖς, ὥσπερ οὖν πολλάκις ἠνέγκαμεν. εἰ δὲ βαρέα, καὶ οὐδὲ τοῖς εὐσεβεστάτοις βασιλεῦσιν αὐτοῖς φορητὰ, ἐπεξελθεῖν τοῖς γεγενημένοις, εἰ καὶ τῆς ἀπονοίας ἔλαττον καταξίωσον.

ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι.

Πάλιν γράφω παρεῖναι δέον. ἀλλὰ παρὰ σοῦ μοι τὸ θάρσος, ὃς καὶ τῶν πραγματικῶν βραβεύεις, ἵνα πρῶτον εἴπω τὸ πρῶτον, καὶ τῶν κοινῶν ἐπανορθωτὰ, καὶ θέοθεν τὰ ἀμφότερα. ὁ καὶ μισθὸν εὐσεβείας λαβὼν, τὸ κατὰ νοῦν χωρεῖν σοι τὰ πράγματα, καὶ μόνῳ τυγχάνειν ἁλωτὰ, τὰ μὴ τοῖς ἄλλοις ἁλώσιμα. σύνεσις γάρ σε καὶ ἀνδρεία τὴν ἀρχὴν ἄγουσιν. ἡ μὲν εὑρίσκουσα τὸ πρακτέον, ἡ δὲ ῥᾳδίως ἐπιτελοῦσα τὸ εὑρεθέν. καὶ τὸ μέγιστον, ἡ τῆς χειρὸς καθαρότης, ᾗ πάντα εὐθύνεται. ποῦ σοι χρυσὸς ὁ ἄδικος, οὐδ' ἐγγύς. πρὸ θύρας ἔξω κατακλεισθεὶς, ὡς ἀφανὴς τύραννος. ποῦ δὲ ἀπέχθεια; κατακέκλειται. ποῦ δὲ χάρις

—πνικῶν

γείτωθα

ἐντεῦθα τι ἐκλίνη, κατηγορήσω γάρ σε μικρόν, ἀλλὰ θεοῦ φιλανθρωπίαν μιμούμενος, ἣν καὶ νῦν αἰτεῖ δι' ἡμῶν Αὐζάλιος ὁ σὸς στρατιώτης, ὃν ἄφρονα φυγάδα καλῶ, καὶ ἱκέτην σώφρονα. ὅτι ὑπὸ τὰς ἡμετέρας ἑαυτὸν τέθεικε χεῖρας, καὶ διὰ τῶν ἡμετέρων τὰς σάς. ὥσπερ τινὰ εἰκόνα Βασιλικήν, τὴν πολιὰν ἡμῶν προβαλλόμενος, καὶ τὴν ἱερωσύνην, ἣν αἰδεῖσθαι πολλάκις καθωμολόγηκας. ἰδού σοι προσάγει τοῦτον ἡ θυηφόρος αὕτη χεὶρ καὶ ἀναίμακτος, καὶ πολλοὺς μετ' ἐπαίνους σοι γράψασα. γράψουσα δέ, οἶδ' ὅτι καὶ πλείους. εἰ θεὸς περατώσειεν ἡμῖν τὴν ἀρχήν, τὴν περὶ σὲ λέγω, καὶ τοῦ συνεργοῦ τῶν σῶν θέμιδος.

ΤΩΙ ΝΕΜΕΣΙΩ.

Εἴ σοι δοκῶ φορτικὸς συχνὰ ἐπιστέλλων, μὴ θαυμάσῃς, εἰ κατορθοῦσι πρός σε τὸν δίκαιον δικαστήν. καὶ οἶδ' ὅτι ἀφήσεις με τῆς αἰτίας. αὐτός μοι τοῦ θαρρεῖν αἴτιος γέγονας, ὑπὲρ προθύμως παρέχειν τὸ αἰτοῦν παρακαλούμενος. καὶ θαυμαστὸν οὐδέν. πολλὰ γάρ ἐστιν οἷς προθύμως ἂν δοίης τὴν χάριν, τὸ γῆρας, ἡ ἀρρωστία, ἡ κοινωνία τῶν λόγων. εἴπερ τι καὶ τὸ ἡμέτερον ἐν λόγοις, αὐτὸ τὸ ποθεῖν τὴν συντυχίαν, ὑπὸ δὲ τῆς ἀσθενείας κωλύεσθαι, καὶ διαμαρτάνειν τοιούτου πράγματος. ἀλλὰ τίς ἡ πρεσβεία; καὶ εἰ μὲν ἄδικος, αἰσχυνοίμην ἄνδρα τοιοῦτον· εἰ δὲ δικαία, προθύμως ἐπίνευσον. πάλιν ὁ αἰδεσιμώτατος υἱὸς ἡμῶν Θεοδόσιος ἥκει πρὸς τὴν σὴν λογιότητα, ὁ ἐμὸς καὶ σός. σκοπῷ μὲν ἐμός. σὸς δὲ ἱκέτης. ἥκει πρεσβεύων ὑπὲρ ἐλεεινοῦ πράγματος. ὀρφανοὶ κινδυνεύουσι, καὶ τὸ ἀνθρώπειον ἐν μέσῳ ἄδηλον ὄν, ὡς ὃ περιστήσεται. καὶ μετάστασιν αἰδούμεθα πατρός, πολλοῖς ὀρφανίαν ἐπικουφίσαντος. μίαν τοῖς πᾶσι κατάθου χάριν. δὸς χεῖρα τῇ συμφορᾷ, ἣν αὐτὸς δοκιμάσεις. δεῖται μὲν γὰρ οὐδεμιᾶς προσθήκης εἰς εὐδοξίαν ἡ σὴ ἀρχή. οὐδὲ γὰρ λαμπρότατος ἑωσφόρος. εἰ δέ τινα καὶ προσθήκην ζητοίης, οὐκ ἂν μείζω ταύτης εὖ ἴδοι, οὐδὲ λαμπροτέρα γένοιτο, ὡς πολλοὶ τἀληθῆ βουλόμενοι λέγειν, τὴν σὴν καλοκαγαθίαν διαλέξουσιν.

ἈΕΡΙΩ ΚΑΙ ἈΛΥΠΙΩ

Ὥσπερ ἀπ' ἀρχῆς ἀλαινός τε καὶ λιπαρός, καὶ τέκνων τῶν ἀληθῶς φιλοτέκνων, ἀνεθήκατε θεῷ, δίκαιόν τε καὶ ὅσιον. ὅτι παρ' αὐτοῦ καὶ ὑμεῖς αὐτοὶ καὶ τὰ ἡμέτερα. οὕτω καὶ νίας κληρονομίας. ἴσα τὸ μέρος δοθὲν προθύμως, προάγει τῷ πλείονι τὴν ἀσφάλειαν. μὴ τοίνυν ἀναμένητε μετὰ πάντας ἡμῖν γενέσθαι χρηστοί. ἀλλὰ πρὸ πάντων θεῷ, δι' ὃν καὶ πᾶσι, καὶ τοὺς ἔξω ῥίψαντες νόμους τοῖς ἡμετέροις δουλεύσατε. ὥσπερ παρ' ὑμῶν αὐτῶν καρποφοροῦντες τὴν προθυμίαν. τὰ μὲν γὰρ καταλειφθέντα παρ' ἄλλων, τὸ δὲ πρόθυμον παρ' ὑμῶν ἕξομεν. οἷς δυνατὸς ὁ θεὸς ἀντιδοῦναι πολυπλάσια, ὧν νῦν ἐπιδώσετε. οὐ μόνον ἐν τῷ προσκαίρῳ τούτῳ βίῳ καὶ ῥέοντι, ἀλλὰ καὶ ἐν τῷ αἰωνίῳ καὶ μένοντι. πρὸς ὃν μόνον ὁρᾶν ἀσφαλές, καὶ εἰς ὃν πάσας τὰς ἐφ' ἡμῶν τὰς ἐλπίδας. ὡς οὖν τοιοῦτον τεξομένου τοῦ θεοῦ περὶ ὑμᾶς, οἷοι περ ἂν αὐτοὶ γένησθε τοῖς πτωχοῖς, μὴ μικροψύχως, μηδὲ μικρολόγως, ἀλλὰ καὶ λίαν φιλοτίμως τε καὶ προθύμως, πληρώσατε τῇ κατοιχομένῃ τὴν βούλησιν. ἣν παρεῖναί τε ὑμῖν νομίσαντες, καὶ ὁρᾶν τὰ γινόμενα, διὰ τῆς ἐπιδόσεως ἀναπαύσατε. ἵνα μὴ τὰ χρήματα μόνον ἔχητε παρ' αὐτῆς, ἀλλὰ καὶ τὴν τεκοῦσαν οἴκους τέκνων μητρὸς εὐλογίαν ποιήσησθε. ὥσπερ ἐνθυμηθέντες ὅτι βέλτιον μικρὰ μετὰ δικαιοσύνης ἢ τὸ γεγραμμένον, ἢ πλατύτερα μετὰ μικρολογίας. ἵνα μὴ λέγω καὶ βλάσφημον. καὶ ὅτι πολλοὶ καὶ ὅλων οἴκων ἐμποιουμένων εἰς ἐκκλησίας ἠνέσχοντο. οἱ δὲ καὶ παρ' ἑαυτῶν πᾶσαν προσῆγον τὴν περιουσίαν καὶ τὴν καλλίστην ἐπραγματεύσαντο πραγματείαν. γένεσθε διὰ τὸν ἐκεῖ πλοῦτον πενήτων. μὴ τοίνυν σπείρετε φειδομένως, ἵνα πλουσίως θερίσητε, ἀλλ' ἀγαθῶν κλῆρον καὶ ὑμῖν αὐτοῖς, καὶ τοῖς φιλτάτοις ὑμῶν, τοῦτον χαρίσασθε. μηδὲν ὑφελόντες τῶν γεγραμμένων, ἀλλὰ πάντα μεθ' ἡδονῆς καὶ φαιδρότητος ἐπιδόντες, ἢ ἀποδόντες ὡς οἰκεῖα τὰ τοῦ θεοῦ. ὡς ὥσπερ μόνον κερδαίνοντες, ὅ τι ἂν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ἀναλώσητε. τί γὰρ δεῖ θησαυρίζειν λῃσταῖς καὶ κλέπταις, καὶ καιρῶν μεταβολαῖς, ἄλλοτε εἰς ἄλλους μεταπεσόντων καὶ ῥιπιζόντων τὴν ἄστατον εὐπορίαν. ἀλλὰ μὴ εἰς τὰς ἀσφαλεῖς ἀποθήκας ἀποτίθεσθαι, καὶ τῶν ἐπιβουλευόντων ἰσχυροτέρας. τὸ μὲν οὖν εὐτελές, περὶ ἄλλα καὶ ἄλλοις δείξατε. καὶ γὰρ εὔχομαι δυνατοὺς ὑμᾶς εἶναι μετὰ χρηστότητος. ἡμῖν δὲ ἀγωνίσασθε τὸν καλὸν ἀγῶνα. ὅς τις οἰκήσει τὴν ἄλλην εὐλάβειαν, καὶ τοῖς ὀφειλομέναις εὐλογίαις ἐκ θεοῦ, τοῖς εὐγνώμοσι. πείσατε οὖν ἡμᾶς ὅτι χριστιανίζετε γνησίως. μᾶλλον δ' ἐπεὶ καλῶς ἀρξάμενοι ἀρχῆς, καὶ οὕτως εὐσεβῶς καὶ δικαίως, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων ὁμονοήσατε. ὡς ἂν ὑμᾶς τε ἀλλήλοις, καὶ ἡμᾶς ὑμῖν ἐπευφραινοίμεθα, τά τε ἄλλα καὶ δεξιὸν ὑπόδειγμα γενομένοις πάσῃ τῇ ἐκκλησίᾳ, τῆς περὶ τοιαῦτα εὐγνωμοσύνης.

ἘΠΙΣΤΟΛΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ θεολόγου τέλος.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΑΖΙΑΝΖΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΕΑΥ-

τὸν ἔπη. διὸ ὧν προξενεῖ λελαθότας ἡμᾶς πρὸς τὸν ἐν χριστῷ βίον.

Χριστὲ ἄναξ, ὃς ἁγναῖς ποτ' ἀειρομένῃσι παλάμῃσι
Σταυροτύποις Μωσῆος ἐπ' οὔρεϊ ζοῦ θηρὰ πόντος
Ἔκλινας Ἀμαλὴκ ὀλοὸν σθένος, ὅς τε ταθείσας
Χεῖρσιν ἐν βόθρῳ Δανιὴλ ὑπὸ δεινὰ λεόντων
Χάσματα καὶ φρικτὰς ὀνύχων ἐπέδησας ἀκωκάς.
Ὃν δὲ καὶ μεγάλου ἀπὸ κήτεος ἔκθορ' Ἰωνᾶς
Εὐξάμενος, καὶ χεῖρας ἐνὶ σπλάγχνοισι τανύσσας.
Ἐν φλογὶ δ' ἀστυφέλικτον δροσερὸν νέφος ἀμφεκάλυψε
Θαρσαλέους τρεῖς παῖδας, ἐπεὶ χέρας ἐξεπέτασσαν.
Ὅς ποθ' ὅλην ζείουσαν ὑπεὶρ ἅλα πεζὸς ὁδεύσας,
Κύματα καὶ ἀνέμων μένος εὔνασας, ὥς κε μαθητὰς
Ἐκ πελάγους ῥύσαιο δεινομένους ὑπ' ἀήταις.
Πολλοῖς δ' αὖ ψυχάς τε καὶ ἅψεα λύσαο νούσων
Οἷα θεός. κρανθεὶς δὲ βροτός, θνητοῖσιν ἐμίχθης.
Ὧν τὸ μὲν οὐρανόθεν, τὸ δ' ὕστατον ἄμμι φαάνθης,
Ὥς με θεὸν τελέσειας, ἐπεὶ βροτὸς αὐτὸς ἐτύχθης.
Ὦ δὲ μάκαρ καὶ ἐμοὶ θεὸς ἵλαος, ὥς με σαώσῃς.
Ὦ δὲ μάκαρ καὶ ἐμοὶ θεὸς ἵλαος ἐλθὲ καλεῦντι.
Ἔλθ' ἤδη χεῖρα φέρων θεὸς ἵλαος, ὥς με σαώσῃς
Ἐν πολέμῳ, καὶ θηρσί, καὶ ἐν φλογί, καὶ ἀνέμοισι
Τειρόμενον, καὶ μοῦνον ἐς οὐρανὸν ὄμμα φέροντα.
Καὶ γὰρ δὴ θῆρές τε, καὶ ἄγριον οἶδμα θαλάσσης,
Καὶ δ' ἀκὶς στονόεσσα, καὶ αἰθομένου πυρὸς ὁρμή,
Πάντα κακοὶ τελέθουσι βίου δηλήμονες ἀνδρῶν.
Οἵ ῥα θεὸν φιλέοντας ἀπεχθαίρουσι μάλιστα.
Οὔτε δίκην τρομέοντες ἐς ὕστερον ἀντιόωσαν,
Οὔτε βροτῶν ἀλέγοντες, ὅσοι τυχέουσιν ἀλεξρόν.
Τῶν μ' ἀπόεργαθε χριστέ, καὶ ἐνδυκέως με φύλαττε
Ἀμφὶς ἔχων πτερύγεσσι τεαῖς. καὶ κάδεα λυγρὰ
Σῶν ἄναξ θεράποντος ἑκὰς βάλε. μηδὲ βαρεῖαι
Μέριμναι δονέοιεν ἐμὸν νόον, ἃς ὅδε κόσμος,
Καὶ κόσμου μεδέων δειλοῖς μερόπεσσιν ἐγείρει,
Δάπτων αἶα σίδηρον ἰὸς θεοειδέα μορφὴν
Ἔνδοθι, συμφυέα τε πθεὶς χθονὶ κρείσσονα μοίρῃ.
Ὥς μὴ χοῦν ἐρύσῃ μιν ἄνω βεῖθόν τ' ἤδη γαῖαν
Ψυχή. χοῦς δὲ βάλοι ψυχὴν πτερόεσσαν ἔραζε
Δύσμορον, ἰλυόεσσιν ἐν ἕργμασι σαρκοβάζαν.
Δοιαὶ γάρ τε πύλαι θνητοῖς στυγεροῦ θανάτοιο.
Καί ῥ' αἱ μὲν κακίης δολερὴν φρεσὶν ἔνδοθι πηγὴν
Τίκτουσιν. τοῖς, αἰὲν ἀτάσθαλα ἔργα μέμηλε.
Καὶ δῆμος, ὕβριές τε κόρος, καὶ μήδεα λυγρά,
Οἵ σφέας ἐρύοντες ὑπὸ βασιλῆα ἐς ἅπασαν (τις.
Τρέπουσ' ἀμπλακίῃ, σφετέρων μόρον ἀμφαγαπῶν-
Οἱ δὲ θεὸν καθαροῖσι νόου λεύσσοντες ὀπωπαῖς,
Καὶ κόσμου συγέοντες ἀναιδέος ἔκγονον ὕβριν,
Αὐτοῦ ἑκὰς ζῶσιν βιότου σκιοειδέι σαρκί,
Καὶ γαῖαν πατέουσιν ἐλαφροτέροισι πόδεσσιν,
Ἑσσάμενοι καλίην θεοῦ, καὶ πνεύματι, κοῦφοι
Μύσται κευθομένης ζωῆς χριστοῖο ἄνακτος.
Ὥς κεν λαμπομένης ποτ' ἐς ὕστερον ἀστράψωσιν.
Ἀλλὰ καὶ ὡς βιότοιο κακαῖς πείρονται ἀκάνθαις
Χρειοῖ ἀναγκαίῃ, καὶ ἔκτοθι μυρία δαίμων
Λυσσήεις κακοεργὸς ἐμήσατο κέντρα μόροιο,
Ἀμαλέοις θνητοῖσι. καὶ εἴδεϊ πολλάκι κεῦθων
Ἐσθλῷ λυγρὸν ὄλεθρον, ὅτ' ἀντίβια πτολεμίζων
Χάζεται. ποῖον γὰρ ἐπ' ἀνδράσι λοιγὸν ὑφαίνει,
Οἷον ὑπ' εἰδαλέῃ χαλκὸς, ὅτ' ἰχθύσι κῆρα φέρῃσιν.
Οἱ ζωὴν ποθέοντες, ἐνὶ σπλάγχνοισιν ὄλεθρον
Εἴρυσαν ἀπροϊδῆ, σφέτερον μόρον ἀμφιχανόντες.
Ὥς καὶ ἐμοὶ δηλήμονος, ἐπεὶ ζόφον ὄντα μιν ἔγνων
Ἑσσάμενος χρόα καλὸν ἐπήλυθε φωτὶ ἐοικώς.
Αἴκεν πως ἀρετὴν παθέων κακίῃ πελάσαιμι,
Κλεπτομένου πρὸς ὄλεθρον ἐλαφροτέροιο νόοιο.
Οὔ με γάμος δ' ἐπέδησε, βίου ῥόος, ὅν τε μέγιστον
Δεσμὸν ἐπ' ἀνθρώποισιν ὕλη βάλεν ἄχθεος ἀρχήν.
Οὐδ' εἷλεν σηρῶν καλὰ νήματα, οὐδὲ τράπεζαν
Ἠγάσθην λιπαρήν, πολυχανδέα γαστέρα βόσκων
Μαχλοσύνης μητέρα ἀτάσθαλον. οὐδὲ δόμοισι
Ναίειν ἐν μεγάλοισι καὶ ἀγλαέσσι φιλήσω.
Οὐ μούσης ἀπαλοῖς ἐνὶ κρούμασι θυμὸν ἰαίνειν.
Οὐδὲ μύρων μαλακή με διέδραμε θῆλυς ἀϋτμή.
Ἄλλων δ' αὖ χρυσός τε καὶ ἄργυρος. οἱ φιλέοντες
Νηρίθμοις κτεάτεσσιν ἐφεζόμενοι μελεδαίνειν,
Βαιὴν τέρψιν ἔχουσι. πολὺν πόνον. αὐτὰρ ἔμοιγε
Μάζα φίλη. γλυκὺ δ' ὄψον ἅλες. χθονίη δὲ τράπεζα.
Νηφάλιον δ' ἤδη τοῖσιν ὕδωρ ποτόν. οὗτος ἄριστος
Πλοῦτος ἐμοί, καὶ χριστὸς ἐμὸν νόον αἰὲν ἀείρων.
Οὐ γῆς πυροφόρου γυιαὶ καὶ ἄλσεα καλά.
Οὐδὲ βοῶν ἀγέλαι, καὶ πώεα πίονα μήλων.
Οὐδὲ φίλοι θεράποντες ἐμὸν γόος, οὓς ῥα τυραννὶς
Ἔσχισεν ἀργαλέη, καὶ ὄνομα θῆκε τὸ δισσὸν
Εὐγενέας δμῶάς τε μιῆς χθονὸς ἐκγεγαῶτας,
Ἢ χθονός, ἢ θεοῖο. νόμος δ' ἐπίασεν τ' ἀλιτρός.
Οὐδέ τί μοι χρεὼ πνοιῆς ἄκυτα ῥεούσης
Ἀνδρομέης τιμῆς, καὶ κύδεος ὀλλυμένοιο.
Ὃν μέγα πὰρ βασιλῆος ἔχων γέρας ἔνδοθεν αὐλῆς,
Οὐδὲ δίκης με θρόνων ποτ' ἕλεν πόθος, οἷσιν ἔμελλον
Κλεινὸς ἐφεδρήσσειν ὑπὲρ ὀφρύας ὕψος ἀείρων.
Οὐδέ μ' ἐν πολίεσσιν ἔχων σθένος, ἢ πολιήτας
Τερπόμενον ψεύσῃσι, καὶ ἀδρανέεσσιν ὀνείροις
Ἄλλοτ' ἐπ' ἄλλον ἰοῦσιν, ἀμειβομένοισί θ' ὁμοίως.
Ἢ παλάμαις μάρπτοντα παραΐσσοντα ῥέεθρα,
Ἢ σκιὰν ὡς στερεὴν, ἐπεί τ' ἀχλὺν χεῖρας ἰόντα.
Ἢ σκιὰν ἐν χείρεσσιν ἔχων, ἢ ἀχλὺν ἀφάσσων.
Τοίη γὰρ μερόπων γενεή, τοῖος δὲ καὶ ὄλβος.
Ὄλβος ἀφαυροτάτοισιν ὁμοῖος ἔχουσι νεκὰς,
Πρόσθε χαρισσαμένοισι καὶ ὀλλυμένοισιν ὄπισθεν.
Μοῦνον ἐμοὶ φίλον ἐστὶ λόγων κλέος, ὃ συνάγειρεν.

Ἀντολίη τε, δύσις τε, καὶ Ἑλλάδος εὖχος Ἀθῆναι.
Τοῖς ἔπι πολλ' ἐμόγησα πολὺν χρόνον. ἀλλὰ καὶ αὐτοὺς
Πρηνέας ἐν δαπέδῳ Χριστοῦ προπάροιθεν ἔθηκα
Εἴξαντας μεγάλοιο θεοῦ λόγῳ, ὅς ῥα καλύπτει
Πάντα φρενὸς βροτέης στρεπτὸν πολυειδέα μῦθον.
Ἀλλὰ τὰ μὲν ὑπάλυξα, τὸ δ' οὐ φύγον ἔχθος ἄπιστον,
Δυσμενέος λοχόωντος ἐν εὐμενέοντι προσώπῳ.
Ἐχθρίον δ' ἀναφανδὸν ἐμὴν πάντεσσιν ὀιζύν.
Ὥς κέν τις σκολιοῖο νοήματα θηρὸς ἀλύξῃ.
Ὠιόμην τοκέεσσι προσήμενος ὧν ἀναχρισὲ,
Γήραΐ τε συγγηρᾶν καὶ πένθεϊ ταρμύσειον,
Οἷς μοῦνος τοκέων προλείπομαι ἐλπὶς ἀμυδρά,
Λαμπάδιος ἐκ μεγάλης τυτθὸν σέλας εὖτ' ἐούσης,
Σοὶ μάκαρ ἀεὶ νόμοισι τεοῖς κεχαρισμένα ῥέζων.
Ὡς θνητοῖς ἐπίκουρον ἔχειν ἀγρίος υἷας ὅπασσας,
Καὶ βομβροῖς ἅ τε βάμβον ὑπὸ μελέεσσιν ὄρειδαν.
Καὶ γὰρ δὴ πάντων προφερέστερον, οἵ σε τίουσιν,
Εὐσεβίῃ τε μέλουσι, καὶ ἀργαλέου βιότοιο
Γήματ' ἀλευόμενοι, πρυμνήσια σοῖσιν ἀνῆψαν
Ἀρρήκτοις δεσμοῖσι. σὺ δέ σφισι τέρμα καὶ ἀρχή.
Ἡ μὲν ἀπ' ἐκ πατέρων θεοστυγέα πίστιν ἄγουσα,
Σαρκὴν χυτέλην περιβάλλετο παισὶν ἑοῖσιν
Ἄρσενα θυμὸν ἔχουσα ἐν εἴδει θηλυτεράων.
Ὅσσον ἐφαπτομένη γαίης, κόσμου τ' ἀλέγουσα,
Τόσσον ἐς οὐρανίην ζωὴν ὥσασθαι ἅπαντα
Τόνδε βίον. κούφη δὲ πρὸς αἰθέρα ταρσὸν ἄειρε.
Αὐτὰρ ὅγ' ἀγχίλαος ὑπ' εἰδώλοις πάρος ἦεν
Ζώων, ἀλλ' ἐπάγη καλῆς ὑπὸ πυθμέν' ἐλαίης.
Καὶ τόσον δυγενέος ῥίζης χάδεν, ὥς τε καλύψαι
Δενδρέα, καὶ πολλοὺς κορέσαι μελιηδέϊ καρπῷ
Ἀμφοτέρων πόλιός τε νόον, πόλιός τε κάρηνον,
Μείλιχος, ἀδολεπὴς, Μωσῆς νέος, ἤ τις Ἀαρὼν,
Μεσσηγὺς μερόπων τε, καὶ οὐρανίοιο θεοῖο
Ἑστηκὼς, καθαροῖσί τε λείσμασι καὶ θυέεσσιν
Ἡμετέρεις, οἷά τε θύει νόος ἔνδοθεν ἁγνὸς
Θνητοὺς, ἀθάνατόν τε θεὸν μέγαν ἐς ἓν ἀγείρων
Τοίου παιδὸς ἐγὼ καὶ μητέρος, οἷσιν ἐρίζειν
Οὐ θέμις. ἀλλάλοισι δ' ἐρίζεμεν οὔ τι μεγαίρω.
Τοὺς μὲν ἐγὼ κομέων τε καὶ ἀμφιέπων μογέοντας,
Ἐλπωρῇσιν ἔθαλπον ἐμὸν νόον, ὡς ἂν φέριστον
Ἐκτελέων, φύσιός τε φέρων χρέος. ἦν δ' ἄρα κεῖνο
Ἀβρεκὲς, ὡς ἀλιβροῖς πλείη δόλος ἐν βερέθρων,
Ὁππότε δὴ καὶ ἐμοὶ κακὸν ἤλυθεν ἐξ ἀγαθοῖο.
Καὶ γὰρ πυκιναί με καὶ ἀργαλέαι μελεδῶνες
Βοσκόμεναι ψυχήν τε καὶ ἄψεα νύκτα καὶ ἦμαρ,
Οὐρανόθεν κατάγουσιν ἐπὶ χθόνα μητέρ' ἐμοῖο.
Πρῶτον μὲν δμώεσσιν ἀνασσέμεν, οἷον ὀλέθρου
Δίκτυον, οἳ πικροὺς μὲν ἀεὶ στυγέουσιν ἄνακτας,
Τοὺς δ' ἱεροὺς πατέουσιν ἀναιδέες. οὔτε κακοῖσιν
Ἤπιοι, οὔτ' ἀγαθοῖς εὐπειθέες, ἀμφοτέροις δὲ
Κέντρα χόλου πνείοντες ὑπὲρ νόον. αὐτὰρ ἔπειτα
Κτῆσιν τ' ἀμφιέπειν καὶ Καίσαρος ἄχθος ἐπ' ὤμων
Αἰὲν ἔχειν, κρατερήν τε φέρειν πρήκτορος ὁμοκλήν.
Δασμὸς γὰρ μογέεσσιν ἐλεύθερον ἦμαρ ἀτίζει
Καιόμενος κτεάτεσσι. πόλις δ' ἐπὶ χείλεσι κεῖται,

Ἀμφί τε ἠλιθούσης ἀγορῆς θρόον, ἠδὲ θοώκους
Ὑψηλούς. θνητοῖσι δίκας ἀναλείπουσι μέλοντας
Στρωφᾶσθαι, ῥήτραις τε φέρειν κλόνον ἀντιπάλοισιν,
Ἢ δὲ νόμον στρεπτῆσιν ἐν ἀρνύσιν ἄλγεα πάσχειν.
Ἔνθα μόθος τε, πόνος τε, κακοὶ δέ τε πλεῖον ἔχουσιν
Ἐσθλῶν. οἱ δὲ νόμων ἐπιτάρροθοι, ἀμφοτέροισιν
Ὤνιοι. ἣν δὲ κακός τις ἔχοι πλέον, οὗτος ἄριστος,
Τίσκων ψεύδεα πολλὰ, δολοπλοκίας τ' ἀλέειστο
Νόσφι θεοῦ, τοιοῖς δὲ μετ' ἀνδράσιν. ἢ γὰρ ἀνάγκη
Προβοπάδην φεύγοντα κακοῖς ἀεὶ πάντα τινάξαι.
Ἢ καὶ ἀμπλακίῃσι μελαινέσθαι φίλον ἦτορ.
Ὥς τε πυρὸς μαλεροῖο κακῷ πελάοντας ἀϋτμῇ,
Ἢ πυρὸς, ἢ καπνοῦ σημήϊα λυγρὰ φέροντας.
Ἀλλὰ τὰ μὲν κ' ὤθεσκε. τόδ' ἄλγιον ἕλκος ἔμοιγε.
Ὅσσα κασιγνήτοιο βίον ἀεὶ τόνδε λιπόντος
Ἔτλην, καὶ παθέειν ἔτι γ' ἔλπομαι. οἱ γὰρ ἀέλπτοις
Γήμασιν ἐμπελάσαντες, ἀρέονα οὐ δοκίουσι.
Τοῦ μὲν ἐγὼ ζώοντος ἔχον κλέος οἷον ἀπ' ἄλλων.
Οὐ γ' ἐμάς ποτε πλοῦτος ἕλε φρένας, οὐδέ τις ἀλκή.
Ἄλγεα δὲ στοναχάς τε ἐπεὶ θάνε μοῦνος ἐδέγμην.
Χρήματα δ' ὅσσ' ἐπέπαστο, τὰ μὲν λάβε γαῖα χανοῦσα
Νικαίης βρασμοῖσιν ὅτ' ἤριπεν. ἄλλα δ' ἀλιτρῶν
Ἁρπάγδην παλάμῃσιν ἐλώρια θήκατο δαίμων.
Αὐτὸς δὲ κρυφθεὶς, μόρον ἔκφυγεν οὐρανίοιο
Χεῖρα θεοῦ τανύσαντος ὑπὲρ τέγος, ἐνθά περ ἦγε.
Ὦ μοι Καισαρίοιο, πάρος γε μὲν ἐν βασιλείοις
Ἀστὴρ ὣς ἔλαμπες ἑωσφόρος, οὔνομα σεμνὸν
Ἄκρα φέρων σοφίης τε καὶ ἤθεος ἱμερόεντος,
Καὶ πολλοῖς ἀδινοῖς τε φίλοις κομόων ἑτάροισι.
Πολλοῖς μὲν μογεροῖν ἄκος εὕρεο σώμασι νούσων.
Πολλοῖς δ' αὖ πενίης λύσιν ὤπασας αἴσιμα ῥέζων.
Νῦν δὲ θανὼν, πολλοὺς κόρεσας κύνας, οἵ μ' ὑλάουσι
Πάντοθεν ἑστάμενοι, πικρῶν δέ μοι οὔτις ἀρήγει.
Παῦροι δ' αὖ φιλέουσιν, ὁμοῖα δυσμενέεσσι
Ῥεῖν τι λαβεῖν τίουσιν, ἀτὰρ συγέουσι λαβόντες,
Ὡς δρυὸς ὑψικόμοιο βίαις ἀνέμοιο ῥιπούσης,
Κλῶνας ἀφαρπάζουσι πεδιστάδον ἄλλοθεν ἄλλος,
Ἢ μεγάλην φραγμοῖο διαρραισθέντος ἀλωὴν
Νηλειῶς τρυγόωσι παραβροχέοντες ὀδῖται,
Καὶ δρυμόθεν μονόφορβος ἐπῇ δηλήσατ' ὀδόντι.
Αὐτὰρ ἐμοὶ πόνος δεῖν ἀγασσένος. οὔτε κορέσσαι
Πάντας ἔτι ἀδινὸς δεῖν ἐμῆς χερὸς, οὔτ' ἀπερύκειν.
Ἐξ οὐ γὰρ πρώτιστον ἀπομάξας βιότοιο
Ψυχὴν οὐρανίοισι νοήμασι μίξα φαεινοῖς,
Καί με φέρων νόος αἰπὺς ἀπόπροθι σαρκὸς ἔθηκεν,
Ἔνθεν ἀναστήσας, σκηνῆς δέ με κρύψε μυχοῖσιν
Οὐρανίης, τριάδος δὲ φάος περίλαμψεν ὀπωπὰς
Ἡμετέρας, τῆς οὔ τι φαάντερον εἰσενόησα
Ὑψιθρόνου, ξυνόν τε σέλας καὶ ἄφραστον ἱείσης,
Ἥ τ' ἀρχὴ πάντεσσι, ὅσα χρόνος ὑψόθεν ἔργα,
Ἐκ τοῦ δὴ κόσμῳ τ' ἔθανον, καὶ κόσμος ἔμοιγε.
Καὶ νέκυς ἔμπνοός εἰμι. τὸ δ' ἀδινὸν οἷον ὄνειρον.
Ζωὴ δ' ἄλλοθί μοι. στενάχω δ' ὑπὸ σαρκὶ παχείῃ,
Τὴν ῥα σοφοὶ καλέουσι νόου ζόφον. ἰσχανόων δὲ,
Τῆς δὲ λυθεὶς βιοτῆς τε καὶ ὕψεος ἀχλυόεσσης,

Καὶ χειμῶνι ἐρχομένων πλαζόντων πλαζομένων τε,
Ἐσκότ' εἰσοράαν καθαρὸν στίβον, ἠέ τ' ἀμυδροῖς
Μίγδην εἰδώλοισι πεφυρμένον ὡς τὸ πάροιθεν,
Οἷς τε καὶ ἐξυπάτοιο νόοι πλάζονται ὀπωπαί,
Αὐτὴν δ' ἀτρεκίην καθαροῦ νοὸς ὄμματι λεύσσων.
Ἀλλὰ τὰ μὲν μετόπισθε, τὰ δ' ἐνθάδε καπνὸς ἄτιμος,
Ἡ κόνις, οἳ βιότοιο μέγαν βίον ἠλλάξαντο
Ὑψηλὸν χθονίοιο, καὶ ἔμπεδον ἀλλυμένοιο.
Τοιάνδε μοὶ καὶ πάντες ἐπέχραον. οὐδ' ἐθέλουσι
Χάζεσθαι σινέοντες ἐρημοτάτην ὑπὸ θήρην.
Αἲ αἲ Καισάρειος δὲ λυγρὴ κόνις, ὅς τις ἐμεῖο
Ὄχλον ἅπαντ' ἀπόργε διδοὺς ἅπαν ἄχθος ἀλύ-
Τιον ὡς ὅπω τις ἀδελφεὸν ἄλλος ἔπισχεν. (σκέψ
Αἰδόμενος θ' ὡς εἴ τις ἑὸν πατέρ' ἀμφαγαπάζων.
Αὐτὰρ ἐγὼ οὐ τόσσον ὀδύρομαι, οὐ βιότοιο
Σκιδναμένης τὸν ξεινὸν ἔχειν ἐπόθησα πορισμοῖς,
Οἷά τε καὐτὸς ἑὸν ὤλεσ' ἅμ' ἐνθάδ' ἀλήτης,
Ἔχθρα δ' ὑψίστ' ὀρόων γε δύσταρον ἰοῦσαν,
Οὐ πᾶσι θνητοῖσιν ἀπεχθὴς εἵνεκα λώβης,
Ἥτε καὶ ἤπιον ἄνδρα χόλου πίμπλησι τάχιστα,
Οὔτε κασιγνήτην, ἥ μοι τάφος ἀμφικαλύπτει
Ὠκυμόρους, πάντεσσιν ἐπιχθονίοισιν ἀγητός,
Ὅσσον ἐμὴν ψυχὴν ὀλοφύρομαι, ὥς τιν' ἄνασσαν
Καλήν τε μεγάλην τε, καὶ σύγγονον Βασιλείου
Εἰσορόων σθεναρῇσιν ἀλυκτοπέδαις μογέουσαν.
Ἣν δεῖ δυσμενέοντες ἕλον, χαλεπῇ δ' ἐνέδησαν
Δουλοσύνῃ, καὶ συγνὰ κατὰ χθονὸς ὄμματ' ἔρεισαν.
Τοῖα πάθον. τοῖον δ' ἄρ' ἔχω κατακάρδιον ἕλκος.
Ἀρχαίη φάτις ἐστὶν, ὅτ' ἐγχρίμψωσιν ὀδόντα
Γηρὸς ἔχις κακοεργὸν ἐπ' ἀνέρι, λοίγιον ἕλκος,
Μούνοις τοῦτο δ' ἔθελεν ἀγορευέμεν, οἷσιν ὁμοῖον
Λυγρὸς ἔχις πυρόεντι χόλῳ ἐνομόξατο λοιγόν.
Τὸν γὰρ δὴ καὶ μοῦνον ἐπίστατ' ἐς κακὸν ἄλγος.
Ὡς καὶ ἐγὼ κείνοισιν ἐμὸν πόνον ἐξαγορεύσω,
Οἷσιν ξυνὸς ἔρως, ξυνὸν κακόν, ἄλγος ὁμοῖον.
Μοῦνοι γάρ κεν ἐμοῖο φίλοις δέξαιατο μῦθον,
Καὶ γοεραῖς κραδίης μυστήρια γνοῖεν ἄριστα,
Οἳ στυγεροῦ παθέοντες ἐπωμαδὸν ἄχθος ἀείρων,
Καὶ μεγάλου Βασιλῆος ἐν ἔρκεσι μοῖραν ἔχοντες,
Εὐσεβίην στέργουσι, καὶ οἰκτείρουσι πεσόντας.
Τοῖς δ' ἄλλοις κεν ἔοι μυγέλως ἐμὰ κήδεα βάζων,
Ὧν πίστις κραδίην ἄκρην ἐχάραξεν ἐλαφρή.
Οὐδὲ διὰ σπλάγχνων ἦλθ' ἵμερος ὀξὺς ἄνακτος.
Ζῶσιν δ' ἐνθάδε μοῦνον ἐφημέρια φρονέοντες.
Ἀλλ' οἱ μὲν φθινύθουσιν, ἐπεὶ πάντεσσιν ὁμοίως
Γλῶσσαν ἐφοπλίζουσιν ἑτοιμότατον βέλος ἄλλοις
Ἐσθλοῖς, ἠδὲ κακοῖσιν. ἐγὼ γέ μὲν ὅτι γόοιο
Λήξω, πρὶν στονόεσσαν ἐπεκφυγέειν κακότητα,
Καὶ μάργοις παθέεσσι νόου κλεῖδ' ὑποθεῖναι.
Τοῖς νῦν πάντα θύρετρα πικρὸς σατὰν ἐξεπέτασσε,
Πρόσθεν ἐεργομένοισιν, ὅτ' ἔσκεπε χείρ με θεοῖο.
Οὐδ' εἶχον κακίης πρόφασιν πέλας, ἢ ῥα τάχιστα
Ἅπτεται, ὡς καλάμης γε πυρὸς μένος ἐγγὺς ἐόντος,
Ἄχρι καὶ ἐξ ἀνέμοιο πρὸς ἠέρα πυρσὸς ἀερθῇ.
Ὡς ὄφελον κρημνοῖσι καὶ οὔρεσι καὶ σκοπέλοισι

Κρύψαι τῇδε πάροιθεν ἐμὸν δέμας, ἦ κεν ἅπαντα
Τόνδε βίον, βιότου τε φυγὼν, σαρκός τε μερίμνας,
Χεῖρον ὅλον φερέστερον ἐνὶ φρεσὶ μοῦνος ἀπ' ἄλλων
Ναιετάων, οἷον τε θεῷ νόον ἁγνὸν ἀείρειν,
Μή σφ' ὅτε καὶ κέφασι σὺν ἐλπίσι τέκμαρ ἐπίσπεν.
Ὤφελον. ἀλλὰ πόθος με φίλων κατέρυκε τοκήων,
Ἕλκων οἷα τάλαντον ὑπὸ χθόνα. οὔ τι πόθος γε
Τόσσον, ὅσσον μυελόν τε καὶ ἔγκατα πάντα δαΐζων
Οἶκτος, ὅτις παθέων ἀγανώτατός ἐστιν ἁπάντων.
Οἶκτος μὲν πολιῆς θεοειδέος, οἶκτος αὐτῆς,
Οἶκτος ἀπαιδίης, οἶκτος δέ τε καὶ περὶ παιδός.
Ὥ ῥα περιβρομέουσι γλυκὺν πόνον αἰὲν ἔχοντες,
Ὀφθαλμὸν βιότοιο, καὶ ἄλγεσιν ἀσχαλόωντα.
Ὦ βίβλοι τὸ πάροιθε μέλον. τὰς πνεῦμ' ἐχάραξεν
Εὐαγέων γλώσσῃσι, καὶ ἐνθάδε γράμματος ἐσθλοῦ,
Πνεύματος ἀστράπτουσα χάρις, καὶ κρυπτὸν ὄνειαρ
Οἷσιν καθαροῖσι φαεινόμενον μερόπεσσιν.
Εὐχαί τε στοναχαί τε φίλαι καὶ νύκτες ἄυπνοι.
Ἀγγελικοί τε χοροὶ, ψαλμοῖς θεὸν οἵγ' ἐρίθουσιν
Ἱστάμενοι, ψυχαί τε θεῷ πέμποντες ἐν ὕμνοις,
Πολλῶν ἐκ στομάτων ξυνὴν ὄπα γηρύοντες.
Γαστρός τ' ἀρχεκάκοιο μόγος, καὶ μέτρα γέλωτος,
Ἀτρεμίη γλώσσης τε καὶ ὄμματος, ἠδὲ χόλοιο
Μαινομένοιο χαλινοί. λόγος δ' ἐς φέγγος ἀλαστὸν
Πάντοσε παπταίνοντα, νόον γ' ὑπὸ δ' ἔστρεφε χειρῶν
Ἐλπίσιν οὐρανίῃσι. λόγος δ' ὑπὸ πᾶσιν ἔκειτο
Εἰκὼν ἄγων πρὸς ἄνακτα. θεὸς δ' ὑποτέρπετ' ἐμοῖς.
Ἀντὶ δέ μοι κτεάνων καὶ ἀργαλέων ὀρυμαγδῶν,
Οἵ με καὶ ἐννυχίοισι κακοῖς βρίθουσιν ὀνείροις,
Φροντίσιν ἠματίαις γὰρ ὁμοῖα φάσματα νυκτὸς,
Ἦεν ἐν ὀφθαλμοῖσι θεοῦ σέλας, δισσεβέων τε
Ψυχῶν παμφανόωσα χοροστασίη τε κλέος τε.
Νῦν δὲ δὴ ἐξαπόλωλε κειμήλια πάντ' ἀπ' ἐμοῖο
Ψυχῆς, ἃ τὸ πάροιθεν ὅμιλε πᾶσιν ἀρίστοις.
Οἶος δ' ἐν τοῖς ἔμεινε πόθος, καὶ ἄλγος ἄελπτον.
Τοὔνεκεν αἰάζω. τὸ δ' ἐσαύριον οὐ σάφα οἶδα,
Εἴ με θεὸς παλίνορσον ἐς ἤθεα τὰ πρὶν ἀνάξει
Λύσας ἐξ ἀχέων, ἐκ δ' ἄχθεα πάντα τινάξας.
Ἠὲ πάρος μεσάτοισιν ἐν ἄλγεσιν ἔνθεν ἐλάσσει,
Ῥεῖ κ' αἴθρην ἰδέειν, πρὶν χ' ἕλκεσι φάρμακα θεῖναι
Δύσμορον, ἱμείροντα φάους πυμάτην μετὰ νύκτα.
Τῆμος ὀδυρομένοισιν ἐπάσσια τίσηον ἀμεῖβαι.
Ἐνθάδ' ἄκος μερόπεσσι, τὰ δ' ὕστατα δέσμια πάντα.
Ἤδη μοι πολιόν τε κάρη, καὶ ἄψεα ῥικνὰ
Ἔκλινθε βιότοιο πρὸς ἑὸν ὅρον ἀλγινόεντος.
Ἀλλ' ἔπω τοιόνδε τοσόνδε τε ἄλγος ἀνέτλην.
Οὐδ' ὅτε μαινομένοισι κορυσσόμενον γ' ἀνέμοισι
Γαίης ἐκ φαρίης ἐπ' Ἀχαιΐδα, πόντον ἔτετμον
Ἀντελίκη ταύροιο. τὸν ἐρρίγασι μάλιστα
Ναῦται, χειμερίου, ταῦροι δέ τε πείσματ' ἔλυσαν.
Ἐνθάδ' ἐγὼ νύκτας τε καὶ ἤματα εἴκοσι πάντα
Νηὸς ὑπὸ πρύμνῃ κείμην θεὸν ὑψιμέδοντα
Κικλήσκων λιτῇσι. τὸ δ' ἄφρεε κῦμ' ὑπὸ νῆα
Οὔρεσιν ἢ σκοπέλοισιν ὁμοίϊον ἔνθα καὶ ἔνθα.
Πολλοὶ δ' ἐν τοῖς ἐπεπλήγασιν δ' ἄρμενα πάντα,

Ὀξέα συρίζοντος ὑπὸ πνοιῇσιν ἀήτου.
Αἰθὴρ δ' ἐν νεφέεσσι μελαίνετο, καὶ στεροπῇσι
Λάμπετο, καὶ βρονταῖς περιάγνυτο πάντοσε φωναῖς.
Τῆμος ἐμαυτὸν ἔδωκα θεῷ, καὶ πόντου ἄλυξα
Ἄγριον εὐχωλῇσιν ὑποσχεσίῃσι πεσόντα.
Οὐδ' ὅτε παλλομένης γε θεμείλια σείετο πάντα
Ἑλλάδος εὐρυχόροιο, κακοῦ δ' οὐ φαίνετ' ἀρωγή.
Αὐτὰρ ἐγὼν τρομέεσκον, ἐπεὶ ψυχὴν ἀτέλεστον
Εἶχον ἔτ' οὐρανίοιο χαρίσματος, ᾧ τελέθων
Ἕλκεται ἀνθρώποισι χάρις καὶ πνεύματος αἴγλη.
Οὐδ' ὅτε νοῦσος ἔπληξεν ἐμὸν σῶμα πνεύμασι λάβρῳ,
Καὶ πνοιῆς στείνωσε πόρους, ζωῆς τε κελεύθους.
Οὐδ' ὁπότ' ἀφραίνοντι νόῳ λυγρὸν ἀμφὶς ἑλίξας,
Οὔτι ἑκὼν βλεφάρων περιηγέα κανθὸν ἄμυξα,
Αἱματόεντα δ' ἔθηκα. φάος δ' ἐμὸν οἷα φονῆος
Ὤλετο, ἀμπλακίῃ δὲ πικρὴν μέγα πένθος ἔτετμεν.
Οὐδὲ θεοῦ παλάμῃσιν ἐμῆς αὐτὴν ψυχῆς θυηλὴν
Πνεύματος, εἰ πάρος γε, πρὶν ἔκλυσα δάκρυσι πῆμα.
Ψαύειν μὴ καθαρῷ γὰρ ἁγνοῦ κακόν, ὡς πυρόεντος
Ἀδρανὲς ὄμμα φέρειν κατεναντίον ἠελίοιο.
Ἄλλά τε πόλλ' ἐμόγησα. τίς ἂν τάδε μυθήσαιτο,
Οἷς με θεὸς τεύχων τε καὶ εὐμενέων ἐκάλεσσεν.
Ἀλλ' ὅπω τοιοῖσδε κακοῖς πάρος ἀντεβόλησα,
Οἵοισι πυμάτοισιν ἐμὴ ἐνέκυρσε τάλαινα
Ψυχή. καὶ ποθέεσκον ἐλεύθερον ἦμαρ ἰδέσθαι
Πάντ' ἀποδυσαμένη, γυμνὴ φλόγας ὥς κε φύγῃσι,
Καὶ κόσμου κρατεροῖο λαβάς, καὶ χάσμα πέλωρον
Ἀμφιχανὲν μεμαῶτος ἑαῖς γενύεσσι δράκοντος,
Ὅν κε λάβῃ. βελίη γὰρ ἐμὸς νόος ἔσκεν ἐδητύς.
Τίς δώσει κεφαλῇ πηγῆς ῥόον ἢ βλεφάροισιν,
Ὡς δακρύων ὀχετοῖσι μολύσματα πάντα καθήρω,
Κλαύσας ὡς ἐπέοικεν ἁμαρτάδας. ἢ γὰρ ἄριστον
Δάκρυον ἐστὶ βροτοῖσιν, ἄκος ψυχαῖς τε μελαίναις.
Καὶ κόνις αἰθαλόεσσα, καὶ ἐν χθονὶ σάκκος ἀρυμνός.
Ὥς τις ἔμ' εἰσορόων τρομέει, καὶ φόρτος ἐν
Φεύγων Αἰγύπτοιο μέλαν πέδον, ἔργα τε πικρά,
Καὶ Φαραὼ βασιλῆα, πάτρην δ' ἐπὶ θεῖαν ὁδεύει,
Μὴ δὲ μένῃ Βαβυλῶνος ἐπὶ κραναοῖς πεδίοισι
Δυσκλεής, ὄχθῃσι παρεζόμενος ποταμοῖο,
Ὠδῆς ὄργανα πάντα παρακλίνας ἀτίνακτα
Δακρυόεις, ᾠδὴ δ' ἱερῆς ἐπὶ τέρματα γαίης
Δούλιον ἄστυ ἔλιπε φυγὼν ζυγόν, ὅς πρὶν ἔταρβε,
Καὶ νηοῦ μεγάλοιο θεμείλια χερσὶ βάληται.
Τὴν μὲν ἐγὼ πανάπυστος ἐπεὶ λίπον, ὕπο τ' ἔληξα
Ἱμερόων χαλεπὸν δὲ πάθος περὶ γῆρας ἔχουσι.
Καὶ κύψας ποτὶ γαῖαν ἐνὶ φρεσὶ πένθος ἀέξων,
Ἀζόμενος θνητούς τε καὶ ἀθάνατον βασιλῆα
Εἵμασί τε κραδίῃ τε κατηφιόων, καὶ ἄναυδος
Ἑλκομένων οἶκον ἄνακτος ὀϊζυΐ, ὃς χθαμαλοῖσιν
Εὐμενέων πάντεσσιν ὑπερφιάλους ἀθερίζει.
Οἷον δ' ἐξ ἱερῆς Σολύμων κατιόντα πόληος
Ἱεριχοῦς πολύανδρον ἐπὶ κλυτόν, ὥς ἐνέπουσι,
Φῶρες ἐδηλήσαντο κακοὶ λοχόωντες ὁδίτην,
Οἱ μὲν τὸν πληγῇσιν ἀεικελίῃσι τεμόντες,
Εἵματά τ' ἐκδύσαντες ἅμ' ἐν σκέπῃ, νηλέϊ θυμῷ
Λεῖψαν ἀποψύχοντα, θεοῦ δ' ἐνίκυρσαν ὁδῖται,
Λευίτης ἱερεύς τε, λίπον τε ἐν ἠλέϊ θυμῷ.
Καί που Σαμαρείων τις ἐπήλυθεν, ὅς σφ' ἐλέαιρε.
Καί μιν ἄγων κατέδησε, καὶ ἕλκεσι φάρμακ' ἔπασσε,
Καὶ μισθὸν κομέοντι, τέρας μέγα. πῶς Σαμαρείτης
Τὸν δ' ἐσιδὼν ἐλέησεν, ὃν οὐκ ἐλέησαν ἄριστοι.
Οὐ γὰρ ἐγὼ σάφα οἶδα τί δείδεται εἰκόνι τῇδε.
Οἷα θεὸς σοφίῃ μυστήρια ἀμφεκάλυψε.
Καὶ τὰ μὲν ἐλέησοι. τοῖσι δ' ἐγὼ ἀντεβόλησα
Ῥήμασι. καί μ' ἐδίδαξεν ὁμῶς ψυχῇσι μεγαίρων
Ληιστὴς βιότου κεδνῆς καταβαίνοντα πόληος,
Καὶ χριστοῦ μ' ἀπέδυσε χάριν, καὶ γυμνὸν ἔθηκεν,
Ὥσπερ Ἀδὰμ τὸ πρόσθε χοὸς καὶ πλάσιος ἀρχήν.
Ὃν γεύσις καθέηκεν ἐπὶ χθόνα. δ' ἐχθρὸς ἦεν.
Ἀλλά μ' ἀνεξελέησε, καὶ ἐκ θανάτοιο σάωσεν,
Ὃν λεῖψαν ἱρῆες, ἐπεὶ μογέοντ' ἐνόησαν.
Ἕλκεά τ' εὖ κατέδησεν, ἄγων ἐπὶ πανδόκον οἶκον.
Αὖθις δ' ἐς ἱερὴν πέμπεις πόλιν ἀρτεμέοντα,
Ἔμπεδον ἔνθα μένοιμι κακοὺς δ' ἀπὸ φῶρας ἐρύκοις,
Καὶ τρίβον ἀργαλέην, καὶ τραύματα, καὶ παροδίτας
Νηλέα θυμὸν ἔχοντας, ἐπ' εὐσεβίῃ κομόωντας.
Πυνθάνομ' ὡς δύο φῶτε, μέγα πνείων Φαρισαῖος,
Ὅς γε θεῷ πάντων προφερέστατος, ἠδὲ τελώνης
Κέρδεσιν οὐχ ὁσίοισι τεθυμμένος ἐνδόθεν ἦτορ,
Ἱρὸν εἰσανέβαντες, ὁ μὲν τὰ ἕκαστ' ἀγόρευε,
Νηστείας δεκάτας τε νόμου παρεμέτρει δ' αὐτὸν
Ἀνδράσι γε προτέροισι. λόγοις δ' ἀθέριζε τελώνην.
Αὐτὰρ ὁ δακρυχέων καὶ στήθεα χερσὶ πατάσσων,
Οὐδ' αὖ τὴν μεγάλοιο θεοῦ θρόνον οὐρανὸν εὐρὺν
Εἰσορόων, λεύσσων δὲ κατ' οὔδεος ὄμμασι δειλοῖς,
Τηλόθεν ἑστηὼς δ' ἐλιτάζετο, ἵλαος εἴης.
Ἵλαθι σῷ θεράποντι βοῶν βρίθοντι κακοῖσιν.
Οὐ νόμος, οὐ δεκάται μ', οὐκ ἔργματα καλὰ σαώσει.
Οὐδ' ὅγ' ὑπερβολίων ψεύστης. καὶ νηὸν ἔγωγε
Αἰδέομ' οὔ τι πόδεσσιν ἐπιψαύειν ὁσίοισι.
Σὴ δὲ χάρις, σὸς δ' οἶκτος ἐμοὶ στήξει βέβηλον.
Ἣν μούνην δειλοῖσιν ἄναξ πορὲς ἐλπίδ' ἀλιτροῖς.
Ὣς φάσαν. ἀμφοτέρων δὲ θεὸς κλύε. καί ῥ' ἐλέησεν
Ὃν μογέοντ' ἐνόησεν. ὑπερμενέοντα δ' ἄπωσεν.
Ὡς ἴδες, ὡς ἐδάκρυσας, ἐμοὶ θεὸς θάρσος ὄπαζεν.
Οὗτος ἐγὼ Σονᾶνος ὁ πάγκακος εἰμὶ τελώνης.
Ὡς δὲ βαρυστενάχων, τοίην δ' ὑπὲρ λιτὴν ἀρωγήν.
Λίσσομαι, εἴ ποτε δή σε πατὴρ καὶ πότνια μήτηρ
Δάκρυσι καὶ στοναχῇσι καὶ εὐχωλῇσιν ἔτισαν,
Ἤ τινά τοι κτεάνων τυτθὴν ἀπὸ μοῖραν ἔνειμαν,
Ἢ θυσίαις καθαρῇσι καὶ εὐαγέεσσι γέρηραν.
Οὐ γὰρ ἐγώ ποτε σοῖο ἐπάξιον οὐδὲν ἔρεξα, (μνας.
Τῶν μνῆσαι, καὶ ἄλαλκε. κακὰς δ' ἀπόπεμπε μερί-
Μὴ δέ με συμπνίξειαν ἑοῖς πλόκοισιν ἄκανθαι,
Μηδ' αὖ ἐπαγόμενον θάλλω ὁδὸν ἂψ ἐρύκοιεν,
Ἄλκαρ ἐμὸν πέμπεις δέ μ' ἀπήμονα. σὸς γὰρ ἔγωγε
Λάτρις. σὸν δὲ λάχος. σὺ δέ μοι θεὸς οἶος ἄνωθεν.
Σοὶ δέ μ' ἀπὸ σπλάγχνων μήτηρ ἀνέθηκε φέρουσα
Ἤματι τῷδ', ὅτε κοῦρον ἑοῖς ἐπὶ γούνασι θῆκε
Παῖδα ποθεῦσ', ἱερῆς Ἄννης ἐμνήσατο φωνῆς.

Κοῦρον ἐγὼ μὲν ἰδοίμι. σὺ δ' ἔρκεος ἐντὸς ἐέργεις
Χερσὶν ἄναξ ὠδῖνος ἐμῆς ἐριθηλέα καρπόν.
Εἶπε· θεὸς δ' ἐπένευσεν, ὁ δ' ἔσσυτο θεῖος ὄνειρος
Οὔνομα μητρὶ φέρων. μετέπειτα δὲ κοῦρον ἔδωκας.
Ἢ δή με ζωῆς ἱεροῖσιν οἷον ἀνέθηκε Σαμουήλ,
Εἴ ποτ' ἔην. νῦν δ' αὖτ' ἐναρίθμιός εἰμι βεβήλοις
Ἠλείζου θρέπτοντος ἀγκαλέος υἱέσι μάργοις.
Οἳ θυσίας καθαρῇσιν ἐπέχραον ἄφρονι θυμῷ,
Χερσὶν ἐφαπτόμενοι θείων λίχνῃσι λεβήτων.
Τοιάδε καὶ χαλεπῆς κύρσαν βιότοιο τελευτῆς.
Ἀλλ' ἤ γ' ἐλπωρῇσιν ἀμείνοσι μοῖραν φύσαμε
Σοὶ τεκέων. βίβλοισι δ' ἐμὰς χεῖρας ἤγνισε θείαις.
Καί μ' ἀγαπαζομένη, τοίῳ προσεφώνεε μύθῳ.
Ἤδη τις φίλον υἷα θεόσδοτον ἤγαγε βωμῷ,
Σπεύδοντ' ἐς θυσίην ἱερήϊον ἐσθλὸν ἄριστος.
Σάρρας ὀψιτόκοιο γόνον, ῥίζαν τε γενέθλης.
Ἣν ἐλπὶς ἐχάρασσεν, ὑποσχεσίῃ τε θεοῖο.
Ἀβραὰμ ἱερεύς. ἀμνὸς δέ τε κύδιμος Ἰσαάκ.
Αὐτὰρ ἐγὼ ζωόν σε θεῷ γέρας, ὥσπερ ὑπέστην,
Δωροῦμαι. σὺ δέ μοι μαζοῖς τελέσειας ἐέλδωρ.
Ἢ τέκον εὐξαμένη, καὶ εὔχομαι εἶναι ἄριστον.
Τοῦτον ἐγώ σοι πλοῦτον ἐμὸν τέκος ἐσθλὸν ὀπάζω.
Ἐνθάδε ἐστὶ μετέπειτα. τὰ δ' ὕστατα πολλὸν ἀρείω.
Μητρὸς μὲν πόθος οὗτος. ἐγὼ δ' ὑπόειξα πόθοισι
Παῖς ἔτ' ἐών. ἁπαλὴ δὲ νέην ὑπεδέξατο μορφὴν
Εὐσεβίης ψυχή. σφραγὶς δ' ἐφυλάσσετο Χριστοῦ
Νεύμασιν. ὅς ῥ' ἀνάφανδον ὁμίλεεν ᾧ θεράποντι.
Σωφροσύνη δέ μ' ἔδωκε φίλη, καὶ στέρξα τέλεσσε.
Καὶ θερμὸν σοφίης θείης ἐπέπνευσεν ἔρωτα.
Καὶ μοναχοῦ βιότοιο βίου μέλλοντος ἀπαρχὴν
Γλυκερῆς ὑπεστέοντος ἑὸν δέμας ἀμφαγαπώσης.
Ῥήμασί θ' αἱμυλίοισι πικρὴν ὑπὸ γεῦσιν ἀγούσης.
Ἀλλὰ θεοῦ πέμποντος ἀγαθὸν πόθον, οὐδὲ γυναικί,
Καὶ Χριστῷ τέμνοντος, ὅλον θεῷ ἐκγεγαῶτα.
Ὅς με διὰ σεισμοῦ τε καὶ ἀργαλέης ὑπὸ λεπτὴν
Τάνυον ἀτραπίτοιο πύλην σὺν ἀφείονι πομπῇ,
Οὔτι βατὴν πολλοῖσι, θεῷ θεὸν ἦγ' ἀπὸ γαίης
Τυκτὸν ἐὰ γεγαῶτα, καὶ ἄφθιτον ἐκ θανάτοιο
Εἰκόνι σοῦ μεγάλοιο θεοῦ, καὶ σῶμ' ἐπαγωγὸν
Ἕλκων, οἷα μάγνησσα λίθος αἴθωνα σίδηρον.
Ὤμοι ἐγών. ὦ λυγρὰ καὶ αὖτις ἔργα παθοῦσα
Ψυχή. ὦ θνητοὶ κενεαυχέες, ὡς ἐτεόν γε
Λεπταλέαις αὔρῃσιν ἐοικότες οἱ γενόμεσθα.
Ἠὲ καὶ ὀνείροιο παλιμπλάγκτοισιν ἐρωαῖς
Στρωφώμεσθ' ὑπὸ γαῖαν ἑτώσια φυσιόωντες.
Κοὐδὲν ἀνθρώποισιν ὁμοῖον ἐς τέλος ἐστίν,
Οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν. ὁδοὶ δ' ἄγχιστα ἔασιν.
Οὐδ' ὁ κακὸς τό γε οἶδεν ἐς ὕστερον, ὁππόθι λήξει.
Οὔτ' ἐσθλοῖς ἀρετὴ μένει ἔμπεδον, ἀλλὰ κολούει,
Ὡς τάρβος κακίην, ἀρετὴν φθόνος. ἀμφοτέροις δὲ
Κάμπτεσθ' ἠμερίων χρειὼς γ' ἐκέλευσε γενέθλην.
Ὥς κεν ἄνω σεύοιμεν ἑὸν δρόμον εἰσορόωντες.
Κεῖνος δ' ἐστὶν ἄριστος, ὃς ἰθεῖαν ὁδὸν ἕλκει.
Οὐδὲ μεταστρέφεται σοδόμων ὑπὸ τέφραν ἐρήμην.
Ἣν διὰ μαργοσύνην ξείνων πυρὶ δηωθέντων.

Φεῦγε δ' ἐσσυμένως ἐς ὄρος. πάτρης δὲ λέλησται,
Μὴ μῦθος καὶ λᾶας ἁλὸς μετόπισθε λίπηται.
Μάρτυς ἐγὼ παθέεσσιν ἐμοῖς βροτέης κακότητος.
Παῖς μὲν ἐών, ὅτε τυτθὸν ἐνὶ στήθεσσι νόημα,
Οἷον δὴ σκιόεντι λόγῳ, καὶ ἤθεσι κεδνοῖς
Ἑσπόμενος πρόσβαινον ἄνω λάμποντι θοώκῳ,
Ἴχνεσιν ἀπλανέεσσιν ἑὸν βασιλήϊον οἶμον.
Νῦν δ' ὅτε μῦθον ἄγειρα, βίου δ' ἐπὶ τέρμαθ' ἱκάνω,
Οἷα μεθυπλανέεσσι τάλας ποσὶ δόχμια βαίνω.
Καί με παλαντεύει σκολιοῦ μόθος ἑρπηστῆρος,
Λάθρα καὶ ἀμφαδίην κλέπτων φρένας ἐσθλὰ σοβεῦσας.
Ἄλλοτε μέν τε θεῷ τείνω ὄσσον, ἄλλοτε δ' αὖτε
Ἕλκομαι ἐς κόσμοιο κακὴν χύσιν. ὀλίγην δὲ
Μοῖραν ἐμῆς ψυχῆς λωβήσατο κόσμος ἀπείρων.
Αὐτὰρ ἐγὼ εἰ καί με κακὰ ἐκάλυψε μέλαινα,
Καὶ δνοφερὸν προπάροιθεν ἰὸν χέεν ἐχθρὸς ἐμεῖο,
Σπίνος ὡς ἐμέσωσα καθ' ὕδατος, ἀλλὰ καὶ ἔμπης
Τόσσον ἔτ' εἰσορόω καὶ δέρκομαι, ὅσσον ἄριστα
Ἴδμεναι, ὅστις ἐών, καὶ οἳ ποθέων ἀνορούσαι,
Οἰκῶμαι δύστηνος. οἷόν τ' ὑπὸ γαῖαν ὄλισθον
Ἢ καὶ γῆς ὑπένερθεν ἐς εὐρώεντα βέρεθρα.
Οὔτε παραιφασίῃσιν ἰαίνομαι, οὔτε λόγοισι
Κλέπτομαι, οἳ παθέεσσιν ἀρηγόνες. οὔτε με τοῖσιν
Ἀλλοτρίης κακίης ὑποτέρπομαι, ὥστις ἄριστος.
Τίς γὰρ τεμνομένοισι χάρις μεγίστη σιδήρῳ
Ἄλλων τεμνομένων ὁράαν χαλεπώτερον ἄλγος;
Ἢ τί κακοῖσιν ὄνειαρ, ἀτασθαλίῃσι χερείων;
Ἐσθλοῦ μὲν γὰρ κρείττονος ἀρείονος ἐσθλὸς ἐπαύρει.
Ὡς δὲ κακός. καὶ γὰρ τί ὁρᾶν τυφλοῖσιν ὄνειαρ;
Τέρπεσθαι δὲ κακοῖσι, τελεσφόρης κακότητος.
Εἰ δέ τις ὄντα κάκιστον ἔειπαι ἔμμεν ἄριστον,
Ἄχθος ἐμοί. καὶ κρυπτὸς ἐνὶ στήθεσσιν ὀδυρμός.
Κρεῖσσον ἄριστον ἐόντα δοκεῖν κακόν, ἢ κάκιστον
Κῦδος ἔχοντ' ἀγαθοῖο τάφον ψεύστην μερόπεσσιν
Ἔμμεναι. ὃς μυδᾶσι νεκροῖς ἔμπεδον ὀδωδώς,
Ἔκτοθεν ἀστράπτει κονίῃ καὶ χρώμασι τερπνοῖς.
Ὄμμα μέγα τρομέωμεν, ὃ καὶ γαίης ὑπένερθε
Λεύσσει, καὶ πόντοιο μέγαν βυθόν, ὅσσά τε κεύθει
Νοῦς μερόπων. τέμνει δ' οὐδὲν χρόνος. ἀλλὰ πάρεστι
Πάντα θεῷ. πῶς κρύπτεις ἑὸν κακὸν ἀμφικαλύπτοι.
Ἤματι δ' ὑστατίῳ που κεύθομεν ἡμέας αὐτούς.
Ἤ τίς ἀλεξήσει. πῶς λήσομεν ὄμμα θεοῖο,
Ἡνίκα πῦρ κρίνησι καθάρσιον ἔργματα πάντων,
Βοσκόμενον κακίης κούφην φύσιν, αὐαλέην τε.
Τὴν μὲν ἐγὼ τρομέω καὶ δείδια νύκτα καὶ ἦμαρ
Εἰσορόων ψυχὴν θεόθεν πίπτουσαν ἔραζε,
Καὶ χρόος ἆσσον ἰοῦσαν, ὃν ἐκφυγέειν μενέαινον.
Ὡς δ' ὅτε χειμερίοιο παρ' ὄχθῃσιν ποταμοῖο,
Ἢ πίτυν ἢ πλατάνιστον ἐπηετανὸν κομόωσαν,
Ῥηγνύμενος ῥίζῃσι ῥόος δηλήσατο γείτων.
Τῆς δή τοι πρῶτον μὲν ὑπείχματα πάντα τίναξε,
Καὶ κρημνὸν μὲν ἔθηκεν ἐπήωρον. αὐτὰρ ἔπειτα
Βαιοῖσι ῥίζῃσιν ἐρυκομένην προβέλυμνον,
Κρημνοῦ ἀπορρήξας μεσάτους ἐνὶ κάββαλε δίνας.
Καί μιν ἄγων μεγάλοιο πάταγον πέτρῃσιν ἔδωκεν.

Ἔνθα δὲ μὲν ὄμβρος καὶ ἀφυσγετὸς αἰγὸς ὀρέων,
Σκῆψαν. ἀτιμότατον δὲ τρύφος περὶ χείλεσι κεῖται.
Ὣς καὶ ἐμὴν ψυχὴν χριστοῦ θαλέθουσαν ἄνακτι,
Λάβρος ἐπαΐσσων χαμάδις βάλεν ἐχθρὸς ἀτειρής.
Ἧς πλεῖστον μὲν ὄλωλε. μακρὸν δὲ τὸ λείψανον αὔτως
Πλάζεται ἔνθα καὶ ἔνθα. θεὸς γε μὲν αὖθις ἐγείραι.
Ὅς ῥα καὶ οὐδὲν ἐόντας ἐπήξατο. καὶ μετέπειτα
Λυομένους πήξει τε, καὶ ἐς βίον ἄλλον ἐρύσσει,
Ἢ πυρὸς, ἢ θεοῖο φαεσφόρου ἀντιάσοντας.
Εἰ δὲ θεοῦ, καὶ ἅπαντας ἐσύστροφον ἄλλοθι κεῖσθαι.
Χριστὲ ἄναξ, εἰ καί με νεκρὸν καὶ ἀνάλκιδα φωτῶν
Δυσμενέων κελεύσει, λάθρη δὲ ὑπομυχθίζουσι,
Κινυμένας κεφαλῇσιν ἐμὴν γελόωντες ὀϊζύν,
Μή με λίπῃς χάρισσιν ὑπ' ἀντιβίοισι δαμῆναι.
Πρῶτα μὲν οὐρανίοισιν ἐν ἐλπίσιν αὖθις ἐρείδοις.
Καί μοι σβεννυμένου τυτθὴν στάξας ἐλαίου
Ἱκμάδα δειλαίου λύχνου φωστῆρος ἀρωγόν.
Ὥς κεν ἐγειρομένοιο πυρὸς, παλινάγρετον ἔλθῃ
Φῶς ἀναβλύσαν. ζωῆς δὲ τύχοιμι φαεινῆς.
Δεύτερον ἄχθεα πάντα δίδου ἀνέμοιο θυέλλαις
Ῥίψας δ' ἐμέθεν. πνοιὴν δὲ ὀπάσσειας ἐλαφρήν,
Οἷσιν ἀδαὴς ἐδάμασσας ἐμὸν κέαρ. εἴτε με πικρῆς
Τινύμενος κακίης, εἴτ' ἄλγεσιν, ὡς ὅτε πῶλον
Παντοίοισι δρόμοισι, καὶ ἠλιβάτοισι δαμάζων.
Εἴτε τιν' ὄγκον ἐμῆς ἴσχων φρενός. ὅς ῥα τάχιστα
Φύεται εὐσεβέεσσιν, ὅσοι νόον εἰσὶν ἐλαφροί.
Οἱ κακὸν δ' ἀγαθοῖο θεοῦ τύφον ἁρπάζουσιν.
Εἴτε κακοῖς ἐθέλων σωτὴρ λόγος ἡμετέροισι
Παιδεῦσαι θνητοῦ βιότου στυγερὴν κακότητα
Ὡς οὐχ ἱσταμένης, πᾶσιν δ' ἤδη πήματ' ἄγοντος
Ἐσθλοῖς, ἠδὲ κακοῖσι. βίον δ' ἤδη ἄλλον ἐπείγειν,
Ἔμπεδον, ἀστυφέλικτον, ἀρείονά τ' εὐσεβέεσσιν.
Ἀλλὰ τὰ μὲν σοφίης μεγάλοις ἐνὶ βένθεσι κεῖται,
Ὅσσα φέρει στρεπτοῖο βίου παίγνια θνητοῖς
Ἐσθλά τε καὶ τὰ χέρεια, λόγον δέ τε πάντα φέριστα,
Κἂν πλείω φαίνηται νόου πάχος ἡμετέροιο.
Νωμᾷς δ' ἔνθα καὶ ἔνθα σοφῶς οἴηια κόσμου,
Οἷσιν ἐλαυνόμενοι τρηχὺ σπιλάδεσσι κακοῖσι,
Λαῖτμα μέγ' ἐκπερόωμεν ἀπειροτάτου βιότοιο.
Αὐτὰρ ἐγὼ μογέων, καὶ πήμασι παντοδαποῖσι
Τειρόμενος, κάμπτω σοι γούνατα. πέμψον ἐμοί γε
Δακτύλου ἰκμαλέου ξηρὴν φλόγα Λάζαρον ὦκα
Γλῶσσαν ἀναψύξοντα. χάος δέ με μηκέτ' ἐρύκοι.
Μὴ δ' Ἀβραὰμ μεγάλου κόλπων ἀπάνευθε βάλλοι
Πλούσιον ἐν παθέεσσι. τεὴν δ' ἤδη χεῖρα κραταιὴν
Πέμψειας. ἀχέων δὲ πόροις ἄκος. ὡς δέ με πάντα
Θαύματα σὰ τὸ παλαιὸν δείξαις ἀθρόον, ὡς τὸ πάροιθεν.
Εἰπὲ, καὶ αἱματόεσσα ῥύσις λῆξεν τάχιστα.
Εἰπὲ, καὶ ἐκμανέεσσι συῶν ἀγέλῃ λεγεῶνος
Πνεῦμα, καὶ ἐν πελάγεσσι πέσε. χάζοιτο δ' ἐμεῖο.
Καὶ λέπρην ἐλάσειας ἀτερπέα. καὶ φάος ἔλθοι
Ὄμμασιν οὐχ ὁρόωσι. καὶ οὔατα φθόγγον ἀκούοι.
Καὶ ξηρὴν τανύσειας ἐμὴν χέρα. δεσμά τε γλώσσης
Ῥήξειας. στήσαις δὲ ποδῶν βάσιν ἀδρανέουσαν.
Ἐκ δ' ἄρτων κορέσαις ὀλίγων. στορέσαις δὲ θάλασσαν
Δαμαλέην. στρέψαις δὲ φαάντερον ἠελίοιο.
Πήξειας δὲ μέλη βεβαρηότα. ἐκ νεκύων δὲ
Αὖθις ἀναστήσειας ὀλωλότα. μὴ δέ μ' ἄκαρπον
Οἷα συκῆν τὸ πάροιθεν ἰδὼν ξηρὸν τελέσειας.
Ἄλλος μέν τ' ἄλλοισιν ἀρηγόσι χεῖρε πέποιθεν
Αἵματι καὶ τέφρῃ, καὶ ὀφρυῒ σώφρονι οὔσῃ,
Οἵ τ' ἄλλῃ χατέουσιν ἀρηγόνος ἐπιδανοῖο.
Σοὶ δ' ἄρ' ἐγὼ μούνῳ ἐκσαλεῦντα τε μῦθον ἐλάφθην.
Ὃς πάντων κρατέεις, καί μοι σθένος ἐσσὶ μέγιστον.
Οὔ μ' ἄλοχος κομέουσα δυσαλθέα κήδεα λύσει,
Ἥ τε καὶ ἀχλυόεντα περιγλυκέεσσιν ἰαίνει.
Οὐδὲ φίλοις παίδεσσιν ἀγάλλομαι, οἷς ὑπὸ γῆρας
Ὀρθοῦται νεαροῖσιν ὑπ' ἴχνεσιν αὖθις ὀδεῦον.
Οὐδὲ κασιγνήτοις ἐπιτέρπομαι, οὐδ' ἑτάροισι.
Τοὺς μὲν γὰρ στυγερὸς μόρος ἥρπασεν. οἱ δὲ φιλεῦντες
Νηνεμίην, ἑτάρων ὀλίγην φρίκα τρομέουσι.
Ξείνην τὴν πολλὴν οἴην ἔχον, ὡς ὅτε πηγὴν
Διψαλέην ψυχὴν ἔλαφος σχεδὸν, ἄνδρας ἀρίστους
Χριστοφόρους ζώοντας ἐπὶ χθονὶ σαρκὸς ὕπερθεν,
Πνεύματος ἁγνοῖο φίλους, καὶ λάτριας ἐσθλούς,
Ἀζυγέας, κόσμοιο περίφρονας. ἀλλὰ καὶ αὐτοὶ
Μαρνάμενοι περὶ σεῖο διακριδὸν ἔνθα καὶ ἔνθα
Ἵστανται. ζῆλος δὲ θεοῦ λύσε θεσμὸν ἀθέσμως,
Ἁρμονίην τ' ἀγάπης, ἧς οὔνομα μοῦνον ἐλείφθη.
Ὡς δ' ὅτε τίς τε λέοντα λιπὼν ἄγριον πελάσσειε
Μαινομένῃ, καὶ τὴν δὲ φυγὼν ἐς δῶμα πέσῃσιν
Ἀσπασίως, καὶ χεῖρα ἑὴν πρὸς τοῖχον ἐρείσῃ,
Ἔνθεν δ' ἐκ προθορὼν μιν ὄφις τύψῃσιν ἀέλπτως,
Ὣς καὶ ἐμοὶ πολλοῖσιν ἐλαυνομένῳ παθέεσσιν,
Οὐδὲν ἄκος καμάτοιο. τὸ δ' ἄλγιον, ἔνδοθεν εὗρον.
Πάντῃ δ' ἀθρήσας τε καὶ ἐν πάντεσσι μογήσας,
Ἐκ σέθεν εἰς σὲ μάκαρ λεύσσω πάλιν, ἄλκαρ ἐμοῖο,
Παντοκράτορ, ἀγένητε, καὶ ἀρχὴ, καὶ πάτερ ἀρχῆς
Υἱέος ἀθανάτοιο, φάος μέγα φωτὸς ὁμοίου
Ἐξ ἑνὸς εἰς ἓν ἰόντος ἀτεκμάρτοισι λόγοισιν,
Υἱὲ θεοῦ, σοφίη, βασιλεῦ, λόγε, ἀτρεκίη τε,
Εἰκὼν ἀρχετύποιο, φύσις γενέτορος ἴση,
Ποιμὴν, ἀμνὲ, θύος τε, θεὲ, βροτὲ, ἀρχιερεῦ τε,
Πνεῦμα θ' ὃ πατρόθεν εἶσι νόου φάος ἡμετέροιο
Ἐρχόμενον καθαροῖσι, θεὸν δέ τε φῶτα τίθησιν,
Ἵλαθι, καί μοι ὄπασσον ἐπιπλομένοις ἐνιαυτοῖς,
Ἐνθάδε καὶ μετέπειτα ὅλῃ θεότητι μιγέντα,
Γηθοσύνως ὕμνοισι διηνεκέεσσι γεραίρειν.

ΠΑΡΘΕΝΙΗΣ ΕΠΟΣ.

Παρθενίην στεφάνοις ἀναδήσομεν ἡμετέροισιν,
Ἐκ καθαρῆς κραδίης καθαροῖς μέλποντες ἐν ὕμνοις.
Τῆς γὰρ ἡμετέροιο βίου ξυνήιον ἐσθλὸν,
Χρυσοῦ τ' ἠλέκτρου τε φαάντερον, ἠδ' ἐλέφαντος.
Οἷς ζωὴν χθονίην χαμάδις βάλε πρόθυμος οἶστρος,
Πρὸς θεὸν ὑψιμέδοντα νοῦ πτερὸν ἔνθεν ἀείρων.
Ἀρχομένου δ' ὕμνοιο σιωπήσασθε μὲν ἁγνοί.
Ξεῖνον γὰρ πάντεσσιν ὕμνος γέρας εὐαγέεσσιν.
Οἱ φθονεροὶ δὲ θύρῃσιν ἐπιφράσσασθε ἀκουάς.
Εἰ δέ τις ἀμπετάσειεν, ἁγνίζοιτο φρένα μύθῳ,

Παρθενίη

Παρθενίη μέγα χαῖρε, θεόσδοτε, δῶρον ἑκάστου,
Μῆτερ ἀπημοσύνης, χριστοῦ λάχος, οὐρανίοισι
Κάλλεσιν ἀζυγίεσσιν ὁμόζυγε. ἀζυγίη γὰρ
Πρῶτα θεὸς, μετέπειτα θεοῦ χορὸς αἰγλήεντος.
Ἤτοι ὁ μὲν πηγὴ φαέων, φάος οὔτ' ὀνομαστὸν,
Οὔθ' ἑλετὸν, φεῦγόν τε νόου τάχος ἐγγὺς ἰόντος,
Αἰεὶ ὑπεκπροθέον πάντων φρένας, ὥς κε πόθοισιν
Ἑλκώμεσθα πρὸς ὕψος ἀεὶ νέον. οὐδέ τι φῶτα
Δεύτερα ἐκ τριάδος βασιλήιον εὖχος ἐχούσης.
Πρώτη παρθένος ἐστὶν ἁγνὴ τριάς. ἐκ μὲν ἀνάρχου
Πατρὸς, υἱὸς ἄναξ οὔτ' ἔκποθεν ὁρμηθέντος,
Αὐτὸς γὰρ πάντεσσιν ὁδός καὶ ῥίζα καὶ ἀρχή,
Οὔτε πάϊν θνητοῖσιν ὁμοίια γειναμένοιο,
Ἀλλ' ὡς ἐκ σέλαος σέλας ἔρχεται. ἐκ δ' ἄρα παιδὸς,
Οὐκ ἔτι παῖς ἀγαπητὸς ὁμοίιον εὖχος ἐφίλαων.
Ὥς κεν ὁ μὲν μίμνῃ γενέτης ὅλος. αὐτὰρ ὅγ' υἱὸς
Οἷον καὶ μούνοιο μονώτατος εἰς ἓν ἰόντι
Πνεύματι σὺν μεγάλῳ, τὸ, πατρόθεν ἄσιν ὁμοῖον,
Εἷς θεὸς ἐν τελέοισιν ἀνεγρόμενος φαέεσσι.
Τοῖα μὲν τριάδος καθαρὴ φύσις. ἐκ δ' ἄρα κείνης,
Ἄγγελοι αἰγλήεντες, ἀειδέες, οἵ ῥα θόωκον
Ἀμφὶ μέγαν βεβαῶτες ἐπουρανόθεν εἰσὶν ἐλαφροὶ,
Πῦρ καὶ πνεύματος θεῖα δι' ἠέρος ὦκα θέοντες,
Ἐσσυμένως μεγάλῃσιν ὑποδρήσσουσιν ἐφετμαῖς.
Τοῖσι μὲν οὔτε γάμος, οὔτ' ἄλγεα, οὐ μελεδῶναι,
Οὐ παθέων κλόνος αἰνὸς ἀτάσθαλος, οὐ μελέεσσι
Σχίζοντ', ἀλλὰ δέμασιν ὁμόφρονες ἀλλήλοισιν.
Αὐτῷ τοιοῦτος ἕκαστος. ἓν φύσις, ἓν τε νόημα,
Εἷς πόθος ἀμφὶ ἄνακτα θεὸν μέγαν. οὐδέ τι παισὶ
Τέρποντ', οὔτ' ἀλόχοισι, γλυκὺν πόνον ἀμφιέποντες
Οὐ πλοῦτος κείνοισιν ἐράσμιος, οὐδ' ὅσα θνητοῖς
Γαῖα φέρει κακίης μελεδήματα. οὐκ ἀρόουσιν,
Οὐ πελάγει πλώουσιν ἀταρίος εἵνεκα γαστρὸς.
Γαστρὸς ἀρχεκάκοιο. τροφὴ μία πᾶσιν ἀρίστη
Ἰαίνυσθαι μεγάλοιο θεοῦ νόον, ἠδὲ φαεινὴν
Ἕλκειν ἐκ τριάδος σέλας ἄπλετον. οἰόβιοι δὲ
Ζώουσιν καθαροῖο θεοῦ καθαροὶ θεράποντες,
Ἁπλοῖ τε, νοεροί τε, διαυγέες. οὔτ' ἐκ σαρκῶν
Ἀρχόμενοι, σάρκες γὰρ ἐπεὶ πάγεν, αὖθις ὀλοῦνται,
Οὔτ' ἐπισπέρχοντες ἰόντες, ὅπερ δ' ἐγένοντο μένοντες.
Τοῖς μετὰ παρθενίης θεοείκελος οἶμος ἑτοίμη
Πρὸς θεὸν, ἑσπομένη τε νοήμασιν ἀθανάτοιο
Νωμῶντος μεγάλοιο σοφῶς οἰήια κόσμου.
Ἐν δὲ καὶ οὐρανίδην χθόνιον μεγαλήτορα θνητὸν,
Ἀνθρώπων μερόπων ἱερὸν γένος, εὖχος ἄνακτος.
Εἰ δ' ἄγε νεῦν ὁρίω μυστήρια κεδνὰ θεοῖο,
Παρθενίη τε χρόνοισιν ὅπως πυμάτοισιν ἔλαμψεν.
Ἦν ποτ' ἔην, ὅτε πάντα κελαινὴ νὺξ ἐκάλυπτεν.
Οὐδ' ἄρ' ἔην ἠὼς ὁρατὸν φάος. οὐδὲ κέλευθον
Ἠέλιος πυρόεσσαν ἐπέσσυτο ἀντολίηθεν.
Οὐ μήνη κερόεσσα φαείνετο, νυκτὸς ἄγαλμα.
Πάντα δ' ἅμ' ἀλλήλοισι φορεύμενα, μὰψ ἀλάλητο
Πρωτογόνου χάεος ζοφεροῖς δεδμημένα δεσμοῖς.
Ἀλλὰ σὺ χριστὲ μάκαρ πατρὸς μεγάλου φραδίῃσι
Πειθόμενος, τὰ ἕκαστα διέκρινας ἐν τῇ κόσμον,

Ἤτοι μὲν πρώτιστα φάος γένετ', ὄσκεν ἅπαντα
Ἔργα πέλοι χαρίεντα φάους πλέα. αὐτὰρ ἔπειτα
Οὐρανὸν ἀστερόεντα κυκλώσαο θαῦμα μέγιστον,
Ἠελίῳ μήνῃ τε διαυγέα. τοῖσιν ἔταξας,
Τῷ μὲν ἀρ' ἀειγενέεσσιν ἐπ' ἀνθρώποισι φαείνειν
Φωτὸς ἀπαρχεσίοιο ῥοαῖς, καὶ ὥρας ἐλίσσειν.
Τῇ δὲ κνέφας σελάειν, καὶ δεύτερον ἦμαρ ὀπάζειν.
Τῷ δ' ὑπὸ γαῖαν ἔθηκας ἐμὸν πέδον. ἐν δὲ θάλασσαν
Γαίης ἀγκαλίδεσσιν ἔδησας. γῆν δὲ θαλάσσῃ
Ὠκεανοῦ κόλποισι περίῤῥυτον. ὡς δὲ τὰ πάντα
Κόσμος ἔην, γαῖά τε, καὶ οὐρανὸς, ἠδὲ θάλασσα.
Οὐρανὸς, οὐρανίοισιν ἀγαλλόμενος φαέεσσι,
Πόντος δὲ πλωτοῖς, πεζοῖς δέ τε γαῖα πελώρη.
Ἀθρήσας τότ' ἔπειτα καὶ ἄρμενα πάντα νοήσας,
Τέρπετο παιδὸς ἄνακτος ὁμοφρονέουσιν ἐπ' ἔργοις.
Δίζετο καὶ σοφίης ἐπίστορα μητρὸς ἁπάντων,
Καὶ χθονίων βασιλῆα θεουδέα, καὶ τόδ' ἔειπεν.
Ἤδη μὲν καθαροὶ καὶ ἀείζωοι θεράποντες
Οὐρανὸν εὐρὺν ἔχουσιν, ἁγνοὶ νόες, ἄγγελοι ἐσθλοὶ
Ὑμνοπόλοι, μέλποντες ἐμὸν κλέος ὅποτε λῆγον.
Γαῖα δ' ἔτι ζώοισιν ἀγάλλεται ἀφραδέεσσι.
Μικτὸν ἔτ' ἀμφοτέρωθεν ἐμοὶ γένος εὔαδε πῆξαι
Θνητῶν τ' ἀθανάτων τε νοήμονα φῶτα μεσηγὺ,
Τερπόμενόν τ' ἔργοισιν ἐμοῖς, καὶ ἐχέφρονα μύστην
Οὐρανίων, χθονίων τε μέγα κράτος, ἄγγελον ἄλλον,
Ἐκ χθονὸς ὑμνητῆρα τ' ἐμῶν μενέων τε, νόου τε.
Ὣς ἄρ' ἔφη. καὶ μοῖραν ἑλὼν νεοπαγέος αἴης,
Χείρεσιν ἀθανάτῃσιν ἐμὴν ἐστήσατο μορφήν.
Τῇ δ' ἄρ' ἑῆς ζωῆς μοιρήσατο. ἐν γὰρ ἧκε
Πνεῦμα, τὸ δή θεότητος ἀειδέος ἐστὶν ἀπορρώξ.
Ἐκ δὲ χοὸς πνοιῆς τε, βροτὸς γένετ' ἀθανάτοιο
Εἰκών. ἡ γὰρ ἄνασσα νόου φύσις ἀμφοτέροισι.
Τοὔνεκα καὶ βίοτον τὸν μὲν στέργω διὰ γαῖαν,
Τῷ δ' ἵμερον ἐν στήθεσσιν ἔχω θείην διὰ μοῖραν.
Αὐτὰρ ἐπεὶ θεῖον μὲν ἔην χθονὶ πλάσμα φαάνθη,
Καὶ χθονὸς ἐν γυάλοισιν ἀειθαλέος παραδείσου,
Τοῦ δ' οὔπω τις ἀρωγὸς ὁμοῖος ἔσκε βίοιο,
Δὴ τότε μητιέτας λόγου τόδε θαῦμα μέγιστον,
Τὸν βροτὸν, ὅν περ ἔτευξεν ἑοῦ κτήτορα κόσμου,
Ῥίζαν ἐμὴν, καὶ σπέρμα πολυχρονίοιο βίοιο,
Ἄνδιχα μοιρήσας μεγάλῃ ξυσαρκέϊ χειρὶ
Πλευρὴν ἐκ λαγόνων μούνην ἕλε, τὴν ῥα γυναῖκα
Δαιμάμενος, καὶ φίλτρον ἐνὶ στέρνοισι κεράσσας
Ἀμφοτέροις, ἐφέηκεν ἐπ' ἀλλήλοισι φέρεσθαι,
Οὐ πᾶσ' οὐδ' ὧδε πάντας, ὅρον δ' ἐπέθηκε πόθοισιν,
Ὃν ῥα γάμον καλέουσ', ὕλης ἀμέτροιο χαλινὸν,
Ὡς μὴ μαιμώωσα, καὶ ἄσχετα μαργαίνουσα,
Προφρονέως ἀγεληδὸν ἐπ' ἀλλήλοισιν ἰόντων
Ῥέξειεν μερόπων ἱερὸν γένος ἐκ φιλότητος
Ἀζυγίης, πολέμους δὲ καὶ ἄχθεα πᾶσιν ὀρίνῃ
Οἶστρος ἀσημάντοισι φορεύμενος ἀφραδίῃσιν.
Ὄφρα μὲν οὖν μάτερα βροτῶν ἐπιδεύετο γαῖα,
Οὐδ' εἶχεν κόσμον τὸν ὑπέρτατον, ὥς περ ἔμελλεν,
Ἀλλὰ καὶ ὁ πρώτιστος ἀτασθαλίῃσιν ἑῇσι,
Βασκανίῃ τε δράκοντος ἀπολισθὼν ἐκ παραδείσου

Βληθεὶς ἀνδροφόνοιο φυτοῦ διὰ γεῦσιν ἀλιτρὴν,
Δερματίνοισι χιτῶσιν ἑὴν ἔβρισ' ἐπὶ γαῖαν.
Τόφρα δὲ καὶ δυὰς ἦεν ἐν ἀνθρώποισιν ἀρίστη,
Καὶ γάμος, ἀνδρομένης γενεῆς φύσις, ἄλκαρ ὀλέθρου.
Ὥς κεν ἀπολλυμένων τε καὶ ἐρχομένων μετόπισθεν
Ἕλκηται μερόπων ζεστὸν γένος οἷα ῥέεθρον,
Ἄστεργ' ἐκ θανάτοιο, καὶ ἱστάμενον τεκέεσσιν.
Αὐτὰρ ἐπεὶ κόλποι τε, καὶ εὐρέα πείρατα γαίης,
Ἀντολίη τε, δύσις τε, νότου πλευρή, Βορέου τε
Πλῆθον ἐφημερίων, ὕβριν δ' ἐξέζεσεν ἰλὺς,
Καὶ πολλοῖσι πάρος παιδεύμασι πλάσμα δαμαθὲν
Γλώσσαις τεμνομένῃσι, καὶ ὕδασι, καὶ πυρὸς ὄμβροις,
Καὶ γραπτοῖο νόμοιο διδάγμασιν, ἠδὲ προφήταις,
Οὐκ ἔθελε πρώτης κακίης ἐκ δεσμὰ λυνάξαι,
Ἀλλ' αἰεὶ στερεοῖσιν ἐν ἅμμασιν εἴχετο σαρκὸς,
Μαχλοσύναις τε, μέθαις τε καὶ εἰδώλοισι μεμηλώς,
Ὕστατον τοιοῦσδε φίλον γένος ἔμμορε τιμῆς
Νεύμασιν ἀθανάτοιο πατρὸς, καὶ ἔργμασι παιδός.
Θεὸς, ὃν βροτέῳ ἐνὶ σώματι κάτθετο μοίρης
Οὐρανίης, λεύσσων κακίης ὑπὸ θυμοβόροιο
Δαπτόμενον, σκολιόν τε βροτῶν μεδέοντα δράκοντα,
Ὥς κεν ἀναστήσειεν ἑὸν λάχος, οὐκέτι νοῦσον
Ἄλλοισιν ἐφίηκεν ἀρηγόσιν, οὐ γὰρ ἐπαρκὴς
Τοῖς μεγάλοις παθέεσσι μικρὸν ἄκος, ἀλλὰ κενώσας
Ὃν κλέος, οὐρανίδης τε καὶ ἄβροτος οὐρανίοιο
Εἰκὼν, ἀνδρομένοις τε καὶ οὐ βροτέοισι νόμοισι
Σεμνοῖς ἐν σπλάγχνοισιν ἀπειρογάμοιο γυναικὸς
Σαρκωθεὶς, ὢ θάμβος ἀφαυροτάτοισιν ἄπιστον.
Ἦλθε θεὸς θνητός τε, φύσεις δύο εἰς ἓν ἀγείρας,
Τὴν μὲν κευθομένην, τὴν δ' ἀμφαδίην μερόπεσσιν.
Ὧν θεὸς ἡ μὲν ἔην, ἡ δ' ὕστατον ἄμμιν ἐτύχθη,
Τῆμος, ὅτ' ἐν σπλάγχνοισι μίγη θεὸς ἀνδρομέοισιν.
Εἷς θεὸς ἀμφοτέρωθεν. ἐπεὶ θεότητι κερασθεὶς,
Καὶ βροτὸς ἐκ θεότητος ἄναξ καὶ χριστὸς ὑπέστη.
Καινὰ δ' ἔπλετο μίξις, ἐπεὶ πατρῴην ἀθέριξα.
Πρῶτον ἐγὼ πνοιῆς θείης λάχον, ὕστερον δὲ
Χριστὸς ἐμὴν ψυχήν τε καὶ ἄψεα πάνθ' ὑπέδεκτο.
Κεῖνον Ἀδὰμ τὸν πρόσθεν ἐλεύθερον, ὃς γυμνὸς ἦεν
Ἀμπλακίης, πρὶν ὄφιν τε ἰδεῖν, καρποῦ τε πάσασθαι.
Καὶ θανάτου, θυμὸν δὲ νοήμασιν ἔτρεφεν ἁπλοῖς
Οὐρανίοις. μύστης τε θεοῦ, θείων τε φαεινός,
Τὸν μὲν ἀναπλάσσων, βροτέην θεὸς ἐς φύσιν ἦλθεν,
Ὥς κεν ἀεθλεύσας τε, καὶ ἐκ θανάτοιο φονῆα
Νικήσας, γεῦσιν τε χολῇ, καὶ χεῖρας ἀθέσμους
Ἥλοισι, σταυρῷ τε φυτὴν, καὶ ὕψει γαῖαν,
Πρὸς ζωὴν παλίνστροφον Ἀδὰμ καὶ κῦδος ἀνάξῃ.
Πείρασι δ' ἁπλώσας ἱρὸν δέμας, ἓν βροτὸν αὐτὸς
Ἐκ περάτων συνάγειρε, καὶ εἰς ἓν ἐδάσσατο φῶτα,
Καὶ μεγάλης θεότητος ἐν ἀγκοίνῃσιν ἔθηκεν,
Αἵματι μὲν ἀμνοῖο μολύσματα πάντα καθήρας,
Οἱ μοῦν δ' οὐρανίης θνητοῖς ἄγος ἔνθεν ἀείρας.
Ὦ ἄνα, τίς δέ κε σεῖο νόον καὶ βένθος ἀέθλων,
Ὃς σταγόνων ὑετοῖο, καὶ ὃς ἁλίης ψαμάθοιο
Οἶδας ἀριθμὸν ἅπαντα, καὶ ὃς ἀνέμοιο κελεύθους;
Τίς δέ κεν ἀγνώσαιτο τεῆς μάκαρ ἴχνια βουλῆς;

Ὑψιμέδων, ὃς πάντ' ἐφορᾷς, καὶ πάντα κυβερνᾷς,
Αἰῶν' ὅσσα κέκευθεν ἀπείριτος· ἐς δὲ σὲ τείνει
Νοῦς μερόπων τυτθὸν λεύσσει σέλας, οἷα τάχιστα
Ἀστεροπὴν φεύγουσαν ἀπ' ἠέρος. ἀλλὰ τὸ δ' ἡμῖν
Ἀτρεκὲς, ὡς παθέεσσι τεοῖς βροτὸν ἔνθεν ἀείρας,
Ἐς βίον ἄλλον ἔθηκας ἐλεύθερον ἀντὶ κακοῖο.
Πρόσθε μὲν ὠδίνεσκε βίος καὶ κόσμος ἔβραζε,
Καὶ χθονίων βασιλῆα πολὺς ἀμφίστατο λαός.
Οὓς μεγάλου βασιλῆος ἀφήρπασε κερδοσύνῃσι.
Νῦν δ' αἰνῆς κακίης χριστὸς ἀπὸ χειρὸς ἐρύσσας,
Ἂψ ἀνάγει πρὸς ἄνακτα μέγαν, καὶ κόσμον ἀρείω.
Κεῖνο γάμος μερόπεσσι τόδ' ἀζυγίη θεοειδής.
Κόσμος ὁ μὲν γαίης, ἡ δ' οὐρανίοιο θεοῖο.
Ὡς δ' ἄπνοα πινάκεσσιν ἀνὴρ εἴδωλα χαράσσων,
Βαιοῖς μὲν πρώτιστον, ἀμυδροτέροις τε τύποισιν
Εἶδος ὑποσκιάει ταρφώμενος. αὐτὰρ ἔπειτα
Χρώμασι παντοδαποῖσιν ὅλην ἐστίλβετο μορφὴν,
Ὡς ἄρα παρθενίη χριστοῦ λάχος αἰὲν ἐόντος,
Πρόσθε μὲν ἐν παύροισι φαείνετο, καὶ σκιόεσσα,
Μέσφ' ὅτε καὶ βασίλευε νόμος χρώμασιν ἀφαυροῖς,
Φαινομένοις κρυπτόν τ' ὀλίγοις ὑπελάμπετο φέγγος.
Αὐτὰρ ἐπεὶ καὶ χριστὸς ἁγνῆς διὰ μητρὸς ὁδεύσας
Παρθενικῆς, ἀδέτοιο, θεουδέος, ἀχράντοιο,
Νόσφι γάμου καὶ πατρὸς, ἐπεὶ χρεὼ ἦε γενέσθαι,
Ἥγνισε θηλυτέρας, Εὔαν δ' ἀπεπέμψατο πικρὴν,
Καὶ σαρκὸς ἀπέπεμψε νόμους, μεγάλοις τε λόγοισι
Πνεύματι γράμμ' ὑπόειξε, καὶ ἡ χάρις ἐς μέσον ἦλθεν,
Δὴ τότε παρθενίη στράψεν μερόπεσσι φαεινή.
Δυομένη κόσμοιο, λύουσά τε κόσμον ἀφαυρὸν
Τοσσάτιον προφέρουσα γάμου, βιότοιό τε δεσμῶν,
Ὁσσάτιον ψυχὴ προφερεστέρη ἔπλετο σαρκὸς,
Καὶ χθονὸς οὐρανὸς εὐρὺς, ὅσον βιότοιο ῥέοντος
Ἑσταὼς μακάρεσσιν, ὅσον θεὸς ἀνδρὸς ἀρείων.
Καὶ χορὸς ἀμφὶ ἄνακτα φαεσφόρον ἵστατ' ἀμεμφὴς,
Οὐρανίος γαίηθεν ἐπειγόμενος θεὸς εἶν.
Χριστοφόρος, σταυροῖο λάτρις, κόσμοιο περίφρων,
Τεθνειὼς χθονίοισιν, ἐπουρανίοισι μεμηλώς.
Λαμπτῆρες κόσμοιο, διαυγέα φωτὸς ἔσοπτρα,
Οἳ θεὸν εἰσορόωσι, καὶ ὧν θεὸς, οἵ τε θεοῖο.
Δεῦρ' ἄγ' ἔσαι πλευρῇσιν ὁμόφρονες, ἠδὲ γάμοιο
Μυστίδες, ὑψικάρηνα καὶ ὄμματα γοργὰ φέρουσαι,
Καὶ χρυσὸν λιθάκεσσι μεμιγμένον εὐγενέεσσι,
Καὶ μαλακοὺς ἁπαλοῖσι περιῤῥεθέεσσι χιτῶνας,
Λέξαθ' ὅσα θνητοῖσι γάμος καὶ δεσμὸς ὀπάζει
Κέρδεα, καὶ μετέπειτα καλέσσομεν ἄζυγα μοίρην.
Αἱ μὲν ἔπει ἐρέουσιν ἐπίτροχα φυσιόωσαι,
Κέκλυτε δὴ φίλα τέκνα γάμου χθονίων βασιλῆος
Ἡμέας, οἷσι μέμηλε γάμος καὶ δεσμὰ βίοιο,
Ὃν παῖς ἀθανάτοιο πατρὸς ἐστήσατο θεσμὸν
Ἀνδρομέης γενεῆς, καὶ αἵματος ἡμετέροιο,
Ἐξέτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ πλευρῇ συνέδησε,
Καρπὸν ἀπ' ἀνθρώποιο πέλειν βροτόν. ἐκ δὲ γένοιο,
Καίπερ θνητὸν ἐόντα, μένειν σταχύοντα τέκεσσιν.
Τόνδε νόμον τίουσαι, ὁμοζυγίην τ' ἐρατεινὴν,
Ἀλλήλαις συνέβημεν, ἐπεὶ χοὸς ἐκγενόμεσθα.

Χῦ νόμον

Χοῦ νόμον ἠδὲ θεοῖο παλαίτατον ἀμφιέπουσαι.
Καὶ γὰρ δὴ φύσεων μὲν ὅσαι λάχον οὐρανὸν εὐρὺν
Ἀζυγέες, παθέων τε καὶ ἀργαλέων μελεδώνων
Κρεσσονες. ἡμερίοις δὲ γάμος καὶ δεσμὸς ὄνειαρ.
Ἀμφότερον, προθέων τε φίλων, καρπῶν τ' ἀεξόντων
Ῥίζα τε, καὶ βιότοιο μελίφρονος ἐσθλὸν ἔρεισμα,
Πρῶτα θεὸς πάντων γενέτης. καὶ ἔλαθι Χριστὲ
Σοῖο νόμοις καθαροῖσι προτέρων ἢ τὸ πάροιθεν,
Τῷ δ' ἔπι δεσμὸς ἔρωτος, ἐπεὶ καὶ γαῖα καὶ αἰθὴρ,
Καὶ πόντος τεκέεσσι γάμου δώροισι τέθηλεν.
Εἰ δ' ἐτεὸν φοίνιξι πόθου νόμος ὑψικόμοισι
Γιγνομένας θήλειάν τε καὶ ἄρσενα ἔαρος ὥρη
Ἐργοπόνων παλάμῃσι βρύειν βοτρυώδεα καρπὸν,
Εἰ δὲ καὶ ἐκ δυάδος λιθάκων λίθος εἰς ἓν ἰοῦσης
Τίκτεται, ὡς ἐνέπουσι λίθων ἱδρίστορες ἄνδρες,
Ἔστι καὶ ἀψύχοισι γάμος καὶ δεσμὸς ἔρωτος.
Ἀλλά τί μοι ξείνων φιλότης, μύθων τε πόθων τε,
Δείκνυε τὰ μερόπεσσι γάμος πόρσυνεν ἐχέφρων.
Τίς σοφίην ἐδίδαξε φίλην, καὶ βένθε' ἀνεῦρεν,
Ὅσσα χθὼν, ὅσα πόντος, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει;
Τίς πολίεσσιν ἔθηκε νόμους, καὶ πρὸ δὲ πάροιθεν
Τίς πόλιας δ' ἀνέγειρε, καὶ εὕρετο μήδεσι τέχνας;
Τίς πλῆσεν ἀγορὰς καὶ δώματα, καὶ τίς ἀγῶνας;
Τίς στρατὸν ἐν πολέμοισι, καὶ ἐν θαλίῃσι τραπέζας;
Τίς χορὸν ὑμνητῆρα θυώδεϊ πήξατο νηῷ;
Τίς θηρῶν κατέλυσε βίον καὶ γαῖαν ἄροσσεν,
Καὶ φυτοεργίην ἐδίδαξε, καὶ πελάγεσσι
Νῆ' ἐπέφηκε μέλαιναν ἐπειγομένην ἀνέμοισι;
Τίς γαῖαν καὶ πόντον ὑγρὴν συνέδησε κέλευθον
Νόσφι γάμου; τὰ δὲ πολλὸν ἀπόπροθεν εἰς ἓν ἄγειρε;
Καὶ τὰ μὲν ἐνθάδε, τοῖα. τὰ δ' ὑψόθι, πολλὸν ἀρείω.
Ἀλλήλοισι χέρες τε καὶ οὔατα καὶ πόδες ἐσμὲν
Συζυγίῃ, διπλοῦν δὲ γάμος καὶ ἄναλκιν ἔθηκε,
Χάρμα μέγ' εὐμενέεσσιν, ἄχος δέ τε δυσμενέεσσι.
Ξυναὶ καὶ μελεδῶναι ἐλαφρίζουσιν ἀνίας.
Ξυναὶ δ' εὐφροσύναι γλυκερώτεραι ἀμφοτέροισι.
Τερπνότερος μὲν πλοῦτος ὁμοφρονέουσι τέτυκται.
Τερπνοτέρη πλούτοιο δ' ὁμοφροσύνη χατέουσι.
Κληῒς δ' ἀμφοτέροισι σαοφροσύνης τε πόθων τε
Συζυγίη, καὶ σφρηγὶς ἀναγκαίης φιλότητος.
Εἷς πῶλος φιλίης σκιρτήμασι θυμὸν ἰαίνων.
Ἓν ποτὸν οἰκιδίης πηγῆς ξείνοισιν ἄγευστον,
Οὔτ' ἐκτὸς προρέον, οὔτ' ἔσωθεν ἄλλον ἀγεῖρον.
Συμφυέες σάρκεσσιν ὁμόφρονες, εὐσεβίης τε
Κέντρον ἐν ἀλλήλοισι πόθου θήγοντες ὁμοίου.
Οὐδὲ γὰρ οὐδὲ θεοῖο γάμος ἀπάνευθε τίθησιν.
Ἀλλ' ἔχεται μᾶλλον τις, ἐπεὶ καὶ μᾶλλον ἐπείγει.
Ὡς δ' ὀλίγην μὲν νῆα μικρὸς προΐησιν ἀήτης
Λαίφεσι πεπταμένοισι δι' ἄλματος ὠκὰ θέουσαν,
Ἠὲ χερῶν πέμπουσιν ἐπειγομένην ὑπ' ἐρετμοῖς,
Πολλὴν δ' οὐκ ὀλίγη πνοιὴ φέρει, ἀλλὰ βαρεῖαν
Πόντον ἐπιτρέχουσαν στερεώτερος οὖρος ἐπάγει,
Ὥς ῥα καὶ ἀζυγέες μὲν ἐπεὶ ζώουσιν ἐλαφροί,
Κουφοτέρης μεγάλοιο θεοῦ χατέουσιν ἀρωγῆς.
Ὃς δ' ἀλόχου τε φίλης καὶ κτήσιος ἀμφιβέβηκε,
Καὶ τεκέων, τέμνει δὲ πολὺ μέγα λαῖτμα βίοιο
Χρειοῖ πλειοτέρῃ, πλεῖον θεὸν ἀμφαγαπάζει.
Τοῖα γάμος, πηρὸς δὲ βίος φιλότητος ἄνευθε,
Νηλὴς, ἀπροτίοπτος, ἀνέστιος, οὐρεσιφοίτης.
Οὐκ ἄλκαρ παθέων, οὐ γήραος ἀδρανέοντος
Φάρμακον, ἀβλάστοντα ἑοῖς τεκέεσσι τραφῆς,
Οὐ τέρψις βιότοιο μελίφρονος. οὐκ ἀγορῇσι
Τέρποντ', οὐ θαλίῃσιν, ἀμοιδέες ἔκτοθι κόσμου.
Οἳ βιότου γεγάασι, καὶ οὐ στέργουσι βίοιο
Ῥίζας, οὐ μερόπεσσιν ὁμόφρονα θυμὸν ἔχουσιν.
Εἰ δ' ἀρετὴν ποθέων τις ἀτιμάζει φιλότητα,
Οὐδ' ἀρετὰ φιλότητος ἀπόπροθεν, οὐχ ὅτι μούνων,
Πάντεσσι προπάροιθε γάμος φίλον εὐσεβέεσσιν,
Ἀλλ' ὅτι καὶ φιλότητος γόνιος εἰσὶ γενέθλαι,
Καὶ Χριστοῦ παθέων ἐπιΐστορες, ἠδ' ὑποφῆται,
Πατριάρχαι, ἱερῆες, ἀεθλοφόροι βασιλῆες,
Παντοίαις ἀρετῇσι κεκασμένοι. οὐ γὰρ ἀνῆκε
Χθὼν ἀγαθοὺς, ὡς φασι πελώρια φῦλα γιγάντων,
Ἀλλὰ γάμου τελέθουσι γόνος καὶ κῦδος ἅπαντες.
Τίς θεὸν ἀνθρώποισι μέγα κρατέοντ' ὑπέδειξε,
Καίπερ τηλόθ' ἐόντι, νόον δ' ἔπλησεν ἔρωτος
Θειοτέρου, καὶ ἔνθεν ἀπήγαγεν ἐς βίον ἄλλον;
Τίς ψυχὰς ἐκάθηρεν ὅλαις μερόπεσσι φαεινάς;
Πιστὸς Ἐνὼχ μετέθηκεν. ὁ δ' ἐξ ὑδάτων ἐσάωσε
Κόσμον ὅλον ψυχαῖς ὀλίγαις καὶ σπέρμασι πλωτοῖς
Νῶε μέγας. Ἀβραὰμ δὲ πατὴρ πολίων τε καὶ ἐθνῶν,
Καὶ θυσίην Χριστῷ προθεωμένον υἷα τελέσσας.
Μωσῆς ἤγαγε λαὸν ἀπ' αἰγύπτοιο βαρείης
Θαύμασι σὺν μεγάλοισι, νόμον δ' ὑπεδέξατο πλάξιν
Ὑψόθι λαϊνέῃσι, θεὸν δ' εἰσέδρακεν ἄντην.
Πιστὸς ἐνὶ προτέροισι θυηπόλος ἔσκεν Ἀαρών.
Μήνην δ' ἠελίου τε δρόμον σχέθεν αὖς Ἰησοῦς
Μακρότερον, δηΐοισι φόνον καὶ κήδεα τεύχων.
Καὶ σὺ μάκαρ χριστοῖσι φέρων κέρας ἁγνὲ Σαμουὴλ,
Δαυὶδ ἐν βασιλεῦσιν ἀοίδιμος ἐν ἅπασι,
Καὶ Σολομὼν σοφίης πρώτιστον κλέος. οὐ δὲ προφητῶν
Λήσομαι. Ἠλίαν δὲ πρὸς οὐρανὸν ἥρπασεν ἅρμα.
Τίς δ' ἐνέμοιο μέσον καὶ πνεύματος οὐχὶ τέθηπε
Φωτὸς Ἰωάννην βριηχέα πρόδρομον ἄκρου;
Τίς δὲ δυωδεκάδα κλεινῶν μετέπειτα μαθητῶν;
Τίς Παύλοιο μένος μεγαλήτορος οὐρανοφοίτου;
Ἄλλους θ' οἳ γεγάασι, καὶ οἳ νῦν εἰσὶν ἄριστοι;
Ἕρμα λόγου, κόσμου τε κλέος, λαοῦ τε θέμεθλα.
Τοὺς πάντας μερόπεσσι γάμος καὶ Χριστὸς ἔδωκεν.
Οὐδὲ μὲν οὐδὲ γυναῖκες ἐπ' εὐσεβίῃ κομόωσαι,
Ὧν μέγας ἐν βίβλοισι θεοπνεύστοισιν ἀριθμὸς,
Νόσφι γάμου καὶ σαρκὸς ἐϋκλεέες ἐτέλεσσαν.
Εἴπω μείζονα μῦθον ἐμὴν τίων φιλότητα.
Καὶ Χριστὸς καθαροῖς μὲν, ἀτὰρ σπλάγχνοισιν ἐμίχθη
Ἀνδρομέοις, μνηστῆς δὲ διωλίσθησε γυναικὸς,
Ἤμασι συζυγίης μίξας βροτέης θεότητι.
Ἓν δ' ἔθι πᾶσι μέγιστον ἐμὸν κράτος, ἣν κρατέωσιν
Ἀζυγέες, καὶ οἳ γὰρ ἐμὸν γένος, ἀνδρ' ἅπαντες.
Οὐδὲ γὰρ ἐξ ἀγάμων γεγαμηκότες, ἐκ δὲ γάμοιο
Ἀζυγέες, τεκέεσσιν ἀνάγομεν, ἴσχετ' ἀγῶνα.

Εἴ τοι μὴ πατέρων, πατέρων γε μὲν ἐξεγένοντο.
Τοῖα γάμος, μετέπειτα κατηφιόωσα παρειὰς
Ἐν τρυχίνοις ῥακέεσσι, καὶ ἄψεσιν ἀδρανέεσσι,
Νήλιπος, αὐαλέη τε, ἐπὶ χθονὸς ὄμματ' ἔχουσα
Παρθενίη, τυτθὸν δὲ διασείουσα σὺν αἰδοῖ
Χεῖλεα, φοινίσσουσα παρήϊον αἵματι σεμνῷ,
Κὰκ κεφαλῆς βρύουσα σιγῇ κρύπτοιτο καλύπτρῃ.
Τὴν δ' ἄρα προτιπίθοιμ' ἐγὼ τοίοισδ' ἐπέεσσιν.
Ὦ τέκος οὐρανίοιο, καὶ ἐνθάδε κυδιόωσα,
Ὦ μεγάλοισι χέρεσσι παρισταμένη μεδέοντος
Ὑμνοπόλοις, εἰ καί σε δέμας καὶ γαῖα κατέχει,
Δεῦρ' ἴθι, καὶ φάθι μῦθον. ἐγὼ δὲ σέο προπάροιθεν
Στήσομαι. ἦ γάρ ἐμοί γε θεόσδοτος ἤλθεν ἄνασσα,
Ἤλυθεν. ἀλλ' ἔτι μᾶλλον ἔοις, καὶ ἵλαος εἴης.
Τίς με καὶ οὐκ ἐθέλουσαν ἄγει πρὸς τόνδε θόωκον;
Τίς δ' ὀργαῖς μεμαυῖαν ἐμὸν θεὸν ἀτρεμίη τε
Τίειν, ἠματίοις τε πόνοις, νυχίοισι τ' ἀοιδαῖς,
Καὶ δακρύων πηγῇσι, καὶ εὐαγέεσσι καθαρμοῖς
Εἰς δῆριν καλέειν κρινέειν, καὶ νείκεα μύθων;
Οὐ γὰρ ἐν ἀνθρώποισιν ἐμὸν κράτος, οὐδὲ λόγοισιν
Εὔστροφος, οὔτ' ἀγοραῖς ὑπομίσγομαι, οὐδὲ δικαστῶν
Εὐμενέων ψήφοισιν ἀγάλλομαι, οἷσι μέμηλε
Παῦρα μὲν εὐδικίης, παύροις δέ τε. πολλάκι δ' αὖ τε
Ἔνθα καὶ ἔνθα τάλαντον ἐπικλίνουσι θέμιστος.
Ἄλλοισιν βιότοιο τὰ τίμια. αὐτὰρ ἔμοι γε
Εἷς νόμος, ἓν δὲ νόημα, κεκασμένην φιλότητα
Πρὸς θεὸν ὑψιμέδοντα φαεσφόρον ἔνθεν ὁδεύειν.
Τῶν δ' ἄλλων ἀγαθῶν με πόθον φρένας ἵμερος αἱρεῖ,
Οἷς κενεοὶ φρονέουσιν ἐτώσια φυσιόωντες,
Ὦ κατ' ἐπερχομένοισι, καὶ ὀλλυμένοισι τάχιστα,
Ὅσσα τ' ἀπὸ καπνοῖο καὶ ἀτμίδος, ἠδὲ ῥεούσης
Αὔρης, καὶ ψαμάθοιο τινασσομένης ἀνέμοισι,
Πάντοσε συρομένης, ἢ ὑπὲρ ἅλα νηὸς ἀταρποῦ.
Βουλοίμην κεν ἄτιμος ἐν ἀνθρώποισιν ἐοῦσα,
Τυτθὸν ἐν οὐρανίοισιν ἔχειν κλέος αἰὲν ἐοῦσιν,
Ἢ πάντων κρατέουσα, θεοῦ πίπτειν ἀπάνευθεν.
Ἀλλ' ἔμπης τρομέω, καὶ δείδια, μή τις ἀορθεὶς
Παρθενίης νεόπηκτον ἐπὶ πτερὸν αἰθέρι νωμῶν,
Τοῖσδε λόγοις ἐπὶ γαῖαν ὀλισθήσειε τάχιστα.
Τούνεκεν εἰς μέσον ἦλθον ἐμῶν τεκέων ἐπίκουρος
Μῦθον ἀεξητῆρα θεοῦ σὺν χειρὶ φέρουσα.
Μητρὶ δ' ἐμῇ τὰ πρῶτα μυθήσομαι ὅσσ' ἐπέοικε.
Κεῖνο μὲν ἀτρεκέως μυθήσαο, καὶ κατέλεξας,
Συζυγίη χαρίεσσα. καὶ ἤνυσε. ἦ γὰρ ἔγω γε
Ἄρξομ' ὅθεν κατέληξε τεὸς λόγος, ὡς ἀγάμοισι
Ῥίζα γάμος. καὶ γάρ τε πέλει καὶ ῥίζα καὶ ἀρχή.
Τίς δέ κεν ἀρνήσαιτο σαοφρονέων γενετῆρας;
Οὐ μὰν πάντ' ἀγόρευσας ἐτήτυμα. ἀλλὰ δέχοιο
Καὶ μήτηρ περ ἐοῦσα σοφὸν καὶ ἐχέφρονα μῦθον,
Καὶ μεγάλης σοφίης μυστήρια ἀμφὶ γενέθλην,
Ἣν κευθμῶνος ἔδειξεν ἐμοὶ μεγάλοιο θεοῖο.
Οὐχ ὅλου ἀνθρώποιο πατὴρ βροτὸς, ὡς ἐνέπουσιν,
Ἀλλ' ὅσσον σαρκός τε καὶ αἵματος. ἀμφοτέρων μὲν
Ὀλλυμένων, ψυχὴ δὲ θεοῦ κρατέοντος ἄημα
Ἔκτοθεν ἐσπίπτουσα, χοὸς πλάσιν εἴσω ὁ μίξας
Πῶς τὸ πρῶτον ἔπνευσε, καὶ εἰκόνα μίξατο γαίῃ.
Μάρτυς ἐμὸς ἐπέων καὶ σὸς πόθος. ἡμιτελὴς γὰρ
Στοργῶν οὐ ψυχὰς τεκέων, τὰ δὲ σώματα μοῦνα.
Οἷς δ' ἄχνυαι μογέουσι, καὶ οἷς θαλέθουσι γέγηθας.
Πλείονα γὰρ τυτθοῖσι πατὴρ καὶ πότνια μήτηρ
Ὧν τεκέων λώβῃσιν ἑὸν κατὰ δάμναται ἦτορ,
Ἢ μεγάλαις ψυχῶν κακίαις καὶ χείροσι λώβαις.
Τῶν μὲν γὰρ τοκέες, τῶν δ' οὐ τελέθουσι τοκῆες.
Εἰ δέ σε μήτηρ ἐγὼ καλέσω κἀπὶ χείρονι μοίρῃ,
Πῶς σύ γ' ἀρειοτέροις φθονέεις πάρος ἠιθέοισιν.
Ὡς μεγάλου γενετῆρι βροτῶν ἐθέλουσ' ὑπόεικε
Παρθενίην τίουσα θεὸν πατέρ' ἀμφιέπουσαν.
Μητρὶ μὲν δὴ τοῖα, καὶ ἄρτιος ἐνθάδε μῦθος.
Αὐτὰρ ἐγὼ φίλα τέκνα θεοῦ, πάντων βασιλῆος,
Τόνδε νόμον τίουσα, ὁμοφροσύνην ἐρατεινὴν,
Πρὸς θεὸν οἷον ἔμιξα. χοὸς δ' ἀπέλειπον ἔρωτα,
Ὃν παῖς ἀθανάτοιο πατρὸς ἐστήσατ' ἄνωθεν
Ἐκ γεγαὼς ἀδύτοιο, καὶ ἄφθιτος οὐ φθινύθοντος,
Ἐξ ἔτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ θῆκεν ἐν παραδείσῳ
Ἄζυγα, καὶ μετέπειτα διδοὺς νόμον ἥγνισε λαὸν,
Καὶ ἱρεῦσιν ἐκάθηρε νόμῳ, καὶ νηὸν ἔτισε
Σώμασιν ἁγνοτάτοισιν ἀμοιβαδίων ἱερήων.
Μάρτυς Ἰωάννοιο πατὴρ μέγας, ὅτι πάροιθε
Σπερμήνας φιλεργύνια, τὴν ἐνδόθι δέξατο νηοῦ,
Τὸν Χριστοῦ μεγάλοιο πρόαγγελον ἡμιθέοισι,
Πρίν γε θεῷ τελέσαι μυστήρια ἤμασιν ἁγνοῖς.
Τοῦ δὲ νόμοιο τέλος Χριστὸς, μορφώσεσι κορεσθεὶς
Παρθενικῆς ἀπὸ γαστρὸς, ὅπως γάμος ἐς χθόνα νεύσῃ.
Καί ῥ' ὁ μὲν ὡς ὑπόειξεν, ὁ δ' ἤρχετο κόσμος ἀρείων.
Καὶ μόρος ἀρχεγόνοιο λύθη διὰ σαρκὸς ὀδύνων,
Ῥοιῇ τικτομένοισι, καὶ ὀλλυμένοισι γενέθλῃ,
Παρθενίῃ ἐνέκυρσε, καὶ ὤλετο, ὡς ὅτε πέτρῃ
Ἀγχιάλῳ μέγα κῦμα, καὶ ὕδατι βοσκομένη φλόξ.
Πρός τε δὲ τίς πολίεσσι καὶ ἀδρανέεσσι νέμουσι;
Τίς δ' ἀγορῇσι γέγηθε, καὶ οἴδμασι; καὶ τίς ἀγῶσιν,
Οὓς μῦθοι συνέπηξαν ἐπ' ὠκυμόροισιν ἐφήβοις;
Τίς στρατὸν ἐν πολέμοισι, καὶ ἐν θαλίῃσι τραπέζας
Ἤνεσε; τίς σοφίην κενεαυχέα, ἥ τ' ἐνὶ χερσὶν,
Ἥ τ' ἐν ἀραχναίοισι λόγοις καὶ πλέγμασι κεῖται
Αὐτοῖς τικτομένοισι, καὶ αὖθι λυομένοισι;
Τίς δ' ἄρα τοῖσι γέγηθε φυτοσκαφίης τε πόνοισι,
Νηός τ' ὠκυάλου δρόμῳ κραιπνοῖς ὑπ' ἀήταις;
Ταῦτα μὲν ἔτι γάμοιο διδάγματα, τὰ δ' Ἀδάμοιο
Τίσις ἀρχαίης τυτθὸν μόρος, οἷσιν ὕφερπε
Πτόρθον ἐμὴν δεκέων πικρὸς ὄφις. εἰ δὲ γάμοιο,
Ἐρρέτω. οὐ γάρ ἔμοι γε συνέμπορα πρὸς βίον ἄλλον
Ἐνθένδ' ἐπειγομένῃ, τὰ δέ γ' ὄλβια πάντ' ἀπολεῖται
Σύμφρον, ἢ κόσμοιο σὺν ἀσπαίροντι ῥέεθρον.
Ῥευστὸς γὰρ ῥευστοῖο διεκπεράας βιότοιο
Βαιὸν ἐφαπτόμενός τε, παραβροχέων τροχάοντα.
Εἰ δὲ σοφοῖσι γέγηθας, ἐπεὶ σέθεν ἐξεγένοντο,
Δέξαι καὶ ἀλιτρῶν κακίην, ὧν ῥίζα τέτυξαι.
Ῥίζα Κάϊν, Σοδόμων τε, καὶ οὓς ἐσκέδασ' ἐπὶ πύργῳ
Χριστὸς ἀτασθαλέοντας, ὕβριν θ' ὧν ἔσβεσεν ὄμβρος
Οὐρανόθεν χθόνα πᾶσαν ὁμοῦ πνοιῇσι καθήρας,

Τίς ὁ χρεώ

Τίς Φαραὼ κακόμητιν, Ἀχαὰβ θράσος, Ἀσσυρίων τε
Πικροτάτους βασιλῆας ἐθρέψατο; τίς δὲ δίκαιον
Αἷμα πότῳ μάχλοις κινήμασι δόντα θυγατρὸς
Οὔλιον ὀρχηθμῷ παιδοκτόνον, ἠδὲ φονῆας
Χριστοῦ παμβασιλῆος, ὅσοι τ᾽ ἐγένοντο διῶκται
Πρόσθεν καὶ μετέπειτα, καὶ ὑστατίοισι χρόνοισι,
Τῶν πύματον πρῶτόν τε κακὸν Βελίαο βέρεθρον
Δεινὸν Ἰουλιανοῖο κράτος ψυχῶν ὀλετῆρος,
Οὐ θεόθεν πλαγχθέντος, ἐπεὶ μόθον ἤρατο Χριστῷ,
Θερμὸν ἔτι ζέουσα κόνις, μέγα πένθος ἀλιτροῖς,
Ἄλλους δ᾽ οὕσπερ ἔδωκε βίῳ γάμος, ἠδ᾽ ἔτι δώσει,
Ψεύστας, ἀνδροφόνους, σκολιούς, ἐπίορκον ὀμοῦντας,
Ἅρπαγας ἀλλοτρίων, ξείνης δικλήμονας εὐνῆς,
Τίς κεν ἀριθμήσειεν; ἐπεὶ τόδε πᾶσι πέφανται,
Ὡς πλείων χρυσοῖο κόνις, πλέες δὲ κάκιστοι
Τῶν ἀγαθῶν. καὶ γάρ τε τρίβους πορέουσιν ἀνίσους.
Τοῖς μὲν γὰρ χθαμαλὴ καὶ ἐπίτροχος εὖ κακοῖσιν.
Οἱ δ᾽ ἀγαθοὶ τέμνουσι προσάντεα. τοὔνεκεν ἐσθλῶν
Πλεῖστον, ὅσον κακίους προφερέστεροι εἰσὶν ἀριθμῷ.
Εἰ μὲν δὴ λέξειας ἀγαλλομένη τεκέεσσι,
Καὶ πτερὸν καλέουσα βίου δηιότητος ἑταῖρον,
Στέφομεν ἐνθάδε μῦθον. ἔχεις κλέος ἀμφήριστον.
Οὐδὲ γὰρ οὐδ᾽ αὐτὴ φθονίω χθονίων γενετῆρι.
Εἰ δὲ θεοῖο λαχοῦσα τὰ δεύτερα πρῶτα δέδορκας,
Φθέγξομαι ἀτρεκέως μέν, ἀτὰρ θυμαλγέα μῦθον.
Τίς πάντων μερόπων τόδ᾽ ἐμήσατο τέκνον ἄριστον
Σπερμαίνειν; τί δὲ μῆχος ἀνάρσιον υἷα φυτεῦσαι;
Εἰκόνα μὲν γράψειεν ἴσ᾽ ἀπ᾽ εἰκόνος ὅττι χρεών.
Καὶ πλάστης ἐτύπωσεν ἐοικότα πλάσματα μορφῆς.
Καὶ χρυσὸν παλάμῃσιν, ὅπῃ νέος ἤλασε, τέχνη.
Καὶ στάχυν ἐξ ἀγαθοῖο γεωμόρος ἐσθλὸν ἄμησε
Σπέρματος. οὐδ᾽ ἀτύχησε τέλους πόθος, οἷον ἔολπε.
Θνητὸς δ᾽ οὐ σάφα οἶδε γόνου φύσιν, εἰς ὅ,τι λήξει,
Οὐ κακός, οὐδὲ μὲν ἐσθλός. οὐδ᾽ εὔχεται ἐσθλὸς ἀρείω,
Εἰ Παῦλός τις ἑὸν χριστοκτόνον υἷα φυτεύσει,
Ἄνναν ἢ Καϊάφαν ἀτάσθαλον, ἤ τιν᾽ Ἰούδαν.
Οὐδ᾽ εἴ τις κακίαν πεφυκὼς οἷός περ Ἰούδας,
Ἢ Παύλου ζαθέοιο κεκλήσεται, ἢ ὅγε Πέτρου,
Πέτρης ἀρραγέος γενέτης κλεῖδας λαχόντος.
Οὐδὲ γὰρ ᾧ φίλον υἷα φιτύσεται ἠὲ θύγατρα,
Οἶδε πατήρ. ὕθειν δὲ χοὸς μένον ἔσβεσεν εὐνῇ.
Ἐκ δ᾽ ἑνὸς ἀρχεγόνοιο Κάϊν καὶ Ἄβελ ἔπεσαν,
Ζηλήμων, θυσίης τε θεουδέος ἐσθλὸς ἀρητήρ.
Ἰσακίδαι δ᾽ Ἠσαῦ τε κακός, Ἰακώβ τε φέριστος.
Καὶ πλέον, ἐκ γὰρ ἑνὸς δίδυμος γόνος οὐδὲν ὅμοιος.
Καὶ Σολομὼν τὰ πρῶτα σοφός, μετέπειτα κάκιστος,
Ἡνίκα θηλυτέρῃσιν ἐφωμάρτησεν ἀλιτραῖς.
Ἔμπαλιν αὖ Παύλοιο μέγα σθένος ἀμφοτέρωθεν,
Ὃς Χριστὸν μὲν ἄπιζεν, ἔπειτα δὲ πᾶσιν ἔφηνε
Τρέψας εἰς ἀγαθὸν ζῆλον πυρόεσσαν ὁρμήν.
Τοῦτον συζυγίη δέ τι δεύομεν, οὐδὲν ἔγωγε.
Οὐ γὰρ ζευγνυμένοις κατεύθυμος ἔσσεται εἰκών.
Ἀλλ᾽ ὥς τις στρεπτοῖσιν ἰαινόμενος φρένα πεσσοῖς,
Πεσσοὺς μὲν προέηκε, τὸ δ᾽ ἄρτιον ἢ περισσόν,
Οὐ χερσίν, αὐτόματοι δὲ λίθοι στροφάλιγγι ἔνεικαν,
Ὣς ῥα γάμος τεκέων ἀρότης πινυτούς τε κακούς τε
Οὐ τέκεν, ἀλλ᾽ ἐξέλαξε βροτῶν φύσις ἠὲ μάθησις.
Εἰ δ᾽ ἐτεὸν ποθέεις γνῶναι λόγον, αἱ μὲν ἄριστοι
Πνεύματος, ἠδὲ λόγοιο διαπλάσσοντος ἄριστοι.
Σπινθὴρ εὐσεβίης γὰρ ἐν ἀνθρώποισι κέκρυπται,
Ὡς πᾶσιν ἐν λάεσσι πυρὸς μένος. ὡς δὲ σίδηρος
Κρούμασιν ἐκ λιθάκων ἧκε σέλας, ὣς ἄρα θνητῶν
Εὐσεβίην λοχόωσαν ἄγει λόγος. οἱ δὲ κάκιστοι,
Μᾶλλον συζυγίης. ἡ γὰρ πλέον ἐνθάδε τίκτει,
Καὶ κόσμοιο ῥέοντος ὁμόστολος ὅλος βράζε
Σάρκα δέον, ψυχήν τε κάτω βεβυσμένα μολυβδίς.
Καὶ κλῆρος τεκέεσσιν ὁμοίιος ἐνθάδε μίμνων.
Ἀλλ᾽ ἔμπης τεκέων περιδώμεθα, μή τι σύ βάζειν
Τοὺς ἀγαθούς, ῥίψω τε ἀτασθαλέοντας ἔγωγε.
Τοῖς δ᾽ ἄλλοις, ὁπόσων ἁγνὸς βίος οὐδὲν ἀρείων.
Γνοίης κεν φιλότητα θεοῦ, σαρκός τε βαρείης,
Σκεψαμένη κόσμου τε φύσιν καὶ τέρματα δισσά.
Εἰ γάρ τοι καὶ μικρὸν ἀποσκεδάσειας ὀπωπῆς,
Ἢ λήμην ῥυπόωσαν ἀπ᾽ αὐγέος, ἢ σύ γ᾽ ὀμίχλην,
Καὶ γλήνην πετάσειας ἐς αὐγὰς ἠελίοιο
Ἡμετέρου, καθαρῷ δὲ νόῳ λύσειας ἅπαντα,
Δήεις παρθενίην μὲν ὅλην ἀνάθημα θεοῖο,
Χρυσοῦ τ᾽ ἠλέκτρου τε φαάντερον, ἠδ᾽ ἐλέφαντος.
Εὔσκοπον, εὐδιόωσαν, εὔπτερον, ὑψικάρηνον,
Κούφην, παμφανόωσαν, ἄνω χθονός, ἀστήρικτον
Γαίης ἐν γυάλοισιν, ἐν ἄστει εὐρυθεμέθλῳ
Οὐρανίῳ, καὶ σαρκὸς ἀπόπροθι ναιετάουσαν,
Χερσὶν ἀμφοτέρῃσι τῇ μὲν κατέχουσαν ἀγήρω
Ζωήν, τῇ δ᾽ ἑτέρῃ πλοῦτον καὶ κῦδος ἄπαυστον.
Οὐχ ὡς δὴ φερέοικον ὑπ᾽ ἄχθει ὀστρακόεντι
Ἕλκουσαν μογερῶς ὑγρὸν δέμας ἴχνεσι νωθροῖς.
Οὐ Χριστῷ καὶ σαρκὶ μεριζομένην βασιλῆϊ,
Οὐδ᾽ ὡς ἀμφιβίοισι νόμος, καὶ χέρσον ἔχουσαν,
Καὶ μαλακοῖς ναίουσαν ἐν ὕδασι νυκτὶ καὶ ἠοῖ.
Ἀλλὰ θεὸν πέμπουσαν ὅλον νόον, ἐκ δὲ θεοῖο
Κρείσσοσι καὶ τεκέων γεννήμασιν εὐθαλέουσαν
Ἐλπωρῇ, καθαροῖς τε νοήμασιν ἐκ καθαροῖο.
Συζυγίην δ᾽ αὖ πάμπαν ἀπὸ Χριστοῖο θέουσαν
Βράσμασιν ἑλομένοισι χοός, κόσμου τε μερίμναις
Παντοίαις, ἢ βαιὸν ἐφαπτομένην γε θεοῖο.
Ὡς γὰρ ὁμοῦ λεύσσουσα κάρη δύο, ἠὲ πρόσωπα,
Ἠὲ καὶ ἐν σελίδεσσι γεγραμμένα γράμματα δισσά,
Οὐχ ὅλον ἀτρεκέως τύπον ἔμπασεν ἱεμένη περ,
Ἀλλὰ τὸ μὲν κατέμαρψε, τὸ δ᾽ ἔκφυγεν ὄψιν ἀραιήν
Σκιδναμένην, ὡς οἶστρος ἐπ᾽ ἀμφοτέροισιν ἀφαυρός,
Κόσμον τε, Χριστόν τε, ὁ δ᾽ ἔμπεδος εἰς ἓν τείνων.
Ἢ γὰρ Χριστὸν ἔχων τις ὅλον ἀλέγησε διάμπερτος,
Ἢ πίον φιλότητα χοός, Χριστοῖο λέλασται,
Ἤδη καί τιν᾽ ὄπωπα λιθοξόον, ἠέ τιν᾽ ἔργων
Ἴδριν δουρατέων, πινυτοὺς καὶ φράδμονας ἄνδρας,
Οἳ θείην στάθμησιν ἐπὴν διατεκμήρωνται,
Ὡς φαέων ἕτερον ὑπὸ βλεφάροισιν ἔδησαν,
Τῷ δ᾽ ἑτέρῳ πέμψαντες ὅλον φάος εἰς ἓν ἄγερθεν,
Ἀτρεκίης ἐτύχησαν, ὁ δ᾽ ὡμάρτησε σίδηρος,
Ὡς πόθος εἰς ἓν ἰών, Χριστοῦ πλέον ἐγγὺς ἐλαύνει.

Ὃς ποθέει ποθέοντα, ἠδ' εἰσορόωντα δέδορκεν,
Εἰσορόωντα δέδορκε, καὶ ἀντιάει προσιόντι.
Ὅσσον τίς ποθέει, καὶ δέρκεται. ὅσσον ὄπωπεν,
Τόσσον καὶ ποθέει. κύκλος ἀνελίσσεται ἐσθλός.
Τὸν μὲν ἐγὼ ποθέουσα, λίπον βίον. οὐδὲ δυνάσθην
Ὄμμα βαλεῖν ἑτέρωσε, γλυκὺς δέ με δεσμὸς ἔρυκε
Κάλλεος ἰχανόωσαν, ὅ μευ φρένας ἐπτοίησε
Δερκομένης, ἐπ' ἐμοὶ δὲ τινάξατο παμφανόωντα
Πυρσὸν, ὅλην καλήν τε καὶ αἰγλήεσσαν ἔθηκε.
Μοῦνος γὰρ ποθέων, καὶ κάλλεος αἶσαν ἀγείρει
Ἐξ ὁρατοῦ ποθέοντι. ὁ δ' ὄλβιος, ὅς τις ἐδέκτο.
Ἀλλὰ σὺ καὶ πόθον ἄλλον ἐνὶ στήθεσσιν ἀέξεις,
Καὶ φρονέεις, ὡς μᾶλλον ἐπ' οὐρανίοις πελάσσαι,
Εἵνεκα φὰς τεκέων καὶ κτήσιος ἠδὲ τοκήων,
Ὡς ἐλαφρῶν, ἐλαφρῶν δὲ σοφοῦ πόθος οὐδὲν ἀδερκής,
Νηῦς ὀλίγη, βαιός τε πόρος, καὶ κέρδος ἐλαφρόν
Τῶν οὐχ ἱσταμένων. σοὶ δὲ πλόος οὗτος ἀπείρων.
Καὶ πορθμὸν περόωσα, ἐπεύχεο ποντοπορεύειν
Ἱστία κολπώσασα διὰ οἴδματος ἰονίοιο.
Πνοιὴ ταῦτα φέρει, καὶ βέλτερον εἴ τις ἀρείων.
Εἰ δὲ καὶ αὐτιόωσα, μικρὸς μόρος ἐνθάδε θνήσκειν.
Ψυχῆς δὲ πλόος ἐστὶ μέγας καὶ πνεύματος ἐσθλοῦ.
Τῇ ῥα περιδρομέουσα, πλέον Χριστοῖο δέδραγμαι,
Οὐκ οἶον, ποθέω δὲ καὶ εὕδουσά περ ἔμπης
Χριστὸν ἐμὸν πόθον ἁγνὸν, ὃς ἔμπεδός ἐστι ποθεῦσιν.
Ὅς τις δ' αὖ χατέων λεύσσει πρὸς χεῖρα θεοῖο,
Οὐ χατέειν δοκέων καιροῦ πόθον ἄψα λέλοιπεν.
Εἰ γὰρ ὀϊστεύσειε τεὴν φρένα Χριστὸς ἄνωθεν,
Καὶ μεσάτην τρώσειεν ἀναψύχοντι βελέμνῳ,
Ἀμφοτέρους κεν ἔρωτας ἐπεπτεύουσ' ἑκάτερθεν,
Γνοίης κέντρον ἄνακτος ὅσον γλυκερώτερόν ἐστι.
Τί πλέον ὑμέεσσιν ἀναχλοάζουσι τοκῆες
Γηροκόμοις, ἀλόχῳ τε πόσις, ἄλοχός τε ἀκοίτῃ.
Ξυναὶ δ' εὐφροσύναι τε, καὶ ἄλγεα καὶ μελεδῶναι
Κουφότεραι. σκάζοντι δ' ἔ τις βεβαιὼς μέγ' ἔρεισμα.
Αὐτὰρ ἐμοὶ τοκέες μὲν, ὅσοι καλὸν ἐξεδίδαξαν.
Παῖδες, δ' οὓς ἐδίδαξα. ὁμόζυγα δ' οἶον ἐδέγμην
Χριστὸν, ὃς ἀζυγίας προσπτύσσεται ἔξοχον ἄλλων,
Εἰ καὶ πᾶσι πάγη, σταυρόν τ' ἐπὶ πᾶσιν ἄειρεν.
Ὦ καὶ καγχαλόωσα, καὶ ἢν ἀκαθύμια βάλλῃ,
Χαίρω, καί με τίθησιν ἐλαφροτέρην καὶ ἀνίης,
Ὡς χρυσὸν χοάνοισι καθαιρόμενον ῥυπόωντα.
Σωφροσύνης δὲ ἦν σοί γε γάμος καὶ δεσμὸς ἔεργε,
Τῆς μὲν ἐγὼ οὐ στέρξα, λόγον δ' ἐπίκουρον ἔθηκα,
Καὶ πόθον, ὃς κρατέων ἀλλότριον ἐκτὸς ἔθηκεν,
Ὥς τις ἐλαφροτέροισι λέων θήρεσσιν ἐπιστάς.
Σαρκῶν γὰρ τελέθουσιν ὁμόφρονες ἐν παθέεσσι.
Τοὔνεκα καί τιν' ἴσασι φέρειν χάριν ἀλλήλοισι.
Σοὶ βεβρίθε τράπεζα. τρύφος δ' ἐμὲ μικρὸν ἔθρεψεν,
Ὡς καὶ χιλιάδας Χριστὸς μέγας ἔν ποτ' ἐρήμοις.
Σοὶ ποτὸν ἡμερίδων, τὸ δ' ἐμὸν μέθυ πλούσιον αἰεί,
Κρῆναι, καὶ ποταμοί, καὶ φρεία τε μακρὰ νάουσι.
Σοὶ λιπόωντα πρόσωπα, καὶ εἵματα σιγαλόεντα,
Κόσμος ἐμοὶ ῥυπόωσα κόμη, καὶ εἵματα λυπρά.
Εἷμα φέρω χρυσέοισι πιπασσόμενον θυσάνοισι
Χριστὸν, ἐμῆς ψυχῆς κρυπτὸν περικαλλέα κόσμον.
Εὐνή σοι μαλακή, τὰ δὲ ῥήγεα σάκκος ἐμοί γε,
Καὶ στιβὰς ἐν δαπέδῳ, καὶ δάκρυσι δευομένη χθών.
Σοὶ τιμήεις χρυσὸς, ἐμοὶ κόνις ἱμερόεσσα.
Μέχρι γαμοστόλον σὺ, κατηφιόωσα νυχεῦνα.
Καγχάζεις γελόωσα, παρήϊον οὔποτ' ἔλυσα.
Κῦδος ἱμείρεις, τὸ δ' ἐμὸν κλέος οὐκ ἐπὶ γαίης.
Αὐτὰρ ἐπὴν δὴ ταῦτα διαβρέσῃς καὶ ἴδηαι,
Ἄθρει καὶ τὰ γάμοιο περισσὰ τὰ λάτρισι σαρκός.
Ὤνιος ἐστὶ δάμαρτι πόσις, καὶ τοῦδε χερείων
Πολλάκις οὐδ' ἀγαθός. καὶ ὤνιος εὔνις ἀκοίτη.
Πολλάκι καὶ συνορὴ τυκτὸν κακὸν, οὐδ' ἀποπεμπτόν.
Εἰ μὲν γὰρ ἐσθλοὶ καὶ ὁμόφρονες, εἰς ἓν ἰόντες,
Εἰ δὲ κακοί, πόνος ἔνδον ἐφέστιος, ἔχθος ἄπαυστον,
Θείομεν οὔτε κακοὺς καὶ ὁμόφρονας, ἀλλὰ βαρεῖα
Πολλάκι καὶ νεόνυμφον ἐπὶ ζυγὸν ἤλυθε μοῖρα. (πνοῖς
Νυμφίος, εἶτα νέκυς. θάλαμος, τάφος. ἄμμιγα τερ-
Ἄλγεα. μικρὸν ἄεισμα, παροίτερον ἐσθλὸν αἰνεῖς.
Ἄλλος πυρσὸν ἀνῆψε γαμήλιον, ἔσβεσεν ἄλλος.
Ἄλλον τίς δ' ὀνόμηνε πάις πατέρ', ἄλλος ἄτεκνος.
Ἐξαπίνης, ὅρπηξ τίς ὅπως ἀνέμοιο τιναχθείς.
Ἄρτι κόρη, μετέπειτα γυνή, μετέπειτα δὲ χήρη.
Νυκτὶ μιῇ τάδε πάντα, καὶ ἤματι πολλάκι μουνῷ.
Ἑλκομένη πλοκάμους, κόσμον τ' ἀπὸ τῆλε βαλοῦσα
Νυμφίδιον, δρύπτουσα παρειὰ χερσὶν ἀραιαῖς,
Αἰδῶ παρθενίης πικροῖς παθέεσσι λιποῦσα,
Αἰνόμορον καλέουσα πόσιν, καὶ οἶκον ἔρημον
Μυρομένη, χῆρόν τε λάχος, καὶ πένθος ἄωρον.
Σιγήσω τοκετοῖο βέλη, καὶ ἄχθεα νεκρὰ
Μήτρης ἐν λαγόνεσσι, πικρὸν καὶ ἀμήτορα καρπόν,
Οὐ τεκέων, τεκέων τε τάφους πάρος, εἶτα τεκούσας,
Πρεσβυτέρους τοκετοῖο μόρους, ἄλοχόν τε λοχείην.
Σιγῶ δ' ἠλιτόμηνα, καὶ ἔκφρονα, καὶ παράσημα,
Λώβην ἀνδρομένης γονῆς, καὶ παίγνια σαρκός.
Ταῦτα ταλαντεύοι τίς, ὅπῃ πλάστιγγος ἐρωὴ
Δερκόμενος, καὶ πολλὸν ἐμὸς βίος ὕψος ἀνέλκει
Πρὸς θεὸν ὑψιμέδοντα, πᾶσι περίφαντος ἀρίστοις.
Αἴσχεα δ' ἀλλήλων στυγέομεν. ὡς γὰρ ἔοικε
Παρθενίης στόμα σεμνὸν ἐπεσβολίας ἀλεείνειν.
Εἰ δὲ σὺ παρθενίῃ προφέρεις θεοειδέϊ μώμους,
Εἴ που τίς καὶ βαιὸν ἐμὴν ἤσχυνε πορείην,
Καὶ Χριστοῖο χιτῶνα τὸν ἄσπιλον αἴσχεϊ μίξας,
Σῶν ἀγαθῶν τὸ πρῶτον ἐν ἀμπλακίῃσιν ὑποστὰς
Ὀψίγαμος, ἁγνοῦ τε φυγὰς μεγάλου βιότοιο.
Μνήσω δὲ καὶ ἐγὼ κλωπεῦς παντοίχιος εὐνῆς,
Ἣν ἀλιτροὶ κλέπτουσι θεοῦ πατέοντες ἀπειλάς.
Τοῦτο γὰρ ἐν θνητοῖσι κακῶν ὀλοώτατόν ἐστι
Πάντων, καὶ μαλεροῖο πυρὸς πλέον ἔγκατα δάπτον.
Εὖτέ τις ἀλλοτρίῃ πελάων κακομήχανος εὐνῇ,
Καὶ γόνον ἀμφήριστον ἔχει, καὶ δεσμὸν ἔρωτος.
Ἀλλά σε μὲν μοιχοὶ καὶ ἀλάστορες οὔτι γάμοιο
Εἴργουσιν. γαμέει δὲ καὶ ὃς ἐνὶ φάσγανον ἧκε
Δυσμενέος πλευρῇ, μοιχοκτόνον, εἴ σέ τι λύθρου
Στάζων ἀνδρομέοιο, καὶ ὃς ὑπάλυξεν ἀκωκήν.
Τῶν δέ με τις Χριστοῖο πόθων ἀποτηλόθι θήσει
Ἀφραδίων,

Ἀφραδίων, ψηφὶς δὲ μακρὴ ῥόον οὔρεω ἐφθέγξει;
Οὐ θέμις, οὐδ' ἐπέοικεν, ἐπεὶ πολὺ λώϊόν ἐστιν
Αἱρομένων πλεόνων πίπτειν τινὰς, εἰ θέμις εἰπεῖν
Τὸν δὲ λόγον γλώσσῃσιν ἐναντίον, ἢ χαμάζε
Μίμνειν δειδιότας, μήπου πέσωμεν ἐς χθόνα βένθος.
Οἱ μὲν γὰρ ἐσθλοὶ, Χριστοῦ κλέος, οἱ δὲ κάκιστοι,
Ὥς τε λίθον πέμποντες ἐς οὐρανὸν ἀφραδίῃσι,
Δέχνυνται κακίην τε καὶ αἴσχεα οἷσι καρήνοις.
Ἄγγελος ἦν τὸ πάροιθεν ἑωσφόρος· ἀλλὰ πεσόντος,
Οὐρανίοις περιμίμνεν ἑὸν κλέος. ὡς δὲ μαθηταῖς
Οὐδὲν Ἰούδας ὄνειδος ἐπεὶ πέσεν, ἀλλ' ὁ μὲν, ὦκα
Ἐξ ἀριθμοῦ λογάδων, οἱ δ' ἐν δέκα μίμνον ἄριστοι.
Καὶ πένθος τιν' ὄλεσσεν, ὁ δ' ἱστία λευκὰ πετάσσας,
Πλώει ναυηγοῦ λεύσσων τάφον, ἢ ἀπὸ τύμβου
Ῥήσματα λυσάμενος, πρυμνήσια δ' ἔνθεν ἀνῆψε.
Μήτηρ ἐμὴ κέλεταί με λιπεῖν βίον ᾧ δ' ἀνιόντα,
Ἢ λόγον εἴπωμεν, ἐπεὶ κράτος ἐστὶ θυγατρός.
Καρπὸς ἐμὸν, τοκέων δ' ἐστὶν ὡς κράτος. εἰ δ' ἔτι μήτηρ
Παρθενίης σὺ γέγηθας ὅσον κλέος ἐστὶν ἐμοῖο,
Οὐκ ἀΐεις ἔτι πάντων, ὅσους κατέλεξας ἀρίστους
Ἐκ τοκέων, τοκέων δὲ δικαιότεροι καὶ ἀρείους.
Καὶ Χριστὸς Μαρίης μὲν, ἀτὰρ πολὺ φέρτερός ἐστιν.
Οὐκ οἷον Μαρίης τε, καὶ οὓς περὶ σάρκα ἔχουσιν,
Ἀλλὰ καὶ οὐρανὸς εὐρὺς ὅσους νόας ἀμφικαλύπτει.
Καὶ στάχυς ἐξ ὀλίγου μὲν, ἀτὰρ στάχυς ἐβλάστησε
Σπέρματος. ἐκ ψαμάθου δὲ μέγ' ἔξοχος ἔπλετο χρυσός.
Ἡ δὲ λόγοιο κορωνὶς, ἐπ' ἀμφοτέροισι βίοισιν
Ἀζυγίῃ τε γάμῳ τε, τίν' εἰκόνα μῦθος ἐφεύροι.
Ὦ δίκην ἀθρήσειας ἐμοῦ μύθοιο τελευτήν.
Χειμέριαι νιφάδες, τὰ δέ γ' ἄνθεα ἔαρος ὥρη.
Καὶ πελιὴ ῥικνοῖο, τὸ δ' ἀνθηρὸν ἡβάοντος.
Ἤδη δ' ἄνθεα μὲν ἐν χείματι, χειμέριαι δὲ
Ὤφθησαν νιφάδες τότ', ἐν ἤμασιν εἰαρινοῖσι.
Καὶ πολιὴν ἀτίταλε νέος, καὶ γῆρας ἐλαφρὸν
Ἔδρακον, ἀρτιχνόοιο πολὺ στιβαρώτερον ἀνδρός.
Ὣς ἄρα συζυγίη μὲν ἔφυ χθονὸς, ἀζυγίη δὲ
Χριστοῦ παμβασιλῆος ὁμόζυγος. ἀλλὰ καὶ ἔμπης,
Παυράκι παρθενίη μὲν ἐπὶ χθόνα νεῦσε βαρεῖαν.
Συζυγίη δ' ἤιξε πρὸς οὐρανόν. ἔνθεν ἀέλπτως
Ἄμφω ψευδόμεναι, ἡ μὲν γάμον, ἡ δὲ χορείην.
Ἀλλὰ φίλοι τοκέες τε καὶ ἄζυγες εἰσέτι κοῦροι,
Μέχρι τίνος χθαμαλοῖσιν ἐοικότες ἠὲ χελώναις,
Ἢ καὶ λοξοβάμοισι καὶ ὀκταπόδεσσι παγούροις,
Ἢ δολιχῶν ὀφίων σκολιοῖς μαρύμασι γαστρός,
Ζώοις τε συνέρπων βεβαρηότες ἄχθεϊ σαρκός;
Δεῦρ' ἄγε καὶ Χριστοῖο παραιφασίην ἀΐοντες,
Κάλλος, ἐϋκλείην, πλοῦτον, γένος, ὄλβον, ἅπαντα
Ῥίψαντες, κακότητος ἀπηνέος ἔκγονα τερπνὰ,
Ἔνθεν ἀνεγρόμενοι, ζωῆς περιβῶμεν ἐλαφρῆς
Ἁγνότατοι καθαροῖσιν ὁμόφρονες οὐρανίοισιν.
Ὥσπερ δὴ μεγάλοιο θεοῦ τελέθοντες ὀπηδοί,
Γηθόσυνοι μέλπωμεν ἑόρτιον ὕμνον ἄνακτι.
Εἰς δὲ γάμον λήξαντες ἀπ' ἀγλαΐης παραδείσου,
Καὶ γαῖαν πολύμοχθον, ἅθ' ἑσπετα ὀλλυμένοισιν.
Ἔμπαλιν ἐξ ἀλιτοῖο βίου πρὸς κῦδος ἴωμεν,
Καὶ φυτὸν ἄλσεος ἐσθλὸν, ὅθεν πέσον ἀφραδίῃσι.
Τοίη καὶ ἀζυγίη θεοείκελος. οἱ δὲ δικασταὶ
Συζυγίην ποθέοντες, ὅμως εἴψουσι κάρρωον
Παρθενίης. Χριστὸς δὲ δίδους γέρας ἀμφοτέροισι,
Τὴν μὲν δεξιτερῇ παρεστήσατο ἐγγύθι χειρί,
Τὴν δ' ἑτέρην λαιῇ. κῦδος δέ τι καὶ τὸ μέγιστον.

ὙΠΟΘΗ͂ΚΑΙ ΠΑΡΘΈΝΟΙΣ.

Νίκη μὲν δὴ σεῖο, καὶ ὃς μάλα σαρκὸς ἑταῖρος,
Εἴη δὲ δίκην δικάσειε. μικρὸν δ' ἐπέεσσιν ἐμοῖσι
Παρθενὶ κυδιόωσα, καὶ ἀγλαΐῃσι περίφρων,
Οὔατα προθεμένη, καὶ ἐνὶ φρεσὶ σῇσι βαλέσθαι
Μῦθον ἐμόν. πολλῆς δὲ παραίφασις ἐστὶν ἀρίστη.
Μή σε νόος προύσειεν ὑπερφιάλοισιν ὁρμαῖς.
Πολλάκι γὰρ πτῶσις μὲν ἀπὸ χθονὸς ὕψος' ἄειρεν,
Ἐς χθόνα δ' ὕψος ἔθηκε. θεοῦ τάδε τέθμια κεῖται
Εὐμενέειν γοεροῖσιν, ὑπερφιάλους δὲ κολούειν.
Μηδὲ μακροῖς μέτροισι τελῶν σταθμώμενος οἶμον,
Εἴ τινα περιθρέξειας ἀπόδρομον, ἢ κάκιστον,
Τέρμα πέλαν ἀρετῆς πέδ' οἴεο· οὐ γὰρ ἄριστον
Τῶν ὀλίγων προφέρειν, μέτρον δέ τοι ἐστὶν ἐφετμή,
Καὶ θεὸς, οὗ σύ γ' ἄπωθε, καὶ εἰ ἐξοχαλώτερος ἄλλων.
Σκέπτεο μὴ καθύπερθεν ὅσων, ὁπόσων δ' ὑπένερθεν
Ἑστηώς, πάντα προφερέστατος εὔχεαι εἶναι.
Οὐρανὸς εὐρὺς ὕπερθε, σὺ δ' ἐν χθαμαλοῖσιν ἀείρῃ.
Ἔκλυον, ὡς νεπόδεσσι καθ' ὕδατος ἀγάζονται,
Μήνη τ' ἠέλιός τε καὶ ἀστέρες, οὐ μὲν ἄρ' οἵγε
Κοῦφα δ' ἀληθείης ἰνδάλματα εἰσορόωντες,
Τέρπονθ' ὡς φωστῆρσιν ἀφαυροτάτοισι τύποισιν.
Οὔποτε γὰρ νώτων πολιῆς ἁλὸς ἐξαναδύντες,
Ἀτρεκέως λαμπτῆρας ἐθηήσαντο πάροιθεν.
Ἦ τάχ' ἂν ἐσκίψαντο φάος καὶ παίγνια φωτὸς,
Ὥς τινες. οὐ γὰρ ἄνακτος ἐτήτυμον ἔδρακον ὕψος.
Μικρὸν ἀναθρώσκοντες, ἔχειν δοκέουσι πᾶν ὕψος.
Ἀλλὰ σὺ τὸ μὲν ἔμαρψας, ὃ δ' ἔλπεο, τῷ δ' ἐπίβαινε
Βαθμοῖς ἐν πλεόνεσσιν, ἀεὶ τὸ πρόσθε δεδορκώς.
Καὶ στάσις ἐστὶ κάκιστον. ἐπείγεο δ' ὡς καταμάρψῃς
Μέχρι σε καὶ πυμάτην ἐπὶ βαθμίδα Χριστὸς ἀνάξει.
Μηδέ σε μῶμος ὄπισθε βάλοι, καὶ γλῶσσα κακίστη
Ἰὸν ἐχιδναῖον πέμπουσ' ἐπὶ βίοισι καλοῖσι.
Δοιαὶ γὰρ μερόπεσσιν ὁδοί, καὶ δισσὸν ὄνειδος.]
Ἡ μὲν γάρ τε κακή, καὶ ἐς τέλος ἰὸν ἄγουσα.
Ἡ δ' ἀγαθὴ, καὶ τῆς δὲ φίλον τέλος, ὡς ἐπέοικε.
Μῶμος δ' ἀμφοτέροισιν, ἐπεὶ γλώσσης τί κεν ἦεν
Φέρτερον, ἢ μωμοῖσιν ἐπέχραε βίοισι κακίστοις;
Νῦν δ' ἡ μὲν πάντεσσιν ὁμῶς ἀγαθοῖς τε κακοῖς τε
Λύσσα πέλει. σὺ δέ μοι φράδμων τ' ἐπίσκοπος εἶν
Ἀμφοτέρων, καὶ τὴν μὲν ὀπίζεο, ἥ τις ἀλιτροῖς
Ἕσπετο, ὡς κακότητα φύγῃς, τὴν γλῶσσα χαλέπτει.
Τῆς δ' ἑτέρης μοι τόσσον ἔχειν δέος, ἣν ἀγαθοῖσιν
Ἐχθρὸς ἐφοπλίζει πυκινὴν κακὸς, ὅσσον ἄπτου
Ἀγχίαλος πέτρη καὶ κύματος ἀγνυμένοιο.
Μήτ' αἰσχρόν ποτε μηδὲν, ὃ πλεόσιν εὔαδε, ῥέξῃς,
Μήτ' ἀγαθοῦ λήξειας, ὅπερ στυγέουσι κάκιστοι.
Ἔρδειν δ' εὐκλεὲς μὲν ἐπάξια. ἢν δ' ἀπέῃσι,

Μή σέ γε λιλαιέσθω ψεύστης λόγος, ἀλλ' ἴθι πρόφρων
Τὴν δ' ὁδόν. οἱ δ' ὑλάοιεν ἑτώσια, οὐδέν ἀρειοτέρου
Θεοστυγέες βλέψουσιν. ὁ δὲ φθόνος ὄμματα τήκει.
Μηδὲ σύ γ' ἐκ Σοδόμων περιφυγών, καὶ τέφρην ἀλύξας
Τοῦδε βίου, θείου τε πυρὸς στονόεσσαν ἀπειλήν,
Εἰς Σόδομα βλέψειας, ἐπεὶ λίθος αὐτίκα πηγνύσῃ,
Στήλη καὶ κακίης, καὶ ἀργαλέου θανάτοιο.
Μηδ' ἐκ μὲν Σοδόμων κλέψῃς πόδας, ἐν πεδίοις δὲ
Γείτοσι δηθύνειν ἄσσον πυρός, ἀλλὰ τάχιστα
Σώζεσθαι πρὸς ὄρος, μή σε πυρὸς ὄμβρος ἐπίσπῃ.
Μή τε λίην τρομέειν σαρκὸς φύσιν, ὡς ἀδάμαντον.
Οὐ θεόθεν γὰρ σάρξ, ὃ δ' ἴσμεν ἄνδρα τίθησι.
Μή τε λίην σάρκεσσιν ἐφέσπεσθαι μαλακῇσι,
Μή σε καὶ κρυμνὸν βρίψῃ κόρος οὐ δοκέοντα.
Πρόφρων μὲν τρηχεῖαν ἴθι τρίβον. εἰ δὲ πελάσῃς,
Σκέπτεο μή τις ὄλισθος, ὅπως ἐπὶ τέρμα πελάσσῃς
Ἄπταιστος, στεινὸν δὲ γε ἐξελάσῃς πυλεῶνα.
Ἔνθα φάος τε κλέος τε, καὶ ἔνθ' ἀμπνεύσεις ἀπαύστως.
Εἰ ῥομφαίας καλάμην συνεθὴς ὅτι τυτθὸς ἀνάπτει,
Θαρσεῖ. ὄμβρος ἄνωθεν καταψύξει φλόγα πολλήν,
Εὐχαί τε, στοναχαί τε, καὶ ἤματα δακρυόεντα,
Καὶ νύχιαι μελεδῶναι, ὅρος θ' ὅλος ἀμφὶ ἄνακτα.
Τοῖα σαοφροσύνης καλὰ φάρμακα, οἷς σὺ φύλασσε
Οὐδ' ἔδωλα πόθοιο χερειότερα ποτὲ θήσεις
Σῇσιν ἐνὶ πραπίδεσσιν, ἁγνὸν δέ τε καὶ νόον ἕξεις,
Ὡς νηὸς μεγάλοιο θεοῦ καὶ πνεύματος αἴγλης.
Παρθενίη, παρθένος ἴσθι, καὶ οὔασι, καὶ φαέεσσι,
Καὶ γλώσσῃ. πᾶσιν γὰρ ἐπίτροχος ἐστὶν ἁμαρτάς.
Οὔατα μὲν πεφρόνηντο μόνοις ἐσθλοῖσι λόγοισιν,
Αἰσχροῖσι δὲ θύρετρα καὶ ἀφραδέεσσι τε τάδε.
Ὄμματα δ' ἐν νυμφῶσι τεοῖς βλεφάροισιν ἔρυχθεν
Σώφρονα. μηδὲ μάχλοις κινήμασι κέντρον ἐγείρει.
Χείλεα δ' αὖ καλύκεσσιν ὁμοίια δῖσμα κέασθω,
Καὶ μῦθος ποθέοιτο. πόδες δ' ὑπόρροπον ἰόντων,
Ψεύσται παρθενίης, καὶ εἵματα πόρον ἔχετε.
Ῥωγαλέον δὲ χιτῶνα, καὶ οὐ ῥυφόωντα κάρηνα
Αἴδεο, μὴ σηρῶν καλὰ νήματα. μάργαρος ἄλλην
Κοσμείτω, καὶ χρυσὸς ἐπαστράπτων μελέεσσιν.
Σὺν καὶ γραπτὰ πρόσωπα, χθονίων πλάσματα χειρῶν,
Εἰκόνος οὐρανίης ἀλλότρια, εἰκόνων αἰσχραί,
Μαχλοσύνης στῆλαι τε, καὶ οὐ λαλέοντες ἔλεγχοι,
Κινύμενοι πίνακες, μυσαρά τε νυκτὸς ἐνῆσι,
Αἴσχεα μαρμαίροντα, τάφοι κρύπτοντες ὀϊζύν.
Τῶν ἄπο τηλόθ' ἴοιο περιπεπτη κυδιόωσα
Κάλλει κρυπτομένῳ νύμφη χριστοῖο ἄνακτος.
Ὄμματα δ' ὄμμασι μίσγε, λόγον λόγῳ, ἁγνὰ καὶ ἁγνοῖς.
Μή ποτε μηδὲ γέλωτι γέλων, καὶ θάρσει θάρσος.
Ἐκ γὰρ δὴ τοιῶνδε κακὸς μερόπεσσιν ὄλισθος.
Ἄρσενα πάντ' ἀλέεινε, συνεύνακτον δὲ μάλιστα.
Μεζῷας πικρὸν ὕδωρ, καὶ πείθεο παρθένος ἁγνή.
Κὴν χρυσοῖο πέλῃ καθαρώτερος, ἢ ἀδάμαντος
Στερρότερος. διπλοῦν δ' ἐπὶ δέος, ᾧ σὺ πέποιθας
Σαρκὶ τεῇ, τίς πιστὸς ὁμοφροσύναις μελέεσσι.
Μή σοι μὲν καθαρόν τε καὶ ἄσπιλον ὄμμα, νόος τε,
Φρὴν δ' ἑτέρου κεύθει τι χοός, καὶ πνεῦμα διώκει.
Ἐκ σαρκῶν ἐπὶ πνεῦμα μετήλυθες, ἔνθεν ἀερθείς.
Πῶς αὖθις σάρκεσσιν ὁμὸν βίον αἰνήσασα,
Νυμφίον ἱδρόεντα τεῆς ζηλήμονα μορφῆς
Αἰσχύνεις, μή πού σε κεδνῆς φιλότητος ἀμέρσῃ,
Ὡς δοστὴν σκάζουσαν ἐπ' ἀμφοτέροισι πόδεσσι.
Χειρὸν ἔχεις ἀγαπητόν, ἀπόπτυσον ἄνδρας ἅπαντας.
Τί χρήζεις ἐπίκουρον ἔχειν χατέοντ' ἐπικούρου;
Πῶλοι μὲν πώλοισι φίλοι, ἔλαφοί τ' ἐλάφοισι,
Καὶ ψαρῶν ψήρεσσιν, ἀγνῷ δέ τε τίμιος ἁγνός.
Ἀλλ' ἔμπης κακόμητιν ἀλεύεο, μή σε δολώσῃ,
Καὶ πινυτὸν περ ἐόντα. σοφοῖς δέ τε καὶ πλέον ἔχθει.
Πολλάκις ἐξ ἀγαθοῖο κακὸν πόρε σύνεσις καὶ ἐσθλοῖς.
Νῦν φάος, εἶτα σκότος, ἐνδὸν μόρος, εἶδαρ ὕπερθεν.
Καὶ σαίνει γλυκεροῖσι, καὶ ὄλλυσι κευθομένοισι.
Πολλάκι μὲν συνάγειρεν ὁμόφρονας ἀλλήλοισι
Πνεύματι, καὶ φάος ἦλθεν, ἐπωνυμίην τέ γε σεμνήν,
Τὴν ἀγάπην καλέουσιν, ὑπήλυθεν, αὐτὰρ ἔπειτα
Ἐκ κραδίης ἐπὶ σάρκας ἄγων πόθον ἐγγὺς ἐοῦσας,
Ἢ πῦρ, ἢ πυρὸς σημεῖα λυγρὰ δίδωσιν.
Εἴ τοι μηδὲ πυρὸς σημεῖον, ἀλλὰ τάχιστα
Γλῶσσαι ἀθρόωσαι. ἑτοιμότεροι δέ τε πάντων
Εἰς κακίην τελέθουσι. ῥόος δ' ἐπὶ πρηνὴς ὀλισθεῖ.
Ἀλλὰ δός μοι καὶ εἵματα. ῥάπτειν τε, ἀδρανίη τε,
Γήραος ἀργαλέοιο τόδ' ἤγαγεν αἶχος ἀρωγόν.
Χρύσεα χαλκείων διαμείβεται, ἀγανόωντος
Ἀντὶ βίου μικρὴν καὶ ἀεικέα τέρψιν ἐδέξατο.
Οὐδ' εἴ μοι χρυσοῖο, καὶ ἠλέκτροιο τάλαντα,
Καὶ πεδία χλοάοντα καὶ οὔρεα πάντα δοίης,
Καὶ δόμον αἰγλήεντα, καὶ ἀλκινόοιο τράπεζαν,
Οὐδ' εἴ μοι βίον ἄλλον ἀγήραον αὐτὶ φέροντος,
Οὐδέ κεν ὧς λιπόχριστον ἐγὼ βίον αἰσχρὸν ἑλοίμην.
Ἄρτος ἐμοὶ στένοιτο, ποτὸν ὕδωρ ποθέοιτο.
Φύλλα συκῆς μ', ὡς πρόσθεν Ἀδὰμ Εὔαν τε καλύπτοι.
Καὶ σίραγγας ἔχοιμι πετρῶν, δόμον, ἤ τινα φηγοῦ
Κευθμῶνα, σχέδιον τε βίον, καὶ θηρσὶν ὁμοῖον.
Ἤ τινα πὰρ πυλεῶνα βεβλημένος ἄχθος ἀρούρης
Ἀνδρὸς ὑπερφιάλοιο, πένης, καὶ Λάζαρος ἄλλος,
Ἔλθοιμι ζωήν τε λυγρήν, καὶ σῶμα πονηρόν. (πνά.
Νῦν τάδε, χάσμα δ' ἔπειτα, καὶ ἄντια πάντα τὸ-
Σοὶ κόρος, ἄλγος ἐμοί γε μικρόν, ὃ πάντα λέλασται.
Ἐν πάντων μετὰ τύμβον ἴσον κόνις. ἶσος ὁ χῶρος
Δμώεσσι καὶ βασιλεῦσι, τὸ δὲ πλέον οὐκ ἀΐδαο.
Τούνεκα μή τ' ἀγαθοῖσιν ἰαίνεο τοῖς φθίνουσι,
Μή τε λίην μογεροῖσιν ἄσαι φρένα τοῦδε βίοιο.
Ἡ γὰρ ὁμοῦ τερπνοῖσι καὶ ἄλγεα πάντ' ἀπολέψας
Οὐ μετά. τί δὲ μακρὸν ἐφημερίοιο βίοιο.
Ξεῖνος δ' ἴσθι πάροικος ἐπ' ἀλλοτρίης χθονὸς ἕρπων.
Ἔνθεν ἀναστήσει σε θεὸς ἐς πατρίδα σεῖο,
Μικρὸν ἀεθλεύσαντα, πόνον δέ τε μεῖζον ἄεθλον.
Καὶ σὺ φίλος τεκέεσσιν Ἰωναδὰβ ἔξοχε μήτηρ,
Ὄλβον ὑπερβλύζων τὸν ὑπέρτατον ἐν μερόπεσσι,
Τόνδε νόμον μῦθόν τ' ἐφθέγξαο, παῖδες ἐμοῖο,
Δεῦτε πατρὸς δέξασθε, τὸν, ὃ πόρε πλοῦτον ἔμοι γε,
Οὔτ' ἄλλῳ ποτὲ παιδὶ πατὴρ φίλος ἔμπεδον αἰεί.
Μὴ δόμον οἰκήσητε περίγραπτον μελέεσσι,

Μὴ γαίην

Μὴ γαίην ἀρόσητε. τί δ' ἄμπελος ὔμμιν ὄνειαρ;
Ἐν σκηναῖς ναίοντε, μέθυσμα καὶ γλυκὺ πῶμα
Μή ποτ' ἐφ' ὑμετέρων λαιμῶν, μὴ τέκνα χέοιτο,
Ἀλλὰ θεῷ ζώοιτε, θεὸν δέ τε πλοῦτον ἔχοιτε
Μοῦνον ἀεὶ ζώοντα, ὁμοίϊον, ἀστεφέλικτον.
Ὣς ἄρ' ἔφη. παῖδες δὲ πατρὸς ἐτέλεσσαν ἐφετμήν.
Οἶδα δ' ἐγὼ καὶ λαὸν ὑπὸ χρυσίης ἐπὶ γαῖαν
Ἱέμενον, τῷ πρόσθε πυρὸς στῦλος ἡγεμόνευε,
Καὶ νεφέλης ἔλκοντος ἀσημάντου δι' ἐρήμης.
Ὧ πόντος ὑπόειξε, καὶ οὐρανὸς ἄρτον ἔδωκε,
Καὶ πέτρη βλάστησεν ὕδωρ, ὃ δ' ἐχεύατ' ὀπίσσω
Εὐρὺ ῥέων ποταμός. καὶ ἥλιος ἔσχεθε δίφρον,
Καὶ παλάμῃσι τρόπαιον ἀνὴρ ἔστησε τανύσσας
Σταυρὸν ὑποσκιάων. πίστις δ' ἐπέδησεν ἀκωκάς.
Ἠλίας δὲ κόρακι τράφη, καὶ γραῖαν ἔθρεψε
Σιδονίην, τυτθοῖσιν ἐνὶ ψεκάδεσσι βίοιο,
Οὔ ποτέ γ' ἐν πενιχρῇ σιπύῃ λήγοντος ἀλεύρου,
Καὶ κεραμοῖο βρύοντος ἀεὶ τόσον ὑγρὸν ἔλαιον,
Ὅσσον ἀφύσσετο χερσὶ φιλοξείνοιο γυναικός.
Ἑβραῖοι δέ τε παῖδες ἐὴν ποθέοντες ἐδωδήν,
Ὄφρα κε μὴ βασιλῆος ἐνὶ χανδόσι τραπέζης,
Ἀσινέες κατύπερθε φλογὸς χαίροντες ἔβησαν.
Ἔνθεν ἀναψύχοντες, ἴα πρὸς δώμαθ' ἵκοντο.
Καὶ Δανιὴλ λείουσι ῥιφεὶς βορὰ μαινομένοισι,
Θρέψε μὲν οὔτι λέοντας, ἐπεὶ χεῖρας ἐξεπέτασσεν,
Ἀβρὴν δ' ἐνὶ χερσὶν ἐδέξατο δαῖτα προφήτου.
Σπλάγχνων δ' ἐκ μεσάτων ἀπορεύξατο θεῖον Ἰωνᾶν
Θὴρ ἁλός, ὅν ῥ' ἐδέκτο τριήμερον. ὢ μέγα θαῦμα.
Πίστις γὰρ συνέβαινε καὶ ἐν σπλάγχνοισι προφήτῃ.
Ἀκρὶς Ἰωάννῃ δὲ τροφὴ καὶ κηρίον ἦεν
Ἄγριον, ὑψιλόφων τε τρίχες ἔσθημα καμήλων,
Καὶ δόμος οὐρανὸς εὐρύς, ἐρημαῖαί τε χαμεῦναι.
Τίς Θέκλαν ἐσάωσεν ὑπ' ἐκ πυρός, ἥ τις ἔδησε
Θηρῶν ὠμοβόρων κρατερὸν μένος. ὢ μέγα θαῦμα.
Παρθενίη καὶ θῆρας ἐκοίμισεν, οὐδ' ἐπάλασσαν
Παρθενικῆς δέμας ἁγνὸν ἑαῖς γενύεσσι μιῆναι.
Οὐδὲ μὲν οὐδ' ἁγνῆς ἐπιλήθομαι, οὐ γὰρ ἔοικε,
Σωσάννης, ἥ καί μιν ὑπὸ ζυγὸν ἤγαγεν αὐτῆς,
Σωφροσύνης ἡ τόσσον ἔχε πόθον, ὥστε φυγοῦσαν
Χεῖρας ἀθεσμοτάτας, ψήφοις τ' ἀδίκοισι δικαστῶν,
Ἐς μόρον ἑλκομένην πόθ' ὑπ' ἐκ θανάτοιο σάωσε
Πνεῦμα νέου, πολιοῖο φρένας, καὶ μάλα πυκνὰ
Ὀρθοδίκου, δήσαντος ὑπὸ σφετέροισι λόγοισι
Πρεσβυτέρους Βαβυλῶνος, ἀλιτροτάτους, ἀθεμίστους.
Παύλου δ' αὐτὸς ἄκουσας, ὅσους κακότητος ἀέθλους,
Ὀστρακίων μόχθων τε καὶ ἀργαλέων μελεδώνων
Ἐμφυλίοις, ἐχθροῖς τε, καὶ εἰν ἁλί, καὶ κατὰ γαῖαν
Ἤρατο. καὶ τριτάτοιο πόλου πρὸς χῶρον ἱκέσθαι;
Καὶ θεῖναι γλυκερῇσιν ἐν ἄρκυσι κόσμον ἅπαντα.
Κεῖνος καὶ λυπεῦσιν ἀγάλλεται, ὁππόσον οὔτις
Δεξιτεροῖς, μισέει δὲ κακῶν ἀρετὰ κατάκαυστα,
Ὡς ῥόδον ἐν συνεχεῦσι καὶ ὀξείῃσιν ἀκάνθαις.
Τῶν σὺ μνωομένη, τήρει βίον ἁγνὸν ἄνακτι
Πάμπαν ἐν ἐλπωρῇσιν ἀμείνοσι, μή σε δαμάσσῃ
Χρειώ, ἥ τε τάχιστα καὶ ἔμφρονα φῶτα δαμάζει.

Τοιήνδε καὶ δολόμητις, ἐπεὶ Χριστοῦ βασιλῆος
Εἰς πεῖραν κατέηκε, θεὸν βροτὸν ἄμμιγα λεύσσων
Πεινάοντ'. ἐκέλευσε λίθους εἰς ἔδαρ ἀμεῖψαι,
Ὥς κεν χρηΐζοντα, ἐν ἄρκυσιν ᾗσιν ἕλῃσιν.
Ἀλλὰ θεοῦ μὲν ἅμαρτε, σὲ δὲ βροτὸν ὄλια σαίνει,
Ὡς θεόν. ἀλλὰ θεῷ γε πέλοις, καὶ τῆλε διώκοις
Ἐχθρόν, ὅλη μέμνησο θεοῦ, καὶ σαρκὸς ὕπερθεν.
Μὴ δ' ὡς ἐν πλεκτοῖο χοροῦ περιηγέϊ κύκλῳ,
Τὸν μὲν δεξιτερῇ κατέχοις, ἄλλον δέ τε λαιῇ,
Ἴσον ἐφαπτομένη, καὶ χαζομένη θεότητος,
Ἥμισυ μὲν Χριστοῖο, τὸ δ' ἥμισυ σαρκὸς ἐοῦσα,
Ἢ πέλαγος τέμνουσα θοῇ καὶ ἐπηρέϊ νηὶ
Πνεύματος ἱσταμένοιο καὶ οἴδματα κυμαίνοντος,
Ἴσχων ναοπέδῃσι ταχὺν πλόον, ἢ ἀπὸ γαίης
Ἑλκέσθαι, ναύτην τε δι' οἴδματος οἶμον ὁδεύειν,
Ἄμφω ποντοπόροις καὶ πεζοπόροισιν ὁμοίην.
Μηδὲ τεῇ ζωῇ Βελίαρ ἐχνίδα σπέρμα,
Ἥ τε καὶ ἱεμένην περ, ὅμως ἔτι νῆα πέδησεν.
Ἀλλ' ὥς τι στεινοῖο πόρου διὰ ῥεῖθρον ὁδεῦον
Ῥοιζηδόν, μολίβου περιηγέος ἐν κενεῶσιν
Ὁλκοῖο θλίβοντος ὅλον χάδε, καὶ πρὸς ἄναντες
Δέσμιον ἅλλεται ὦκα βιαζόμενον κατόπισθεν,
Ὣς κέλομαι σέο φίλτρον ἐνὶ πραπίδεσσι τεῇσι
Σφιγγόμενον, Χριστοῖο κατάντιον ὕψι φέρεσθαι,
Ἠὲ καλὴν πίειραν ἐπικλύζειν τιν' ἄρουραν.
Εἰ δὲ σύ γ' ἔνθα καὶ ἔνθα χέοις ψαμάθοισι βαθείαις,
Ἢ κατὰ τεφράων, ἢ λείμακος, ἠὲ χαράδρης,
Ὤλετό σοι ῥόος ἐσθλὸς ἀσύνδετος, οὐδὲν ὄνειαρ.
Εἰ μέν σοί γε πατὴρ ζώει φίλος, ὅς σε φάος δὲ
Ἤγαγεν, ἢ μήτηρ γλυκερή, καὶ φίλτρον ἀμεμφές,
Εἰ σὺ κασιγνήτοισιν ἐρείδεαι εὐμενέεσσιν,
Εἰ τεκέων ἐκέεσσιν ἀρηγόσιν, ἢ καὶ ἀρωγῆς
Δευομένοις, τούτοις μὲν ὁμὸν βίον ἀμφαγαπάζειν.
Οὐ φθόνος, οὐδὲ πικρὸν καὶ ἀνάρσιον ἐνθάδε μῶμος
Ὄμμα βαλεῖν, τρίζειν τε σάνδαλα πολλάκι φάσκων.
Ἔστι δὲ καὶ τέοδ' ὄνειαρ ἐμοὶ κακὸς ὄμματα βάλλων,
Κεῖνος μὲν βαλέει, τὸ δ' ἐμὸν κέαρ ἔμπεδον ἔσται.
Τῶν δ' ἄλλων μοι τόσσον ἀλεύασθαι φιλότητα,
Ἤ τοι μὴ φιλίην γε, συνωροφίην δ' ἀλεγεινήν,
Ἢ θάρσος δολερόν τε καὶ εὐθαλέεσσιν ἄπιστον.
Ὁσσάτιον Χριστοῖο περιδραμέεσθαι ἔοικεν
Ἔμπεδον ἐμπεφυῦαν ἀειζώοισι πόθοισι.
Μηδὲ σὺ παρθενίης μὲν ἔχειν πόθον ἱμερόεντος,
Τοῖς δ' ἄλλοις παθέεσσι τεὴν φρένα πάμπαν ἀνοίγειν
Σωφροσύνην κομέουσα, κακὸν δέ γε τοῦτο χέρειον (γὰρ
Τίκτεσθαι ἐξ ἀγαθοῖο κακὸν φθονεροῖο δόλοισιν.
Οὐ γὰρ τόσσον ἐμοί γε γάμος, οὐδ' ἔργα γάμοιο
Φύξιμος, ὧν γε θεὸς θέτο τῶν γένος αἰὲν ἄεξε,
Ὅσσον ἐμοῖς παθέεσσιν ἄκος καὶ ἄλκαρ ὀδυρμῶν
Παρθενίην, ὧν εἰ μὲν ἐλεύθερον ἦμαρ ἔχοιμι,
Ἔστι καὶ ἀζυγίης τις ἐμοὶ χάρις. εἰ δὲ θύρετρα
Θήρεσιν ἀμπετάσαιμι, φίλην φραγμοῖσιν ἀλωήν
Εἴρξας, ἢ φραγμοῖο τὸ μὲν πυκινῶς ἀράροιμι,
Τῇ δὲ τρίβους οἴξαιμι παραβροχάουσιν ὁδίταις,
Τί πλέον, ἢ γὰρ ὁμῶς δηλήσατο ἐχθρὸς ἀλωήν

Πάντοθεν

Πάντοθεν ἀσπίπετον. καὶ γὰρ σέο πάντα δεδυκώς,
Ἔκτοθεν ἔπλε βάλῃσι, καὶ ἔνδοθεν ἔπλε λάβῃσιν,
Ἀμφαδίην, λοχόων τε, τίς ἂν κακότητ' ὑπαλύξαι
Ῥηιδίως, μὴ χριστὸν ἔχων ὑπὸ ταρρόθον αἰεί;
Μὴ μικρὸν ἐν κακίῃ θείης ποτὲ, μηδὲ τὸ μικρὸν
Τυτθοῖς ἀντιδόωσα, χερείοσιν οὔ ποτε κύρσεις.
Ὅσσα φέρεις' ἀΐεις, καὶ φθέγγεο. ὅσσα δὲ βάζεις,
Αἰδόσσοις προφρονέως. ὄψις δ' ὑπὸ ὄργον ἐλαύνοι.
Πάντα σὺν ἀλλήλοισι, τέλος, λόγος, ὄψις, ἀκουή.
Φεύγειν ὑπὸ ὁρμὰς πονηρὸν, ὅπως στέχων ἐσθλὸν ἀγεί-
Μηδὲ σὺ μοιχιδίην κλέπτειν φιλότητα βίοιο. (ρεις.
Κλέπτει δ' ὅστις ἔδεικε κακοῦ καὶ ῥίζαν ἐλαφρήν.
Ἐκ γάρ τοι ῥίζης γε πολύσχιστοι κλαδέωνες
Ἔνθα καὶ ἔνθα χέονται ἀπ' ἰκμάδος αἱματοέσσης,
Καὶ τυτθὸς συνίδνησιν ὀπὸς μέγα χεῦμα γάλακτος,
Καὶ ψεφὶς σταθεροῖο καθ' ὕδατος ἀΐσσουσα,
Ἐξαπίνης συνέχευεν ὅλην περικαλλέα πηγήν
Πολλοῖσιν κύκλοισιν ἐλαυνομένην ἀχ' κέντρου
Αἰὲν ὑπεκφείδουσι καὶ ἔκτοθι λυομένοισι.
Ἰδνώθη δὲ τυπεὶς ὅλον δέμας ἀμφ' ὀδύνῃσιν
Ἑλκόμενον, γεῦσις δ' ὀλίγη, καὶ νεκρὸς ἔγωγε.
Τόδε γὰρ ἀμάρτησαν ἁμαρτάδες, ὡς ὅτ' ἄριστον
Αἰχμητὴς στρατὸς, ἄλλος ἐπὴν διὰ τεῖχος ἕλῃσιν,
Ἀσπίδος οὐ μέγα τύμμα, δίδωσι δέ γ' αὐτίκα πότμον
Ὑπναλέον, καὶ πρὶν πνεῖ ἐκπνεύσειν ὄλεθρος.
Τῷ, μή μοι ῥυπόωσαν ἔχειν φρένα, μηδ' ὑπὸ τυτθοῖς
Γαστὴρ κλεῖθρα φέρουσα, τάχ' ἂν κακότητι φύγῃσι.
Τὴν δ' ἄθυρον τρομέω, μή τις χοὸς ὕβρεις ἐπέλθῃ.
Σώματι δαμναμένου, συνδάμναται οἶστρος ἀναιδής.
Οἶνος παρθενικῇσι χόλου πλέον οὐδὲν ὀνείδους,
Θυμὸς δ' αὖ μανίας. οἶμος δέ τε παντὸς μόροιο.
Παρθενίη θρύπτεό μοι μηδ' ἐν ῥυπόωσι χιτῶσιν.
Ἔστι καὶ εὐτελίης τι κακῶν ὄζοντας ἰαίνειν.
Μηδὲ παρειάων σκιρτήμασιν ἐχθρὸν ἐγείροις.
Αἰσχρὰ καχλάζουσιν, ὅσαις τέγος ἀκλήιστον,
Χάρματα παλλομέναις. σοὶ δ' ἵλαος ἦκα παρειὴ
Λυέσθω, τὸ δ' ὄλυθος ὑπακουτέλλοιο τάχιστα
Κλέπτον ἐϋφροσύνην. αἰδὼς δ' ὁρόωσιν ὄλυθος.
Φθέγγεσθαι μὲν ἔοικε θεοῦ πέρι παῦρα γυναιξί,
Τόσσον, ὅσον τριάδος τε πλὴν φύσιν ἴδμεναι οἴην,
Τριοστὴν ἐν θεότητι, μίαν χάριν. οὐ γὰρ ἄμεινον
Σιγᾶν εὐσεβίης καὶ ῥήματα, εἰσαΐειν δὲ
Πλείονα, καὶ προμάχοισιν ἄμφω φρεσὶν ἐναγέως τε,
Καὶ καθύπερθε φέρειν αἰδοῦς σκέπας. οἱ δὲ μάχοιντο
Μύθοις ἀντιθέτοισι σοφοὶ σκεδάοντες ἀπίστους.
Μή σοι γ' ἁρπάζοιτο θεὸς συγχωρήσει μερίμναις,
Αἵ τε καὶ ὕψι θέοντα θεοῦ ἐπὶ γαῖαν ἔηκαν.
Μηδὲ νόος πελάζοιτο φορεύμενος ἔνθα καὶ ἔνθα
Τέρματος, ἠΐ τε πῶλος ἀεθλοφόρος ἀδάμαστος
Τῆλε θέων, χριστοῖο μέγα κλέος. εἰ δέ σε πικρὸς
Κλέψειεν βελία πλάγχθης νόος ἔπλε τάχιστα
Καμπτόμενος, πρὸς νύσσαν ἴοις δρόμον ἰθὺν ἐπελθών.
Κεδνὴς σοί γε μέλοι, καὶ ἔργα, καὶ μελεδῶνες
Θείοις ἐν λογίοις, σοφίη, καὶ ἄσματα θεῖα
Λυπαλέης φωνῆς, ἔμφρων θρῆνος, οὐκ ἐπίδεικτος.

Ἧς πλέον ἐν πραπίδεσσι, μακρὸν δ' ὑπὲρ χείλεσι κεῦθε.
Πολλάκι καὶ κωφοῖσι δι' οὔατος ἔνδοθεν ἐχθρός.
Μηδὲ σὺ συζυγίην τε καὶ ἄχθεα θηλυτεράων
Θεοστερέεσσι πόνοισι φυγοῦσ' ὦ πάντα σαόφρων,
Ἀλλοτρίας μεθέπειν θαλάμους καὶ ὄργια γάμοιο,
Ἀντὶ δὲ παρθενικῆς γε, γυνὴ ζυγίη καλέεσθαι.
Μηδὲ δόμοις ξείνοισι παρίζεο, μηδὲ τραπέζαις.
Μηδὲ μέσῃ δ' μάρναντι καὶ οἰκιδίων ὀρυμαγδὸν
Στρωφᾶσθαι. μὴ θαμὰ φέρειν λόγον ἀντὶ κόροιο.
Μήτρα φιλοξενίης ἀσπάζεο, εἴ τις ἄριστος
Οἵ γε περιφρονέως ἐλαχὼν δόμον, εἴ τις ὁμίλου
Τηλόθεν εἰλυμένοιο. σοὶ δὲ κλέος οἶκος ἐρυμνός.
Λώιον ἀξενίη πουλυξείνοιο δόμοιο
Παρθενικαῖς. αἰδὼς γὰρ ἐνὶ πλεόνεσσιν ἐλώσσων.
Καὶ τοῖς, παρθενικὴν ἐφυβρίζοιτο φαεινή.
Τῷ, μή μοι περάτων γαίης ἄπο πίστιν ἀγείρειν.
Αἰδὼ μοι πελιὴν. καὶ ἐπὶ οὔθεσι κεδνοῖς.
Πλεῖον γάρ τι φέρει πελιὴ νεότητος ἐχέφρων.
Μηδὲ μὲν εὐσεβίης περιδρομον ἔνθα καὶ ἔνθα,
Πολλάκις ἐν κόσμον ἅμ' ἀνδράσι κουφοτέροισι
Σὸν πόδα δινεύειν ἱεροὺς ἀπὸ δινοῦντ' ὑπὸ χώρους,
Καίπερ τηλόθ' ἐόντας. ἐφίστιος οὐκ ἅπασι
Χριστὸς ἄναξ πελάει τε, καὶ ἐν κραδίῃ φιλέοντος.
Ἵζεό μοι πρώτιστα θεὸν, μετέπειθ' ἱερῆας
Χριστὸν ὑπὸ χθόνιον, ζωῆς σημάντορα σοῖο.
Ὦ πελάειν παρθένεσσα. καὶ ὃ σιγῶσ' ὑπεσείκειν.
Ὦ γάθεν ἀντίσα, καὶ ὃ ῥέουσ' ὑπεσείκειν.
Ὥς κεν ὑποδρομέουσα, παλίσσυτος ὕψι φέρηαι.
Ἄλλοις τέθναθι πᾶσιν, ἐπεὶ τόδε λώιον οὐκ
Παρθενικαῖς, ἢ γυμνὸν ἔχειν βίον, ἀσκεπέα τε,
Αἰνῶν θηλυτεράων, τὰς ἄρσενος οὐδὲ ἴσασι.
Ζῶσι δ' ἑκὰς βιότοιο, θεῷ δέ τε κρυπτὰ πέφανται.
Λίην εὐσεβέων, λίην δέ τε μὴ βλεμεαίνων.
Κῦδος ἱμείρουσα, τάχ' ἂν κλέος ἐσθλὸν ὀλέσσαις.
Ἀνδράσι τε περίφαντον, ὄλοιτο δὲ θῆλυς αὐχήν.
Ζηλοῦσθαι μὲν ἄριστος, ὁ δὲ συγέειν κάκιστος.
Τὸ φθονέειν ἀγαθοῖς ἴσον, στέργειν τε κακίστους.
Μή τε κακοὺς ἐρόωσα γαληνιόωντας ὀλβίῳ
Ἴσχεο, μήτ' ἀγαθοῖς φρένα δάπτεο καμπτομένοισι.
Πρόσσω τοῦτα βίοιο, τὰ δ' ὕστατα δέρκεο πάντα,
Χαίρειν δίδοικα. τὸ δ' ἐστὶ μὲν οὐ σάφα οἶδας,
Μή που τίς βροτολοιγὸς ὑπὸ πνεύσειεν ἀήτης.
Τοὔνεκεν οὐ τρομέειν, οὐ περδομέειν βιότοιο.
Πίπτοντος δὲ κακοῖο, τεὸν πόδα μᾶλλον ἐρείδειν.
Εἰ δὲ καὶ εὐδρομέοντος, ἔτι πλέον. οὐ γὰρ ἄριστοι
Πίπτουσιν, ἀνώλισθον ἔχειν βίον, οὐ μάλ' ἐλαφρόν.
Ἄνθρακες εἰσὶ πόδεσσιν ἅπας βίος, οὐ μάλ' ἐλαφροί.
Καὶ κρυπτῶν παγίδων αἰεὶ καθύπερθεν ὁδεύειν.
Δείδιθι μὴ βιότοιο θεμείλιον ἐν ψαμάθοισι (θεὶς.
Βαλλόμενος, ὄμβροις, ποταμοῖς τ', ἀνέμοις τε κυλι-
Ἢ σπόρος ὡς ἐπὶ γαῖαν ἰὼν ξηρὴν καὶ ἄκαρπον,
Ὦκα μὲν ἀντέλλοιμι, τάχιστα δὲ αὖος ἔοιμι,
Ἠελίοιο βολῇσι τυπεὶς, καὶ πήμασι τυτθοῖς.
Μηδέ μοι ὑπναίοντι κακὸν σπόρον ἐγκαταμίξῃ
Ζιζανίων ἀρότης τε κακῶν, καὶ βάσκανος ἐχθρός.

Ἡνίκα

Ἡνίκα δ' αἰθομένας ἁγνῶν δεπὰς ἐν δαΐδεσσι
Παρθένοι ἐγχείωσσαι ἀκοιμήτοις φαέεσσι
Νυμφίον ἱμείροντα θεὸν δεκίωσιν ἄνακτα,
Ὡς λαμπραὶ γανόωντι ὑπαντιάσωσιν ἰόντι,
Μή μ' ἐνὶ ταῖς κενεοῖσι νόον καὶ ἄφροσι θείης,
Μὴ δ' ὀλιγοδρανέων δαΐδων σέλας ὄμμασι λεύσσων.
Ἤδη που Χριστοῖο περιεσσομένοις μογεούσαις,
Ὀψὲ φανεὶς ζωῆς ὑγρὸν ποθέοιμι ἔλαιον.
Μὴ δέ με κλεισθέντα γάμου ὤσαιτο θύρετρα,
Ἔνθα λόγος καθαροῖσι πόθου μεγάλοις ὑπὸ θεσμοῖς
Μιγνύμενος κραδίῃσι, σέλας καὶ κῦδος ὀπάζει.
Ἔστι γάμος, τὸν παιδὶ πατὴρ φίλος ἐσθλὸς ἄριστον
Δαίνυσι καγχαλόων. τοῦ δ' ἀντιάσαιμι ἔγωγε.
Τοῦ δ' ἐγὼ ἀντιάσαιμι, καὶ ὃς φίλος ἐστὶν ἐμοί γε.
Μίμνοι δ' ἔκτοθι κεῖνος, ὅ τις περὶ γάμοιο τίθησιν
Ἢ ἀγρὸν, ἢ βοῶν ζεῦγος νέον, ἢ δάμαρτα.
Μὴ δ' ἐνὶ δαιτυμόνεσσι γαμήλιον εἶδος ἔχουσιν,
Εἵματ' ἔχων ῥυπόωντα, δεθεὶς χεῖράς τε πόδας τε,
Νυμφῶνός τε, φίλων τε, γάμου τ' ἄπο τῆλε πέσοιμι.
Ἐκ δὲ γάμου παλίνορσος ἄναξ ἐμὸς εὖτ' ἂν ἐπέλθῃ,
Ἐξαπίνης δοκέουσι καὶ οὐ δοκέουσιν ἐπιστὰς,
Εὕροιμ' ἐν δοκέουσι, καὶ αἰνήσειε φόβοιο
Ὡς ἀγαθὸν θεράποντα καὶ ἤπιον ἀρχομένοισι.
Καί σοι τοιοῦδ' ἐπίηρα λόγου στερεοῖο δίκαιον.
Παρθενίῃ μὲν τοῖα πατὴρ ὡς ἠπιόμητις
Ἐκ θυμοῦ φιλέων ὑποτέλλομαι. ἀλλὰ θύγατρες
Καὶ παῖδες, καὶ τέκνα φίλου πατρὸς ἀΐσσετε.
Εἴ πού τις καὶ ἐμοί γε θεοῦ χάρις, ὥσπερ ἔολπα.
Μὴ δ' ὡς ἠλεόδαι πατρὸς ἀτίσητε ἐφετμήν.
Μὴ τέκνα, μὴ κείνοισιν ὁμοίιον οἶτον ἕλησθε.
Τοῖς δ' ἄλλοις ὅδε μῦθος. ἀπηλεγέως δ' ἀγορεύσω
Ἶσον ἐπ' ἀμφοτέροισι λόγον καὶ στάθμα τιταίνων,
Ἀζυγίῃ τε γάμῳ τε. θεὸς δ' ἐπιμάρτυρος ἔστω.
Ὅσσον παρθενίη προφερεστέρη ἐστὶ γάμοιο,
Τόσσον παρθενίης ἁγνὸς γάμος ἀμφιβίοιο.
Τοὔνεκεν ἢ καθαρὴν ἀσπάζεο πάμπαν ἀρίστην
Παρθενίην, εἴ σοί γε μένος καὶ θυμὸς ὄρωρεν,
Ἢ γάμον στέργειν τὸν ὁμοῖον, ὡς ἐνέπουσι,
Δεύτερον ἐκ πρώτοιο καλὸν πλόον. ἀμφοτέρων δὲ
Φεύγειν ἀζυγέος τε βίου, ζυγίου τε πρόσωπον
Μιγνύντας μέλιτί τε χολήν, καὶ βόρβορον οἴνῳ
Καὶ σολύμοις σαμάρειαν ἀλιτροτάτην ἱεροῖσιν.
Οὐδὲ γὰρ ὥσπερ ὁδοῖο τιταινόμενον κατόπισθεν
Ἂψ ἰέναι πόνος ἐστὶν ἐτώσιος, οὐδ' ἐπὶ πέτρου
Ἢ βέλος ἱέμενον τε μικρὸν προπάροιθε ποδοῖιν
Ῥίψαι. μηδ' ἐπὶ τέρμα καὶ ἐς σκοπὸν ἄκρον ἱκέσθαι.
Οὐχ ὡς παρθενίην Χριστῷ βασιλῆι ποθέοντα,
Καὶ λογικὴν θυσίην, ἱερήϊον αἵματος ἐκτὸς,
Εἰς γάμον ἂψ ἰέναι θεοῦ μόνον, ἀλλὰ μέγιστον (κὸν,
Πταῖσμα πέλει, θανάτοιο πέλας. πρὸς δ' αἶσχος ἀλλο-
Τῷ ἴκελον, ὡς εἴ τις ἐπ' ὄρεος ἀκροτόμοιο,
Ὧ πλάσσοισι μέγας προσεβήσατο χρυσὸν ἐρύσσων,
Ἢ θήρης μεθέπων γλυκερὸν πόνον, ἀπροτίοπτος
Ἐξαπίνης ἐπὶ γαῖαν ὀλισθήσειε πόδεσσι.
Τίς δ' αἰὼν Σαπφείραν ἀτάσθαλον, Ἀνανίην τε,
Κέρδεος οἳ σφετέροιο κακὸν μέρος ἠλλάξαντο,
Οὐ τρομέει καὶ μικρὸν ὑποσχεσίης τι κολούειν.
Καὶ γλῶσσαν χρυσέην τις, ἐπεὶ νοσφίσατο λάθρῃ
Ἀνδράσιν ἐν προτέροισι, πρηνόου ἡγεμονῆος,
Εἷμά τε, χρῆμά τε βαιὸν, ὅλον δηλήσατο λαόν.
Τοῖος παρθενίης ὀπίσω δρόμος, ἢ χερείων.
Ὁσσάτιον προφέρει λάχος ἔμπνοον, ὡς ἀπόλοιτο
Συζυγίη, τὴν ὅττι γαμήλιος ἥρμοσε θεσμὸς,
Ἀλλ' ὅς τις ψυχὰς αἰεὶ προπάροιθεν ἰούσας
Ἂψ ἐρύει, χθαμαλοῖσιν ὅπως πλεόνεσσιν ἀνάσσῃ
Πρῶτος ἀπ' οὐρανίοιο κλίνας ἐπὶ γαῖαν ἐλυσθεὶς,
Ἧς ὑποδοπλίησιν ἀτιμίης ζυγὸν ἕλκων
Ἐνθάδε, τοῦ πρὸ ἀεὶ κέντρον πεφυλαγμένος εἶναι.
Ἤδη καὶ κρίνεσσιν ἐγὼ μυθήσομ' ἄριστα,
Ὧν βίος ἐν χάρισι καὶ αἴσχεα καὶ κλέος ἐσθλὸν
Παρθενικῶν, πινυταῖς τε σαόφροσι, καὶ μελεδῶναις.
Οὐ θέμις, οὐδ' ἐπέοικε βιάζεσθαι μεγάλοιο
Πλάσμα θεοῦ. πάντες γὰρ ἑνὸς γένος. ὅς τις ἀνάσσων,
Ὅς τις ἀνασσομένοις ἐναρίθμιος, ὅς τις ἄνολβος,
Ὅς τις ὀρικτήμων, ὑψίθρονος, ἐς χθόνα νεύων.
Ὃς πολιοῖσι πέποιθε, καὶ ὃς νεότητι γέγηθε.
Πάντων ἓν γένος, πάντεσσι πνοὴ μία, εἰς ἓν ἅπαντες
Νεύομεν. ὡς δὲ θεὸς πᾶσι βροτοῖς ἴσος ἐτύχθη,
Καὶ θάνε, καὶ συνάγειρε, καὶ οὐρανὸν εὐρὺν ἔδωκε.
Τῶν μή τις στέρχεσσι φέρειν χάριν ἀφραδέεσσι,
Παρθενικὴν ἀέκουσαν ἄγοι πρὸς λέκτρα καὶ εὐνὴν
Δρασσομένην Χριστοῖο, πόθον βιόωσαν ἄριστον,
Πούλυπον ἐκ θαλάμης πέτρην κοτύλῃσιν ἔχοντα,
Ἤ τιν' ὄρνιν ἀοιδὸν, ἀπ' εὐτύκτοιο καλιῆς.
Ἀλλ' εἰ μὲν φιλόχριστον ἔχεις κέαρ, ἤ σέ γε δεσμοῖς
Θεσπεσίοις ἐνέδησε θεὸς, κόσμου τ' ἀνάειρε,
Στήσεις περιφρονέως Χριστῷ περικαλλέα νύμφην,
Ἢ κοῦρον, φιλότεκνος ὅπως πάρος Ἄννα Σαμουήλ.
Σῶν καθαρῶν λαγόνων ἱερὸν γόνον, ἔμπνοον, ἱρὸν,
Πάντων πρωτοτόκων ἱερώτερον, ἀσταχύων τε,
Καὶ βοτρύων, οὓς κεῖρεν ἀπάργματα γηπόνος ἐσθλός.
Εἰ δὲ σύ γε Χριστοῖο μέρος, κόσμοιό τε βαίνεις,
Ἶσον συζυγίῃ τε καὶ ἀζυγίῃ ζυγὸν ἕλκειν.
Ἀμφοτέρων δ' ὅσσα καλὰ, καὶ ὅσ' ἀντίξοα λέξας
Εὖ καὶ ἐπισταμένως, καὶ τέρματα δοιὰ χαράξας,
Ἔασο τῇ κρίνοι θερμὸς πόθος, ἠδ' ἐπάρηγε,
Τῇ μὲν δουλοσύνῃ, τῇ δ' οὐρανίοισι πόθοισιν.
Ἥ τις δ' ὡραίος ἐστὶ γάμου, καὶ σώφρονι βουλῇ.
Καὶ δεσμὸς ἀλόχου μὲν ἀνὴρ, τοκέων δὲ θυγατρί.
Χριστοῦ δ' ἀμφοτέροισι φόβος, φίλτρον δ' ἀγάμοισι.
Μή τε λιλαιομένην ἀνδρὸς ἀπεργάθε κούρην,
Μή τε θεῷ πελάσσαν ἐς ἀνδρὸς οἶκον ἐπάγειν,
Ἄχρι καὶ ἀπρεκέως, πειρῶν γε μὲν οὔ τι μεγαίρω.
Εἰ δέ γε συζυγίῃ μὲν ὅλην φρένα χεῖρά τε δοίης,
Καὶ στήσαις θαλάμους τε, χοροιτυπίας τε, πότους τε
Καγχαλόων, καὶ γῆρας ἀπεξύσσει μενοινὴ,
Παρθενικὴ δ' ἀπὸ σεῖο φυγὰς πρὸς Χριστὸν ἀνέλθοι,
Ὥς τε δίκη τὸ πάροιθε βοὸς κταμένου ἀροτῆρος,
Δάσδα μὴ κοτέοι θεὸς ψήφοις ἀδίκοισι,
Τῷ ὑποδάμναθ' ἅπασα χοὸς φύσις, ὡς πυρὶ κηρὸς

Γινόμενος. πάρθενος δὲ θεοῦ κατὰ σάρκ' ἐπέλησεν.
Ἔστι καὶ οὐρανίοισιν ὁμοῖος ἐνθάδε λάτρις.
Ἔστι καὶ ἐν θνητοῖσι νόος θεότητι πελάζων.
Ἤλιτε δ' ὅς τις ἔμιξε φύσιν σαρκώδεσιν ἄσαρκον,
Ἀγγελικῶν τε πόθων κρατεροὺς αὖ ἔτικτε γίγαντας,
Καὶ γαῖαν ἐκάθηρεν ἁμαρτάσιν οὐρανιώνων.
Ἑλλήνων τάδε παισίν, ἐπεὶ παθέεσσιν ἐκεῖνοι
Ἄλκαρ ἐμητίσαντο, θεοὺς στήσασθαι ἀλιτροὺς,
Κλέπτας, ἀνδρογύνους, μοιχοὺς, ἀλιτήμονας ἀνδρῶν.
Ἀνδροφόνους, τεκέων δ' ὀλαμονας, ἠδὲ τοκήων.
Οὐκ οἴην, παθέων δὲ καὶ αὐτῶν ἱερὰ τέλεσσαν.
Ἄθρει δ' ἢ πρώτιστον ὅσ' ἔπλετο μαργοσύνῃσι,
Ταῦρος, κύκνος, ὄφις, χρυσός, πόσις, ὄρνις, ἅπαντα
Ὅσσα μὲν ὠκὺς ἄνωξεν ἔρως κοῦρός τ' ἀλαπαδνός.
Κεῖνοι παρθενίην μὲν ἀτιμάζεσκον ἐραννήν,
Σαρκοπέδην, κείνοισιν ἀπιστοτάτη χρὸς αἴγλη.
Οἳ σφίσι μυθέουσιν ἀτασθαλίῃσιν ἅπαντας,
Οὐ καθαρῆς γλώσσης δὲ κατηφέα τείρεα λεύσσειν.
Καὶ χθὼν ἔμπεδός ἐστιν, ἰλιγγιόωσι δ' ἄπιστοι,
Ἡμῖν δ' οὐ θέμις ἐστὶν ἐλεγχείην καταχεύειν
Παρθενίης. τί δ' ἄπιστον ὅρον χριστοῦ βασιλῆος
Εὐνάζειν βροτέους τε πόθους καὶ σαρκὸς ἐρωάς,
Ὡς πάρος αἱματόεντα ῥόον χεῦεν αἱμορροούσης
Ἀψαμένης. κλέφθη γὰρ ἑκὼν θεός. ἡ δὲ ῥέεθρον
Αὐαλέη πηγὴ τῆμος θάλψεν, εὖτ' ἐμαράνθη.
Ἠὲ πυρός, ξιφέων τε, καὶ ὕδατος, ἀργαλέων τε
Θηρῶν δαπτομένων πικροῖς μελέων κεράεσσι.
Θυμὸς χριστιανοῖσιν ὑπέρτερος, εὖτε διώκτης
Καιρὸς ἀπαρνῆσαι θεοῦ περιδεῖειν ἐγείρων.
Οὐκ ἄϋπνος κείνοισι βίος, καὶ ἄνηστις αἰών;
Εὐχαί τε, στοναχαί τε ἀκαμπέες; οὐ δακρύοισι
Τήκοντ'; οὐ νυχίῃσι καὶ ἠματίῃσιν ἀοιδαῖς,
Ἔνθεν ἀναθρώσκουσι βίον καὶ σάρκα λιπόντες;
Οὐκ ὀλίγοις σπινθῆρσι πνοὴ κατερύκετ' ἐδωδῆς;
Οὐ σήραγγας ἔχουσι δόμους, καὶ δέμνια πέτρην,
Ἢ δ' ἁπαλὰς ποίας τε, καὶ αὐαλέους κλαδεῶνας;
Οὐ θηρσὶ ναίουσιν ὁμέστιοι ὠμοβόροισιν,
Ὥς κεν ὑπεκ κακότητα χροὸς καὶ δεσμὰ φύγωσιν;
Ὡς δ' ὄρνιν φοίνικα φάτις θνήσκοντα νεάζειν
Ἐν πυρὶ τικτόμενον πολλῶν ἐτέων μετὰ κύκλα,
Γηραλέης κόνιος ξεῖνον γόνον αὐτογένεθλον,
Ὣς οἵ γε θνήσκοντες ἀείζωοι τελέθουσι,
Δαιόμενοι πυρόεντι πόθῳ χριστοῦ βασιλῆος.
Ἐν δ' ὀλιγοδρανίῃ κεῖται σθένος εὐσεβέεσσι.
Ταῦτά τις εἰσορόων, οὐ σφύζεται ἠιθέοισι
Γηθόσυνος σαρκέεσσιν, ἐπεὶ ζώων οἶστρος ἀρείων.
Ὦ φύσι παμμήτειρα, σὰ δ' οὐκ ἐμὰ θαύματα λέξω.
Ὅσσα καὶ ἐν χέρσοισι καὶ ἐν πελάγεσσιν ἔθηκας.
Πευθόμεθ' ὡς περδρόεσσα τρυγὼν τρυγόνος φιλίοιο
Χηρωθεῖσ', ὁμόλεκτρον ἑὸν ποθέουσα σαόφρων,
Οὐ δέχεται πόσιν ἄλλον ἑῆς καθύπερθε καλιῆς.
Ὄρνι σοφή. μερόπεσσι δ' ἁγνὸς βίος, ὅσσον ἀρείων.
Οὐ δὲ μὲν οὐ λακέρυζα μελάγχροος, ἀλλὰ καὶ αὐτὴ
Ζωὰ κουριδίοιο πόθῳ τμηθεῖσα κορώνη,
Πάντα πόσιν στυγέουσα, ἐπὴν φίλον εὖνιν ὀλέσσῃ.

Ἰχθύσι δ' εἰναλίοισι νόμος, παύροις μὲν ἄθεσμος
Ἀμφὶ γάμους, πολλοῖς δὲ σαοφροσύνης τι μέμηλε,
Καὶ θαλάμων, ἀλόχων τε. δίκη δέ τε κἀνθάδ' ἀνάσ-
Ἄλλοι δ' οὐ πλεόνεσσιν ἑνὸς μογέουσι τόκοιο, (σει.
Ἄλλοι δ' εἰαρινῇ μούνῃ φιλότητι γάνυνται.
Καὶ πλεόνων. μέτρον δὲ φύσις ἐπέθηκε πόθοισι.
Καιρὸς δ' αὖ φιλότητος ἐνίος ἐστὶν ἅπασιν,
Ἠερίοις, ἁλίοις τε, καὶ ὅσ' ἐπὶ γαῖαν ὁδεύει.
Οὐδ' ἐκτὸς περάουσιν ὅρου πόθον, ἀλλὰ δέοντα
Ὥρια μαργαίνοντες, ἐπὴν σφέας ἔαρ ἐγείρῃ.
Καί ῥ' οἱ μὲν μεγάδεσσιν ἐπαΐσσουσι γάμοισι,
Τοῖς δ' ἄλοχοί τε μέλουσι φίλαι, καὶ θεσμὸς ἔρωτος.
Οἰοτόκος δ' ἄλλοισιν ἐπάρκιος ἔπλετο μῖξις,
Ὥς τινες, οἳ ζώων τε γένος καὶ πάντ' ἐφράσαντο.
Εἰ δὲ καὶ ἀφραδέεσσι σαοφροσύνης τι μέμηλε,
Πλάσμα θεοῦ, σὺ δὲ σαρκὸς ὅλον νόμον οὔ τι πεδήσεις
Ἣν ἐθέλῃς; ἐκτὸς δὲ λόγου βροτὸς, ὡς πυρὶ χαλκός.
Εἰ δ' οὐ σαρκὸς ἄνασσα λόγου φύσις, ὥς μ' ἐθέωσεν
Εἰκὼν, τί πλέον ἡμῖν ὁμοίια κινυμένοισιν,
Εἴ τοι καὶ πλεόνων φύσις ἄκριτος; ἀλλὰ τόδ' ἴσμεν
Πολλάκι καὶ ξυνῆς φύσιος κρατέουσαν ἐφετμήν.
Καὶ γὰρ ἐμοὶ δέμας ἐστὶν ὁμοίιον. ἀλλά μ' ἔδησε
Σταυρὸς ἐλών. οὐ σάρκα φορέων περιέδησα βαρεῖαν.
Χριστῷ συνθανέειν γὰρ ἐέλδομαι, ὡς συναερθῶ
Πάντα φέρων χριστοῖο, λόγον, δέμας, ἧλον, ἔγερσιν.
Ἄλλοις δ' αὐτομάτη σαρκὸς δέσις, οὐχ ὑπ' ἔρωτος
Θειοτέρου. τὴν, οὔ τι σαοφροσύνην καλέουσιν.
Ἔμπαγε μὴν γέρας ἐστὶ θεόσδοτον ὕβριος ἐκτὸς
Ζώειν, ἐνδιόωντά τ' ἔχειν νόον, ἠδ' ἀτίνακτον.
Ἄλλος δ' αὖ μέθυ λαρὸν ἀπήχθετο, ἄλλος ἐδωδήν,
Τὴν, ἄλλοι φιλέουσιν, ἀπέστυγε. ἄλλος ἀϋτμήν.
Ἄλλοι δ' αὖ μερόπεσσιν ἀπεχθέα θυμὸν ἔχοντες,
Ἐσχατιὰς ναίουσι, βροτῶν δ' ἄπο τῆλε θέουσι
Προφρονέως. σὺ δ' ἄπιστον ἔχεις νόον ἀζυγέεσσιν.
Οὐ μὲν ἄπιστον ἔγω γε δίομαι. ἀλλ' ἴδε πάρθενος
Φεύγεις, συζυγίης δὲ κακῶν ἐπελήθεο τῆμος.
Οὐδὲ πυρὸς μαλεροῖο διαβρέχει, οὔτε γαίης
Σκαίρουσα χθαμαλοῖσι ποσὶν τυτθὴ σαλαμάνδρη.
Ἰχθὺς δ' ἔμπυρός ἐστι, καὶ οὐ πυρὶ δάμνατ' ἄπιστον
Ἔμπυρος. αἰθόμενος δὲ, μέσους διαλάμπεται ἅλμης.
Οὐδὲ λίθος μάγνησσα σιδήρεον ὅλμον ἀνέλκει.
Οὐδ' ἀδάμας ἀδάμαστος, ὁ δ' οὐ σέλας ἧκε σιδήρου
Θεινόμενος. ἄλλος δὲ πελάσσεται ὕδατι βαιῷ.
Ὕδατι μὲν σέλας ἧκεν, ἀπηυγάσθη δ' ἀρ' ἐλαίῳ.
Ὅσσα τε δ' αὖ καὶ τῇδε περίτροπα θαύματ' ἔασι,
Τίς κεν ἀριθμήσειεν, ἐπεὶ πάρα πόλλ' ἀγορεύειν.
Παίζει γὰρ λόγος αἰπὺς ἐν εἴδεσι παντοδαποῖσι
Κιρνὰς, ὡς ἐθέλει κόσμον ὅλον ἔνθα καὶ ἔνθα.
Παῦρα δ' ἀπὸ πλεόνων μυθήσομαι. ὧν τὰ μὲν, αὐτὸς
Ἔδρακον, ὧν δὲ βίβλοι, ὧν δ' οὔατα πίστιν ἔδωκαν.
Οὐχ εἷς μὲν ποταμοῖσι κάτω ῥόος ἐστὶν ἅπασιν;
Εἷς δὲ νόμος πελάγεσσιν ἐπ' ἠιόνεσσι δεδέσθαι;
Εἷς δὲ πυρὸς φλογόεντος ἄνω δρόμος ἅλμασι πυκνοῖς;
Ἀλλ' ἔμπης ποταμὸς πικρὴν διανήχεται ἅλμην,
Καὶ ποταμὸς περ ἐών, οὐδ' ὕδατι μίσγεται ὕδωρ.

Ναύταις δ' ἐκ πελάγους γλυκερὸν πὲρ ὑδρεύοντι,
Νᾶμα ῥόον πελάοντος ἐπειγομένου ποτὶ γαῖαν.
Εὐβοίης δ' ἄρ' ὄπωπα θρασὺν πόρον, οὐδ' ἐπίφρασον
Πορθμὸν ἁλὸς κλυΐδα παλιοσύτοισι ῥείθροις
Μαινόμενον. πόντος δὲ ῥέει, καὶ ῥεῖθρον ἄνασιν,
Ὠκεανὸς δ' οὐχ ἕλκετ' ἀπὸ χθονός, ἄτ' ἐθὶ χέρσον
Ἔρχετ' ἐπειγομένοισι μετακίοσιν ῥοθίοισι.
Καὶ πεδίον καὶ πόντος ἐπ' ἀίοσι κιμμερίοισιν.
Ἄλλος δ' αὖ ῥόος ἐστί, πυρὸς φλόγες, αἳ ἐπεί γε
Αἰτναίων σκοπέλων ἀποβρύζεται ὁλκὸς ἄπιστος
Πῦρ ποταμός. τὰ δ' ἄμικτα, μέγα χρειοῖο θέλοντος.
Οἶδα καὶ ἐν βαιοῖσιν ὁμοίια θαύματ' ἀεῖσαι.
Ἔστι τις ἐν καρποῖσι κερασβόλος, ὥς ἐνέπουσιν,
Ὃς μοῦνος τῶν ὅσσα φύει ζείδωρος ἄρουρα,
Ἐς κλιβανὸς καὶ ἄτεγκτον ἔχων δέμας, οὔτ' ἐνὶ γαίῃ
Λύεται, οὔτ' ὄμβροισι παίνεται, ἀλλ' ἐπίπηγος
Αὐαλέος, κεράων στερεώτερος ἤματα πάντα.
Οὔ τι κέρας βέβληκε βοὸς κέρας, οὔτ' ἀροτῆρος
Δεξιτερὴ προχέουσιν ἑὴν ἐς καρπὸν ἄρουραν.
Ἔνθεν ὅγ' ἐκ κεράων καὶ οὔνομα καὶ φύσιν ἔσχεν,
Εἴ τέ τιν' ἄλλον ἴσασι σοφοὶ λόγον. οὐ γὰρ ἔγωγε.
Ταῦτα φύσις. σὺ δ' ἄκουε καὶ ὅσσ' ἐβιήσατο τέχνη.
Ὑψόθεν μὲν λαλέουσιν ὁμοίιον ἀνθρώποισι,
Φωνῆς ἀλλοτρίης ζηλήμονες, ἣν ἐδίδαξεν
Εἴδωλον ξεστοῖο κατ' ἰσόπτροιο φανέντος
Ψιττακός. κρυπτάδιόν τε ἰὰς ὄπα κερδαλέος φώς,
Καὶ κόρακες κλέπτουσιν ὁμῶς ὄπα. ὡς δ' ἐρατόχρως
Ψιττακὸς ἀγκυλόχειλος ἴσα πλεκτοῖο δέμοιο,
Ἀνδρομέων φωνῇσι, καὶ ἤπαφεν αὐδῆς ἀκουήν.
Ἵπποισιν δὲ κάλωες ἀπήοροι, ὧν καθύπερθεν
Βαίνουσιν. στυγερὴ δὲ δι' ἠέρος ἀρκτὸς ὁδεύει.
Ἐν δὲ δίκας θώκοισι δικασπόλος ὥς τις ἐχέφρων,
Ἑζομένη, νώμησε δίκης ἰθεῖα τάλαντα,
Ὡς δοκέει παλάμῃσι. νόον δὲ ψεύδεται καὶ θήρ,
Καὶ βροτὸς ἐξεδίδαξεν, ἃ μὴ φύσις. ὡς δὲ λέοντος
Εἶδον ὑπὲρ νώτοιο λεοντοκόμον βεβαροῖο
Ἑζόμενον, θηρὸς δὲ μένος ὑποδάμνατο χειρί,
Καί ῥ' ὁ μὲν ἠνιόχευεν, ὁ δ' ἦγε βρυχαλέος θήρ
Ῥίψας λοίγιον ἆσθμα, καὶ ὃν σαίνεσκεν ἄνακτα.
Ὡς δὲ καὶ ἀργυρόδοντα βαρὺν μεγακήτεα θῆρα
Ἰνδὸς ἄγει καθύπερθε παῖς ὀλίγον ὑπὸ κέντρον,
Νωμῶν οἶά τε νῆα δέμας κρατεροῖο ἐλέφαντος,
Τολμήεις, ὃς πρῶτος ἐμήσατο θῆρα δαμάσσαι,
Καὶ ζυγὸν αὐχένι θῆκε, καὶ ἤγαγεν ἅρμα πέλωρον.
Ἀλλὰ σὺ καὶ θήρεσσι νέμεις πλέον ἢ μερόπεσσιν;
Εἰ θηρῶν μὲν ἔκαμψε βίη φύσιν. οἳ δ' ἀδίδακτοι
Εἰσὶ καλοῦ, καὶ μῦθον ἐπίρροπον ἐγγὺς ἔχοντες.
Ἄγριε, πῶς ῥα σὺ τόσσον ἐφυβρίζεις μεγάλοιο
Πλάσμα θεοῦ; τίς τόσσον ἐλῇ ἔχθος γενέθλης;
Ἀλλ' οὐ τοῖος ἐμοί γε νόος καθαρὰ φρονέοντι.
Ἀλλ' οἶδ' οὐρανίης τε νοήματα, καὶ δέμας ἁγνοὺς
Ἄνδρας, θηλυτέρας τε. τὸ γὰρ πλέον ἐν μελέεσσι.
Ξυναὶ δ' ἀμφοτέροις ἀρεταί. ξυνὴ δὲ κέλευθος
Ἐς βίον αἰπήεντα. τὸ δὲ πλέον ἱεμένοιο
Ταῦτα χρεὼς. σὺ δ' ἄπιστον ἔχεις νόον ἀζυγέεσσιν.
Οὐ μὲν ἄπιστον ἐγώ γε ὀίομαι, ἀλλ' ὑπὲρ τάρβος
Φεύγεις. συζυγίης δὲ κακὸν ἐπελήθεο τόσσον.
Γνοῖσι μὲν ταῦτ' ἐπιτέλλομαι οὐρανοφαντῶν.
Παρθενίη, σὺ δέ μοι περικάδεο, ὥς κεν ἐρυμνὴ
Πάντοθεν εὖ βεβαυῖα θεοῦ καὶ ἄρτιος εἴης
Μάργαρος ἐν λάεσσιν, ἑωσφόρος ἐν φαέεσσιν.
Ἐν πτηνοῖσι πέλεια, ἐν ἄλσεσιν ὄρνος ἐλαίης.
Καὶ κρίνον ἐν πεδίοισι, καὶ ἐν πελάγεσσι γαλήνη.
Παρθενίη, κόσμον ἅπαντα, καὶ ὁππόσα τερπνὰ βίοιο
Ὠσαμένη, χριστοῦ πέλας ἵστασο λαμπετόωντος.
Καὶ χερὶ χειρὸς ἔλουσα, τέως ἄγε παστάδος εἴσω;
Τερπνῆς, ἡδυπνόοιο, θυώδεος. ὥς κε μύροισι
Μίξαις οὐρανίοισι μύρον τεόν. ἔνθα χυθεῖσιν
Ἀφράστοισι πόθοισι πόθος, καὶ κάλλεϊ κάλλος,
Κρυπτὸν κρυπτάδιον, καὶ αἰγλήεντι φαεινόν,
Χριστὸν ἔχοις μορφῆς ὀρινυδέος ἐσθλὸν ἐραστήν,
Χριστὸν ἐνδύνουσα. χριστὸς δ' αὔξει καλύπτρην,
Καὶ θάμβευσεν ἰδὼν κεδνὴν περικαλλέα νύμφην;
Ἐσθλὴν, μαργαρίεσσαν, εὔθρονον, ὑψικάρηνον.
Καί σε καλὴν προϊοῦσαν, ἐπὶ χαρίεσσαν ἔθηκε.
Χριστὸς παγχαλόωσαν ἑὰ πρὸς δώματ' ἀνάξει,
Καὶ θήσει σε δαΐτα γαμήλιον ἐν μεγάλοισιν
Ἀχράντοισι χοροῖσι, καὶ οὐρανίοισιν ἀοιδαῖς.
Καὶ στέψει χαρίτεσσιν ἀειθαλέεσσι κάρηνον,
Καὶ στήσει κρητῆρα μεθύσματος ἡδυπνόοιο.
Καὶ δείξει σοφίης μυστήρια, τῶν ἐν ἐσόπτρῳ
Εἰκόνας ἐνθάδ' ὁρῶμεν, ἐτήτυμα φῶτα νόοιο
Γυμνοτέροις. σάρκες γὰρ ὑπείξουσι παχεῖαι,
Πνεύματι. ἠρίπε δὲ, βίον δέξονται ἀγήρω.
Ἀλλὰ φίλοι μέλπωμεν, ὅσοις πόθος ἁγνὸς ἄνακτος,
Ἠΐθεοι, κοῦραί τε, θεοῦ γάμον οὐρανίοιο
Λαμπάδας ἁψάμενοι θείου μαρμάρματα φωτὸς,
Ἀσβέστους, νοεράς τε, ἀεὶ πλέον ἐν καθαροῖσι
Πρήξεσιν ἠδὲ λόγοισι ῥιπιζομένας μεγάλοισιν
Ἄχρι καὶ οὐρανίοιο. σὺ δ' ἵλαος ἄμμιν ἐπέλθοις,
Ἵλαος ἵλαος ἄμμιν, ἁγνὴ τριὰς εἰς ἓν ἰοῦσα
Ἐξ ἑνὸς, ὀφθαλμοῖσιν ὑπαυγάζουσα φαεινοῖς
Σύμβροτον, ὑστάτιον δὲ φαάντερον, οἷσιν ἔλαμψας.
Εἷς θεὸς ἐκ γενέταο δι' υἱέος ἐς μέγα πνεῦμα,
Ἱσταμένης θεότητος ἐνὶ τελέοισι τελείης.

ΘΡΗΝΟΣ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΑΥΤΟΥ ψυχῆς παθῶν.

Δύσμορος οἷα πέπονθα; τίς μοι γόος ἄξιος ἔσται;
Τίς πηγὴ δακρύων ἄρκιος, οἷα μέλει.
Οὔτε μόρον παίδων τις ἑῶν ἐκλαύσατο τόσσον,
Ἢ κεδνῶν τοκέων, ἢ φίλης ἀλόχου,
Οὐ πάτρην γλυκερὴν μαλερῷ πυρὶ τεφρωθεῖσαν;
Οὐ νόσον στυγερῇ ἅψεα τειρόμενα,
Ὅσσον ἐγὼ ψυχὴν ὀλοφύρομαι αἰνὰ παθοῦσαν.
Φεῦ τάλας, ὀλλυμένης εἰκόνος οὐρανίης.
Ναὶ γὰρ δὴ μεγάλοιο θεοῦ καὶ πλάσμα καὶ εἰκὼν
Ἄνθρωπος, θεόθεν ἐς θεὸν ἐρχόμενος.
Ὅς τις ἄνω νεύσας, καὶ πνεύματι σάρκα πεδήσας,
Κεῖσον ἔχει ζωῆς ἵλαον ἡγεμόνα,

Κτῆσιν ἐμὴν, γλῶσσάν τε, καὶ οὔατα, καὶ νόον αὐτὸν,
Καὶ θεὸν, ἐρχομένῳ πάντα διδοὺς βιότῳ,
Ἁρπάζων κόσμοιο πολυχανδέος, ὅσσα κατεῖχον
Ἅρπαξ ἀλλοτρίων ἀντίθεος Βελίας.
Ἐς δὲ ταμεῖα φέρων πολὺ φέρτερα τῶν ἐπὶ γαίης,
Τῶν διακλεπτομένων, ἢ καταλυομένων,
Αὐτὸν ἀθρῆσαι ἄνακτα, θεὸν γὰρ πνεῦμα γενέσθαι,
Σάρκ' ἐκδυσάμενος καὶ πάχος ἀντίτυπον,
Ἀγγελικοῦ τε χοροῖο λαχεῖν κλέος ἀγλαόεντος
Μεῖζον τῶν μεγάλων μᾶλλον ἔχων καμάτων,
Μηκέτ' ὁρᾶν σκιόεντας ἐλαφρὸν τύπον, ὡς τὸ πάροιθεν,
Μηδὲ νόμου γραπτὴν εἰκόνα λυομένην,
Αὐτὴν δ' ἀτρεκίην καθαροῦ νοὸς ὄμματι λεύσσων,
Μέλπων τ' ἐκ στομάτων ἦχον ἑορτάσιον.
Τοῦτο τέλος βροτέης ζωῆς πέλει, ἐς τόδ' ἀνέλκει
Τὸν Χριστοῦ παθέων ὕβρεις ἐπιχθονίης.
Ὃς δούλου μορφὴν ἀνεδέξατο, καὶ θανάτοιο
Γεύσατο, καὶ ζωῆς δεύτερον ἦν τίασεν
Ὢν θεὸς, ὢν ζωῆς ταμίας, αἰῶνος ὕπερθεν,
Εἰκὼν ἀθανάτου πάντοτε πατρὸς ὅλη.
Ὄφρα με δουλοσύνης τε λύσῃ, θανάτοιό τε δεσμῶν,
Κρείσσονα πρὸς ζωὴν ἔμπαλιν ἐρχόμενον.
Ἀλλ' ἐγὼ οὐκ ἐφύλαξα θεοῦ μυστήρια κεδνὰ,
Μύστιν ἔχων ψυχὴν οὐρανίης ἀνόδου,
Ἀλλὰ κάτω βρίθει με χοὸς πάχος. οὐδ' ἐδυνάσθην
Ἰλύος ἐξαναδὺς, ἐς φάος ὄμμα βαλεῖν.
Ναὶ βάλον. ἀλλὰ μέσον νέφος ἵσταται ὄσσε καλύπτον,
Σὰρξ ἐπανισταμένη πνεύματι σὺν χθονίῳ.
Πολλὰ μὲν ἐν κραδίῃ μελεδήματα ἔνθα καὶ ἔνθα
Στρωφᾶται κενεὰ πλαζομένοιο νόου,
Χριστὸν ἑκὰς βάλλοντα, θεὸν λόγον. οὐ δέχεται γὰρ
Μίγνυσθαι ψυχῇ νυμφίος ἀλλοτρίῃ.
Πολλὰ δ' ἐπὶ γλώσσῃ κέαται κακὰ φάρμακ' ὀλέθρου.
Γλῶσσα γὰρ ἀνθρώποις ἥμισυ τῆς κακίης,
Θυμὸν ἐρευγομένη γυμνὸν κακόν. ὅς τε μάλιστα
Λάβρος ἐπιζείων, ἐκ νοὸς ἄνδρα φέρει.
Ἢ δολερὸν κεύθουσα ἐνὶ στήθεσσι νόημα,
Λεῖα δ' ἄρ' ἐξ ἁπαλοῦ φθεγγομένη στόματος.
Εἴθε δέ μοι τι θύρετρον ἐπ' ὀφθαλμοῖσιν ἐμοῖσιν,
Οὔασί τ' οὐκ ἀγαθῶς πάντοσε πεπταμένοις.
Ὡς τὸ μὲν ἐσθλὸν ὁρᾶν τε καὶ εἰσαΐοντα δέχεσθαι,
Κλείεσθαι δὲ κακοῖς ἀμφότερ' αὐτομάτως.
Χειρῶν τ' ἔργον ἄριστον ἐς οὐρανὸν αἰὲν ἀείρειν
Ἁγνὰς, καὶ προέχειν οὐρανίοισι νόμοις.
Ὡς δὲ ποδῶν ἰθύναι λείην ὁδὸν, οὐκ ἐπ' ἀκάνθας,
Οὐδ' ἐπὶ σκοπέλων, καὶ τρίβον οὐχ ὁσίην.
Νῦν ἢ θεὸς μὲν ἔδωκεν ἅπαν μέλος ἐσθλὸν ἐπ' ἐσθ-
Εὕρατο δ' ἡ κακίη ὅπλον ἐμοὶ θανάτου. (λοῖς,
Τίς νόμος οὗτος ἐμοί; πῶς δέσμιος εἰμ' ἐπὶ γαίης
Σαρκός; πῶς δ' ἐλαφρῷ πνεύματι σῶμα μίγη;
Οὐδ' ὅλος εἰμὶ νόος καθαρὴ φύσις, οὔτε χθόνιον
Χοῦς ὅλος. ἐκ δ' ἀμφοῖν ἄλλό τι, κἀμφότερον.
Τούνεκα καὶ πολέμοιο φέρω κλόνον αἰὲν ἄπαυστον,
Σαρκὸς καὶ ψυχῆς ἀντιπαθιζομένων.
Εἰκὼν εἰμὶ θεοῖο, καὶ ἕλκομαι ἐς κακότητα,
Κρείσσονι μαρναμένης χείρονος οὐχ ὁσίως.
Ἢ φεύγω κακότητα, καὶ ἵσταμαι οὐκ ἀμογητὶ,
Πολλὰ διαθλήσας χειρὶ σὺν οὐρανίῃ.
Ἔστι γὰρ ἔστιν ἐμοὶ διπλοῦς νόος. ὧν ὁ μὲν ἐσθλὸς,
Ἑσπόμενός τε καλῷ. αὐτὰρ ὁ χειρότερος,
Ἑσπόμενός τε κακοῖσιν. ὁ μὲν νόος οὐδὲν ἑτοῖμος
Πείθεσθαι Χριστῷ πρὸς φάος ἐρχόμενος.
Ἄλλος δ' αὖ σαρκός τε καὶ αἵματος. ἔστι δὲ πρόφρων
Δέχνυσθαι βελίαν πρὸς ζόφον ἑλκόμενος.
Ἢ τοι ὁ μὲν χθονίοισιν ἰαίνεται, ὥσπερ ἐπ' ἐσθλοῖς
Τοῖς οὐχ ἱσταμένοις, ἀλλὰ περιπταμένοις.
Καὶ φιλίῃ κώμοις τε, καὶ ἔχθεα, καὶ κόρον αἰνὸν,
Ἔργων τε σκοτίων αἴσχεα, κερδοσύνας.
Εὗρεν δ' ὁδὸν ἄσιν, ἐὼν δ' ἐπιτέρπετ' ὀλέθρῳ
Ἀφροσύνης δνοφερὴν ἀχλὺν ἑφεσσάμενος.
Αὐτὰρ ὅ γ' οὐρανίοισιν ἀγάλλεται, οὐ παρεοῦσι
Τοῖς ἐλπιζομένοις, καὶ θεὸν οἶον ἔχει,
Ἐλπωρὴν βιότοιο. τὰ δ' ἐνθάδε καπνὸν ἄτιμον
Ἄλλοθ' ὑπ' ἀλλοίῃ κείμενα συντυχίῃ.
Καὶ φιλίην πενίην τε, καὶ ἄχθεα. καὶ μελεδῶνας
Ἐσθλὰς, καὶ στεινὴν εἶσιν ὁδὸν βιότου.
Μαρναμένοισι δὲ τοῖσιν, ἐπίσκοπον ἦλθεν ἄνωθεν
Πνεῦμα θεοῦ μεγάλου, καὶ νόῳ δῶκε χέρα,
Σώματος ἀργαλέοιο λύειν κλόνον, ἠδὲ κελαινὸν
Εὐνάζειν παθέων οἶδμ' ἐπανιστάμενον.
Ἡ δὲ καὶ ὣς λυσσῆρον ἔχει μένος, οὐδ' ἀπολήγει
Σὰρξ πολέμου, κλίνει δ' ἔνθα καὶ ἔνθα μάχη.
Ἄλλοτε μέν τε νόου χοῦς δάμναται, ἄλλοτε δ' αὖ τε
Σαρκὶ νόος κρατερῇ εἴκεται οὐκ ἐθέλων.
Ἀλλὰ τὸ μὲν πολέμου, τό γε βέλτερον. ἡ συγίη δὲ
Ἐχθρῶν, δουλοσύνην μύρεται ἀργαλέην.
Πατρός τ' ἀρχεγόνοιο πλάνην, καὶ μητρὸς ἀλιτρὴν
Παρφάσιν, ἡμετέρης μητέρα μαργοσύνης.
Καὶ σκολιοῖο δράκοντος ἀτάσθαλον αἱμοβόροιο
Ψεῦδος, ὃς ἀνθρώπων τέρπεται ἀμπλακίαις.
Καὶ ξύλον, ἠδὲ φυτοῖο βροτῶν δολόεντα καρπὸν,
Γεῦσιν τ' ὀλομένην, καὶ θανάτοιο πύλας.
Γύμνωσιν μελέων τε πανάγχια, καὶ παραδείσου
Ἠδὲ φυτοῦ ζωῆς ῥῖψιν ἀτιμοτάτην.
Ταῦτα νόος κάμνων ὀλοφύρεται, ἡ δέ νύ μοι σὰρξ
Δέρκεται ἐς προγόνους, καὶ φυτὸν ἀνδροφόνον.
Πᾶσαν τε γλυκερὴν ἀσπάζεται αἰὲν ἐδωδὴν,
Ἣν δολόεις σαίνων δείκνυσι πικρὸς ὄφις.
Ἡ μὴν καὶ γοάω, καὶ εὐχωλῇσιν ἄνακτα,
Ὃς πάντων κρατέει, καὶ ζυγὰ πᾶσι φέρει,
Λίσσομ' ὑπὲρ ψυχῆς καὶ σώματος. ἀμφοτέροισιν
Εὐμενέως δικάσαι, καὶ πόλεμον σκεδάσαι
Κρείσσονι, ἣ θέμις οὐδὲν, ὑποκλίναντα χέρειον.
Τοῦτο γὰρ οὐκ ὀλίγον λώϊον ἀμφοτέροις.
Μὴ γοῦν βριθομένην ψυχὴν ἐπὶ γαῖαν ὀδύειν,
Εἴς τε μολυσδαίνην ἐς βυθὸν ἑλκομένην.
Πνεύματι δὲ προφέροντι καὶ εἰκόνι χοιῷ ὑποεῖξαι,
Ὡς κηροῖο πυρὶ τηκομένης κακίης.
Τοιάδε λισσόμενος, καὶ φάρμακα σαρκὶ παχείῃ
Πολλὰ φέρων, χαλεπὴν ὄφρα νόσον σκεδάσω.

Καὶ μένος,

Καὶ μῦθος, οἷά τε θηρὸς ἀπιστοτάτοιο κραταιοῖς
  Ἀτμοῖσιν κατέχω, οἴδματα κακὸν βρομέων.
Γαστρὶ κλάθρα τίθημι, δυσαλθέϊ θυμὸν ἀνίῃ
  Δάπτω, καὶ δακρύων ἐκ πτυχίων λιβάδας.
Κάμπτω γούνατ' ἄνακτι τεθυμμένα, νύκτας ἀΰπνους
  Ἕλκω, καὶ ῥυπόω πρίθμον ἕδος ἔχων.
Ἄλλων εἰλαπίναι τε, χοροστασίαι τε, γέλως τε,
  Καὶ κῶμοι, χλοερῆς παίγνιά θ' ἡλικίης.
Ἄλλοι δ' αὖτ' ἀλόχοισι καὶ υἱάσι γάνυνται,
  Καὶ πλούτου κρατεροῦ κύδεϊ λυομένῳ.
Ἄλλοι δ' αὖτ' ἀγοραῖς τε καὶ ἄλσεσιν, ἠδὲ λοετροῖς
  Τέρπονται, καὶ πνεῖν ἐν πολίεσσι μέγα.
Εὐφήμοις τε λόγοισι καὶ ἱσταμένων ὀρυμαγδῶν
  Τερπόμενοι, σοβαροί θ' ὑψόθεν ἐκ σανίδων.
Πολλαὶ γὰρ θνητοῖσι πολυσχιδέος βιότοιο
  Τέρψιες. ἐν δὲ κακοῖς, κέκραται εὐφροσύνη.
Αὐτὰρ ἐγὼ τέθνηκα βίῳ. βαιὸν δ' ἐπὶ γαίης
  Ἆσθμα φέρω. φεύγω δ' ἄστεα καὶ μεδέοντας.
Θήρεσι καὶ σκοπέλοισιν ὁμιλέων, αὐτὸς ἀπ' ἄλλων
  Ναιετάω λυπρὴν ῥαγάδα καὶ χίδιον.
Οἰοχίτων, ἀπέδιλος, ἄπυρος, ἐλπίδι μούνῃ
  Ζώων. καὶ λώβη πᾶσι τέλω χθονίοις.
Εὐνή μοι στιβάς ἐστι, τὰ ῥήγεα σάκκος ἐρυμνός,
  Καὶ κόνις ἐν δαπέδῳ δάκρυσι δευομένη.
Πολλοὶ μὲν στενάχουσι σιδηρείοις ὑπὸ δεσμοῖς.
  Ἄλλους δ' αὖ τέφρην πυνθάνομ' εἶδαρ ἔχειν.
Τοὺς δὲ, ποτὸν δακρύοισι μεμιγμένον ἀλγηδόνεσσιν.
  Ἄλλους χαμευνίαις βαλλομένους νιφάσι
Νύκτας τεσσαράκοντα καὶ ἤματα ἐνδρόσοισιν ἶσα
  Ἑστάμεναι, κραδίῃ γῆς ἀπανισταμένους,
Καὶ θεὸν οἶον ἔχοντας ἐνὶ φρεσίν. ἄλλος ἔδησε
  Χείλεα, καὶ γλώσσῃ θῆκε χαλινὰ φέρων.
Οὐ μοι πάντα χαλινά. ὕμνεις δ' αὐτῆκε μόνοισιν,
  Ἔμπνοον ὡς κιθάρην πνεύματι κρουομένην.
Καὶ χριστῷ κεφαλὴν τις ἑὴν ἀνέθηκε φυλάσσων,
  Εὐχῆς εὐαγέος εἵνεκ' ἀκερσικόμην.
Ὄμματα δ' ἄλλος ἔπηξε, καὶ οὔασι θῆκε θύρετρα,
  Μή τι λάθῃ πέμψας κέντρον ἔσω θανάτου.
Τοῖα μὲν ἐξ ἐμέθεν χαὶ φάρμακα δυσμενέοντι
  Ἤδη καὶ πολιὴ ἄλκαρ ἐμῶν παθέων,
Πολλὰ δ' οὐκ ἐθέλοντα καταιγίδες ἀπτοίητοι
  Στροφάουσιν, χαλεποῖς ἄλγεσι τειρόμενον.
Αὐτὰρ ὅ γ' οὔτε λόγοις ὑποπείθεται, οὔτε μόγοισι
  Δάμναται, οὔτε χρόνῳ κάμπτεται ὀκρυόεις,
Ἀλλ' αἰεὶ ζωῆς κατεναντίον ὄμμασι τυφλοῖς
  Σπεύδει, καὶ κρημνοὺς ὡς λεγεὼν ποθέει.
Εἰ δέ τι που καὶ βαιὸν ὑποείξει θεοῖο
  Δώμασιν, ἢ πόνοις, ἢ θεόθεν λογίοις,
Ὥς τε φυτὸν παλάμῃσι μεθελκόμενον κομέοντος,
  Γυροῦται προτέρην ἔμπαλιν ἐς κακίην.
Ὦ μέλεοι θανάτοιο βροτῶν γένος. ὥς ῥα κακοῖσι
  Δαπτόμενοι, μανίῃ τερπόμεθ' ἡμετέρῃ.
Οὔτε λόγον τίοντες, ὃν ἐνδέθεο γινομένοισι
  Θῆκε θεὸς ζωῆς σπέρμα χαριζόμενος.
Οὔτε νόμον τρομέοντες, ὃν ἐν ποτε λαΐνεοισι
  Γράμματι ἀτρεκίην χριστὸς ὑποσκιάων
Πλαξὶν ἄναξ ἐχάραξε, καὶ ὕστερον ἐν κραδίῃσιν
  Ἡμετέραις, μεγάλῳ πνεύματος εὐαγέος.
Καὶ χριστοῦ παθέεσσιν ἐναντία μητιόωντες,
  Οἷσιν μ' ἐκ παθέων εἵλκυσεν ἀργαλέων
Σάρκα λαβὼν, σταυρῷ τε παγεὶς, πήξας τε μέλαιναν
  Πλάσματος ἀμπλακίην καὶ βελίαο κράτος.
Ὄφρα παλιγγενέες τε, καὶ ἐκ τύμβοιο θορόντες,
  Χριστῷ σὺν μεγάλῳ κῦδος ἔχωμεν ἄνω.
Πολλὰ μὲν δὴ πᾶσιν ἐπιχθονίοισι θεοῖο
  Δῶρα, τὰ, καὶ γλώσσης κρείσσονα ἡμετέρης.
Καὶ γάρ με πλαγχθεῖσιν ἀτασθαλέοντα δαμάζων
  Ἕλκει πρὸς ζωὴν, καὶ φίλα μητιόων.
Πάντα γὰρ εὐμενέοντι νόῳ μερόπεσσι κυβερνᾷ,
  Εἰ καὶ κρυπτὸν ἑῆς βένθος ἔχει σοφίης.
Καὶ πολὺς ἡμετέρης γενεῆς ζόφος ἠδὲ θεοῖο
  Ἵσταται ἐν μεσάτῳ, ὃν περόωσ' ὀλίγοι
Ὄμμασιν ὀξυτάτοισι διαυγέες ἐκ βιότοιο,
  Καὶ καθαροὶ καθαρῆς ἀπτόμενοι σοφίης.
Αὐτὰρ ἐμοὶ χριστὸς πολυώνυμον εὖχος ὀπάζων,
  Πρῶτα μὲν εὐξαμένῃ νεόθεν ἐκ κραδίης,
Μητέρι δῶρον ἔδωκε, καὶ ἐκ δειῶν ὑπέδεκτο
  Δῶρον, ἐπεὶ τέκνον φέρτερον οὐδὲν ἔχων
Ἐν πᾶσι κτεάτεσσιν. ἔπειτα δὲ θεῖον ἔρωτα
  Φάσμασιν ἐννυχίοις σώφρονος ἧκε βίου.
Εἰδ' ἄγε νῦν αἴοιτε θεόφρονες, αἱ δὲ βίβλοι
  Ψυχαὶ, ὑμετέροις οὔασι θέσθε θύρας.
Παῖς μὲν ἔην ἁπαλὸς, παῖς ὢ μάλα. ἠΰτε δὲ φρὴν
  Ἐσθλῶν ἠδὲ κακῶν εἰκόνας ἐγγράφεται,
Οὔπω μὲν στερεοῖσι νοήμασιν εἶδος ἔχουσα,
  Ἤθεσι δ' ἀλλοτρίοις πρῶτα χαρασσομένη.
Αὐτὰρ ἐμοὶ πολιὸν νόον ἔγραφον οὔ τι κακοῖσι
  Χρώμασι, τῇ δ' ἀρετῇ ἐσθλὰ διδασκομένῳ.
Καὶ γὰρ δὴ πάντεσσιν ἐπιχθονίοισιν ἀγητοὶ
  Ἔσκον, ἐπ' εὐσεβίῃ θυμὸν ἔχοντες ἕνα,
Ἶσον ἐμοῦ πολιῇ τε, καὶ ἤθεσι κυδαλίμοισιν,
  Ἀνδρομένης ζωῆς ὄλβιοι ἀθλητῆρες,
Μέτρα παραβροχέοντες, ὁ μὲν ποτε τηλόθι μάνδρης
  Ἐσχὼς μεγάλης, ἧς μέγα νῦν κρατέει,
Οὐκ οἶς, ἀτὰρ οἴων προφερέστατος. ἐξ οἴων δὲ,
  Ποιμήν. νῦν δὲ πατὴρ, καὶ νομέων νομέας.
Οὔτι μὲν ἐς πολύκαρπον ἀλωὴν ὄψιμος ἐλθὼν,
  Πουλὺ δ' ἀκρύψας τῶν προτέρους καμάτοις.
Ἡ δ' ἱερῶν τοκέων, ἱερὸν φυτὸν, εὐαγέος τε
  Ῥίζης, καὶ προτέρων μητρὸς εὐαγέων.
Οὐδὲν ἀτιμοτέρη προτέρων, αἳ χριστὸν ἄνακτα
  Δέξαντ', ἠδὲ τάφου λεύσσαν ἀνεγρόμενον.
Βαιὸν μὲν πνείοντες ἐπὶ χθονὶ σαρκὸς ἀνάγκῃ,
  Πλείονα δὲ ζωῆς μοῖραν ἔχοντες ἄνω.
Τοῖς μὲν ἐγὼ ἁπαλὴν πλάσθην φρένα, κ' ἐνέπηξε
  Οἷα τυρὸς, ταλάρου λάμβανον αἶψα τύπον.
Καί ποτέ μοι κνώσσοντι παρίστατο τοῖος ὄνειρος,
  Ἕλκων ῥηϊδίως ἐς πόθον ἀφθορίης.
Δοιαί μοι δοκέεσκον ἐν εἵμασιν ἀργυφέοισι
  Στράπτειν παρθενικαὶ πλησίον ἱστάμεναι.

Ἄμφω μὲν καλαί, καὶ ὁμήλικες. ἀμφοτέραις δὲ
Κόσμος, ἀκοσμίη, κάλλος, ὃ θηλυτέραις.
Οὐ χρυσὸς δαπάνῃ κατεκόσμεεν, οὐδ' ὑάκινθος,
Οὐδ' ἄχρι σφυρῶν νήματα λεπταλέα.
Οὐδὲ λίνου μαλακοῖο περὶ ξυβίκοσι χιτῶνας,
Οὐ γραπτοῖς βλεφάροις ὄμμ' ὑπολαμπόμενον.
Οὐδ' ὅσα τεχνήεντες ἐπ' εἴδεσι θηλυτεράων
Ἄνδρες ἐμήσαντο φάρμακα μαχλοσύνης.
Οὐ ξανθαὶ πλοκαμῖδες ὑπὲρ νώτοιο χυθεῖσαι
Παίζον ἅμα πνοιαῖς εὐκραέων ἀνέμων.
Ζώνῃ μὲν τῆσίν γε καλὸς ἐσφίγγετο πέπλος,
Ἄχρι καὶ ἀστραγάλων ἐς πόδας ἑλκόμενος.
Κρηδέμνῳ δ' ἐφύπερθε παρήατα ἠδὲ παρειὰς
Κρυψάμεναι, κατὰ γῆς ἔσκοτ' ὄμματ' ἔχον.
Αἰδὼς ἀμφοτέρῃσιν ἐπέπρεπε καλὸν ἔρευθος,
Ὅσσον ἐϋννήτων φαίνεθ' ὑπ' ἐκ φαρέων.
Σιγὴ δ' ἀμφοτέρῃσι μεμυκότα χείλεα κεῖτο
Οἷόν τε δροσεραῖς ἐν καλύκεσσι ῥόδον.
Τὰς μὲν ἐγὼν ὁρόων, μέγ' ἐγήθεον. ἦ γὰρ ἔφασκον
Κρείσσονας ἀμβροσίων ἔμμεναι οὐκ ὀλίγον.
Αἱ δέ με καὶ φιλέεσκον, ἐπεὶ σφίσι θυμὸν ἰάνθην
Χείλεσιν, υἷα φίλον ὡς ἀγαπαζόμεναι.
Καί μοι ἐειρομένῳ τίνες ἢ πόθεν εἰσὶ γυναῖκες,
Ἡ μὲν ἁγνείη ἔφη, ἡ δὲ σαοφροσύνη.
Αἳ Χριστῷ βασιλῆϊ παρασταδὸν ἑστήκυῖαι,
Κάλλεσιν οὐρανίων τερπόμεθ' ἀζυγέων.
Ἀλλ' ἄγε δεῦρο τέκος μῖξον τεὸν ἡμετέρῃσι,
Καὶ πραπίδεσσι νόον, καὶ δαΐσιν δαΐδα,
Ὄφρα σε παμφανόωντα δι' αἰθέρος ὑψιφέρουσαι,
Στήσωμεν Τριάδος πὰρ σέλας ἀθανάτου.
Ὣς φάμεναι, φορέοντο δι' αἰθέρος. ὄμμα δ' ἐμεῖο
Ἔσπετ' ἀποπταμένας. χ' αἱ μὲν ὄνειρος ἔσαν,
Δηθὰ δ' ἐμὴ κραδίη σεμνοῖς ἰνδάλμασι νυκτὸς
Τέρπετο, καὶ φαεινῆς εἰκόσιν ἀφθορίης.
Ἄρτι μοι ἐς φρένα μῦθος ἀγείρετο, δή τε νόημα
Ἐσθλῶν ἠδὲ κακῶν πήγνυται ἀτρεκέως.
Καὶ νόος ἡγεμόνευε πόθου, καὶ κάλλος ἀμυδρὸν
Ὄψιος ἐννυχίης φαίνετ' ἀριπρεπέως.
Ὡς δ' ὅτε καρφαλέην καλάμην πυρθὲς ἀΐδηλος
Ἔνδοθι βοσκόμενος, λάμπεται ἐξαπίνης.
Φλὸξ ὀλίγη τὸ πρῶτον, ἔπειτα δὲ πυρσὸς ἀερθεὶς
Ἄσχετος, ὥς καὶ ἐγὼ φάσματι δαιόμενος,
Ὦχ' ὑπέλαμπον ἔσωθε, σέλας δέ τε πᾶσι φαάνθη,
Οὐκέτ' ἐνὶ ψυχῆς βένθεσι κρυπτόμενον.
Πρῶτα μὲν εὐσεβέεσσιν ὁμίλεον, οἵ ῥα γάμοιο
Δεσμὰ φύγον, κόσμου λυόμενοι χθονίου,
Ὡς Χριστῷ προφέροντες ἅμ' ἕσπωνται Βασιλῆϊ,
Ἔνθεν ἀειρόμενοι κύδεϊ σὺν μεγάλῳ.
Τοὺς μὲν ἐγὼ φιλέων τε καὶ ἀμφιέπων πόδε κῦσα,
Ἐλπίδος ἡγεμόνας εἶχον ἐπουρανίης.
Αὐτὰρ ἔπειτα γάμοιο βαρὺν ζυγὸν ἐκτὸς ἔθηκα,
Ὑψηλὴν ποθέων μοῖραν ἀειθαλέων.
Καὶ γὰρ δὴ φύσιες μὲν, ὅσαι λάχον οὐρανὸν εὐρὺν,
Ἄζυγές, παθέων κρείσσονες ἀργαλέων.
Αἴγλης πρώτιστε θεὸς μέγας. ὡς δὲ θεοῖο
Λάτριες ὑψιθρόνου πλησίον ἑστάοτες,
Οἱ πρώτην ἀκτῖνα θεοῦ καθαροῖο φέροντες,
Παμφαέες, θνητοῖς φῶτα χαριζόμενοι.
Ὅσσοι δ' ἐκ ψυχῆς καὶ σώματος εἰς ἓν ἄγερθεν,
Καὶ δυάς εἰσι χοὸς, ἔκγονα μαρναμένων,
Συζυγίην ποθέουσι, καὶ ἐς δέμας εἰς ἓν ἑτοῖμοι
Σπείρειν, ἀλλ' ὁ λόγος κρείσσονα μοῖραν ἄγων,
Σαρκὸς νόσφιν ἔθηκε, πλάνου δ' ἀπέεργαθε κόσμου,
Ζωῆς δ' ἀθανάτης θῆκ' ἀδύτοιο πέλας.
Ἔνθα μ' ἔπεμπε πόθος μεγαλήτορα, οὐδ' ἔτι γαίης
Ἤρειδον χθαμαλῆς ἴχνιον ἀδρανέων.
Ἀλλ' ὥς τε γλυκεροῖο γεγευμένος ἢ γάλακτος,
Ἢ μέλιτος, σταθερῆς κεῖθι χεροσπασίης,
Οὐκ ἔθελον πικρῆς μοι ἐδητύος ἄσσον ἱκέσθαι,
Θυμοβόρου κακίης ἐνθάδε τικτομένης.
Οὐδέ τί μοι θαλίαι τε, καὶ ἃ νεότητι μέμηλεν,
Οὐκ ἐσθὸς μαλακὸν, οὐ χλιδόωσα κόμη.
Οὐκ αἰσχρῶν ἐπέων ἄχαρις χάρις, οὐδὲ γέλωτες
Ἀκρατέες, σαρκὸς βράσματα δυσμενέα
Ἔσκε φίλα. σκοπέλους δὲ καὶ οὔρεα, καὶ χειμήεντας
Ἵππους, ἠδὲ κυνῶν θηροφόνων ὅμαδον,
Ἄλλοισιν προέηκα. τὰ δ' ὄλβια πάντα τινάξας,
Αὐχέν' ὑπὸ στερεῇ θῆκα σαοφροσύνῃ,
Ἥ μ' ἐκόμει τ' ἐφίλει τε, καὶ ἐς μέγα κῦδος ἄεξεν,
Ἐν δ' ἐτίθει Χριστοῦ χείρεσι προφρονέως.
Ἀλλὰ πάτερ, παιδός τε λόγος, καὶ πνεῦμα φαεινὸν,
Ζωῆς ἡμετέρης ἕρμα κακοσταθέος,
Μή με λίπῃς χείρεσσιν ὑπ' ἀργαλέῃσι δαμῆναι
Δυσμενέος, φθίσης ἐλπίδος αὖτε πάλιν.
Μὴ δ' ὥς νῆα μέλαιναν, εὔπλοον, ὀρθὰ θέουσαν,
Ἤδη καὶ λιμένων πλησίον ἱπταμένην,
Λαίφεσι πεπταμένοισιν ἐπαΐξασαι θύελλαι
Λευγαλέων ἀνέμων ἐξαπίνης ὀπίσω
Ῥίψειαν παλίνορσον ἐπ' εὐρέα νῶτα βίοιο,
Ἔνθα καὶ ἔνθα κακοῖς βραστόμενον μεγάλοις,
Μή που καὶ κρυπτοῖσι ποτὶ σπιλάδεσσιν ἰάξῃ,
Τοῖος γὰρ Βελίαο φθονεροῖο νόος,
Αἰὲν ἀπεχθαίρει μερόπων γένος, οὐδ' ἀπὸ γαίης
Βούλεται οὐρανίους ἔμμεναι, οὐρανόθεν
Αὐτὸς ἐὼν διὰ μῆτιν ἐπὶ χθόνα τήνδε ῥιπαχθεὶς
Δύσμορος, ὃς πρότερος κάλλεος εὖχος ἔχων,
Ἱέμενος, μεγάλην τε θεοῦ βασιληίδα τιμὴν,
Ἀντὶ φάους στυγερὴν ἀμφιέσατο σκοτίην.
Τοὔνεκα καὶ σκοτίοισιν ἰαίνεται αἰὲν ἐπ' ἔργοις,
Καὶ ζοφερῆς κακίης ἐνθάδε κάρτος ἔχει.
Διπλόος δ' αὖ μορφὴν τελέθει, σκολιός τε νόημα,
Ἄλλοτ' ἐπ' ἀλλοίην ἐρχόμενος παγίδα.
Ἤτοι ὁ μὲν σκότος ἐστὶν ὑπέρτατον. ἢν δέ μιν εὕρῃς,
Ἄγγελον ἐς φωτὸς ὦκα μεταστρέφεται.
Καί ῥ' ἀπαλὸν γελόων, σαίνει φρένας. ἔνθα μάλιστα
Φράδμονος, ἀντὶ φάους μὴ θανάτῳ πελάσαι.
Τὴν μὲν γὰρ κακότητα φυγεῖν, καὶ χείρονος ἀνδρός.
Πολλοῖς γὰρ κακίη ἔχθεται ἀμφαδίην.
Αἰνῶ δ' ὃς λοχόωντα, καὶ ὃς ἀΐδηλον ἐλέγχει,
Πνεύματος ὀξυτάτοις ὄμμασι δερκόμενος.

Ἀλλὰ

Ἀλλὰ σάω καὶ γῆρας ἐμὸν πελιόν τε κάρηνον,
Τέρμα φέρεις ζωῆς ἵλαος, ὥς με πάρος
Ἐνδυκέως ἀγάπαζες, ἐπ' ἤματι δ' ἦμαρ ἄριστον
Ἤγειρες χριστοφόροις ἐλπίσι πρόσθε φέρων.
Καί μ' ἐκ δυσμενέων τε καὶ ἀργαλέων μελεδώνων,
Εὔδιον ἐς λιμένα σῆς βασιλείας ἄγοις.
Ὄφρα σε σὺν φαέεσσιν ἀειζώοισι γεραίρων,
Κῦδος οὐρανίης μοῖραν ἔχοιμι ἄναξ.

ΣΧΕΤΛΙΑΣΤΙΚῸΝ ὙΠῈΡ τῶν αὐτοῦ παθῶν.

Πολλάκι χειρόμ' ἄνακτα κακοῖς μογέων μεγάλοισιν,
Ἠντεσάμην. καὶ γάρ τις ἄναξ θεράποντος ἄνακτι
Δύσμενον ἐν στομάτεσσι λαλεύμενον ἠρέμα τρυσμόν.
Ὡς δὲ πατὴρ ἀγαθὸς καὶ ἄφρονος υἱέος ἑοῖο,
Πολλάκις ἀμφαδίων ἐπέων θράσος οὐχ ὑπέδεκτο,
Τοιῶνδε καὶ σὺ λόγοισιν ἐμοῖς θεὸς ἵλαος εἴης.
Οὕς τοι ἀκηχεμένη κραδίη ἀγανώτατε πέμψα
Βαιὸν ἄκος παθέεσσιν, ὀδυρομένης φρενὸς ᾠδῆς.
Χριστὲ ἄναξ, τί πέδαις με κακοῖς δέ πόρες ἄνωθεν,
Ἐξ ὅτε μητρὸς ὄλισθον ἐμῆς ἐπὶ μητέρα γαῖαν.
Εἰ μὴ καὶ λαγόνεσσιν ἐνὶ σκοτίῃσι πέδησας,
Τίπτε πέδαις ἀχέεσσι καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν
Ἐχθροῖσίν τε, φίλοις τε, καὶ ἡγεμόνεσσι κακίστοις,
Ξείνοις, ἠμεδαποῖς τε, καὶ ἀμφαδὸν, ἠὲ λοχέωσι,
Μύθοις τ' ἀντιθέτοις, καὶ λαϊνέαις νιφάδεσσι
Βέβλημαι. τίς ἅπαντα διακριδὸν ἐξαγορεύσει;
Μοῦνος ἐγὼ πάντεσσιν ἀεὶ λιμός. οὐδ' ἐπὶ μύθοις,
Οὐδ' ἐπὶ κάρτεϊ χειρὸς ἔχων πολυώνυμον ἄλλον,
Ἄλγεα δὲ στοναχάς τε πολυσχεδέας. ὥς τε λέοντα
Παντόθεν ἀμφυλάουσι κακοὶ κύνες, οἰκτρὸν ἄεισμα,
Ἀντολίῃ τε, δύσει τε, τάχ' ἄν ποτε καὶ τὸ, γένοιτο,
Ἤ τις ἀνὴρ θαλίῃσι λύων φρένα, ἤ τις ὁδίτης,
Ἤ τις εὐκρέκτου κιθάρης ἐπὶ δάκτυλα βάλλων,
Φθόγγοις οὐ λαλέεσσιν ἐμῶν ἀχέων ὀαριστύς,
Γρηγορίου μνήσαιτο. τὸν ἔτρεφε καππαδόκεσσιν
Ἡ διζωστοτάτην ὀλίγη πτόλις. ἀλλ' ἐπίμοχθον
Ἄλλοις πλοῦτον ὄπασσας ἀπείριτον, υἱέας ἄλλοις
Ἐσθλούς, κάλλιμος ἄλλος, ὁ δ' ἄλκιμος, ὃς δ' ἀγορητής.
Αὐτὰρ ἐμοὶ κλέος ἐστὶν ἐπ' ἄλγεσιν. ἐς δέ με πάντες
Σῆς γλυκερῆς παλάμης πικροὺς ἐκρίψας ὀϊστούς.
Ἄλλος ἰὼβ νέος εἰμί. τὸ δ' αἴτιον οὐκέθ' ὁμοῖον.
Οὐ γὰρ ἀεθλεύσοντα μ' ἄγεις μάκαρ, ὥς τιν' ἄριστον
Ἀντίον ἀθλητῆρος ἀπηνέος ἀλκὶ πεποιθώς,
Ὡς κεν ἀριστεύσαντι γέρας καὶ κῦδος ὀπάσσῃς.
Οὔπω τόσος ἔγωγ', οὐδ' ἄλγεσι κῦδος ἔπεστι.
Ποινὴν δ' ἀμπλακίης τίνω τάδε τίς δ' ἐθ' ἁμαρτὰς
Δίζημ' ἐν πλεόνεσσιν, ὅ, τι πλέον ἄχθεται ἄλλων.
Ἐχθρίω πάντεσσιν ὁ μοῦνος ἐν τοῖς ἔργοις.
Ἢ τάχα κεν κρύψειεν ἁμαρτάδα μῦθος ἄναυδος.
Ὠΐομην ὅτε δή σε φίλον λάχον οἶον ἐδέγμην,
Πάντ' ἀμυδὶς βιότοιο ἀφυσγετὸν εἰς ἅλα ῥίψας,
Καὶ νόον ὑψιβιβάντα τὰ ἐν θεοειδέσι πελάζων,
Σαρκὸς νέας φῦν ἔθηκα. λόγος δέ μοι ἡγεμονεύει,
Πάντων μὲν κρατέειν, πάντων δ' ὑπὲρ αἰθέρα τείνειν
Χρυσείαις πτερύγεσσι, τό, μοι φθόνον αἰνὸν ἄγειρε,
Καί με κακοῖς ἐπέδησεν, ἀφυκτοτάτῃσί τ' ἀνίαις.
Σὸν κλέος ὕψος ἄειρε. κλέος δὲ σὸν ἐς χθόν' ἔθηκεν.
Αἰὲν ἀγλωσσείησιν ἄναξ κοτέεις μεγάλῃσι.
Κεῖνο γε μὴν αἴ εἴ τε, καὶ ἐσσομένοισι γράφοι τε,
Λαοί θ', ἡγεμόνες τε, ἀπεχθέες, ἠμεδαποί τε,
Πατρὸς ἐμοῦ μεγάλοιο φίλον θρόνον οὐκ ἀθέριξα.
Οὐκ ἔστ' οὐδ' ἐπέοικε θεοῦ θεσμοῖσι παλαιοῖς.
Κεῖνον θεσμὸς ἔδωκεν, ἐγὼ δέ τε χειρὶ γεραιῇ
Χεῖρα νέην ὑπέρεισα, πατρὸς δ' ὑπόειξα λιτῇσι.
Πατρὸς ἐμοῦ. τὸν ἔπειτα, καὶ ὃς μάλα τηλόθι ναίοι,
Ἀζόμενος πολιήν τε, καὶ ἥλικα πνεύματος αἴγλην.
Αὐτὰρ ἐπεὶ ζωῆς σημάντορες καὶ τόδ' ἔασαν
Ἡμετέρης, ἄλλοις με λόγοι γὰρ πνεύματ' ἀναφλῶσαι
Ξείνοις προκαλέεσσιν, ἀκηνοφόροισιν ἀρούραις
Βαιὰ μὲν ψεκάς εἰμι, πολὺν δέ τε λαὸν ἐπῆρσα.
Καὶ τόδε γ' αὖθις ἔασε παλίμπορον ἐνθάδε πέμψαι
Νοῦσός τε στυγερὴ καὶ ἀργαλέαις μελεδώναις
Τειχθέντ' ἐξαπίνης. ἰὸς δέ τε ἀνδράσι μέριμνα.
Βαιὸν δὲ χρόνον ἔσκον ἐμοῖς μελέεσσιν ἀρηγών,
Ποιμενικὴν σύνεργα βοηθόον ἐσθλὸν ὀπάσσας.
Μή τις ἐμοῖς μήλοισιν ἀσημάντοισιν ἐπελθὼν
Ἐχθρὸς, ἐὴν πλήσειεν ἀναιδέα γαστέρα φορβῆς.
Αὐτὰρ ἐπεὶ δονέοντο ἀγροὶ, δονέοντο δὲ λαοὶ
Ἡγεμόνος τε πόθῳ καὶ θήρεσιν ἐλπομένοισιν,
Οἳ θεὸν ἀνδρομέοισιν ἐνὶ σπλάγχνοισι παγέντα,
Ἔκνοον ἦτορ ἔχουσι νόου δίχα μορφώσαντες,
Πολλοὶ μὲν τρύζεσκον ἐμοῖς παθέεσσιν ἄπιστοι.
Καί μ' ὑπερόπλοισι θεουδέα λαὸν ἀτίζειν,
Ἢ φάσαν, ἢ νόος εἶχε. θεοῦ γε μὲν ἄλγος ἔφαινον.
Πολλοὶ δ' αὖ νυχίοισιν ἐμὲ κλείεσκον ὀνείροις, (σων,
Ζωγράφος ὧν πόθος κεν ἀθύρματα πολλὰ χαράσ-
Ἢ θεὸς ἐξεκάλυπτεν, ἐμοὶ τέλος ἐσθλὸν ὀπάζων,
Ὄφρα κε μὴ χαλεποῖσι σὺν ἐλπωρῇσι δαμείην,
Ἐξοδίην κακότητα ἐφιστάμενος βιότοιο.
Τούνεκεν αὐχέν' ἔκαμψα, τὴν δ' ὑπὸ χεῖρα κραταιὴν
Δεσμίος ἔρχομ' ἔγωγε. δίκη δ' ἄλλοισι μεμήλει.
Οὐδὲν ὄνειαρ ἐμοί γε δικαζομένης βιότητος.
Τῇ νῦν χριστὲ φέροις με, ὅπῃ φίλον. ἄλγεσι κάμφθην.
Κεκτείαις λαγόνεσσι τετρυμένος εἰμὶ πρόφαντος.
Σοὶ πρέχω ζωῆς τόδε λείψανον ἀλλ' ἐλέαιρε
Μικρὸν ἔτι πνείοντα. τί μ' ἄλγεσι τόσσον ἐλαύνεις,
Οὔ τ' ἀγαθοῖσι μόνοισι θανὼν θεὸς, εὖτ' ἐπὶ γαῖαν
Ἤλυθες. ἢ μέγα θαῦμα, θεὸς βροτὸς αἵματι ῥαίνων
Ψυχὰς ἡμετέρας καὶ σώματα. οὔτε κάκιστος
Μοῦνος ἐγὼ, πολλοῖσι χερείοσι κῦδος ὀπάσσας.
Τρεῖς βίβλοισι τεῇσι μεγακλέες εἰσὶ τελῶναι,
Ματθαῖός τε μέγας. νηῷ τ' ἐνὶ δάκρυα λείψας,
Ζακχαῖός τ' ἐπὶ τοῖσιν. ὁ τέτρατος αὐτὸς ἔοιμι.
Τρεῖς δ' ἄρα λυσιμελεῖς, ὁ, τε λεκτρὸς, ὅς τ' ἐπὶ πηγῇ,
Ἦν τε πνεῦμ' ἐπέδησεν. ὁ τέτρατος αὐτὸς ἔοιμι.
Τρεῖς δέ βιεὶ ἐκ νεκύων φάος ἔδρακον. ὧς σὺ ἄνωγας.
Ἀρχοντος θυγάτηρ. χήρης παῖς. ἐκ δὲ τάφοιο,
Λάζαρος ἡμῖν ἄιστος, ὁ τέτρατος αὐτὸς ἔοιμι.

Καὶ νῦν φάρμακ' ἔχοιμ' ὀδυνήφατα. ᾧ μετέπειτα
Ζωὴν ἄτροπον ἐσθλὴ τῶν μέγα κύδεϊ γαίων,
Ποίμνης ἡγεμόνευε θεόφρονος. ἀλλὰ λυθεῖσαν,
Ποιμένος οἷα τύχοιεν ἀρείονος. εἰ δ' ἄρ' ὁμοίου,
Ἥσσονος ἐν παθέεσσι μακάρτατε, οὐ γὰρ ἔοικε
Τὴν νόσ[illegible] ἐλατῆρα, κακοῖς ἀχέεσσι παλαιὴν.

ΠΕΡῚ ΤΗ͂Σ ΤΟΥ͂ ΒΊΟΥ ΜΑΤΑΙΌτητος καὶ ἀπιστίας, καὶ κοινοῦ πάντων τέλους.

Ἤθελον ἢ πέλεια τανύπτερος, ἢ χελιδὼν
Ἔμμεναι, ὥς κε φύγοιμι βροτῶν βίον, ἢ ἐν ἐρῆμον
Ναιετάειν θήρεσσιν ὁμέστιος. οἱ γὰρ ἔασι
Πιστότεροι μερόπων, καὶ ἡμέτερον βίον ἕλκειν,
Νηπενθῆ, νήποινον, ἀκηδέα. ἓν τόδ' ἄθηρον
Μοῦνον ἔχειν, θεότητος ἴδριν νόον, οὐρανοφοίτην,
Ὥς κε γαληνιόωντι βίου φάος αἰὲν ἀγείρω.
Ἤ τινος ἠερίης σκοπιῆς καθύπερθεν ἀερθεὶς,
Βρονταῖον πάντεσσιν ἐπιχθονίοισιν ἀΰσω.
Ἄνθρωποι θνητοὶ, ῥοιῆς γένος, οὐδὲν ἐόντες,
Οἱ θανάτῳ ζώοντες, ἕως τίνος φυσιόωμεν,
Μέχρι τίνος ψεύδεσσι καὶ ἠματίοισιν ὀνείροις
Παιζόμενοι, παίζοντες, ἐπὶ χθονὶ μὰψ ἀλάλησθε.
Ἄγρει δὴ πραπίδεσσι τεαῖς ἐπὶ πάντας ὅδ' αὐδῶν,
Ὡς καὶ ἐγὼ, δὴ γάρ με θεὸς μέγαν ἴδριν ἔθηκεν
Ἐσθλῶν τε στυγερῶν τε, νόος δ' ἐπὶ πάντα φορεῖται.
Οὗτος ἔην θαλερός τε καὶ ἄλκιμος, εὖχος ἑταίρων,
Ὑψιβιβὰς, μελέεσσιν βριζάοισι τεθηλώς.
Οὗτος κάλλιμος ἦεν ἑωσφόρος, ὄμματα πάντων
Ἕλκων, εἴαρος ἄνθος ἐν ἀνδράσιν. οὗτος ἀγῶσι
Κύδιμος, ἔντεσιν οὗτος ἀρήιος, οὗτος ἄριστος
Θηροφόνων σταδίοισι, καὶ οὔρεσι κάρτος ἐγείρων.
Οὗτος δ' αὖ θαλίῃσι καὶ εἰλαπίνῃσι μεμηλώς,
Γαίῃ καὶ πελάγεσσι καὶ ἠέρι γαστέρα φέρβων,
Νῦν ῥικνὸς, καὶ ἄναλκις. ἀπώλετο γὰρ ἅπαντα.
Γῆρας ἔβη, τὸ δὲ κάλλος ἀπέπτατο. νεκρὰ τὰ γαστρὸς,
Βαιὸν ἔτ' ἐν μερόπεσσι. τὸ δὲ πλέον, εἰν ἀΐδαο.
Οὗτος δ' αὖ μύθοις πνείων μέγα παντοδαποῖσιν.
Οὗτος δ' εὐγενέτης τύμβοις προγόνων μεγάλοισιν,
Ἢ δέλτοις ὀλίγῃσι νεόγραφον αἷμα λελογχώς.
Οὗτος καρτερόθυμος, ἐνὶ πολίεσσι μέγιστος,
Πανδήμοις στομάτεσσι βοώμενος. οὗτος ἄμετρον
Πλοῦτον, τὸν μὲν ἔχων, τὸν δὲ φρεσὶν ἔνδον ἐέλδων.
Οὗτος δ' ὑψιθρόνοιο δίκης πλάστιγξι γέγηθεν.
Οὗτος δ' αἱματόεντι ῥάκει, δεσμῷ τε καρήνου
Γαίης κάρτος ἔχων. καὶ οὐρανὸν αὐτὸν ἄπιζε,
Θνητὸς, ἐν οὐ θνητοῖσι μετήορος ἐλπωρῇσι.
Νῦν τάδε μικρὸν ἔπειτα κόνις, καὶ πάντες ὁμοῖοι,
Δμώων, σκηπτοφόροι, θητῶν, πλούτῳ κομόωντων.
Εἷς ζόφος, εἷς δὲ δόμος, τόσσον πλέον ὀφρυόεσσιν,
Ὅσσον κλαυστήριο γόου, τύμβου τετυχῆσαι,
Οὔνομά τ' ἐν λάεσσι λιπεῖν ἐπικήδειον οἴκτοις.
Ὀψὲ μὲν, ἔμπα δὲ πᾶσιν ἴσον θνητοῖσι τάλαντον.
Ὀστέα πάντων ἀραιὰ, σεσηρότα, γυμνὰ κάρηνα.
Λῆξε τῦφος. γνίων δὲ μένος λίπε, νοῦσος ἄϊστος,
Ἔχθος, ἀτασθαλίη, πλεόνων πόθος, ὕβρις ἀταρής,
Πάντ' ἔβανε φθιμένοισιν ὁμοῦ, καὶ πάντα μέμυκεν,
Ἄχρις ἂν ἐγρομένοισι συνέμπορα ἔργον ἵκηται.
Ταῦτ' οὖν εἰσορόωντες, ἐμοῖς πείθεσθ' ἐπέεσσι
Παῖδες ἐμοί. παῖδες γὰρ, ὅσον πλέον ἄργυρα πνεῦμα.
Δεῦρ' ἄγε κόσμον ἅπαντα, καὶ ὁππόσα τόδ' ἀλάληντο,
Ῥίψαντες κακότητας ἐπιχθονίου βασιλῆος,
Ἅρπαγος ἀλλοτρίων, δηλήμονος, ἀνδροφόνοιο,
Πλοῦτον, εὔκλειαν, θώκους, γένος, ὄλβον ἄπιστον,
Προτροπάδην φεύγωμεν ἐς οὐρανὸν, ἧχί τε πολλὰ
Κάλλεα μαρμαίροντα φάος περὶ τριοσσὸν ἄφραστον.
Οἱ δ' ἄλλοι πεσσοῖσιν ἐοικότες ἔνθα καὶ ἔνθα
Ῥίπτοιεν, πεσσῶν τε κυλίσμασι τέρψιν ἔχοιεν,
Ἢ δνοφερὴν σκοτόμαιναν ἐοῖς ἐπικείμενοι ὄσσοις.
Τοίχους ἀμφαφόωντες, ἐπ' ἀλλήλοισιν ἴοιεν.

ΘΡΗ͂ΝΟΣ ΔΙᾺ ΤΩ͂Ν ΑΥ̓ΤΟΥ͂ ΜΌγων, καὶ πρὸς Χριστὸν δέησις περὶ λύσεως τοῦ αὐτοῦ βίου.

Γαῖα φίλη, καὶ πόντε, πάτρης πέδον, ἀλλοδαπῆς τε,
Καὶ νεότης, πολιή τε βίου δύσι, καὶ προρέοντες
Μῦθοι. μόχθοι περιωσιοὶ, καὶ οὓς τέκε πνεῦμα φαεινόν,
Καὶ πόλιες, σκόπελοί τε ἐμῶν σκέπας, ὧν διὰ πάντων
Ἤλυθον, ἱέμενος Χριστοῦ θεότητι πελάσσαι,
Πῶς μογέων τρηχεῖαν ἔβην ὁδὸν ἔνθα καὶ ἔνθα,
Στρωφῶν ἀργαλέοιο βίου τύπον. οὐδ' ἐδυνάσθην,
Οὐδ' ὅσον ἔν ποτ' ἐλαφρὸν ἐπὶ χθονὸς ἴχνος ἐρεῖσαι,
Ἀλλ' αἰεί με μόγοισι μόγοι πέμπουσι κακοῖσιν.
Ὦ φθίε, σὺ δίδαξον ὅθεν τόσον ἄχθος ἐμοί γε.
Πῶς μόγος εὐσεβέεσσι, καὶ οὐ μόγος ὀλλυμένοισιν.
Ἦ ῥά τις ἀμπλακίης ποινὴ τάδε; ἦ ῥα βίοιο
Ἄνθρακες ὡς χρυσοῖο καθαιρομένου χοάνοισιν;
Ἦ ῥά μ' ὁ λυσσώδης καὶ βάσκανος οἷά τιν' Ἰὼβ
Ἐς δῆριν καλέει; σὺ δ' ἀλείφατι σῷ με παλαιστὴν
Τρίψας, εὖ τε πάροιθε μέγαν γυμνοῖς πρὸς ἀγῶνα,
Ὥς κεν ἀεθλεύσαντι γέρας καὶ κῦδος ὀπάσσῃς.
Ταῦτα μὲν αὐτὸς ἄναξ οἶδας λόγε. καὶ γὰρ ἅπαντα
Κόσμον ἄγεις, μεγάλοισι λόγοις κρυπτοῖσιν ἑλίσσων.
Ὧν ὀλίγη τις πάμπαν ἐς ἡμέας ἔρχεται αὐγὴ
Πηλόν τ' εἰλυμένους, καὶ ὄμματα νωθρὰ φέροντας.
Αὐτὰρ ἐγὼ κέκμηκα βίῳ, τυτθὸν δ' ἐπὶ γαίης
Ἆσθμα φέρω, πολλοῖσιν ἐλαυνόμενος κακότησι,
Δυσμενέων, φιλίων τε. τὸ, καὶ περιώσιον ἄλγος.
Τούνεκεν αἰάζω. πίπτω δ' ὑπὸ γούνασι σεῖο.
Δὸς λύσιν βιότοιο νεκρὸν σέο. δὸς καμάτοιο
Ἄμπνευσιν. ζωῆς δέ μ' ἐλαφροτέρης ἐπίβησον,
Ἧς χάριν ἀσχαλόω, καὶ κήδεα μυρί' ἀνέτλην.
Ἀγγελικοῖς δὲ χέρεσσι φέρων πελάσειας ὁδίτην
Οὐρανίου πυλεῶνος, ὅθι κλέος ἀστράπτοντος
Τρισσοῖς ἐν φαέεσσιν ἑνὸς μεγάλοιο θεοῖο.

ΠΡῸΣ ἙΑΥΤῸΝ ΚΑΤᾺ ΠΕΥ͂ΣΙΝ καὶ ἀπόκρισιν.

Ποῦ δὲ λόγοι πτερόεντες; ἐς ἠέρα. ποῦ νεότητος
Ἄνθος ἐμῆς; ἀπόλωλε. τὸ δὲ κλέος; ᾤχετ' ἄϊστον.
Ποῦ σθένος ἀντιγίων μελέων; κατὰ νοῦσος ἔκαμψε.

Ποῦ κτήσεις καὶ πλοῦτος; ἔχει θεός. ἀλλὰ δ' ἀλιτρῶν
Ἁρπαλέαις παλάμῃσι πόρε φθόνος. οἱ δὲ τοκῆες,
Ἠδὲ κασιγνήτων ἱερὴ δυάς, ἐς τάφον ἦλθον.
Μούνη μοι πάτρη προλέλειπτο. ἀλλ' ἄρα καὶ τῇ
Ὄρσας οἶδμα κελαινὸν ὁ βάσκανος ἤλασε δαίμων.
Καὶ νῦν ξεῖνος ἔρημος ἐπ' ἀλλοτρίης ἀλάλημαι
Ἕλκων ζωήν τε λυγρήν, καὶ γῆρας ἀφαυρόν.
Ἄθρονος, ἀπτόλιεθρος, ἄπαις, πενίεσσι μεμηλώς,
Ζώων ἦμαρ ἐπ' ἦμαρ ἀειπλανέεσσι πόδεσσι.
Ποῦ ῥίψω τόδε σῶμα; τί μοι τέλος ἀντιβολήσει;
Τίς γῆ; τίς δὲ τάφος με φιλόξενος ἀμφικαλύψει;
Τίς δ' ὄσσοις μύουσιν ἐμοῖς ἐπὶ δάκτυλα θήσει;
Ἢ ῥά τις εὐσεβέων χριστοῦ φίλος; ἦ ῥα κάκιστος;
Ταῦτα μὲν αὖρα φέροι. τυτθῆς φροντὶς ἤδε μεληδών.
Εἴ τε τάφον δώσει τις ἐμὸν δέμας, ἄπνοον ἄχθος.
Εἴ τε καὶ ἀκτερέϊστον ἕλωρ θήρεσσι γένοιτο,
Θήρεσιν ἢ κύνεσσιν ἑλώριον, ἢ πετεηνοῖς.
Εἰ δ' ἐθέλεις, πυρίκαυστον ἐς ἠέρα χείρεσι πάσσοις,
Ἠὲ κατὰ σκοπέλων μεγάλων ῥίψειας ἄτυμβον,
Ἢ ποταμοῖσι πύθοιτο, καὶ ὑετίοισι ῥοῆσιν.
Οὐ γὰρ ἄϊστος ἐγὼ μόνος ἔσσομαι, οὐδ' ἀσυνάκτος.
Ὡς ὄφελον, πολλοῖς τόδε λώϊον. ἀλλ' ἅμα πάντας
Ὕστατον ἦμαρ ἄγει περάτων ἄπο νεύμασι θείοις,
Εἴ που καὶ σποδιή τις, ὀλωλότα θ' ἅψεα νώσω.
Ἓν δὲ τόδ' αἰάζω, καὶ δείδια βῆμα θεοῖο,
Καὶ ποταμοὺς πυρόεντας, ἀφεγγέα τ' αἰνὰ βέρεθρα.
Χριστὲ ἄναξ, σὺ δέ μοι πάτρη, σθένος, ὄλβος, ἅπαντα.
Σοὶ δ' ἄρ' ἀναψύξαιμι βίον, καὶ τῇδ' ἀμείψας.

ἘΝΥΠΝΙΟΝ ΠΕΡῚ ΤΗ͂Σ ἈΝΑστασίας ἐκκλησίας, ἣν ἐπήξατο ἐν κωνσταντινουπόλει.

Εὗδον δὴ γλυκὺν ὕπνον, ἀναστασίαν δέ τ' ὄνειρος
Στῆσεν ἐμοῖσι φέρων ἠματίοισι πόθοις.
Ἡ πρώτη λόγον αἰπὺν ἐνὶ προπόδεσσι μένοντα,
Ἤγειρεν ἐς κορυφὴν ὄρεος ἀκροτάτην.
Τοὔνεκ' ἀναστασίαν μιν ἐπίκλησιν καλέουσι
Νηόν, ἐμῆς παλάμης ἔργον ἀριστοπόνου.
Ἕζεσθαι δοκέεσκον ὑπέρθρονος, οὐχ ὑπέροφρυς,
Οὐδὲ γὰρ οὐδ' ὄναρ τῖον ἀγηνορίην.
Οἱ δέ μοι ἀμφοτέρωθεν ὑφεδριόωντο γεραιοί,
Ποίμνης ἡγεμόνες, ἔκκριτος ἡλικίη.
Οἱ δ' ἄρ' ὑποδρηστῆρες ἐν εἵμασι παμφανόωσιν
Ἕστασαν, ἀγγελικῆς εἰκόνες ἀγλαΐης.
Λαοὶ δ' οἱ μὲν ἐχέοντο περισταδόν, ὥς τε μέλισσαι
Σιγκλίδος. ἣν γὰρ ἀγὼν ἀσσοτέρω πελάσαι.
Οἱ δ' ἱεροῖς προθύροισι περιστείνοντο ῥέοντες,
Οὔασιν ἠδὲ ποσὶν ἴσον ἐπειγόμενοι.
Ἄλλαι δ' αὖτ' ἀγοραί τε πολυχιλέες θ' ἅμ' ἀγυιαί,
Ποσσὶ κροαινόμεναι, πέμπον ἐμοῖσι λόγοις.
Αἱ δ' ἄρ' ἀφ' ὑψηλῶν τεγέων εὔκοσμον ἄκουον
Ἁγναὶ παρθενικαί, κλῖνον ἅμ' ἐσθλογάμοις.
Καὶ τόδε νυκτὸς ἄθυρμα. διακρίδον ἵστατο λαὸς
Μύθων ἡμετέρων εὐσεβίην ποθέων.
Ὃς μὲν δὴ χθαμαλὸν γὰρ ἐπίδρομον ἤτε μῦθον.
Οὐ γὰρ ἄνω νεύειν ἤθελεν, οὐδ' ἐδάη.
Αὐτὰρ ὅ γ' ὑψιθέοντα καὶ εὔστροφον, οἷσι μεμήλει
Βένθε' ἀνιχνεύειν ἀμφοτέρης σοφίης,
Ξείνους θ', ἡμετέρους τε, βοὴ δ' ἑκάτερθεν ὀρώρει
Ἑλκομένοιο λόγου μαρναμένοισι πόθοις.
Αὐτὰρ ἐμοὶ στομάτων τριὰς ἐξῆρχεν ἡ μονόσεπτος
Λαμπομένη τρισσοῖς κάλλεσιν ἑνομένοις,
Φωνῇ τε στιβαρῇ, καὶ πνεύματος αἰθομένοιο
Οἴδματι, καὶ μύθων ἅλμασιν ἀντιπάλων.
Καί ῥ' οἱ μὲν πάλλοντο, καὶ ἤνεον, οἱ δὲ σιωπῇ
Θάμβεον, οἱ δὲ λόγων τρύζον. ἔθ' οἱ δὲ νέον
Θνησκούσης ὠδῖνος ἀναυδέος. οἱ δὲ μάχοντο
Οἷα καθισταμένου κύματος ἐξ ἀνέμων.
Πάντας δ' εὐεπίῃ κατεκήλεον, εὐφραδίαις τε,
Καὶ μύθων ἱερῶν ἴδμονας εὐσεβέων.
Ἡμετέρους τε, νόθους τε, καὶ οἳ μάλα τηλόθι μάνδρης
Τλήμονες εἰδώλων λάτριες ἀνδρανέοι.
Ὡς δὲ βότρυς λιαρῇσιν ὑπ' ἀκτίνεσσι μελαγχθείς,
Οὔτ' ὄμφαξ καθαρῶς, ἠρέμα λυόμενος,
Οὔθ' ὅλος ὡραῖος δή, τὸ μὲν μέλας, ἄλλο δ' ἐρυθρός,
Ἄλλο δ' ἄρ' αἰθαλόεις, ὄμφακα δ' ἄλλο ἔχει,
Ὣς οἳ δηριόωντο πεπαινομένης κακότητος,
Ἤδη καὶ λιπαρῆς γάθεον εὐρυτέραις.
Ταῦτ' ἔχον. ἐκ δέ μοι ὕπνον ἀπὸ βλεφάρων ἐτίναξε
Γῆρυς ἀλεκτρυόνων, ὧδε δ' ἅμ' ἀναστασίαν.
Φάσμα δὲ φάσματος εἶχον ἐπὶ χρόνον, αὐτὰρ ἔπειτα
Καὶ τὸ φύγε, κραδίην ἧκα μαραινόμενον.
Μοῦνον δ' ἄλγος ἔμεινεν ἐμοί, καὶ γῆρας ἀνιγρόν.
Ὤ μοι ἐμῆς τριάδος, ὤ μοι ἐμῶν τεκέων.
Ὦ φθόνε, τί πῆμ' ἔοργας. ἔχεις τόδε, ἄλλο χέρειον
Μή τι βάλῃς ἐπ' ἐμῷ δυσθανέϊ βιότῳ,
Ἡ μὲν δὴ πολλοῖσιν ἀγαλλομένη, μεγάλοις τε
Κάλλεσι δαιδαλέοις ἡ βασίλεια πόλις,
Νηοῖς οὐρανίοισιν ἀγάλλεται ἔξοχον ἄλλων.
Νηοῖς, τοῖς ποτ' ἐμοῖς, νῦν γε μὲν ἀλλοτρίοις.
Σὺν τοῖς, καὶ μεγάλαυχον ἕδος χριστοῖο μαθητῶν,
Πλευραῖς σταυροτύποις τέτραχα τεμνόμενον.
Ἀλλ' οὐ τόσσος ἐμοί γε πόθος καὶ ἄλγος ἐκείνων,
Ὅσσος ἀναστασίης, βηθλεὲμ ὑστατίης.
Ἣ μὲν πόλλ' ἐμόγησε καὶ εἰν ἁλί, καὶ κατὰ γαῖαν,
Ἐχθροῖς καὶ φιλίοις, ποιμέσιν ἠδὲ λύκοις,
Νούσῳ τε στυγερῇ, καὶ γήραϊ καμπυλόεντι.
Οὔτι δὲ πρόσθεν ἐμοὶ τοῖον ἐπῆλθεν ἄχος.
Οὐ τόσον ἀσσυρίοισιν, ὅτ' ἤγετο τηλόθι πάτρης
Λαὸς δυσσεβίης, νηὸν ἔκλαυσε μέγαν,
Οὐδὲ μὲν οὐδὲ κιβωτόν, ὅτ' ἀλλοφύλοισιν ἐμίχθη,
Οὔτ' ἰακὼβ τὸ πάρος υἷα κλαπέντα φίλον,
Οὐ λὶς ἠϋγένειος ἐπακτήρεσσι δαμέντας
Σκύμνους, οὐδ' ἀγέλην βουκόλος ὀλλυμένην,
Οὐδὲ φιλοξείνοιο φυτοῦ καθύπερθε καλιὴν
Ὄρνις ἀφεὶς ἀέκων, ἢ πολύπους θαλάμην,
Ὅσσον ἐγὼ νεόπηκτον ὀδύρομαι εἰσέτι καὶ νῦν
Νηόν, ὃν ἄλλος ἔχει καρπὸν ἐμῶν καμάτων.
Εἴ ποτε σεῖο λάθοιτο ἐμὸν κέαρ, ἤ τέ τι γλῶσσα
Πρόσθε φέροι παρ' ἐμοί, χριστὸς ἐμεῖο λάθοι.

Πολλάκι καὶ μεγάλων θυέων δίχα, οὐδὲ τραπέζης,
Λαὸν ἀναστασίης ἤγειρα τῆλε μένων,
Στήσας ἐν πραπίδεσσιν ἀσώματον ἔνδοθι νηόν,
Δάκρυ ἐπισπένδων φάσμασι θειοτέροις.
Ἄζυγες, ὑμνοπόλοι τε, χοροστασίαι τ' ἐρατειναὶ
Ξείνων ἡμεδαπῶν ἐξ ὀπὸς ἀντιθέτου,
Χῆραί τ', ὀρφανικοί τε, ἀλήμονες, ἀδρανέοντες,
Δεδιότες πρὸς ἐμὰς ὥς τε θεοῦ παλάμας,
Οἶκοί τε γλυκεροί, γηροτρόφοι, οὓς ποτ' ἔγωγε
Λείπομαι, οὐδ' ἐθέλων ὑμετέρης φιλίης.
Εἰ δέ τι που καὶ ἐμεῖο πολυτλήτοιο λέλειπται
Μνήσης ἐν ὑμετέροις, ἠδὲ χάρις τριάδος.
Πολλοὶ γὰρ καιροῖσιν ἐπίῤῥοπον ἦτορ ἔχουσιν,
Ἐν δὲ μέσοις αἰδὼς ὄμμασι κουφοτέρων.
Κεῖνο γε μὴν ποθέω στῆναι τριὰς, αἰὲν ἄληστος
Ψυχαῖς ἀρτιφύτοις σῳομένοις θεότης.
Χαίρετε ὦ Βασιλῆες ἐμῶν παθέων ἐπίκουροι.
Χαῖρέ μοι αὐτολίη καὶ δύσι μαρναμέναι.
Χαίρετέ μοι ἱερῆες ἐπ' ἀλλήλοισιν ἰόντες.
Χαῖρε πρόεδρε τύφε, χαῖρε πόλις μεγάλη.
Αὐτὰρ ἐγὼ χθονίων μὲν ὑπέρτερός εἰμι θοώκων.
Ἱμείρω δὲ μόνου κύδεος ἀθανάτου.
Ἀλλὰ καὶ σάω με φίλη τριάς. ὑστάτιον δὲ
Ὀψόμεθ' εὖτε θεοῦ ἁγνῆς θῶκος ἀναστασίης.
Γρηγορίου γένος οὗτος ἀναστασίην ποθέοντος,
Τῆς ποτέ μιν φθονερὴ νόσφισεν ἀδρανίη.

ΠΕΡῚ ΤΩ͂Ν ΤΟΥ͂ ΒΊΟΥ ΔΙΑΦΟΡΩ͂Ν, ΚΑῚ ΚΑΤᾺ ΨΕΥΔΙΕΡΈΩΝ.

Ζωγράφος ἐστὶν ἄριστος, ὃς ἐν πινάκεσσι χαράσσει
Μορφὰς ἀτρεκέας, ἔμπνοα δερκομένας.
Οὐχ ὃς χρώματα πολλὰ καὶ εὔχροα μὰψ ἀναμίξας,
Λειμῶνα γραπτὸν δείκνυσιν ἐκ πινάκων.
Νηῦς δέ που ποντοπόρεια ἐπήρατος, οὐ πρασίμοις
Κάλλεσιν, οὐ πρύμνης ἄνθεσι λαμπομένη,
Ἀλλ' ἣν ναυπηγοῖο χέρες γόμφοισιν ἄρισται
Δῆκαν πηξάμεναι κύμασι θαρσαλέην.
Καὶ στρατὸς ἐστὶν ἄριστος ἀρήϊος αὐτὶ καλοῖο,
Καὶ δῆμος κεγλάδης δεύτερος εὐπαγίος.
Ὣς δὲ βίων βροτέων, ὁ μὲν ἄμβροτος, ὅν τινα Χριστοῦ
Τάρβος ἄγει, πλεκτοῦ ἀλλότριον κακίης,
Ἔμπεδον, ἀσυμφέλικτον, ἀπενθέα. ὃς δὲ κάκιστος,
Ἔνδοθεν ἀδρανέων, ἔκτοθε κάρτος ἔχων,
Ὠκύμορον, φρενοπλῆγα ὁμοίιον, οἷσιν ἅπαντα
Διωκόντα τέλει ἀστατέουσι σοφῶν,
Τοῖος καὶ Χριστοῖο μεγακλέος ἀργηστῆρσι
Θυμός. ὁ μὲν βροτέου λάτρις ἀεισθενέος,
Κλινόμενος καιροῖσι, δόναξ πολύκαμπτος ἀήταις,
Παντοίης κακίης οὐκ ἄκος, ἀλλὰ τύπος.
Αὐτὰρ ὅ γε τρομεροῖσι καὶ ἐναγέσιν παλάμῃσι
Δῶρον ἄγει, Χριστοῦ σαρκὶ χαριζόμενος,
Καὶ μεγάλοις παθέεσσιν, ἅπερ θεὸς ἐνθάδ' ἀνέτλη,
Ῥύσιον ἀρχεγόνων ἡμετέρων παθέων.
Ὦ ζώει μοῦνον, καὶ τέρπεται. ὥρα κιάζει
Θυμὸν ἀεὶ χθονίων ἔνδον ἀνιστάμενος.
Ἀνθρώπων δ' ἀγαθοῖσι δέδοικε φρένα, τοῖς δὲ κακοῖσι
Κάμπτεται, ὅσσα λίθος κρυόεις ἀδάμας.
Οὐδ' ὅ γ' ὑποστρέφεται πλούτου, μεγάλων τε θοώκων,
Οὐ δόξης βροτέης ἐνθάδε συρομένης.
Οὐδὲ δέρην βασιλῆος ἔχων βλοσυροῖο λέοντος,
Κλίνει κεφαλὴν ἔνδοθι δουλοσύνῃ.
Νεκροβόρος, δολόμητις, ἀτάσθαλος, ἄλλος ἐν ἄλλοις
Παντοδαποῖς κακίης εἴδεσι κλεπτόμενος.
Ἀλλὰ νόον καθαροῖσι νοήμασιν αἰὲν ἀέξων,
Ἤδη καὶ τριάδος ἅπτεται οὐρανίης,
Ἧς τύπον ἐστήριξεν ἐνὶ πραπίδεσσιν ἑῇσι,
Κῦδος ἓν ἐν τρισσοῖς κάλλεσι δερκόμενος.
Καὶ λαὸν θυέεσσιν ἁγνοῖς θεοειδέα τεύχων,
Ὑστάτιον ψυχῆς θύματ' ἄναιμα φέρει.
Τῶν μὲν ἐγὼ ποθέων εἷς ἔμμεναι, οὐκ ὑπεκδύσω
Ἤδη καὶ προθύρων ἔνδοθι ταρσὸν ἔχων.
Ὡς ἴδον ἄσυλα ἔργα, κακορραφίην τ' ἀλεγεινήν,
Ἂψ ἀναχασσάμενος, ἐκτὸς ἔθηκα πόδα.
Ἦ μὴν πόλλ' ἐμόγησα καὶ ἐν ἄλλοισιν ἀπίστοις,
Οἷσιν ἐνὶ γλώσσης ἦχος ἔθ' ἡμετέρης.
Λαοῦ ἐμοί, κείνων δὲ τριὰς θεότης σκέπανος.
Τοίοις ἀλλήλους ξεινίσαμεν ξενίοις.
Ἀλλὰ καὶ ὣς ὑπόειξα λιπὼν λόγον οὐκέτ' ἄπιστον,
Πάντοθεν ἡμετέροις κύμασι βαλλόμενος.
Κεῖμ', ἐπίβαιν', ἐπίβαινε κακὲ φθόνε. ἦ τάχα δή σε
Σχήσω, καὶ πυμάτοις πείρασι κευθόμενος,
Καὶ θηρὸς ζοφεροῖσιν ἐνὶ σπλάγχνοισιν ἐερχθεὶς
Κήτεος εἰναλίου, ὥς ποτ' Ἰωνᾶς ἔδυ,
Σῶμα μὲν ἐν σπλάγχνοισι, νόος δ' ἀδέτοισιν ἐρωαῖς
Βήσεται οἷ κ' ἐθέλει, καί περ ἐεργόμενος.
Τοῦ τ' ἀγαθῶν μόνον ἐστ' ἐλεύθερον, οὔτε καθεκτόν,
Οὔθ' ἑλετόν, Χριστῷ οἷς ἀναειρόμενος.
Οὐ θνητοῦ βασιλῆος ὁμέστιος, ὡς τὸ πάροιθεν
Γρηγόριος θυλάκου ἦρα φέρων ὀλίγην,
Κάμνων ἐν μέσσοισι κατηφιόων καὶ ἄναυδος,
Ἄπνοον ἆσθμα φέρων, δούλια δαινύμενος.
Οὐχ ἕδρῃ τίσει με δικασπόλος, ἠὲ συνέδρων,
Ἠὲ χαμαιπετέϊ ποδύματι μέτρα οἴμων.
Οὐδὲ χέρας φονίας προσπτύξομαι. οὐδὲ γενείων
Δράξομ', ὡς τ' ὀλίγης ἀντιτυχεῖν χάριτος.
Οὐδ' ἱερὴν ἤδη δαῖτα γενέθλιον ἢ θανόντος,
Ἤ τινα νυμφιδίην σὺν πλεόνεσσι θέων.
Πάντα τὰ μὲν γναθμοῖσιν ἐλώρια, τὰ δ' ἀξοπαδοῖς
Θήσομαι ἁρπαλέαις Βελιάρου παλάμαις.
Ὀψὲ δὲ φορτίδ' ἄγων, τάφον ἔμπνοον, ἂψ ἤδη δῶμα
Ἕλξω τὴν μογερὴν γαστέρα τειρόμενος,
Ἆσθμα κόροιο φέρων. ἄλλην ἤδη δαῖτα παχεῖαν
Σπεύδων, πρὶν προτέρην ὕθειν ἀποσκεδάσαι.
Οὐδὲ μὲν οὐδὲ πρόεδρος ἐὼν ἱεροῖς ἐνὶ χώροις,
Ἢ μόνος ἢ πλεόνων εἷς ἐν ἀγειρομένων,
Φθέγξομαι οὔασι τερπνά, τὰ πνεύματος ἔνδοθι ῥίψας,
Ὡς κεν ἔοιμι πρόφρων, φίλτρον ἔχων πλεόνων.
Τερπόμενός τε κρότοισι, καὶ ἐν θεάτροισι χορείων,
Κρημνοβάτης ἵππων αὐτικορυσσομένων,
Ἀθλοφόροισιν ὁμοῖα, πολυγνάμπτοισί τε λώβαις,

Ἢ καὶ

Ἦ καὶ μαινομένοις αὐτίπαλ' ἡνιόχοις,
Οὐχ ὅλον αἰχμάσας, οὐ στόματος αἰθομένοιο
Λύσσαν ἀποψύξας, οὐ χθρὰ μαινομένην
Γᾶσιν ἐπ' ἀλλοτρίοισι λόγου δεσμοῖσι πεδήσας,
Οὐ ψευδῆ κραδίης δόξαν ἀποσκεδάσας,
Οὐ τύφον οἰδαίνοντα διδάγμασιν ἐς χθόνα ῥίψας,
Οὐ πηγαῖς δακρύων δάκρυον ἐκκαλέσας,
Ἀλλ' ἓν φάρμακον αἰνὸν ἔχων θηρήτορα τιμῆς
Θυμὸν, καὶ θανάτου φάρμακον ἀτρεκέως.
Οὐδέ τί που συνόδοισιν ὁμόθρονος ἔσσομ' ἔγωγε
Χηνῶν ἢ γεράνων ἄκριτα μαρναμένων.
Ἔνθ' ἔρις, ἔνθα μόθος τε, καὶ αἴσχεα κρυπτὰ πάροιθεν
Εἰς ἕνα δυσμενέων χῶρον ἀγειρόμενα.
Τῶν δὲ γὰρ εἵνεκ' ἔγωγε μέσος χθαμαλοῖσι κάθημαι
Ἴχνος πνεύων αὐτὸς ἄνουσος ἐών.
Οὐ γὰρ ἐμῆς πολιῆς παίζειν, καὶ λάτριν ἀεικῶς
Ἔμμεναι αὐτὶ θρόνων, ὧν πέρι μαρνάμενοι
Σχίζονται, καὶ κόσμον ὅλον τέμνουσιν ἀθέσμως.
Αἴ αἲ τῶν μεγάλων ἡμετέρων ἀχέων.
Ταῦτα μὲν, οἷσι φίλον, καὶ κερκώπων κράτος εἴη.
Αὐτὰρ ἐγὼ Χριστοῦ πλήσομαι ἀτρεμέων.
Εἰ δὲ κακὸν λαοῖο θεόφρονος ἡνία ῥίψαι,
Ἔστωσαν κεφαλαὶ τῶν ἀποσεισαμένων,
Ὄφρα καὶ ὡς θοὸν ἵππον ἀπηλυτῆρα χαλινῶν
Θυμὸς ἄγοι κρημνοῖς, ἢ σκοπέλοισι φέρειν.
Εὔχομαι, ὡς καὶ ἅπαντα θεῷ φίλα τοῖσδε μεμήλοι.
Εἰ δὲ χερειότερα, πλέθειν ἑκὰς ἔχειν.

ΕἸΣ ἘΠΙΣΚΟΠΟΥΣ.

Θυσίας πέμποντες ἀναιμάκτους ἱερῆες,
Ὦ ψυχῶν ταμίαι μεγακύδεες, ὦ μεγάλοιο
Πλάσμα θεοῦ χείρεσσιν ἐν ὑμετέρῃσι φέροντες,
Ὦ θεὸν ἀνθρώποισι μίγ' ἔξοχον εἰς ἓν ἄγοντες,
Ὦ κόσμοιο θέμεθλα, βίου φάος, ἕρμα λόγοιο,
Μυστοπόλοι ζωῆς ἀτελευτήτοιο φαεινῆς,
Χριστοφόροι, θώκοισιν ἐνεδριόωντες ἀρίστοις,
Ὑψηλοί, θεάτροισι γεγηθότες εὖ περιπέτεσσι,
Σκηνοβάται, κόλποισιν ἐφεστεῶτες ξυνέεσσιν,
Ἀδρανέως χάσκοντες ἐν ἀλλοτρίοισι προσώποις,
Εὐσεβίης ὅσα δ' ἐντὸς, ὁμοῖα πᾶσιν ἔχοντες,
Ὑμεῖς μὲν παίζοιτε, τὰ πρὶν καὶ παίζετ' ἀεικῶς, (φρά-
Καὶ σοβαρὸν φθέγγοισθε, τὰ δ' ἔρδετε ὡς μάλ' ἐλα-
Αὐτὰρ ἐγὼν, εἰ καί με κακὸν καὶ ἀνάρσιον ἄνδρα
Πάντες ὁμοῦ θέντε, χερὸς δ' ἄπο τῆλε δίοισθε
Ὑμετέρης, βάλλοντες ἐπασσυτέροισιν ὀϊστοῖς,
Ἀμφαδίοις, κρυπτοῖς τε, τόπερ καὶ φίλτερον ὔμμιν,
Ἀλλ' ἔμπης τά με θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
Φθέγξομαι, οὐκ ἐθέλων μὲν, ἀτὰρ λόγον ἐκ τόδε ῥήξω
Ψυχῆς, ὡς ὅτε κῦμα βιώμενον ἐκθύει λάβρον
Πνεύματι, καὶ σήραγγας ὑποτρέχον, οὐκ ἐπίοπτα
Καγχλάζει, καί που τί διεκπίπτει δαπέδοιο,
Ῥηγνυμένης ὠδῖνος ἀνὰ στόμα. τοῖα πέπονθα.
Οὐ δύναμαι κεύθειν ἐντὸς χόλον. ἀλλὰ δέχεσθε
Εἴ ποτε καὶ δακέθυμον ἐρῶ λόγον, ὥς μ' ἀνίης.
Φάρμακον ἄλγεος ἐστὶ καὶ εἰς μῦθον ἐναπεῖν.
Σῶμα μέγα Χριστοῖο, τὸ τίμιον εὖχος ἀνάκτος,
Λαὸς ὅλης γαίης βασιλήϊος, ἔθνος ἄπιστον,
Ἦν ὅτε ἦν. νῦν αὖτε θεοῦ κτέαρ ἔνθα καὶ ἔνθα
Σείεται, οἷά τε κῦμα πολυσμαράγοιο θαλάσσης,
Ἠὲ φυτὸν ζαμενέσσι πιεζόμενον ἀνέμοισι.
Λαὸς ἐσθ', ᾧ θεὸς ἦλθεν ἀπ' οὐρανίοιο θοώκου,
Κῦδος ἐὸν θνητοῖσιν ἐνὶ σπλάγχνοισι κενώσας,
Καὶ μίχθη μερόπεσσι, θεὸς βροτὸς εἰς ἓν ἀγερθεὶς,
Καὶ μέγαν ὤνον ἔδωκε παθὼν δέμας, αἷμά τε θεῖον
Ῥύσιον ἡμετέρης κακίης χέεν. ἀλλά τε πολλὰ
Θύματα. σοῦ μετέπειτα λόγον σπείραντας ἅπασι,
Καὶ γλυκερὸν θανάτοιο πικροῦ χέρος ἀντιάσαντας,
Ὥς κε λόγῳ τίσωσι λόγον θεὸν, αἵματι δ' αἷμα.
Τίς δ' ἐνίει τόδε σῶμα; πόθεν τόσον ἄχθος ἔμοιγε;
Πῶς δέ τε σῦς μονόφορβος ἐμὴν διελήσατ' ἀλωήν;
Πῶς μιὴν σκοτίεσσα τόσον κλέος ἀμφεκάλυψε;
Δυστήνας, κακοεργὸς, ἐπεὶ μερόπεσσι μεγαίρων
Ἔξεστι τοῖ. ὅτε πρῶτον Ἀδὰμ βάλεν ἐκ παραδείσου,
Ζωῆς τ' ἀθανάτης κλέψας δυσλήμονι καρπῷ,
Καὶ πολλοῖς κρατεροῖς τε τινάγμασιν αἰὲν ἀτίζων,
Οὐ δύνατ' ὡς ποθέεσκεν ὅλον γένος, οἷσι δίδοισι
Πνὺξ βαλέειν, σωτὴρ δὲ λόγου, καὶ πυρσὸς ἀρθεὶς,
Πᾶσαν ἐπέδραμε γαῖαν ἀοίδιμος. οἱ δὲ διῶκται,
Καὶ πλέον ἐσάειξαν ἀεθλοφόροισι παγέντας.
Δεύτερον εὗρατο μῆχος ἐπίκλοπον, ὡς στρατὸν ἔγνω
Καρτερὸν, ἐν γνήσιν ἑλοίιον ἔμβαλεν ἔχθος.
Καὶ γὰρ ἀγοῦ πίπτοντος, ὅλος στρατὸς ἐς χθόνα νεύει.
Πονοπόρον δέ τε νῆα κακὸς περ ἤρειξεν ἀήτης,
Ἢ σκοπέλοισιν ἔαξε, κυβερνητῆρος ἄτερθεν.
Ὡς δὲ δόμους τε, πόλεις τε, χοροὺς, βόας, ἅρματα, πῶϋ,
Ἐλάψεν αἰδρείῃ σημάντορος. αἰδέσι μῦθος
Ἡμετέρην κακίην, ὁπόσοι λαοῖο πρόεδροι.
Πρόσθε μὲν ἀνδροφόνοισι φυγῆς πτολίεθρα τέτυκτο,
Καὶ χῶρός τις ἔην ἀποπομπαίοις θυέεσσι,
Καὶ τις καὶ πικρῆς καὶ αἵματος ὑστατίοισιν
Ἤμασιν, οἱ Χριστοῖο κακόφρονες ἐξεκρίνασαν
Μισθὸν ἀτιμάστοιο κακὸν καὶ τυτθὸν ἔχοντες.
Οὔ τι μὲν ἐξ αἴκοντος, ἐπεὶ θεὸς οὐδὲν ἀλιτρὸς
Χαίρεσιν, εὖτ' ἐθέλησιν. ἀτὰρ γε μὲν ἐξεκρίνασαν.
Νῦν δ' ἕνα χῶρον ἴσασιν ἀτασθαλίης τε μόρου τε
Πάντες, ὅσοι ξεῖνοί τε, καὶ ἕρκεος ἡμετέροιο,
Τὸ σεπτὸν τοπάροιθε σοφῶν ἕδος, ἕρκος ἀρίστων,
Βῆμα τόδ' ἀγγελικοῖσι χοροστασίῃσι τεθηλός,
Κιγκλίδα τὴν μεσάτην κόσμων δύο, τῶν τε μενόντων,
Τῶν τε περιπταμένοιο, θεῶν ὅρον, ἡμερίων τε,
Ἦν ὅτε ἦν νῦν αὖτε γελοῖον, ἡνίκα πᾶσιν
Ἐντὸς ἀκληΐστοιο θύρης δρόμος, ὥς δοκέω μοι
Κήρυκος βοόωντος ἐνὶ μεσάτοισιν ἀκούειν.
Δεῦρ' ἴθ' ὅσοι κακίης ὑποδέκτορες, αἴσχεα φωτῶν,
Γάστορες, ὑβριστεύοντες, ἀναιδέες, ὀφρυόεντες,
Ζωροπόται, πλάγκτοι, φιλοκέρτομοι, ἀβροχίτωνες,
Ψεῦσται θ', ὑβρισταί τε, θεοὺς ἐπίορκον ὀμοῦντες,
Δημοβόροι, κτεάτεσσιν ἐπ' ἀλλοτρίοισιν ἀάπτους
Βάλλοντες παλάμας, φθονεροί, δολόεντες, ἄπιστοι,
Θῶπες ὑβριόεντων, χθαμαλοὶ χθαμαλοῖσι λέοντες,
Ἀμφίβιοι, καιροῖο πολυτρόπου θεράποντες,

Πουλύπολις πέτροισιν ἑεσσάμενοι χρόα μύθῳ,
Ἀστίγαμοι, ζείοντες, ἐπιχνοάοντες ἴουλον,
Ἢ κλέπτει φυσικοῖο πυρὸς, φαίνουσιν ἔχοντες
Ἠρίην φιλότητα, ὅτ' ἀμφαδίην ἀλέεινε,
Νηΐδες οὐρανίων, νεολαμπέες, αἰθαλόεντες
Πνεύματι αἰγλήεντι, συνερχομένης κακότητος.
Δεῦρ' ἴτε θαρσαλέοι, πᾶσι θρόνος εὐρὺς ἑτοῖμος.
Δεῦρ' ἴτε δεξιτεροῖσι νέας κλίνοι τε τίνοντας,
Πᾶσι περιφρονέως καὶ μὴ ποθέουσι τέτανται.
Μαίνα πάλιν ξεῖνος ὄμβρος, ἅπας κόλποισι λέγοιτε,
Ὃς πλέον, ὅς τ' ὀλιγεῦς ἐμὴν χάριν. εἰ δ' ἐθέλοιτε,
Μὴ δ' ἁγίῃ φείδεσθε θυηδόκου ἤματος ἀργοῦ.
Ἤ τάχα καὶ παλάμῃσιν ἐν ἀπλήστοισι πύθοιτο.
Ξυνὸς μὲν πάντεσσιν ἀὴρ, ξυνὴ δέ τε γαῖα,
Ξυνὸς δ' οὐρανὸς εὐρὺς, ἅ τ' οὐρανὸς ὄμμασι φαίνει,
Ξυνὴ δ' αὖ πόντοιο χάρις, ξυναί τε θόωκοι.
Θαῦμα μέγ', οὐ Σαοὺλ χάριτος ξένος, ἀλλ' ὑποφήτης.
Μή τί τις ὢν ἀροτὴρ, μὴ τέκτων, μὴ σκυτοεργὸς,
Μὴ θηρῶν μεθέπων, μὴ τ' ἔμπυρον ἔργον ἐλαύνων,
Τῆλε μένοι, μὴ δ' ἄλλον ἔχοι σημάντορα θεῖον.
Κρεῖσσον γὰρ κρατέειν, ἢ κρατέοντι πιθέσθαι.
Ἀλλ' ὁ μὲν ἐκ χειρῶν πέλεκυν μέσαν, ὃς δ' ἄρ' ἐχέτλην
Ῥίψας, ὃς δὲ ἄγρην, ὃς ἀκόνας, ὃς δὲ πυράγρην,
Ἐνθάδ' ἴοι, θείην δὲ περιθλίβοιτο τράπεζαν,
Στεινόμενοι, σεύοντες, ὁ δ' ἄλκιμος ἄλλον ἐλαύνοι.
Πολλάκι καὶ τὸν ἄριστον ἐνιδρύσαντα θρόνοισι
Γηραιὸν, σάρκεσσι τετρυμένον, οὐρανοφοίτην,
Κόσμον ἀτιμάζοντα, θεοῦ μετὰ μοῖραν ἔχοντα,
Καὶ νίκην ἐν ζωοῖσι, θυηπόλον ἐσθλὸν ἄνακτος.
Εἰκὼ μέν τις ἔγραψεν ἀπ' εἰκόνος ἀρχετύποιο
Στησάμενος προπάροιθε, πίναξ δ' ὑπεδέξατο μορ-
Ὑμᾶς δ' ἀθρέων τις, ἐναντίον οἶμον ὁδεύοι. (φήν,
Καὶ τόδε μοῦνον ἔναρ ἀφ' ὑμετέρης κακότητος.
Κῆρυξ μὲν δὴ τοῖα βοήπυος. αὐτὰρ ἔγωγε
Δείδια μὲν Μωσῆος ἀγακλέος οἷον ἄκουσα,
Ὃς μοῦνος νεφέλης εἴσω θεὸν ἔδρακεν αὐτὴν,
Τοὺς δ' ἄλλους ἐκέλευσεν ὑπὸ προπόδεσσι μένοντας,
Ἁγνοτάτους ἁγνοῖσιν ἐν εἵμασι καὶ τρομέοντας,
Μούνης εἰσαΐειν θεῖης ὀπός. οὐ γὰρ ἄμεινον
Οὐδ' αὐτοῖς θήρεσσι πατεῖν πέδον οὐρανίοιο,
Μὴ καὶ ῥηγνυμένοισιν ὑπὸ σκοπέλοισι δαμεῖεν.
Δείδια δ' αὖ παίδων Ἀαρὼν μόρον, οἵ ῥα θυηλὰς
Θρέψαν ὕθι ξείνοιο πυρὸς, ξείνως καὶ ὄλοντο.
Αὐτίκα καὶ θυέων χῶρος θανάτοιο τελέσθη.
Καὶ παῖδες πρὶν ἐόντες Ἀαρὼν μεγάλοιο, δάμασθεν.
Ὣς δὲ καὶ Ἠλείδῃσιν ἐπήγαγε λυγρὸς ὄλεθρος.
Ἠλείδαις, ὅτι μάργον ἔχον νόον. οὐ γὰρ ἔβαλλον
Οὐχ ἱερὰς παλάμας ἱερῶν καθύπερθε λεβήτων.
Οὐδὲ μὲν οὐδ' Ἠλεὶ χόλον ἔκφυγεν, ἀλλὰ καὶ αὐτὸν
Οὐχ ὁσίη γαστὴρ παίδων ἐχάλεψε δίκαιον,
Καὶ πρὸ ἀεὶ βρίσαντα ὀνειδείαις ἐπίεσεν.
Εἰ δὲ τόσα τοῖσιν ἁμαρτάσι μῆνις ἔπεστιν,
Ὁσσατίης δέος ἐστὶν ἔοι πλείονεσσι κακοῖσι,
Καί σε κιβωτὸν ἄνασσαν, ὃς ἅψατο χερσὶ βεβήλοις
Κλινομένην, θάνεν αἶψα, θεοῦ δέ τε νηὸν ἔθηκεν

Ἄψαυστον παλάμῃσιν, ἐράσματα τἄκτοθι τοίχων,
Τοίηκεν ἀΐξω, πίπτω δ' ὑπὸ σεῖο πόδεσσι
Χριστὲ ἄναξ, μή μοι τις ἀπαντήσειεν αὖτις
Χαζομένῳ. κέκμηκα λύκοις δηλήμοσι ποίμνης,
Ποιμέσι μαρνάμενος δηρὸν χρόνον. ἐκ μελέων δὲ
Ῥικνῶν, ἔπτατο θυμός. ἀναπνείω δ' ὀλίγον τι
Τειρόμενος καμάτοισι, καὶ ἄλγεσιν ἡμετέροισιν.
Ὧν οἱ μὲν θῶκον ἱερῶν πέρι δῆριν ἔχοντες,
Ἀντία κυμαίνοντες, ἐπασσυτέροισι κακοῖσι
Βαλλόμενοι, βάλλοντες, ἀτερπέες εἰσὶ μαχηταὶ,
Εἰρήνην βοόωντες, ἐφ' αἵματι κυδιόωντες,
Ὡς ὄφελον γε θάλασσαν ἀναπλήσαιεν αὐτήν,
Ἔνδικον, ἑδράσσαν, ἐφ' ἕδρῃ πίστιν ἔχοντες.
Οἱ δ' ἄρα τοῖς ἑκάτερθε μεριζόμενοι, κλονέουσιν
Ἀντολίην τε δύσιν τε, θεὸς δ' ἐς σάρκας ἔληξεν.
Ὧν ἄπο μαρναμένων, καὶ οὔνομα καὶ μόθος ἄλλοις.
Παῦλος ἐμὸς, Πέτρος δὲ τεὸς, κεῖνος δέ τ' Ἀπολλὼς
Εἰσὶ θεοί. χριστὸς δὲ μάτην ἥλοισι πέπηκται.
Οὐ γὰρ ἀπὸ χριστοῖο καλεύμεθα, ἐκ μερόπων δὲ,
Κεῖνο καὶ χείρεσσι καὶ αἵματι κῦδος ἔχοντες.
Τόσσος ἔρως φρένεσσιν ἐπέκλυσεν ἡμετέροισιν,
Ἢ δόξης κενεῆς, ἢ κτήσιος, ἢ φθόνος αἰνὸς,
Τηκεδανὸς, κακόχαρτος, ἐναίσιμον ἄλγος ἔχουσι.
Καὶ πρόφασις ξυνὴ δὲ τὸ δ' ἀτρεκὲς, ἔχθος ἄπιστον.
Διπλόος οὗτος ἕκαστος. οἷς λύκον ἀμφικαλύπτων,
Καὶ χαλεπὸς λοχόων πικρὴν ὑπόδεσσιν ἐδωδήν.
Τοῖα μὲν ἡγητῆρες, ὁ δ' ἕσπεται ἐγγύθι λαός.
Πρόφρονες ἐς κακίην, καὶ ἡγητῆρος ἄνευθεν.
Οὐ δέ τις ἔστ' ἀγαθοῖο διάκρισις, οὐδὲ κακοῖο,
Οὐ πινυτῆς πολιῆς, οὐκ ἀφραδέος νεότητος,
Οὐ μογεροῦ βιότοιο θεουδέος, οὐ μαλακοῖο.
Εἷς νόμος ἐστὶ, κάκιστον ἔχειν πλέον. ὡς ἀπόλοιτο
Κεῖνος ἀνὴρ, ὃς πρῶτος ἀνήγαγεν ἐνθάδ' ἀλιτρὸς.
Αὐτὸς ὁ κόσμος ἴοι, αὐτὸς θεὸς, ὅσσα τ' ἄριστοις
Ἔαυτοῦ ὑστατίοισιν ἐν ἤμασιν ἀμφιτάλαντα.
Οἱ δ' ἀγαθοὶ, μογέουσιν ἐπ' ὤσια. τοῖα δικασταῖς
Εὔαδεν ἡμετέροισι. δίκη φυγὰς ἔνθεν ἀπῆλθε.
Ἐν δ' ἄρα πάντα πέλοι, χριστὸς, βροτὸς, ἥλιος, ἀστὴρ,
Φῶς, σκότος, ἄγγελος ἐσθλὸς, ἑωσφόρος, οὐκ ἔτι λάμπων.
Πέτρῳ δ' ἶσα φέροιτο θεοκτόνος Ἰσκαριώτης,
Καὶ Σολύμοις ἱεροῖσιν ἀλιτροτάτη Σαμάρεια.
Ἶσα δ' ἔχει χρυσός τε καὶ ἄργυρος, ἠδὲ σίδηρος.
Μάργαρος ὀκρυόεντι λίθῳ, πηγαῖς δὲ χαράδραι.
Πάντα δ' ἅμ' ἀλλήλοισι πεφυρμένα ἐς ἓν ἄγοιτο,
Ὡς ποτ' ἔην, ὅτε κόσμος ἔην πρωτόκτιστος ὕλη,
Κόσμον ἔτ' ὠδίνουσα διακρίδον οὐ βεβαῶτα.
Ἦν δ' ὅτε Μωαβίταις νηὸς μέγας οὐ βατὸς ἦεν,
Οὐδὲ μὲν Ἀμμανίτῃσιν, ἐπεὶ στρατὸν ἤκαχον ἰθύν.
Ἄλλους δ' ὑδροφόροισιν ἐνέθηκεν Ἰησοῦς,
Καὶ ξυλοφορτηγοῖσιν, ἐπεὶ ῥά μιν ἐξαπάφησαν.
Ταῦτα κακοῖς. Λευὶ δὲ γένος μεγάλοιο γέραιρεν.
Σκηνῆς γάρ μιν ἔθηκαν ἐπουρανίης θεράποντα.
Καὶ ἐνθάδ' ὅροι θυέων τε, καὶ ἔλθος, ἠδὲ πόνοιο.
Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ χρέας εἶχον ἐπ' ἔργοις,
Ὅσσα τ' ἔην νηοῖο καὶ ἔκτοθεν ἐγκονέοντες.

Κεῖνοι

Κεῖνοι μὲν τρίβοισι νόμοις ἀρετῆς προμάχιζον.
Ἡμεῖς δ' αὖ κακίῃ γῦρα θήκαμεν. ὦ θανάτοιο.
Τίς τάδε θρηνήσειε γόοις πολυίδριος ἀοιδός;
Σχέτλιοι φίλοι. λήξωμεν ἀτασθαλίῃ μογέοντες.
Ὀψέ ποτ' ἁγνίζουσι θεὸς τίνυτο θυηλαῖς.
Εἰ μὲν δὴ πεπίθοιμεν, ὀνησόμεθ'. εἰ δὲ καλύπτει
Μῦθον ἐμὸν πολιήν τε νέων θράσος ἠὲ κολοιῶν,
Οὖλον ἐπικρώζοντες ἐμοὶ νέφος ἀφραδίῃσι,
Μαρτύρομ' ἀθανάτοιο θεοῦ χορὰ, καὶ τὸ κελαινόν
Ἦμαρ, ὃ τὴν κούφην πνεῖ βόσκεται ὕστερον ὕλην,
Οὐ μὲν ἐγὼ κείνοισιν ὁμόθρονος, οὐχ ὁμοεργός,
Οὐδέ τι συμφράδμων, οὐ σύμπλοος, οὐ συνοδίτης.
Ἀλλ' οἱ μὲν προφέρουσιν ἑὴν ὁδόν. αὐτὰρ ἔγωγε
Ζητῶ Νῶε κιβωτὸν, ὅπως μόρον αἰνὸν ἀλύξω.
Αὐτὰρ ἔπειτα φύγοιμι κακῶν ἄπο τηλόθι μίμνων,
Καὶ Σοδόμων πυρόεντα πικρὸν καὶ ἀθέσφατον ὄμβρον.
Ὧν ὅδε δεσμὸς ἔχει πλαγκτὴν νόον ἐνθάδ' ἀγείρας.
Εἴσω πᾶς ὁρόων, γελόων βιότοιο θυέλλας,
Αἴδά τε καὶ πινυτῶν αἰσχρῶς κονίουσι πρόσωπα,
Αἰεί τε προτιόσσει νοήματα θεῖα χαράσσων,
Χρώμασιν οὐκ ἐπίμικτα, διαυγέα, φωτὶ πελάζων
Τρισσοφαοῦς θεότητος ἐπαγομένοισι πόθοισιν,
Ἵλαον ἀθανάτοιο θεοῦ πρὸς θῶκον ἱκοίμην,
Ἔνθά τε πάντ' ἀναφανδά. τὸ δὲ πλέον ἰσοτάλαντον
Τίμιος, ὅτ' ἐν χείρεσσι θεοῦ ζυγὸν ὀρθοδίκοιο.

ΠΡΟΣ ΤΟΥΣ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ἱερέας, καὶ αὐτὴν τὴν πόλιν.

Ὦ θυσίας πέμποντες ἀναιμάκτους ἱερῆες,
 Καὶ μεγάλης μονάδος λάτρεις ἐν τριάδι,
Ὦ νόμοι, ὦ βασιλῆες ἐπ' εὐσεβίῃ κομόωντες,
 Ὦ Κωνσταντίνου κλεινὸν ἕδος μεγάλου,
Ὁπλοτέρη Ῥώμη, τόσσον προφέρουσα πολήων,
 Ὁσσάτιον γαίης οὐρανὸς ἀστερόεις,
Ὑμέας εὐσεβέας ἐπιβώσομαι, οἷά μ' ἔοργεν
 Ὁ φθόνος, ὡς ἱρῶν τῆλε βάλεν τεκέων
Ἀγρὸν ἀεθλεύσαντα, φαεσφόρον οὐρανίοισι
 Δόγμασι, καὶ πέτρης ἐκπροχέοντα ῥόον.
Τοία δίκη μόχθον μὲν ἐμοὶ καὶ δῶμα γενέσθαι,
 Ἄστεος εὐσεβίῃ πρῶτα χαρασσομένου.
Ἄλλον δ' αὖ μόχθοισιν ἐμοῖς ἔπι θυμὸν ἰαίνειν,
 Ἀρθέντ' ἐξαπίνης θῶκον ἐπ' ἀλλότριον.
Οὔ με θεός τ' ἐπέβησε, θεοῦ τ' ἀγαθοὶ θεράποντες.
 Ταῦτα νέος συνέβη, ταῦτα θεοῦ θεράπες,
Οἳ δῆριν στονόεσσαν ἐπ' ἀλλήλοισιν ἔχοντες.
 Χριστὲ ἄναξ, οὐ μοι ταῦτα νόησε φίλα.
Οὐ γὰρ ἴης γενόμην μοίρης θρασὺς ἀσπιδιώτης,
 Οὐδ' ἔθελον Χριστοῦ ἄλλο τι πρόσθε φέρειν.
Ἀμπλακίη δ', ὅτι μηδὲν ὁμοίιον ἤμπλακον ἄλλοις,
 Μὴ δ' ὡς νηῦς ὀλίγῳ φορτίδι συμφέρομαι.
Ὡς καὶ κουφονόοισιν ἀπέχθομαι, οἵ ῥ' αὐέκαιον
 Βῆμα τόδ' οὐχ' ὁσίως κουροθέοισι φίλοις.
Ἀλλὰ τὰ μὲν λήθης κεύθοι βυθός. αὐτὰρ ἔγωγε
 Ἔνθεν ἀφορμηθεὶς, τέρψομαι ἀτρεμίῃ.
Χαίρετ' ἄμυδις, βασίλεια, καὶ ἄστεα, καὶ ἱερῆες
 Ἀσπασίως προφυγὼν, ὡς πόθεον τὸ πάρος,
Εὖτε θεός μ' ἐκάλεσσε καὶ ἐννυχίοισιν ὀνείροις,
 Καὶ πόντου κρυεροῦ δείμασιν ἀργαλέοις.
Τοιάδε καγχαλόων, φθόνον ἔκφυγον. ἐκ μεγάλου δὲ
 Χείματος, ἐν προβόρῳ πεῖσμα βάλον λιμένι.
Ἔνθα νόος καθαροῖσι νοήμασι θυμὸν ἀείρων,
 Θύσω καὶ σιγὴν, ὡς τοπάροιθε λόγον.
Οὗτος Γρηγορίοιο λόγος, τὸν θρέψατο γαῖα
 Καππαδοκῶν, Χριστῷ πάντ' ἀπολυσάμενον.

ΠΕΡΙ ΤΗΣ ΑΝΘΡΩΠΙΝΗΣ φύσεως.

Χθιζὸς ἐμοῖς ἀχέεσσι τετρυμένος, οἶος ἀπ' ἄλλων
 Ἥμην ἐν σκιερῷ ἄλσεϊ θυμὸν ἔδων.
Καὶ γάρ πως φιλέω τόδε φάρμακον ἐν παθέεσσιν,
 Αὐτὸς ἐμῷ θυμῷ προσλαλέειν ἀκέων.
Αὖραι δ' ἐψιθύριζον ἅμ' ὀρνίθεσσιν ἀοιδοῖς,
 Καλὸν ἀπ' ἀκρεμόνων κῶμα χαριζόμεναι,
Καὶ μάλα περ θυμῷ κεκαφηότι. οἱ δ' ἀπὸ δενδρέων
 Σπαθομελεῖς, λιγυροὶ, ἠελίοιο φίλοι
Τέττιγες λαλαγεῦντες, ὅλον κατεφώνεον ἄλσος.
 Πὰρ δ' ὕδωρ ψυχρὸν ἐγγὺς ἔκλυζε πόδας
Ἦκα ῥέον δροσεροῖο δι' ἄλσεος. αὐτὰρ ἔγωγε
 Τὼς ἐχόμην κρατεροῦ ἄλγεος, ὡς ἐχόμην.
Τῶν μὲν ἄρ' οὐκ ἀλέγιζον, ἐπεὶ νόος εὖτε πυκασθῇ
 Ἄλγεσιν, οὐκ ἐθέλει τέρψιος ἀντιάαν.
Αὐτὸς δὲ στροφάλιγξιν ἑλισσομένοιο νόοιο,
 Τοίην ἀντιπάλων δῆριν ἔχον ἐπέων,
Τίς γενόμην, τίς δ' εἰμί, τί δ' ἔσσομαι, οὐ σάφα οἶδα.
 Οὐδὲ μὲν ὅς τις ἐμοῦ πλειότερος σοφίην.
Ἀλλ' αὕτως νεφέλῃ κεκαλυμμένος ἔνθα καὶ ἔνθα,
 Πλάζομαι οὐδὲν ἔχων, οὐδ' ὄναρ ὧν ποθέω.
Πάντες γὰρ χθαμαλοὶ καὶ ἀλήμονες, οἷσι παχεῖα
 Σαρκὸς ἐπικρέμαται κυανέη νεφέλη.
Κεῖνος δ' οὐδὲν ἐμεῖο σοφώτερος, ὃς πλέον ἄλλων
 Ἤπαφεν ἧς κραδίης ψεῦδος ἑτοιμολόγον.
Εἰμί. φράζε τί τοῦτο. τὸ μὲν, προβέβηκεν ἐμεῖο,
 Ἄλλο δὲ νῦν τελέθω. ὃς δ' ἔσομ', εἴ γ' ἔσομαι,
Ἔμπεδον οὐδὲν, ἔγωγε ῥόος θολεροῦ ποταμοῖο
 Αἰὲν ἐπερχόμενος, ἑστὸς οὐδὲν ἔχων.
Τίπτε με τῶν δ' ὀρίασσε, τί δέ σοι πλέον εἰμί, δίδαξον.
 Καὶ νῦν τῇδε μένων, δέρκεο μή σε φύγω.
Οὔτε δὶς ὃν τοπάροιθε ῥόον ποταμοῖο περήσεις
 Ἔμπαλιν, οὔτε βροτὸν ὄψεαι, ὃν τὸ πάρος.
Ἦν πάρος ἐν χρεὶ πατρός, ἔπειτα μ' ἐδέξατο μήτηρ,
 Ξυνὸν δ' ἀμφοτέρων. ἔνθεν ἔπειτα κρέας
Ἄκριτον, ἄβροτον, αἶσχος ἀνείδεον, οὔτε λόγοιο,
 Οὔτε νόου μετέχον, μητέρα τύμβον ἔχον.
Δὶς ταφέες, ζώοντες ἀπὸ φθορᾶς. ἣν γὰρ ὁδεύω
 Ζωὴν, τὴν δ' ὁρέω τῶν ἐτέων δαπανῶν,
Ἥ μοι γῆρας ἔχουσιν ὀλοίιον. εἰ δέ με κεῖθι
 Αἰὼν οὐ φθινύθων δέξεται, οἷα φάτις,
Φράζεο μὴ ζωὴ μὲν ἔχει μόρον, ἡ δὲ τελευτὴ,
 Ζωή σοί γε πέλει ἔμπαλιν, ἢ δοκέεις.
Οὐδὲν ἔφυν, τί κακοῖσι δαμάζομαι, ὥς τι πεπηγός;

Τοῦτο γὰρ ἡμερίων ἔστι πόρον δὲ μόνον.
Συμφυὲς, ἀσυμφίλικτον, ἀγήραον. ἐξέτι κόλπων
Μητρὸς ὀλισθήσας πρῶτον ἔφηκα δάκρυ,
Φοσαστίοις, οἷσί τε συναντήσασθαι ἔμελλον
Πήμασι, δακρυχέων πρὶν βιότοιο θίγω.
Χώρην μὲν τιν' ἄθηρον ἀκούομεν, ὥς ποτε Κρήτην,
Καί τινα καὶ κρυερῶν ἀλλοτρίην νιφάδων.
Θνητῶν δ' οὔ ποτέ τις τόδ' ἐπεύξατο, ὡς ἀδάμαστος
Τῶνδε βίου στυγερῶν φῦλον ἀπῆλθε μόγων.
Ἀδρανίη, πενίη τε, τόκος, μόρος, ἔχθος, ἀλιτροί,
Θῆρες ἁλὸς, γαίης, ἄλγεα, πάντα βίος.
Πήματα μὲν, καὶ πάμπαν ἀτερπέα πόλλ' ἐνόησα,
Τῶν δ' ἀγαθῶν, οὐδὲν πάμπαν ἄμοιρον ἄχους,
Ἐξέτι τοῦ, ὅτε μοι πικρὴν ἐπομόρξατο ποινὴν,
Γεῦσίς τ' ὀλομένη, καὶ φθόνος ἀντιπάλου.
Σοὶ μὲν δὴ σὰρξ τοῖα δυσαλθέϊ δυσμενέοντι
Ἐχθρῷ, καὶ πολέμῳ οὔ ποτε λυομένῳ,
Θηρὶ ψυχρῷ, καὶ σαίνοντι, πνέειν ψύχοντι τὸ θαῦμα,
Θαῦμα μέγ', ἅ ποτ' ἐμοί γ' ὕστατον εὐμενέας.
Ψυχὴ, σοὶ δ' ἄρ' ἔπειτα λελέξεται ὅσσ' ἐπέοικε,
Τίς, πόθεν, ἢ τί πέλεις; τίς δέ σε νεκροφόρον
Θήκατο, καὶ στυγεροῖσι πέδαις φιλόδησε βίοιο;
Ἐς χθόνα βριθομένην πάντοθι πῶς ἐμίγης;
Πνεῦμα πάχει, σαρκὶ δὲ νόος, καὶ ἄχθει κούφη.
Ταῦτα γὰρ ἀλλήλοις μάρναται ἀντιθέτως.
Εἰ μὲν δὴ σπορέοισιν ὁμόσπορος ἐς βίον ἦλθες,
Ὤ μοι συζυγίης τηλόθεν ὀλομένης.
Εἰκὼν εἰμὶ θεοῖο, καὶ αἴσχεος υἱὸς ἐτύχθην,
Αἰδέομαι τιμῆς μητέρα μαργοσύνην.
Ῥεῦσις γάρ μ' ἐφύτευσεν, ὃ δ' ἔφθισε, νῦν βροτὸς, αὖθις
Οὐ βροτὸς, ἀλλὰ κόνις. ἐλπίδες ὑστάτιαι.
Εἰ δὲ σύ γ' οὐρανίη τίς, ὅθεν; ποθέοντα δίδαξον.
Εἰ μὲν ἄημα θεοῦ καὶ λάχος ὡς φρονέεις,
Ῥῖψον ἀτασθαλίην, καὶ πείθομαι. οὐ γὰρ ἔοικε
Τοῦ καθαροῦ ῥυπαρὴν ἔμμεναι, οὐδ' ὀλίγον.
Οὐδὲ γὰρ ἠελίοιο λάχος σκότος, οὐδὲ πονηροῦ
Πνεύματος αἰγλῆεν ἔκγονον ἐξεφάνη.
Πῶς δ' ὀλοοῦ βελίαο πυάγμασι τόσσον ἐλαύνῃ,
Καίπερ ἐπουρανίῳ πνεύματι κιρναμένη;
Εἰ γὰρ τοῖον ἔχουσα βοηθόον ἐς χθόνα νεύεις,
Αἲ αἲ τῆς ἀκράτου σῆς ὀλοῆς κακίης.
Εἰ δ' οὐ μοι θεόθεν σὺ, τίς ἡ φύσις; ἦ μέγα τάρβος,
Μή ποτε μαψιδίου κῦδος φυσιόω.
Πλάσμα θεοῦ, παράδεισος, ἐδὲμ, κλέος, ἐλπὶς, ἐφετμὴ,
Ὄμβρος ὁ κοσμολέτης, ὄμβρος ὁ πυρσοπόλος.
Αὐτὰρ ἔπειτα νόμος, γραπτὸν ἄκος. αὐτὰρ ἔπειτα
Χριστὸς ἐμὴν μορφὴν ἡμετέρῃ κεράσας.
Ὥς κεν ἐμοῖς παθέεσσι παθὼν θεὸς ἄλκαρ ὀπάζοι,
Καί με θεὸν τελέσῃ, εἴδεϊ τῷ βροτέῳ.
Ἀλλ' ἔμπης ἀδάμαστον ἔχω μένος, ἐς δὲ σίδηρον
Αὐτοφόνοις μανίῃ σπεύδομεν, ὥς τε σύες.
Τί πλέον ἀγαθὸν βιότοιο; θεοῦ φάος. ἀλλ' ἄρα καὶ τὸ
Εἴργει με φθονερὴ καὶ στυγερὴ σκοτίη.
Οὐδὲν πλεῖον ἐμοί γε. τί δ' οὐ πλέον εἰ κακοῖσιν;
Αἴθε γὰρ ἴσον ἔχον, καὶ μάλα τῶν μογέων.
Κεῖμ' ὀλιγοδρανέων. τάρβος δέ με θεῖον ἔκαμψε.
Τέτρυμ' ἡματίαις φροντίσι καὶ νυχίαις.
Οὗτος ὁ βεισαύχην με καὶ ὕψιον ὦσεν ὀπίσσω
Λὰξ ἐπιβάς. σὺ δέ μοι δείματα πάντα λέγε.
Τάρταρον ἠερόεντα, πυριφλεγέθοντας ἱμάσθλας,
Δαίμονας, οἳ ψυχῶν πρήκτορες ἡμετέρων
Μῦθος ἅπαντα κακοῖσι, τὸ δ' ἐν ποσὶ μοῦνον ἄριστον.
Οὐδὲν ὑποστρέφεται τῇ βασάνῳ κακίη.
Λώϊον ἦν ἀλιτροῖσιν ἐς ὕστερον ἔμμεν' ἄπιστα,
Ἢ ἐμὲ νῦν κακίης πήμασιν ἀχαλάαν.
Ἀλλὰ τί μοι βροτέων, τί δέ μοι τόσον ἄλγε' ἀείδεις;
Ἡμετέρης γενεῆς πᾶσιν ἔπεστιν ἄχος.
Οὔ μοι χθὼν ἀτίνακτος, ἀλλὰ κλονέουσιν ἀῆται.
Ὧραι δ' ἀλλήλαις εἶξαν ἐπεσσυμέναις.
Νὺξ ἦμαρ κατέπαυσε, τὸ δ' ἤχλυσεν ὄβρια χεῦμα.
Ἄστρασιν ἠέλιος, ἠελίῳ δὲ νέφος.
Κάλλος ἀπημάλδυνε. παλίζωος δὲ σελήνη.
Αὐτὰρ ὅ γ' ἀμφιφαὴς, οὐρανὸς ἀστερόεις.
Καὶ σύ ποτ' ἀγγελικοῖσιν ἑωσφόρος ἦσθα χοροῖσι
Βάσκανε, νῦν δ' ἔπεσες αἶσχος ἀπ' οὐρανίων.
Ἵλαθί μοι βασίλεια κεδνὴ τριάς, οὐδὲ σὺ πάμπαν
Γλῶσσαν ἐφημερίων ἔκφυγες ἀφραδέων.
Πρόσθε πατὴρ, μετέπειτα πάϊς μέγας, αὐτὰρ ἔπειτα
Πνεῦμα θεοῦ μεγάλου βάλλετ' ἐπεσβολίαις.
Ποῖ στήσεις με φέρουσα κακοφραδὲς ἐνθάδε μέριμνας;
Ἴσχεο. πάντα θεοῦ δεύτερα. εἶκε λόγῳ.
Οὐδέ με μαψιδίως τεῦξεν θεός. ἔμπαλιν ᾠδῆς
Ἵσταμαι, ἡμετέρης τοῦτ' ὀλιγοφρονίης.
Νῦν ζόφος, αὐτὰρ ἔπειτα, λόγος. καὶ πάντα νοήσεις,
Ἢ θεὸν εἰσορόων, ἢ πυρὶ δαπτόμενος.
Ὥς μοι τοῦτ' ἔειπε φίλος νόος, ἄλγος ἔπαυσεν.
Ὀψὲ δ' ἀπὸ σκιεροῦ ἄλσεος οἴκαδ' ἔβην,
Ἄλλοτε μὲν γελόων ἐτρόφρονα, ἄλλοτε δ' αὖ τε,
Κῆρ ἄχεϊ σμύχων μαρναμένοιο νόου.

ΠΕΡῚ ΤΗ͂Σ ΤΟΥ͂ ἘΚΤῸΣ ἈΝθρώπου εὐτελείας.

Τίς γενόμην; τίς δ' εἰμί; τί δ' ἔσσομαι οὐ μέγα δῆ-
Γῆ ἢ φθορίων στάσεις πλάσμα μέγ' ἀθανάτου; (ῥοῆς
Εἴ τι μέγ' ὡς μὲν ἐγώ γε οἴομαι, οὐδὲν ἐόντες,
Ὀφρὺν μαψιδίως τείνομεν ἡμέριοι.
Εἰ τόδε μουνῶν ἔοιμεν, ὅσον πλεόνεσσι πέφανται,
Ζωῆς δ' ὀλλυμένης, μηδὲν ἔχοιμι πλέον.
Γέρτις μὲν διαλυξεν ἐὸν κευθμῶνα τεκοῦσα,
Καὶ σκαίρει, γλυκερόν τ' ἦθαρ ἀνακραδάει.
Καὶ τριετὴς ζυγὸν ἦρε καὶ εἴρυσεν ἄχθος ἀπήνης,
Αὐχένα δ' αὐχενίῳ κάρτεϊ μίξε μέγαν.
Νεβρὸς δ' αἰολόδερμος, ἐπὴν διὰ γαστρὸς ὀλισθῇ,
Αὐτίκα μητρὸς ἑῆς πὰρ πόδε θῆκε πόδα,
Φεύγει δ' ὠμοβόρους τε κύνας, καὶ ἵππον ἐλαφρὸν,
Καὶ λόχμης πυκινῆς κεύθεται ἐν λαγόσιν.
Ἄρκτοι δ', οὐλομένων τε συῶν γένος, ἠδὲ λέοντες,
Τίγρις τ' ἠνεμόεις, παρδαλίων τε μένος,
Αὐτίκα φρίξαν ἔθειραν ἐπὴν κε σίδηρον ἴδωνται,
Φρίξεν, καὶ κρατεροὺς ἄλτ' ἐπὶ θηρολέτας.

Ἄρτι δὲ τ' ἄπτερος ὄρνις, εὔπτερος ἢ μετὰ δηρὸν
 Ἠέρα δινεύει πολλὸν ὕπερθε δόμων.
Ξουθὴ δ' αὖ τε μέλισσα λίπε αὐτός, οἶκον ἔτευξεν
 Ἀντίθετον, γλυκεροῦ πλῆσε γόνοιο δόμον.
Πάντα δέ θ' εἰαρὸς ἦεν ἀνθὸς πόνος, αὐτομάτη δὲ
 Πᾶσι τροφή, γαίης δαῖτα χαριζομένης.
Οὐ πόντον τέμνουσι ἀπλωΐα, οὐκ ἀρόωσιν,
 Οὐ ταμίαι κείνοις, οὐδὲ κυπελλοφόροι.
Καὶ πτερὸν ὄρνιν ἔθρεψε ταχὺν, καὶ ἄγρια θῆρα,
 Βαιὰ πονησαμένους, φροντὶς ἐπημερίη.
Λὶς δὲ μέγας καὶ θῆρα τὸν ἔκτανεν, ὥσπερ ἄκουσε,
 Λάψας, λαιμὸς ἑῆς λείψαν' ἀκρευγίει.
Ἄλλο τι μὲν δάπεδ' ἐστρωμένος, ἄλλο τι δ' αὖ τε
 Λάψε ποτὸν βειαρῶς, γαστέρι μέτρα φέρων.
Τοσσάτιον κείνοισιν ἀμοχθότερος βίος ἐστὶ,
 Πέτρα καὶ κλαδέων, οἶκος ἀεὶ σχέδιος.
Ἀρτεμέες, κρατεροί, περικαλλέες, ἣν δὲ δαμάσσῃ
 Νοῦσος, νηπενθεῖς ἄλκιμον ἆθμα λίπον.
Οὐ γοεροῖς μελέεσσι περιστάδον ἄλλοθεν ἄλλος
 Μύρον τ', οὐδὲ φίλοι κεῖρον ἀπὸ πλοκάμους.
Εἴπω μείζονα μῦθον, ἀταρβέες ἐνθάδ' ὄλοντο,
 Κοὐδὲν ὑποτρομέει θὴρ κακὸν, οὔτε θανών.
Ἄθρει καὶ μερόπων δ' ἀλαὸν γένος, ὥς κε τόδ' εἴπῃς,
 Ἤ ῥ' ἐπὸν μερόπων οὐδὲν ἀκιδνότερον.
Ῥοιῆς μὲν γόνος εἰμὶ, μόγῳ δέ με γείνατο μήτηρ.
 Ἐθρέφθην πολλοῖς καὶ στυγεροῖς καμάτοις.
Ἀγκὰς ἔχεν μήτηρ με, γλυκὺν πόνον, αὐτὰρ ἔπειτα
 Γαῖαν ἐπερχομένην, ἄλγεσι τειρόμενος.
Ἔνθεν ἔβην τετράκωλος ἐπ' οὔδεος. ἔνθεν ἀερθεὶς
 Ἴθμασιν ἐν τρομεροῖς κλεπτόμενος παλάμαις.
Ἔνθεν νοῦν ὑπέλαμπον ἄναυδος ἴχνεσι φωνῆς,
 Ἔνθεν δ' αὖ μύθων λάκευσ' ὑφ' ἡγεμόσιν.
Εἰκοσέτης συνάγειρα μένος, καὶ πήμασι πολλοῖς
 Πρόσθεν ὑπαλύστασα, ὥς τις ἀεθλοφόρος.
Ἀλλὰ μὲν ἦεν ἔμοιγε. τὰ δ' ὄχλος, τοῖς δὲ μογήσεις,
 Εὖ τόδ' ἐμὴ ψυχὴ ἴσθι περῶσα βίον,
Ὁλκὸν ἀπιστότατον ῥόον ἄγριον, οἶδμα θαλάσσης,
 Τῇ καὶ τῇ πυκινοῖς πνεύμασι βραστόμενον.
Πολλὰ μὲν ἀφραδίῃσι τινάσσομαι, ἄλλα δὲ δαίμων
 Ζωῆς ἡμετέρης ἤγαγεν ἀντίπαλος.
Εἰ γάρ κεν ὅσα τερπνὰ καὶ ὁππόσα λυγρὰ βίοιο
 Ἀντιταλαντεύοις μέσσα τάλαντ' ἐρύων,
Πολλῶν κεν βρίθουσα κακῶν ἔνθι γαῖαν ἵκοιτο
 Πλάστιγξ, ἡ δ' ἀγαθῶν, ἔμπαλιν ὕψι θέοι.
Δῆρις, πόντος, ἄρουρα, μόρος, ληϊστόρες ἄνδρες,
 Κτῆσις, δασμογράφοι, πράκτορες, δυσευνόαι,
Ῥητῆρες, βίβλοι τε, δικασπόλοι, ἀρχὸς, ἀλιτρὸς,
 Πάντα τάδ' ἐστὶ βίου παίγνια λευγαλέου.
Δέρκεο καὶ ὅσσα τερπνὰ, κόρος, βάρος, ᾆσμα, γέλωτες,
 Τύμβος ἀεὶ πλήρης μυδαλέων νεκύων,
Ἔδνα, γάμος, γάμος ἄλλος ἐπὴν ὁ πρόσθεν ὄληται,
 Μοιχοὶ, μοιχαλίδες, παῖδες ὕποπτον ἄχος,
Κάλλος, φίλτρον ἄπιστον, ἀταρβέα τε κακὸν αἶσχος,
 Φροντίδες εὐτεκνίης, ἄλγεα δυστεκνίης,
Πλοῦτος καὶ πενίη δισσὸν κακὸν, ὕβρις, ἀνίη,
 Σφαῖρα νέων παλάμαις αὖ τε πεπεμπομένη.
Ταῦτ' οὖν εἰσορόων, φρενὶ δ' ἅπτομαι, εἴ τις ἄριστον
 Οἴεται, ὃ τὸ κακὸν πλεῖον ἀρειοτέρου.
Οὐ δακρύεις αἰὼν ὁπόσ' ἄλγεα καὶ πενθεροῖσιν
 Οὐκ οἶδ' εἰ δακρύσεις ἢ γελάσεις αἰών.
Ἄμφω καὶ πινυτοῖσιν ἐφήρμοσε ταῦτα πάροιθεν,
 Τῷ μὲν κλαυθμὸς ἔην πανθάδε, τῷ δὲ γέλως.
Ὡς τρώων καὶ ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντων,
 Δῆσαν ἀλλήλους εἵνεκα πορνιδίου.
Κουρῆτές τ' ἐμάχοντο καὶ αἰτωλοὶ μενεχάρμαι,
 Ἀμφὶ συὸς κεφαλῇ, θριξί τε χοιρείαις.
Αἰακίδαι μέγ' ἄεισμα, θάνον γε μὲν, ὃς μὲν ἐν ἐχθροῖς,
 Μαινομένῃ παλάμῃ, αὐτὰρ ὁ, μαχλοσύνῃ.
Ἀμφιβρυχνιάδαο μέγα κλέος, ἀλλὰ δαμάσθη
 Εἵματι σαρκοφάγῳ κεῖνος ὁ παντελίτης.
Κῦρός τε κροῖσός τε κακὸν μόρον οὐχ ὑπάλυξαν,
 Οὐδὲ μὲν ἡμέτεροι χθιζὸν ἀνακτεσέβοι.
Καί σε δρακοντιάδη μένος ἄγχι τ' ὄλεσεν οἶνος,
 Ἡνίκ' ἀλέξανδρε γαῖαν ἐπῆλθες ὅλην.
Τί πλέον ἐν φθιμένοισιν; ἔξει κόνις, ὅσσα μοῦσα,
 Ἥρως ἀτρεΐδης, ἶρος ἀλητεβέρος.
Κωνσταντῖνος ἄναξ, θεράπων ἐμὸς, ὅς τις ἄνολβος,
 Ὅς τις ἀριστήμων, εἷς πλεόνεσσι τάφος.
Καὶ τὰ μὲν ἐνθάδε, ἴσα. τὰ δ' ἄλλοθι, τίς κεν ἐνίσποι,
 Ὁππόσα τοῖς ἀδίκοις ὕστατον ἦμαρ ἄγει,
Πῦρ βρέμον, σκότος αἰνὸν, ἀπόπροθι φωτὸς ἐοῦσι,
 Σκώληξ, ἡμετέρης μνῆσις ἀεὶ κακίης.
Λώιον, ὦ βιότοιο πύλας κακὲ μὴ σὺ περήσας.
 Εἰ δ' ἐπέρησας, ὅλος θάρσεσιν ἶσα λύθης.
Ἢ ὅτι κἀνθάδ' ἔχεις τόσ' ἄλγεα, καὶ μετόπισθεν
 Παντὶ χερειοτέρων τῶν, ὅσα ἐνθάδ' ἔχεις.
Ποῦ μοι πρωτογόνοιο μέγα κλέος; ὤλετ' ἐδωδῇ.
 Οὐ Σολομὼν πινυτές; ἀλλὰ γυναιξὶ δάμη.
Ποῦ δὲ δυωδεκάδος συναρίθμιος ἦν, ὅτ' Ἰούδας
 Κέρδεος ἀντ' ὀλίγου ἀμφεχύθη σκοτίην.
Χριστὲ ἄναξ, λίτομαί σε κακῶν ἄκος αὐτίκ' ὀπάζοις
 Ἔνθεν ἀναστήσας σῷ θεράποντι μάκαρ.
Ἓν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν,
 Ἐλπίδες οὐράνιαι, ταῖς, ὀλίγον τι πνέω.
Τῶν δ' ἄλλων ἀγαθῶν πουλὺς κόρος. ὅσσ' ἔνι γαίης
 Σύρετ', ἐφημερίοις πάντα λιπεῖν ποθέω.
Πάτρην, ἀλλοδαπήν τε, θρόνους, καὶ ἀπόθρονον εὖχος
 Ἐγγύθεν, ἀλλοτρίους, δυσσεβέας, κακίους,
Ἀμφαδίους λοχόωντας, ἀβάσκανον ὄμμα φέροντας,
 Αὐτοφόνῳ κακίῃ ἔνδοθι τηκομένους.
Ἄλλοις τερπνὰ βίοιο. ἐγὼ δὲ πρόφρων ὑπαλύξω.
 Οἴμοι τοῦδε βίου πήμασι μακροτέρου.
Μέχρι τίνος κόπτοισι περίξομαι; ὡς ἅπαν ἐσθλὸν
 Ζωῆς ἡμετέρης, δισσὸς ἐστι χάεις,
Δέξασθαι, ῥῖψαί τε μεμφόμενον ἦμαρ ἐπ' ἦμαρ.
 Βαιὸν λαιμὸς ἔχει, τἄλλα δὲ πάντ' ἀμαρύ.
Χεῖμα πάλιν, θέρος αὖθις, ἀμοιβαδὸν εἶαρ, ὀπώρη,
 Ἤματα καὶ νύκτες, φάσματα δισσὰ βίου.
Οὐρανὸς, αἴα, θάλασσα, νεώτερον οὐδὲν ἔμοιγε.
 Οὐδ' ἔστι πηκτὰ τέλη, οὐδ' ἃ περιτρέπεται.

Τὸν κόρος.

Τῶν κόρος. ἄλλον ἔμοι γε βίον καὶ κόσμον ὀπάζοις.
Τὸν μογέων, προφέρων σώματα πάντα φέρω.
Αἴ θάνον, εὖτέ με μητρὸς ἐνὶ σπλάγχνοισιν ἔδησας,
Εὐθὺς ἐμοὶ σκοτίη δάκρυον ἐρχομένῳ.
Τίς βίος; ἐκ τύμβοιο θορὼν, ἐπὶ τύμβον ὁδεύω.
Ἐκ δὲ τάφοιο, πυρὶ θάψομ' ἀπηλεγέως.
Αὐτὸ δ' ὅσον πνέω, ποταμοῦ ῥόος ὠκα θέοντος
Αἰὲν ἀπερχομένου, ἐρχομένου τ' ὄπιθεν,
Ἑστὸς οὐδὲν ἔχοντος, ὅλον κόνις, ὄμμα τ' ἐμεῖο
Βάλλουσ' ὥς κε θεοῦ τῆλε πίσω φαέων.
Τοίχους δ' ἀμφαφόων, καὶ ἀλώμενος ἔνθα καὶ ἔνθα,
Ζωῆς τῆς μεγάλης ἐκτὸς ἔχοιμι πόδα.
Τολμάσω τινὰ μῦθον ἐτήτυμον, ὥς ῥα θεοῖο
Παίγνιόν ἐστι βροτὸς, τῶν ἐν, ὅσα πλάσεων,
Ἄλλο πρόσωπον ὑπερθεν, ὃ χεὶρ κάμεν. ἢν δ' ἄρ' ἀέρθῃ,
Ἄζομαι, ἐξαπίνης ἐξεφάνην ἕτερος.
Τοῖος ἅπας μερόπων δειλῶν βίος, οἷσι μέμηλεν
Ἐλπὶς ὀνειρείη. τοῦτ' ἔχετ' εἰς ὀλίγον.
Αὐτὰρ ἐγὼ χριστοῖο δεδραγμένος, οὔ ποτε λήξω
Δεσμῶν τῶν δὲ βίου λυόμενος χθονίου.
Καὶ γὰρ διπλόος εἰμί. τὸ μὲν δέμας ἐνθάδ' ἐτύχθη,
Τούνεκα καὶ νεύει πρὸς χθόνα τὴν ἰδίην.
Ψυχὴ δ' ἐστὶν ἄημα θεοῦ, καὶ κρείσσονα μοίρην
Αἰὲν ἄγαν ποθέει τῶν ἐπουρανίων.
Ὡς πηγῆς ῥόος ἐστὶν ἐπίδρομος, αἰθόμενον δὲ
Πῦρ ὁδὸν οὐδὲ μίαν ἄτροπον, ἀλλ' ἔτ' ἄνω,
Ὡς μέγας ἐστὶ βροτὸς, καὶ ἄγγελος. ἢν ἀπαΐξας,
Ὥσπερ ὄφις στικτὸν γῆρας ἐνθένδ' ἴοι.
Ὦ πάλαι ἐσθ' ἱδρῦσθαι. ἐγὼ θάνον, ὦ καὶ ἀλιτροὶ
Γείτονες, οὐκ ἔτι με φρίξετε, ὡς τὸ πάρος.
Αὐτοῖς μὲν μέγαν οἶκον ἀειζώοντος ἄνακτος
Θρέψετε, αὐτὰρ ἐγὼ πάντα λιπὼν, ἓν ἔχω,
Σταυρὸν ἐμῆς ζωῆς φαεινὸν ξύλον ἢν δ' ἄρ' ἀερθῶ
Ἔνθεν, καὶ θυέων ἅψομ' ἐπουρανίων.
Τοῖς, φθόνος οὐ πελάει, κρυπτὸν κακὸν, οἱ δ' ἵμες ἀπ' ἐμῶν,
Γνῶτε καὶ φθονερῶν ἄφθονος οἰχόμ' ὕπερ.

ΠΕΡΙ ΤΩ͂Ν ΤΟΥ͂ ΒΙ'ΟΥ ὉΔΩ͂Ν.

Τίς, πόθεν ἐς βίον ἦλθον; ἐπεὶ δέ με γαῖα καθέξει,
Τίς πάλιν ἐκ κόνιος ἔσσομ' ἀνιστάμενος;
Ποῖ δ' ἀφ' ἕων στήσει με θεὸς μέγας, ἦ ῥα σαώσει
Ἔνθεν ἀναστήσας εὔδιον ἐς λιμένα;
Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι,
Ἄλλος δ' ἀλλοίοις πήμασι συμφέρεται.
Κοὐδὲν ἐν ἀνθρώποισι καλὸν, κακότητος ἄμικτον,
Εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν ἔχειν.
Ὁ πλοῦτος μὲν ἄπιστος, ὁ δὲ θρόνος, ὀφρὺς ὀνείρων.
Ἄρχεσθαι δὲ μόγος, ἡ πενίη δὲ πέδη.
Κάλλος δ' ἀστεροπῆς, τυτθὴ χάρις. ἡ νεότης δὲ,
Βράσμα χρόνου. πολιὴ, λυγρὰ δύσις βιότου.
Οἱ δὲ λόγοι, πτερόεντες. ἀὴρ, κλέος. αἷμα παλαιὸν,
Εὐγένεια. ῥώμη, καὶ συὸς ἀγροτέρου.
Ὕβρεις δὲ, κόρος. δεσμὸς, γάμος. εὐτεκνίη δὲ,
Φροντὶς ἀναγκαίη. δυστεκνίη δὲ, νόσος.
Αἱ δ' ἀγοραὶ, κακίης μελεδήματα. ἠρεμίη δὲ,
Ἀδρανίη. τέχναι, τῶν χαμαὶ ἐρχομένων,
Στεινὴ δ' ἀλλοτρίη μάζα. τὸ δὲ γαῖαν ἀρόσσειν,
Μόχθος. πουντοπόρων τὸ πλέον, εἰν ἀΐδῃ.
Ἡ πάτρη δὲ, βέρεθρον ἐόν. ξενίη δ' ἔτ' ὄνειδος.
Πάντα μόγος θνητοῖς. ταῦθ' ἅδε πάντα, γέλως,
Χνοῦς, σκιὰ, φάσμα. δρόσος, πνοιὴ, πτερὸν, ἀτμὶς, ὄνειρος,
Οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὔρα, κόνις,
Κύκλος ἀειδίνητος ὁμοῖα πάντα κυλίνδων,
Ἑστὼς, τροχάων, λυόμενος, πάγιος,
Ὥραις, ἤμασι, νυξὶ, πόνοις, θανάτοισιν, ἀνίαις,
Τερπωλῇσι, νόσοις, πτώμασιν, εὐδρομίαις.
Καὶ τόδε σῆς γενετῆρ σοφίης λόγε, ἀστατέοντα
Πάντα πέλειν, στασίμων ὥς κεν ἔχοιμεν ἔρον.
Πάντα νόῳ πτερύγεσσιν ἐπέδραμον, ὅσσα παλαιὰ,
Ὅσσα νέα. θνητῶν δ' οὐδὲν ἀκιδνότερον.
Ἓν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν,
Ἔνθεν ἀφορμᾶσθαι, σταυρὸν ἀειρομένους.
Δάκρυά τε, στοναχαί τε, νόος θείοισι μεμηλὼς,
Ἐλπὶς, καὶ τριάδος λάμψις ἐπουρανίης.
Μιγνυμένης καθαροῖσι, χοὸς λύσις ἀφραδέοντος.
Εἰκόνος ἀφθορίη, τὴν λάχομεν θεόθεν.
Ζώειν τ' ἀλλότριον ζωῆς βίον. αὐτὰρ δὲ κόσμου
Κόσμον ἀμειβομένους, ἄχθεα πάντα φέρειν.

ΔΙΑΦΟ'ΡΩΝ ΒΙ'ΩΝ ΜΑ-
καρισμοί.

Ὄλβιος, ὅς τις ἔρημον ἔχει βίον, οὐδ' ἐπιμίσγει
Τοῖς χαμαὶ ἐρχομένοις, ἀλλ' ἐθέωσε νόον.
Ὄλβιος, ὃς πολλοῖσι μεμιγμένος, οὐκ ἐπὶ πολλοῖς
Στρωφᾶτ', ἀλλὰ θεῷ πέμψεν ὅλην κραδίην.
Ὄλβιος, ὃς πάντων κτεάνων ὠνήσατο χριστὸν,
Καὶ κτέαρ οἶον ἔχει σταυρὸν, ὃν ὕψι φέρει.
Ὄλβιος, ὃς καθαροῖσιν ἑοῖς κτεάνοισιν ἀνάσσων,
Χεῖρα θεοῖο φέρει τοῖς ἐπιδευομένοις.
Ὄλβιος ἀζυγέων μακάρων βίος, οἳ θεότητος
Εἰσὶ πέλας καθαρῆς, σάρκ' ἀποσεισάμενοι.
Ὄλβιος, ὃς θεσμοῖσι γάμου τυτθὸν ὑποείξας,
Πλαστείρην χριστῷ μοῖραν ἔρωτος ἄγει.
Ὄλβιος, ὃς λαοῖο φέρων κράτος, εὐαγέεσσι
Καὶ μεγάλαις θυσίαις χριστὸν ἄγει χθονίοις.
Ὄλβιος, ὅς τις ἑὸν ποίμνης τέκος οὐρανίοιο
Χῶρον ἄγει χριστοῦ, θρέμμα τελειότατον.
Ὄλβιος, ὃς καθαροῖο νόου μεγάλῃσιν ἐρωαῖς,
Οὐρανίων φαέων δέρκεται ἀγλαΐην.
Ὄλβιος, ὃς χείρεσσι πολυκμήτοισιν ἄνακτα
Τίει, καὶ πολλοῖς ἐστὶ νόμος βιότου.
Πάντα τάδ' οὐρανίων πληρώματα ἐκ πλόκων ἀλωῶν,
Αἳ καρποῦ ψυχῶν δέχνυνται ἡμετέρων,
Ἄλλας ἀλλοίην ἀρετὴν ἐπὶ χῶραν ἀγούσης.
Πολλαὶ γὰρ πολλῶν εἰσὶ μοναὶ βιότων.
Ὄλβιος, ὃς πτωχὸν παθέων μέγα πένθιμ' ἀνέδραμεν.
Ὅς τις ἔχει ζωὴν ἐνθάδε πενθαλέην.
Ὅς τις ἐπουρανίης αἰὲν ἀκόρεστος ἐδωδῆς,
Ὅς τις ἐνὶ κείνη κληρονόμος μεγάλων.
Ὃς σπλάγχνοισιν ἑοῖσι θεοῦ μέγαν οἶκτον ἔφελκε,
Εἰρήνης τε φίλος, καὶ καθαρὸς κραδίην.
Ὃς πολλὰ χριστοῖο μεγακλέος εἵνεκ' ἀνέτλη
Ἄλγεα,

Ὃς πολλὰ Χριστοῖο μέγα κλέος εἵνεκ' ἀνέτλη
Ἄλγεα, καὶ μεγάλου κύδεος ἀντιάσει.
Τούτων, ἣν ἐθέλεις, τέμνε τρίβον. εἰ μὲν ἁπάσας,
Λῷστον. εἰ δ' ὀλίγας, δεύτερον. εἰ δὲ μόνην,
Ἔξοχα καὶ τὸ φίλον. σταθμὰ γε μὲν ἄξια πᾶσι,
Τοῖσι τελειοτέροις, τοῖσί τε μειοτέροις.
Καὶ Ῥαὰβ οὐκ εὔκοσμον ἔχων βίον, ἀλλ' ἄρα καὶ τήν,
Κλεινὴν ἀκροτάτη θῆκε φιλοξενίη.
Ἐκ δὲ μόνης πλέον ἔσχε Φαρισαίοιο τελώνης
Τῆς χθαμαλοφροσύνης, τοῦ μέγ' ἀειρομένου.
Βέλτερον ἀζυγίη. ναὶ βέλτερον, ἀλλ' ἐπίμικτος
Κόσμου. καὶ χθονίη, χαιρετέρη δ' ἑνάδος
Σώφρονος. ἀκτεάνων αἰπὺς βίος ἐρισιφρόντων.
Ἀλλὰ τῦφος καὶ σὸν πολλάκι θῆκε κάτω.
Οὐ γὰρ ἔην ἀρετὴν ἄλλοις μετρέοντα ἀρίστοις,
Ἄκεκτον γὰρ κραδίη ὕψος ἔχουσιν ὅτε.
Πολλάκι καὶ ζείοντι νόῳ πώλοισιν ὁμοῖα
Θερμοτέροις, νύσσης τῆλε φέρουσι πόδα.
Τέκνον ἢ πτερύγεσσιν ἀείρεο πάμπαν ἐλαφραῖς,
Ἠὲ κάτω μίμνων, ἀσφαλέως προχάειν,
Μή πῃ βριθοσύνῃ σέο πτερὸν εἰς χθόνα νεύσῃ,
Μὴ δὲ πέσῃς ἀρθεὶς πτῶμ' ἐλεεινότατον.
Νηῦς ὀλίγοις γόμφοισιν ἀρηρεμένη ἢ πυκινοῖσι,
Φέρτον ἄγει μεγάλης πλείονα τῆς ὀλέτου.
Στεινὴ μὲν πυλεῶνος ὁδὸς θείοιο τέτυκται.
Πολλαὶ δ' ἀτραπιτοὶ εἰς μίαν ἐρχόμεναι,
Οἱ μὲν τὴν πρόσω, ὅσοις φύσις ἐνθάδε νεύει,
Οἱ δ' ἑτέρην, στεινῆς μουνὸν ἐφαπτόμενοι.
Οὔτε μὲν πάντεσσιν ὁμῶς φίλον ἔπλετ' ἔεδνα,
Οὔτε χριστιανοῖς εἷς βίος ἁρμόδιος.
Δάκρυα πᾶσιν ἄριστον, ἀϋπνίη τε, πόνοι τε,
Καὶ λύσσαν παθέων ἀργαλέων κατέχειν.
Αἰχμάζειν τε νόον, Χριστοῦ θ' ὑπὸ χεῖρα κραταιὴν
Κεῖσθαι, καὶ τρομέειν ἡμὲν ἐπερχόμενον.
Εἰ δ' ἄκρην τελέσειας ἴσως τρίβον, οὐκέτι θνητός,
Ἀλλά γ' ἐς οὐράνιον. Γρηγορίοιο νόμοι.

ΟΡΚΟΙ, Η ΕΠΑΓΓΕΛΙΑΙ δι' ὅρκου.

Ὤμοσα τὸν λόγον αὐτόν, ὅ μοι θεός ἐστι μέγιστος,
Ἐξ ἀρχῆς ἀρχή, πατρὸς ἀπ' ἀθανάτου,
Εἰκὼν ἀρχετύποιο, φύσις γεννήτορος ἴση,
Ὃς φθάσε καὶ μερόπων εἰς βίον οὐρανόθεν.
Ὤμοσα, μήτε νόῳ γε νόον μέγαν ἐχθρὰ νοήσας
Ῥίψαι, μήτε λόγῳ τὸν λόγον ἀλλοτρίῳ.
Εἰ τριάδος θεότητα διατμήξαιμι φαεινῆς
Ἑσπόμενος καιρῶν νεύμασιν αὐτεπάλων.
Εἰ δ' ἕδρη μεγάλη ποτ' ἐμὸν νόον οἰστρήσειεν,
Ἠὲ πόθῳ δείλην ἀλλοτρίῃ παλάμην,
Εἰ δὲ θεοῦ προπάροιθε βροτὸν θείμην ἐπίκουρον,
Πέτρης ἀπ' αὐτῆς πείσματ' ἀναψάμενος,
Εἰ δ' ἔποτ' ἐσθλὰ φέροντος ἀγήνορα θυμὸν ἔχοιμι,
Ἠὲ κακοῖς κύρσας, ἔμπαλιν ἀδρανία,
Εἰ δὲ δίκην δικάσαιμι παρακλίνας τι θέμιστος,
Εἰ δὲ λάβοι τιμὴν ὀφρὺς ὑπὲρ θ' ὁσίων,
Εἰ δὲ κακοὺς ὁρόων τι γαληνιόωντας ὄλβῳ,
Στάζην δεξιτερῆς, ἢ ἀγαθῶν σκοπέλους,
Εἰ φθόνος ἐκτήξειεν ἐμὴν φρένα, εἰ γελάσαιμι
Πτῶμα καὶ οὐχ ὁσίων, ὡς πόδα πηγὰς ἔχων,
Εἰ δὲ χόλῳ πλήθοντι πέσοι νόος, εἰ δ' ἀχάλινος
Γλῶσσα θέοι, μάχλον τ' ὄμμα φέροι κραδίη,
Εἰ δέ τιν' ἐχθαίροιμι μάτην, εἰ δ' ἐχθρὸν ἐμεῖο
Τισαίμην δολίως, ἠὲ καὶ ἀμφαδίην,
Εἰ κενεὴν πέμψαιμι δόμων ἄπο χεῖρα πένητος,
Εἰ φρένα δεψαλέην οὐρανίοιο λόγου,
Ἄλλῳ Χριστὸς ἔοι πλέον ἵλαος. αὐτὰρ ἐμεῖο
Τοὺς ἄχρι καὶ πολιῆς αὔρα φέροι καμάτους.
Τοῖς δὲ νόμοισιν ἔδησα ἐμὸν βίον. εἰ δὲ πόθοιο
Ἐς τέλος ἱκοίμην, ἄφθιτε σεῖο χάρις.

ΚΑΤΑ ΣΑΡΚΟΣ.

Σάρξ ὀλοή, βελίαο κακόφρονος οἶδμα κελαινόν,
Σάρξ ὀλοή, παθέων ῥίζα πολυσχιδέων,
Σάρξ ὀλοή, κόσμοιο κάτω ῥέοντος ἑταίρη,
Σάρξ ὀλοή, ζωῆς ἀντίπαλ' οὐρανίης,
Σάρξ ἐχθρή, φιλίη τε, γλυκὺς μόθος, ἐσθλὸν ἄπιστον,
Ἀνδροφόνοιο φυτοῦ πάντοτε γεινομένη,
Βόρβορε, ἰλυόεσσα πέδου, βρίθουσα μολυβδίς,
Θὴρ ἀδάμαστ', ὕλης ἔκγονε μαργαμένης,
Βράσμα κακὸν καὶ σῆμα τεῆς καὶ δεσμὸς ἀνάσσης
Εἰκόνος οὐρανίης, τὴν λάχομεν θεόθεν,
Οὐ λήξεις κακότητος ἀναιδέος, οὐχ ὑποείξεις
Γνώμῃ καὶ πολιῇ δύσμορε κακοφραδίης;
Ἣν Χριστὸς παλάμῃσιν ἑαῖς μορφώσατο μούνην,
Ἡνίκ' ἄκοσμον ὕλης κόσμον ἔθηκε λόγῳ,
Καὶ πύματον θεότητι κεράσσατο, ὥς κε σαώσῃ
Πλάσμα φίλον, ζωῆς κληρονόμον μεγάλης,
Τειρόμενον παθέεσσιν ἀμερσινόου βελίαο,
Καὶ θανάτῳ θανάτου ῥύσατ' ἀπηλεγέος.
Τέκνον ἀζέο μοι, καὶ ἴσχεο μαργοσυνάων.
Μὴ δ' ἐπ' ἐμῇ ψυχῇ λύσσαν ἄληκτον ἔχειν.
Μαρτύρομ' ἀθανάτοιο θεοῦ χέρα, καὶ τὸ πονηρὸν
Ἦμαρ, ὃ τὰ θνητῶν ὕστατον εἰς ἓν ἄγει,
Ὥς σε καταιχμάζων, καὶ ἄλγεσι παντοδαποῖσι
Κάμψω, καὶ νεκύων θήσομ' ἀκιδνοτέρην,
Εἰ μή μοι στήσεις ἀτασθαλίην τε, ῥόον τε,
Τῶν καθαρῶν Χριστοῦ δεξαμένη θυσιῶν.
Ἔλθέ μοι ὦ δακρύων τε καθάρσιε νειόθι πηγή,
Κἀγρυπνίη μογερὴ σώματος ἠδὲ νόου,
Ὄφρα κατασβέσσῃς ἐμὴν φλόγα, καὶ μυδόωσαν
Ῥύψειας παθέων σηπεδόν' ἀργαλέων.
Καὶ γαστὴρ ἀπόπεμπε κόρον, καὶ κείμενα βράζων
Γούνατα κατ' ἐνκλίνοι, καὶ κόνις εἶδαρ ἔοι.
Καὶ τρηχὺς ἀπαλοῖσι περὶ ῥεθέεσσι τετάσθω
Σάκκος, ἐμῆς ψυχῆς ἄλκαρ ἐλαυνομένης.
Ἔλθε κατηφιόωσα χοὸς δμήτειρα μελυδλῶν,
Αἰὲν ἐπερχομένας μάστιγας ὀσσομένη.
Τοῖα μὲν ἀφραδίης ἐμὰ φάρμακα. σεῖο δὲ Χριστὲ
Καὶ ζωὴ καθαρή, καὶ βίος ἐκ νεκύων.
Τίς πρόγονον κακίης τε καὶ αἵματος ἡμετέροιο
Δεῖξεν, ἐπεὶ γενέσιν μύρατο καὶ ἀπάτην;
Τίς σκολιὸν βασιλῆα γόοις ἐκάθηρε Μανασσῆ;

Τίς Δαυὶδ μεγάλης λύσατο ἀμπλακίης;
Τίς χθαμαλὴν θρήνοισιν ἰδὼν ἐσάωσε Νινευΐς;
Τίς δ' ὑπὲρ παιδὶ βάλεν δάκρυον ὁπλοτέρῳ;
Τίς χείρων καθαροῖσιν ἑκὰς βάλεν οὐδὲ τελώνας;
Τίς πρόβατον ὤμοις αὖθις πλαζόμενον;
Τίς λεπροὺς ἐκάθηρε; πικρὰς δ' ἀπέεργαθε νόσους,
Σώμασι καὶ ψυχαῖς ἐσθλὰ χαριζόμενος;
Σοῦ μάκαρ τάδε δῶρα, βροτῶν φάος. ἀλλ' ὑπερβαίης
Οἴδματος ἡμετέρου, καὶ σέλας αἶψα πέσοι.

ΚΑΤΑ ΤΟΥ ΠΟΝΗΡΟΥ.

Ἤλυθες ὦ κακοεργέ. νοήματα σεῖο γινώσκω.
Ἤλυθες, ὄφρα φάος με φίλης τ' αἰῶνος ἀμέρσῃς
Δύσμαχε, πῶς φάος ἦλθες, ἐὼν ζόφος; οὐκ ἀπατήσεις
Ψευδόμενος. πῶς πικρὸν ἐμοὶ μόθον αἰὲν ἀγείρεις,
Ἀμφαδίην λοχόων τε; τί δ' εὐσεβέεσσι μεγαίρεις;
Ἐξ ἔτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ βάλες ἐκ παραδείσου,
Πλάσμα θεοῦ, κακίῃ δὲ σοφὴν ἐλόχησας ἐφετμήν,
Καὶ πικρὴν γλυκίῃ ζωῇ πόρσυνας ἐδωδήν.
Πῶς σε φύγω; τί δὲ μῆχος ἐμοῖς παθέεσσιν ἐφεύρω;
Τυτθαῖς μὲν πρώτιστον ἁμαρτάσιν, οἷα ῥέεθρον
Ἐμπίπλας κραδίην. ἔπειτα δὲ χῶρον ἀνοίγεις
Εὐρύτερον. μετέπειτα ῥόος θολερός τε μέγας τε
Ἤλυθεν, ἄχρι χάος με λάβοι τεόν, ἠδὲ βέρεθρον.
Ἀλλ' ἀναχάζεο τῆλε, τεὰς δ' ἐπὶ χεῖρας ἰάλλοις
Ἔθνεσιν ἢ πολίεσσιν, ὅσαι θεὸν οὐκ ἐνόησαν.
Αὐτὰρ ἐγὼ, Χριστοῖο λάχος, ναός τε τέτυγμαι,
Καὶ θύος. αὐτὰρ ἔπειτα θεός, θεότητι μιγείσης
Ψυχῆς. ἀλλ' ὑπόεικε θεῷ, καὶ πλάσματι θείῳ,
Ἀζόμενος μιὴν τε θεοῦ, ψυχῶν τε χορείην
Εὐσεβέων, ἠχήν τε διηνεκέεσσιν ἐν ὕμνοις.

ΕΠΙΣΤΡΕΠΤΙΚΗ ΠΡΟΣ θεὸν νουθεσία.

Πῆ σε φέρων Χριστοῖο τεὸν ἀπενόσφισε δαίμων
Κλεπτόμενον γλώσσῃ τε, καὶ οὔασι καὶ φαέεσσι
Θυμὲ τάλαν; πῇ φωτὸς ἐναισίου ἐκτὸς ἐλαύνεις,
Βρωτόμενός τε πόθοισι καὶ ἀργαλέαις μελεδῶσι,
Καὶ σκιόεντα φόβον βρομέων, ἀπάτας τε λιτοργῶν
Τηκόμενος, φθονέων τε χόλου ζείοντος ὁρμαῖς.
Μηκέτι πλάζεο θυμὲ νόου στροφάλιγξιν ἀλύτου.
Μὴ δὲ τῆς ζωῆς ἐπιλήθεο σαρκὶ πελάζων,
Σαρκός τε σκοτίοισι καὶ ἀμφαδίοισι κακοῖσιν.
Πάντα κάτω δονέοιτο κακαῖς βιότοιο θυέλλαις.
Πάντα χρόνος τεύχεσσιν ὁμοῖα τάδε κυλίνδει,
Κάλλος, ἐϋκλείην, πλοῦτον, κράτος, ὄλβον ἄπιστον.
Αὐτὰρ ἐγὼ, Χριστοῖο δεδραγμένος οὔποτε λήξω
Ἐλπίδος, ἔστ' ἂν ἴδω τριάδος σέλας εἰς ἓν ἰούσης.
Εὖτε λάχος μεγάλοιο θεοῦ σάρκεσσι κερασθὲν,
Εἰκὼν ἡ προτέρη μιχθήσεται οὐρανίοισιν.

ΑΠΟΤΡΟΠΗ ΤΟΥ ΠΟΝΗΡΟΥ, ΚΑΙ τοῦ Χριστοῦ ἐπίκλησις.

Φεῦγ' ἀπ' ἐμῆς κραδίης δολομήχανε, φεῦγε τάχιστα,
Φεῦγ' ἀπ' ἐμῶν μελέων, φεῦγ' ἀπ' ἐμοῦ βιότου.
Κλὼψ, ὄφι, πῦρ, βελίαρ, κακίη, μόρε, χάσμα, δράκων, θήρ,
Νύξ, λόχε, λύσσα, χάος, βάσκανε, ἀνδροφόνε.
Ὃς καὶ πρωτογόνοισιν ἐμοῖς ἐπὶ λοιγὸν ἐνῆκας,
Γεύσας τῆς κακίης, ὤλεσας καὶ θανάτῳ.
Χριστὸς ἄναξ κέλεταί σε φυγεῖν ἐς λαῖτμα θαλάσσης,
Ἢ κατὰ σκοπέλων, ἢ συῶν ἀγέλην,
Ὡς λεγεῶνα πάροιθεν ἀπέσθαλεν. ἀλλ' ὑπόεικε,
Μή σε βάλω σταυρῷ, τοῦ πᾶν ὑποτρομέει.
Σταυρὸν ἐμοῖς μελέεσσι φέρω, σταυρὸν δὲ πορείῃ,
Σταυρὸν δὲ κραδίῃ. σταυρὸς ἐμοὶ τὸ κλέος.
Οὐ λήξεις λοχόων με κακόχολε; οὐχ ὑπὲρ κρημνούς,
Οὐ σῶμα βλέψεις, οὐκ ἀθέων ἀγέλας;
Οἳ μεγάλην θεότητα διατμήξαντες ἔλυσαν.
Ἀλλ' ἐπ' ἐμὴν πολιήν, ἀλλ' ἐπ' ἐμὴν κραδίην.
Αἰεί με δνοφεροῖσι νοήμασιν ἐχθρὲ μελαίνεις,
Οὔτε θεὸν τρομέων, οὔτε θεοῦ πολιάς.
Οὗτος καὶ τριάδος νόος ἔπλετο ἠχέτα κάρυξ.
Καὶ νῦν τέρμα βλέπει. βόρβορε μή με θέλε,
Ὡς καθαρὸς καθαροῖσιν συναντήσω φαέεσσιν
Οὐρανίοις, ἀγλαοῖς τ' ἐπ' ἐμὴν βιοτήν.
Τὰς δὲ χέρας τανύω, δέξασθέ με. χαῖρε σὺ κόσμε.
Χαῖρε μονηροφόρε, φεύδεο τῶν μετ' ἐμέ.

ΘΡΗΝΟΣ.

Ὤμοι ἐγών, ὅτε δή με πρὸς οὐρανὸν ἠδὲ θεοῖο
Χῶρον ἐπειγόμενον, σῶμα τόδ' ἀμφὶς ἔχει.
Οὐδέ τι ἢ ἔκβασίς ἐστι πολυπλανέος βιότοιο,
Καὶ συγγενοῦς κακίης, ἥ μ' ἐπέδησε κάτω,
Πάντοθεν ἀπροφάτοισι πεδικλύσασα μερίμναις,
Βοσκομένας ψυχῆς κάλλεα καὶ χάριτας.
Ἀλλά με λῦσον ἄναξ, λῦσον χθονίων ἀπὸ δεσμῶν,
Καί με χοροστασίην τάξον ἐς οὐρανίην.

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΥ ΘΥΜΟΝ.

Θυμὲ βλέψον αἰῶνα, χθονίων δ' ἐπιλήθεο πάντων,
Μὴ δέ σε νικήσῃ πρὸς κακότητα δέμας.
Τυτθὸς μὲν βίος οὗτος, ὁ δ' ὄλβιος, ὡς ἐν ὀνείρῳ
Τέρπεται. ἀλλοίη δ' ἄλλος ἔκυρσε τύχη.
Μούνης δὲ ζωῆς καθαρῆς βίος ἔμπεδος αἰεί,
Καὶ πλοῦς, ὃν ζώειν ἐστὶν ἀρειότερον.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΚΗΡΟΥ ΤΗΣ ἀνθρωπίνης φύσεως.

Κόσμε φίλ', οὐ φίλε πάντα, τί μ' ὡς βρόχος ἀμφιελικτὸς
Ῥαιζαλέον φορέεις αὐτοπορευόμενον,
Μύρμηχ' ὡς ὀλίγον πικρὴν φορὰν ἀσχαλόωντα;
Ἐμπαγέ μὴν φορέεις τόσσον ἐόντα, τόσος.
Οἶδα μὲν ὡς θεόθεν σὺ θεοῦ κλέος. ἀλλὰ καὶ αὐτὸς,
Χριστοῦ χειρὶ πάγην πλεκτὸς ἀπ' ἀμφοτέρων,
Οὐρανίων, χθονίων τε. τὸ μὲν δέμας ἐνθένδε τύχθη,
Ψυχὴ δ' αὖ μεγάλου ἐστὶν ἄημα νόου.
Ἀλλὰ καὶ ὡς πολλοῖσιν ἐλαύνομαι ἔνθα καὶ ἔνθα
Πήμασιν, ἐξ ἐμέθεν πάμπαν δαιόμενος.
Δελφὶς δ' ὡς ἐπὶ χέρσον ἀλίδρομος, ἤϊε θνήσκω.
Κόσμε, παρῆλθον ἐγώ, λαὸν ἀπώτερον ἄγεις.

ΑΛΛΟ.

Ἀλλήλους μὲν ἐγώ τε καὶ ὁ χρόνος, ὥς περ ἰωῇ
Ἢ νέες ἐν πελάγει αὐτοπαρερχόμεθα,
Ἑστὸς οὐδὲν ἔχοντες. ὃ δ' ἤμπλακον, οὐ παρέθρεξα,
Ἀλλὰ μένει, ζωῆς τοῦτο μόνον κρατερόν.
Οὐδ' ὅ, τι δέξομ' ἔχω, ζῆσαι πλέον, οὐ λυθῆναι,

Ταρβ-

Τάρβος ἐπ' ἀμφοτέροις, ὧδε δὴ φράζεό μοι.
Ζωή μοι πολύμοχθος ἀμαρτάσιν· εἰ δὲ θάνοιμι,
Αἴ αἴ, τῶν προτέρων οὐδ' ἓν ἄκος παθέων.
Εἰ ζωὴ τόδε τοι τεκμαίρεται, ὡς τόσον ἄχθος,
Οὐδὲ τὸ λυθῆναι λῦσιν ἔχει καμάτων.
Κρημνὸς δ' ἀμφοτέρωθε, τί ῥέξομεν; ἢ τόδ' ἄριστον,
Δεῦρ' ὁσίην πρός σε μόνον, σήν τ' ἀγανοφροσύνην.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΣ ΘΕΟΝ πόθου. (κτεν,

Μῆτερ ἐμή, τί μ' ἔτικτες, ἐπεὶ πολύμοχθον ἐπι-
Τίπτε με τῷδε βίῳ δῶκας ἀκανθοφόρῳ;
Εἰ μὲν δὴ σὺ πέρησας ἀκηδέα ὥς τις ἄσπερμος,
Θαῦμα μέγ'. εἰ δ' ἐδάμης, οὐ φιλέουσα τέκεν.
Ἄλλην μέν τ' ἄλλος τις ἀνὴρ βιότοιο κέλευθον
Τέμνει γειομόρος, αὐτὰρ ὁ ποντοπόρος.
Θηροβλέτης ἄλλος τις, ὁ δ' ἔγχει χεῖρα κορύσσων.
Καί τις ἀοιδοσύνης ἴδρις, ὁ δ' ἀθλοφόρος.
Αὐτὰρ ἐμοὶ θεὸς ἦν λάχος, καὶ ἄλγεα πολλά,
Καὶ νόσῳ συγγενῆ τῇ δ' ὀλιγοδρανίην.
Δάπτει με, δάπτει μ' ἐλιβρὲ πρὸς χρόνον, αὐτίκα γάρ σε
Λείψουσιν χαλεποῖς σώμασι γηθόσυνος.
Μῆτερ ἐμή, τί μ' ἔτικτες, ἐπεὶ θεὸν οὔτι νοῆσαι
Οὔτι φράσαι δυνάμεσθα τόσον, ὅσσον ποθέω.
Βαιὸν μέν τις ἐμοί γε νόου περιλάμψεν ὀπωπάς
Ἰσοφαὴς τριάδος λάμψις ἐπουρανίης,
Τὸ πλέον δ' ὑπάλυξεν, ἔχω δ' ἄχος, ὥς στεροπή τις
Γείην με φάος κορέσαι, ὦκα παρεπταμένη.
Εἰ δέ σε κεῖθεν ἕλοιμι φίλη τριάς, οὐκέτι μητρός
Μέμψομ' ἐμῆς λαγόσιν, ὡς ἀγαθὸν γενόμενον.
Ἀλλὰ σάω με, σάω με θεοῦ λόγε, ἐκ δέ με πικρῆς
Ἰλύος ἐξερύσας, ἄλλον βίον ἄλλον ἄγοις.
Ἔνθα νόος καθαρός σε φαάντατον ἀμφιχορεύει,
Μηκέθ' ὑπὸ σκιερῆς κρυπτόμενος νεφέλης.

ΘΡΗΝΗΤΙΚΟΝ ΥΠΕΡ ΤΗΣ αὐτοῦ ψυχῆς.

Πολλάκις ἱμερόεντα νέα θαλάμοισι πεσοῦσα,
Εἰσέτι παρθενικοῖσι νέκυν πόσιν αὐτὸ μὲν ὑπὲρ
Ἀρτίγαμος στίλβουσα πικρὴν ἀνεβάλλετ' ἀοιδήν.
Αἱ δ' ἀμφὶ οἱ δμωαὶ καὶ ὁμήλικες ἔνθα καὶ ἔνθα
Ἱστάμεναι γοάασιν ἀμοιβαδίς, ἄλκαρ αὐτῆς.
Καὶ μήτηρ φίλον υἷα νεόχνοον οὐκέτ' ἐόντα
Μύρετ', ἐπ' ὠδίνεσσι νέας ὠδῖνας ἔχουσα.
Καί τις ἑὴν πάτρην ὀλοφύρεται, ἥν δήποτε
Θοῦρος ἄρης, δήιον ἄλλος, ὃν ὤλεσεν οὐρανίη φλόξ.
Ψυχή, σοὶ δὲ γόος τίς ἐπάξιος; ἣν κατέπεφνεν
Οὖλος ὄφις, πικρὸν δ' ἐνομόρξατο ἀκόνι λοιγόν.
Δάκρυε δάκρυ' ἀλιτρέ, τό σοι μόνον ἐστὶν ὄνειαρ.
Λείψομεν θαλίας τε, ὁμηλικίην τ' ἐρατεινήν.
Λείψω δ' αὖ μῦθόν τε μέγα κλέος, εὐγενίης τε
Αἵματος, ὑψορόφους τε δόμους, καὶ ὄλβον ἅπαντα.
Λείψω δ' ἠελίου γλυκερὸν φάος, οὐρανὸν αὐτόν,
Τείρεα παμφανόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Ταῦτα μὲν ἐψομένοισιν, ἐγὼ δ' ὑπένερθε καρήνων
Δέμνια φέρων, νεκρός τε καὶ ἄπνοος ἐν λεχέεσσι
Κείσομαι, ὑστατίοισι γόοις γοάοντας ἐκείνων,

Αἶνον ἔχων καὶ φίλτρον ἀδελφειὸν οὐκ ἐπὶ δηρόν.
Αὐτὰρ ἔπειτα λίθος τε καὶ ἄμβροτος ἐνδόθι λάβε.
Ἀλλὰ καὶ [illegible]τουν μὲν ἐμὸν κέαρ οὐκ ἀλεγίζει.
Μωσῆν δὲ τρομέω καθαρὴν πλάσιγγα θεοῖο.
Ὤμοι ἐγώ, τί πάθω, πῶς καὶ κακότητα φύγοιμι.
Βένθεσιν ἢ νιφάδεσσι λαθὼν βίον; οὐδὲ γὰρ ἦεν
Ἀμπλακίης τίς χῶρος ἐλεύθερος, ὥς τινα θηρῶν
Καὶ νόσων ἐν ἔπεσιν, ὅπως φυγὰς ἐνθάδ' ἵκωμαι.
Χέρσον μέν τις ἄλυξε πικρὴν ἅλα, ἀσπίδι δ' ἔγχος,
Καὶ κρυεροῦ νιφετοῖο δόμος σκέπας. ἡ κακίη δὲ
Ἀμφίβιος, πολύχωρος, ἀφυκτοτάτη βασίλεια.
Ἠλίας πυρόεντι πρὸς οὐρανὸν ἤλυθε δίφρῳ. (νε,
Μωσῆς παιδοφόνου ποθ' ὑπεξέφυγε δόγμα τυράν-
Κητείων λαγόνων σκότιον μόρον ἁγνὸς Ἰωνᾶς,
Καὶ θῆρας Δανιήλ, παῖδες δὲ φλόγας. αὐτὰρ ἔμοι γε
Τίς λύσις κακότητος; ἄναξ σύ με χειρὶ σάωσον.

ΘΡΗΝΟΙ.

Αἰαῖ τῶν παθέων. τίπτ' ἔλιπες; ἢ ἄρα μοῦνος
Σῶν καθαρῶν θυέων ἅπτομαι οὐχ ὁσίως;
Ἤ με πυροῖς παθέεσσι καθαίρεσι, ἢ τύφον ἄλλων
Ἴσχεις, ἤ με φέρεις γυμνὸν ἐπ' ἀντιπάλῳ.
Ταῦτα μὲν αὐτὸς ἄναξ νωμᾷς λόγῳ, αὐτὰρ ἔγωγε
Βαιὸν ὑπὲρ γαίης ἆσθμα φέρω πύματον.
Δάκρυα πάντ' ἐχέουσα, γόος δέ μοι ἔργον ἐτύχθη.
Μέχρι τίνος παλάμαις κάμνω θ' ἐν ἀσεβίων;
Ἀλλὰ μάκαρ στῆσόν με. καὶ εἰ κακόν, ἀλλ' ἱερῆας
Μήτις ὀλισθήσῃ σώμασιν ἡμετέροις.
Ὤλετο εὖχος ἐμοί γε, καὶ ἄλγεα σαρκὸς ὄλοιτο·
Οἴχετ' ἀναστασίη, λῦγε καὶ ἀμπλακίη.
Αἰαῖ δάκρυα δή μοι κατείβεται, ἐνδόθεν ἦτορ
Παχνοῦται. δείδια νοῦσον ἐπίσχεο ἄναξ.
Νοῦσον ἐπίσχεο ἄναξ, δεδόλλαμεν. ἢ ἄρα μόνῳ
Οἶκτος ἀπεκλείσθη σῷ λάτρι Γρηγορίῳ;
Ἢ στῆσον κακότητα, ἢ ἵλαθι σῷ θεράποντι,
Ἢ τὸ δίδου, θυμῷ τλήμονι πάντα φέρειν.

ΙΚΕΤΗΡΙΟΝ.

Χριστὲ φάος μερόπων, πυρόεν σύ τε Γρηγορίοιο
Ψυχῆς πλαζομένης πικροῦ βιότου δι' ἐρήμους,
Σχὲς Φαραὼ κακόμητιν, ἀναιδέας ἐργοδιώκτας.
Καὶ πολύ μ' ἀδέτοιο, καὶ αἰγύπτοιο βαρείης
Ἐξερύσας, πληγῇσιν ἀεικελίῃσι δαμάσσας
Δυσμενέας, λαὸν δὲ πόροις ὁδόν. ἣν δὲ κίχησιν
Ἐχθρὸς ὑπαιστείχων, σὺ δέ μοι καὶ πόντον ἐρυθρὸν
Τμήξειας, στερεὴν δὲ διεκπεράσαιμι θάλασσαν
Σπεύδων εἰς χθόνα δῖαν, ἐμὸν λάχος, ὥσπερ ὑπέστης.
Καὶ ποταμοὺς στήσαις ἀπείρονας, ἀλλοφύλων τε
Κλίναις θοῦρον ἔγχος ἀγάστονον. εἰ δ' ἐπιβαίην
Γῆς ἱερῆς, μέλψω σε διωκτέεσσιν ἐν ὕμνοις.
Χριστὲ ἄναξ τί με σαρκὸς ἐν ἄρκυσι ταῖς δ' ἐνέδησας;
Τίπτε βίου ῥυόεντι καὶ ἰλυόεντι βερέθρῳ,
Εἰ ἐτεὸν θεός εἰμι, λάχος δὲ σόν, ὥσπερ ἄκουσα;
Ἐκ μὲν μοι μελέων σθένος ὤλετο, οὐδέ τι γούνατ'
Ἑστᾶσιν, ἀλλά μ' ἔλυσε χρόνος, καὶ νοῦσος ἀνιγρή,
Τηκεδανή τε μέριμνα, φίλοι τ' ἄφιλα φρονέοντες.
Εἴκων δ' οὐκ ἐθέλουσιν ἁμαρτάδι, ἀλλ' ἔτι μᾶλλον

Στάζουσ᾽, ἀκραντέοντα κυΐσκει δ᾽ ὡς πτῶκα λαγωὸν,
Ἡ κεμὰς δ᾽ ἀμφὶς ἔχουσι λιλαιόμενοι κορέσασθαι.
Ἢ σποδὸν ἢ κακότητα καὶ ἴλαθι, ἤ μ᾽ ἀπόληξαι
Δηρὸν ἀεθλεύοντα, καὶ ἄλγεσι μέτρον ὀπίσσω,
Ἢ λάθης νέφος ἐσθλὸν ἐμὰς φρένας ἀμφικαλύπτοι.

ΕΠΙΤΑΦΙΟΣ ΚΑΙ ΣΥΝΤΟΜΗ
τοῦ αὐτοῦ βίου.

Χριστὲ ἄναξ, τί με σαρκὸς ἐν ἄρκυσι ταῖσδ᾽ ἐνέ- (δησας;
Τίπτε με τοῦδε βίου θῆκας ὑπ᾽ ἀντιπάλας;
Πατρὸς μὲν γενόμην θεοειδέος, οὐκ ὀλίγης δὲ
Μητρὸς, ὧν δὲ φάος ἤλυθον εὐξαμένης.
Ηὔξατο, καί μ᾽ ἀνέθηκε θεῷ βρέφος, ἁγνείης δὲ
Θερμὸν ἔρωτα χέεν ὄψις ἐμοὶ νυχίη.
Χριστὸς μὲν δὴ ταῦτα, τὰ δ᾽ ὕστερα κύμασι βράσθην.
Ἀρπαλέαις παλάμαις ἤρκεσε, σῶμα λύθην.
Ποιμέσιν οὐ φιλίοισι συνέδραμον, εὗρον ἄπιστα.
Χηρώθην τεκέων, πήμασι χαζόμενος.
Οὗτος Γρηγορίοιο βίος. τὰ δ᾽ ἔπειτα μελήσει
Χριστῷ ζωοδότῃ. γράψατε ταῦτα λίθοις.

ΜΕΤΑΝΟΗΤΙΚΟΝ, ΚΑΙ
παρακλητικόν.

Ἐγγὺς ἀγὼν βιότοιο, κακὸν πλόον ἐξεπέρησα·
Ἤδη καὶ στυγερῆς τίσιν ὁρῶ κακίης.
Τάρταρον ἠερόεντα, πυρὸς φλόγα, νύκτα βαθεῖαν.
Τῶν νῦν κρυπτομένων, αἶσχος ἐλεγχομένων.
Ἀλλὰ μάκαρ ἐλέαιρε, καὶ ὀψέ περ ἐσθλὸν ὀπάζοις,
Ζωῆς ἡμετέρης λείψανον εὐμενέων.
Πολλὰ παθὼν, καὶ τάρβος ἔχω φρενὶ, μή με δόκαρ
Τῆς σῆς ἤρξατ᾽ ἄναξ αἰνὰ τάλαντα δίκης.
Οἶσθα μὲν τὸν ἐμὸν κλίνας μόρον ἐνθάδ᾽ ὀδύσσας,
Εἴξας παραφρονέως πήμασι θυμοβόροις.
Ὑμῖν δ᾽ ἐσσομένοις ἐπιτέλλομαι, οὐδὲν ὄναρ
Τοῦδε βίου ζωὴ λῦσιν ἔχει βιότου.

ΚΑΤΑ ΤΟΥ ΠΟΝΗΡΟΥ.

Φεῦγ᾽ ἀπὸ τᾶς γραμμᾶς ὦ βάρβαρε, μή με δόχλει.
Φεῦγε πονηρὸς ἅπας, Χριστὸς ἐμοὶ γράφεται,
Μή με φύγῃ τὸ νόημα συνηγμένον. ἔρρετε πάντοθεν,
Οὓς μὴ Χριστὸς ἄγει τῆλ᾽ ἀπὸ τῶν χθονίων.

ΠΕΡΙ ΤΩΝ ΓΝΗΣΙΩΝ ΒΙΒΛΙΩΝ
τῆς θεοπνεύστου γραφῆς.

Θείοις ἐν λογίοισιν ἀεὶ γλώσσῃ τε νόῳ τε (θλον,
Στρωφᾶσθ᾽. ἦ γὰρ ἔδωκε θεὸς καμάτων τόδ᾽ ἄε-
Καί τι κρυπτὸν ἰδεῖν ὀλίγον φάος, ἢ τὸ δ᾽ ἄριστον,
Νύξαιο καθαροῖο θεοῦ μεγάλῃσιν ἐφετμαῖς.
Ἢ τρίτατον, χθονίων ἀπάγειν φρένα ταῖσδε μερίμ-
Ὄφρα δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι. (ναις.
Πολλαὶ γὰρ τελέθουσι παρέγγραπτοι κακότητες,
Δέχνυσο τοῦτον ἐμεῖο τὸν ἔγκριτον ὦ φίλ᾽ ἀριθμόν.
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι,
Τῆς ἀρχαιοτέρης ἑβραϊκῆς σοφίης.
Πρωτίστη, γένεσις. εἶτ᾽ ἔξοδος. λευιτικόν τε.
Ἔπειτ᾽ ἀριθμοί. εἶτα δεύτερος νόμος.
Ἔπειτ᾽ Ἰησοῦς, καὶ κριταί. ῥοὺθ, ὀγδόη.
Ἡ δ᾽ ἐνάτη δεκάτη τε βίβλοι, πράξεις βασιλήων,
Καὶ παραλειπόμεναι, ἔσχατον Ἔσδραν ἔχεις.
Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτός γ᾽ Ἰώβ.
Ἔπειτα Δαυΐδ. εἶτα, τρεῖς σολομώντιαι.
Ἐκκλησιαστὴς, ᾆσμα καὶ παροιμίαι.
Καὶ πένθ᾽ ὁμοίως πνεύματος προφητικοῦ.
Μίαν μέν εἰσιν ἐς γραφὴν οἱ δώδεκα.
Ὠσηὲ κ᾽ Ἀμὼς, καὶ Μιχαίας ὁ τρίτος.
Ἔπειτ᾽ Ἰωὴλ. εἶτ᾽ Ἰωνᾶς. Ἀβδίας.
Ναούμ τε, Ἀββακούμ τε, καὶ Σοφονίας.
Ἀγγαῖος. εἶτα Ζαχαρίας. Μαλαχίας.
Μία μὲν οἵδε. δευτέρα δ᾽ Ἡσαΐας.
Ἔπειθ᾽ ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους.
Εἶτ᾽ Ἰεζεκιὴλ, καὶ Δανιήλου χάρις.
Ἀρχαίας μὲν ἔθηκα δύω καὶ εἴκοσι βίβλους,
Τοῖς τῶν ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἤδη δ᾽ ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν ἑβραίοις θαύματα Χριστοῦ.
Μάρκος δ᾽ Ἰταλίῃ, Λουκᾶς Ἀχαϊάδι.
Πᾶσι δ᾽ Ἰωάννης κήρυξ μέγας, οὐρανοφοίτης.
Ἔπειτα πράξεις τῶν σοφῶν ἀποστόλων.
Δέκα δὲ Παύλου, τέσσαρές τ᾽ ἐπιστολαί.
Ἑπτὰ δὲ καθολικαί. ὧν, Ἰακώβου μία,
Δύω δὲ Πέτρου. τρεῖς δ᾽ Ἰωάννου πάλιν.
Ἰούδα δ᾽ ἐστὶν ἑβδόμη. πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίαις.

ΜΑΣΤΙΓΕΣ ΑΙΓΥΠΤΟΥ.

Μάστιγας αἰγύπτοιο κακόφρονος αἶψ᾽ ἀρίθμει,
Ὥσπερ ὑποτρομέεις κάρτει τῷ μεγάλῳ.
Αἵματι μὲν πρώτιστον ὕδωρ ἐρυθαίνετο γαίης,
Δεύτερον αὖ βατράχους ἔβρασεν ὀλομένους.
Τὸ τρίτον αὖ, σκνίπεσσιν ἀὴρ καὶ γαῖα καλύφθη.
Καὶ κυνόμυια φάνη τέτρατον ἐξαπίνης.
Πέμπτον, τετραπόδεσσιν ἐπήγαγε λοιγὸς ὄλεθρος.
Φλυκτίδες ἀνθρώπων σώμασιν, ἕκτον ἄχος.
Ἕβδομον, ὗσε χάλαζα μέση, πυρὸς ὄμβρος ἄμικτος.
Ὄγδοον, ἐξ ἀκρίδος ὤλετο χλωρὸν ἅπαν.
Εἴνατον, αἰγύπτοιο πέδον πᾶν νὺξ ἐκάλυψε.
Πρωτοτόκων δὲ μόρος ἡ δεκάτη βάσανος.

Η ΤΟΥ ΜΩΣΕΩΣ ΔΕΚΑΛΟΓΟΣ.

Τοὺς δέκα νόμους ἐχάραξε θεὸς δέκα ἔν ποτε πλαξὶ
Λαϊνέαις, σὺ δέ μοι ἔγγραφε σῇ κραδίῃ.
Οὐ γνώσῃ θεὸν ἄλλον, ἐπεὶ σέβας οἷον ἑνός γε.
Οὐ στήσεις ἴνδαλμα κενὸν, καὶ ἄπνοον εἰκώ.
Οὔποτε μαψιδίως μνήσῃ μεγάλοιο θεοῖο.
Σάββατα πάντα φύλασσε μετάρσια καὶ σκιόεντα.
Ὄλβιος, ἢν τοκέεσσι φέρῃς χάριν, ἥν ἐπέοικε.
Φεύγειν ἀνδροφόνον παλάμης ἄγος, ἀλλοτρίας τε
Εὐνῆς, κλεπτοσύνην τε κακόφρονα, μαρτυρίην τε
Ψευδῆ, ἀλλοτρίων τε πόθον, ἀτινθῆρα μόροιο.

ΠΕΡΙ ΤΩΝ ΔΥΟΚΑΙΔΕΚΑ
πατριαρχῶν.

Δώδεκα δ᾽ ἐξ Ἰακὼβ παῖδες μεγάλοιο πατράρχεω
Ῥουβείμ, καὶ Συμεὼν, καὶ Λευΐ. τοῖς δ᾽ ἐπ᾽ Ἰούδας.
Αὐτὰρ ἔπειτα νόθοι, Δὰν, Νεφθαλείμ, Γὰδ, τε Ἀσήρ τε.
Αὖθις δ᾽ εὐηγενέων μνηστῶν ἄπο, Ἰσάχαρ ἦεν,
Ζαβουλὼν, καὶ Ἰωσὴφ, καὶ πύματος Βενιαμίν.

ΠΕΡΙ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ.

Δώδεκα δ' αὖ χριστοῖο θεοῦ μεγάλοιο μαθηταί.
Πέτρος τ' Ἀνδρέας τε, Ἰωάννης τ', Ἰάκωβος.
Πέμπτος δ' αὖ Φίλιππος. ὁ δ' ἕκτος, Βαρθολομαῖος,
Ματθαῖος, Θωμᾶς τε, καὶ Ἀλφαίου Ἰάκωβος.
Ἰούδας τε, Σίμων τε, καὶ οὐ φατὸς ἄλλος Ἰούδας.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ γενεαλογίας.

Ματθαῖος ποθέων ἔπι μέγας, Λουκᾶς τε φέριστος,
Τὴν μὲν γ', αὐτὰρ ὁ, τὴν δὲ βίβλοις ἐνέθηκε γε-
Αἱ χριστὸν κατάγουσιν ἀφ' αἵματος ἀρχεγόνοιο. (νέθλην,
Πῶς δ' ὁ μὲν ἐν πλεόνεσσιν, ὁ δ' ἐν παύροισιν ἔληξεν
Ἐς Δαυὶδ μὲν ἄνακτα γένους ῥόος ἀμφοτέροισιν
Ἄτμητος. μετέπειτα ῥέει δίχα. ὕστερον δὲ,
Συμφέρεθ', ὡς πόντον ἀπείρονα χριστὸν ὁδεύων.
Ὦ τέκνον ἀθρήσεις, ἐμοῦ δ' ἐπιπείθεο μύθῳ.
Δαυίδαι, Σολομών τε, Νάθαν τ' ἔσαν. ὧν ὁ μὲν ἄλλων
Ὥς τε ῥόον μεγάλου ποταμοῦ, βασιλήιον αἷμα.
Αὐτὰρ ὅγ' ἐναγέων τε φαεινοτάτων θ' ἱερήων.
Χριστὸς δ' ἀμφοτέρων ἔσκεν, ἄναξ μέγας, ἀρχιερεύς τε.
Τοὔνεκα Ματθαῖος μὲν ἐγράψατο οὐνόματα θέων,
Τοὺς σολομωντιάδας. Λουκᾶς δ' ἀν Νάθαν ὄρουσεν.
Ἐκ δὲ δύω γενεῆς, τῇ μὲν πλέον, ἣ ἑτέρης δὲ,
Παυρότερον τὸ ῥέεθρον ἔπελε. μὴ οὐ μέγα θαῦμα,
Οὐ μὲν παυροτέρων. γενεῶν δ' οὐκ ἶσον ἀριθμόν.
Ὧδε τὰ πρόσθε τὰ κέκασθεν. ἔπειτα δὲ, ὡς ἐν ἀγείρεθεν.
Φράζεο ἢ καὶ τόδε μοι, πατέρων δύο πῶς ποτ' Ἰωσήφ.
Τέθμιον ἦν Μωσῆος, ἐπὴν ἄσπερμος ὄληται
Ἑβραῖος, κάσιν ἤ τιν' ὀλωλότος, ἤ τινα πηῶν
Ἐγγύθεν, αὐτίκα δάμαρτα φίλην καὶ κτῆσιν ἔχοντα
Σπερμαίνειν, φθιμένῳ τε γόνον καὶ οἶκον ἀέξειν,
Ὄφρα κεν ὠνύνυμος ἐν ἀνθρώποισιν ὄληται.
Τοὔνεκα κρυπτὸν ὕπερθε θεοῦ βροτὸς τὸ δὲ ἐνδύερον.
Ματθὰν ἐκ Σολομῶνος ἄγων γένος, ἠγάγετ' Ἐσθάν.
Τοῦ δ' ἄρ' ἀποφθιμένοιο, καθεῖλεν ὄνομα Μελχί.
Καὶ τῷ μὲν Ἰακώβ, τῷ δ' Ἠλὶ γένετο παῖδας.
Ἠλὶ δὲ φθιμένοιο ἐπεὶ γόνον οὔτιν' ἔλειπεν,
Αὐτίκα δέμνιόν τε λέχος τε Ἰακὼβ ὁ χ' ὁμόπατρος
Δέξατο, καὶ τέκεν υἱὸν ἀδελφειῷ ἐσθλὸν Ἰωσήφ.
Οὕτω τοῦ μὲν ἦν. τῷ δ' ἔγραφε θεσμὸς Ἰωσήφ.
Εὐαγγελιστῶν δ' ὃς μὲν εἶπε τὴν φύσιν,
Ματθαῖος. ὃς δ' ἔγραψε Λουκᾶς τὸν νόμον.
Παῦσαι δ' ὀχλῶν τὴν καλὴν συμφωνίαν.
Πῶς Δαυὶδ ἀν ἄνακτα φέρει θεὸς, ὅτε φαάνθη.
Μητρόθεν ἐκ βροτέης θεὸς ἄμβροτος; ἐκ μὲν Ἰωσήφ,
Πῶς ὅγε; παρθενικῆς γὰρ ἦν παῖς. ἐκ Μαρίης δὲ,
Δαυίδης. Μαριὰμ γὰρ ἀφ' αἵματος ἦεν Ἀαρών.
Μάρτυς δ' ἄγγελος ἄμμιν, ἐπεὶ προδρόμοιο γενέθλην
Ἀγγέλλων μεγάλοιο φάος θεοειδέϊ μητρί,
Μητέρας ἀμφοτέρας ὅγ' αὐτὴ γαγὴν ἀν μέγαν Ἀαρών.
Φράτραι δ' αὖ βασιλῆος ἀμιγέες, ἡ δ' ἱερήων
Οὐκ ἔτυμον. φρῆξαι μὲν ἔσαν δίχα, πολλάκι δ' αὖ τε
Μίγνυντο. πρόσθεν μὲν Ἀαρὼν μεγάλοιο θύγατρα
Ἠγάγετ' ἀν μέγα δῶμα Ναασσών. ὃς δ' ἀπ' Ἰούδα
Ἔκτος ἦν. μετέπειτα δ' ἐπεὶ πόλιν ὤλεσεν αἰχμὴ
Ἀσσυρίων, Βαβυλών τε τὰ τέθμια πάντα τίναξεν,
Οὐδὲ φυλῶν τμῆμός τε διαμπερὲς ὂν αἷμα φυλάχθη.
Οὕτω μὲν διὰ μητρὸς ἀνέρχετ' ἀν βασιλῆας.
Ἐκ δὲ πατρὸς θνήσκοντος, ὅπως φράζοιο ἄνωγα,
Αὐγούστου βασιλῆος ἐπεὶ φόρος ἔγραφε πάντας,
Ἄλλοι μέν τ' ἄλλῃσιν ἐνὶ πτολίεσσι γράφοντο
Πατρώαις, Δαυὶδ δὲ φίλον πέδον αὐτίκα κίχανον
Βηθλεὲμ, ἣ κόλποισι μέγαν ὑπεδέξατο χριστὸν,
Ἀμφότεροι, μνηστή τε φίλη, καὶ κεδνὸς Ἰωσήφ
Γραψόμενοι. φρήτρης γὰρ ἰῆς ἔσαν. ὦ δ' ἐνὶ φάτνῃ
Μήτηρ παρθενικὴ, κόσμου τίκε παντὸς ἄνακτα.
Οὕτω καὶ διὰ πατρὸς ἀνέρχεται ἀν βασιλῆας.
Ἔμπαλι μὲν γενεὴν Λουκᾶς μέγας ἤγαγε μύθῳ
Εἰς Ἀδὰμ ἐκ χριστοῖο. ἐμοὶ δ' Ἀδὰμ ἦλθ' ἐπὶ χριστόν.
Χειρὶ θεοῦ πρώτιστος Ἀδὰμ γένετ'. ἐκ δ' Ἀδάμοιο
Σὴθ πέλε. τοῦ δ' ἄρ' Ἐνώς. τοῦ, τέτρατος ἦν Καϊνάν.
Τοῦ δ' ἦν Μαλελεήλ. τοῦ δ' Ἰάρεδ, ὃς τίκε παῖδα
Κεῖνον Ἐνὼχ, ὃς ζωὸς ἀν οὐρανὸν ἦλθεν ἀειρθείς.
Τοῦ δὲ Μαθουσάλα ἔσκεν, ὃς υἱέα γείνατο Λάμεχ.
Αὐτὰρ ὁ, Νῶε πατήρ. Σὴμ, Νῶεος υἱὸς ἐκείνου.
Ἐκ τοῦ δ' Ἀρφαξάδ, Καϊνάν. Σαλά. τοῦ δ' ἐνέπουσιν
Υἱὸν Ἔβερ. Ἔβερος δ', Φαλὲκ παῖς. ἐκ δ' ἄρα Φαλὲκ,
Ἔσκε Ραγαύ. κεῖνος δ', Σερούχ τέκεν, ὃς τίκε Ναχώρ.
Ἀβραὰμ αὖτ' αὖθι ἔπειτα, παῖς Θάρρα, Ναχωρείδαο.
Ἀβραμιάδης δ' Ἰσαὰκ, Ἰακὼβ τέκεν. ὃς δ' ἄρ' Ἰούδαν.
Αὐτὰρ ὁ, ἐκ Θαμάρης Φαρὲς τέκεν. αὐτὰρ ὁ, Ἐσρώμ.
Ἐσρὼμ, τὸν Ἀράμ, ὃς τὸν Ἀμιναδάμ. ὃς δ', Ναασσών.
Ναασσὼν δ' αὖ. Σαλμών. Σαλμὼν, Βοόζ. ἐκ Βοὸζ, Ὠ-
Ὠβήδ, Ἰεσσαί. τοῦ δ' ἐκ μέγας ἔπλετο Δαυίδ. (βήδ.
Δαυίδης δὲ, Νάθαν, ὃς Ματθὰν υἱὸν ἔτικτεν.
Ὃς, Μαϊνάν. Μαϊνάν, Μελεὰν τίκε. ὃς δ' Ἐλιακείμ.
Ὃς, τὸν Ἰωνάν. ὅς, τὸν Ἰωσήφ. ὅς, τὸν Ἰούδαν
Γείνατο. τοῦ, Συμεών. τοῦ, Λευί. τοῦ ἄπο, Ματθάν.
Τοῦ δὲ, Ἰωρείμ. τοῦ δ' Ἐλιέζερ. τοῦ δ' ἐ, Ἰησοῦ.
Τοῦ δ' Ἤρ. τοῦ δ' Ἐλμωδάμ. τοῦ δ' αὖ, παῖς ἔπλετο Κω-
Κωσὰμ, ἐὼν Ἀδδί. τοῦ, Μελχί. τοῦ δ' ἄπο, Νηρί. (σάμ.
Τοῦ δ' ἄπο, Σαλαθιήλ. Ζοροβάβελ. Ρησά. Ἰωνάν.
Ἰούδας. Ἰωσήχ. Σεμεΐ τ' αὖ, Ματθίας τε,
Καὶ Μαάθ. Ναγγαί, καὶ Ἐσλείμ. τοῦ δ' ἄπο Ναούμ,
Ἀμώς, ματταθίας, καὶ Ἰωσήφ, ἠ δὲ Ἰανναί.
Μελχί, καὶ Λευί, καὶ Ματθάν. Ἠλί. Ἰωσήφ.
Λουκᾶς μὲν οὕτω. τοὺς δὲ Ματθαῖος μέγας.
Ἐξ Ἀβραὰμ μὲν μέχρι Δαυίδ, ὡς ἔφην.
Ἔνθεν δὲ Λουκᾶς τὴν ἑτέραν πατρὸς
Σπορὰν, τίθησι τοῦ γένους ἀνάκτορας,
Εἰσὶν δ' ὅσοι τε καὶ τίνες, λελέξεται.
Δαυίδης, Σολομὼν, Ροβοάμ, Ἀβίας τε, Ἀσά τε.
Τοῦ δ' Ἰωσαφάτ ἔσκεν. ὁ δ' ἕβδομος, ἦεν Ἰωράμ.
Ὀζίας, ὁ δ' Ἰωάθαμ, ὁ δ' Ἀχαζ, Ἐζεκίας τε,
Καὶ Μανασσῆ, καὶ Ἀμώς, Ἰωσίας. αὐτὰρ ἔπειτα,
Ἰεχονίας, ἁλωτὸν ὃν ἤγαγον ἀν Βαβυλῶνα.
Σαλαθιήλ. Ζοροβάβελ. Ἀβιούδ, ὁ δ' Ἐλιακείμ.
Ἀζώρ. τοῦ δὲ, Σαδώκ. τοῦ δ' Ἀχίμ. τοῦ δ' Ἐλιούδ.
Τοῦ δ' Ἐλεάζαρ ἦν. τοῦ, Ματθάν. τοῦ δ' Ἰακώβ.
Ὕστατος ὃς δοκέεσκε πατὴρ χριστοῖο, Ἰωσήφ.

ΤΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΑ
κατὰ ματθαῖον.

Ματθαῖος βίβλοισι τὰ θαύματα, ὁππόσ' ἔρεξε
Χριστὸς ἄναξ βροτέῳ σώματι κιρνάμενος.
Πρῶτον μὲν λεπροῖο πικρὴν ἀπεσείσατο νοῦσον,
Εἶθ' ἑκατοντάρχου παιδὸς ἔπηξε μέλη.
Τὸ τρίτον αὖ Πέτρου ἑκυρῆς φλόγα ἔσβεσε χειρί.
Τέτρατον, οἶδμα μέγα δῦνασε καὶ ἀνέμους.
Δαίμονας ἧκε σύεσσι τὸ πέμπτον, ἐν γεργεσηνοῖς.
Ἕκτον, ἑὴν κλίνην ἦρε βαρὺς μελέων.
Ἕβδομον, ἀψαμένης πηγὴν σχέθεν αἱμορροούσης.
Ἄρχοντος θυγάτηρ ὄγδοον ὦρσε φάος.
Εἴνατον αὖ, τυφλοῖσι πόρεν φάος. ἐκ δ' ἐλαθέντος
Δαίμονος, ὁ λαλέειν ῥῆξε λόγον δέκατον.
Σαββάτῳ ἑνδέκατον, ξηρὴν χέρα λύσατο δεσμῶν.
Ὅσσε δὲ δαιμονίου κῶφα, δυωδέκατον.
Ἐκ δεκάτοιο τρίτον, κοφίνους δυοκαίδεκα πλῆσε,
Κἀνδρῶν χιλιάδας πέντ' ἐκ πέντ' ἀκόλων.
Τέτρατον ἐκ δεκάτου δὲ, κιχήσατο νῆα πόδεσσι.
Τοῖς δ' ὑπόειξε μέγας πόντον ὀρινόμενος.
Πέμπτε δὲ καὶ δέκατον, χαναναίας πένθιμ' ἔδειξε
Μητρὶ χαριζόμενος πολλὰ λιταζομένῃ.
Ἕκτον καὶ δέκατον, σπυρίδας λίπον ἑπτ' ἐκ ἑπτὰ
Ἄρτων, χιλιάδων τέσσαρσιν, ἣν τε κόρος.
Ἑπτὰ δὲ καὶ δέκατον, θείην ἠλλάξατο μορφὴν,
Στράψας οἷσι φίλοις ἠελίοιο πλέον.
Ὀκτωκαιδέκατον δὲ, σεληνιακὴν σχέθε νοῦσον
Ὡς ἱκέτευσε πατὴρ, λύσατο παῖδα φίλον.
Ἐννεακαιδέκατον, φάος ὄμμασιν ἐξ ἱεριχοῦς
Τυφλοῖς εἰνοδίοις δῶκε πορευόμενος.
Εἰκοστὸν δ' αὐγὰς πόρεν ὄμμασι, πηράτ' ἔλυσε
Γουνάτα, ἐξ ἱεροῦ λύματα πάντ' ἐλάσας.
Θαῦμα δὲ Βηθανίηθεν ἰὼν πείνησε μέγιστον,
Ξηρὴν αἶψα συκῆν, ὡς μὴν ἄκαρπον ἴδεν.
Ἐκ δ' ἐχύθη σταυροῖο βαθὺ σκότος, οἰχομένοιο
Φωτὸς, καὶ ναοῦ θυρὸ πέτασμα ῥάγη.
Γαῖα δὲ παλλομένη, γαίης ὑπὸ ῥῆξε πέτρας,
Καὶ νεκύων τύμβους λῦσαν ἀνερχομένων.
Αὐτὰρ ὅγε τριτάτῳ ἐν ἤματι τύμβον ἀνοίξας,
Αὖθις ἑοῖσι φίλοις ἐν γαλιλαίᾳ ἐφάνη.

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ,
καὶ αἰνίγματα.

Εἶδ' ἄγε, καὶ σκοτίων αἰνίγματα λέξεο μύθων,
Οἶκον ὑπὲρ ψάμμου κείμενον ἀδρανέος.
Καὶ σπόρον, ὡς ὑπὲρ γαῖαν ὁμοῖος ἦλθεν ἄϊστος.
Καὶ σπόρον, ᾧ καλῷ σπέρματα ἐχθρὰ μίγη.
Καὶ δένδρον, ὀλίγον νάπυος σπόρον. εἶτ' ἐν ἀλεύρῳ
Ζύμην κρυπτομένην, ὤνιον ἀγρὸν ἔτι
Θησαυροῖο χάριν. καὶ μαργαρίτην πολύτιμον,
Ἔμπορος ὃν πάντων ἐπρίατο κτεάνων.
Καὶ νεπόδων ἕλκουσαν ἅπαν γένος ἐξ ἁλὸς ἄρκυν.
Αἰρόμενόν τ' ὤμοις πλαζόμενον πρόβατον.
Καὶ πικρῷ θεράποντι χρέος πέρι, πικρὸν ἄνακτα,
Καὶ πρώτοις πυμάτοις μισθὸν ἔχοντας ἴσον.
Πεμπομένους θ' υἱέας ἐς ἄμπελον υἱὸν ὁμοίως,
Καὶ τὸν κληρονόμον ὥσπερ μένους θανάτου.
Καὶ χρεῖος νυμφῶνι φίλην πλήσαντες ἑορτήν.
Ἔνθεν ἀκοιμήτους ἐν δαΐδεσσι κόρας.
Καὶ κύριον δούλοισι νέμον τ' ἐκ ἴσα τάλαντα.
Ἔμπαλιν αὖ, προβάτοις ἔσπε μένους ἐρίφους.

ΤΟΥ ΑΥΤΟΥ ΘΑΥΜΑΤΑ
κατὰ Ἰωάννην.

Πάντα δ' Ἰωάννης δέκας ἱερῇ ἐν βίβλῳ
Θαύματα δὲ, πολλοὺς δὲ λόγους χριστοῖο ἄνακτος.
Ἦν γάμος, οἰνοχόοι δ' ἐκέρων ἐξ ὕδατος οἶνον.
Εἶπε, καὶ ὑἱὸς ἀνέστη ἑὸν κάμνων βασιλίσκου.
Εἶπε, λέχος δ' ἀνάειρεν, ὃς οὐ . . . γε δ' ἄνυμα λιπὼν οἷς.
Πέντε δ' ἔπεστ' ἄρτων πέλασεν τρίας. ἔνθεν ὁδεύων
Πόντον ὑπερζέοντα, καὶ ἐξεσάωσε μαθητάς.
Τυφλὸν δ' ἐκ γενετῆς ἰήσατο, πηλὸν ἀλείψας.
Τέτρατον ἦμαρ ἔην, ὅτε Λάζαρος ἔγρετο τύμβου.
Αὐτὰρ ὁ καὶ νεκύεσσι θάνεν, καὶ ζῶσιν ἀνέστη,
Χριστὸς ἄναξ ἀναφανδὸν ὁ μέλλειν οἷς ἑτέροισι.

ΤΟΥ ΑΥΤΟΥ ΘΑΥΜΑΤΑ
κατὰ Λουκᾶν.

(γρα-
Λουκᾶν δ' ἄλλα δὶς ἑπτὰ θεοῦ τάδε θαύματ' ἔ-
Παύλῳ, θαρσαλέος χριστοῦ μεγάλῳ θεράποντι.
Δαίμων καὶ πυρετὸς καὶ λέπρη καὶ παράλυσις
Εἶξε λόγῳ. καὶ χεὶρ τάνατο καρφαλέη.
Εἶθ' ἑκατόνταρχοιο λελυμένον ἤγειρε παῖδα.
Χήρῃ τ' ἐκ νεκύων ἐν ναΐμ υἱα πόρε.
Τὴν δὲ μύρῳ χρίσασαν ἁγνοὺς πόδας, ἤγνισε μόχθων
Καὶ στῆσεν ἀνέμους, καὶ λεγεῶνα μέγαν.
Αἵματος ἔσχε ῥύσιν, καὶ ἰαείροιο θύγατρα
Ἤγαγεν ἐκ ζωήν. πέντε δ' ἄρ' ἐξ ἀκόλων
Καὶ δύο ἰχθυδίων, ἐν ἐρήμῳ πέντε ποτ' ἀνδρῶν
Θρέψεν χιλιάδας. εἶδος ἧκε σέλας.
Δαίμονα τηλυγέτοιο πικρὸν ἐξέρυγαθε παιδὸς.
Καὶ τὸν ὑπὲρ γλώσσης ἥμερον. ὡς δὲ πάλαι
Ἑβραΐην συγκεῖ νόσῳ κλίνουσα γυναῖκα,
Ναὶ μὴν καὶ ὑδέρου ὄγκον ἀπεσκέδασε.
Καὶ λεπροὺς ἐκάθηρε δέκα. τὸν, ὡς σαμαρείτης.
Τυφλῷ τ' ἐξ ἱεριχοῦς φῶς πόρεν εἰνοδίῳ.
Ὅσσά τ' ἀπέψυχοντος ἴδον σημεῖα χριστοῦ.
Ἠδ' ὡς ἐκ νεκύων οἷσι φίλοισι φάνη.

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ
δι' ἰάμβων.

Π
Ἀροιμιῶν δὲ Λουκᾶς ἐμνήσθη πόσων,
Τοῦ θέντος ἕδραν ἀσφαλῆ πέτραις ὕπο.
Καὶ τοῦ παθόντος εὖ πλέον, καὶ τὸ πλέον
Στέργοντος. εἶτα τοῦ σπόρου εἰς τέσσαρας
Φύσεις πεσόντος γῆς. ἔπειθ' ὁδοιπόρου
Λῃσταῖς πεσόντος. εἶτ' ἀνεῳγότος θύρας
Ἐλθόντες αἰτεῖν, κοὐ πονηρὰ λαμβάνειν.
Ἀκάθαρτον εἶτα πνεῦμα δ' εἰσοικίζεται
Ἑπτὰ ξὺν ἄλλοις. καὶ μάτην τις ἐλπίσι
Καρπῶν γέγηθεν, ἀγνοῶν οἷ στήσεται.
Ἐκ τῶν γάμων δ' ἥκοντι, γρηγορητέον
Χριστῷ, καλῶς τε τῇ θεραπείᾳ χρηστέον.
Συκῆν τ' ἄκαρπον ταῖς κόπροις ἐπωφελεῖν.

Νάπυ

Νᾶπυ, ζύμην τε. καὶ τυχόντων ἐν γάμῳ.
Χαρᾶς τε δραχμῆς εὑρέσει, καὶ θρέμματος.
Πατήρ τε παίδων τῷ πλανόντι συμπαθής.
Εἶτ' οἰκονόμος τὶ τῶν χρεῶν χαρίζεται
Κλέπτων πονηρῶς. Λάζαρος καὶ πλούσιος.
Ἐκεῖθε χήρας ἀξίωσις δύσπονος.
Εἶτ' αὖ τελώνης, καὶ φαρισαίου τύφος,
Καὶ μνῶν μερισμὸς, ἰσάριθμος ταῖς δέκα.
Κακοὶ γεωργοὶ καὶ φονεῖς τοῦ δεσπότου.

ΤΑ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΑ

κατὰ μάρκον.

Μάρκος δ' αὐσονίοισι θεοῦ τάδε θαύματ' ἔγραψε,
Πέτρου θαρσαλέος χριστοῦ μεγάλου θεράποντι.
Δαίμων καὶ πυρετὸς, καὶ λέπρα, καὶ παράλυσις
Εἶξε λόγῳ χριστοῦ. μετέπειτα δὲ χεὶρ ἐτανύσθη
Ξηρή. καὶ ἀνέμων λῆξε μένος ἠδὲ θαλάσσης.
Καὶ λεγεῶν' ὑπόειξε, καὶ αἱμορροοῦσαν ἔπαυσε
Πηγῆς, καὶ θυγατρὶ ζωὴν πόρεν Ἰαείροιο.
Πέντε δ' ἄρ' ἐξ ἄρτων πολλοὶ τράφεν. ἔνθεν ἔλασσε
Πόντον ἐπιστείβων, μετέπειτα δὲ, πνεῦμ' ἐδίωξε
Φοινίσσης, τυρίοισι τορῶς καὶ σιδονίοισι,
Κωφόν τ' οὐ λαλέον. θρέψεν πάλιν ἑπτ' ἀκόλουθον
Ἀνδρῶν χιλιάδας. καὶ τυφλὸς ἴδεν φάος. αὖτε
Καὶ μορφῆς ἀπέπεμψε σέλας, καὶ δαιμόν' ἔλυσε
Γλώσσης πνεῦμ' ἐλάσας. Βαρτιμαῖός τε φάος δὲ
Τυφλὸς ἐξ ἱερειχοῦντος ἐσέδρακεν. ὡς δὲ ἄκαρπον
Εὗρε συκῆν χατέων, νεκρὰν ἔθηκε λόγῳ.
Τυφλὸς δ' αὖ χωλός τε ἰήσατο ἐγγύθι νηοῦ.

ΠΑΡΑΒΟΛΑΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ

εὐαγγελιστῶν.

Δείδω μὴ βιότοιο θεμείλιον ἐν ψαμάθοισι
Βαλλόμενος, ποταμοῖσι καὶ ἐν ἀνέμοισι κεδα-
Ἢ σπόρος ὡς ἐπὶ γαῖαν ἰὼν ξηρὴν καὶ ἄκαρπον, (σθῶ
Ὦκα μὲν ἀντέλλοιμι, τάχιστα δὲ αὖθις ἔοιμι
Ἠελίοιο βολῇσι τυπεὶς, καὶ πήμασι τυτθοῖς.
Ἤ με φάγοι πετεηνὰ, καὶ ἐκθλίψειαν ἄκανθαι.
Μὴ δέ μοι ὑπνώοντι κακὸν σπόρον ἐγκαταμίξῃ
Ζιζανίων ἀρότης τε κακῶν, καὶ βάσκανος ἐχθρός.
Μὴ δ' ἄρ' ὁμοῦ χλοάουσι βαλὼν ἐπὶ χεῖρα φυτοῖσιν
Ἐσθλοῖς ἠδὲ κακοῖσι, πρὶν ἐν σταχύεσσι σταθῆναι,
Σύν που ζιζανίοισι καλὸν φυτὸν ἐξολέσαιμι.
Παύρων γὰρ τοίοις δὲ νοήμονα χεῖρ' ἐπιθεῖναι,
Ἔνθ' ἀρετὴ κακίη τε διάνδιχα ναιετάουσαι,
Ἀγχίθυροι γεγάασι. κακὸν δ' ἐπιτέλλεται ἐσθλῷ.
Αἰνῶ τὸν ὀλίγον νάπυος σπόρον, ὡς ὀλίγος μὲν,
Δενδροῦται δὲ τάχιστα, καὶ ἐν τόσον ὕψος ὀδεύει,
Ὥστε καὶ ὀρνίθεσσι πέλειν σκέπας ἠερίοισι.
Μάργαρε τιμίε καὶ κύδιμε, σοῦ δ' ἄρ' ἔγωγε
Κάλλεος ἱμείρων, μέγας ἔμπορος αἶψα γενοίμην.
Πάντων δ' ὅσσα μοι ἐστὶ μέχρις πυμάτοιο χιτῶνος,
Ὤνιον ἀντιλάμβοιμι φίλον κτέαρ, ὥς κεν ἅπαντας
Πλούτῳ νικήσαιμι, πεπαμμένος οἶον ἀπ' ἄλλων,
Ἢ θησαυρὸν ἀγροῖο μυχοῖς ἐνὶ κρυπτὸν ἐόντα.
Οἶδα δ' ἐγὼ καὶ κόσμον ἔσω πίπτοντα σαγήνης,
Ὦ χριστοῦ βασιλῆος ὑποδρήσσοντες ἐφετμαῖς,
Ἀνθρώπων ἁλιῆες ἑὸν λίνον ἀμφὶς ἔθηκαν,
Ὡς ἁλὸς ἐξερύσωσι βυθῶν, ὀπίσωσι δὲ χριστῷ
Νηχομένους πικροῖς ἐνὶ κύμασι τοῦδε βίοιο.
Ἀλλ' ὁπόταν κρίνῃς ἁλίην, διάνδιχα τέμνῃς,
Μή μ' ἐκτὸς τῆλε βάλλοις, ἀχρήιον οἷά περ ἰχθύν.
Ἀγγέσι δ' ἐγκατάθειο φυλασσόμενον βασιλῆϊ.
Ἐς μεγάλην δὲ θεοῖο καλὴν ἐριθηλέ' ἀλωὴν,
Ἠῶος μὲν ἔβην, καὶ πλείονα μόχθον ἀνέτλην.
Μισθὸν δ' ὑστατίοισιν ἴσον, καὶ κῦδος ἔχοιμι.
Τίς φθόνος, εἰ μόχθοισι πόθον θεὸς ἀντιφερίζει;
Πέμπε πατὴρ ὑμᾶς ἐν ἄμπελον, ὡς κομέοιεν,
Τὸν πρότερον, πρότερον. ὁ δ' ἄρα πρόφρων ὑπέειξε,
Οὐ μὴν ἐξετέλεσσε πατρὸς πόθον, ὥσπερ ὑπέστη.
Αὐτὰρ ὅγ' οὐχ ὑπέδεκτο, καὶ ἐξετέλεσσεν ἐφετμὴν
Ὁπλότερος. χρέος ὧν μὲν ἐμοί, γλυκίων δὲ τοκῆος
Ἀμφοτέρων, ὃς ἔλεκτο, καὶ ἐξετέλεσσεν ἔελδωρ.
Κληρονόμον δ' ὀλέσαιεν, ὅσοι πυρὸς ἐκτὸς ἀλωῆς.
Ἔστι γάμος, τῷ παιδὶ πατὴρ φίλος ἐσθλὸς ἄριστος
Δαίνυσι καγχαλόων, τοῦ δ' ἀντιάσαιμι ἔγωγε.
Τοῦ δ' ἐγὼ ἀντιάσαιμι, καὶ ὃς φίλος ἐστὶν ἔμοιγε.
Μίμνοι δ' ἔκτοθι κεῖνος, ὅστις περ γάμοιο τίθησιν
Ἢ ἀγρὸν, ἢ βοῶν ζεῦγος νέον, ἢ δ' ἅμαρτα.
Μὴ δ' ἐν δαιτυμόνεσσι γαμήλιον εἶδος ἔχουσιν,
Εἵματ' ἔχων ῥυπόωντα, δεθεὶς χεῖράς τε πόδας τε,
Νυμφῶνός τε γάμου τε, φίλων τ' ἄπο τῆλε πέσοιμι.
Ἡνίκα δ' αἰθομένοισιν ἄγων δεκὰς ἐν δαΐδεσσι
Παρθένοι ἐγρήσσουσαι, ἀκοιμήτοις φαέεσσι
Νυμφίον ἱμερόεντα θεὸν δοκέωσιν ἄνακτα,
Ὡς λαμπρὰ γανόωντι ὑπαντήσωσιν ἰόντι,
Μή μ' ἐν ταῖς κρινέεσσι νέον, καὶ ἄφροσι θείης,
Μὴ δ' ὀλιγοδρανέον δαΐδων σέλας ὄμμασι λεύσ-
Ἤδη που χριστοῖο περισσομένου μογέοντος, (σων,
Ὀψέ φανῇς ζωῆς ὑγρὸν ποθέοιμι ἔλαιον.
Μηδέ με κλειθέντα γάμων ὤσαιτο θύρετρα,
Ἔνθα λόγος καθαροῖσι πόθοις μεγάλοις ὑπὸ δεσμοῖς
Μιγνύμενος κραδίας θάρσος καὶ κῦδος ὀπάζει.
Ἐκ δὲ γάμων παλίνορσος ἄναξ ἐμὸς εὖτ' ἂν ἐπέλθῃ,
Ἐξαπίνης δοκέουσι καὶ οὐ δοκέουσιν ἐπιστάς,
Εὕροιμ' ἐν δοκέουσι, καὶ αἰνήσειε φόβοιο
Ὡς ἀγαθὸν θεράποντα, καὶ ἤπιον ἀρχομένοισι,
Καὶ σίτοιο δοτῆρα, λόγου στερεοῖο φέριστον.
Σχιζομένων τ' ἐρίφων καὶ οἴων ἤματι πικρῷ,
Ἀνδρῶν δυσσεβέων τε καὶ οὐχ ὁσίων ἑκάτερθεν,
Στήσειας μή μ' ἐρίφοις ἐναρίθμιον, ἀλλ' ὀΐεσσι
Δεξιτερὴν παρὰ χεῖρα, μηδ' εἴτ' ἐνὶ χείρεσι λαιῇ.
Λύχνος δ' εἴ τις ἔμοιγε φαεσφόρος ἔκτοθι λάμποι
Λυχνίης καθύπερθε. καλὸν δέ τι καὶ θεὸν οἶον
Ἴδμεναι, ὃς πάντεσσιν ἐπίσκοπον ὄμμα τίθησιν.
Αἰεὶ δὲ στέργοιμι θεὸν πλέον, εἴτε τι πικρὸν,
Εἴτ' ἀγαθὸν παρέχοι. πᾶν γὰρ καλόν. εἰ δὲ τυπείην
Λῃσταῖς, μεγάλης κατιὼν ἀπὸ χριστοπόληος,
Μή με λίπῃς χείρεσσιν ὑπ' ἀνδροφόνοισι δαμῆναι.
Εἰ δὲ πνεῦμ' ἐλάσειας ψυχῆς ἄπο, μηκέτ' ἀεργὸν
Εὑρὼν σὺν πλεόνεσσι κατεδράμοι ἐχθρὸς ἐμεῖο.
Μὴ δὲ συκῆν ὀλέσειας ἀχρήιον, ἀλλ' ἐπὶ καρπὸν

Ἔλπεο, μὴ δὲ τύμβος μὲν ἄναξ. κομέων δ' ἔτ' ἀγείρειν
Δραχμήν τε, πρόβατόν τε, πάντ' ἀπὸ πάντ' ὀλέσαντα
Εὑρὼν, τὴν μὲν ἔρεξε, τὸ δ' ἤρθη, τὸν δ' ὑπὸ ποσσὶν
Οἰκτρὸν ὑποστρέψαντα πατρώιον εἰς δόμον. ὦναξ
Αὖθις ἀριθμήσειας ἐν υἱάσι, θρέμμασι, δραχμαῖς.
Μὴ δ' ἀγαθοῦ Βασιλῆος ἐμοῖς παθέεσσιν ἐόντος,
Πρακτὴρ αὐτὸς ἔοιμι πικρὸς χρυσοῖς ὁμοδούλοις.
Καί τι χρειῶν κούψαιμι λαβὼν πινυτόφρονι βουλῇ,
Ὡς κεν χρηίζων ποτ' εἰς ὕστερον ἄλκαρ ἔχοιμι.
Λάζαρος ἐνθάδε δ' εἴοιμι, καὶ ὕστερον, ἄλλος ἀγήνωρ
Ἐνθάδε, κεῖθι δ' ἄτιμος ἔχων φλόγας ἀντὶ κόροιο.
Εἴην μὴ μεγάλαυχος, ἐπεὶ κακός εἰμι τελώνης.
Δάκρυσιν οἶκτον ἔχοιμι, φαρισαῖος δὲ πέσοιμι.
Χήρην δ' εἴπο τ' ἐμοῖο παρὰ προθύροις μογέουσαν
Ἄπρηκτον πέμψαιμι, ἢ οἱ λίθον ἢ ὄφιν αἰνὸν
Ἀντ' ἄρτοιο φίλοιο καὶ ἰχθύος ἠδυβόροιο
Ἐχθρὰ φιλοφρονέων, παλάμης δ' ἀπὸ τῆς δ' ὀρέγοιμι,
Τοῖον ἀντιτύχοιμι θεοῦ πάρα. εἰ δ' ἀποθήκας
Τὰς μὲν σφραγὶς ἔχει, τὰς δ' ἐλπίδων ὦκα θέουσαι,
Ἡ δέ με νὺξ ὀλέσειε σὺν ἀφραδέεσσιν ὀνείροις.
Οὐδὲ μὲν οὐδὲ τάλαντον, ὅ μοι θεὸς ἐγγυάλιξε
Πλειοτέρῳ ἄλλοισι μετρεῖν χάριν, εὔχομ' ἔγωγε
Τοῦτο μένειν παλάμῃσιν ἐν ἡμετέρῃσιν ἀεργὸν,
Ἢ ἐμοῦ φυσικοῖο λόγου χάριν ἰσονέμητον,
Ἀλλ' ἔργον τ' ὀπάσαιμι, κλέος τ' ἐπί τ' αὐτῷ τύχοιμι.
Μὴ δὲ δίκην τίσαιμι πικρὴν, καὶ αἶσχος ἔχοιμι.

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΚΟΙΝΟβίῳ μοναχούς.

Εἰ μὲν δὴ πλεόνεσσιν ὁμὸν βίον αἰνήσαιμι
Ἀνέρες ἠδὲ γυναῖκες ὁμοφροσύνης ὑπὸ δεσμοῖς,
Ἴλαον ἀμφὶ ἄνακτα χοροστασίῃς μεδέοντα,
Σύμπνοον, ἰσοκέλευθον, ὁμώροφον ὧν χῶρον ἔχουσαι,
Λώιον. οὐκ ἐθέλει γὰρ ἅπαν καλὸν οἶον ὁρᾶσθαι.
Οὐδὲ γάρ ἐστιν ἄριστον, ὃ μὴ καλοῖο προέχει.
Καὶ στυγνὴ φιλίη, βαιὴ χάρις, ὡς πολύμικτος
Βορβορέει. κέλομαι δὲ ἐνθάδε χάσμα μέγιστον
Ἑστάμεν, ὡς κεν ἔωσι διαστάδον εὐσεβέοντες,
Ἀνέρες ἠδὲ γυναῖκες, ὁμὸν κλέος οἷον ἔχοιεν.
Οὐδὲ γὰρ οἰοβίοισι μόνον φθόνος, ἀλλ' ἔτι μᾶλλον
Πλειοτέροις, πλεῖόν τε κακοῦ μένος. εἰ δὲ καὶ οἶος
Ναιετάειν ἐθέλοις χριστῷ ξεινούμενος αἰεὶ,
Καὶ τὸ φίλον, πάντεσσι δ' ὁμῶς δέος, ὥσπερ ἐμοί γε,
Δυσμενέος τε πέλῃς, καὶ πτώματος οὐλομένοιο.

ΠΡΟΣ ΕΛΛΗΝΙΟΝ ΠΕΡΙ ΤΩΝ μοναχῶν προτρεπτικόν.

Δίζηαι μὲν ἐμῶν μύθων ἀθρόος οὐκέτ' ἐόντων,
Ἐξ οὗπερ κόσμου τοῦ δ' ὀλιγοδρανέος
Σταυρὸν ἀειράμενος, φόρτον γλυκὺν, ὅς μ' ἐσάωσε,
Καὶ πάντων βροτέων χεῖρον ἀμειψάμενος.
Οἱ δέ τοι οὔτι λίην μαλακοὶ καὶ θῶπες ἔασιν.
Οὐδὲ γὰρ οὐδὲ λόγῳ κρέσσονι τῶν περ φίλον.
Οὐ γλοιὴν, οὐκ ὄλβον, ὃς ἄφροσιν ὀφρὺν ἀνέλκει,
Οὐ ῥήτρας πυρόεν δ' ἐξερέουσι μένος.
Σεῖο κασιγνήτου τε μέγα κλέος, ὧν ῥα πέλονται
Νωμῶνται μεγάλης οἰάκεσι παλάμης.
Ἀλλὰ τὰ μὲν κενεοῖσι λόγοις μελεδήματα κείσθω,
Οἱ δ' ἐμοὶ, οὔ τι φίλοις ἦρα φέρουσ' ὀλίγην,
Ἀλλά σε παρφασίῃσι θεουδέσι πολλὸν ἀρείω
Θήσουσιν. σὺ δέ μοι ἤπιον οὖας ἔχοις.
Ἢ τάχα κρείσσονα μισθὸν ἐμοῖς ἐπέεσσιν ὀπάσσεις,
Πλείοσιν εὐμενέων, οὐδὲ κακοδυσμενέοις.
Οὔ μοι χθιζὸν ἄριστε ὑπέσχεο, καὶ κατένευσας,
Οὐκ ὀλίγος ὀλίγῳ μακρὰ χαριζόμενος.
Ἀλλ' ἄγ' ἐμῶν ἐπέων ἐμπάζεο, οὓς ἀπὸ βίβλων,
Φθέγγομαι οὐρανίων νεόθεν ἐκ κραδίης.
Ἄλλοι μὲν χρυσόν τε καὶ ἄργυρον, οἱ δὲ τὰ σηρῶν
Δῶρα φέρουσι θεῷ νήματα λεπταλέα.
Καὶ χριστῷ θυσίην τις ἁγνὴν αὐτὸν θῆκεν ἑαυτόν.
Καὶ σπονδὴν δακρύων ἄλλος ἁγνὰς λιβάδας.
Σεῖο δὲ χριστὸς ἔχει δῶρον τόδε, πᾶσι θεοῖο
Λάτρισιν, οἷσι πόροις πᾶσαν ἐλευθερίην.
Οἵ κε γαληνιόωντι νόῳ, ψυχαῖς τε τελείαις,
Πληθὺν ἄγουσιν ἄνω μύστιν ἐπουρανίων.
Πᾶσί τε χριστοφόροισιν, ὅσοι χθονός εἰσιν ὕπερθεν
Ἀζυγέες, κόσμου βαιὸν ἐφαπτόμενοι,
Ὕμνοις παννυχίοισι καὶ ἠματίοισιν ἄνακτα
Μέλποντες, χθαμαλῶν ἀλλότριοι κτεάνων,
Οἷς κόσμου μεδέων δειλὸν γένος ἔνθα καὶ ἔνθα
Παίζει τῶν χθονίων, ἄλλοτ' ἐπ' ἄλλον ἄγων,
Οἷον πλοῦτον ἔχοντες ὑπέρτατον, ἐλπίδα κούφην
Τῶν οὐκ ὀλλυμένων, οὐδὲ μεθισταμένων,
Πλευρᾶς οὐ χατέοντες ἑὸν δέμας ἀμφαγαπῶντες,
Οὐ δὲ νέῃ παλάμῃ παισὶν ἐρειδόμενοι,
Οὐδὲ κασιγνήτοισι πεποιθότες, οὐδ' ἑτάροισιν,
Αἵματι καὶ τέφρῃ αὔριον ὀλλυμένῃ,
Οὐ δὲ μέγα πνείοντες ἐν ἄστεϊ καὶ πολιήταις,
Ἀδρανέων αὐχμὸν κάρτεϊ θαρσαλέοι,
Οὐ δὲ μὲν ἰχανόωντες ἀφιπταμένοιο τάχιστα
Κύδεος ἀνδρομέου, τέρψιος ἐννυχίης,
Ἀλλὰ θεῷ πέμποντες ὅλον νόον, ἔκ τε θεοῖο
Εὐπαγέος πίστεως πείσματ' ἀνηπτόμενοι,
Μύσται κρυπτομένης ζωῆς χριστοῖο ἄνακτος,
Ὡς κε φαεινομένης παμφανόωσι μέγα,
Δερκόμενοι τριάδος καθαρὸν σέλας εἰς ἓν ἰούσης,
Καὶ θεὶς ἀνοιγομένης ὄμμασιν ἁγνοτάτοις.
Οὐρανίης στρατιῆς τε μέγα κλέος, οὐκέτ' ἀμυδροῖς
Φάσμασιν, οὐδ' ὀλίγοις ἴχνεσιν ἀτρεκίης.
Ἀλλὰ τὰ μὲν μετόπισθε, τὰ δ' ἐνθάδε, καπνὸς ἄημα
Ἢ κόνις, οἳ ζωὴν τίσαν ἐπουρανίην.
Ὧν οἱ μὲν σπήλυγξιν ἐρημαίαις τε χαμεύναις
Τέρπονται σχεδίοις, καὶ συγέεσσι δόμοις,
Καὶ πτολίων φεύγουσιν ὁμήγυριν, οὐρανίης δὲ
Στέργουσιν σοφίης σύγγονον ἀτρεμίην.
Οἱ δὲ σιδηρείῃσιν ἀλυκτοπέδαις μογέουσι,
Τήκοντες κακίην σὺν χοῒ τηκομένῃ.
Ἄλλοι δ' αὖ θήρεσσιν ὁμοῖα δώμασι τυτθοῖς
Εἰρχθέντες, βροτέης οὐδ' ὀπὸς ἀντιάσαν.
Εἴκοσι δ' αὖ νύκτας τε καὶ ἤματα μίμνον ἄπαστοι,
Πολλάκι τῇ χριστοῦ ἥμισυ καρτερίης.
Αὐχήσω, πέμψῃς τις ἐμοὺς εἰς κεν ἐκείνων

Ἔνθεν ἀφορμηθεὶς ἄστεος ἐξ ὀλίγου.
Καὶ γλῶσσάν τις ἔδησε λάλον, καὶ χείλεα σιγῇ.
Ἐκ δὲ νόου, μεγάλῳ αἶνον ἔθυσε νόῳ.
Καί ποτέ τις λυκάβαντας ὅλους ἱερῷ ἐνὶ χώρῳ
Ἑστὼς καθαρὰς ἐξεπέτασσε χέρας.
Οὐδ' ὅγ' ἐπὶ βλεφάροισιν ὕπνον βάλε, θάμβος ἄπι
Ἀλλ' ἐπάγη Χριστῷ ἔμπνοος ὥστε λίθος. (στον,
Τῷ δὲ κόραξ γείτων τυτθῆς ἐμερίζετο δαιτὸς
Λείψανον. ἦς δ' ἄρ' ἔην ἀμφοτέροις ἄκολος.
Καί τις ἀνὴρ θείοιο κατ' ὄρεος ἔνθεν ἄερθη,
Χριστὸς ὅτ' ἀνθρώποις λεῖψε πάθος τελέσας.
Ἔνθα λόγῳ τε νόῳ τε καὶ ἄψεσιν ἀσυφήλικτος
Ἑστηὼς, νιφετοῖσι βάλλετο καὶ ἀνέμοις.
Οὐδ' ἐπόθησε λιτῇσι ποδιστολὸν ἄλλοθεν ἄλλην
Ἀνδρῶν εὐσεβέων ἀμφὶς ἐλισσομένων,
Ἀλλ' ἔχετο κρατερῶς Χριστοῦ μεγάλοιο ἄνακτος
Ἔνθεν ἀναστήσας ὃν νόον ἐκ μερόπων,
Μή σφ' ὅτ' ἀναψύχοντι δέμον νέον ἀμφὶς ἔθηκαν,
Οὐδ' ἐμπαζομένῳ κηδεμόνος παλάμης.
Ἀφρῖκος ἦλθεν ἐμοί γε λόγος, πιστοῖσι τετύχθαι,
Τὸν δ' ἐνόμον μοναχοῖς οὔνομα καὶ βίοτον.
Οὓς πλεῖστοι μὲν ἴσασιν, ἀτιμάζουσι δὲ παῦροι,
Πλεῖον θερμοτέρης ἔμφρονος εὐσεβίης,
Εὖτέ τις εὐαγέων ἀνδρῶν κόνισι πελάσσῃ,
Ἢ μὲν δ' ἀποῖο νόμου μηδ' ἐν ἀπεσπάμενος,
Πρῶτα μὲν εὐμενέως μὲν ἑοῖς πίσσι δόμοισιν,
Ἀμφαγαπαζόμενοι πᾶσι τύποις φιλίοις,
Καὶ ψυχὰς θείοισι λόγοις οὓς πνεῦμ' ἐχάραξεν
Ὑψοῦσιν, φαιδρὴν δ' αὖτε χαριζόμενοι,
Αὐτὰρ ἔπειτα, νόμου τις ἀπηνέος ἐν μεσάτοισι
Μνήσατο, καὶ τοῖον ἐξερέεινεν ἔπος,
Εἰ καλὸν εὐσεβέεσσι θεοῦ πέρι πότμον ἀπαντᾶν
Ἕλκων κρυπταδίοις ῥήμασι πικρὸν ἔπος,
Εἰ δ' ὅγ' ἀϊδρείῃσιν ἐπαινήσειε τελευτὴν,
Θνήσκουσιν πολλοῖς προφρονέως θανάτοις
Αὐτοὶ ὑπὸ σφετέρης παλάμης, καὶ γαστρὸς ἀνάγκῃ.
Οἱ δὲ κατὰ σκοπέλων, βόθροισί τ' ἐν βρόχοις,
Μάρτυρες ἀφρενέες. ἐκ πολέμου δ' ἄπο καὶ σωόντες
Χαίρουσιν βιότου τοῦ δ' ἀπανιστάμενοι.
Ἵλαθι Χριστὲ ἄναξ τοσαῖς φρεσὶν ἀφραδίῃσιν,
Οἷά τ' ἀεὶ νόστοιο πόλος ἀεθλοφόρος
Τῆλε φέρων ἐκ γαίης πολυκάμποι πεποιθώς,
Οὐδὲ χαλινοῖσιν ἐντὸς ἐεργόμενος.
Ἄλλος δ' αὖτ' ἄλλης ἀρετῆς ἐπιτέρπετ' ὁρῶν.
Σταθμῶν πλειοτέρων πλείονα ἐργατίναι.
Ἀλλὰ τί μοι τὰ ἕκαστα λέγειν. στεινὴ γὰρ ἀταρπὸν
Παύροισιν μερόπων ἐνθάδ' ὁδευομένην
Οἳ δὲ διεξελάσοι, καὶ ἀργαλέον πυλεῶνα,
Τῶν ἀγαθῶν πολλοῖς στειβόμενον καμάτοις.
Τοῖον μὲν Χριστοῖο λάχος, τοῖον δ' ἀπὸ γαίης
Πατρὶ Χριστὸς ἄγει καρπὸν ἑὸν παθέων.
Ἕρμα λόγου. λαοῦ δὲ κλέος. κόσμου δὲ θέμεθλον,
Κάλλος ἐν οὐρανίοις αὐτὲ πιδεικνύμενον.
Τῶν καὶ ἐμοὶ γλόος ἐστὶ φαεσφόρον. ὄμματα τήκει
Ὁ φθόνος. ἀλλὰ σύ μοι τοὺς δὲ φίλα φρονέειν,

Κληδὼν εἰν πρώτοισιν ἐνὶ, ὅς γε παρ' ἐγχοῖς
Ζώει, καὶ Χριστῷ πάντ' ἀνέθηκε φέρων.
Αὐτὸν μὲν πρώτιστον. ἔπειτα δὲ, ὅσσ' ἐπέπαστο,
Οὐδ' ἐνὶ ἐπὶ ζωῇ λειπόμενος χθονίῃ.
Μάργαρος ἐν λάεσσιν, ἐν ἄστρασι φωσφόρος ἄλλος,
Εἶαρ ἐν ὥρῃσιν, ἐν δὲ φυτοῖσι ῥόδον.
Καὶ χθονίου ποτ' ἄνακτος ἐν αὐλαῖς κύδεϊ γαίων,
Μεῖζον ἐν ἀμετέρῳ ἕρκεϊ κῦδος ἔχει.
Χριστῷ γὰρ βασιλῆϊ παρίσταται. αὐτὰρ ἔπειτα,
Πολλὸν ὁμηλικίης κρέσσονι Εὐκαλίῳ.
Τόν ῥα κασιγνήτοιο μέγα φέγγος Ἑλλαδίοιο
Ἥμισυ ἀρτὶ λιπὼν, ὤχετ' ἀεπτάμενος
Ἐς χορὸν, ὃν ποθέεσκεν. ὁ δ' ἐνθάδε μοῦνος ἐλείφθη,
Οὐδ' ἐν ἔχων ὄρπακα φέρτερον Ἑλλαδίῳ.
Μητέρα δ' ἀμφιβέβηκεν ἑὴν συγγενὴς ἀπὸ νόσου
Τειρομένην, ὀλίγαις ἐν ψεκάσι βιότου.
Οἷαν πολὺς ὁ μῦθος ἐλεγχέμεν, ἄρκιον ἐπᾶν
Τοιούτων τεκέων μητέρα βαιὸν ἔπος.
Καρτέριον δ' ἑτέρῳ δῶκεν θεός. ἀλλ' ἄρα καὶ τὸν,
Θήσει σὸν φιλότης εὐμενέων ἑτέροις.
Καρτέριον, τοῦ κῦδος ἐν οὐρανίοισι μέγιστον
Αἰὲν ἀειρομένου πνεύματι σαρκὸς ἄπο.
Φείδεο καὶ μεγάλου Νικομήδεος, εἴ ποτ' ἀκούεις.
Ὃς ζωὴν βροτέην δῶκεν ἐπουρανίῃ,
Καὶ θυσίην μεγάλοιο πατρὸς ἐζήλωσε παλαιὴν
Ἀβραὰμ ἁγνίσας ὧν τεκέων δυάδα.
Σπένδοντ' ἐν θυσίην ἱερήϊα. καὶ γάμον ἐσθλὸν
Θῆκατ', ἔπαρα γάμου κἀγαμίης στέφανος.
Οὐδ' ἔλιπεν γαίῃ πρόρριζος χοὸς, ὡς ὅλος ἔλθῃ
Γαῖαν ἐν ἀσπαίρων, ἐκ δὲ λυθεὶς βιοτῆς.
Καρπὸν ἀριστεύοντα μετ' ἀνδράσιν ἠδὲ γυναιξὶν,
Ἀνδράσιν υἷα φίλον, θηλυτέραις θύγατρα.
Ἢ μετέροισι χοροῖσιν ἐὸν στάχυν ἐγκατέλεξας,
Ἔλπομαι, ὡς λιμῶν ἄξιον οὐρανίων
Εὐθαλέας ὅρπηκας ἀπ' εὐόδμοιο φυτοῖο.
Εἰ δὲ καὶ ὧν τοκέων κρέσσονας ἐκ τοκέων,
Ἀλλὰ τὸ μὲν ἱερατῆρος θεοῦ ἐν χείρεσι κάθθω,
Ὃς μέγα ταῖς μεγάλαις ἐλπίσι τέρμα φέρει.
Νῦν γε μὲν οἷς τεκέεσσι πατὴρ πτερὸν οἷα νεοσσοῖς
Αἰετὸς ὠκυπέτης πλησίον ἱπτάμενος,
Ἰθύνει νεόπακτον, ὅτ' ἠέρος ἐν λαγόνεσσι
Δινεύοντ' ὄπω θαρσαλέῳ πτέρυγι.
Πολλὰ μὲν εὐσεβίης παιδεύματα τοῖσιν ὀπάζων,
Οὔπω δ' ὅς ἀρετῆς φέρτερον οὐδὲν ἔχων.
Ὃς θείοισι λόγοισι καὶ ἤθεσι τοὺς δ' ἀνέθηκεν,
Ἐξ ἁπαλῶν ὀνύχων ἐσθλὸν ὀρεγόμενος.
Καὶ πενίην ἱερὴν κλῆρον πόρεν ἢ μέγιστον,
Μηδ' ἐν ὥς κε λίποι ὄργανον εὐοδίης.
Οὗτος μὲν δή σοι τοῖος, εὖχος ἐμοῖο,
Εὖχος ἐμῆς μάνδρης, αἵματος ἐξ ἐμέθεν.
Οὐδὲ μὲν ἐν πυμάτοισι Θεόγνιος, ἀλλ' ἐπὶ γαίης
Ἱστάμενος, θῶκον ἅπτεται οὐρανίων,
Μάλιχος, ἠδυεπὴς, αἰεὶ χλοάοντι προσώπῳ
Φαίνων εὐμενίῃ πνεύματος ἀγλαΐην.
Οὐδ' ἐπίπλασον ὕπερθεν ὁμοίια θηλυτέρησι

Βάλλον γοῦν μ' ἀρετῇ κάλλος ἐλεγχόμενον,
Ἀλλὰ φόβον πραπίδεσσι θεοῦ φίλον ἐνδὸς ἐέργων,
Μούνῳ τῷ κρυφίων ἴδμονι φαινόμενον.
Θαῦμα μέγ', ὑστάτιον πρὶν ἐπαΐξας σταδίοισι
Τῆς ἀρετῆς, ὅσσον ἔφθασε τοὺς προτέρους
Καρπαλίμοισι πόδεσσι, φίλοις δέ τι πᾶσιν ἀρέσω
Γευσάμενος σοφίης μοῖραν ἔλειψε βίου.
Ἦν δὲ πάρος γαίηθεν ἐς οὐρανὸν εἶδε ταθεῖσαν
Ἰσακίδης Ἰακώβ, ἡμέτερος προπάτωρ
Κλίμακα τὴν δ' αὐτὴν, ὡς κεν θεὸν αὐτὸς ἴδηται,
Πρώην ἀκροτάτην οὐρανίων φαέων,
Βαθμῶν τῶν μὲν ἔλειπεν, ὁ δ' ἴχνια νῦν ὑπέδεκτο.
Τοῦ δ' ἐχέτῃ παλάμῃ, ὄμματα δ' ἄλλον ἔχει.
Τοίη γὰρ μερόπεσσιν ὁδὸς, καὶ τοῖον ἐμοῖο
Αἷμ' ἀνάγει Χριστῷ συγγενέτης γενέτης.
Πολλὰ δ' αὖ δυνάμεως κειμήλια ἔνδοθι κεῦθε
Ψυχὴ, καὶ πολιῆς λευκότεραι πραπίδες.
Τίς δέ κεν Ἀστερίοιο σαοφρονέων λελάθοιτο,
Ἡ δὲ κασιγνήτων τῆς ἱερῆς τριάδος,
Οἷς ξυνὴ σοφίη, ξυνὸς βίος εἰς ἓν ἄγερθεν,
Ἐλπωρῇ μούνῃ σαρκὶ μερεζόμενοι;
Σιγάσθω φιλάδελφον, ἐμὸν κέαρ, εὐγενὲς αἷμα.
Μακροβίη δ' ἤδη τοῖς θρέμματος ἡμετέρου.
Θρέμματος ἡμετέροιο, φίλον δ' ἐμὸν, ὃν περὶ γυίοισιν
Εὐμενέων Χριστὸς ἀμφὶς ἔχει μεγάλαις.
Ὃν πάντων κρατέων, οὐκ ἐφύσησε τῦφος·
Ῥηγῖνον ὑψιβιβάντα, Λεόντιον, Ἡλιόδωρον,
Οἳ Χριστοῦ σοφίης ἄκρον ἔχουσι γέρας.
Ἄλλους τ', ἀγχοτέροισι μετ' ἀνδράσιν ἄστρα φαεινὰ
Πολλοῖς ἡμετέρων οὐδὲ φαινόμενα.
Ἐν Χριστοῦ μελέεσσι τὰ τίμια, τίς κεν ἐνίαψε
Σφρηγῖδας ἀθανάτου, κάλλεα σαρκοφόρα.
Πάντων δ' οἶγε θεοῖο μεγασθενέος θεράποντων,
Ἄλλος ἐν ἄλλῃ ἄριστος εὐσεβίῃ,
Ἴχνεσι κουφοτάτοισιν ὑπερθέοντες ἄρουραν,
Δεξιτερῆς παλάμης θρέμματ' ἀριπρεπέα.
Καὶ νηοῦ μεγάλοιο λίθοι, οὓς Χριστὸς ἔδησεν
Ἀλλήλοις ἱερῇ πνεύματος ἁρμονίῃ.
Οἳ ζωῆς ἀπενθέες μικροῖς ζῶσιν ἐλαφρὸν
Τόνδε βίον, γαστρὶ παῦρα χαριζόμενοι
Ἀρχεκάκῳ, πάθεων δὲ βαρὺν κλόνον ἠδὲ κελαινὸν
Ἴσασιν βελέων οἶδμ' ἐπανιστάμενον,
Σταθμὰ λόγῳ, σιγῇ δὲ μέτρον, καὶ δεσμὰ γέλωτι,
Οὔασι, καὶ στερεοῖς ὄμμασι βαλλόμενοι.
Νήλιποι, αὐαλέοι, ἀχθήμονες, οἰοχίτωνες,
Νεκροὶ μὲν χθόνιοι, ζῶντες ἄνω πραπίσι,
Μᾶζον ἐν ὀφθαλμοῖσι θεοῦ σέλας αἰὲν ἔχοντες,
Ψυχῶν τ' εὐσεβέων κεῖθι χοροστασίην.
Παρθενικὰς δὲ γυναῖκας, ὅσαι κλέουσιν ἄνακτα
Νυμφίον, ἁγνοτάταις μιγνύμενον κραδίαις,
Αἳ Χριστὸν δοκέουσιν ἀκοιμήτοις φαέεσσιν,
Οὔτι μαραινομένας λαμπάδας ἁψάμεναι,
Τίσεις, ἐπεὶ δεδάηκας ἐμὸν γέρας, ᾧ τιν' ἔλωσας
Αὐλῆς ἡμετέρης ὄμμα φαεινότατον.
Ξυνὴ γὰρ πάντεσσι πέλει χάρις, εὖτέ τις ἐσθλῶν
Ἐσθλὰ πάθῃ, θυμῷ κιρναμένης φιλίης.
Ναὶ μὴν καὶ τῇσίν γε μέγας νόος ἄρσενι θυμῷ,
Ῥιψάσαις δολερὴν Εὔαν ἀπὸ κραδίης.
Ναὶ μὴν καὶ τῇσίν γε πέδον χροῒ σάκκος δρυμνός,
Καὶ κόνις ἐν δαπέδῳ, φάρμακα σωφροσύνης,
Εὐχαί τε, στοναχαί τε φίλαι, καὶ νύκτες ἄυπνοι,
Καὶ πηγαὶ δακρύων ἔνδοθι λειβομένων.
Γούνατα δ' ἐρρώσαντο, καὶ ἀδρανίης λελάθοντο,
Εὐθηνέων Χριστοῦ δραξάμεναι θησαυρῶν,
Αἱ δ' ἁπαλαὶ στέρξαν τε εἵματα σιγαλόεντα,
Κάλλος τ' ἀσκητὸν ὧκα μαραινόμενον,
Ἀμφότερον φύσιός τε καὶ ὁππόσον ἔκτοθι χερσὶν
Ἀνδρῶν ἐτρίψαντο εἴδεος μαχλοτέρων,
Εἶξαν ὑπὸ πραπίδεσσι νόου ἄθλου ἀνδράσιν ἴσας
Θῆναι θηλυτέρας, καὶ δέμας ὡς σοφίην.
Οὐ μέγα. καὶ Χριστὸν γὰρ ἀπ' οὐρανοῦ ἀστερόεντος
Σαρκὶ σὺν ἀνδρομέῃ γαῖαν ἐπερχόμενον,
Καὶ τέκον ἡμετέροις ἁγνῆς διὰ μητρὸς ἰόντα
Παρθένου, ὄφρα νόμον ἀνδρόμεον τελέσῃ
Ἀγχαύτοισι γονῆσι, καὶ ἐκ τύμβοιο θορόντα
Ἤματι ἐν τριτάτῳ θερμοτέροισι πόθοις
Πρῶται ἐθηήσαντο, φίλοις τ' ἤγγειλαν ἑταίροις,
Γενόμεναι Χριστοῦ γνῶσιν, ἄκος προτέρης.
Πολλαὶ μὲν δὴ γαῖαν ὑπενάσσιν ἅπασαν,
Ὅσα τίλω σωτὴρ μῦθος ὑπεστρέφετο.
Αἱ μὲν ὁμηγερέες ξυνὸν πόθον ἀμφιμέπουσαι
Οὐρανίης ζωῆς, ἴσα τε μέτρα βίου.
Αἱ δ' ἄρ' ἑοῖς τοκέεσσι πεπεδημέναι ἀδρανέουσιν,
Ἢ κασιγνήτοις μάρτυσι σωφροσύνης.
Αὐτὰρ ἐμοὶ παῦραι μὲν, ἀτὰρ πλεόνεσσιν ἐρίζω
Γηθόσυνος Χριστοῦ κάλλεσιν οὐρανίοις.
Χρύσεα μὲν Λυδοῖσι δόμοις ἐχαρίζετο μῦθος
Ψήγματα, καὶ ποταμοῦ ὀλβοδότοιο ῥόον.
Χρυσοφόρος δ' Ἰνδοῖσι μελαγχρώτεσσιν ἄφυσσον,
Μύρμηκες κοίλης πλοῦτον ἀπὸ ψαμάθου.
Νεῖλος δ' εὐκάρποισιν ἐπαΐσσων πεδίοισιν
Ὥριος, Αἴγυπτον θῆκε βριθοσύνῃ.
Ἄλλος δ' ὀρνίθεσσιν ἀγάλλεται, ὃς δὲ φυτοῖσιν,
Ὃς δὲ λίθοις τερπνοῖς ἔνδοθι λαμπομένοις.
Αὐτὰρ ἐμοὶ πάντων προθεώσιον εὖχος ἔδωκε
Χριστὸς ἄναξ, πολλῶν εὐσεβέων στέφανον.
Ἦρ' ἐπεὶ τυτθοῖσι θεὸς χαίρειν αἰὲν ὀπάζει,
Ὥσπερ ὑποχθονίη δὴ παλαιστέρη.
Βηθλεὲμ ἐν προτέροισιν ἐμῶν νέον ἄστυ τυτθόν,
Τῇ μὲν ἐπὶ γένης, τῷ δ' ἄρ' ἑοῖσι φίλοις.
Οὕτως σοὶ χορὸς ἄλλος ἐμῆς ἐκλάμπετε αἴης.
Οἶος ἀριστοτόκου πατρίδος ὑμετέρης,
Ἀρμηνίης. ἣ πολλὸν ἀριστεύουσ' ὑπὸ γαίης,
Φέρτατον εὖχος ἔχει, ἀζυγίων ἀφνός.
Τοῖσι χαριζόμενος, Βασίλειε μὲν ἐμοί γε φέριστε,
Σοὶ δ' αὐτῷ μεγάλην ἴσθι χάριν παρέχων.
Σαυτῷ καὶ τοκέεσσι, φίλῃ τε δάμαρτι μέγιστον
Πλοῦτον ἄγων, ζωῆς ἐλπίδα λαμπροτέρης.
Εἰ δέ τι που καὶ ἐμῆς ἑτέρων ἀγανώτατε πάντων
Τῆς ἀρχαιοτέρης μνῆσιν ἔχεις φιλίης,

Οὐ γὰρ

Οὐ γὰρ τῶν δυσσεβέεσσιν ἐμὸν ποτὲ οὔνομα θήσω,
Μὴ δ' ἐμ' ἀτιμάζειν, οὐ γὰρ ἔοικε φίλος.
Ἀλλ' ἐπ' ἐμοῖς ἑτάροισι χάριν καὶ κῦδος ὀπάζειν.
Ἐστὶ δὲ καὶ ἐμὸς πὰρ πλεόνεσσι λόγος.
Εὖ τοι μὲν πλεόνεσσι, σὺ δ' ἄξιον ἀντί τε πάντων
Ἄζεαι Φελίβην ὦ μάκαρ ἡμετέρην.
Ὧ δ' ἂν καὶ πάντεσσι φίλοις κεχαρισμένα ῥέζοις,
Οἷσιν ὁμῶς τιμὴ δίκαιη τῶν ὁσίων.
Βασιλείῳ δὲ μάλιστα, τὸν ἔξοχα Χριστὸς ἔπεσχε.
Ὃς μέσος ἀμφοτέρων ἵσταται εἰς ἓν ἄγων
Ἄκρα φίλων. ξείνῳ δὲ πόθῳ συνέδησεν ἄμεινον.
Τῷ σὺ χαρίζεσθαι πάντα δικαιότατος,
Αἰδόμενος πάτρην τε φίλην, καὶ ἥλικα μῦθον,
Καὶ καθαρὰς θυσίας, καὶ περίφρονα βίον.
Οἷσιν ἔσω σκηνῆς πάντων ἀβάτοιο πόδεσσι
Δεύτερος ἐξ Ἀαρὼν ἱστάμενος μεγάλου,
Καὶ θεὸν ὑψιμέδοντα κατεναντίον ὄμματι λεύσσων,
Θνητοὺς ἀθανάτῳ μίγνυσι λισσόμενος.
Κείνῳ μὲν τὰ ἔμοιγε χαρίζεαι, ὅσσα δ' ἐκείνῳ,
Χριστῷ. τοῦδε χάρις δὲ πατρὶ δὸς χάριας.
Λίσσομ' ὑπὲρ ψυχῶν, καὶ οὐρανίου βιότοιο.
Λίσσομ' ὑπὲρ μελέων, πνεύματι δαπτομένων.
Δὸς χάριν ἡμετέροισι πόνοις, νυχίοισί τ' ἀοιδαῖς.
Δὸς δὲ χαμευνίῃ, λυπαλέοις τε γόοις,
Καὶ τρυχίνοις ῥακέεσσι, καὶ ὄμμασι τηκομένοισι.
Δὸς δὲ νόῳ καθαρῷ. δὸς δ' ἱεροῖσι λόγοις,
Ὄφρ' ἀρετὴν τίων, ἀρετῆς ὁδὸν ἀμπετάσειας
Πλείοσι, καὶ πλεόνων μισθὸν ἔχοις θεόθεν.
Σπείρεις δ' ἐνθάδε μένοντα καὶ ἄφθιτον ἀμήσαιο
Καρπὸν ἐπουράνιον, πλείστον ἀντ' ὀλίγων.
Αἴδεο τὴν πολιὴν θεοειδέα πατρὸς ἐμοῖο
Ἔμπλεον ἀνθρώποις θαύματος ἱστορίην
Ἀμφοτέρων, ἐτέων τε κύκλοισι, καὶ ἤθεσι κεδνοῖς.
Ὑπὲρ τοῦ τοι ἔπος φθέγξομαι ἀδρανέων.
Ποίμνης ἡμετέρης πεφείδεο, φείδεο ποίμνης
Ὦ τέκος ἡμετέρης, ἧς ῥα προεζομένου.
Καὶ γὰρ πόλλ' ἐμόγησα, θεὸς δέ μοι ἐγγυάλιξε
Ποιμαίνειν πολλὰς εἰς ἐτέων δεκάδας.
Σοὶ δὲ θεὸς ὀπάσειεν, ὅσ' εὐσεβέεσσιν ὀπάζει.
Ἄλλά τε, καὶ λιπαροῦ γήραος αὐξήσαι.
Τοῖα πατρὸς ἐμοῖο θεόφρονος. αὐτὰρ ἔγωγε
Φθέγξομ' ἀφ' ἡμετέρου γράμματος ἐσθλὸν ἔπος.
Μέτρα θεοῦ μέτροισιν ἰσάζεται ἡμετέροισιν.
Οἷά περ ἀλλήλοις ἐνθάδε μετρέομεν,
Τοῖα δ' ἀλλοῖ μερόπεσσι θεὸς μέγας. ἀλλὰ μετροῖς
Κρέσσοσι τὰ κρέσσω νῦν τε καὶ ὕστερον.
Νῦν πᾶσιν ἀνθρώποισι θεμείλιον, ἢ κάκιστον,
Ἠὲ καλὸν βιότου βάλλετ' ἐφημερίοις.
Καὶ τοῦτο πλάστιγγι μέγα κτέαρ οὐρανίοιο
Σείεται, ἡ δὲ ῥοπὴ ἐνθάδ' ἐστ' ἐνθάδε φέρει.
Καὶ Χριστὸς μερόπεσσι φόρου περιόντος ἐμίχθη,
Ἡνίκα Καῖσαρ ὅλην γαῖαν ἀπεγράφετο.
Καὶ τέλος αὐτὸς ἔδωκε βροτῷ θεὸς, ὥσπερ ὀπάσσῃ
Θνητοῖς δ' ἐλεοσύνης τήνδε περηγορίην.
Ἄζεο τὴν Χριστοῖο χάριν, καὶ φείδεο λαῶν.

Ἄζεο καὶ σὺ γραφὴν βίβλον τὴν οὐρανίην
Ἐσθλήν, ἐσθλὰ γράφων. ἃ δ' ἔμπαλιν ἄλλος ἐνίσποι,
Ἔμπαγε μήν, ὁσίως λώϊόν ἐστι γράφειν.
Οὐχ ἅλις, ὅττι βροτοῖσι βαρὺν ζυγὸν ἤγαγε πρώτη
Ἀρχεγόνου κακίη, καὶ φθόνος ἀνδροφόνος,
Βασκανίη τε δράκοντος, ἀπατηλίη τε γυναικός,
Γεῦσίς τ' ὀλομένη γνώσιος ἀντιπάλη,
Ἥ με θνητὸν ἔθηκε, καὶ ἐς χθόνα ἔνθεν ἐτύχθην
Αὖθις ἀποσπαμένη, λυπρὸν ἔθηκε βίον,
Ὠδῖνάς τε, μόθους τε, καὶ ἐς πλατὺ νῶτον ἀρούρης
Κύπτοντα ζώειν, τειρόμενον καμάτοις.
Ἀλλά με καὶ πλεόνεσσιν ἀδελφειὸς ἄλγεσι δώσει,
Χοῦς ἄς, ἔν τε ἰῇ κείμενος ἀπλακίῃ;
Οὐ θέμις, οὐδ' ἐπέοικεν, ἐπεὶ πολὺ λώϊόν ἐστι
Φάρμακον ἢ πόνον τοῖς νοσέουσι φέρειν.
Τοῦτό σοι ἡμετέρη ξεινήϊον ὦ πανάριστε
Πέμπει ὁμηλικίη, ὃ χρόνος οὐ δαμάσει.
Εὖχος ἀρμενίης Ἑλλήνων, ὃς λάχες αἰεὶ
Στῆσαι ἡμετέρῃ μέτρα δίκαια φόρων.
Καὶ στήσαις μεγάλοιο θεοῦ σὺν ἀμύμονι χειρί,
Ὥσπερ ἁγνῶς στήσαις, μηδ' ἑτεροκλινέα
Κέρδεσιν οὐχ ὁσίοισι δαμεὶς φρένας. εἰ γὰρ ἅπασιν
Ἴσα ταλαντεύσαις ὄμμα μέγα τρομέων,
Τυτθὰ μὲν πόλις ἐστὶ μέν, ἀτὰρ πολὺ σεῖο φέριστε
Δώσομεν ἀνθρωπικὴν δικασπολίην
Οὔνομα, καὶ πινάκεσσι χαράξομεν, ὅττις ἄριστος,
Οὗτος ὁ καὶ μούνος κρέσσονα μέτρα φέρων.

ΠΡΟΣ ΙΟΥΛΙΑΝΟΝ. (σφ.

Ὄμβρῳ δ' ἐψεάδα γαῖαν ἐπέκλυσεν, ὅς μιν ἔδειξε
Ἄλλος τ' ἐξ ὑδάτων ἥρπασε κόσμον ὅλον.
Καὶ νοῦσός τις ἄρηξεν. ὃ δ' ἐκ πολέμου ἐσάωσεν,
Ἄλλος δ' οὐρανόθεν λαὸν ἔθρεψε μέγαν.
Σοὶ δὲ θεὸς χάρισσι φόρων ἐνέθηκε τάλαντον
Κῦδος Ἰουλιανῷ ὡς τοπάροιθε δίκης,
Ἄρρεπον, ἄκλοπον, ἴσον, ἀοίδιμον. ἀλλὰ φέριστε
Φείδεό μοι πτωχῶν, φείδεο σῆς γραφίδος.
Οὓς νόσος ἴσχουσι φαγοῦσ' ἀπὸ σάρκα τάλαιναν.
Φείδεο, καὶ σὺ γραφὴ οὐρανίαις σελίσι.
Τοῖα δ' ἀλλοῖ μερόπεσσι θεὸς μέγας ἀντιτάλαντα,
Οἷά περ ἀνθρώποις ἐνθάδε μετρέομεν.
Τῷ βροτέῳ συνάρηξον, ἐπεὶ δέμας ἐστὶν ἅπασι.
Λάζαρος ἐν προθύροις, δὸς ψίχας ἀλλοτρίας.
Καὶ Χριστὸς μερόπεσσι φόρου περιόντος ἐμίχθη.
Ἄζεο τὴν Χριστοῦ ἥλικ' ἀπογραφίην.
Ἄζεο μητέρα σὴν πτωχοτρόφον. εὐσεβὲς αἷμα,
Καὶ δόμον, ὃς μελέοις εὐμενίην ἴδαν.
Ἄζεο καὶ τὸν ἐμὸν πλοῦτον φίλος, ὃν ῥα τελέσσαι
Παντ' ἀπέδωκα φέρων, σταυροφόροισι πόθοις.
Ξεινὸς ποντοπόροισι λιμήν, ξείνη δ' ἔτ' ἀρωγὴ
Τοῖς ἀλλ' ὀλομένοις, ἐδὲ μερὶς κτεάνων,
Ἡμετέρη κτῆσις, σὴ δὲ γραφίς. ἴσον ἔχοιμεν
Τῆς πτωχοτροφίης μισθόν. ἄναξ γράφε τώ.
Ἡ μὲν δὴ πολλοῖς σε θεὸς μέγας ἐκλήισσεν,
Ὅσσα τίοις ὀλίγας τῆς χθονὸς ἐπερχομένων.
Αἷμ' ἱερόν, μῦθοι, κτεάνων ἐσθλός, ἔλεος ἀγαπητόν.

Βήμασι κάρτος ἄγειν αὐσονίοισι νόμοις.
Ἀλλ' ἔμπης τόδε σοι πάντων πλέον ἠπιόμητι,
Χεῖρα θεοῖο φέρειν τοῖς ἀτάφοις νέκυσι.

ΠΑΡΑ ΝΙΚΟΒΟΥΛΟΥ ΠΡΟΣ τὸν πατέρα.

Ὦ πάτερ, ὅ μ' ἔφυσας, ἐμὴ χάρις. εἷς γὰρ ἁπάντων
Εἷς νόμος ἐσθλὸς ἄναξιν ὁμῶς μερόπων, ἀλόγων τε,
Κάμπτεσθαι φιλότητι, λόγου δ' ἰότητι σοφοῖο,
Τικτομένους τίκτοντας ἐφημέριον βίον ἕλκειν,
Καὶ ζώειν φθινύθοντας ἐπ' ἀσταχύεσσιν ἑοῖσιν.
Ἀλλ' ἔθρεψας ἔπειτα; βοῶν δέ τε καὶ κρατεροῖσιν
Οὔθατ' ὑποσκαίροντες ἀνακρούουσι καρήνοις
Μόσχοι, ταὶ δὲ φέρουσι μόγον γλυκερῶς ὑπ' ἀνάγκης.
Ὄρνις δ' ἄπτερα τέκνα φίλοις καθύπερθε καλιῆς
Ἀμφιπεριβρύζει, καὶ τάρφεται ἔνθα καὶ ἔνθα,
Μάστακ' ἀλητεύουσα τροφῆς κενεὴ καὶ ἄπαστος.
Φίλτρον γὰρ συνέδησε φύσις τοκέας τε γόνους τε,
Μνησαμένη τοκέων τόδε φάρμακον, ὥς κε βαρείας
Κουφοτέροισι πόθοισιν ἐλαφρίζωσιν ἀνίας.
Τοὔνεκα καὶ δριμεῖα νέη περὶ πόρτακι μήτηρ.
Ὡς δὲ κύων σκυλάκεσσι νέοις, καὶ πτωκὰ νεοσσοῖς
Δῆριν ἄγει, στικτὴ δὲ διέσσυται ἀγριόθυμος
Πάρδαλις ἐκ ξυλόχοιο, συῶν δέ τε μαίνεται ἀλκή,
Χαίτην ὀρθώσασα, κόρυς σέλας, ἀτμὸς ὀδόντων
Θηγομένων καναχηδά, γένυς δέ τε βάλλετ' ἀφρῷ,
Ἱεμένων τεκέεσσιν ἀμυνέμεν, ἠδ' ἀλαμῦναι.
Οἶστρος γὰρ τόδ' ἔπασχεν ἀδιδάκτοισι νόμοισι.
Σφῆκες δ' αὖ πέτρῃσιν ἐνήμενοι, ἤν τιν' ἴδωνται
Πλησίον, οὐδὲ φέροντα κακὸν τεκέεσσι νεογνοῖς,
Ῥιζόθεν ἐκκεχυμένοι, στρατὸς ἀθρόος ἀμφὶ πρόσωπα
Βομβεῦσιν, κέντροις δὲ πικροῖς βάλλουσιν ὀδύνην.
Ἔστι καὶ ἐν βυθοῖσι πόθου νόμος, εἰ ἐτεόν γε
Δελφὶς εἰναλίων βασιλεύτατος, ἥν τιν' ἴδηται
Θῆρ' ἁλὸς ἀπειδανοῖσιν ἐπιπλώοντα τεκέεσσιν,
Ἣν γένυν ἐκπλώσας, εἴσω γόνον αὖθις ἔδεκτο
Λάπτων ὥς τιν' ἐδητύν, ὅπως μὴ θηρὶ γένοιτο.
Οὐδ' ὅγε πρὶν κευθμῶνος ἀνέπτυσε φόρτον ἄπιστον,
Πρὶν θηρὸς κρατεροῖο φυγεῖν στονόεσσαν ἀπειλήν.
Τῆμος δ' ἐκ λαγόνων ὠδῖν' ἠρεύξατο κούφην.
Τῷ μὴ μοι γένεσιν προφέρειν, καὶ τυτθὸν ἐδωδήν,
Ἥν σύ γε καὶ δμώεσσι τεοῖς καὶ βουσὶν ὀπάζεις,
Ἀλλά τι τῶνδε περισσὸν ἔχειν χατέω πανάριστε,
Ὡς βροτός, ὡς ἀγαθοῖο πατρὸς πάις. ἀλλ' ἐπίνευσον,
Εἴ τινα καὶ λαχέθυμον ἐρῶ λόγον, οὐδ' ἀποκεύσω.
Οὐκ ἐθέλοντα τέκες με, τεκὼν δ' ἔθρεψας ἀνάγκῃ.
Ἢν δὲ τεκὼν μεθέπῃς με, βροτὸν τέκες ἀντὶ βροτοῖο.
Οὐ χρυσὸν ποθέω, οὐδ' ἄργυρον, οὐδὲ τὰ σηρῶν
Νήματα, καὶ λιθάκεσσι μεμιγμένας ἐνδόθεν αὐγάς,
Οὐ γαῖαν πολύπυρον ὁμοίια κυμαίνουσαν
Αἰγύπτου πεδίοισιν ἀγάσταχυν, οὐ θεραπόντων
Πληθύν, τετραπόδων τε. γάμος δ' ἄλλοισι μεμήλοι
Ὑψηλός, δεσποίνην ἄγειν, τιμώμενον ἄχθος.
Καὶ θρόνος, ὃς παύροις πατέρων, πλεόνεσσι πέλεσκε
Πολλάκι χειροτέροισι, τὸ καὶ πλέον ἦτορ ὀρίνει.
Ἄλλος γὰρ τ' ἄλλοισι τύφος, χθαμαλοὶ δέ τε πάντες,
Ἔμπεδον οὐδὲν ἔχοντες ἀναύξιον, ἀλλοτρίοισι
Τερπνοῖς φυσιόωντες ἀφιπταμένοισι τάχιστα.
Ἐρρέτω, ὅσσα φέρει πικρὰ βιότοιο θύελλα
Τῇ καὶ τῇ δονέουσα κόνιν πάντεσσιν ἄπιστον.
Ταῦτα γὰρ ἐκπιδανῆς μετὰ φρεσὶν ἔδρακον ἔμπης,
Καὶ πινυτῶν ἐσάκουσα, χρεῖος δέ τι καὶ πλέον οἴσει,
Ὃν πάντων ἐνέπουσι διδάσκαλον ἡμερίοισιν.
Ὦ πάτερ, ἐν ποθέω μύθων κράτος ἀντίον πάντων.
Καλὸν μὲν ῥήτρης πυρόεν μένος, ἔντ' ἀγορῇσιν,
Ἔν τε δικασπολίεσσι, καὶ εὐφήμοισι λόγοισιν.
Καλὸν δ' ἱστορίης φρεσὶν ἔμπλεος. ἱστορίη γὰρ
Συμφερτὴ σοφίη, πολλῶν νόος. οὐκ ὀλίγον δὲ
Γραμματικὴ ξύνωσε λόγον, καὶ βάρβαρον ἠχὴν
Ἑλλάδος [illegible] γλώσσης ἐπίκουρος ἀρίστη.
Καὶ λογικῆς τέχνης τὰ παλαίσματα· οἷς ὑπ' ἀληθὲς
Κρύπτεται, ὁ τριφθεὶς δὲ λόγος περίφαντον ἔθηκεν,
Ὅσσοις τ' ἄβατα κεδνὰ διαπλάσσουσιν ἄριστοι,
Ὡς τυρὸν πλεκτοῖσιν ἐειδόμενον ταλάροισιν.
Ἠδ' ὁπόσα πτερόεντι νόῳ λεπταῖς τε μερίμναις
Βένθεα διφήσαντες, ὁ μὲν τὸ, τὸ δ' ἔτις ἄλλος,
Ἀνδρῶν ἐθηήσαντο σοφοί, βίβλοισι δ' ἔδωκαν.
Ἠερίων χθονίων τε καὶ εἰναλίων φύσιν εὗρον,
Οὐρανίων τ' ἐπὶ πᾶσι θεοῦ νόον ἀφράστοιο.
Πῶς τόδ' ἄγει, καὶ ποῖ περιφέρει, καὶ εἰς ὅτι λήξει
Κόσμος ὅλος πολλοῖσι κεκασμένος ἔνδοθι κόσμοις.
Ἢ μάθον, ἢ τὰ νόησαν, ἃ μὴ θνητοῖο νοῆσαι.
Αὐτὰρ ἐπὴν δὴ ταῦτα διεξελάσω νεότητι,
Γνώμασι θειοτέρῳ δ' ἔσω φρενὸς, ἅσσα κέκευθε
Καλά, ἀνιχνεύων τε, καὶ ἐν φάος αἰὲν ὁδεύων,
Καὶ στάθμην βιότοιο φέρων κινήμασι θείοις,
Ὡς κεν ἀοσσητῆρα συνέμπορον ἡγεμονῆα
Χριστὸν ἔχων, κούφοισι σὺν ἐλπίσιν ἔνθεν ἀερθεὶς,
Καὶ ζωῆς καθαρῆς τε καὶ ἀλήκτοιο τύχοιμι,
Μηκέτ' ἀληθείης ἰνδάλματα τηλόθι λεύσσων,
Ὥς τε δι' ἐσόπτροιο καὶ ὕδατος ἀναφανέντα.
Αὐτὴν δ' ἀτρεκίην θηεύμενος ὄμμασιν ἁγνοῖς,
Ἧς πρῶτον πνεῦμά τε, τριὰς, θεότης μονόσεπτος,
Ἐν φάος ἐν τρισσοῖς ἀμαρύγμασιν ἰσοθέοισι.
Δέρκεο μητρὸς ἐμῆς μήτρων μέγαν, ὃς περὶ πάντων
Μύθοισι πυκινοῖσι κεκασμένος, ὃς συνάγειρεν
Ἐκ περάτων, γλώσσῃσί τ' ἐνὶ πλεόνεσσι καθίζων
Ὑπάτιον κλεῖδα λόγων ποιήσατο χρυσόν,
Καὶ βίον αἰπήεντα, πρὸς ὃν πάτερ ὄμμα τιταίνω.
Εἴ τοι καὶ βαιὸν χθαμαλώτερον, ἀλλὰ μετρεῖσθαι
Μέτροισι μεγάλοισι βίον πυκινόφρονος ἀνδρός.
Κρεῖσσον δεύτερ' ἔχειν μεγάλων, ἢ πρῶτα πενιχρῶν.
Ὡς ἵπταθ' ἀερίοιο κάτω ῥοιζοῦντος ὕπερθεν,
Ἢ χαμαιπετέων κορυδῶν ὑπὲρ ἀέρα τέμνειν.
Ταῦτα πάτερ ποθέω, σὺ δ' ἐμοὶ τελέσειας ἔελδωρ.
Ναὶ λίτομαι. ἐν σοῖς δὲ γενειάδος ἅπτομ' ἔγωγε.
Ναὶ λίτομαι, καιροῖο λαβώμεθα, ὃν προσιόντα
Ἔστιν ἑλεῖν. ζητεῖν δὲ παραθρέξαντα, μάταιον.
Καιρὸς φυταλιῆς, καιρὸς δέ τε γαῖαν ἀρόσσειν.
Καιρὸς ποντοπόροισι λύειν πρυμνήσια νηῶν.
Καιρὸς θηρητῆρσι κατ' ἔργα θῆρας ἐναίρειν.

Καιρὸς

Καιρὸς δ' αὖ πολέμοιο. τὰ δ' ἄνθεα, ἔαρος ὥρη
Τίκτει. ὡς δὲ λόγων ἐσθ' ὥριος ἀνδράσι καιρὸς,
Ἡνίκα θερμότεροι ψυχῶν πνείουσιν ἔρωτες,
Οὐδὲ τύποις πολλοῖσι χαράσσεται ἔνδοθεν ἦτορ,
Ἀλλὰ νεογράπτοις καλοῖς μούνοισι τέθηλε.
Καὶ ῥίζαν βιότοιο νέοι βάλλοντ' ἐπὶ γαίης,
Ἐσθλήν τε, στυγερήν τε, τὸ καὶ φράζεσθ' ἄμεινον
Πείθομαι, ἤ τινα μῦθον ἀρείονα τοῖσδ' ἐπιθήσω.
Αἰδέομαι σοὺς μύθους πάτερ, οἷς σύγ' ἄριστος
Εὐδρομέων γλῶσσάν τε καὶ οὔατα, καὶ νόον ὠκὺν
Ἐν πάντεσσι νόμοισιν ὁμῶς, ἀδέτοις τε δετοῖς τε.
Οὐδὲ μόνοις πολλοῖσι, τὸ δ' ἦ καὶ θαῦμα περισσόν.
Οἶδά σε καὶ βασιλεῦσι παριστάμενον μεγάλοισι,
Καὶ μετ' ἀριστήων τιμώμενον, εἴποτ' ἴοι γε,
Ἡνίκα θούριον ἔγχος ἀχαιμενίδῃσι τινάσσοις.
Καὶ πλούτῳ κομόωντα, καὶ αἵματι καὶ πραπίδεσσιν,
Εἶδός τε, μέγεθός τε, παλαιοτέροισιν ὁμοῖος
Αἰακίδῃσιν ἔης, ἢ Αἰτωλῷ Μελεάγρῳ.
Ἀλλὰ καὶ ὣς μῦθοί σε πλέον κλῄσουσιν ἁπάντων,
Ἔμπεδον, ἀσυφέλικτον, ἀγήραον, ἄτροπον, ἐσθλὸν,
Αἰὲν ἐπερχομένοισιν ἀεξόμενον λυκάβασι.
Κλῆρον ἔχειν ποθέω πατρώϊον, ὥς ποτε λόγχην
[illegible], Πέλοπός τε γένος, Πελοπήϊον ὦμον,
Καὶ σκῆπτρον πατέρων εἰς υἱέας αἰὲν ὄλβιον.
Κεκροπίδαι τέττιγα πλόκων ὕπερ υἷα γαίης
Γηγενέων. καὶ εἶδος ἔχει πατρώϊον τεῦχος.
Αἴδεό μοι πόθον. αὐτὸν ἀμύμονα εἶδον ἔγωγε,
Καὶ συγγονοῖσι πόθοισι τέκνων ἥκοντα τοκῆας,
Ὥστ' ἦν ἀλεξητῆρα νόσου, καὶ τερπνὰ φέροντα
Ἄμματα τοῖς ἀγαθοῖσιν, ὅπως τὰ κρείσσονα τερπνοῖς
Φαρμάσσοι, μικρῷ δὲ χερείονι νοῦσον ἐλαύνοι.
Καί τινα καὶ σοφίης ἀδαήμονα, πολλάκι παιδὸς
Ἑσπόμενον ποθέοντι λόγους, καὶ δόντα πόθοισιν
Οἰνέοις ἀγαθοῖσιν, ὅπως κεχάροιτο γόνοιο.
Αὐτὰρ ἐγὼ κέλομαί σε τὰ μὲν κάλλιστα ποθεῦντι
Ἑσσεῖσθαι, καὶ χεῖρα φέρειν πάτερ. εἰ δὲ κενοῖσι
Τερποίμην, παίδων με τεῶν ἄπο τηλόθι ῥίψον
Ὡς νόθον, οὐ γνήσιον ῥίψε κελεύοντα ῥεέθροις,
Ἣ καθαρῶν αἰετῶν ψευδῆ γόνον ἐκτίνουσι.
Δὸς χάριν, ἣ παρὸς ἐστὶ πλέον ἢ παιδὸς ἄριστε,
Ἔμπαλιν ἀίουσα παρ' υἱέος ἐν γενετῆρα.
Κῦδος γὰρ τοκέεσσι τέκνων κλέος, ὡς τεκέεσσιν
Ὧν τοκέων. ξυνὴ δὲ χάρις καὶ ξυνὸν ὄνειδος.
Ἤδη καὶ σταδίοισιν ὅλον βίον ἐξετίναξαν,
Ἅλματα τιμήσαντες ἀνέρσια, καὶ φόνον κύδιμον,
Θρώων τ' ἄλλοι μνήμων ἱερόφρονες, ὡς πολιήτας
Ἧρα φέρειν, καὶ κῦδος ἔχειν περιώσιον ἄλλων,
Πανδήμοις σωμάτεσσι βεώμενον ἐκ τῶν δηρόν.
Ἄλλοι ἀεθλευτῆρσι βίον καὶ πλοῦτον ἄφυσσαν,
Ἀμφὶ κόνιν μογέουσιν ἑταῖρα, ἠνιόχοις τε
Ἀντίπαλ' ἀφραδίῃσιν ὑπ' ἀντιπάλοισι θεητοῖς,
Παλλομένοις ἑκάτερθεν ἄρα. ὕβρεσιν ἄλλοι
Ἀνδρῶν θηλυτέρων περικαμπέα τέρψιν ἔχοντες,
Καὶ μίμων σκιεροῖσι ῥαπίσμασιν, οἷς ὑποκόρσῃ
Γυμνοῦται, ψοφίουσα γελοῖον ἀντὶ γόοιο.

Τοῖα γὰρ ἀφραδίῃσιν, ἑὸν βίον οἱ μὲν ἀτοῖσι
Παίζοντες κακοεργόν. ἃ γὰρ μάθον, ἐξεδίδαξαν.
Καὶ μισθὸς μούνοισι κακῶν ὁ φάσγανον ὀξὺ,
Ἀλλ' ἄφρων καὶ πλοῦτος, ἐπεὶ παθέων ἐπαγωγοί.
Ῥᾶα δ' ἀριστεύουσιν οἱ ἀφραδέεσσι κάκιστοι.
Κεῖνοι μὲν δὴ τοῖα. καὶ ἃ κτήσαντο κάκιστα,
Χεῖρον ἀπορρίψαντο, δίκη δ' ἰθεῖα πάρεστι.
Σοὶ δὲ θεὸς ὀπάσειε τάτ' ἔλδεαι, ὅστις ἄριστος
Χεῖρ ὀρέγειν τεκέεσσι, καὶ οἷς δατέεσθαι ἄμεινον.
Ἄλλοισιν τὰ περισσὰ, τὰ δ' ὄλβια ἡμῖν ὀπάζοις.
Οὐ γὰρ πόλλ' ἐθέλω, πολλοῦ γε μὲν ἄξιος αὐτὸς
Ἔμμεναι, ὡς πατέρων μὴ τηλόθι πολλὸν ἐλαύνειν.
Τίς χάρις ἦν σὺ πίθηκον ἔχῃς, βροτοειδέα λώβην,
Χρυσείοισι βρόχοισι δέρην περιγυρωθέντα;
Οὐ γὰρ κόσμος ἄμειψε γελοῖον εἶδος ἐλαφρόν.
Τίς δὲ χάρις κανθῶνι φέρειν χρυσοῖο τάλαντα;
Κάνθων καὶ πολύχρυσος ἐὼν ὀγκηθμὸν ἀείδει.
Οὐδὲ χάρις μολίβοιο τετυγμένα φάσγανα κεύθειν
Ἀργυρέοις κολεοῖσι, τὰ μὴ πολέμοισιν ὄνειαρ.
Τοῖος γοῦν βροτός ἐστιν, ὅτ' ἔκτοθι μοῦνον ἀγερθῇ.
Τέρμα λόγου τόδ' ἄκουε, θεὸς δ' ἐπιμάρτυρος ἔστω.
Καὶ γὰρ καὶ θεὸς ἐστὶ λόγος, θνητοῖσιν ἀνάσσων.
Ταῦτα πάτερ παρ' ἐμεῖο, φύσις, τρόπος, ἄσπετος ἱδρὼς,
Ἤματά τε νύκτας τε διηνεκὲς εἰς ἓν ἀγείρειν.
Τἄλλα δέ μοι παρὰ σεῖο, θεὸς, χρόνος, ἐλπὶς ἀρείων.
Μὴ λέγειν θήγοντα παραιφασίῃσιν ἑταίρων.
Καὶ γὰρ καὶ δρυτόμῳ πέλεκυς, θηγόμενος ἐστὶν ἄριστον.
Μὴ σύ γε μὴ πόντον περιλάζεο, μὴ σύ γ' ὁδοῖο
Μῆκος, μὴ κτεάνων περιφείδεο, μή τι τὸ ἄλλο
Τῶν ὅσα τὴν μεγάλην ἀρετὴν θνητοῖσιν ὀφέλλει.
Πολλῶν τοι κτεάνων περιφρέστερος εὔχομαι εἶναι,
Πρωτότοκος καὶ πρῶτος, ἐπεὶ ὄνομα πατρὸς ἀείρας,
Εἴ τινα καὶ τόδ' ἔχει γενέτης χάριν, ὥσπερ ὀΐω.
Εἰ δέ σε γ' ἢ κτεάνων αἱρεῖ πόθος, ἢ σέ γε παιδὸς
Θηλυτέρου, μαλακὸς, μορφώεος ἐγγύθι πίπτων,
Φλὸξ καλάμης αἴουσα, μαραινομένη τε τάχιστα,
Φθέγξομαι, οὐκ ἐθέλων μὲν, ἀτὰρ σύ με καὶ τὸ κελεύεις.
Οὔποτέ σοι φιλόπαιδος ἐγὼ πατρὸς οὔνομ' ἀνάψω,
Ἀλλὰ πάτηρ σοῦ παιδὶ πέλοις θεὸς ἀντὶ βροτοῖο.
Μὴ φράξῃς πηγὴν, ποταμὸν μέγαν ὠδίνουσαν,
Μὴ δὲ φάος λύχνοιο θάνοι, λήγοντος ἐλαίου.
Ἢ φυτὸν οὐ δροσεροῖσι παιόμενον περὶ χεῦσιν.
Οἴγε, θρέψον, ἔπαρδε, ῥόον, φάος, ἔρνος ἀέξων.
Μῆτερ ἐμὴ, σὺ δ' ἐμοῖσι λιταῖς ἐπάρηγε καὶ αὐτή,
Ὄφρα κεν ἀμφοτέροισι χαρίσιον ὕμνον ἀείσω.
Μὴ δὲ μόνον πηλοῖο τὸ πέρ τισιν εὔαδε λέξαι
Φρασσαμένοις, ὅτι σαρξὶ περιβρομέουσι τοκῆες,
Ἀλλὰ καὶ ἀθανάτων ψυχῶν γενέτας καλέσαιμι.

ΝΙΚΟΚΛΟΥ ΠΡΟΣ ΤΟΝ ΥΙΟΝ.

Τέκνον ἐμὸν, μύθους ποθέων, ποθέεις τὰ φέριστα.
Καὐτὸς γοῦν μύθοις ἐπιτέρπομαι, ὅσπερ ἔοικε
Χριστὸς ἄναξ μερόπεσσι, βίου φάος, οἷον ἀπ' ἄλλων
Δῶρον ἐπουρανίης ἐξ αὔτυγος. οὐδὲ γὰρ αὐτὸς
Αἰρόμενος πολλῇσιν ἐπωνυμίῃσι γέγηθεν,
Ἀλλ' ὅτι πρόσθε λόγοιο καλεύμενος. ἀλλ' ἐσάκουε

Μῦθον ἐμόν, πατρὸς δὲ παλαίφασις ἦεν ἀρίστη.
Καὶ πολιῇ νεότητος ἔχει πλέον. ἰσοφίλη γὰρ
Ὁ χρόνος, ἰσοφίλη δὲ τέκνων σοφίην πτερόεσσαν.
Τοὔνεκ' ἐμῶν ἐπέων ἐμπάζεο, καὶ γὰρ ἄμεινον.
Τέκνον ἐμόν, τὰ μὲν ἄλλα πατρὸς τοῦ φέρτερος εἴης.
Χαίρει γάρ τε πατὴρ ἡσσώμενος υἱέος ἐσθλοῦ.
Καὶ πλῆξιν ἢ ταὐτῶν ἱερατικῶν θώκοισι νόμοισιν,
Οἷς τόδε πᾶν συνέδησε πατὴρ μέγας. ἐκ δὲ λόγοιο
Ἔμπεδον ἐστήριξεν ἑὸν κτέαρ ἀμφαγαπάζων.
Κεῖνο γε μὴν ἔθελον σε πατρώϊον ὦ τέκος ἴσχειν,
Αἰδοῦ πλειοτέρην, ὡς νῦν τοκέεσσιν ἔφηνας.
Παῖς καὶ ἐγὼ γενόμην ἀγαθοῦ πατρός, ἀλλὰ τόδ' οὔπω
Ἦλθον ἀφ' ἡμετέρων στομάτων ἔπος, οὐδ' ὑπ' ὀδόντι.
Οὐδὲ γὰρ οὐδὲ θεῷ κεχαρισμένος ἐστὶν ὁ μῦθος.
Ὦ πάτερ, ἔμ' ἐφύλαξας, βαιὴ χάρις. οὐ γὰρ ἔμοιγε,
Σῷ δὲ πόθῳ, σῇ σαρκὶ χαριζόμενος μ' ἐφύτευσας.
Ἀλλ' ἔθρεψας ἔπειτα; τί γὰρ τέκεν; ὡς ἀχάριστος
Φωνή, καὶ κόσμοιο λύσις, μεγάλης τε γενέθλης.
Φίλτρον μὲν συνέδησε φύσις τοκέας τε γόνους τε,
Μὴ μόγος ἀμφὶ τέκεσσιν ἀπορρήξειε τοκῆας.
Καὶ θανάτῳ τίκτομεν ἀκηδέες ὧν τεκόμεσθα.
Τοὔνεκα καὶ μόθον αἰνὸν ἑοῖς περὶ πᾶσι τοκῆες
Ἴσαν τ'. οὐ γὰρ ἔλεξας ἐτήτυμον ἄχρι μόροιο.
Σφῆκες, περδίκες τε, βόες, σύες, ἰχθύες, ὄρνεις,
Πάντων δ' αὖ περίαλλα βροτῶν γένος. αἱ δὲ νόμοισι
Τόσσοις ἀχθόμενοι, ὅλος βίος οἴχετ' ἄϊστος.
Τίς γὰρ ἴδ' υἱέα προσπτύξεται, ἢ τὰ φέριστα
Εὔξεται, ἢ ποθέοντι λόγους, ἢ ἄλλο τι νεύσει;
Τίς μοίρην κτεάνων ἀποδάσσεται, ὡς ἐπέοικεν;
Εἰ χρέος, οὐ χάρις ἐστίν, ὅπερ πατρὸς υἱὸς ἔλυσε,
Καὶ μισθὸν μὲν ἔχων αἰδοῦς νόμον ἔκτοθι βάλλει,
Εὖ δὲ παθών, ἀχάριστον ἔχει γλῶσσάν τε νόον τε.
Σκέπτεο δ' ἔνθεν σοί τις ἀπαντήσειεν ἐχέφρων.
Οὐκ οἷον μερόπων ἡμᾶς γένος, ἀλλὰ θεοῖο,
Τῶν δὲ πάρος πατέρες ἦν, τὰ δὲ δεύτερά ἐστι τέκεσσιν
Ὄργανα τοῦ χριστοῖο θεοῦ μεγάλοιο γενέθλης.
Γαῖαν ἔλον, λῆξεν δὲ νόον. μάκτον δ' αὖ διέλαξεν
Ἐν γένος ἀμφοτέρωθεν, ἐπιχθόνιον βασιλῆα,
Σῶμα καὶ νοῦ φρονέοντα, θεὸν θεῖον εὐσεβέοντα,
Πολλοῖσίν τε κακοῖσι κυκώμενον ἔνθα καὶ ἔνθα,
Ὥσπερ ἐνὶ πλεόνεσσιν ἀκαμπέα θυμὸν ἔχωμεν.
Ἀλλ' οὔπω τις τόσσον ἐπὶ φρενὸς ἤλυθεν ἐσθλῆς,
Οὐδὲ τόσον νεότητος ἀπήμονος αἷμα βράζει,
Ὥστε τόδ' ἐκ στόματος ῥῆξαι κακὸν ἀντιθέοιο.
Οὐκ ἐθέλοντά μ' ἔοργας, ἐπεὶ δέ μ' ἔοργας, ἔλεησον·
Ἢν δὲ πλάσσαις μ' ἐθέλῃς με, βροτὸν πλάσσαις αὐτὶ βροτοῖο,
Δὸς σοφίην, δὸς πλοῦτον, ἐπεὶ πλεόνεσσιν ἔδωκας.
Δὸς μέγεθος καὶ κάλλος ἐν ἄστεσι πρῶτα φέρεσθαι,
Θούριον ἔγχος ἔχειν, νούσοις δ' ἔμμεν οὐχ ὑποεικτόν,
Ἄλλα τε, οἷς μέγας ὄλβος ἐν ἀνθρώποισι μέμβλεται.
Ἢ χρυσῷ θυσίαις τε καὶ εὐχωλῇσι γεραίρειν.
Οὐ γὰρ ἐμοί τι νέμων δ' ὅσσα ψυχήν τε δέμας τε.
Κύδεος ἱμείρων δὲ περιήγαγες, ὥσπερ ἅπαντα,
Ὡς καὶ ἐπιχθονίοισιν ἀοίδιμος ὦ μάκαρ εἴης.
Ταῦτα θεοστυγέεσσι καὶ ἀφραδέεσσι διδάσκω,

Οἷς πλοῦτος θεός ἐστι κακοῦ πλαστῆρος ὀπηδοῖς.
Ἡμεῖς δ' ἐν πάντεσσι θεὸν μέγαν ὑμνέωμεν,
Ἐσθλοῖς τε στυγεροῖς τε. τὸ γὰρ τεκέων ἐρατεινῶν.
Καὶ μετὰ πρῶτον ἄνακτα ἐπιχθονίους γενετῆρας,
Οἵ με φάος ἔπλησαν, ἀφ' ὧν βιὰς ἐς ἐν ἴδοσα,
Καὶ λάμψε πραπίδεσσιν ἐμαῖς, καὶ πᾶσι φαάνθη.
Σιγήσω κόσμοιο κύκλον μέγαν, οὐρανὸν εὐρύν,
Ὄμμασι παμφανόωντα διαυγέσι, νῶτα θαλάσσης
Αὐτῇ ἱσταμένης τε, τὸ δ' ἦν τὸ θάμβος ἔμοι γε.
Γαῖαν ἐς ὑστερὸν, ποταμῶν ῥόον, ἠέρα πνευστόν,
Ὥρας, ἄνθεα τερπνά, βροτῶν φύσιν, ἠδ' εἴκω τε,
Ὅσσα θεὸς προύθηκεν ἐμοῖς φαέεσσι τράπεζαν,
Ταῦτα πατὴρ μεγάλοιο πατρὸς πάρ' ἔδωκεν ἔμοι γε.
Τῷ μὲν μοι τοίοισιν ἀμείβεσθαι γενετῆρα
Θαρσαλέως, καὶ θάρσος ἐφυθράσσει ἔκτοθι μέτρου.
Μή σοι τις καὶ τοῖος ἐπ' οὔατος ἡμετέροιο
Τέκνον θερμοτέροιο πατρὸς πάρα μῦθος ἵκηται,
Εἴ γε φύσις τεκέεσσι πέδην ἀπόρουσε τοκήων,
Καί τι φύσις φιλέειν οὐδ' οὐ φιλέοντας ὄρυξε,
Κρεῖσσον ἀπαδαλέοντα φέρειν πατρός, μὴ παρ' ἄλλον
Εὖ πάσχειν, θνητοῖς δὲ πατρὸς μόνον ἐστὶ χεῖρα λεύσσειν.
Εἰ δὲ πηγύς, φρενοπλήξ τε, καὶ οὐ μελέεσσι πεπηγώς,
Τί πρήξας, οὐ χεῖρα τεὴν σκίπωνι πεδήσας;
Οὐκ ὅμοιοι τεοῖσιν ἀειρόμενός μ' ἑκὰς οἴσεις,
Ὡς Ἀγχισιάδης γενέτην ἑὸν ἐκ πολέμοιο;
Ἢ φάσεις, τί μ' ἔτευξας; καὶ τί με δύλιον αὐτεῖς;
Δὸς φωνὴν νεπόδεσσι, καὶ ἠερίοις πετεηνοῖς.
Καὶ τοῖς ὅσσα τε γαῖαν ἐπιπνέει τε, καὶ ἕρπει·
Οὐκ ἐρέει τί μ' ἔτευξας ἁλὸς τέκος ὦ ἀνὰ δελφίς,
Ἀρμυρὸν οὐκ ἔθελον τέμνειν βίον αἰγὶ ἀλίτης,
Ὑγρὸν φυσιόων, καὶ ἀνάστερον ἠέρα λεύσσων.
Ἔργα βοὸς ποθέω τὰ ὄρεια, καὶ πλατὺν ὦμον,
Καὶ ζώειν μερόπεσσιν ὁμὸν βίον ὡς ταχὺς ἵππος,
Ἢ πᾶσιν νεπόδεσσιν ὀλισθηροῖσιν ἀνάσσειν.
Οὐδὲ βόες ποθέουσιν ἁλὸς πέρον ἀγχαλόωσιν.
Οὐκ ὄφιες σκολιοῖς κάμπτων μηρύμασι γαστρὸς
Πικρὸς ὄφις, τί μ' ἔρεξας ἐπὶ χθόνα γαῖαν ἔδοντα;
Ἤθελον ὄρθιος ἔμμεν, ἀτὰρ σύ με γαστρὶ κυλίνδεις.
Οὐδὲ κόραξ ἀετοῖσιν ὁμοῖα δινεῖσθαι
Χρηΐζει, πάντων βασιλεύτατον ἄλλος ἀμείψας.
Στέργει δ' ὅπερ ἕκαστον ἔχει βιότοιο κέλευθον.
Οὐδ' ἔγ' ἑῷ πλάστῃ πότ' ἔρει κεραμήϊον ἔργον,
Τίπτ' ἐπ' ἐμοὶ ῥοίζησας ἀεικέα κύκλον ἀλιβῆ;
Ταῦτα μὲν ὥς τε τεὴν κάμψαι φρένα φίλτατε παῖδ' ἐμή,
Ὥστε μάθῃς πλάστιγγα λόγου καὶ ἀπάστερον ἐφέλκειν,
Ἢ ῥέψαι τὸ ποθεσσόν. ὁ δ' ἄρκιον ἐστὶ καθέξαι.
Μὴ δὲ ῥόον νεότητος ἐφιέμεν, ἀλλὰ κατίσχειν,
Τὸ πλεῖστον φρασέοντι μένειν πολὺ λώϊον ἐστὶν
Ἔνδοθεν, ἢ τιν' ἄφραστον ἐπὶ ἠέρα μῦθον ὁδεύειν.
Οὐδ' εἷς γὰρ πόνος ἐστὶ μένειν ὑπὸ χείλεσι μῦθον.
Οὐ γὰρ ἔχιδνα ὅς τε γόνος διὰ γαστέρα ῥῆξε
Μητρὸς ἀναβρώσκων, ποινὴν πατρὸς ὀλλυμένοιο.
Ἤδη δ' αὖ μύθοισι τεὸν διαδέξομ' ἔρωτα
Πατρὸς ἐν ἠνῇ, παιδὸς θράσος ἠέρι πάσσων.
Οὔτι μάλα βιότοιο πέλει τέλος ὦ τέκος οὔπω.

Οὐδὲ

Οὐδὲ γὰρ οὐδεμία πᾶσιν φύσις, ἀλλ' ἡ μὲν ἐσθλή.
Η δὲ χερειοτέρη, θηρσὶν ἀλόγοισιν ὁμοίη.
Αλλη δ' αὖ πλεκτή τε καὶ ἀμφοτέροις ἐπίμικτος,
Ὡς ἄρα καὶ τρισσὸν γαίης ἔδαφος οἶδε γεωργός.
Εὔσταχυς, ἡ δὲ ἄκαρπος, ἀκανθοφόρος δ' ἅμα σίτῳ.
Τρισσαὶ δὴ τελέθουσιν ὁδοί, καὶ τέρματα τρισσά.
Η μὲν γὰρ χθαμαλή, καὶ ἐπίτροχος ἴχνεσι πολλῶν,
Εὐρείη, μαλακή τε, καὶ ἐς τέλος οἰκτρὸν ἄγουσα,
Κρημνούς τε, ζοφερούς τε μυχούς, καὶ τάρταρον αἰνόν,
Ηχι πυρὸς ποταμοί, καὶ δαίμονες ἀγριόθυμοι,
Ψυχῶν τ' ὀλλυμένων ποινή, καὶ τίσις ἄπαυστος.
Η δὲ τρηχαλέη καὶ ὄρθιος, αἰπεινή τε,
Στεινή τε, σκολιή τε, καὶ ἀμφίκρημνος ἁπάντη.
Αμβατος οὐ πολλοῖσι, καὶ ἐς τέλος ἐσθλὸν ἄγουσα
Οὐρανὸν ἀστερόεντα, κλέος μέγα, κάλλεϊ ἀστερίης,
Αὐτὴν ἀτρεκίην καθαρήν τε καὶ ἄσκιον ἐσθλόν,
Αχρι καὶ ἀκροτάτοιο φάους ὅρον οὔτιν' ἔχοντες.
Η δὲ τρίτη, μεσάτη μὲν ὁδός, μεσάτη δέ γ' ἀμοιβῆς,
Οὔτε λίην μογερή, καὶ κῦδος οὐ μάλα πολλοῦ,
Οἷον κιρναμένοις φωτὸς πρὸς νύκτα μέλαιναν.
Αμφιλύκην δ' ἄρα τήν γε σοφοὶ μίξιν καλέουσι.
Ρέη μὲν πρόωσιν, ὅσοις νόος ἐστὶ κάκιστος,
Υβρισταῖς, ἀνδροφόνοις, μοιχοῖς, ἐπίορκον ὀμοῦσιν,
Ανδρογύνοις, τοκέων δ' ἀλιτήμοσιν, ἁρπαγίδεσσι,
Γαστρὶ φίλοις, λίμνῃσιν ἀπληρώτοισιν ὁμοίοις.
Οἳ θανάτῳ ζώοντες, ἑὸν μόρον ἀμφαγαπῶσι.
Δυσμενέων κεφαλαῖς οὗτος βίος αὐτίκ' ἔσοιτο.
Τὴν δ' ἀγαθὴν τέμνουσιν, ὅσοις βίος ἐκ ἀπὸ γαίης,
Τρισμακάρων, ζωόντων ἐπὶ χθονὶ σαρκὸς ὕπερθεν,
Αζυγέων, κόσμοιο περιφρονέων, οὐρανοφοίτων,
Ακτέανοι, κινυροί, χαμευνάδες, οἰοχίτωνες,
Βαιὸν ἀναπνειόντων, ἀγαστόρων, ἀσκεπέων τε,
Κῦδος ἓν οἶον ἐχόντων, ἅπαν κλέος ἐνθάδ' ἀτίζειν,
Καὶ πλοῦτον, πενίην τε, καὶ ὡς θεὸν οἶον ὁρᾶσθαι.
Τοὺς μὲν ἐγὼ τρομέω, καὶ δείδια νέρθε δεδορκώς,
Ὡς θεὸν ὑψιμέδοντα, ὅτ' ἀνθρώποισι πελάζει.
Καὶ γὰρ πολλὸν ὕπερθε βροτῶν βεβάασιν ἁπάντων.
Ημεῖς δ' αὖ μεσάτην ὁδὸν ἵομεν, ὅτι κακοῖσι
Τερπόμενοι, καὶ βαιὸν ἐφαπτόμενοί γε θεοῖο.
Οἷς ἀλόχων τε μέμηλε, καὶ εὐκλείης βροτέης,
Καὶ τεκέων, κτεάνων τε, φίλον δ' ὅ, τι χεῖρας ἵκηται.
Τοῦτο δὲ πρώτιστον ἐμοὶ λόγος ἐστὶ βίοιο,
Πλοῦτον ἀλάιστον, κτέαρ ἄκλοπον, ἐσθλὸν ἔχοντες.
Εἴ τοι μὴ ταύτῃσιν ἐπέδραμον, ὡς ποθέεσκον,
Μὴ δ' ὅλον ἐξεπέρησα λόγων πόνον ἴσια πάντας.
Οὐ γὰρ σοῖς ἐπέεσσ' ἀπεπείθομαι, οὐδέ με κλέψει
Αἶνος ἐμός. αἶνος γὰρ ἀφ' αἵματος ἐστὶν ἄπιστος.
Αλλ' ἔμπης, τίω σε λόγων κλέος ἔξοχον ἄλλων.
Μῦθοι γὰρ βιότοιο θεμείλιον, οἵ μ' ἐκ θηρῶν
Εσχισαν, οἷσιν ἔγειρα πόλεις, καὶ τέθμι' ἀνδρῶν,
Καὶ θεὸν ὑμνείω μεγακυδέα. οἷσιν ἀείρω
Τῆς φαεινῆς ἀρετῆς ὑψοῦ κλέος. οἷσι δ' ἀμάζω
Τῆς συγερῆς κακίης πικρὸν ἔδαφος. οἷσι κνάζω
Κόσμον, οὐράνιόν τε, καὶ ὃς ὑπὲρ λῦσιν ὁδεύει
Ενθάδε, καὶ ψυχὴν ἐκ σώματος. ὡς δ' ἐκ μορφῶν
Εἰκόνας, ὡς δὲ βίων τε φύσεις, καὶ τέρματα δισσά
Ζώντων τ' ὀλλυμένων τε. τὰ γὰρ θεὸς ἐξεδίδαξε,
Καὶ λόγος ἐξεῦρε σοφῶν, καὶ πίστις ἔδρασε.
Πῶς δ' ἀγαθῶν ἀρετὴν ἕλκει χρόνος ὑστατίοισιν
Ημασι, δεῖγμα φέρων γραπτὸν κλέος. ὡς δὲ κακίστων
Δυσκλείην, στήλαισιν ἐν ἀθανάτοισι χαράσσων.
Μῦθοι, καὶ ζώοντι μόνῳ βίος ἐκ ὠδίνης,
Καὶ λαμπρὸν θνήσκοντι μέγα ξίφος, οὐδὲν ὁμοῖον
Ανθεσιν εἰαρινοῖσιν ἅμ' ἠοῖ κειρομένοισι.
Θνήσκουσιν δ' ἄρ ἔπειτα περὶ ἤματος ὀλλυμένοιο.
Μῦθοι, καὶ παθέεσσιν ἄκος μέγα. τοῖσι δαμάζω
Θυμὸν ὑπερζέοντα, νέον νέφος. οἷσιν ἀνίας
Εὐνάζω, καὶ μέτρον εὐφροσύνῃσι τίθημι,
Οὔτε λίην μογεροῖσιν ἀσώμενος, οὔτ' ἀγαθοῖσιν
Αἰρόμενος. ἕτερον δ' ἑτέρῳ σταθμώμενος ἄλκαρ,
Ελπίδ' ἐν ἀργαλέοισιν, ἐν εὐδίοισι δὲ τάρβος.
Μῦθος καὶ βασιλῆας ἄγει, καὶ δῆμον ἐφέλκει.
Εντ' ἀγορῇσι τέθηλε, καὶ ἐν θαλίῃσιν ἀνάσσει.
Καὶ μόθον αἰχμάζει, πρηῢν δ' ἔτι φῶτα τίθησι,
Μαλθάσσων ἁπαλοῖσι καὶ αἱμυλίοισι λόγοισι,
Καὶ κρατερόφρονα ἐόντα, πυρὸς μένος οἷα σίδηρον.
Ορφέα κιθάρη μῦθος πέλε, ὥσπερ ἐίσκω,
Πάντας ἄγων μελέεσσιν ὁμῶς ἀγαθούς τε κακούς τε.
Ὡς δ' Ἀμφιονίη λύρη καὶ λᾶας ἔπειθε,
Ψυχὰς ἀντιτύπους πετρώδεας. εἶδα δὲ πομπῆ
Φάρμακον, ὡς λόγος ἐστίν. ὃν ἐρχομένῳ μετὰ Κίρκην
Λαερτιάδῃ πόρε δῶρον, ὅπως κε σύεσσιν ἀρήξῃ,
Οἷς ἑτάροις. μὴ δ' αὐτὸς ἔοι συνθρέμμονα φορβήν.
Μῦθον καὶ Πολύδαμνα ἐκράσσατο Θῶνος ἄκοιτις
Αἰγυπτίη, δῶκεν δ' Ελένῃ ξεινήιον ἐσθλόν,
Νηπενθές τ', ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
Καὶ μῶλον στονόεντα, καὶ ἄγριον οἶδμα θαλάσσης
Πολλάκις ἐκπροφυγών τις, ἐπὴν θεὸς ἵλαος εἴη,
Τόνδε συνεξεσάωσε φίλον κτέαρ οἶον ἀπ' ἄλλων.
Ὦ πλέον, ἢ πλεόνεσσιν ἀγάλλεται ἄλλος ἐπ' ἐσθλοῖς.
Μῦθος γάρ τε βροτοῖς αἰδοῖον ἄνδρα τίθησι.
Τεκμαίρου δ' Ὀδυσῆα, τὸν ἐκ πόντοιο φυγόντα
Γυμνόν, καὶ μελέεσσι τετρυμένον αἰπὴν ἀλήτην,
Μύθοισιν πυκινοῖσιν ἱκέσσιον ἀντιάσαντα,
Παρθενικὴ περ ἐοῦσ' αἰδέσατο καὶ βασίλεια,
Φαιήκεσσί τ' ἔδειξε, καὶ Ἀλκινόῳ βασιλῆι,
Ξεῖνον, ναυηγόν, πάντων γεραρώτερον ἄλλων.
Μῦθοι καὶ πλεόνεσσιν ἐπ' ὄμματα πικρὰ φέρουσι
Βασκανίης τελέθουσιν ὑπέρτεροι. οὐ γὰρ ἀρίστοις
Ὁ φθόνος, οἷς δ' ἀδόκητος ἔβη τύφος, οἶδε παρ' αἶψα.
Ὦ μῦθοι μύθων ἐπιδευέες, ὡς ποθέεσκον
Σοῖς ἀγαθοῖς ἐπέεσσιν ἐμὸν λόγον ἰσοφαρίζειν.
Ἀλλὰ τὰ μὲν κατέμαρψα, τὰ δ' οὐ δυνατός. ἄλλα δὲ παῖς
Γλῶσσα φίλη κατέλεξεν ἐπερχομένοισι πόθοισιν (δός
Ἐκ πολιῆς νεότητος, ὅμοι πλέον ἤτορ ἐγείρει.
Ἀλλ' ἴθι μοι τοκέων τε λιταῖς καὶ σῇσι πιθήσας
Πρόφρων ἀρτεμέων τε σὺν ἐλπωρῇσιν ἀρίσταις,
Οἱ ποθέεις, πομπὸς δέ σ' ἄγοι πατρῷιος ἐσθλός.
Καὶ γὰρ δὴ ἡμετέρην βιοτὴν θεὸς ὄμματα βάλλει.
Εἴτε σύ γ' αὖθις ἔσοψεαι ἀγλαΐης, αὖτέ σε τερπνῆς

Φοινίκης

Φοινίκης λιπαρὸν ἄστυ, νόμων ἕδος Αὐσονίων,
Εἴ τι σ' Ἀλεξάνδροιο πέδον μέγα, ἔνθα τε πολλῶν
Φορτίδα πλωσάμενός τις, ἑὰ πρὸς δώματ' ἐλαύνει.
Πάντα μὲν ὑμετέροισιν ἐπίτροχος αἶα πέλοιτο
Ποσσὶν ἐπειγομένοισι, καὶ ἄνθεα καλὰ φύοιτο,
Καὶ ποταμοὶ κελάδοιεν ἐνὶ εἴα. πᾶς δέ τε πόντος
Νῆα φέροι πνοιῇσιν ἐλαφροτάτῃσιν ἐπ' ὅρμον.
Δελφῖνες δ' ἐνδόωσιν ὑπεὶρ ἅλα νῶτα φαεινοῖς
Κυρτοῖς ἐγναμπτοῖσιν ἑλισσόμενοι πυμάτοισι,
Σκιρτῷεν περὶ κῦμα νεὸν βίον ἡγεμονεύων,
Ὥς ποτε καὶ ναύτοισιν ἀοίδιμον ἤγαγ' ἀοιδήν.
Μύθων δ' ἀγρευτῆρσι πέλοις φάος· ἐν προνόμοις δὲ
Αὐτίκ' ἀριθμήσειαν ἐμὸν παῖν, ὅσα τίκτοσι
Τίονται. κρητὴρ δὲ λόγων ὁ πυθμένιος ἄχρις
Ζωρὸς διψαλέῃσιν ἀφύσσοιτο πραπίδεσσι.
Χρύσεα δ' αὖ πτυκτῇσιν ἐνὶ πινάκεσσι γράφοιτο
Γράμματα σῇ παλάμῃ, στίζοι δ' ἐπὶ κνεῖα βίβλου.
Εἰ δὲ σύ γ' ἀκρεμόνεσσιν ὑφήμενος ἄκρος ὄρει,
Τῆμος, ὅτε πνοιαὶ γλυκερώτεραι εἰσι βροτοῖσιν,
Ἢ πυρόεν βάλλοντος ὑπὲρ κρατὸς ἠελίοιο,
Μύθοισιν μογεροῖς πυκινὴν φρένα πᾶσαν ἐρείδων.
Τέττιγας λαλαγεῦντας ἅμ' ὀρνίθεσσιν ἀοιδοῖς,
Σὸν δέμας εὐλυθρόοισιν ἀναψύχειν ἀοιδαῖς
Ἐς δείλην καλέοντας ἀοιδοσύνῃσιν ἑταίρων.
Αὐτὰρ ἐγὼ θοὸν ὥστε φίλοις συνείγμασι πῶλον,
Κνέπτον θερμὸν ἐόντα, θοώτερον ἐς δρόμον ἄσω
Νίκης ἱχανόωντα μεγακλέος, ἠὲ παλαιστὴς
Οἷα γέρων μεγάλοισιν ἀεθλητῆρσι κελεύων
Ἀμφὶ κόνιν πισσαίαν ἐπεσσυμένοισι λόγοισι,
Παῖδ' ἐμὸν ἐν μεσάτοις κοτινηφόρον εὔχομ' ἰδέσθαι.
Οὔτε τινὸς κτεάνων περιφράσομαι, ὡς σὺ κελεύεις,
Οὔτε μόγου τεκέεσσιν ἐοικότος, οὔτε τοῦ ἄλλου
Τῶν ὅσα τὴν μεγάλην ἀρετὴν θνητοῖσιν ἀγείρει.
Κρείσσων γὰρ πενίη πινυτὴ πλούτοιο κακίστου.
Οὐ φράξω πηγὴν, ποταμὸν μέγαν ἐνδὸς ἔχουσαν.
Μὴ δὲ φάος λύχνοιο θάνοι, λήγοντος ἐλαίου.
Ἑρνός τε περιχοῦσιν ἀεξώοισιν ἀέξοι.
Τοῦτο δέ σοι παρ' ἐμεῖο μέλος περιμήκετον ἔστω.
Χριστὸν ἔχοις ἐπέων ἡγήτορα, καὶ βιότοιο
Σῶν λόγων, ὃς μύθων περιφερέστατός ἐστιν ἁπάντων.
Μὴ σύ γ' ἑταιρίσσαιο κακόν, καὶ φαῦλον ἑταῖρον.
Λοιμὸς, ὁ κρατεροῖς ἐνεχρίμπτει μελέεσσιν.
Οὔτ' ἀρετὴν ὀπάσεις, καὶ αἶσχος ἀντιβολήσεις.
Σωφροσύνην συνέριθον ἔχοις, καὶ τέρπεο μούνῃ,
Μὴ πόθος ἐκκρούσειε πόθον τὸν ἄριστον ἀλιτρός.
Ἐν μύθοιο νόμιζε, σοφὸν τρόπον ἔμμεν' ἀρείω.
Εἰ δὲ σύ γε πλάσσαις ἱερὴν φρένα τῶνπερ ἔολπας,
Αὖτις ἴοις. πομπὸς δέ σ' ἄγοι περίφαντος ἅπασι.
Πομπὸς δ' ὅσπερ ἰόντι συνέμπορος ἠγνοέοιο.
Μισθὸς δ' αὖ τοκέεσσι χάρις, καὶ ὄνομ' ἄριστον.
Ταῦτά γέ σοι παρ' ἐμεῖο τέκος φίλον. εἰ δὲ γεραίτερον
Πρόσθε περ ἐθέλοις, καί τοι θεὸς ἡγεμονεύοι.
Οὐδ' ἐγὼ ἄπιστον ἐόντα σοφὸν, καὶ βένθεα μύθων
Αἰψ' ἀναχεύοντα ὑφ' ἡγεμόνεσσιν ἀρίστοις
Τοίοις, ὅν τιν' ἔλεξας ἀφ' αἵματος ἡμετέροιο,
Ὦ τέκος ἀκροτάτοιο καλοῦ πρὸς τέλος ἱκέσθαι.

ΠΡΟΣ ΒΙΤΑΛΙΑΝΟΝ ΠΑΡΑ ΤΩΝ ΥΙΩΝ.

Ὦ πάτερ, ὅνπερ ἐμοί γε θεὸς θεὸν ἐνθάδ' ἔδωκεν,
Οὐ γεγαὼς γεγαῶτα, καὶ οὐ φθινύθων φθινύθον
Ὥσπερ ἐπιχθονίοισι γέρας καὶ κῦδος ὀπάσσῃ, (τα,
Ὡς γὰρ ὁμοῦ πάντων γενέτης, νωμεύς τε φέριστος
Χριστὸς ἄναξ μεγάλοισι νοήμασι κόσμον ἑλίσσων,
Ὥς ῥα καὶ οἷς τεκέεσσι πατὴρ θεός. ἀλλ' ἐπάκουσον
Μῦθον ἐμὸν θείοισιν ἐνὶ σπλάγχνοισιν ἄριστον.
Καὶ τὸ θεοῦ μεγάλοιο, θεὸς βροτὸν οὐκ ἀθερίζει,
Ὦ θάνεν, ὃν συνάγειρε, καὶ ᾧ θεὸς ἵξεται αὖτις,
Ἵξεται ὑστατίοισιν ἐν ἤμασι πάντας ἐλέγχων,
Τίπτε τόσον τεκέεσσι τεοῖς ἐπιβρίσας ὀδόντας
Πῶς ποινὰ κακόχαρτος ἐνύλακτο σοῖσι δόμοισι;
Τίς δ' ἐρινὺς τόσον ὄλβον ἀτάσθαλος ἐξετίναξεν;
Ἤτοι μὲν πατέρων ἀγαθῶν ἔφυς. οὐκ ὀλίγος δὲ
Αὐτὸς ἐν ἡμερίοισι, θεῷ δέ γε πάγχυ μέμηλας,
Ὃς φιλέει φιλέοντας, ἀπεχθαίρει δὲ κακίστους.
Οὗτος μὲν τὸ πάροιθε θεοῦ νόμος ἀλλὰ τέθηπα,
Πῶς σὺ θεοστυγέεσσιν ὁμοίια κήδε' ἀνέτλης
Δαμνάμενος πληγῇσιν, ὃ δὴ φάτις, αὐτὸς ἐοῖσιν.
Ἄλλοις ἀπροτίοπτα βίου φύσις ἄλγε' ἐνδύει,
Τῇ καὶ τῇ δονέουσα βροτῶν γένος. οὐδέ τις οἶδε,
Ποῖ λήξει μέγα κῦμα πολυπλανέος βιότοιο,
Ἢ τίς νῆα μέλαιναν ἐμὴν ὑποδέξεται ὅρμος.
Ἄλλον πόντος ὄλεσσεν ἀπείριτος, ἢ κλύσε χέρσῳ
Ζωὸν, ἄτερ σπείροιο καὶ εἵματος οἰκτρὸν ἀλήτην,
Τὸν πρόσθεν πολύολβον. ὁ δ' ἤγρετο, κάθιθεν ἅλμα.
Ἄλλον δηριόωντα μέσος κτάνεν, ἄμμιν ἔπεμψε
Δακρυαλῆ, χείρεσσιν ὑπ' ἀνδροφόνοισιν ἑλόντων.
Ἄλλον δ' αὖ βασιλῆες ἐνόσφισαν, ὧνπερ ἔχεν [illegible],
Αὐτῆμαρ χθαμαλόν τε καὶ ὄλβιον ἄνδρα τιθέντες.
Καί τινα ληϊστῆρες ἀπηνέες, ἤ τινα φῶρες
Ἠματίῃ κακότητι καὶ ὀρφναίοισι δόλοισιν.
Ἄλλους δ' αὖ μελέων κατεδάσσατο δ' ἄπρια νοῦσος.
Σοὶ δ' ὧν μὲν κατέλεξα, θεὸς κατερύδυσε γαλήνην
Πάντων, καὶ νούσων ἐτ' ὄμμασιν ἐμμενέεσσι,
Πάντα περιφράσσων, τά τ' ἔνδοθεν, ὅσσα τ' ἔασιν
Ἔκτοθεν, οὐδ' ἐλῆς δηϊδὴν, καὶ κάρτος ὀπάσσων.
Ἓν δὲ τόδ' οὐ κατερύδυσε, τεοῖς τεκέεσσιν ἀρήγειν,
Ὡς γλήνην βλεφάροισιν ὑπ' εὐκύκλοισι φυλάσσειν,
Ὡς μή τις βιότοιο περᾷν πλόον οὐδ' ἀγορεύσει,
Μοῦνος ἐγὼ κακότητα βίου καὶ κῦδε' ἄλυξα.
Ὦ σαμίων ποτ' ἄναξ σὺ πολύκρατες, οἷον ἐμήσω,
Δείσας εὐτυχίας δρόμον ἄσχετον, ἔμβαλες ἄλμῃ
Πόρκην, ὃν φιλέεσκες, ὅπως φθόνον ἐξαρέσαιο.
Καὶ τὸν μὲν πάλιν εἶχες, ἐστὰς μέσον οὐχ ὑπάλυξας.
Ἡμῶν δ' οὐδ' ἐνὶ ἄποινον ἔχει φθόνος. οὐ μέγα θαῦμα,
Εἴ τι δόμοις καὶ βαιὸν ἐπέκλυσεν ἡμετέροισιν.
Ἀχλὺς γὰρ τόδε γ' ἐστὶν ἐτήτυμον, εἴ τις ὄρφνη
Ἱσταμένη τεκέων τε μέσον καὶ πατρὸς ἀρίστου.
Τίς τάδε θρηνήσειε γόων πολυΐδριος ἀοιδός.
Πῶς μῦθον προτέροισιν ἐδόκαμεν οἷς παθέεσσι.
Μορφῆς μέν τις ἐὼν ποτ' ἐράσσατο, καὶ περὶ πηγῆς
Ἦλθε, καί μιν ἔσπερον ἀπώλεσεν εἴδεος ἐσθλοῦ.

Σάρκας

Σάρκας δ' οὔπω θ' ἑὰς τὶς ἀπέστυγε. κεῖνο δ' ἄκουσα,
Ὡς μήτηρ φίλον υἷα κατέκτανε μαργοσύνῃσι.
Κτεῖνε μὲν, ὥς τινα θῆρα, τὸ δ' ἔρκεος. ὡς δ' ἐνόησε,
Μύρετο υἱέ τι θῆρα, παῖν δ' ὑπὸ χερσὶ δαμεῖσα.
Καὶ μήτηρ τεκέεσσιν ἑοῖς ἐνὶ φάσγανον ἧκεν,
Ἀμφιχολωσαμένη λεχέων καὶ πατρὸς ἔρωτος.
Καί τινα θηρητῆρα κατ' οὔρεος αὐτ' ἐλάφοιο
Ὠκείης ἐδάσαντο θοοὶ κύνες, οὓς φιλέεσκε.
Μή σε πάτερ τούτων τιν' ἀριθμήσειεν ἀοιδὸς
Μνωόμενος πατέρων κακίης, καὶ πήματ' ἀέθλων
Ἐν δ' ἅμα πολέμοιο, καὶ αἵματος ἀλιβίοιο.
Ἄζομ' ἐγὼ, κακίη μὲν ἐμή, κακίη δέ τε παιδός.
Πατρὸς δ' ἐσσέτι μᾶλλον, ἐπεὶ καὶ φέρτερός ἐστιν
Ἀμφότερον, πολιῇ τε καὶ ἤθεσι κυδαλίμοισιν.
Εἴ τι μὴ κακίης γε, δυσωνυμίη δ' ἀλεγεινή.
Ἥ τε καὶ ἐσθλὸν ἐόντα, χαμαὶ βάλε πολλάκι φῶτα,
Πολλοὶ μὲν γὰρ ἴσασιν ἀληθέα, οὐκ ὀλίγοι δὲ
Δόξαν ἐποπτεύουσι, τό σε φράζεσθαι ἄνωγα.
Καὶ γὰρ ἅπαντ' ἐθέλω πάντων κρατέειν γενετῆρα,
Καὶ μάλα χωόμενόν περ, ἐπεὶ φύσις ὧδε κελεύει,
Καὶ κλέος ἐσθλὸν ἔχοντα μετ' ἀνθρώποισιν ὕψι φέρεσθαι.
Πῶς σε πάτερ ξείνῳ τις ἐνίκα φῶτα δικάσει,
Τοσσάτιον τεκέεσσι χολωσάμενον, οὓς ἐφύτευσας,
Οὓς ἤρω ποτ' ἄνακτι τεοῖς ὑπὸ γούνασι θεῖναι.
Καὶ κλεινοῖσι γέρηρας ἐπωνυμίῃσι φανέντας.
Πέτρος ἐγὼ, Φωκᾶς δὲ κάσις Χριστοῖο μαθητῶν
Κλήσεσιν. αὐτὰρ ἔπειτα χόλος καὶ πάντα λέλασται.
Τίς πάτερ, ὡς σὺ φέρεισι, τόσον τεκέεσσιν ἑοῖσιν
Ἤπιος ἀρτιγόνοισιν, ἀεξομένοισι δ' ἀπηνής.
Εἰ μὲν δ' ἦ θέμις ἠὲ θεὸν βροτὸν ἀντιφερίζειν,
Ἢ παλαιοῖς τοκέεσσι, τάχ' ἄν τινα μῦθον ἀνεῦρον
Ἡμετέροις παθέεσσιν ἀρηγόνα. νῦν δὲ τόδ' οἶον
Ῥέξομεν ἡμετέρων στομάτων ἔπος. εἴτε κάκιστοι
Σοί πάτερ, εἴτ' ἀγαθοί, τοῦ σπέρματος ὁ στάχυς ἐστί.
Σὸν κλέος οὗτος ἐγώ γε μακάρτατε, σὸν δέ τ' ὄνειδος,
Ἢ καλὸς, ἠὲ κάκιστος ἐών. τόδε πᾶσι πέφανται,
Στέργειν ἐσθλὸν ἐόντα, κακὸν δ' ὑπὸ χεῖρα βράδειν.
Οὐδέ γ' ἀρτεμέεσσι τὰ φάρμακα, τοῖς δ' ὑπὸ νούσου
Τειρομένοις ἐπαλγοῦσιν ἀκέστορες. οὐδέ τις ὄρνιν
Ἐξέμβρυον κλαδέεσσι, καὶ ἤιει ταρσὸν ἰόντα,
Ἧς δ' ἀπὸ τῆλε πτῶντα φίλης ἐλέαιρε καλιῆς.
Ἢ γναμπτοῖς ὀνύχεσσι πεπηγμένον ὠμοβόροιο
Ἴρηκος, καὶ συγγενέα ὑποβρύζοντα πόδεσσι.
Σὴ χάρις ὄντα κάκιστον, ἑοῖς σπλάγχνοισι γεραίρειν.
Εἰ δ' ἀγαθόν, τοῦ παιδὸς ἐμοὶ νόμος. οἱ γὰρ ἄριστοι
Καὶ ξείνοις τελέθουσι προσηνέες. οὐδὲ θεοῖο
Ἡ δὲ χάρις τὸν ἄριστον ἔχειν πέλας, ἀλλὰ κάκιστον
Εὐμενέειν, καὶ χερσὶ μετὰ χθονὸς ὑψόσ' ἀείρειν.
Οὐ δὲ γὰρ ἀπλάτοισι θαύνει θεὸς, οὔτ' ἐπὶ γαῖαν
Ἤλυθε, καὶ θεότητι ἑὴν βροτὸν ἀμφὶς ἔπηξεν,
Ἀλλὰ χαμαιπετέεσσι, καὶ οἳ θάνον ἐξ ἀδάμοιο.
Οὐκ ἀΐεις υἷα πρότερον, ὡς ἀπὸ παιδὸς
Πλαγχθὲν μαχλοσύνῃσι πατρώϊα πάντα λαφύξας;
Καί μιν λιμὸς ἔτειρεν ἀλήμονα. ὡς δ' ὑπὸ δῶμα
Πατρὸς ἑοῦ παλίνορσος ἔβη, καὶ γούνασι κάμφθη,
Αἶψα πατὴρ ἐλέαιρε κακὸν παῖν, αὐχένι χεῖρας
Πλέξατο, δάκρυα χεῦε, καὶ εἰλαπίνῃσι γέρηρε.
Καὶ ποιμὴν οἴων τις ἑῆς ἀρμοσαμένοιο
Ἐσθλὸς, λεῖψεν ἅπαντα, μετ' ἴχνια δ' ἤλυθε κείνης.
Ἦν δέ μιν ἢ τι πρῶνας ἀπέπτατο, ἢ καθ' ὕλας
Πλαζομένην εὕρησιν, ἑοῖς ὤμοισιν ἀείρας,
Καγχαλόων δεκάδεσσιν ἐνηρίθμησε φίλῃσι.
Τοῖος ἐμοῦ Χριστοῖο μέγας νόμος, ὃς χθαμαλοῖσιν
Εὐμενέει πάντεσσιν, ὑπερφιάλους ἀθερίζων.
Πολλάκις ἐξαγόρευσις ἁμαρτάδας ἀνδρὸς ἔσωσε
Μούνη, καὶ δακρύοισιν ἀπέκλυσε πήματα πικροῖς,
Καὶ ψυχὴν ἐκάθηρε μελαινομένην κακότητι.
Ἑπτάκι πολλάκι τόσσον ἄναξ μάλιστε τ' ἀλιτροῖς,
Ὡς λογίων ἐπάκουσα θεοῦ, καὶ πνεῦμ' ἐδίδαξε.
Τίς Μανασσῆ βασιλῆος ἐν ἀνθρώποισι χερείων;
Τίς δ' ἄρ' ἐνὶ πτολίεσσι Νινευῆς μεγάλοιο πόληος;
Τίς δὲ τελωναίης ἀμέτρου χερός; ἀλλ' ἄρα καὶ τοὺς
Χριστὸς ἄναξ ἐλέαιρεν ὀδυρομένους κακότητα.
Ἀλλὰ τί μοι Χριστοῖο; τί δὲ βροτέοιο πόθοιο,
Τόν ῥα φύσις τοκέεσσιν ἐπήξατο ἀμφὶ γενέθλην
Καὶ θηρσὶν φιλέουσιν ἑὸν γόνον, εἴ ποτ' ἀκούεις
Παρδαλιάς τε, σύας τε, βοῶν τ' ἀγέλην ἑλικώπων,
Ὡς ῥα περιδρομέουσι, καὶ ὡς περὶ δῆριν ἔχουσι,
Θηρσί τε καὶ μερόπεσσιν ἀπεχθέσιν ἀντιόωντες.
Σοὶ δ' ἄρα καὶ θηρῶν ὀλοώτερος ἔπλετο θυμός,
Καὶ μερόπων. δάμασον θυμὸν μέγαν. ἦ σέ γε πέτραι
Ἠλίβατοι θρέψαντο πάτερ φίλε, ἢ σε θάλασσα
Στερροτέρην ἀδάμαντος ἐνὶ φρεσὶ μῆνιν ἔχοντα.
Ἄλλοι μὲν κτεάτεσσι τεοῖς ὑπὸ τέρψιν ἔχουσι,
Ξεῖνοί θ', ἡμεδαποί τε, θυοδόοι, ἀφραδέοντες.
Ξεινὸς γὰρ πάντεσσι λιμὴν χατέουσι τέτυκται
Σὸς δόμος. ἡ δὲ τράπεζα, καὶ ἄλσος Ἀλκινόοιο
Τερπνοτέρη, πλήθουσα φίλοις, πλήθουσα δ' ἐδωδαῖς
Ἠπείρων, χθονίων τε, καὶ ὁππόσα νήχεται ὕδωρ.
Ἡμεῖς δ' ἦμαρ ἐπ' ἦμαρ ἀλλοτρίοισι θύρῃσιν
Ἀνέλεοι, κενεοί, καὶ ἀνείμονες ἔνθα καὶ ἔνθα
Πλαζόμεθ'. οὐδέ τις ἔστι δύης ἄκος, οὐδὲ πρόσωπον
Σεῖο πάτερ λεύσσοντες ὑπὸ χρόνον εὖτ' ἐχολώθης.
Καὶ μάλα περ ποθέοντες, ὃ καὶ δμώεσσιν ὀπάζεις
Πολλάκι χωόμενός περ, ὃ δὴ πόνος, ἀλλὰ ῥαπίζεις
Ἢ μεθ' ὑπὸ χρειοῖσι δυσάμμοροι. οὐδ' ὀλίγας περ
Λάζαρος ὥς ποτε κεῖνος ὑπερφιάλοιο τραπέζης
Ψίχας ἀφαρπάζοντες, ὁμῶς κυσὶ δαῖτα φέροντες.
Πολλοὶ μὲν συνέχουσι τεὴν χάριν, οὐκ ὀλίγοι δὲ
Τίουσιν. μέγα θαῦμα, πατρὸς γέρας υἱέες ἄτιμοι,
Οὓς κοτύλη βασιλῆος ἀνέψυξε γοάοντας
Ἄλγος. ἀμφοτέροις γὰρ ἀρηγόνες εἰσὶ χερείοις.
Ἄλλοι δ' αὖ οὐδ' ἴσασι τίνες, τίνος. αἰδέομαι γὰρ
Φράζειν καὶ γενετῆρα. δύω γε μὲν εὐμενέουσιν,
Ὄφρα κεν εἰ φύγωσι δύην, ἢ ἄλκαρ ἔχωσι
Πήμασιν ἐν σφετέροισιν, ὅτ' αἰτία κυμαίνησι
Δαίμων. ἀλλοτρίοισιν ἑὴν τίοντες ὀϊζύν.
Εἴπω μείζονα μῦθον, ἀτὰρ πάτερ ἵλαος εἴης.
Τόσσον ἄχος παθέεσσι πόροις, μὴ μῦθον ἐρύξῃς.
Ἄλλοις μὲν τεκέεσσι πατὴρ καὶ ἤπιος ἐσσὶ

Τόσσον, ὅσον τ' ἐπέοικε θεοῦ πάρος ἐκγεγαῶτα.
Οὐ φθόνος· οὐ γὰρ ἔοικε κασιγνήτοισι μεγαίρειν.
Θρέψας ἐν θαλάμοισι δροσώδεας, ὧν ἐδίδαξας.
Εὐγενίου παλάμῃσι διέπλασας ἤθεα κεδνά,
Θηλυτέρης χείρεσσιν ὑπὸ προπόδεσσι γάμοιο.
Ἐσθλοὺς ἄνδρας ὄπασσας, ἐνὶ πλοκάμοισι γέροντας.
Μοῖραν ἐὴν λιπαρὴν ἀπεδάσσαο χειρὶ παχείῃ.
Ἡμᾶς δ' οὓς συνέφυσας ἐοῖς ἀπὸ μητρὸς ἀρίστης,
Ἥν σ' ἔτι δακρυχέοντα πάτερ φίλε πολλάκι λεύσσω
Εὐσεβίης, πάντεσσιν ἐπιχθονίοισιν ἀγητήν,
Πρωτογόνους ἡμᾶς, ὃ πάρεστιν ὅτι μέγιστον,
Τόσσον ἀπεχθαίρεις, καὶ δώματος ἐκτὸς ἐλαύνεις,
Ὅσσ' ἄπιον κείνοισιν ἐνὶ θυμὸν ἔδειξας.
Φθέγξομαι οὐκ ἐθέλων μέν, ἀτὰρ λόγον ἔκποθι ῥῆξαι,
Ὄφρα με μὴ ῥήξειεν ἐεργόμενος πραπίδεσσιν.
Ἦν θάλαμος, καὶ δεῖπνα γαμήλια. πάντα γέγηθε,
Ἕδνα, λόγοι θαλάμων, καὶ ἀθύρματα τερπνὰ γάμοιο.
Πολλοὶ μὲν θαλέθοντες ἀφ' αἵματος, οὐκ ὀλίγοι δὲ
Γείτονες, οἵτε ἄνακτος ἐν ἕρκεσι κῦδος ἔχοντες,
Δαῖτα γάμου τίοντες, ἀγακλεινοί θ' ἱερῆες
Εὐχαῖς καὶ στεφάνοισιν ὁμόζυγα συνάγοντες.
Καὶ ῥ' οἱ μὲν τέλλοντο καλὸν περὶ κοῦρον ἑταῖροι,
Νυμφίον ὑμνεόντες ἐοικότα ὄρπηκι καλῷ.
Οἱ δ' ἄρα παρθενικὴν ἑλικώπιδα προσιόντες
Ἐς γάμον ἐρχομένην, πατὴρ δ' ἐπεστρέφετο παισίν.
Ἡμεῖς δ' ὡς θηρῶσιν ἐοικότες ἐν σύνδεσιν,
Ἣ μορφὴν ἀλίσαντες ἀπηνέϊ δαίμονος αἴσῃ,
Εἰρχθέντες περὶ δῶμα κασιγνήτης ἀπαίδευθεν,
Ἠρώμεσθ' ὅτι λυπρὸν ἀναπλείομεν οἶδμα βίοιο.
Ὡς ὄφελον μὴ μητρὸς ἐν σπλάγχνοισι παγῆναι,
Ἢ θανεῖν ἀτελεστος ἐν ὠδίνεσσι τεκούσης.
Εἰ δὲ πύλας ἐπέρησα, καὶ ἤλυσα πυθμένα μόροιο,
Κλαυθμὸν ἐμοὶ τὸ πρῶτον ἐμοῦ θανάτοιο γενέσθαι
Δάκρυον, οὐκ ἂν ἔγωγε τόσοις ἐνέκυρσα κακοῖσιν.
Ἐν δὲ τόδ' αἰάζω περιώσιον. οὐ γὰρ ἀοιδῆς
Ἴδρις ἐών, ποθέων τε γάμον καὶ λέκτρον ἀεῖσαι
Αὐτοκασιγνήτης, πάντων ὀλοώτατε δαῖμον,
Καὶ θαλάμου μελέεσσι παρὸς χόλον ἐξαπέσταλθ',
Καὶ τοῦ δ' ὥς περ ἀλιτρὸς ἀπήμπλακον. ἄλλος ἀείσει
Κάλλος ἐμόν, ξανθοῖσιν ὑπὸ πλοκάμοισι μέλαιναι
Ὀφρύες ὑπερτέλλουσαι ὑπ' ἀργυρέησι παρειαῖς.
Ἕσπερον ἄρυσεν ἄλλος, ἑωσφόρον ἄλλος ἄεισεν,
Οὐδ' ἀγαθός τις ἀοιδός. ἐγὼ δ' ἀγέραστος, ἄναυδος,
Γρύθιος ἑσσάμενος κέμιων νέφος. οὐδ' ὅσον ἠχώ
Ποιμνηίας μέλποντος ἐν ὄρεσι Πανὸς ἀοιδάς,
Ἄκρα, ὑστερόφωνον ἀπὸ σκοπέλων χέον αὐδήν.
Κλαύσω πρωτοτόκων ἐπέων μόρον. οὐκέτ' ἀείσω.
Ἔρρετέ μοι βίβλοι πολυηχέες. ἔρρετε μοῦσαι.
Τίς χάρις, εἰ μὴ παρὸς ἐν οὔασι κεῖσετ' ἀοιδή,
Εἰ μὴ καὶ Ὀρφεύς τις ἐν ὀδρυσίοις σκοπέλοισι
Λᾶας ἄγοι, καὶ θῆρας ἀπὸ πέδης καὶ πετεηνά;
Δώσω καὶ τόδε σοι μογερὲ φθόνε. λῆξατ' ἀοιδαί.
Μή σοι τοῖα φέροι θεός, μὴ δ' ὅς τις ἑταῖρος
Ἀντιταλαντεύσειε. δύω δ' ἔμε καὶ τόδ' ὄρινε.
Οὐδ' ὑμᾶς φιλίους μέγα φέρτατε, ὅτι θύγατρας,

Τὰς νῦν ἐν παλάμῃσι φέρεις, καὶ ὕψος ἀείρεις.
Ἡμῖν μὲν σέο δῶμα, φίλην τ' ἀπέκλεισας ὀπωπήν.
Ταῖς δ' ἄρα πᾶσιν ἔθηκας ἀπεχθείας. οὐκ ἐθέλει γάρ
Χειρὸς ἄναξ τεκέων, τῶν μὲν πατὴρ ἤπιον ἦεν,
Τῷ δὲ βαρυφρονέοντα, καὶ ἀντιρρέποντι ταλάντῳ.
Πολλάκι στεργομένοισιν ἀπειθείῃ κακότητι
Ἐκ πατέρων ὑπὸ παῖδας ἄγων χόλον ὡς ἀνάδεχθ.
Ταῦτα μὲν ἐν πόντοιο πέσοι βυθόν, ἡμετέρῳ δὲ
Δώματος ἐκτὸς ἔοι, μὴ δ' ἄλγεσιν ἄλγος ἔποιτο.
Καὶ τόδ' ἄλις τεκέεσσιν ἐπὶ πρώτοισιν ὀρινύς.
Σοὶ δὲ πάτερ πάντων μὲν ὅσοι τελέθουσι τοκῆες
Καὶ παίδων, κοτέουσιν ἀμείλιχον ἦτορ ἔχοντες.
Ῥῆξις γὰρ βιότοιο παρὸς μόθος, ὃν συνέδησε
Συζυγίη τε, πόθος τε, κακὴ δ' ἐκέδασσεν Ἐνυώ.
Πάντων δ' ἦ μέγαν οἶκτον ἐνὶ σπλάγχνοισι φέρουσι,
Ἢ πόθεν ῥέξαντες ἐπάξιον, ἢ παθόντες.
Ἔξοχα δ' αὖθ' ἱερῆες, ὅσους δώροισι γεραίρεις,
Καὶ τίεις μεγάροισιν, ἀτιμάζεις δ' ἀπιόντας,
Πολλάκι καὶ παριόντας, ἐπεί σέ γε παρφασίῃσιν
Οὐχ οἷον μαλακοῦσι, καὶ εὐμενέουσι προσώποις,
Ἀλλ' ἔτι καὶ στερεοῖσιν ἐπιστύφουσι λόγοισι.
Γρηγορίῳ πρώτιστον ὁμωνυμίῃ τε βίῳ τε
Συζυγέα στομάτεσσιν ἐρευγομένῳ θεότητα.
Βοσπόριος δ' ἄρ' ἔπειτα καὶ Ἀμφίλοχος, μεγάθυμοι,
Οἷς ἄρα καὶ στυγερὴ νόσων ὑποδέμνια τ' ἀνίη
Εὐχαῖς τε, τριάδος τε σεβάσμασι, καὶ θυέεσσι.
Σοὶ δ' οὔτ' εὐχωλὴ κάμπτει φρένας, οὔτε θυηλή.
Οὐδὲ μὲν ἀθλοφόροισι δίδως χάριν, οὓς σὺ γεραίρεις
Εἰς ἔτος ἐξ ἔτεος μεγάλῃ καὶ ἀπείρονι χειρί,
Βήμασι καὶ δώροισι, καὶ εἰλαπίνῃσι, χορείαις,
Καὶ πολλοῖς κρητῆρσι μεθύσματος ἀλυπόροιο,
Καὶ μεγάλαις σεβάδεσσι θεοῦ νόμον οὐδ' ἀθερίζεις.
Κρέσσον βαιὰ φέροντα θεῷ κραδίην ἱερεύειν,
Ἢ πᾶσιν θυέεσσι νόον ῥυπόωντα γεραίρειν.
Οὐ μὲν γάρ τι θεοῖο ἐπάξιον. οὐδ' ὁπόσα χθὼν
Ἠδὲ φέρει μερόπεσσι, καὶ οὐρανὸς ἠδὲ θάλασσα.
Καὶ γὰρ ἅπαντα θεοῖο. τί κεν βροτὸς ἔκποθεν εὕροι.
Μοῦνος δὲ ψυχῆς καθαρὸν θύος, ᾧ τις ἄνολβος,
Πολλάκι καὶ πολύολβον ὑπερβέξας παραμείψῃ.
Αἰδέομαι καὶ τὴν δὲ πάτερ μεγαλήτορα βουλήν,
Ἣ πολλοὺς παρέθρεξας ὑποφρονέεσσι θεοῖο.
Οὐκ οἴη μερόπεσσιν ἐν ἀλλοῖσι γενέθλη,
Ἐρχομένη σαρκῶν τε καὶ αἵματος, οἷα βροτοῖσιν
Ἐνθάδ' ἐπικτομένοισι, καὶ ὀλλυμένοισι τάχιστα.
Τοίη μὲν πρώτιστον, ἔπειτα δὲ πυθμένα τος ἁγνοῦ,
Εὖτε λοεσσαμένοισι δι' ὕδατος ἤλυθεν αἴγλη.
Ἡ δὲ τρίτη, δακρύων τε καὶ ἄλγεος ἡμετέροιο
Εἰκόν' ἀεξύνουσα μελαινομένην κακότητι.
Τάων τὴν μὲν ἔχεις πατέρων ἄπο, τὴν δὲ θεοῖο.
Τῆς δ' αὐτὸς γενέτης βιότου φάος ἐσθλὸν ὀπάζων,
Ῥήξας δεσμὰ βίου, καὶ ἰλύος ἐκτὸς ἔθηκας
Σὸν πόδα, καὶ σοδόμων ἔφυγες πυρόεσσαν ἀπειλήν,
Κὰκ χθαμαλῶν πεδίων σε φίλη διεδέξατο Σηγώρ,
Μηκέτι παπταίνοντα πρὸς ἄστεα τεφρωθέντα.
Πάντων δὲ κτεάνων ἐνὶ μάργαρον ἐσθλὸν ἐδέξω

Εχαις,

Ἐχαλῦ, χριστόν τε νόον τε σὸν ἁγνὸν ἀγείρας.
Καὶ νεφέλην καθύπερθεν ἐφέσσαο αὖθι χαὶ κόσμου
Τεμνόμενος χθονίοιο, μέσον δέ τε τεῖχος ἐγείρας.
Γαστέρος ὕβριν ἔπαυσας ἀπληρώτοιο βερέθρου.
Θώκους ὀφρυόεντας ἀπέπτυσας, οὐδ' ἀλέεν τε
Ὄγκον ἀγλωσσείης κομπαυχία ῥίψας ἔβραζε,
Οἷόν σοι κλέος ἔσκε θεὸς μέγας, ἀνδρομέη τε
Αἵματος εὐσεβέων μέγ' ἀρήονα. εἶξεν ἅπαντα
Σταυρῷ, τῷ προσέπηξας ἄγαν λαΐτορα κόσμον.
Ὕμνοις παννυχίοισι καὶ ἠματίοισιν ἀοιδαῖς
Μέλπεις οὐρανίοιο τριλαμπέα πνεύματος αἴγλην.
Ταῦτα μὲν ἐσθλὰ πάτερ, καὶ τέρματος ἄσσον ἀρίστου.
Τέρμα δέ μοι θεὸς εἴη νοούμενος, οὐκέτ' ἐνόπτρῳ.
Μοῦνος δ' ἐν τοῖς ἔμεινε χόλος καὶ ἥδυς ὄλεθρος,
Δάπτων οἷα σίδηρον ἀτειρέα λάθριος ἰός,
Ἢ χόλος βαρύποτμος ἀποστατέοιο δράκοντος.
Ὅς καὶ πρωτογόνους γεύσει βάλεν ἐκ παραδείσου
Βαιῇ, καὶ θεότητος φθόνῳ σφῆλεν, ὡς πέσεν αὐτός.
Ἀλλὰ πάτερ δάμασον δεινὸν χόλον. ἔστι καὶ ἡμῖν
Χριστὸς ἄναξ, χαρίεις δὲ καὶ αὐτὸς εὐμενέοντος.
Τοῖος σοῖς τεκέεσσι φίλοις πάτερ ἀφραδίῃσιν,
Οἷόν ἂν ἀρήσαιο θεὸν σέο πήμασιν εὑρεῖν,
Εἴποτέ σοι βαρύμηνις ἀπαντήσειεν ἀνίη.
Οὐκ οἶος μερόπων γενέτης ἔφυς, οὔτε σε μοῦνον
Παῖδες ἀνιάζουσιν ἀπειθέες. οἶδα ἔγωγε
Πολλάκι καὶ στερεοῖσι κακοῖς ἄκοντα τοκῆα
Παιδὸς ἀτασθαλέοντος. ὁ μὲν πινυτοῖσιν ἄμεμπτος,
Ὃς δ' ὀλοοῖσι πότοισι, καὶ αἰθομένοισιν ἔρωσιν,
Οἷς δῆμον ἐξαλάπαξαν, ὁ δ' ἤλυθε καὶ ἐπὶ πατρὸς
Ἀντιβίοις ἔπεεσσι. χέρας δ' ἤειρεν ἐριννύς.
Ἀλλ' ἔμπης καὶ τοῖσι πάτερ χόλον ἐσθλὸς ἔπεμψε.
Γραπτῶν γὰρ βασίλεια νόμων ἀδίδακτος ἀνάγκη.
Ἣ ῥά τε καὶ τοκέεσσιν ἐφ' υἱάσι θυμὸν ἰαίνει.
Πολλὰ μὲν ὧν λεύσσουσιν, ἐπεὶ ῥ' ἐθέλουσιν ἀλεῦσαι.
Πολλὰ δ' ἀνηκούστησαν ἐν οὔασιν οἷσιν ἔχοντες,
Ὄφρα κε μὴ θράσος αἰνὸν ἀπορρήξειεν ἐλέγχους,
Αἰδῶ τὴν τοκέων ἐσθλὴν ἐπίκουρον ἐλέγξας.
Τίκτει γὰρ θράσος ὕβρις, ἐρυμνὴ δέ τε φειδώ,
Καὶ τεκέεσσι μάλιστα, ἐπεὶ κλέος ἐγγὺς ἔχοντες,
Οὐ χερὸς ἀκαλέουσι βίῃ, πειθοῦς δέ γε δεσμοῖς.
Φλὸξ καλάμης τεκέεσσι πατρὸς χόλος αὐτίκα λάμπων.
Θυμὸς γλῶσσαν ἔφλεξεν, ὁ δ' ἔσβεσεν οἶκτος ὑποφθάς.
Ἀρὴν ἐν πρόεηκε, νόος δ' ἔφθεγξατ' ἀρωγήν.
Ἀχθεῖ χεῖρας ἄειρε, καὶ ἄλγεϊ κλαῦσε παιδὶ χέων.
Δαυὶδ, ὃς βασιλεῦσι μετέπρεπεν Ἀβραμίδῃσι,
Πᾶσι μὲν ἤπιος ἦν, πόσον δέ τε παισὶν ἑοῖσιν,
Ὡς καὶ πατροφόνοισι χόλον καὶ κήδεα πέσσειν.
Τεκμαίρου βασιλῆϊ τ' αὐτίκα θωρηχθέντα,
Ὃς ἐν θ' ἡμιόνῳ τε, θανόνθ' ὑπὸ δάσκιον ὕλην,
Οὐκ οἶον θρήνοισιν ἐκλαύσατο, ὥς τιν' ἄριστον,
Ἀλλὰ καὶ ἀγγελίαντι δίκην ἐπέθηκε φονῆος.
Τύνη δ' ὦ κακόβουλε, πόσον κακὸν, ἤ τί πεπονθώς,
Ὧδε χόλον ἀδάμαστον ἐνὶ φρεσὶ σῇσιν ἀέξεις;
Οὔτε σε πατρῴης ἀπαμείρομεν ὦ ἄνα τιμῆς,
Οὐδὲ μὲν ἀσταχύεσσιν ἐπαγαιόμενοι σέο χώρης,
Οὐδὲ βοῶν ἀγέλαις, οὐ ποίμνῃσιν, οὐδὲ μὲν ἵπποις.
Οὐδὲ λέχος ἐπέβημεν, ὃ μὴ φίλον, ἀφραδέοντες.
Οὐδὲ δόλον φρασάμεσθα τεῶν ἀνδράσι δυσμενέεσσι.
Ταῦτα γὰρ εἴ τι χόλοιο φέρει πάτερ, οὐ νεμεσητόν.
Ἐν σέο παισὶ κάκιστον, ἀρειοτέροιο τοκῆος
Χείρονας ἐκφαίνεσθαι. ὅς οὔ τινι πρῶτα λέλοιπας
Εἴδεός τε, μεγέθεός τε. λόγος δ' οὐκ εὔδρομος ἡμῖν.
Γλῶσσα δὲ δεσμὸν ἔχει. τί πάθης; ἤλιτον; ἢ σὺ φέρεις
Οὐκ ἐθέλων τεκέεσσιν ἀρείονα φύσιν ὀπάσσαι.
Στήσομεν ἐνθάδε μῦθον. ἄναξ πάτερ, ὦ μέγιστε,
Δὸς χέρα, καὶ νεύσειας ἐμοὶ πατὴρ ἵλαος εἶναι.
Ἠνίδε καὶ χαίρουσι γενειάδος, ἠνίδε γούνων
Ἁπτόμεθ' ὥστε θεοῖο. θεοῦ δ' ὅπως ἀντιάσαιμεν.
Οὐ γάμον, οὐδέ γε πλοῦτον ἐοικότα, οὐ δόμον αἰπὺν
Αἰτεόμεν. δὸς χεῖρα, καὶ εὐμενέουσαν ὀπωπήν.
Μῆτερ ἐμὴ, σὺ δ' ἔμοιγε καὶ ἐννυχίοισιν ὀνείροις
Πατρὶ παρισταμένη, λευκοὺς χόλον ἐγκεράσασα,
Μνωομένη λεχέων τε, ὁμοζυγίης τ' ἐρατεινῆς,
Λίσσεο σοῖς τεκέεσσι τεὸν πόσιν ἵλαον εἶναι.
Καὶ μολπῆς κόρος ἐστὶ, καὶ ἀργαλέου πολέμοιο.
Εἰ μὲν δὴ πεπίθοιμι, κακῶν ἅλις. εἰ δ' ἀπιθήσεις,
Καὶ τεκέων θεὸς ἐστὶν, ἀλησόμεθ' ὡς τὸ πάροιθεν.
Σὸν κλέος, εἴ τι λιποίμεθ' ἀκηδέες, εὖτε θάνοιμεν.
Δάκρυα πατρὸς ἔχοιμεν ἐπ' ὕστερον εὐμενέοντος.

ΕΙΣ ΕΥΓΕΝΗ ΔΥΣΤΡΟΠΟΝ.

Αἵματος εἶ ἀγαθοῦ τις, ἅπαν κακόν. ἀνδρὶ γένος
 Οὐ τὸ δυσπατέρων, τἄλλα δὲ θαυμασίων. (μὲν,
Γράφεις σοὺς προγόνους. καὶ δὲ μάλα ἡδὺ γελάσας,
 Εἶπε λόγον μνήμης ἄξιον, ὡς τὸ γένος
Ἐστὶν ὄνειδος ἔμοιγε, γένει δὲ σύ. τοίνυν φύλασσε
 Ὡς μὴ τῇ ἀρετῇ ἄλλό τι πρόσθεν ἄγοις
Εἴ σου τίς τὸ δυσειδὲς ἐκερτόμησεν, ἢ τὸ δυσῶδες,
 Εἴποιεν ἂν ὡς ὁ πατὴρ ἦν καλὸς, ἢ μυρίπνους;
Εἰ δέ σε τίς ὡς δειλὸν ἐπέσκωψεν, καὶ ἄνανδρον,
 Ὡς πρόγονοι πολλὰς εἷλον ὀλυμπιάδας;
Οὕτως εἴ σε κακόν τις ἐλέγχει καὶ ἀνόητον,
 Μή μοι τοὺς πατέρας, μὴ δὲ τὰ νεκρὰ λέγε.
Χρυσόδετον κιθάρην τὶς ἔχων, ἔκρεκε κάκιστον.
 Ἄλλος ἀπ' ἐκπαίκης, εὐηχὲς ἦκε μέλος.
Τίς τούτων ἂν λῷστε ἀμείνων σοι κιθαριστής;
 Ὃς σώζει τεχνικῶς κρούμασιν ἁρμονίας.
Ἀλλὰ σὺ χρυσῶν μὲν πατέρων ἔφυς, ὡς σὲ λέγουσιν,
 Αὐτὸς δ' οὐκ ἀγαθός. εἶτα μέγα φρονέεις;
Τοῦτο λαμπρόν σοι γένος ἐστὶν, οἱ πρὸ παλαιοὶ
 Νεκροὶ, καὶ μύθων πλάσματα, καὶ γραΐδες;
Παίζεις. πρὸς σὲ δ' ἔγωγε βλέπω μόνον, εἰ δίκαιος εἶς
 Ἢ κακός. ἀλλ' ἀρχὴ, πηλὸς ἅπαντες ἴσοι.
Δέρματα πάντες ὅμοια, φυσώμεθα δ' οἱ μετέωροι,
 Πλούτῳ καὶ δόξῃ, καὶ πατράσι μεγάλοις.
Ὥστε τί μοι τὰ περισσά. πατὴρ, γένος. οὔτε με μῦθοι
 Τέρπουσ', οὔτε τάφοι. ἀλλ' ἀγαθὲ πρὸς σὲ βλέπω.
Εἷς χοῦς πάντες, ἑνὸς πλάστου γένος. ἡ δὲ τυραννὶς
 Εἰς δύο τὰ θνητῶν ἔσχισεν, οὐχὶ φύσις.
Δοῦλος ἐμοὶ πᾶς σκαιὸς, ἐλεύθερος, ὅς τις ἄριστος.
 Εἰ δὲ σὺ τῦφον ἔχεις, τοίνυν τί πρὸς τὸ γένος;

Ἡμιόνοις τί πατὴρ, πόθ᾽ ὁ κάνθων οὖσιν ὄνειδος
Οὐδ᾽ ἐν. τίς δ᾽ ἔτ᾽ ὄνοις δόξα παρ᾽ ἡμιόνων.
Οἱ δ᾽ ἄρ᾽ ἐπὶ τίκτουσι, καὶ οὓς ῥίπτουσι νεοσσούς.
Ὥς τε τί μοι πατέρας σαυτὸν ἀφεὶς σὺ λέγεις.
Κρεῖσσον ἄριστον ἐόντα κακὸν γένος, ἢ κάκιστον
Ἔμμεναι εὐγενέτην. καὶ ῥόδον ἐκ βραχέος
Ἐβλάστησε φυτοῖο. ῥόδον μὲν, ἀτὰρ ἐκ γαίης
Ἦλθεν ἄκανθ᾽ ἀπελῆς, τοῦ πυρὸς ἄξιος ἔα.
Πῶς σὺ κάκιστος ἐὼν, τόσσον φρονέεις προγόνοισιν
Ὦ κάνθων μυλικὲ, ἵππιον ὕψος ἔχων.

ΕΝΟΔΙΑ.

Χριστὲ ἄναξ, ὃς πάντα τελεῖς βίοτον μερόπεσσιν
Ἐσθλὰ, καὶ ἐν πάντεσσιν ὁδὸς ἰθεῖα τέτυξαι.
Ὅς πυρὶ καὶ νεφέλῃ στρατὸν ἤγαγες, ἠδ᾽ ὁδὸν εὗρες
Ἐν πελάγει τμηθέντι φίλοις. Φαραὼ δ᾽ ἐκάλυψας.
Ἄρτον δ᾽ οὐρανόθεν ξεῖνον ὤπασας. ἐκ δ᾽ ἄρα πέτρης
Ἔβλυσας ἀκροτόμοιο ῥόον. μέγα θαῦμ᾽ ἐν ὁράμῳ
Δυσμενέων ἀνδρῶν στησάμενος, εὖτε δίεχε
Σταυρὸν ὑποσκιάων Μωσῆς χέρας, ἄλκαρ ἑμεῖο.
Μήνη δ᾽ ἠέλιός τε δρόμον σχέθον. ὡς δὲ ῥέεθρον
Εἶξεν ἐπαγομένοισιν, ὁδὸς δ᾽ ὑγρὴ γαῖαν ἐτύχθη
Ῥηϊδίη, τὴν αὐτὸς ὑπέσχετο, καὶ κατένευσας.
Αὐτὸς δ᾽ οὐρανίην οἶμον μερόπεσσιν ἔδειξας
Ὕστερον, ἀρχαίην δὲ νέην ἐπέμιξας ἀταρπὸν,
Εὖτε θεὸς θνητός τε κραθεὶς, ὦδε γαῖαν ὁδεύσας
Ἡμετέρην, αὖθις δὲ πρὸς οὐρανὸν ἦλθεν ἀερθεὶς,
Ἐξ ἐλθὼν μερόπεσσι φαάντερος, ἢ τὸ πάροιθεν.
Αὐτὸς καὶ πελάγους ἐπεβήσαο. σοῖς δὲ πόδεσσιν,
Οἶδμα πέσεν χαλεποῖσι βιαζόμενον ἀνέμοισιν.
Ἀλλὰ μάκαρ, καὶ ἐμοὶ συνέμπορος ἐλθὲ κελεύθῳ
Σήμερον. εὐοδίην δὲ πόροις, καὶ ἄγγελον ἐσθλὸν,
Πομπὸν, ἀλεξητῆρα, βοηθόον, ὄφρα με πάντων
Ἠματίων νυχίων τε κακῶν ἀπὸ τῆλ᾽ ἐέργοι,
Καὶ τέλος ἐσθλὸν ὁδοῖο χαριζόμενος μογέοντι,
Οἴκοθεν ἀρτεμέοντα, καὶ οἴκαδε μ᾽ αὖθις ἄγοι,
Γνωτοῖσίν τε, φίλοις τε ὁμὸν βίον ἀμφιέπουσιν.
Ἔνθα σε νύκτα καὶ ἦμαρ ἐλεύθερος, ἀπτοίητόν τε
Ἀστυφέλικτον, κακότητος ἀμιγέα σοι βίον ἕλκων,
Σοί τε νόον πτερόεντα βίου φάος αἰὲν ἀείρων,
Μέσφ᾽ ὅτε καὶ πυμάτην ξυνὴν ὁδὸν ἐξανύσαιμι,
Ἐς δὲ μονὴν ἔλθοιμι μένει τέλος εὐσεβέεσσι.
Σοὶ ζῶ. σοὶ λαλέω. σοὶ δ᾽ ἕζομαι, ὦ ἄνα Χριστέ.
Σοὶ δ᾽ αἶρω πόδας ἴχνος, ἐπεὶ σύ με χειρὶ καλύπτεις.
Ἀλλά με καὶ νῦν ἄγοις ἐσθλὸν ὦδε τέρμα πορείης.

ΕΙΣ ΤΗΝ ΕΝ ΝΗΣΤΕΙΑΙΣ
σιωπήν. (γῆς

Ἴσχεο γλῶσσα φίλη, σὺ δέ μοι γραφὶς ἐγγράφεσθαι
Ῥήματα, καὶ φθέγγου ὄμμασι, τὰ κραδίης.
Ἡνίκα σάρκας ἔδησε θεοῦ βροτέοις παθέεσσι
Μύστην ἄγων θυσίην, ὥς κε θάνοι βιότου
Ἤμασι τεσσαράκοντα, νόμοις Χριστοῦ βασιλῆος,
Εὖτε καθαιρομένοις σώμασιν ἔσσετ᾽ ἄκος.
Πρῶτα μὲν ἀτρεμέη νόον ἤδραζα, οἷος ἐπ᾽ ἄλλων
Ναιετάων, ἀχέων ἀχλὺν ἐφεσσάμενος,
Εἴσω τοὺς ἕλκων φρένας ἄκλοπος, αὐτὰρ ἔπειτα
Ἀνδρῶν εὐαγέων δόγμασιν ἑσπόμενος,
Χείλεσι θῆκα θύρετρα. τὸ δ᾽ αἴτιον, ὥς κε μάθοιμι
Μύθων μέτρα φέρειν, παντὸς ἐπικρατέων.
Καὶ γάρ τις πλεόνεσσιν ἐπ᾽ ἀνδράσι θοῦρον ἀείρων
Ἔγχος, παυροτέρους ῥηϊδίως δαμάσει.
Καὶ πτερόεντα βέλεμνα ὃς εὔσκοπα τηλόθε βάλλει,
Οὔποτε ῥοιζήσει ἄσκοπον ἀσσοτέρω.
Νῆα δὲ πεντοπόρειαν, ἐπὴν μέγα λαῖτμα περήσῃ,
Πέμπειν θαρσαλέον βαιὸν ὑπὲρ λιμένων.
Ὃς μὲν γὰρ μικρῶν κρατέει, μεγάλων ἀΐδηλον
Εἶπε θ᾽ ὑπερχήσει, καὶ μάλα περ ποθέων.
Ὃς δὲ μέγα προφέρει, τὸ δ᾽ ἀριφραδές, ὡς ἄρα τυτθῶν
Ἔξει ῥηϊδίως, εὖτε θέλουσι, κράτος.
Τοὔνεκα πάμπαν ἔδησα λόγου μένος. ἦ γὰρ ἔολπα
Μηκέθ᾽ ὑπερβλύζειν μῦθον ἐμῶν στομάτων,
Ὡς οὐδ᾽ ἐν γλώσσης ὀλεώτερον οὐδὲ βροτοῖσιν.
Ἵππος ἀεὶ προθέων, ὅπλον ἑτοιμότατον.
Ἀΐσσει μέν τις ἅπαντα, τὰ δ᾽ ἐν ποσὶ χεῖρες ἔχουσι
Βαιὰ μάλ᾽, οὐδὲ πόδεσσιν αἶαν ἐπῆλθον ὅλην.
Μόχθος ἀνδροφόνοισι, μοιχοὶ δ᾽ ἔτι καὶ προπίεσσι
Λύσσαν ἑὴν, κλέπται ἦμαρ ἀπεχθέστατον.
Γλῶσσα δ᾽ οὐ καμόγησε. ἔχω τὸ μὲν, ὤλεσα δ᾽ ἄλλα,
Τόσσα περισφίγγων, ὅσσα ῥόον παλάμῃ.
Νῦν δ᾽ ὁ δολοιπετέειν λῃστῆρ, ἀλλ᾽ ἄπληστος,
Ὄμματα πικρὰ φέρων ἀλλοτρίοις κτεάνοις.
Τόσσα φιλοχρύσοισι προσαντέα πᾶσιν ἔπεισι,
Μόχθος χειροτέροις, μόχθος ἀρειοτέροις.
Γλῶσσαν δ᾽ οὐδ᾽ ἐν ὄρυξεν ἐπειγομένην ἐπὶ μῦθον,
Οὐ βροτὸς, οὐ νιφετὸς, οὐ ῥόος, οὐ σκόπελος.
Ἐγγὺς ὁ τοξευτὴς, τόξῳ δ᾽ ἔπι πικρὸς ὀϊστός.
Νευρῇ κύκλον ἄγει δάκτυλον ἐπὶ γλυφίσι.
Νοῦς ἀφίησι βέλεμνα. τὰ δ᾽ ἔπτατο. πάντα δὲ βάλλει,
Οὐρανίους, χθονίους, ζῶντας, ἀπολλυμένους.
Ὅσσοι μὲν δοκέουσι, καὶ οὐ δοκέοντας ὁμοίως
Ἐσθλὸς ἠδὲ κακὸς, δυσμενέας, φιλίους,
Τηλόθεν, ἐγγὺς ἐόντας. ἀπὸ σκοπιῆς. οὐδ᾽ ἐν ὀϊστῷ
Τὴν δ᾽ ἐς αἰχμάζων, πρῶτα φέρει σοφίης.
Πολλὰ μὲν αἰσχρὰ μάχλοισιν ὀρύγνυται, ὥστε γελοῖος
Αὐτὸς ἐὼν, ἀνθρώποις βράσμα γέλωτος ἄγει,
Παλλόμενος, πάλλων τε, καὶ εἰκόνα θεῖαν ἀτίζων.
Πολλὰ δὲ τῶν κρυπτῶν οὔασιν ἐξεμέει.
Πολλάκι δ᾽ εὖτε χόλοιο δυσαεῖος ἄγριον ἀφρὸν
Ἐκτὸς ἀκοντίσσαι πᾶσαν ἐπ᾽ εὐσεβίην.
Πολλάκι δ᾽ αὖ λοχόωντι φέρει χάριν ἔνδοθι θυμῷ,
Καὶ κραδίης ἑτέρης χείλεσιν ἄλλα φέρει,
Ψεύδεά θ᾽ αἱμυλίους τε λόγους, ἀνδροκτασίας τε.
Τίς κεν ἅπαντα λέγοι, ἐλ δ᾽ ὅσα λυγρὰ πέλει.
Ἐχθρὸν ἔθηκ᾽ ἐθέλουσα δόμον δόμῳ, ἄστεϊ δ᾽ ἄστυ.
Αὐτίκα καὶ δ᾽ ἐν ὅλοις γλῶσσα πονευμένη
Δῆμον κοιρανέοντα, ἀνασσομένοισιν ἄνακτα,
Ὡς ἀνεμοθεῖς καλάμους ὠκα ῥεπιζομένους.
Σύμπλοον, υἷα, τοκῆα, κάσιν, φίλον εὔνιν, ἀκοίτην,
Πάντας ἐπ᾽ ἀλλήλοις ὥπλισε ῥηϊδίως.
Τὸν κακὸν, ἐσθλὸν ἔθηκε. τὸν ἔμπαλιν ὤλεσεν ἐσθλόν.
Τοῦτ᾽ αὐξήσει πάλιν, τίς δύναθ᾽ ὅσσα λόγος.

Βαιὰ

Βαιὰ μὲν γλῶσσ' ἔδην, ἀτὰρ ἄγριος οὐδ' ἐνὶ τόσσον.
Αἴθ' ὄφελε θνήσκειν αὐτίκα τοῖσι κακοῖς.
Γεῦσιν μὲν δὴ γλῶσσα πέλει κακὸν ἀφραδέεσσιν.
Ἔξοχα δ' αὖ μύσταις, οὐρανίης θυσίης.
Ὄργανόν εἰμι θεοῖο, καὶ εὐκρέκτοις μελέεσσιν
Ὕμνον ἄνακτι φέρω, τῷ πᾶν ὑποτρομέει.
Μέλπω δ' οὐ Τροίην, οὐκ εὔπλοον οἷά τις Ἀργώ,
Οὐδὲ συὸς κεφαλήν, οὐ πολὺν Ἡρακλέα,
Οὐ γῆς εὐρέα κύκλα, ὅπως πελάγεσσιν ἄρηρεν,
Οὐκ αὐγὰς λιθάκων, οὐ δρόμον οὐρανίων.
Οὐδὲ πόθων μέλπω μανίην, καὶ κάλλος ἐφήβων,
Οἷσι λύρη μαλακὸν κρούετ' ἀπὸ προτέρων.
Μέλπω δ' ὑψιμέδοντα θεὸν μέγαν, ἠδὲ φαεινῆς
Εἰς ἓν ἀγειρομένης λάμψιν ἐμῆς τριάδος.
Ἀγγελικῶν τε χορῶν μεγάλας ἐριαχέας ὕμνους,
Πλησίον ἑσταότων ἠδ' ὀπὸς ἀντιθέτου.
Κόσμου θ' ἁρμονίην καὶ κρείσσονα τῆς προτέρης,
Ἣν δοκέω, πάντων εἰς ἓν ἐπειγομένων.
Καὶ Χριστοῦ παθέων κλέος ἄφθιτον, οἷς μ' ἐθέωσεν,
Ἀνδρομέην μορφὴν οὐρανίῃ κεράσας.
Μέλπω μῖξιν ἐμήν. οὐ γὰρ φατὸν ὄργον ἐτύχθην.
Ἔργον ὅπως πλέχθην θνητὸς ἐπουρανίοις.
Μέλπω δ' ἀνθρώποισι θεοῦ νόμον, ὅσσα τε κόσμου
Ἔργματα, καὶ βουλάς, καὶ τέλος ἀμφοτέρων.
Ὄφρα τὰ μὲν κεύθῃς σῇσι φρεσί, τῶν δ' ἄπο τῆλε
Φεύγῃς, ὡς τρομέεις ἦμαρ ἐπερχόμενον.
Τόσσην γλῶσσαν ἔχω κιθάρην. φράζεσθ' ἱερῆες,
Μή τι παρεκρέξῃ ἔκτροπον ἁρμονίης.
Γλῶσσαν καὶ θύεσσιν ἁγνὴν ἁγνοῖσι φυλάξω,
Οἷσιν ἄνακτα μέγαν εἰς ἓν ἄγω χθονίοις.
Οὐ γὰρ ἀπ' ἀλλοτρίης γλώσσης, χειρῶν τε νέοιο
Πέμψω τῆς καθαρᾶς ζωοφόρου θυσίην
Εἰς πόρον, οὐ γλυκερόν τε ῥόον καὶ πικρὸν ἀνίησι
Εἵματι πορφυρέῳ βόρβορος ἀλλότριον.
Καὶ πῦρ ξεῖνον ὄλεσσε θυηπόλους ἐν προτέροισι
Παῖδας, μὴ καθαρῶς ἁπτομένους θυσίης.
Τὴν δ' ἱερήν ποτ' ἄκουσε θεοῦ μεγάλοιο κιβωτὸν,
Ὡς καὶ κεκλινομένην σκεῦος τὸν ἁψάμενον.
Ταῦτ' αἰνῶς τρομέω, καὶ δείδια, μή τι πάθοιμι,
Μὴ καθαρῶς καθαρῆς ἁπτόμενος τριάδος.
Αἶθε δὲ καὶ νόον εἶχον ἀπαίδαλον, ἀστατέοντα
Τῇ καὶ τῇ, πολλοῖς ἤμασι μαψιδίοις
Κάμψαι τέρματος ἄσσον ὑπὸ σεπτῆει χαλινῷ,
Ἢ πάμπαν κατέχειν ἄκλοπον ἐν κραδίῃ.
Μᾶλλόν κε Χριστοῖο μεγακλέος ἄσσον ἐλαύνων,
Λάμπομαι μαρμαρυγαῖς τοῦ μεγάλοιο φάος.
Νῦν δ' οὐ μὲν οὐκ τόσσον τελέει κακὸν ἔνδοθι μίμνων,
Κἂν ἀπὸ τῆλε θεοῦ τυτθὸν ὀδοιπλανέῃ.
Οὐδὲ γὰρ ἐν πέτρῃσιν ἐεργομένη στεγανῇσιν,
Ἔνδοθι καχλάζοι φλὸξ πυρὸς, ἢ ῥόος.
Ἢ λόχμην πυκινὴν διελήσατο, ἤτιν' ἀλωήν.
Ζώει δ' ἡμιθανὴς ἔνδοθι κευθομένη.
Μῦθος δ' αὖ γλώσσης πολυηχέος εὖτ' ἀπορούσῃ,
Ἄχετα μαργαίνει μηκέτ' ἀναρροχέων.
Ὡς δ' ὅτε τις λοξοῖο φυὴν πτόρθου παλάμῃσιν
Ἦκα μετακλίνων ἔμπαλι γύρον ἄγει,
Αὐτὰρ ὅγ' ὥς μιν ἔλειπε, βίῃ χερὸς ὄρθιος ἐστι,
Μηκέτ' ἐπὶ προτέρην κλινόμενος κακίην,
Ὡς ἐγὼ μύθοιο δυσπροχάλοιο ἐρωὴν
Δερκόμενος στάθμης ἔκτοθι καὶ κανόνος.
Καί γάρ μοι βίος ἦεν, ὅτ' ἦν λόγος, εὗρον ἄριστον
Φάρμακον, ἔχειν ὅλον ὑψινόῳ κραδίῃ,
Ὥς κε μάθῃ τά τε φαντά, τά τ' οὐ φαντὰ γλῶσσα φυ-
Δέξαθ' ὅλην σιγήν, δέξε τ' εὐεπίην. (λάσσειν.
Τοῦ παντὸς μὲν ἅμαρτε, τὸ μέτριον οὐκέτ' ἀτίσει.
Οὗτος ἀεὶ κεῖσθω τοῖς ἀμέτροισι νόμος.
Ἦ μέγα καὶ τόδ' ὄνειαρ, ὅτ' ὠδίνοντα κατίσχεις
Μῦθον, κευθομένης ἔκτοθι σῆς κραδίης.
Μύθῳ δ' ἀμυναμένῳ συνδάμνατο οἶδμα χόλοιο.
Οὐ μὲν ῥηϊδίως ἔμπα γε μὴν δαμάσεις.
Ἢν γάρ σφ' οἰδαλέον τε καὶ ἄγρια μαργαίνοντα
Ἀγχοῦ ἀχαλόων, ὕβριν ἀποσκεδάσεις.
Ἡγεμόνος φθιμένοιο, ἄναξ παθέων ὑπόειξεν.
Ὡς δ' αὖ ἀναπνεύσας ἀργαλέοιο σάλου.
Πάντα τάδ' ἡγεσίης Χριστοῦ μεγάλοιο ἄνακτος,
Αὐτὰρ ἔπειτα νόου οἴακος ἡμετέρου.
Εἰ γὰρ μὴ τὸν ἔχεις ἰθύντορα, οὔτι τι σιγῆς,
Οὔτε τι καρτερίης ἀμείνονος ἐστ' ὄφελος.
Καὶ λίμνης στόμα λεπτὸν ἐπὴν παλάμῃσιν ὀρύξας,
Αὖθις ἀπέρρηξεις ἀθρόον ἐκπροχέσει.
Ἀλλὰ λόγος κέλεταί σε φαεινότατος μῦθον ἄριστε
Δεξάμενον, πάντων οἴδματα κακῶν κατέχειν.
Ταῦτά τοι ἡμετέρης μελεδήματα φίλτατε σιγῆς,
Ἐκ παλάμης λαλέω, νοῦν ὑποδεξαμένης.
Οὗτος ἐμὸς πλόος ἐστί· σὺ δ' ἂν πλόον ἄλλον ἐπείγῃ,
Ἄλλος ἀπ' ἀλλοίου πνεύματος ὅρμον ἔχοι.
Εἰ δ' ἄγε καὶ λόγον ἄλλον ἐμῆς ἀΐοι τε σιωπῆς,
Ὅς τις ἀπεχθαίρων, ὅς τε φίλα φρονέων.
Ἦν ὅτε κάρτος ἐχδῦνκορ ἐν ἠϊθέοισι μέγιστον,
Καί με Χριστὸς ἄναξ ἦγε ἐπ' αὐτίπαλον,
Στεῤῥοτέρην ἀδάμαντος ἐνὶ φρεσὶ πίστιν ἔχοντα,
Τεύχεσί τε κρατεροῖς πάντοθε φραξάμενον.
Θείοις μὲν λογίοισιν ἐμὸν νόον ἁγνὸν ἔτευξα,
Γράμματος ἐξ ἱεροῦ πνεῦμ' ἀναμαξάμενος.
Οἷς βίβλων τὸ πάροιθε πικρὴν ἐξέπτυον ἅλμην,
Κάλλος ἐπιπλάστοις χρώμασι λαμπόμενον.
Σάρκα δ' ἐμὴν ζέουσαν ἐπεὶ νεότητι τεθήλει,
Πολλοῖς καὶ πυκινοῖς ἔξεον ἐν καμάτοις.
Γαστρὶ μὲν ὕβριν ἔπαυσα κόρου, καὶ γείτονα λύσσαν,
Ὄμμα δ' ἐνὶ βλεφάροις πῆξα σαοφροσύνῃ.
Βρύξα χόλον, καὶ δῆσα μέλη, καὶ κλαῦσα γέλωτα.
Πάνθ' ὑπόεικε λόγῳ, πάντ' ἔθανε τὰ πάρος.
Γαῖα, κοῖτος ἐμοί, πλευρῶν ἄχος, ἤματα λυγρά.
Φάρμακον ἀγρυπνίης, χῶρος ἐμῶν δακρύων.
Ἤμασι νῦκτ' ἔκαμψα, καὶ ὕμνοις παννυχίοισι
Στηλώθην βροτέης ἔκνοος εὐπαθίης.
Ταῦτα πάρος. σάρκεν γὰρ ἐπίζεον, αἰεὶ μέμηλεν
Οὐρανίης αὐδῆς φῶτα μέγαν κατέχειν.
Καὶ κτεάνων βαρὺν ὄγκον ἀπέπτυσα, ὥς κεν ἀερθῇ
Κοῦφος, ἀποσκεδάσας πρὸς θεὸν ἄχθος ἄπαν.

Νῦν δ' ὅτε νοῦσος ἔχει με πικρὴ, καὶ γῆρας ἔκαμψεν,
Ἦλθον ἐπ' ἀλλοίην τήνδε ὑποθεσίην,
Γλῶσσαν ἔχων ἀδάμαστον, εὔλαλον, ἥ με τόσοισι
Ῥήμασι τοῦ φθονεροῦ δῶκεν ἀεὶ παλάμαις.
Οὔτε τινὸς θώκοισιν ἐπέδραμον, οὔτ' ἀπὸ γαίης
Ἤλασα πατρῴης, οὐ δόλον ἐφρασάμην.
Οὐ γλῶσσαν ἐφέηκα ἐπίβολον, οὔτε τι ῥέξα
Ἡμετέρων θυέων ἔκνομον. οἶδε λόγος.
Οὐ σκοπὸν, οὐδὲ μὲν ἄλλον, ἐπεὶ καὶ πᾶσι νεμεσῶ,
Λαῶν ἡγεμόσιν τοῖα κλυζομένοις.
Ὧν νῦν πᾶσα θάλασσα, καὶ μυρία πείρατα γαίης
Πέπληθε, δνοφερὸν πένθος ἐμῆς κραδίης.
Ἀλλὰ λόγος μ' ἐχάλεψεν ἀπαίδαλος. ὃ μὲν ἔγωγε
Πρόσθε τόδ' ᾠόμην, ἀλλ' ἐχάλεψεν ὅμως.
Πᾶσί μ' ἔθηκε φίλοισιν ἐπίφθονον. ὦ φθόνε, καὶ σὺ
Ἐξ ἐμέθεν τί λάβῃς; ἴσχεο γλῶσσα φίλη.
Βαιὸν δ' ἴσχεο γλῶσσα. τὸ δ' ἂν τέλος οὔ σε πεδήσω.
Οὐ τόσον ἐξ ἐμέθεν λήψεθ' ὁ μισολόγος.
Πυνθάνομ' ὥς ποτε Σαμίων τις ἄναξ φθόνον ὡς ἀρέσαιτο,
Δείσας εὐδρομίην, μήσατο τοῖον ἄχος.
Πόρκην ὃν φιλέεσκε πατρώϊον, ἔμβαλε πόντῳ,
Τὸν δ' ὑποδεξάμενον ἰχθὺν ἐδύσε λίνον.
Ἰχθυβόλος μὲν ἄνακτι, ὁ δ' ὤπασεν ᾧ θεράποντι
Τὴν ἁλίην. πόρκης δ' ἰχθύος ἐν λαγόσιν.
Ἰχθὺν μὲν γαστὴρ ὑπεδέξατο, χεὶρ δέ τε πόρκην.
Θαῦμα μέγ', οὐδ' ἐθέλων εὕρατο κεῖνος ἄχος
Ὡς καὶ ἐγώ. μύθῳ γὰρ ἐμοῦ φθόνος ἄγριον αἰεὶ
Ὄμμα φέρει. σιγῆς βένθος ἐπιστασάμην.
Τόσσον ἐμοὶ σεμνοῖς. τὸ δ' ἄρειον οὐ σάφα οἶδα,
Εἰ κακὸν ἢ καλὸν αὐλιάσει τέλος.
Ἀλλά γε δὴ φθόνον ἔσχε βροτοῦ ἄκος. ἐκ δέ με πικρῶν
Γλωσσῶν ἐξερύσας, σὺν τῷ λάμψιν ἄγεις.
Ἐνθάδε σὺν φαέεσσιν ἀεὶ ζώοισι γεραίρων,
Μέλψομ' ἀπὸ στομάτων ἦχον ἐναρμόνιον.
Δέχνυσο καὶ τάδε χειρὸς εὐκυδέα, ὡς μὲν ἔχοι τε
Ἡμετέρης σιγῆς μνημόσυνον λαλέον.

ΥΜΝΟΙ ΕΙΣ ΧΡΙΣΤΟΝ ΜΕΤΑ ΤΗΝ σιωπὴν, ἐν τῷ πάσχα.

Χριστὲ ἄναξ, σὲ πρῶτον ἐπεὶ λόγον ἱερὸν δῶκα,
Δηναιὸν κατέχων, φθέγξομ' ἀπὸ στομάτων.
Ἁγνοπάτου ἱεροῦ ἁγνὴν θύος, εἰ θέμις εἰπεῖν
Τόνδε λόγον προχέων ἡμετέροιο νόου,
Πατρὸς φαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
Φωτός τ' ἀκροτάτου φῶς ἄκρον, οἰογενὲς,
Εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου,
Πνεύματι τῷ μεγάλῳ συμφαὲς εὐρυμέδε
Αἰῶνος πέρημα, μεγακλεὲς, ὀλβιόδωρε,
Ὑψίθρον', οὐράνιε, πανσθενὲς ἄσθμα νόου,
Νωμητὰ κόσμοιο, φερέσβιε, δημιουργὲ
Ὄντων, ἐσσομένων. σοὶ γὰρ ἅπαντα πέλει,
Ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἔστι θέλοντος,
Ἀστέμφεος φορέεις νεύμασιν ἀπλανέως.
Σοὶ μὲν ἄναξ φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
Κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόεις,
Σοὶ ζώει, φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτὸς,
Μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
Σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χρόνοις,
Ὥραις μέτρα φέρει ἤπια κιρναμένοις.
Ἀπλανέων τε πλάνοις τε παλίμπορον ἀΐσσοντων
Ἀστέρων, ἠγαθέης ἐστὶ λόγος σοφίης.
Σὸν φάος ἐστὶν ἁπάντων, ὅσοι νόων οὐρανίωνων
Μέλπουσι τριάδος δόξαν ἐπουρανίης.
Σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδ' ἔθηκας
Ὑμνοπόλον τῆς σῆς ὦ φάος ἀγλαΐης.
Ἄμβροτέ μοι, βροτόεις τε, παλιγγενὲς ὕψος ἀστέριον,
Ὕστερον θνητῶν πήμασι σαρκοφόρε,
Σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ' ἔμπνοος εἰμὶ θυηλὴ,
Ἡ μόνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων.
Σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ οὔασι μῦθον ἔλυσα.
Λίσσομαι, ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
Φθέγξομαι, ἅσσ' ἐπέοικεν. ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
Ῥεύσω μαργάριτον, βόρβορον ὠσάμενος,
Χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναοῖς ἀπ' ἀκάνθης.
Λέξομ' ἀπ' ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
Ταῦτά σοι ἡμετέροιο θαλύσια χριστὲ πόνοιο
Γλῶσσ' ἀποβρυχομένη πρῶτον ἀνῆψεν ἔπος.
Σήμερον ἐκ νεκύων χριστὸς μέγας οἷσιν ἐμίχθη,
Ἔγρετο, καὶ θανάτου κέντρον ἀπεσκέδασε,
Καὶ ζοφεροὺς πυλεῶνας ἀμειδέος αἴδαο
Ῥήξατο, καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.
Σήμερον ἐκ τύμβοιο θορὼν, μερόπεσσι φαάνθη,
Οἷς γένεθ', οἷσι θάνεν, οἷς ἔγρετ' ἐκ νεκύων,
Ὥς κε παλιγγενέων τε, καὶ ἐκ θανάτοιο φυγόντων,
Σοὶ συναειρόμενοι ἔνθεν ἀνερχομένῳ.
Σήμερον ἀγλήεις σε μέγας χορὸς ἀμφιγέγηθεν
Ἀγγελικὸς, μέλπων ὕμνον ἐπινίκιον.
Σήμερον ἦχον ἐπνευσε μεμυκότα χείλεα σιγῆ
Λύσας, ἀλλά μ' ἔχεις ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἐνδόν ὤρεξα, λόγῳ λόγον. αὐτὰρ ἔπειτα
Ῥέξω καὶ μεγάλῳ πνεύματι, ἣν ἐθέλῃ.

ΠΑΡΑΙΝΕΤΙΚΟΝ.

Τέκνον ἐμὸν, τόδε τοι πεμπτήμορον ἐσθλὸν ὀπάζω
Γρηγόριος, πατρὸς δὲ παραίφασις ἐστὶν ἀρίστη.
Οὐ χρυσὸς λιθάκεσσι μεμιγμένος ἀγλαΐεσσι,
Κόσμος θηλυτέρησιν ὀλυμπιάς. οὐδὲ μὲν εἶδος
Χρώμασι φαρμάσσειν βασιλήϊον αἴσχεϊ τυπτῷ,
Εἶδος ἐπ' εἴδους ἄγουσαν ὁλοίϊον. εἵματα δ' ἄλλαις
Πορφύρεα, χρύσεα, διαλαμπέα, σιγαλόεντα,
Αἷς οὐδ' ἐν βιότοιο διαυγέος εὖχος ἔπεισι.
Σοὶ δὲ σαοφροσύνη τε μέλοι, καὶ κάλλος ἀγνὸν,
Ὄμμασι κευθομένοισιν. ὁ δὲ τρόπος, αὐθος ἄριστον,
Ἔμπεδον, ἀσυφέλικτον, ἀοίδιμον εὖχος ἐχούσῃ.
Ἄζεο μὲν πρώτιστα θεὸν, μετέπειτα δ' ἀκοίτην,
Ὀφθαλμὸν βιότοιο, τεῆς σημάντορα βουλῆς.
Τὸν μοῦνον φιλέειν, μόνῳ δέ τε θυμὸν ἰαίνειν.
Καὶ πλέον, ἤν σε πόθοισι τε λαοτέροις ἀγαπάζῃ,
Φίλτρον ἔχων ἀκέραστον ὁμοφροσύνης ὑπὸ δεσμοῖς,
Θάρσος ἔχειν μὴ τόσσον, ὅσον πόθος ἀνδρῶν ὀπάζει,
Ἀλλ' ὅσον ἐστὶν ἐοικὸς, ἐπεὶ κόρος ἐστὶν ἁπάντων.
Πάντων μὲν κόρος ἐστὶ, πόθος δ' ἀκόρητος ἀρείων.

Μά

Μήποτε θῆλυς ἐοῦσα, ὡς ἀνὴρ ὄγκον ἐπάγῃ.
Μὴ δ' ἐγχέσπαλος προφέρειν, μὴ δ' εἵμασιν ὀφρύν ἀείρειν,
Μὴ σοφίην, σοφίῃ δ' ἐγάμης θεσμοῖς ὑποείκειν.
Πάντα γὰρ ἀμφοτέροισι βίου ξυνώσατο θεσμός,
Εἴκειν μὲν βρομέοντι, πονεομένῳ δ' ἐπαρήγειν,
Μύθοισιν μαλακοῖσι, παραιφασίῃσί τ' ἀρίσταις.
Οὐδὲ λεοντοκόμος θηρὸς μένος δύνασαι ἀλκῇ,
Ἄσθμασι βρυχαλέοισι χολούμενον, ἀλλὰ δαμάζει
Χερσὶ καταψήχων, καὶ αἱμυλίοισι λόγοισι.
Μήποτε οὐ θαλερήν τιν' ὀνειδίσσειας ἀκοίτην,
Καὶ μάλα χωομένη περ, ἐπεὶ πλέον αὐτὸς ὄνειαρ,
Μὴ δὲ τέλος βουλῆς ἀντίξοον, οὐ γὰρ ἐοικός,
Δαίμων πολλάκι τέρμα φέρει φραδμονι βουλῇ.
Μὴ δὲ μὲν ἀδρανίην. οὐ γὰρ κραταιόν γε μάχαιρα.
Μὴ δὲ μὲν αἰνήσειας ὃν οὐ φίλον αἰνέει σεῖο,
Παρβλήδην ἐπέεσσι καθαπτομένη δολίοισι.
Καὶ δ' ἄλλως ἐπέοικεν ἁπλοῦς τρόπος εὐγενέεσσιν
Ἀνδράσιν, ἡ δὲ γυναιξὶ μάλιστα θηλυτέρῃσι,
Ξυνὰς δ' εὐφροσύνας καὶ ἄλγεα πάντα τίθεσθε,
Ξυνὰς δ' αὖ μελεδῶνας, ἐπεὶ τόδε οἶκον ἀέξει.
Μῆτις μὲν καὶ σεῖο, τὸ δὲ κράτος ἀνέρος ἔστω.
Ἀχνυμένῳ βαιόν τι συνάχθεο. καὶ τόδε τερπνὸν
Φάρμακον ἀλγεός ἐστι, φίλων ἄχος. ὦκα δ' ἔπειτα
Αἴθειν εἶδος ἔχουσα, λύειν μελεδήματα θυμοῦ.
Ἀνδρὶ γὰρ ἀχαλόωντι, λιμὴν εὔορμος ἄκοιτις.
Κερκίς σοί γε μέλοι, καὶ ἔρια καὶ μελεδῶναι
Θείοις ἐν λογίοισι, τὰ δ' ἔκτοθι ἀνδρὶ μέλοιτο.
Μὴ πολλὴν ἐκ προθύρων πέμπειν πόδα, μὴ δ' ἐπὶ τοῦ
Πάνδημον, καὶ ἄκοσμον ὁμήγυριν. ἣ γὰρ ἔρυθος (ψιν
Αἱρεῖ καὶ δεδμημένῃσι. τὰ δ' ὄμματα ὄμμασι μίσγε.
Αἰδοῦς δ' εἰχομένη, πάντων γλυκύτερα κακίστων.
Ἐς δ' ἀγαθὰς κέλομαί σε φέρειν πόδα σὺν πινυτῇ
Ὡς ἵνα καὶ λόγον ἐσθλὸν ἐνὶ φρεσὶ σεῖο χαράξῃς, (σιν,
Ἢ κακίης ὀλετῆρα πάσης, ἢ δ' ἀθυμὸν ἀρίστων.
Οἶκός σοι, πόλις ἐστί. καὶ ἄλσεα μὴ ὁράασθε
Ἄλλοις, ἢ παισὶ σαόφροσιν, ἠδ' ἱερῆι
Καὶ πολιῇ νεότητος ἀρείονι, μὴ δὲ γυναιξὶ
Ταῖς ὁπόσαις αὐχήν τε πολύς, καὶ δήμιον εἶδος.
Μὴ δὲ μὲν εὐσεβέεσσιν, ὅσους πόσις ἐκτὸς ἔεργε,
Καὶ μάλα περ τίουσα. τί τοι πόσον ἐστὶν ὄνειαρ,
Ὁσσάτιον πόσις ἐσθλός, ἐπὴν μένον ἀμφαγαπάζῃ.
Λίην μὲν φρονέειν, λίην δέ τι μὴ βλεμεαίνειν.
Αἰνῶ θηλυτέρας, τὰς ἀρσένων οὐδ' ἴσασι,
Μὴ δὲ μὲν οὐ περὶ δαῖτα γαμήλιον, ἢ γενέθλην
Σπεύδειν, ἔνθα πόθοι τε, χοροιτυπίαι τε, γέλως τε,
Καὶ χάριες οὐ χαρίεσσαι, τὰ γὰρ καὶ σώφρονα θέλγει,
Ὡς ἀκτὶς κηροῖο διαίσσουσα τάχιστα.
Μὴ δὲ μὲν οἰκεδίως τε πόσιος περὶ δώματ' ἐγείρειν
Ἀνέρος ἢ παρεόντος ἀμύμονος, ἢ ἀπεόντος.
Γαστὴρ μέτρα φέρουσα, τάχ' ἂν παθέεσσιν ἀνάσσοι.
Τὴν δ' ἄθυρον βρομέω μὲν ἐγώ, τρομέει δ' ἀκοίτης.
Μὴ δὲ παραιάων σκιρτήμασι πάλλεο μάχλοις,
Ἢ χόλῳ πλήθοντι. τὸ γὰρ μερόπεσσιν ὄνειδος.
Θηλυτέραις δὲ μάλιστα καὶ ἔκτροπον εἶδος ἔθηκεν.
Οὔτε τὰ κόσμον ἔχοι τ' ἀμάργαρον ἐσθλὰ δέχεσθαι
Ῥήματα, τοῖς δὲ κακοῖσι νόου κληῖδ' ἀποπαῦσθε.
Οἰκταί τε, κλεισταί τε, σαόφρονές εἰσιν ἀκουαί.
Στάζοι δ' ἁγνὸν ἔρευθος ὁμόζυγι παρθένος αἰδὼς
Σοῖσιν ὑπὸ βλεφάροισι. λίην δ' ὁράασιν ἔρευθος,
Ὄμματα πηρά ἔχουσα, καὶ ἐν χθόνα ὀφρὺν ἄγουσα,
Γλῶσσαν ἔχουσ' ἀχάλινον, ἀεὶ πόσιν ἐχθοδοπήσεις.
Γλῶσσα καὶ ἀπταίστοισι κακὸν βάλε πολλάκι μάργη.
Σιγᾶν λωΐον ἐστιν, ὅτ' ἂν λόγον ἔργον ἐπείγῃ,
Ἢ λαλέειν, καιροῖο λόγον κλείοντος ἄκοσμον.
Μῦθος ἀεὶ ποθέοιτο, πόθος δ' ὑπέροπλον ἰόντος,
Ὑβρίζει σωφροσύνης, καὶ ἤθμασιν ὕβρις ἔπεισι.
Καὶ τὸ δὲ λίχνον, μὴ στερκὸς ἔχειν ἀδάμαστον ἐρωὴν,
Μὴ δ' αἰεὶ λεχέεσσι χαρίζεο. πεῖθε σύνευνον
Ἤμασιν ἁγνοτάτοισι φέρειν χάριν. ὡς γὰρ ἔοικεν,
Εἰκόνα τὴν μεγάλοιο θεοῦ θεσμοῖς ὑποείκειν,
Εἰ καὶ θεσμὸν ἔδωκε γαμήλιον υἱὸς ἄσαρκος
Ἡμετέρῃ γενεῇ, καὶ πλάσματι χειρὸς ἀρήγων,
Ὥσκεν ἀπερχομένοισι καὶ ἐρχομένοισι γενέθλη
Ἕλκηται, μερόπων τριπτὸν γένος, οἷα ῥέεθρον
Ἄστατον ἐκ θανάτοιο, καὶ ἱστάμενον τεκέεσσιν.
Ἀλλὰ τί μοι τάδε ἔειπε διακριδὸν ὧδ' ἀγορεύειν.
Οἶδα δ' ἔγωγε παραιφασίην, καὶ ἔτι μεγ' ἀμείνω
Ἐστί τοι ὦ χαρίεσσα θεοῦ δόσις. ἠδ' ἐπικείσθω
Παντός σοι μύθοιο καὶ ἔργματος ἔμπνοος ἀκών,
Θηλυτέρη Χειρωνὶς ὑπὸ προπόδεσσι γάμοιο,
Ἥ σ' ἐκ παιδὸς ἔδεκτο, καὶ ἔπλασεν ἤθεσι κεδνοῖς.
Αὐτοκασιγνήτη μεγ' ἀμύμονος ἀρχιερῆος
Ἀμφιλόχου, τὴν ἔπεμψε θεός, Θέκλη γε σὺν ἁγνῇ,
Ἄγγελον ἀτρεκίης, ἐριηχέα, κῦδος ἐμεῖο.
Καὶ τὴν ἐμῆς πολιῆς ὑψίφρονα μῦθον ἔδεξο,
Τὸν κέλομαι πραπίδων σε φίλοις κευθμῶσι φυλάσσ(ειν,
Ὣν δ' αὖ καὶ πόσιν ἐσθλὸν ἐείπολιν ἐξακέσαιο, (σειν.
Εἴ τι καὶ μεγάλαυχον ὑπέρτερον εὖχος ἔχουσα,
Νῦν μέν σοι τόδ' ἔδωκα γαμήλιον. εἰ δέ τε λῷσον,
Καὶ τεκέων τεκέεσσι φίλοις πολύκαρπος ἐλαίη,
Ὡς καὶ πλειοτέροισι θεὸς μέγας ὑμνέοιτο,
Τῷ περ δὴ γενόμεσθα, καὶ ᾧ θέμις ἔνθεν ἐλεύσειν.

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΤΑ ΤΗΝ ΑΠΟ ΤΗΣ Κωνσταντίνου πόλεως ἐπάνοδον. (σης,

ἌΡχομαι ἐκ βιότοιο λιπὼν μέγα λαῖτμα θαλάσ
Τῇ καὶ τῇ χαλεποῖς πνεύμασι βρασσόμενος.
Ἔρχομ' ἔχων ὅσ' ἔρεξα, καὶ ὅσσ' ἐμόγησ' ἐκλέψας,
Τοῖς μὲν ὑποδρομέων, τοῖσι δὲ, γηθόσυνος.
Οὐδέν τερπνὸν ἔλειψα, τόκων παθέων ἀπαχοίμην.
Τοῖσι μὲν οὐκ ἐθέλων, τοῖς δ' ἐθέλων ἔδαμην.
Οἷον ἐμοὶ κτέαρ ἔσκεν ἐράσμιον, οἷος ἀπ' ἄλλων
Πλοῦτος, θαλπωρὴ λησμοσύνης καμάτων,
Τῆς μεγάλης τριάδος ξυνὸν σέλας, ᾗ μ' ἀνέφαινον,
Ἄχρι καὶ ἀλλοδαπῶν ἤλυθον ἐκ πεδίων,
Οὐ μὴν πάμπαν ἄπρακτος, ἐπὴν λάεσσιν ἐδέχθην,
Ὡς τις ἀλιτήμων. σὴ τριὰς ἦλθε χάρις.
Ἔμπα γε μὴν ἀνέφηνα, καὶ ὡς κύκλον περὶ κέντρον,
Πάντας ἐπηρεύμην ῥήμασιν εὐσεβίης.
Ἦν δρόμος, ἀλλ' ἅμ' ἔπεμψε πόνος καὶ νοῦσος ὀπίσσω,
Πολλὰ μάλα φθονερῷ δαίμονι μεμφόμενον.

Μῦθον ἐμὸν, πατρὸς δὲ παραίφασίς ἐστιν ἀρίστη.
Καὶ πολιὴ νεότητος ἔχει πλέον. ἰσοφίλη γὰρ
Ὁ χρόνος, ἰσοφίλη δὲ τέκνων σοφίην προφέρουσα·
Τοὔνεκ' ἐμῶν ἐπέων ἐμπάζεο, καί γε ἄμεινον.
Τέκνον ἐμὸν, τὰ μὲν ἄλλα πατρὸς τοῦ φέρτερος εἴης.
Χαίρει γάρ τε πατὴρ ἡσσώμενος υἱέος ἐσθλοῦ.
Καὶ πλεῖον ἢ πάντων ἱερατίων θάασι νέμοισιν,
Οἷς τόδε πᾶν συνέδησε πατὴρ μέγας. ἐκ δὲ λόγοιο
Ἔμπεδον ἐστήριξεν ἑὸν κτέαρ ἀμφαγαπάζων.
Κεῖνό γε μὴν ἐθέλω σε παρώϊον ὦ τέκος ἴσχειν,
Αἰδοῦ πλειοτέρην, ἧς νῦν τοκέεσσιν ἔφηνας.
Παῖς καὶ ἐγὼ γενόμην ἀγαθοῦ πατρὸς, ἀλλὰ τόδ' οὔπω
Ἦλθεν ἀφ' ἡμετέρων στομάτων ἔπος, ὅδ' ὑπ' ὀδόντι.
Οὐδὲ γὰρ οὐδὲ θεῷ κεχαρισμένος ἐστὶν ὁ μῦθος.
Ὦ πάτερ, ἅ μ' ἐφύτευσας, βαιὴ χάρις· οὐ γὰρ ἔμοιγε,
Σῷ δὲ πόθῳ, σῇ στεργῇ χαριζόμενος μ' ἐφύτευσας·
Ἀλλ' ἔθρεψας ἔπειτα; τί γὰρ τέκνων; ὡς ἀχάριστος
Φωνὴ, καὶ κόσμοιο λύσις, μεγάλης τε γενέθλης.
Φίλτρον μὲν συνέδησε φύσις τοκέας τε γόνους τε,
Μὴ μόγος ἀμφὶ τέκεσσιν ἀπορρήξειε τοκῆας.
Καὶ θανάτῳ τίκτωμεν ἀκηδέες ὧν τεκόμεσθα.
Τοὔνεκα καὶ μόθον αἰνὸν ἑοῖς περὶ παισὶ τοκῆες
Ἴσαν τ'. οὐ γὰρ ἔλεξας ἐτήτυμον ἄχρι μόροιο.
Σφῆκες, παρδάλιές τε, βόες, σύες, ἰχθύες, ὄρνεις,
Πάντων δ' αὖ περίαλλα βροτῶν γένος. εἰ δὲ νόμοισι
Τόσσοις ἐγκαθίοιμεν, ὅλος βίος οἴχετ' ἄϊστος.
Τίς γὰρ ἔθ' ἱρὰ προσπτύξειεν, ἢ τὰ φέριστα
Εὔξεται, ἢ ποθέοντι λόγους, ἢ ἄλλ' ὅτι νεύσει;
Τίς μοῖραν ἱκετάων ἀποδάσσεται, ὡς ἐπέοικεν;
Εἰ χρέος, οὐ χάρις ἐστὶν, ὅσον πατρὸς υἱὸς ἔλησι,
Καὶ μισθὸν μὲν ἔχων αἰδοῦς νόμον ἐκτελέει βαιόν,
Εὖ δὲ παθὼν, ἀχάριστον ἔχει γλῶσσάν τε νόον τε.
Σκέπτεο δ' εἴκοσι τίς ἀπαντήσειεν ἐχέφρων.
Οὐκ οἶον μερόπων ἡμᾶς γένος, ἀλλὰ θεοῖο,
Τῶν δὲ πάρος πατέρες μὲν, τὰ δ' ὕστερα εἰσὶ τέκεσσιν
Ὄργανα τῆς κτιστοῖο θεοῦ μεγάλοιο γενέθλης.
Γαῖαν ἔλεν, δῶκεν δὲ νόον. μικτὸν δ' ἀνέδειξεν
Ἐκ γένος ἀμφοτέρωθεν, ἐπιχθόνιον βασιλῆα,
Σῶμα καταφρονέοντα, θεόν τ' ἐτὸν εὐσεβέοντα,
Πολλοῖσίν τε κακοῖσι κυκώμενον ἔνθα καὶ ἔνθα,
Ὥσκεν ἐνὶ πλεόνεσσιν ἀκαμπέα θυμὸν ἔχωμεν.
Ἀλλ' οὔπω τις τόσσον ἀπὸ φρενὸς ἤλυθεν ἐσθλῆς,
Οὐδὲ τόσον νεότητος ἀπηνέος αἵματι βράζει,
Ὡς τόδ' ἀπὸ στόματος ῥῆξαι κακὸν ἀντιθέοιο.
Οὐκ ἐθέλοντά μ' ἔοργας, ἐπεὶ δέ μ' ἔοργας, ἔλεσσε·
Ἢν δὲ πλάσῃς μεθέπῃς με, βροτὸν πλάσας ἀντὶ βροτοῖο,
Δὸς σοφίην, δὸς πλοῦτον, ἐπεὶ πλεόνεσσιν ἔδωκας.
Δὸς μέγεθος καὶ κάλλος ἐν ἄστεσι πρῶτα φέρεσθαι,
Θούριον ἔγχος ἔχειν, νούσοις δ' ἥμας οὐχ ὑποεικτόν,
Ἄλλά τε, οἷς μέγας ὄλβος ἐν ἀνθρώποισι μέτεστι.
Ἢ χρυσῷ θυσίαις τε καὶ εὐχωλῇσι γεραίρειν.
Οὐ γάρ ἐμοί τι νέμων δώσεις ψυχήν τε δέμας τε.
Κύδεος ἱμείρων δὲ παρήγαγες, ὥσπερ ἅπαντα,
Ὡς καὶ ἐπιχθονίοισιν ἀοίδιμος ὦ μάκαρ εἴης.
Ταῦτα θεοσυγγένεσι καὶ ἀφραδίεσσι δίδωθι,
Οἷς πλοῦτος θεός ἐστι, κακοῦ πλάστηρος ὀπηδοῖς.
Ἡμεῖς δ' ἐν πάντεσσι θεὸν μέγαν ὑμνέωμεν,
Ἐσθλοῖς τε στυγεροῖς τε. τὸ γὰρ τεκέων ἐρατεινῶν.
Καὶ μετὰ πρῶτον ἄνακτα τῶν χθονίας γενετῆρας,
Οἵ με φάους ἔπλησαν, ἀφ' ὧν βιὰς εἰς ἓν ἴδοσα,
Καὶ λάμψε πραπίδεσσιν ἐμαῖς, καὶ πᾶσι φαάνθη.
Σιγάσω κόσμοιο κύκλον μέγαν, οὐρανὸν εὐρὺν,
Ὄμμασι παμφανόωντα διαυγέσι, νῶτα θαλάσσης
Αὐτῆς ἰσχομένης τε, τὸ δ' αἰὲν θάμβος ἔμοιγε.
Γαῖαν ἐς ὕστερον, ποταμῶν ῥόον, ἠέρα πνευστὸν,
Ὥρας, ἄνθεα τερπνὰ, βροτῶν φύσιν, ἠθείαν τε,
Ὅσσα θεὸς προέθηκεν ἐμοῖς φαέεσσι τράπεζαν,
Ταῦτα πατὴρ μεγάλοιο πατρὸς πάρ' ἔδωκεν ἔμοιγε.
Τῷ μάλα μοι τοίοισιν ἀμείβεσθαι γενετῆρα
Θαρσαλέως, καὶ θάρσος, ἔφυ θράσος ἔκποθι μέτρου.
Μή σοι τίς καὶ τοῖος ἀπ' οὔατος ἡμετέροιο
Τέκνον θερμοτέροιο πατρὸς πέρα μῦθος ἵκηται,
Εἴ γε φύσις τεκέεσσι πόθον ἀντόρσειε τοκήων,
Καί τε φύσις φιλέειν τοὺς οὐ φιλέοντας ὄρυξε,
Κρεῖσσον ἀτασθαλέοντα φέρειν πατέρ', ἢ παρ' ἄλλων
Εὖ πάσχειν, θνητοῖς δὲ πατρὸς μόνον ἐς χέρα λεύσσειν.
Εἰ δὲ πονηρὸς, φρενοπλήξ τε, καὶ οὐ μελέεσσι πεπηγὼς,
Τί πρῆξας, οὐ χεῖρα τεὴν σκήπωνι περέξας;
Οὐκ ὤμοισι τεοῖσιν ἀειρόμενός μ' ἐκὰς οἴσεις,
Ὡς Ἀγχισιάδης γενετῆρ' ἑὸν ἐκ πολέμοιο;
Ἡ φύσις, τί μ' ἔτευξας; καὶ τί με δείλιον αἰτεῖς;
Δὸς φωνὴν νεπόδεσσι, καὶ ἠερίοις πετεηνοῖς.
Καὶ τοῖς ὅσσα τε γαῖαν ἐπιπνέει τε, καὶ ἕρπει·
Οὐκ ἐρέει τί μ' ἔτευξας ἁλὸς τέκος ὦ αὖ δελφὶς,
Ἁρμυρὸν οὐκ ἐθέλων τέμνειν βίον αἰγὶ ἐλάστης,
Ὑγρὸν φυσιόων, καὶ ἀνάστερον ἠέρα λεύσσων.
Ἔργα βοὸς ποθέει τὰ ὄρεα, καὶ πλατὺν ὦμον,
Καὶ ζώειν μερόπεσσιν ὁμὸν βίον ὡς ταχὺς ἵππος,
Ἢ πᾶσιν νεπόδεσσιν ὀλισθηροῖσιν ἀνάσσειν.
Οὐδὲ βόες ποθέοντες ἁλὸς πέρον ἀχαλόωσιν.
Οὐκ ὄρεα σκολιοῖς κάμψαν μηρύμασι γαστρὸς
Πικρὸς ὄφις, τί μ' ἔρεξας ἐπὶ χθόνα γαῖαν ἔδοντα;
Ἤθελον ὄρθιος ἔμμεν, ἀτὰρ σύ με γαστρὶ κυλίνδεις.
Οὐδὲ κόραξ ἀετοῖσιν ὁμοῖα δινεύεσθαι
Χρηΐζει, πάντων βασιλεύτατον εἶδος ἀμείψας.
Στέργει δ' ὄνηπερ ἕκαστον ἔχει βιότοιο κέλευθον.
Οὐδ' ἔτ' ἐῷ πλάστῃ ποτ' ἐρεῖ κεραμήϊον ἔργον,
Τίπτ' ἐπ' ἐμοὶ ῥοίζηδες ἀεικέα κύκλον ἑλίξε;
Ταῦτά μεν ὡς τιτθὴν κάμψαι φρενὰ φίλτατε παίδων.
Ὥστε μάθοις πλάστιγγα λόγου καὶ ἀνάερτον ἐφέλκειν,
Ἢ ῥίψαι τὸ πλεῖστον. ὃ δ' ἄρκιον ἐστὶ καθέξειν.
Μὴ δὲ ῥόον νεότητος ἐφιέμεν, ἀλλὰ κατίσχειν,
Τὸ πλεῖστον φρασθῶσι μένειν πολὺ λάϊον ἐστὶν
Ἐνδόθεν, ἤ πῃ ἄφραστον ἐς ἠέρα μῦθον ὁδεύειν.
Οὐδεὶς γὰρ πόνος ἐστὶ μένειν ὑπὸ χείλεσι μῦθον.
Οὐ γὰρ ἐχιδναῖός τε γόνος διὰ γαστέρα ῥῆξαι
Μητρὸς ἀναθρώσκων, ποινὴν πατρὸς ἑλομένοιο.
Ἤδη δ' αὖ μύθοισι τεὸν δεδίξομ' ἔρωτα
Πατρὸς γηραιοῦ, παιδὸς θράσος ἤγε πάσσων.
Οὔτι μὰν βιότοιο πέλει τέλος ὦ τέκος ἔστι.

Οὐδὲ

Οὐδὲ γὰρ ὁδῶν μία πᾶσιν φύσις, ἀλλ' ἡ μὲν ἐσθλή.
Ἡ δὲ χερειοτέρη, θηρσὶν ἀλόγοισιν ὁμοίη.
Ἄλλη δ' αὖ πλεκτή τε καὶ ἀμφοτέροις ἐπίμικτος,
Ὡς ἄρα καὶ τριοσσὸν γαίης ἀγρὸν οἶδε γεωργός.
Εὔσταχυν, ἢ δὲ ἄκαρπον, ἀκανθοφόρον θ' ἅμα σίτῳ.
Τρισσαὶ δ' ἢ τελέθουσιν ὁδοί, καὶ τέρματα τρισσά.
Ἡ μὲν γὰρ χθαμαλή, καὶ ἐπίτροχος ἴχνεσι πολλῶν,
Εὐρεῖα, μαλακή τε, καὶ ἐς τέλος εἰκαῖον ἄγουσα,
Κρημνούς τε, ζοφερούς τε μυχούς, καὶ τάρταρον αἰνόν,
Ἦχι πυρὸς ποταμοί, καὶ δαίμονες ἀγριόθυμοι,
Ψυχῶν τ' ὀλλυμένων ποινή, καὶ τίσις ἄπαυστος.
Ἡ δὲ τρηχαλέη καὶ ὄρθιος, αἰπελέη τε,
Στεινή τε, σκολιή τε, καὶ ἀμφίκρημνος ἐπ' αὐτῇ.
Ἄμβατος οὐ πολλοῖσι, καὶ ἐς τέλος ἐσθλὸν ἄγουσα
Οὐρανὸν ἀστερόεντα, κλέος μέγα, κάλλι' ἄστερα,
Αὐτὴν ἀτρεκέην καθαρήν τε ἄσκιον ἐσθλόν,
Ἄχρι καὶ ἀκρεπτέτοιο φάους ὅρον οὔτιν ἔχοντος.
Ἡ δὲ τρίτη, μεσάτη μὲν ὁδός, μεσάτη δέ γ' ἀμοιβῆς,
Οὔτε λίην μογερή, καὶ κῦδος οὐ μάλα πολλοῦ,
Οἷον κιρναμένοις φάους πρὸς νύκτα μέλαιναν.
Ἀμφιλύκην δ' ἄρα τήν γε σοφοὶ μῖξιν καλέουσι,
Ῥεῖα μὲν περόωσιν, ὅσοις νόος ἐστὶ κάκιστος,
Ψεῦσται, ἀνδροφόνοις, μοιχοῖς, ἐπίορκον ὀμοῦσιν,
Ἀνδρογύνοις, τοκέων δ' ἠλήμοσιν, ἁρπαγίδεσσι,
Γαστροφίλοις, λίμνῃσιν ἀπληρώτοισιν ὁμοίοις.
Οἳ θανάτῳ ζώοντες, ἑὸν μόρον ἀμφαγαπῶσι.
Δυσμενέων κεφαλαῖς οὗτος βίος αὐτίκ' εἴη.
Τὴν δ' ἀγαθὴν τέμνουσιν, ὅσοις βίος οὐκ ἐπὶ γαίης,
Τρισμάκαρες, ζώοντες ἐπὶ χθονὶ σαρκὸς ὕπερθεν,
Ἀζυγέες, κόσμοιο περίφρονες, οὐρανοφοῖται,
Ἀκτέανοι, κινυροί, χαμαιευνάδες, οἰοχίτωνες,
Βαιὸν ἀναπνείοντες, ἀγάστορες, ἀσκεπέες τε,
Κῦδος ἐν οἷον ἔχοντες, ἅπαν κλέος ἐνθάδ' ἐπίζην,
Καὶ πλοῦτον, πενίην τε, καὶ ἐς θεὸν οἷον ὁρᾶσθαι.
Τοὺς μὲν ἐγὼ τρομέω, καὶ δέδια νέρθε δεδορκώς,
Ὡς θεὸν ὑψιμέδοντα, ὅτ' ἀνθρώποισι πελάζει.
Καὶ γὰρ πολλὸν ὕπερθε βροτῶν βεβάασιν ἁπάντων.
Ἡμεῖς δ' αὖ μεσάτην ὁδὸν ἵεμεν, ὅτι κακοῖσι
Τερπόμενοι, καὶ βαιὸν ἐφαπτόμενοί γε θεοῖο.
Οἷς ἀλόχων τε μέμηλε, καὶ εὐκλείης στρατιῆς,
Καὶ τεκέων, κτεάνων τε, φίλον δ' ὅ, τι χεῖρας ἱκάνει.
Τούτου δὲ πρώτιστον ἐμοὶ λόγος ἐστὶ βίοιο,
Πλοῦτον ἀλωΐστον, κτέαρ ἄκλοπον, ἐσθλὸν ἔχοντας.
Εἴ τοι μὴ ταύτεσσιν ἐπέδραμον, ὡς ποθέεσκον,
Μὴ δ' ὅλον ἐξεπέρησα λόγων πόνον ἱστία τείνας.
Οὐ γὰρ σοῖς ἐπέεσσ' ἐπιπείθομαι, ὃ δέ με κλέψει
Αἶνος ἐμός. αἶνος γὰρ ἀφ' αἵματος ἐστὶν ἄπιστος.
Ἀλλ' ἔμπης, τίω σε λόγων κλέος ἔξοχον ἄλλων.
Μῦθοι γὰρ βιότοιο θεμείλιοι, οἵ μ' ἀπὸ θηρῶν
Ἔσχισαν, οἷσιν ἔγειρα πόλεις, καὶ τέθμι' ἀνδύρον,
Καὶ θεὸν ὑμνείω μεγακυδέα. οἷσιν ἀείρω
Τῆς φαεινῆς ἀρετῆς ὕψου κλέος, οἷσι δαμάζω
Τῆς δυσγενοῦς κακίης πικρὸν ἀγρόν. οἷσι κεάζω
Κόσμον, οὐράνιόν τε, καὶ ὃς ὑπὲρ λῦσιν ἐδύνεν
Ἐνθάδε, καὶ ψυχὴν ἀπὸ σώματος. ὡς δ' ἀπὸ μορφῶν
Εἰκόνας, ὡς δὲ βίων τε φύσεις, καὶ τέρματα δισσά
Ζώντων τ' ὀλλυμένων τε. τὰ γὰρ θεὸς ἐξεδίδαξε,
Καὶ λόγος εὕρηκε σοφῶν, καὶ πίστις ὄρασε.
Πᾶς δ' ἀγαθὴν ἀρετὴν ἕλκει χρόνος ὑστατίοισιν
Ἤμασι, δεῖγμα φέρων γραπτὸν κλέος. ὡς δὲ κακίστων
Δυσκλείην, σκύλευσιν ἐν ἀθανάτοισι χαράσσων.
Μῦθοι, καὶ ζώοντι μόνῳ βίος οὐκ ἐπιδευής,
Καὶ λαμπρὸν πνείοντι, μέγα ξίφος, ἐν δ' ἐνὶ ὁμοῖον
Ἄνθεσιν εἰαρινοῖσιν ἅμ' ἠοῖ κειρομένοισι.
Θνήσκουσιν δ' ἄρ' ἔπειτα περὶ ἤματος ὀλλυμένοιο.
Μῦθοι, καὶ παθέεσσιν ἄκος μέγα. τοῖσι δαμάζω
Θυμὸν ὑπερζέοντα, νέος νέφος. οἷσιν ἀνίας
Εὐνάζω, καὶ μέτρον ἐϋφροσύνῃσι τίθημι,
Οὔτε λίην μογεροῖσιν ἀσώμενος, οὔτ' ἀγαθοῖσιν
Αἰρόμενος. ἕτερον δ' ἑτέρῳ σταθμώμενος ἄλκαρ,
Ἐλπίδ' ἐν ἀργαλέοισιν, ἐν ὀλβίοισι δὲ τάρβος.
Μῦθος καὶ βασιλῆας ἄγει, καὶ δῆμον ἐφέλκει.
Ἔστ' ἀγορῇσι τέθηλε, καὶ ἐν θαλίῃσιν ἀνάσσει.
Καὶ μόθον αἰχμάζει, πρηῢν δέ τε φῶτα τίθησι,
Μαλθάσσων ἀπαλοῖσι καὶ αἱμυλίοισι λόγοισι,
Καὶ κρατερόφρονά περ ἐόντα, πυρὸς μένος οἷα σίδηρον.
Ὀρφεὺς κιθάρῃ μῦθον πέλας ὥσπερ ἐΐσκω,
Πάντας ἄγων μελέεσσιν ὁμῶς ἀγαθούς τε κακούς τε.
Ὡς δ' Ἀμφιονίῃ λύρῃ καὶ λᾶας ἔπαθε,
Ψυχὰς ἀντιτύπους πετρώδεας. οἶδα δὲ πομποῦ
Φάρμακον, ὡς λόγος ἐστίν. ὃν ἐρχομένῳ μετὰ Κίρκην
Λαερτιάδῃ πόρε δῶρον, ὅπως κε σύεσσιν ἀρήξῃ,
Οἷς ἑτάροις. μὴ δ' αὐτὸς ἔδοι συοθρέμμονα φορβήν.
Μῦθον καὶ Πολύδαμνα κεράσσατο Θῶνος ἄκοιτις
Αἰγυπτίη, δῶκεν δ' Ἑλένῃ ξεινήϊον ἐσθλόν,
Νηπενθές τ', ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
Καὶ μᾶλλον στονόεντα, καὶ ἄγριον οἶδμα θαλάσσης
Πολλάκις ἐκπεφυγών τις, ἐπὴν θεὸς ἵλαος εἴη,
Τόνδε συνεξεσάωσε φίλον κτέαρ οἷον ἀπ' ἄλλων.
Ὦ πλέον, ἢ πλούτεσσιν ἀγάλλεται ἄλλος ἐπ' ἐσθλοῖς.
Μῦθος γάρ τε βροτοῖς αἰδοῖον ἄνδρα τίθησι.
Τεκμαίρου δ' Ὀδυσῆα, τὸν ἐκ πόντοιο φυγόντα
Γυμνόν, καὶ μελέεσσι τετρυμμένον αἰπὴν ἀλάτην,
Μύθοισιν πυκινοῖσιν ἱκέσιον ἀντιάσαντα,
Παρθενική περ ἐοῦσ' ᾐδέσατο καὶ βασίλεια,
Φαιήκεσσί τ' ἔδειξε, καὶ Ἀλκινόῳ βασιλῆϊ,
Ξεῖνον, ναυηγόν, πάντων γεραρώτερον ἄλλων.
Μῦθοι καὶ πλούτεσσιν ἐπ' ὄμματα πικρὰ φέρουσι
Βασκανίης τελέθουσιν ὑπέρτεροι. οὐ γὰρ ἀρίστοις
Ὁ φθόνος, οἷς δ' ἀδόκητος ἔβη τύφος, οἶδε παραΐξαι.
Ὦ μῦθοι μύθων ἐπιδευέες, ὡς ποθέεσκον
Σοῖς ἀγαθοῖς ἐπέεσσιν ἐμὸν λόγον ἰσοφαρίζειν.
Ἀλλὰ τὰ μὲν κατέμαρψα, τὰ δ' οὐ ἀγρός. ἀλλά γε πατρὶ
Γλῶσσα φίλη κατέλεξεν ἐπερχομένοισι πόθοισιν. (δὸς
Ἐκ πολιῆς νεότητος, ὅ μοι πλέον ἦτορ ἐγείρει.
Ἀλλ' ἴθι μοι τοκέων τε λυταῖς καὶ σοῖσι πιθήσας
Πρόφρων ἀρτεμέεντι συνελπωρῆσιν ἀείσας,
Οἷ ποθέεις, πομπὸς δέ σ' ἄγοι πατρώϊος ἐσθλός.
Καὶ γὰρ ἐς ἡμετέρην βιοτὴν θεὸς ὄμματα βάλλε.
Εἴτε σέ γ' αὖθις ἔτρεψεν ἀηδονίς, εἴτε σε τερπνῆς

Φοινίκης ἱερὴν ἄστυ, νόμων ἕδος αὐσονιήων,
Εἴ τέ σ' ἀλεξάνδροιο πέδον μέγα, ἔνθά τε πολλῶν
Φορτίδα πλωτεμένοις τις, ἐὰ πρὸς δώματ' ἐλαύνει.
Πάντα μὲν ὑμετέροισιν ἐπίτροχος ἅμα τέλοιτο
Ποσσὶν ἐπειγομένοισι, καὶ ἄνθεα καλὰ φύοιτο,
Καὶ ποταμοὶ κελάδοιεν ἐν ὕλῃ. πᾶς δέ τε πόντος
Νῆα φέροι πνοιῇσιν ἐλαφροτάτῃσιν ἐς ὅρμον.
Δελφὶς δ' ὀρχήσαιτο ὑπὲρ ἅλα νῶτα φαεινοῖς
Γυροῖς ἀγναμπτοῖσιν ἑλισσόμενος πυμάτοισι,
Σκιρτῶν ἐπὶ κῦμα τεὸν βίον ἡγεμονεύων,
Ὥς ποτε καὶ νώτοισιν ἀοίδιμον ἤγαγ' ἀοιδόν.
Μύθων δ' ἀγητῆρσι πέλοις φάος· ἐν προνόμοισι δὲ
Αὐτίκ' ἀριθμήσειαν ἐμὴν πάιν, ἶσα τόκεσσι
Τίοντες. κρητὴρ δὲ λόγων καὶ πυθμένος ἄχρις
Ζωρὸς ἀφυσσαλέοισιν ἀφύσσοιτο πραπίδεσσι.
Χρύσεα δ' αὖ πτυκτοῖσιν ἐν πινάκεσσι γράφοιτο
Γράμματα σῆς παλάμης, στέφοι δ' ἐπὶ κυρία βίβλος.
Εἰ δὲ σύ γ' ἀκρεμόνεσσιν ὑφήμενος ἀὴρ ὄρει,
Τῆμος, ὅτε πνοιαὶ γλυκερώτεραί εἰσι βροτοῖσιν,
Ἢ πυρόεν βάλλοντος ὑπὲρ κρατὸς ἠελίοιο,
Μύθοισιν μογέοις πυκινὴν φρένα πᾶσαν ἐρέδων.
Τέττιγες λαλαγεῦντες ἅμ' ὀρνίθεσσιν ἀοιδοῖς,
Σὸν δέμας ἀλυθρόοισιν ἀναψύχοιεν ἀοιδαῖς
Ἐς δεῖπνον καλέοντες ἀοιδοσύνῃσιν ἑταίρων.
Αὐτὰρ ἐγὼ θοὸν ὥστε φίλοις συνέργμασι πῶλον,
Κνέπτων θερμὸν ἐόντα, θοώτερον ἐς δρόμον ὦσα
Νίκης ἱχανόωντα μεγακλέος, ὡς παλαιστὴς
Οἷα γέρων μεγάλοισιν ἀεθλητῆρσι κελεύων
Ἀμφὶ κόνιν πίσσαιαν ἐπισταμένοισι λόγοισι,
Παῖδ' ἐμὸν ἐν μεσάτῳ κοτινηφόρον εὔχομ' ἰδέσθαι.
Οὔτε τινὸς κτεάνων περιφράσομαι, ὡς σὺ κελεύεις,
Οὔτε μόγου τεκέεσσιν ἐοικότος, οὔτε τευ ἄλλου
Τῶν ὅσα τὴν μεγάλην ἀρετὴν θνητοῖσιν ἀγείρει.
Κρείσσων γὰρ πενίη πινυτὴ πλούτοιο κακίστου.
Οὐ φράξω πηγὴν, ποταμὸν μέγαν ἐντὸς ἔχουσαν.
Μὴ δὲ φάος λύχνοιο θάνοι, λήγοντος ἐλαίου.
Ἐρνός τε προχοῇσιν ἀεζώοισιν ἀέξοι.
Τοῦτο δέ σοι παρ' ἐμεῖο μέλος πεμπτήριον ἔστω.
Χεῖσον ἔχοις ἐπέων ἡγήτορα, καὶ βιότοιο
Σῶν λόγων, ὃς μύθων προφερέστατός ἐστιν ἁπάντων.
Μὴ σύ γ' ἑταιρίσσαιο κακὸν, καὶ φαῦλον ἑταῖρον.
Λοιμὸς, ὃ κρατεροῖς ἐνιχρίμπτει μελέεσσιν.
Οὔτ' ἀρετὴν ὀπάσεις, καὶ αἶσχος συμβολήσεις.
Σωφροσύνην σύνεθον ἔχοις, καὶ τέρπεο μούνῃ,
Μὴ πόθος ἐκκρούσῃ πόθον τὸν ἄριστον ἀλιτρός.
Ἐν μύθοιο νόμιζε, σοφὸν τρόπον ἔμμεν' ἀρείω.
Εἰ δὲ σύ γε πλήσαις ἱερὴν φρένα τῶν περ ἔολπας,
Αὖτις ἴοις. πομπὸς δέ σ' ἄγοι περίφαντος ἅπασι.
Πομπὸς δ' ὅσπερ ἰόντι συνέμπορος ἦν ὁδοῖο.
Μισθὸς δ' αὖ τοκέεσσι χάρις, καὶ ὄνομ' ἄριστον.
Ταῦτα γέ σοι παρ' ἐμεῖο τέκος φίλον. εἰ δὲ γεράερων
Πρόσθε πρεσβύων ἐθέλοις, καὶ τῇ θεὸς ἡγεμονεύοι.
Οὐδ' ἐγὼ ἄπιστον ἐόντα σοφὸν, καὶ βρίθεα μύθων
Αἰγὶ αὐχνεύοντα ὑφ' ἡγεμόνεσσιν ἀρίστοις
Τοίοις, ὅν τιν' ἔλεξας ἀφ' αἵματος ἡμετέροιο,
Ὦ τέκος ἀκροτάτοιο καλοῦ πρὸς τέλος ἱκέσθαι.

ΠΡΟΣ ΒΙΤΑΛΙΑΝΟΝ ΠΑΡΑ ΤΩΝ ΥΙΩΝ.

Ὦ πάτερ, ὅν περ ἐμοί γε θεὸς θεὸν ἐνθάδ' ἔδωκεν,
Οὐ γεγαὼς γεγαῶτα, καὶ ἐκ φθινύθων φθινύθοντ'
Ὤρεξεν ἐπιχθονίοισι γέρας καὶ κῦδος ὀπάσσῃ, (τε,
Ὣς γὰρ δμῶν πάντων γενέτης, νομεύς τε φέριστος
Χριστὸς ἄναξ μεγάλοισι νοήμασι κόσμον ἑλίσσων,
Ὥς ῥα καὶ οἷς τεκέεσσι πατὴρ θεός. ἀλλ' ἐπάκουσον
Μῦθον ἐμὸν θέεσσιν ἐνὶ σπλάγχνοισιν ἄριστον.
Καὶ τὸ θεοῦ μεγάλοιο, θεὸς βροτὸν οὐκ ἀθερίζει,
Ὦ θάνεν, ὃν συνάγειρε, καὶ ᾧ θεὸς ἵξεται αὖτις,
Ἵξεται ὑστατίοισιν ἐν ἤμασι πάντας ἐλέγχειν,
Τίπτε τόσον τεκέεσσι τεοῖς ἐπέβρισας ὀδύνας;
Πῶς ποινὴ κακόχαρτος ἐνήλατο σοῖσι δόμοισι;
Τίς δ' ἐρινὺς τόσον ὄλβον ἀτάσθαλος ἐξετίναξεν;
Ἤτοι μὲν πατέρων ἀγαθῶν ἔφυς. οὐκ ὀλίγος δὲ
Αὐτὸς ἐν ἡμερίοισι, θεῷ δέ γε πάγχυ μέμηλας,
Ὃς φιλέει φιλέοντας, ἀπεχθαίρει δὲ κακίστους.
Οὗτος μὲν τὸ πάροιθε θεοῦ νόμος ἀλλὰ τέθηπα,
Πῶς σὺ θεοστυγέεσσιν ὁμοῖα κύδεϊ ἔτλης
Δαμνάμενος πληγῇσιν, ὃ δὴ φάτις, αὐτὸς ἐρῶ σοι.
Ἄλλοις ἀπεπτίσατο βίου φύσις ἄλγε' ἀνδρῶν,
Τῇ καὶ τῇ δονέουσα βροτῶν γένος. οὐδέ τις οἶδε,
Ποῖ λήξει μέγα κῦμα πολυπλανέος βιότοιο,
Ἢ τίς νῆα μέλαιναν ἐμὴν ὑποδέξεται ὅρμος.
Ἄλλον πόντος ὄλεσσεν ἀπείρονος, ἢ κλύσε χέρσου
Ζωὸν, ἄτερ σπέροιο καὶ εἵματος οἰκτρὸν ἀλήτην,
Τὸν πρόσθεν πολύολβον. ὃ δ' ἤγρετο, κεῖθι δ' ἐς ἅλμην.
Ἄλλον δῃριόωντα μέθ' ὃς κτάνεν, ἠμὲν ἔπεμψε
Δυσκελῆ, χέρσοισιν ὑπ' ἀνδροφόνοισιν ἑλόντων.
Ἄλλον δ' αὖ βασιλῆες ἐνόσφισαν, ὅν περ ἔχεσκον,
Αὐτῆμαρ χθαμαλόν τε καὶ ὄλβιον ἄνδρα τιθέντες.
Καί τινα ληιστῆρες ἀπηλοίησαν, ἤ τινα φῶρες
Ἠματίῃ κακότητι καὶ ὀρφναίοισι δόλοισιν.
Ἄλλος δ' αὖ μελέων κατεδάσσατο δ' ἀπηξία νοῦσος.
Σοὶ δ' ὧν μὲν κατέλεξα, θεὸς κατένευσε γαλήνην
Πάντων, καὶ νεύσειεν ἔτ' ὄμμασιν εὐμενέεσσι,
Πάντα περιφράσσων, τά τε ἔνδοθεν, ὅσσα τ' ἔασιν
Ἔκτοθεν, οὐδέ τις ἐστὶ δύη, καὶ κάρτος ὀπάσσῃ.
Ἐν δὲ τόδ' ὃ κατένευσε, τεοῖς τεκέεσσιν ἀρήγειν,
Ὡς γλήνην βλεφάροισιν ὑπ' εὐκύκλοισι φυλάσσων,
Ὡς μή τις βιότοιο περῶν πλόον ὧδ' ἀγορεύσῃ,
Μοῦνος ἐγὼ κακότητα βίου καὶ κύδε' ἄλυξα.
Ὦ σημείων ποτ' ἄναξ σὺ πολύκρατες, οἷον ἐμάσσω,
Δέσπεις δυστυχίης δρόμον ἄχθος, ἔμβαλεν ἅλμῃ
Πόρκην, ὃν φιλέεσκεν, ὅπως φθόνον ἐξαρίσαιο.
Καὶ τὸν μὲν πάλιν εἶχεν, ἀτὰρ μόρον οὐχ ὑπάλυξε.
Ἡμῶν δ' οὐδ' ἐν ἄποινον ἔχει φθόνος. ὦ μέγα θαῦμα,
Εἴτι δόμοις καὶ βαιὸν ἐπήχλυσεν ἡμετέροισιν.
Ἀχλὺς γὰρ τόδε γ' ἐστὶν ἐτήτυμον, εἴ τις ὄρφνη
Ἱσταμένη τεκέων τε μέσῃ καὶ πατρὸς ἀρίστου.
Τίς τάδε θρηνήσειε γόων πολυΐδριος ἀοιδός.
Πῶς μῦθον προτέροισιν ἐδείμαμεν οἷς παθέεσσι.
Μορφῆς μέν τις ἑῆς ποτ' ἐβράσσετο, καὶ ἐπὶ πηγῆς
Ἠλάθη, καί μιν ἔσοπτρον ἀπώλεσεν εἴδεος ἐσθλοῦ.

Σάρκας

Σαῦρος δ' ὕπο θ' ἑὰς τις ἀπέστυγε. κεῖνο δ' ἄκουσα,
Ὡς μήτηρ φίλον υἷα κατέκτανε μαργοσύνῃσι.
Κτεῖνε μὲν, ὥς τινα θῆρα, τὸ δέρκετο. ὡς δ' ἐνόησε,
Μύρετο οὐκέτι θῆρα, παῖν δ' ὑπὸ χερσὶ δαμέντα.
Καὶ μήτηρ τεκέεσσιν ἑοῖς ἐνὶ φάσγανον ἧκεν,
Ἀμφιχολωσαμένη λεχέων καὶ πατρὸς δράντος.
Καί τινα θηρητῆρα κατ' οὔρεος αὐτ' ἐλάφοιο
Ὠκέες ἐδάσσαντο θοαὶ κύνες, ἃς φιλέεσκε.
Μή σε πάτερ τούτων τιν' ἀριθμήσειεν ἀοιδὸς
Μνωόμενος πατέρων κακίης, καὶ πήματ' ἀέθλων
Ἐν δ' ἄμυ πολέμοιο, καὶ αἵματος ἀλιβίοιο.
Ἄζομ' ἐγὼ, κακίη μὲν ἐμὴ, κακίη δέ τε πατρός.
Πατρὸς δ' ἔστι μᾶλλον, ἐπεὶ καὶ φέρτερός ἐστιν
Ἀμφοτέρων, πολιῇ τε καὶ ἤθεσι κυδαλίμοισιν.
Εἴ τι μὴ κακίη γε, δυσωνυμίη δ' ἀλεγεινή.
Ἥ τε καὶ ἐσθλὸν ἐόντα, χαμαὶ βάλε πολλάκι φῶτα,
Πολλοὶ μὲν γὰρ ἴσασιν ἀληθέα, οὐκ ὀλίγοι δὲ
Δόξαν ἐπισπεύδουσι, τό σε φράζεσθαι ἄνωγα.
Καὶ γὰρ ἅπαντ' ἐθέλω πάντων κρατέειν γενετῆρα,
Καὶ μάλα χωόμενός περ, ἐπεὶ φύσις ὧδε κελεύει,
Καὶ κλέος ἐσθλὸν ἔχοντα μετ' ἀνδράσιν ὕψι φέρεσθαι.
Πῶς σε πάτερ ξεῖνόν τις ἐνηέα φῶτα δοκήσει,
Τοσσάτιον τεκέεσσι χολούμενον, οὓς ἐφύτευσας,
Οὓς ἤρω πότ' ἄνακτι τεοῖς ὑπὸ γούνασι θεῖναι.
Καὶ κλινῇσι γέρηρας ἐπωνυμίῃσι φανέντας.
Πέτρος ἐγὼ, Φωκᾶς δὲ κάσις Χριστοῖο μαθητῶν
Κλήσιον. αὐτὰρ ἔπειτα χόλος καὶ πάντα λέλασται.
Τίς πάτερ, ὡς σὺ φίλεις, τόσον τεκέεσσιν ἑοῖσιν
Ἤπιος ἀρτιγόνοισιν, ἀεξομένοισι δ' ἀπηνής.
Εἰ μὲν δὴ θέμις ἐστὶ θεῷ βροτὸν ἀντιφερίζειν,
Ἢ παλάμας τεκέεσσι, τάχ' ἄν τινα μῦθον ἀνεῦρον
Ἡμετέροις παθέεσσιν ἀρηγόνα. νῦν δὲ τόδ' οἶον
Ῥήξομεν ἡμετέρων στομάτων ἔπος. εἴτε κάκιστοι
Σοί πάτερ, εἴτ' ἀγαθοί, τοῦ σπέρματος ὁ στάχυς ἐστί.
Σὸν κλέος οὗτος ἔγωγε μακάρτατε, σὸν δέ τ' ὄνειδος,
Ἢ καλὸς, ἢ κάκιστος ἐών. τόδε πᾶσι πέφανται,
Στέργειν ἐσθλὸν ἐόντα, κακὸν δ' ὑπὸ χεῖρα δράσσειν.
Οὐδὲ γὰρ ἀρτεμέεσσι τὰ φάρμακα, τοῖς δ' ὑπὸ νούσου
Τειρομένοις ἐπαλγοῦσιν ἀκεστορέειν. οὐδέ τις ὄρνιν
Ἐζόμενον κλαδέεσσι, καὶ ἠέρι ταρσὸν ἰόντα,
Ἧς δ' ἀπὸ τῆλε πεσόντα φίλης ἐλέαιρε καλιῆς.
Ἢ γναμπτοῖς ὀνύχεσσι πεπαρμένον ὠμοβόροιο
Ἴρηκος, καὶ ἐγγὺς ὑποβρύζοντα πόδεσσι.
Εἰ χαίρεις ὄντα κάκιστον, ἑοῖς σπλάγχνοισι γεραίρειν.
Εἰ δ' ἀγαθὸν, τοῦ πατρὸς ἐμοὶ νόμος. οἱ γὰρ ἄριστοι
Καὶ ξείνοις τελέθουσι προσηνέες. οὐδὲ θεοῖο
Ἡ δὲ χάρις τὸν ἄριστον ἔχειν πέλας, ἀλλὰ κάκιστον
Εὐμενέειν, καὶ χερσὶν ἀπὸ χθονὸς ὑψόσ' ἀείρειν.
Οὐδὲ γὰρ ἀπλάστοισι θανὼν θεὸς, εὖτ' ἐπὶ γαῖαν
Ἤλυθε, καὶ θεότητι ἑὸν βροτὸν ἀμφὶς ἔπηξεν,
Ἀλλὰ χαμαιπετέεσσι, καὶ οἳ θάνον ἐξ ἀδάμοιο.
Οὐκ ἀΐεις ὅπα πρότερον, ὡς ἀπὸ πατρὸς
Πλαγχθεὶς μαχλοσύνῃσι πατρώϊα πάντα λαφύξας;
Καί μιν λιμὸς ἔτειρεν ἀλήμονα. ὡς δ' ὑπὸ δῶμα
Πατρὸς ἑοῦ παλίνορσος ἔβη, καὶ γούνασι κάμφθη,

Αἶψα πατὴρ ἐλέαιρε κακὸν πάϊν, αὐχένι χεῖρας
Πλέξατο, δάκρυα χεῦε, καὶ εἰλαπίνῃσι γέραιρε.
Καὶ ποίμνην οἴων τις ἰὼν ἀχρημοσυνεύσας
Ἐσθλὸς, λεῖψεν ἅπαντα, μετ' ἴχνια δ' ἤλυθε κείνης.
Ἣν δέ μιν ἢ κατὰ πρῶνας ἀπέστιβον, ἠὲ καθ' ὕλας
Πλαζομένην εὕρησιν, ἑοῖς ὤμοισιν ἀείρας,
Καγχαλόων δεκάδεσσιν ἐνηρίθμησε φίλῃσι.
Τοῖος ἐμοῦ Χριστοῖο μέγας νόμος, ὃς χθαμαλοῖσιν
Εὐμενέει πάντεσσιν, ὑπερφιάλους ἀθερίζων.
Πολλάκις ἐξαγόρευσις ἁμαρτάδος αὐδῆς ἐσάωσε
Μούνη, καὶ δακρύοισιν ἀπέκλυσε πήματα πικροῖς,
Καὶ ψυχὴν ἐκάθηρε μελαινομένην κακότητι.
Ἑπτάκι πολλάκι τόσσον ἄναξ μάλιστα τ' ἀλιτροῖς,
Ὡς λογίων ἐπάκουσα θεοῦ, καὶ πνεῦμ' ἐδίδαξε.
Τίς Μανασσῆ βασιλῆος ἐν ἀνθρώποισι χερείων;
Τίς δ' ἄρ ἐνὶ πτολίεσσι Νίνου μεγάλοιο πόληος;
Τίς δὲ τελωναίης ἀμέτρου χερός; ἀλλ' ἄρα καὶ τοὺς
Χριστὸς ἄναξ ἐλέαιρεν ὀδυρομένους κακότητα.
Ἀλλὰ τί μοι Χριστοῖο; τί δὲ βροτέοιο πόθοιο,
Τὸν ῥα φύσις τοκέεσσιν ἐπήξατο ἀμφὶ γενέθλην
Καὶ θήρεσσι φιλέουσιν ἑὸν γόνον, εἴπου τ' ἀκάλας
Παρδαλιάς τε, σύας τε, βοῶν τ' ἀγέλην ἑλικώπων,
Ὡς ῥα ποθυβρομένοισι, καὶ ὡς ποτὶ δῆριν ἔχουσι,
Θηρσί τε καὶ μερόπεσσιν ἀπεχθέσιν ἀντιόωντες.
Σοὶ δ' ἄρα καὶ θηρῶν ὀλοώτερος ἔπλετο θυμὸς,
Καὶ μερόπων. δάμασον θυμὸν μέγαν. ἦ σέ γε πέτραι
Ἠλίβατοι θρέψαντο πάτερ φίλε, ἢ σε θάλασσα
Στερροτέρην ἀδάμαντος ἐνὶ φρεσὶ μῆνιν ἔχοντα.
Ἄλλοι μὲν κτεάτεσσι τεοῖς ὑπὸ τέρψιν ἔχουσι,
Ξεῖνοί θ', ἡμεδαποί τε, θεουδέες, ἀφραδέοντες.
Ξυνὸς γὰρ πάντεσσι λιμὴν χατέουσι τέτυκται
Σὸς δόμος. ἡ δὲ τράπεζα, καὶ ἄλσεος Ἀλκινόοιο
Τερπνοτέρη, πλήθουσα φίλοις, πλήθουσα δ' ἐδωδαῖς
Ἠπείρων, χθονίων τε, καὶ ὁππόσα νήχεται ὕδωρ.
Ἡμεῖς δ' ἦμαρ ἐπ' ἦμαρ ἀλλοτρίῃσι θύρῃσιν
Αὐαλέοι, ῥυπαροί, καὶ ἀνέμων ἔνθα καὶ ἔνθα
Πλαζόμεθ'. οὐδέ τις ἐστὶ δύης ἄκος, οὐδὲ πρόσωπον
Σεῖο πάτερ λεύσσοντες ὑπὸ χρόνον εὖτ' ἐχολώθης.
Καὶ μάλα περ ποθέοντες, ὃ καὶ δμώεσσιν ὀπάζεις
Πολλάκι χωόμενός περ, ὃ δὴ πόνος, ἀλλὰ ῥαπίζεις
Ἡ μεθ' ὑπὸ χρειοῖσι δυσάμμοροι. οὐδ' ὀλίγας περ
Λάζαρος ὥς ποτ' ἐκεῖνος ὑπερφιάλοιο τραπέζης
Ψιχάδας ἁρπάζοντες, ὁμὴν κυσὶ δαῖτα φέροντες.
Πολλοὶ μὲν συγγενέεσσι τελοῦσι χάριν, οὐκ ὀλίγοι δὲ
Τίουσιν. μέγα θαῦμα, πατρὸς γέρας υἱέες ἄτιμοι,
Οὓς κοτύλης βαιῆς ἀνέψυξε γοάοντας
Ἄλγος. ἀμφοτέροις γὰρ ἀρηγόνες εἰσὶ χερείους.
Ἄλλοι δ' αὖ οὐδ' ἴσασι τίνες, τίνος. αἰδέομαι γὰρ
Φράζειν καὶ γενετῆρα. δύω γε μὲν ἐδμενέουσιν,
Ὄφρα κεν ἐκφύγωσι δύην, ἢ ἄλκαρ ἔχωσι
Πήμασιν ἐν σφετέροισιν, ὅτ' αἰτία κυμαίνῃσι
Δαίμων, ἀλλοτρίῃσιν ἑὴν τίοντες ὀϊζύν.
Εἴπω μείζονα μῦθον, ἀτὰρ πάτερ ἵλαος ἄκε.
Τόσσον ἄκος παθέεσσι πόροις, μὴ μῦθον ἐρύξῃς.
Ἄλλοις μὲν τεκέεσσι πατὴρ καὶ ἤπιος ἐσσί

Τόσον, ὅσον τ' ἐπέοικε θεοῦ παρὸς ἐκγεγαῶτα.
Οὐ φθόνος. οὐ γὰρ ἔοικε κασιγνήτοισι μεγαίρειν.
Θρέψας ἐν θαλάμοισι δροσώδεας, ὀρῦ' ἐδίδαξας.
Εὐγενέος παλάμῃσι δ' ἔπλασας ἤθεα κεδνά,
Θηλυτέρης χείρεσσιν ὑπὸ προπόδεσσι γάμοιο.
Ἐσθλοὺς ἄνδρας ὤπασας, ἐν πτολίεσσι γέραιρας.
Μοῖραν ἑὴν ἑκάστων ἀπεδάσσαο χειρὶ παχείῃ.
Ἡμᾶς δ' οὓς σὺ φύτευσας ἴσης ἀπὸ μητρὸς ἀρίστης,
Ἣν σ' ἔτι δακρυχέοντα πάτερ φίλε πολλάκι λεύσσω
Εὐσεβίη, πάντεσσιν ἐπὶ χθονίοισιν ἀγητή,
Πρωτογόνους ἡμᾶς, ὃ παρ᾽ ἄσιν δὴ μέγιστον,
Τόσσον ἀπεχθαίρεις, καὶ δώματος ἐκτὸς ἐλαύνεις,
Ὁσσάτιον κείνοισιν ἐνὶ κέα θυμὸν ἔδειξας.
Φθέγξομαι οὐκ ἐθέλων μέν, ἀτὰρ λόγον ἔκποθι ῥήξω,
Ὄφρα με μὴ ῥήξειεν ἐεργόμενος πραπίδεσσιν.
Ἦν θάλαμος, καὶ δεῖπνα γαμήλια. πάντα γεγήθει,
Ἕδνα, λόγοι θαλάμων, καὶ ἀθύρματα τερπνὰ γάμοιο.
Πολλοὶ μὲν θαλέθοντες ἀφ' αἵματος, οὐκ ὀλίγοι δὲ
Γείτονες, οἵ τε ἄνακτες ἐν ἔργεσι κῦδος ἔχοντες,
Δαῖτα γάμου τίοντες, ἀγακλειτοί θ' ἱερῆες
Εὐχαῖς καὶ στεφέεσσιν ὁμόζυγον συνάγοντες.
Καί ῥ' οἱ μὲν πάλλοντο καλὸν περὶ κοῦρον ἑταῖροι,
Νυμφίον ὑμνέοντες ἐοικότα ὄρνεϊ καλῷ.
Οἱ δ' ἄρα παρθενικὴν ἑλικώπιδα πορσύνοντες
Ἐς γάμον ἱερόεντα, πατὴρ δ' ἐπετέρπετο παισίν.
Ἡμεῖς δ' ὡς θήρεσσιν ἐοικότες ἢ σύεσσιν,
Ἢ μορφὴν ὀλέσαντες ἀπηνέϊ δαίμονος αἴσῃ,
Εἰρχθέντες κατὰ δῶμα κασιγνήτης ἀπάνευθεν,
Ἡρ ἀμενοῦθ' ὅτι λυπρὸν ἀλθόμενοι εἶδμα βίοιο.
Ὡς ὄφελον μὴ μητρὸς ἐνὶ σπλάγχνοισι παγῆναι,
Ἠὲ θανεῖν ἀτελὴς ἐν ὠδίνεσσι τοκῆος.
Εἰ δὲ πύλας ἐπέρησα, καὶ ἤλυσα πνεῦμα μόροιο,
Κλαυθμὸν ἐμοὶ τὸ πρῶτον ἐμοῦ θανάτοιο γενέθλης
Δάκρυον, οὐκ ἂν ἔγωγε τόσοις ἐνέκυρσα κακοῖσιν.
Ἓν δὲ τόδ' αἰάζω περιώσιον. ἦ γὰρ ἀοιδῆς
Ἴδρις ἐών, ποθέων τε γάμον καὶ λέκτρον ἀεῖσαι
Αὐτοκασιγνήτης, πάντων ὀλοώτατε δαῖμον,
Καὶ θαλάμου μελέεσσι παρὸς χόλον ἐξακέσασθαι,
Καὶ τοῦδ' ὥς τις ἀλιτρὸς ἀπήμπλακον. ἄλλος ἀείσει
Κάλλος ἐμόν, ξανθοῖσιν ὑπὸ πλοκάμοισι μέλαιναν
Ὀφρὺν ὑπερτέλλουσαν ὑπ' ἀργυρέῃσι παρειαῖς.
Ἕσπερον εἴρυσεν ἄλλος, ἑωσφόρον ἄλλος ἄεισεν,
Οὐδ' ἀγαθός τις ἀοιδός, ἐγὼ δ' ἀγέραστος, ἄναυδος,
Γηθέος ἐσσόμενος κείμην νέφος. οὐδ' ὅσον ἠχὼ
Ῥομβρίας μέλποντος ἐν οὔρεσι Πανὸς ἀοιδάς,
Ἀκρωνυστρόφον ἀπὸ σκοπέλων χέον αὐδήν.
Κλαύσω πρωτοτόκον ἐπέων μόρον. οὐκ ἔτ' ἀείσω.
Ἔρρετέ μοι βίβλοι πολυηχέες. ἔρρετε μοῦσαι.
Τίς χάρις, εἰ μὴ παρὸς ἐν οὔασι κεῖσετ' ἀοιδή,
Εἰ μὴ καὶ Ὀρφεύς τις ἐν ὀδρυσίοις σκοπέλοισι
Λᾶας ἄγοι, καὶ θῆρας ἀπὸ προθέει καὶ πετεινά;
Δώσω καὶ τόδε σοι μογερὲ φθόνε. λήξατ' ἀοιδαί.
Μή σοι τοῖα φέροιτε θεός, μηδ' ὅς τις ἑταῖρος
Ἀντιταλαντεύσειε. δῖος δ' ἔμε καὶ τόδ' ὄρινε.
Οὐδ' ἡμᾶς φιλέεις μέγα φέρτατε, οὔτε θύγατρας,
Τὰς νῦν ἐν παλάμῃσι φέρεις, καὶ ὕψος' ἀείρεις.
Ἡμῖν μὲν σεῖο δῶμα, φίλων τ' ἀπέκλεισας ὀπωπήν.
Ταῖς δ' ἄρα πᾶσιν ἔθηκας ἀπεχθέας. οὐκ ἐθέλει γὰρ
Χριστὸς ἄναξ τεκέων, ὑπὲρ ἢ πατέρ' ἤπιον εἶναι,
Τῷ δὲ βαρυφρονέοντα, καὶ ἀντιρέποντι ταλάντῳ.
Πολλάκι στεργομένοισιν ἐπιβρίθει κακότητα
Ἐκ πατέρων ἐπὶ παῖδας ἄγων χόλον ἧς ἀναδέχου.
Ταῦτα μὲν εἰς πόντοιο πέσοι βυθόν, ἡμετέρων δὲ
Δώματος ἐκτὸς ἴοι, μηδ' ἄλγεσιν ἄλγος ἔποιτο.
Καὶ τόδ' ἅλις τεκέεσσιν ἐπὶ πρώτοισιν ὀρινύς.
Σοὶ δὲ πάτερ πάντων μὲν ὅσοι τελέθουσι τοκῆες
Καὶ παίδων, κοτέουσιν ἀμείλιχον ἦτορ ἔχοντι.
Ῥῆξις γὰρ βιότοιο παρὸς μόθος, ὃν συνέδησε
Συζυγίη τε, πόθος τε, κακὰ δ' ἐκέδασσεν ἐνυώ.
Πάντων δ' ἦ μέγαν οἶκτον ἐνὶ σπλάγχνοισι φέρουσι,
Ἢ τὸ θεοῦ ῥέξαντες ἐπάξιον, ἢ παθόντες.
Ἔξοχα δ' αὖθ' ἱερῆας, ὅσους δώροισι γεραίρεις,
Καὶ τίεις μεγάροισιν, ἀτιμάζεις δ' ἀπεόντας,
Πολλάκι καὶ παρεόντας, ἐπεί σε γε προφασίησιν
Οὐκ οἷον μαλακοῦσι, καὶ εὐμενέουσι προσώπεις,
Ἀλλ' οἷω καὶ στερεοῖσιν ἐπ' εὐφυσι λόγοισι.
Γρηγορίῳ πρώτιστον ὁμωνυμίῃ τε βίῳ τε
Συζυγίᾳ σωμάτεσσιν ὀρεγομένην θεότητα.
Βοσπόριος δ' ἄρ' ἔπειτα καὶ Ἀμφίλοχος, μεγάθυμοι,
Οἷς ἄρα καὶ συνεργῇ νόσων ὑποδάμνατ' αἰνή
Εὐχαῖς τε, τριάδος τε σεβάσμασι, καὶ θυέεσσι.
Σοὶ δ' οὔτ' εὐχωλὴ κάμπτει φρένας, οὔτε θυηλή.
Οὐδὲ μὲν ἀθλοφόροισι δίδως χάριν, οὓς σὺ γεραίρειν
Εἰς ἔτος ἐξ ἔτεος μεγάλῃ καὶ ἀπείρονι χειρί,
Βάμασι καὶ δώροισι, καὶ ἀλαπίνῃσι, χορείαις,
Καὶ πολλοῖς κρητῆρσι μεθύσματος ἡδυπότοιο,
Καὶ μεγάλαις σπουδαῖσι θεοῦ νόμον ὧδ' ἐθείζας.
Κρεῖσσον βαιὰ φέροντα θεῷ κραδίην ἱερεύειν,
Ἢ πᾶσιν θυέεσσι νόου ξυνόωντι γεραίρειν.
Οὐ μὲν γάρ τι θεοῖο ἐπάξιον. οὐδ' ὁπόσα χθὼν
Ἠδὲ φέρει μερόπεσσι, καὶ οὐρανὸς ἠδὲ θάλασσα.
Καὶ γὰρ ἅπαντα θεοῖο. τί κεν βροτὸς ἔκποθεν εὕροι.
Μούνης δὲ ψυχῆς καθαρὸν θύος, ᾧ τις ἄνολβος,
Πολλάκι καὶ πολύολβον ὑπερθρέξας προσάμειψεν.
Αἰδέομαι καὶ τήνδε πάτερ μεγαλήτορα Βηλώ,
Ἣ πολλὰς προέθρεξας ὑπ' ἐννεσίῃσι θεοῖο.
Οὐκ οἴη μερόπεσσιν ἐν δειλοῖσι γενέθλη,
Ἐρχομένη σαρκῶν τε καὶ αἵματος, οἷα βροτοῖσιν
Ἐνθάδε τικτομένοισι, καὶ ὀλλυμένοισι τάχιστα.
Τοίη μὲν πρώτιστον, ἔπειτα δὲ πνεύματος ἁγνοῦ,
Εὗτε λοεσσαμένοισι δι' ὕδατος ἤλυθεν αἴγλη.
Ἡ δὲ τρίτη, δακρύων τε καὶ ἄλγεος ἡμετέροιο
Εἰκόν' ἀεξύνουσα μελαινομένην κακότητι.
Τάων τὴν μὲν ἔχεις πατέρων ἄπο, τὴν δὲ θεοῖο.
Τῆς δ' αὐτὸς γενέτης βιότῳ φάος ἐσθλὸν ὀπάζων,
Ῥήξας δεσμὰ βίου, καὶ ἰλύος ἐκτὸς ἔθηκας
Σὸν πόδα, καὶ σοδόμων ἔφυγες πυρόεσσαν ἀπειλήν,
Κἂν χθαμαλῶν πεδίων σε φίλη δεδέξατο σηγώρ,
Μηκέτι παπταίνοντα πρὸς ἄστεα τεφρωθέντα.
Πάντων δὲ κτεάνων ἓν μάργαρον ἐσθλὸν ἔλεξω

Ἐχαλὺς

Ἐχαλεῦ, χριστόν τε νόον τε σὸν ἁγνὸν ἀγείρας.
Καὶ νεφέλην καθύπερθεν ἐφέσσαο ἄνδιχα κόσμου
Τεμνόμενος χθονίοιο, μέσον δέ τε τεῖχος ἐγείρας.
Γαστέρος ὕβριν ἔπαυσας ἀπληρώτοιο βερέθρου.
Θώκους ὀφρυόεντας ἀπέπτυσας, οἶδ' ἀλίον τε
Ὄγκον ἀγλωσσείης κενεαυχέα ῥίψας ἔδραξε,
Οἷόν σοι κλέος ἐστὶ θεὸς μέγας, ἀνδρομέου τε
Αἵματος εὐσεβέων μὲν ἀρείονα. εἶξεν ἅπαντα
Σταυρῷ, τῷ προσέπηξας ἄγων λαΐτορα κόσμον.
Ὕμνοις παννυχίοισι καὶ ἠματίοισιν ἀοιδαῖς
Μέλπεις οὐρανίοιο τριλαμπέα πνεύματος αἴγλην.
Ταῦτα μὲν ἐσθλὰ πάτερ, καὶ τέρματος ἄξιον ἀρίστου.
Τέρμα δέ μοι θεὸς ἐστὶ νοούμενος, ὃν κ' ἔτ' ὀπίσσω.
Μοῦνος δ' ἐν σοῖς ἔμιμνε χόλος καὶ ἀηδὴς ὄλεθρος,
Δάπτων οἷα σίδηρον ἀτειρέα λάθριος ἰός,
Ἢ χόλῳ βαρύποτμος ἀπεσσυτέοιο δράκοντος.
Ὃς καὶ πρωτογόνους γεύσει βάλεν ἐκ παραδείσου
Βαιῇ, καὶ θεότητος φθονέων, ὡς πέσεν αὐτός.
Ἀλλὰ πάτερ δάμασον δ' αἰνὸν χόλον. ἔστι καὶ ἡμῖν
Χριστὸς ἄναξ, χαρίεις δὲ καὶ αὐτὸς ξυμμενέοντος.
Τοῖος σοῖς τεκέεσσι πέλοις πάτερ ἀφραδέεσσιν,
Οἷον ἂν ἀρήσαιο θεὸν σέο πήμασιν εὑρεῖν,
Εἴποτέ σοι βαρύμηνις ἀπαντήσειεν ἀνίη.
Οὐκ οἶος μερόπων γενέτης ἔφυς, ὅτε σε μοῦνον
Παίδων ἀνιάζουσιν ἀπειθέων. οἶδα ἔγωγε
Πολλάκι καὶ στυγεροῖσι κακοῖς εἴκοντα τοκῆα
Παιδὸς ἀτασθαλέοντος. ὁ μὲν πτωχοῖσιν ἄμικτος,
Ὃς δ' ὀλοοῖσι πότοισι, καὶ αἰθομένοισιν ἔρωσιν,
Οἳ δόμον ἐξαλάπαξαν, ὁ δ' ἤλυθε καὶ περὶ πατρὸς
Ἀντιβίοις ἐπέεσσι. χέρας δ' ἤειρεν ὀρινθείς.
Ἀλλ' ἔμπης καὶ τοῖσι πατὴρ χόλον ἐσθλὸς ἔπεμψε.
Γραπτῶν γὰρ βασίλεια νόμων ἀδίδακτος ἀνάγκη.
Ἥ ῥά τε καὶ τοκέεσσιν ἐφ' υἱάσι θυμὸν ἰαίνει,
Πολλὰ μὲν ὧν λεύσσουσιν, ἐπεὶ ῥ' ἐθέλουσιν ἀλεῦσαι.
Πολλὰ δ' ἀνηκουστοῦσιν ἐν οὔασιν εἶσιν ἔχοντες,
Ὄφρα κε μὴ θράσος αἰνὸν ἀπορρήξειεν ἔλεγχος,
Αἰδῶ τὴν τοκέων ἐσθλὴν ἐπίκουρον ἐλέγξας.
Τίκτει γὰρ θράσος ὕβρις, ἐνηὴν δέ τε φειδώ,
Καὶ τεκέεσσι μάλιστα, ἐπεὶ κλέος ἐγγὺς ἐχόντων,
Οὐ χερὸς ἀκαθίσσι βίη, πειθοῦς δέ γε δαμεῖς.
Φλὸξ καλάμης τεκέεσσι πατρὸς χόλος αὐτίκα λήγων.
Θυμὸς γλῶσσαν ἔφλεξεν, ὃ δ' ἔσβεσεν οἶκτος ὑποφθάς.
Ἀρὴν ἐν προΐηκε, νόος δ' ἐφθέγξατ' ἀρωγήν.
Ἀχθεῖ χεῖρας ἄειρε, καὶ ἄλγει κλαῦσε περιχῶν.
Δαυίδ, ὃς βασιλεῦσι μετέπρεπεν Ἀβραμίδῃσι,
Πᾶσι μὲν ἤπιος ἦε, τόσον δέ τε παισὶν ἑοῖσιν,
Ὡς καὶ πατροφόνοισι χόλον καὶ κήδεα πέσσειν.
Τειμαίρου βασιλῆϊ τ' αἰτία θωρηχθέντα,
Οἷον θ' ἡμιόνου τε, θανόνθ' ὑπὸ δάσκιον ὕλην,
Οὐκ οἷον θρήνοισιν ἐκλαύσατο, ὥς τιν' ἄριστον,
Ἀλλὰ καὶ ἀγγείλαντι δίκην ἐπέθηκε φονῆος.
Τῶν δ' ὦ κακόβουλε, πόσον κακόν, ἤ τι πεπονθώς,
Ὧδε χόλον ἀδάμαστον ἐνὶ φρεσὶ σῇσιν ἀέξεις;
Οὔτε σε πατρῴης ἀπεμείρομεν οὐδ' ἀνατιμῆς,
Οὐδὲ μὲν αἰσχύνουσιν ἐπιγάομεν σέο χώρης,
Οὐδὲ βοῶν ἀγέλαις, οὐ ποίμνῃσιν, οὐδὲ μὲν ἵπποις.
Οὐδὲ λέχος ἐπέβημεν, ὃ μὴ φίλον, ἀφραδέοντες.
Οὐδὲ δόλον φρασάμεσθα τεῷ ἀνδράσι δυσμενέεσσι.
Ταῦτα γὰρ εἴ τι χόλοιο φέρει πάτερ, οὐ νεμεσητόν.
Ἐν σέο παισὶ κάκιστον, ἀρειοτέροιο τοκῆος
Χείρονας ἐκφαίνεσθαι. ὃς οὔ τινι πρῶτα λέλοιπας
Εἶδός τε, μέγεθός τε. λόγος δ' οὐκ εὔδρομος ἡμῖν.
Γλῶσσα δὲ δειμὸν ἔχει. τίπτ' ἤλιτον. ἢ σὺ φέριστε
Οὐκ ἐθέλοιμι τεκέεσσιν ἀρείονα φύσιν ὀπάσσαι.
Στήσομεν ἐνθάδε μῦθον. ἄναξ πάτερ, ὦ μέγιστε,
Δὸς χέρα, καὶ νεύσειας ἐμοὶ πατὴρ ἵλαον εἶναι.
Ἠνίδε καὶ χείρεσσι γενειάδος, ἠνίδε γούνων
Ἁπτόμεθ' ὥστε θεοῖο. θεοῦ δ' ὅπως ἀντιάσαιμεν
Οὐ γάμον, οὐδέ γε πλοῦτον ἐοικότα, οὐ δόμον αἰπεινόν
Αἰτεόμεν. δὸς χεῖρα, καὶ εὐμενέουσαν ὀπωπήν.
Μῆτερ ἐμή, σὺ δ' ἐμοί γε καὶ ἐννυχίοισιν ὀνείροις
Πατρὶ παρισταμένη, λιταῖς χόλον ἐγκεράσασα,
Μνωομένη λεχέων τε, ὁμοζυγίης τ' ὀαριστῆς,
Λίσσεο σοῖς τεκέεσσι τεὸν πόσιν ἵλαον εἶναι.
Καὶ μολπῆς κόρος ἐστί, καὶ ἀργαλέου πολέμοιο.
Εἰ μὲν δὴ πεπίθοιμι, κακῶν ἅλις. εἰ δ' ἀπιθήσαις,
Καὶ τεκέων θεὸς ἐστιν, ἀλησόμεθ' ὡς τὸ πάροιθεν.
Σὸν κλέος, εἴ τε λιποίμεθ' ἀκηδέες, εἴτε θάνοιμεν.
Δάκρυα πατρὸς ἔχοιμεν ἂν ὕστερον εὐμενέοντος.

ΕΙΣ ΕΥΓΕΝΗ ΔΥΣΤΡΟΠΟΝ.

Αἵματος ἐξ ἀγαθοῦ τίς, ἅπαν κακόν. ἀνδρὶ γένος
Οὐ τῶν εὐπατέρων, τἄλλα δὲ θαυμασίων. (Μὴ
Γράφε σὺ τὸ γένος. καὶ ὃς μάλα ἡδὺ γελάσσας,
Εἶπε λόγον μνήμης ἄξιον, ὡς τὸ γένος
Ἐστὶν ὄνειδος ἐμοί γε, γένει δὲ σύ. τοῦτο φύλασσε
Ὡς μὴ τῆς ἀρετῆς ἄλλο τι πρόσθεν ἄγοις
Εἴ σε τίς τὸ δυσειδὲς ἐκερτόμησεν, ἢ τὸ δυσῶδες,
Εἶπεν ἂν ὡς ὁ πατὴρ ἦν καλός, ἢ μυρόπνους;
Εἰ δέ σε τίς ὡς δειλὸν ἐπέσκωψεν, καὶ ἄνανδρον,
Ὡς πρόγονοι πολλὰς εἷλον ὀλυμπιάδας;
Οὕτως ἄν σε κακόν τις ἐλέγχει καὶ ἀνόητον,
Μή μοι τοὺς πατέρας, μηδὲ τὰ νεκρὰ λέγε.
Χρυσόδετον κιθάρην τις ἔχων, ἔκρεξε κάκιστον.
Ἄλλος ἀπ' εἰκαίης, εὐγενὲς ἦκε μέλος.
Τίς τούτων ὦ λῷστε ἀμείνων σοι κιθαριστής;
Ὃς σώζει τεχνικοῖς κρούμασιν ἁρμονίας.
Ἀλλὰ σὺ χρυσῶν μὲν πατέρων ἔφυς, ὥς σε λέγουσιν,
Αὐτὸς δ' οὐκ ἀγαθός. εἶτα μέγα φρονέεις;
Τοῦτο λαμπρόν σοι γένος ἐστίν, οἱ πρὸ παλαιοί
Νεκροί, καὶ μύθων πλάσματα, καὶ γραΐδες;
Παίζεις. πρός σε δ' ἐγώ γε βλέπω μόνον, εἰ δίκαιος εἶς
Ἢ κακός. ἡ δ' ἀρχή, πηλὸς ἅπαντες ἴσος.
Δέρματα πάντες ὅμοια, φυσώμεθα δ' οἱ μετέωροι,
Πλούτῳ καὶ δόξῃ, καὶ πατράσι μεγάλοις.
Ὥστε τί μοι τὰ περισσά. πατήρ, γένος. ὅτι με μῦθοι
Τέρπουσ', ὅτε τάφοι. ἀλλ' ἀγαθὴ πρός σε βλέπω.
Εἷς χοῦς πάντες, ἑνὸς πλάσις γένος. ἡ δὲ τυραννὶς
Εἰς δύο τὰ θνητῶν ἔσχισεν, οὐχὶ φύσις.
Δοῦλος ἐμοὶ πᾶς σκαιός. ἐλεύθερος, ὅς τις ἄριστος.
Εἰ δὲ σὺ τῦφον ἔχεις, τοῦτο τί πρὸς τὸ γένος;

Ἡμιόνοις τί πατὴρ, πόθ᾽ ὁ κάνθων ἐστὶν ὄνειος
Οὐδὲν. τίς δ᾽ ἔτ᾽ ὄνοις δόξα παρ᾽ ἡμιόνων.
Οἱ δ᾽ ἄρ᾽ ἐπὶ τίκτουσι, καὶ ὡς ῥίπτουσι νεοσσούς.
Ὥστε τί μοι πατέρας σαυτὸν ἀφεὶς σὺ λέγεις.
Κρεῖσσον ἀριστεύοντα κακὸν γένος, ἢ κάκιστον
Ἔμμεναι εὐγενέτην. καὶ ῥόδον ἐκ βραχίου
Ἐβλάστησε φυτοῖο. ῥόδον μὲν, εἰ δ᾽ ἀπὸ γαίης
Ἦλθεν ἄκανθ᾽ ἀπηλῶς, τοῦ πυρὸς ἄξιος ὤν.
Πῶς σὺ κάκιστος ἐὼν, πόσσον φρονέεις προγόνοισιν
Ὦ κάνθων μυλικὲ, ἵππιον ὕψος ἔχων.

ΕΝΟΔΙΑ.

Χριστὲ ἄναξ, ὃς πάντα πέλεις βίοτον μερόπεσσιν
Ἐσθλὰ, καὶ ἐν πάντεσσιν ὁδὸς ἰθεῖα τέτυξαι.
Ὃς πνοιὴ καὶ νεφέλη στρατὸν ἤγαγες, ὅσσον ὁδὸν εὗρεν
Ἐν πελάγει τμηθέντι φίλοις. Φαραὼ δ᾽ ἐκάλυψας.
Ἄρτον δ᾽ οὐρανόθεν ξεῖνον ὤπασας. ἐκ δ᾽ ἄρα πέτρας
Ἔβλυσας ἀκροτόμοιο ῥόον. μέγα θαῦμ᾽ ἐν δρόμῳ
Δυσμενέων ἀνδρῶν στησάμενος, εὖτε δ᾽ ἔχε
Σταυρὸν ὑποσκιάων Μωσῆς χέρας, ἄλκαρ ἑμεῖο.
Μήνη δ᾽ ἠέλιός τε δρόμον σχέθον. ὡς δὲ ῥέεθρον
Εἶρξεν ἐπειγομένοισιν, ὁδὸς δ᾽ ἦν γαῖαν ἐτύχθη
Ῥεῖα δίη, τὴν αὐτὸς ὑπείχετο, καὶ κατέδυσας.
Αὐτὸς δ᾽ οὐρανίην οἶμον μερόπεσσιν ἔδειξας
Ὕστατον, ἀρχαίην δὲ νέην ἐπέμιξας ἀταρπὸν,
Εὖτε θεὸς θνητός τε κραθεὶς, ὤφθη γαῖαν ὁδεύσας
Ἡμετέρην, αὖθις δὲ πρὸς οὐρανὸν ἔνθεν ἀερθεὶς,
Ἴξε τελειομένοισι φαάντερος, ἢ τὸ πάροιθεν.
Αὐτὸς καὶ πελάγους ἐπεβήσαο. σοῖς δὲ πόδεσσιν,
Οἴδματα πίσυνε χαλεποῖσι βιαζόμενον ἀνέμοισιν.
Ἀλλὰ μάκαρ, καὶ ἐμοὶ συνέμπορος ἐλθὲ καλεῦντι
Σήμερον. εὐοδίην δὲ πόροις, καὶ ἄγγελον ἐσθλὸν,
Πομπὸν, ἀλεξητῆρα, βοηθόον, ὄφρα με πάντων
Ἠματίων νυχίων τε κακῶν ἄποτηλόθ᾽ ἐέργῃ,
Καὶ τέλος ἐσθλὸν ὁδοῖο χαριζόμενος μογέοντι,
Οἴκοθεν ἀρτεμέοντα, καὶ οἴκαδε με αὖθις ἄγοι,
Πηοῖσίν τε, φίλοις τε ὁμὸν βίον ἀμφιέπουσιν.
Ἔνθά σε νύκτα καὶ ἦμαρ ἐλεύθερος, ἀτρεμέων τε
Αἰὲν ὑμνείω, κακότητος ἀμιγέα σοὶ βίον ἕλκων.
Σοί τε νόον πτερόεντα βίου φάος αἰὲν ἀείρων,
Μέσφ᾽ ὅτε καὶ πυμάτην ξυνὴν ὁδὸν ἐξανύσαιμι,
Ἐς δὲ μονὴν ἔλθοιμι μόγου τέλος εὐσεβέεσσι.
Σοὶ ζῶ. σοὶ λαλέω. σοὶ δ᾽ ἵζομαι, ὦ ἄνα Χριστέ.
Σοὶ δ᾽ ἄχθος πολλὸς ἐγὼ, ἐπεὶ σύ με χειρὶ καλύπτεις.
Ἀλλά με καὶ νῦν ἄγοις ἐσθλὸν ἐπὶ τέρμα πορείης.

ΕΙΣ ΤΗΝ ΕΝ ΝΗΣΤΕΙΑΙΣ σιωπήν.

(γῆς

Ἴσχεο γλῶσσα φίλη, σὺ δέ μοι γραφὶς ἐγγράφε σι
Ῥήματα, καὶ φθέγγου ὄμμασι, τὰ κραδίης.
Ἡνίκα σάρκας ἔδησα θεοῦ βροτέοις παθέεσσι
Μύστιν ἄγων θυσίην, ὥς κε θάνω βιότῳ
Ἤμασι τεσσαράκοντα, νόμοις Χριστοῦ βασιλῆος
Εὖτε καθαιρομένοις σώμασιν ἔασιν ἄκος.
Πρῶτα μὲν ἀτρεμέην νόον ἤδρασα, οἷος ἀπ᾽ ἄλλων
Ναιετάων, ἀχέων ἀχλὺν ἐφεσσάμενος,
Εἴσω πᾶς ἑαλῶς φρένας ἄκλοπος, αὐτὰρ ἔπειτα

Ἀνδρῶν εὐαγέων δόγμασιν ἑσπόμενος,
Χείλεσι θῆκα θύρετρα. τὸ δ᾽ αἴτιον, ὥς κε μάθοιμι
Μύθων μέτρα φέρειν, παντὸς ἐπικρατέων.
Καὶ γάρ τις πλεόνεσσιν ἐπ᾽ ἀνδράσι θοῦρον ἀείρων
Ἔγχος, παυροτέρους ῥηϊδίως δαμάσει.
Καὶ πτερόεντα βέλεμνα ὃς εὐσκοπα τηλόθε βάλλει,
Οὔποτε ῥοιζήσει ἄσκοπον ἀσσοτέρω.
Νῆα δὲ πεντηκόντορον, ἐπὴν μέγα λαῖτμα περήσῃ,
Πέμπειν θαρσαλέον βαιὸν ὑπὲρ λιμένων.
Ὃς μὲν γὰρ μικρῶν κρατέει, μεγάλων ἀΐδηλον
Εἶπεθ᾽ ὑπερχώσει, καὶ μάλα περ ποθέων.
Ὃς δὲ μέγα προφέρει, τὸ δ᾽ ἀριφραδὲς, ὡς ἄρα τυτθῶν
Ἔξει ῥηϊδίως, εὖτε θέλοι, κράτος.
Τούνεκα πάμπαν ἔδησα λόγου μένος. ἦ γὰρ ἔολπα
Μηκέθ᾽ ὑπερβλύζειν μῦθον ἐμῶν στομάτων,
Ὡς οὐδὲν γλώσσης ὀλοώτερον ἐστὶ βροτοῖσιν.
Ἵππος ἀεὶ προθέων, ὅπλον ἑτοιμότατον.
Λεύσσει μέν τις ἅπαντα, τὰ δ᾽ ἐν ποσὶ χεῖρες ἔχουσι
Βαιὰ μάλ᾽, οὐδὲ πόδεσσιν ἅπαν ἐπήλυθον ὅλην.
Μόχθος ἀνδροφόνοισι, μοιχοὶ δ᾽ ἔτι καὶ προπίεσσι
Λύσσαν ἑὴν, κλέπταις ἦμαρ ἀπευκτότατον.
Γλῶττος δ᾽ οὐ καμόγητος. ἔχω τὸ μὲν, ὤλεσα δ᾽ ἄλλο,
Τόσσα πέδαις φίγγων, ὅσσα ῥόον παλάμῃ.
Νοῦς δ᾽ ὁδοιπορίῃ λαϊστροφος, ἄλλος ἄπληστος,
Ὄμματα πικρὰ φέρων ἀλλοτρίοις κτεάνοις.
Τόσσα φιλοχρύσοισι προσαντέα πᾶσιν ἔπεισι,
Μόχθος χειροτέροις, μόχθος ἀρειοτέροις.
Γλῶσσαν δ᾽ οὐδὲν ἔρυξεν ἐπειγομένην ἐπὶ μῦθον,
Οὐ βροτὸς, οὐ νιφετὸς, οὐ ῥόος, οὐ σκόπελος.
Ἐγγὺς ὁ τοξευτὴς, τόξου δ᾽ ἔπι πικρὸς ὀϊστός.
Νευρὴ κύκλον ἄγει δάκτυλον ἐπὶ γλυφίσι.
Νοῦς ἀφέηκε βέλεμνα. τὰ δ᾽ ἔπτατο. πάντα δὲ βάλλει,
Οὐρανίους, χθονίους, ζῶντας, ἀπεσβομένους.
Ὅσσοι μὲν δοκέουσι, καὶ οὐ δοκέοντας ὁμοίως
Ἐσθλοὺς ἠδὲ κακοὺς, δυσμενέας, φιλίους,
Τηλόθεν, ἐγγὺς ἐόντας. ἀπὸ σκοπόν. οὐδὲν ὀϊστῷ
Τὴν δὲ κεν αἰχμάζων, πρῶτα φέρει βοτίης.
Πολλὰ μὲν αἰσχρὰ μάχλοισιν ἐρεύγεται, ὥστε γελοῖος
Αὐτὸς ἐὼν, ἀνθρώποις βρῶσμα γέλωτος ἄγει,
Παλλόμενος, πάλλων τε, καὶ εἰκόνα θεῖαν ἀτίζων.
Πολλὰ δὲ τῶν κρυπτῶν οὔασιν ἐξεμέει.
Πολλάκι δ᾽ αὖτε χόλοιο δυσαεῖος ἄγριον ἀφρὸν
Ἐκτὸς ἀπεσκέδασεν πᾶσαν ἐπ᾽ εὐβολίην.
Πολλάκι δ᾽ αὖ λοχόωντι φέρει χάριν ἔνδοθι θυμῷ,
Καὶ κραδίης ἑτέρης χεύεσιν ἄλλα φέρει,
Ψεύδεά θ᾽ αἱμυλίους τε λόγους, ἀνδροκτασίας τε.
Τίς κεν ἅπαντα λέγοι, ἦ δ᾽ ὅσα λυγρὰ πέλει.
Ἐχθρὸν ἔθηκ᾽ ἐθέλουσα δῆμον δήμῳ, ἄστει δ᾽ ἄστυ.
Αὐτίκα μηδ᾽ ἐν ὅλοις γλῶσσα πονευμένη
Δῆμον κοιρανέοντα, ἀνασσομένοισιν ἄνακτα,
Ὡς ἀνεμος καλάμους ὦκα ῥιπιζομένους.
Σύμπλοον, υἱέα, τοκῆα, κάσιν, φίλον εὔνιν, ἀκοίτην,
Πάντας ἐπ᾽ ἀλλήλοις ὥπλισε ῥηϊδίως.
Τὸν κακὸν, ἐσθλὸν ἔθηκε. τὸν ἔμπαλιν ὤλεσεν ἐσθλόν.
Τοῦτ᾽ ἀνέζευξε πάλιν, τίς δυνάσθ᾽ ὅσα λόγος.

Βαιὰ

Βαιὸν μὲν γλῶσσ' ὄζειν, ἀτὰρ ἄγριος ἔνδοθι πόσσιν.
Αἴθ' ὄφελε θνήσκειν αὐτίκα τοῖσι κακοῖς.
Πᾶσιν μὲν δὴ γλῶσσα πέλει κακὸν ἀφραδέουσιν.
Ἔξοχα δ' αὖ μύσταις, οὐρανίης θυσίης.
Ὄργανόν εἰμι θεοῖο, καὶ εὐκρέκτοις μελέεσσιν
Ὕμνον ἄνακτι φέρω, τῷ πᾶν ὑποτρομέει.
Μέλπω δ' οὐ Τροίην, οὐκ εὔπλοον οἷά τις Ἀργώ,
Οὐδὲ συὸς κεφαλήν, οὐ πολὺν Ἡρακλέα,
Οὐ γῆς εὐρέα κύκλα, ὅπως πελάγεσσιν ἀρήρει,
Οὐκ αὐγὰς λιθάκων, οὐ δρόμον οὐρανίων.
Οὐδὲ πόθων μέλπω μανίην, καὶ κάλλος ἐφήβων,
Οἷσι λύρη μαλακὸν κρούετ' ἐπὶ προτέρων.
Μέλπω δ' ὑψιμέδοντα θεὸν μέγαν, ἠδὲ φαεινῆς
Εἰς ἓν ἀγειρομένης λάμψιν ἐμῆς τριάδος.
Ἀγγελικῶν τε χορῶν μεγάλους ἐριαύχεας ὕμνους,
Πλησίον ἑσταότων ἢ ὄπος αὐτίθετον.
Κόσμου θ' ἁρμονίην, καὶ κρείσσονα τῆς προτέροιο,
Ἣν δοκέω, πάντων εἰς ἓν ἐπαγομένων.
Καὶ Χριστοῦ παθέων κλέος ἄφθιτον, οἷς μ' ἐθέωσεν,
Ἀνδρομέην μορφὴν οὐρανίῃ κεράσας.
Μέλπω μῖξιν ἐμήν. οὐ γὰρ φάτον ἔργον ἐτύχθην.
Ἔργον ὅπως πλέχθην θνητὸς ἐπουράνιος.
Μέλπω δ' ἀνθρώποισι θεοῦ νόμον, ὅσσα τε κόσμου
Ἔργματα, καὶ βουλάς, καὶ τέλος ἀμφοτέρων.
Ὄφρα τὰ μὲν κεύθῃς σῇσι φρεσί, τὸ δ' ἀπὸ τῆλε
Φεύγῃς, τὸ τρομέῃς ἦμαρ ἐπερχόμενον.
Τόσσαν γλῶσσαν ἔχω κιθάρην. φράζεσθ' ἱερῆες,
Μή τι παρακρέξῃ ἔκτροπον ἁρμονίης.
Γλῶσσαν καὶ θυέεσσιν ἁγνὴν ἁγνοῖσι φυλάξαι,
Οἷσιν ἄνακτα μέγαν εἰς ἓν ἄγω χθονίοις.
Οὐ γὰρ ἀπ' ἀλλοτρίης γλώσσης, χαντοῦ τε νόοιο
Πέμψω τοῦ καθαροῦ ζωοφόρον θυσίην
Εἰς πόρον, οὐ γλυκερόν τε ῥόον καὶ πικρὸν ἀνήσει
Εἵματι πορφυρέῳ βόρβορος ἀλλότριον.
Καὶ πῦρ ξεῖνον ὄλεσσε θυηπόλου ἐν προτέροισι
Παῖδας, μὴ καθαρῶς ἁπτομένους θυσίης.
Τὴν δ' ἱερὴν ποτ' ἄκουσα θεοῦ μεγάλοιο κιβωτόν,
Ὡς καὶ κελόμενον μὲν ἔκτεινε τὸν ἁψάμενον.
Ταῦτ' αἰνῶς τρομέω, καὶ δείδια, μή τι πάθοιμι,
Μὴ καθαρῶς καθαρῆς ἁπτόμενος τριάδος.
Αἶψε δὲ καὶ νόον ἦγεν ἀταάσθαλον, ἀστατέοντα
Τῇ καὶ τῇ, πολλοῖς ἤμασι μαψιδίοις
Κάμπτειν τέρματος ἆσσον ὑπὸ στεπτῆρσι χαλινοῖς,
Ἢ πάμπαν κατέχειν ἄκλοπον ἐν κραδίῃ.
Μᾶλλόν κε Χριστοῖο μεγακλέος ἆσσον ἐλαύνων,
Λάμπετο μαρμαρυγαῖς τοῦ μεγάλοιο φάος.
Νῦν δ' ὁ μὲν οὐ τόσον τελέει κακὸν ἔνδοθι μίμνων,
Κἂν ἀεὶ τῆλε θεοῦ τυτθὸν ὁδοιπλανέῃ.
Οὐδὲ γὰρ ἐν πέτρῃσιν ἐεργομένη στεγανῇσιν,
Ἔνδοθι καχλάζοι φλὸξ πυρός, ἢ ῥόος.
Ἢ λόχμην πυκινὴν διηλάσατο, ἠὲ ἀλωήν.
Ζώει δ' ἡμιθανὴς ἔνδοθι κευθομένη.
Μῦθος δ' αὖ γλώσσης πολυηχέος εὖτ' ἀπορρήσῃ,
Ἄσχετα μαργαίνει μηκέτ' ἀναστροφέων.
Ὡς δ' ὅτε τις λοξοῖο φυγὴν προσθε παλάμῃσιν

Ἢ καὶ μεταλλήνοιν ἔμπαλι γύρον ἄγει,
Αὐτὰρ ὅγ' ὥς μιν ἔλειπε, βίῃ χερὸς ὄρθιος ἔστη,
Μηκέτ' ὑπὸ προτέρην κλινόμενος κακίην,
Ὡς ἐγὼ μύθοιο εὐτροχάλοιο ἐρωὴν
Δειρκόμενος στάθμης ἔκτοθι καὶ κανόνος.
Καὶ γάρ μοι βίος ἦεν, ὅτ' ἦν λόγος, εὗρον ἄριστον
Φάρμακον, ἔσχον ὅλον ὑψινόον κραδίην,
Ὥστε μάθῃ τά τε φαντά, τά τ' οὐ φαντά γλῶσσα φυ-
Δέξασθ' ὅλην στιγήν, δέξετ' ἐκ τηπίλην. (λάσσειν
Τοῦ παντός μιν ἄμερσα, τὸ μέτριον οὐκέτ' ἀτίσει.
Οὗτος ἀεὶ κεῖσθαι τοῖς ἀμέτροισι νόμος.
Ἦ μέγα καὶ τόδ' ὄνειαρ, ὅτ' ὠδίνοντα κατίσχεις
Μῦθον, κευθομένης ἔκτοθι σῆς κραδίης.
Μύθῳ δ' αἰνυμένῳ συνδάμνατε οἴδμα χόλοιο.
Οὐ μὲν ῥηϊδίως ἔμπαγε, μὴν δ' ἀμάσεις.
Ἦν γάρ σφ' οἰδαλέον τι καὶ ἄγρια μαργαίνοντα
Ἀγχῆς ἀσχαλόων, ὕβριν ἀποσκεδάσεις.
Ἡγεμόνος φθιμένοιο, ἄναξ παθέων ὑπόειξεν.
Ὧδ' ἂν ἀναπνεύσαις ἀργαλέοιο σάλου.
Πάντα πέδ' ἡγεσίης Χριστοῦ μεγάλοιο ἄνακτος,
Αὐτὰρ ἔπειτα νόου οἴακος ἡμετέρου.
Εἰ γὰρ μὴ τὸν ἔχεις ἰθύντορα, οὔτι τι σιγῆς,
Οὔτε τι καρτερίης ἀμείνονος ἐστ' ὄφελος.
Καὶ λιμνῆς στόμα λεπτὸν ἐπὴν παλάμῃσιν ἐρύξας,
Αὖθις ἀπορρήξας ἀθρόον ἐκπροχέει.
Ἀλλὰ λόγος κέλεταί σε φαεινότατος ἔνθεν ἄριστε
Ἀρξάμενον, πάντων οἶδμα κακῶν κατέχειν.
Ταῦτά τοι ἡμετέρης μελεδήματα φίλτατε σιγῆς,
Ἐκ παλάμης λαλέω, νουῷ ὑποδεξαμένους.
Οὗτος ἐμὸς πλόος ἐστί, σὺ δ' ἄν πλόον ἄλλον ἐπείγῃ.
Ἄλλος ἀπ' ἀλλοίου πνεύματος ὅρμον ἔχει.
Εἰ δ' ἄγε καὶ λόγον ἄλλον ἐμῆς αἴοις τε σιωπῆς,
Ὅς τις ἀπεχθαίρων, ὅς τε φίλα φρονέων.
Ἦν ὅτε κάρτος ἔχουσιν ἐν ἠϊθέοισι μέγιστον,
Καί με Χριστὸς ἄναξ ἦγεν ἐπ' αὐτοπάλῳ,
Στερροτέρην ἀδάμαντος ἐνὶ φρεσὶ πίστιν ἔχοντα,
Τεύχεσί τε κρατεροῖς πάντοθε φραξάμενον.
Θείοις μὲν λογίοισιν ἐμὸν νόον ἁγνὸν ἔτευξα,
Γράμματος ἐξ ἱεροῦ πνεῦμ' ἀναμαξάμενος.
Οἷς βίβλων τὸ πάροιθε πικρὴν ἐξέπτυον ἅλμην,
Κάλλος ὑποπλάστοις χρώμασι λαμπόμενον.
Σάρκα δ' ἐμὴν ζέουσαν ἐπεὶ νεότητι τιθήλοις,
Πολλοῖς καὶ πυκινοῖς ἔξεον ἐν καμάτοις.
Γαστρὶ μὲν ὕβριν ἔπαυσα κόρου, καὶ γείτονα λύσσαν,
Ὄμμα δ' ἐνὶ βλεφάροις πῆξα σαοφροσύνῃ.
Βρύξα χόλον, καὶ δῆσα μέλη, καὶ κλαῦσα γέλωτα.
Πάνθ' ὑπόειξε λόγῳ, πάντ' ἔθανε τὰ πάρος.
Γαίη κοῖτος ἐμοί. πλευρῶν ἄχος, εἵματα λυπρά.
Φάρμακον ἀγρυπνίης, χῶρος ἐμῶν δακρύων.
Ἤμασι νῶτα ἔκαμψα, καὶ ὕμνοις παννυχίοισι
Στηλώθην βροτέης ἐκτὸς ὅλως παθίης.
Ταῦτα πάρος. σάρκες γὰρ ἐπίζεον, αἶσι μέμηλεν
Οὐρανίης ἀνόδου φῶτα μέγαν κατέχειν.
Καὶ κτεάνων βαρὺν ὄγκον ἀπέπτυσα, ὡς κεν ἀερθεὶς
Κοῦφος, ἀποσκεδάσας πρὸς θεὸν ἄχθος ἄπαν.

Νῦν δ᾽ ὅτε νοῦσος ἔχει με πικρὴ, καὶ γῆρας ἰκάμψεν,
  Ἦλθον ἐπ᾽ ἀλλοίην τήνδε δυσπαθίην,
Γλῶσσαν ἔχων ἀδάμαστον, ἄλαλον, ἥ μοι τόσσοισι
  Πήμασι τοῦ φθονεροῦ δῶκεν ἀεὶ παλάμαις.
Οὔτε τινὸς θώκοισιν ἐπέδραμον. οὔτ᾽ ἀπὸ γαίης
  Ἤλασα πατρῴης, οὐ δῆλον ἐφρασάμην.
Οὐ γλῶσσαν ἐφέηκα ἐπὶ διάβολον, οὔτε τι ῥέξα
  Ἡμετέρων θυέων ἔκνομον. οἶδε λόγος.
Οὐ σκοπὸν, οὐδὲ μὲν ἄλλον, ἐπεὶ καὶ πᾶσι νεμεσσῶ,
  Λαῶν ἡγεμόσιν τοῖα κλυζομένοις.
Ὢ νῦν πᾶσα θάλασσα, καὶ εὐρέα πείρατα γαίης
  Πέπληθε, δνοφερὸν πένθος ἐμῆς κραδίης.
Ἀλλὰ λόγος μ᾽ ἐχάλεψεν ἀπάταλος. οὐ μὲν ἔγωγε
  Πρόσθε τόδ᾽ ᾠόμην, ἀλλ᾽ ἐχάλεψεν ὅμως.
Πᾶσί μ᾽ ἔθηκε φίλοισιν ἐπίφθονον. ὦ φθόνε, καὶ σὺ
  Ἐξ ἐμέθεν τί λάβῃς; ἴσχεο γλῶσσα φίλη.
Βαιὸν δ᾽ ἴσχεο γλῶσσα. τὸ δ᾽ ἂν τέλος οὐ σὺ τελέσσῃς.
  Οὐ πόσον ἐξ ἐμέθεν λείψεθ᾽ ὁ μισολόγος.
Πυνθάνομ᾽ ὥς σαμίων τις ἄναξ φθόνον ὡς ἀλέσαιτο,
  Δείσας εὐδρομίην, μήσατο τοῖον ἄχος.
Πόρπην ἣν φιλέεσκε πατρῴιον, ἔμβαλε πόντῳ,
  Τὸν δ᾽ ὑποδεξάμενον ἰχθὺν, ἔδυσε λίνον.
Ἰχθυβόλος μὲν ἄνακτι, ὁ δ᾽ ὤπασεν ᾧ θεράποντι
  Τὴν ἁλίην. πόρπης δ᾽ ἰχθύος ἐν λαγόσιν.
Ἰχθὺν μὲν γαστὴρ ὑπεδέξατο, χεὶρ δέ τε πόρπην.
  Θαῦμα μέγ᾽. οὐδ᾽ ἐθέλων εὕρατο κεῖνος ἄχος
Ὣς καὶ ἐγώ. μύθῳ γὰρ ἐμῷ φθόνος ἄγριον αἰεὶ
  Ὄμμα φέρει. σιγῆς βένθος ἐπισπασάμην.
Τόσσον ἐμοὶ σεμνός. τὸ δ᾽ ἄνειρον οὐ σάφα οἶδα,
  Εἰ κακὸν ἢ καλὸν αὐλιάσει τέλος.
Ἀλλά γε δὴ φθόνον ἔσχε βροτῶν ἄκος. ἐκ δέ με πικρῶν
  Γλωσσῶν ἐξερύσας, σὴν ὑπὸ λάμψιν ἄγοις.
Ἔνθα σε σὺν φαέεσσιν ἀκηζόοισι γεραίρων,
  Μέλψομ᾽ ἀπὸ στομάτων ἦχον ἐναρμόνιον.
Δέχνυσο καὶ τάδε χειρὸς ἀναυδέα, ὡς μὲν ἔχοι τι
  Ἡμετέρης σιγῆς μνημόσυνον λάλιον.

ΥΜΝΟΙ ΕΙΣ ΧΡΙΣΤΟΝ ΜΕΤΑ ΤΗΝ σιωπὴν, ἐν τῷ πάσχα.

Χριστὲ ἄναξ, σὲ πρῶτον ἐπεὶ λόγον ἦρα δ᾽ ὤκα,
  Δηναιὸν κατέχων, φθέγξομ᾽ ἀπὸ στομάτων.
Ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος, εἰ θέμις εἰπεῖν
  Τόνδε λόγον προχέων ἡμετέροιο νόου,
Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
  Φωτός τ᾽ ἀκροτάτου φῶς ἄκρον, οἰογόνε,
Εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου,
  Πνεύματι τῷ μεγάλῳ συμφαὲς εὐρυμέδον
Αἰῶνος πείρημα, μεγακλεὲς, ὀλβιόδωρε,
  Ὑψίθρον᾽, οὐράνιε, πανσθενὲς ἄσθμα νόου,
Νωμητὰ κόσμοιο, φερέσβιε, δημιουργὲ
  Ὄντων, ἐσσομένων. σοὶ γὰρ ἅπαντα πέλει,
Ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ὅττι θέλοντος,
  Ἀστέμφος φορέεις νεύμασιν ἀπλανέας.
Σοὶ μὲν ἄναξ φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
  Κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόεις,
Σοὶ ζώει, φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτὸς,
  Μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
Σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης,
  Ὥραις μέτρα φέρει ἤπια κιρναμένας.
Ἀπλανέων τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
  Ἀστέρες, ἠγαθέης ἀσὶ λόγου σοφίης.
Σὸν φάος ἐστὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
  Μέλπουσι τριάδος δόξαν ἐπουρανίης.
Σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδ᾽ ἔθηκας
  Ὑμνοπόλον διὰ σῆς ὦ φάος ἀγλαΐης.
Ἀμβροτέ μοι, βροτόεις τε, παλιγγενὲς ὕψος ἄστερον,
  Ὑστάτιον θνητῶν πήμασι σαρκοφόρε,
Σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ᾽ ἔμπνοος εἰμὶ θυηλὴ,
  Ἡ μόνη κτεάνων λείπετ᾽ ἀφ᾽ ἡμετέρων.
Σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ ἔασι μῦθον ἔλυσα.
  Λίσσομαι. ἀλλὰ πόροις ἀμφότερ᾽ εὐαγέως.
Φθέγξομαι, ἅσσ᾽ ἐπέοικεν. ἃ δ᾽ οὐ θέμις, οὐδὲ νοήσω.
  Ῥίψω μαργάριτον, βόρβορον ὠσάμενος,
Χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ᾽ ἀκάνθης.
  Λέξομ᾽ ἀπ᾽ ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
Ταῦτά σοι ἡμετέροιο θαλύσια χειρὸς πόνοιο
  Γλῶσσ᾽ ἀποδυομένη πρῶτον ἀνῆψεν ἔπος.
Σήμερον ἐκ νεκύων Χριστὸς μέγας οἷσιν ἐμίχθη,
  Ἔγρετο, καὶ θανάτου κέντρον ἀπηκέδασε,
Καὶ ζοφεροὺς πυλεῶνας ἀμειδέας ἀΐδαο
  Ῥήξατο, καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.
Σήμερον ἐκ τύμβοιο θορὼν, μερόπεσσι φαάνθη,
  Οἷς γένεθ᾽, οἷσι θάνεν, οἷς ἔγρετ᾽ ἐκ νεκύων,
Ὥς κε παλιγγενέες τε, καὶ ἐκ θανάτοιο φυγόντες,
  Σοὶ συναειρώμεθ᾽ ἔνθεν ἀνερχομένῳ.
Σήμερον ἀγλαΐαις σε μέγας χορὸς ἀμφιγέγηθεν
  Ἀγγελικὸς, μέλπων ὕμνον ἐπινίκιον.
Σήμερον ἦχον ἔπνευσα μεμυκότα χείλεα σιγῇ
  Λύσας, ἀλλά μ᾽ ἔχεις ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον. αὐτὰρ ἔπειτα
  Ῥέξω καὶ μεγάλῳ πνεύματι, ἣν ἐθέλῃ.

ΠΑΡΑΙΝΕΤΙΚΟΝ.

Τέκνον ἐμὸν, τόδε τοι πεμπτήμερον ἐσθλὸν ὀπάζω
  Γρηγόριος, πατρὸς δὲ παραίφασις ἐστὶν ἀρίστη.
Οὐ χρυσὸς λιθάκεσσι μεμιγμένος ἠγλήεσσι,
Κόσμος θηλυτέρῃσιν ὀλυμπιάς. οὐδὲ μὲν εἶδος
Χρώμασι φαρμάσσειν βασιλήϊον αἴσχεϊ τερπνῷ,
Εἶδος ἐπ᾽ εἴδεος ἄγουσαν ὁλοῖον. εἵματα δ᾽ ἄλλαις
Πορφύρεα, χρύσεα, διαλαμπέα, σιγαλόεντα,
Αἷς οὐδ᾽ ἐν βιότοιο διαυγὴς εὖχος ἔπεστι.
Σοὶ δὲ σαοφροσύνη τε μέλοι, καὶ κάλλος ἀγητὸν,
Ὄμμασι κευθομένοισιν. ὁ δὲ τρόπος, αὐτὸς ἄριστον,
Ἔμπεδον, ἀσυφέλικτον, ἀοίδιμον εὖχος ἐχούσῃ.
Ἅζεο μὲν πρώτιστα θεὸν, μετέπειτα δ᾽ ἀκοίτην,
Ὀφθαλμὸν βιότοιο, τεῆς σημάντορα βουλῆς.
Τὸν μοῦνον φιλέειν, μόνῳ δέ τε θυμὸν ἰαίνειν.
Καὶ πλέον, ἥν σε πόθοισι τελειοτέροις ἀγαπάζῃ,
Φίλτρον ἔχων ἄσκεπτον ὁμοφροσύνης ὑπὸ δεσμοῖς,
Θάρσος ἔχειν μὴ τόσσον, ὅσον πόθος ἀνδρὸς ὀπάζει,
Ἀλλ᾽ ὅσον ἐστὶν ἐοικὸς, ἐπεὶ κόρος ἐστὶν ἁπάντων.
Πάντων μὲν κόρος ἐστὶ, πόθος δ᾽ ἀκόρητος ἀρίστων.

Μὰ

Μήποτε θῆλυς ἐοῦσα, τεὸν ἀνέρος ὄγκον ἐπείγου.
Μηδὲ γένος προφέρειν, μηδ' εἵμασιν ὀφρύας αἴρειν,
Μὴ σοφίην, σοφίη δὲ γάμοις θεσμοῖς ὑποείκειν.
Πάντα γὰρ ἀμφοτέροισι βίου ξυνώσατο δεσμός.
Εἴκειν μὲν βρομέοντι, πονειομένῳ δ' ἐπαρήγειν,
Μύθοισιν μαλακοῖσι, παραιφασίῃσί τ' ἀρίσταις.
Οὐδὲ λεοντοκόμος θηρὸς μένος ἔδνασεν ἀλκῇ,
Ἄσθμασι βρυχαλέοισι χολούμενον, ἀλλὰ δαμάζει
Χερσὶ καταψήχων, καὶ αἱμυλίοισι λόγοισι.
Μήποτε ἢ θωὴν τιν' ὀνειδίσσειας ἀκοίτην,
Καὶ μάλα χωόμενός περ, ἐπεὶ πλέον αὐτὸς ὄνειαρ,
Μὴ δὲ τέλος βουλῆς ἀντίξοον, οὐ γὰρ ἐοικός.
Δαίμων πολλάκι τέρμα φέρει φράδμονι βουλῇ.
Μὴ δὲ μὲν ἀδρανίην. ἢ γὰρ κραταιόντε μάχαιρα.
Μὴ δὲ μὲν αἰνήσειας ὃν οὐ φίλον ἀνέρι σεῖο,
Παρβλάδην ἐπέεσσι καθαπτομένη δολίοισι.
Καὶ δ' ἄλλως ἐπίεικεν ἁπλοῦς τρόπος εὐγενέεσσιν
Ἀνδράσιν, ἢ δὲ γυναιξὶ μάλιστα θηλυτέρῃσι,
Ξυνὰς δ' εὐφροσύνας καὶ ἄλγεα πάντα τίθεσθαι,
Ξυνὰς δ' αὖ μελεδῶνας, ἐπεὶ τόδε οἶκον ἀέξει.
Μῆτις μὲν καὶ σεῖο, τὸ δὲ κράτος ἀνέρος ἔστω.
Ἀχνυμένῳ βαιόν τι συνάχθεο, καὶ τόδε τερπνὸν
Φάρμακον ἄλγεός ἐστι, φίλων ἄκος ὠκὰ δ' ἔπειτα
Αἴθρην εἶδος ἔχουσα, λύειν μελεδήματα θυμοῦ.
Ἀνδρὶ γὰρ ἀσχαλόωντι, λιμὴν εὔορμος ἀκοίτης.
Κερκὶς σοί γε μέλοι, καὶ εἴρια καὶ μελεδῶναι
Θείοις ἐν λογίοισι, τὰ δ' ἐκτὸς ἀνδρὶ μέλοιτο.
Μὴ πολλὰ ἐκ προθύρων πέμπειν πόδα, μηδ' ἐπὶ τοῖς
Παίδ' ὅμον, καὶ ἄκοσμον ὁμήγυριν. ἢ γὰρ ὄρουθος (ψαν
Αἱρεῖ καιομένῃσι. τὰ δ' ὄμματα ὄμμασι μίσγε.
Αἰδοῖς δ' εἰχομένῃ, πάντων γενέτειρα κακίστων.
Ἐς δ' ἀγαθὰς κέλομαί σε φέρειν πόδα σὺν πινυτῇ
Ὡς ἵνα καὶ λόγον ἐσθλὸν ἐνὶ φρεσὶ σεῖο χαράξῃς, (σιν,
Ἡ κεκίνης ὀλετῆρα τεῆς, ἢ δεσμὸν ἀρίστων.
Οἶκός σοι, πόλις ἔστω. καὶ ἄλσεα μὴ ὁράασθαι
Ἄλλοις, ἢ ποιοῖσι ζεφύροισιν, ἠδ' ἱεροῖς
Καὶ πολιῇ νεότητος ἀρείονι, μὴ δὲ γυναιξὶ
Ταῖς ὁπόσαις αὐχήν τε πολύς, καὶ δήμιον εἶδος.
Μὴ δὲ μὲν δυσσεβέεσσιν, ὅσους πόσις ἐκτὸς ἔεργει,
Καὶ μάλα περ τίουσα. τί τοι τόσον ἐστὶν ὄνειαρ,
Ὁσσάτιον πόσις ἐσθλός, ἐπὴν μόνον ἀμφαγαπάζῃς.
Λίην μὲν φρονέειν, λίην δέ τε μὴ βλεμεαίνειν.
Αἰνῶ θηλυτέρας, τὰς ἄρσενας οὐδὲ ἴσασι,
Μὴ δὲ μὲν ἢ ἐπὶ δαῖτα γαμήλιον, ἢ γενέθλην
Σπεύδειν, ἔνθα πόθοι τε, χοροστυπίαι τε, γέλως τε,
Καὶ χάρις οὐ χαρίεσσα, τὰ γὰρ καὶ σώφρονα θέλγει,
Ὡς ἀκτὶς κηροῖο διαΐσσουσα τάχιστα.
Μὴ δὲ μὲν οἰκεδίοις τε πότοις ἐνὶ δώματ' ἐγείρειν
Ἀνέρος ἢ παρεόντος ἀμύμονος, ἢ ἀπεόντος.
Γαστὴρ μέτρα φέρουσα, τάχ' ἂν παθέεσσιν αὐάσῃ.
Τὴν δ' ἄθυρον βρομέω μὲν ἐγώ, τρομέει δ' ἀκοίτης.
Μὴ δὲ παρειάων σκιρτήμασι πάλλεο μάχλοις,
Ἢ χόλον πλάθοντι. τὸ γὰρ μερόπεσσιν ὄνειδος.
Θηλυτέρας δὲ μάλιστα καὶ ἔκτροπον εἶδος ἔθηκεν.
Οὔ τε κόσμον ἔχοι τ' ἀμάργαρον ἐσθλὰ δέχεσθαι
Ῥήματα, τοῖς δὲ κακοῖσι νέην κλεῖδ' ἀντικαθῆσθαι.
Οἰκταί τε, κλεισταί τε, σαόφρονες εἰσὶν ἀκουαί.
Στάζοι δ' ἁγνὸν ἔρευθος ὁμόζυγι παρθένος αἰδὼς
Σοῖσιν ὑπὸ βλεφάροισι. δίδου δ' ὁρόωσιν ἔρευθος.
Ὄμματα πυρὰ ἔχουσα, καὶ εἰς χθόνα ὀφρύας ἄγουσα,
Γλῶσσαν ἔχουσ' ἀχάλινον, ἀεὶ πόσιν ἐχθοδοπήσεις.
Γλῶσσα καὶ ἀπταίστοισι κακὸν βάλε πολλάκι μάργη.
Σιγᾶν λωΐον ἐστιν, ὅτ' ἂν λόγον ἔργον ἐπείγῃ,
Ἢ λαλέειν, καιροῖο λόγον κλείοντος ἄκοσμον.
Μῦθος ἀεὶ ποθέοιτο, πόθον δ' ὑπέροπλον ἐόντων,
Ψεύσται σωφροσύνης, καὶ εἵμασιν ὕβρεις ἔπεισι.
Καὶ τὸ δέχου, μὴ σαρκὸς ἔχειν ἀδάμαστον ἐρωήν,
Μὴ δ' αἰεὶ λεχέεσσι χαρίζεο. πεῖθε σύνευνον
Ἤμασιν ἁγνοτάτοισι φέρειν χάριν. ὡς γὰρ ἔοικεν,
Εἰκόνα τὴν μεγάλοιο θεοῦ θεσμοῖς ὑποείκειν,
Εἰ καὶ θεσμὸν ἔδωκε γαμήλιον υἱὸς ἄσαρκος
Ἡμετέρῃ γενεῇ, καὶ πλάσματι χειρὸς ἀρήγων,
Ὥσκεν ἀπερχομένοισι καὶ ἐρχομένοισι γενέθλη
Ἕλκηται, μερόπων προπάτορ γένος, οἷα ῥέεθρον
Ἄστατον ἐκ θανάτοιο, καὶ ἱστάμενον τεκέεσσιν.
Ἀλλὰ τί μοι τὰ ἕκαστα διακριδὸν ὧδ' ἀγορεύειν.
Οἶδα δ' ἔγωγε παραιφασίην, καὶ τὶ μέγ' ἀμείνω
Ἐστί τοι ὧν χαρίεσσα θεοῦ δόσις. ἠδὲ προκεῖσθαι
Παντός σοι μύθοιο καὶ ἔργματος ἔμπνοος ἀκών,
Θηλυτέρη Χειρωνὶς ὑπὸ προπόδεσσι γάμοιο,
Ἥ σ' ἐκ πατρὸς ἔδεκτο, καὶ ἔπλασεν ἤθεσι κεδνοῖς.
Αὐτοκασιγνήτη μέγ' ἀμύμονος ἀρχιερῆος
Ἀμφιλόχου, τὸν ἔπεμψα θεῷ, Θέκλη γε σὺν ἁγνῇ,
Ἄγγελον ἀτρεκίης, ἐρίηχέα, κῦδος ἐμεῖο.
Κεῖτιν' ἐμῆς πολιῆς ὑψίφρονα μῦθον ἐδέξω,
Τὸν κέλομαι πραπίδων σε φίλοις κευθμῶσι φυλάσ-
Ὧν δ' αὐτὴ καὶ πόσιν ἐσθλὸν ἑεὶ πτόλιν ἐξακίζειο, (σειν.
Εἴ τι καὶ μεγάλαυχον ὑπέρτερον εὖχος ἔχουσα,
Νῦν μὲν σοι τόδ' ἔδωκα κειμήλιον. αἲ δὴ τὸ λῷστον,
Καὶ τεκέων τεκέεσσι πέλοις πολύκαρπος ἐλαίη,
Ὡς καὶ πλειοτέροισι θεὸς μέγας ὑμνέοιτο,
Τῶν περ διὰ γινόμεθα, καὶ ὧ θέμις ἔνθεν ὁδεύειν.

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΤΑ ΤΗΝ ΑΠΟ ΤΗΣ κωνσταντίνου πόλεως ἐπάνοδον.

(σας,
Ἄρχομαι ἐκ βιότοιο λιπὼν μέγα λαῖτμα θαλάσ-
Τῆς καὶ τοῖς χαλεποῖς πνεύμασι βρασσόμενος.
Ἔρχομ' ἔχων ὅσ' ἔρεξα, καὶ ὅσ' ἐμόγησ' ἐκλείψας,
Τοῖς μὲν ὑποβρομέων, τοῖσι δὲ, γηθόσυνος.
Οὐδέν τι τερπνὸν ἔλειψα, τόκων ποθέων ἀκαχοίμην.
Τοῖσι μὲν οὐκ ἐθέλων, τοῖς δ' ἐθέλων ἐδάμην.
Οἷον ἐμοὶ κτέαρ ἔσκεν ἐράσμιον, οἷος ἐπ' ἄλλων
Πλοῦτος, θαλπωρὴ λησμοσύνης καμάτων,
Τῆς μεγάλης τριάδος ξυνὸν σέλας, ἣν ἀνέφαινον,
Ἄχρι καὶ ἀλλοδαπῶν ἤλυθον εὐπαθέων,
Οὐ μὴν πάμπαν ἄτρωτος, ἐπὴν λάεσσιν ἐδέχθην,
Ὡς τις ἀλιτήμων. σὴ τριὰς ἥδε χάρις.
Ἔμπα γε μὴν ἀνέφηνα, καὶ ὡς κύκλον περὶ κέντρῳ,
Πάντας ἐπηρείμην ῥήμασιν εὐσεβίης.
Ἦν δρόμος, ἀλλ' ἅμ' ἔπεμψε πόνος καὶ νοῦσος ὀπίσσω,
Πολλὰ μάλα φθονερῷ δαίμονι μεμφόμενον.

Ὅστις ἐμῆς ὠδῖνος ἁγνὸν τόκον ἐξετίναξεν
Ἀρτιπαγῆ, ζωῆς ἐκτὸς ἐν προθύροις.
Ἦδ' ἄξ' ἐμὰ τριὰς αὖθις ἀπὸ στομάτων ἀθεμίστων
Τμηθεῖσ', ἔν τ' ἀγοραῖς, ἔν τε χοροστασίαις.
Καὶ πόρνοι κρατέουσι λόγοι, τὸ δὲ φάσγανον, αἰαῖ,
Τίς τεῦξε φονίης περιφόνου παλάμη,
Ζηλάμων ψυχῶν τε τοὔνομα, ἢ τίς ἀρήξει
Δόγμασιν ἑβραίοις πληθοσομένοις ἀδίκως,
Μωσῆς. ἐκ δ' ὀλέσας αἰγύπτιον αὐτίκα μάθον,
Λαῷ πὰρ μεγάλῳ κῦδος ἔχησι μέγα.
Τίς μὲν ὅλην θεότητα μετὰ φρεσὶν ἧσι βάλητο,
Μηδ' ἓν ὑποστέλλων τῆς μεγάλης τριάδος,
Ἠὲ νόῳ πυκινῷ τε καὶ εὐθηγέεσι λόγοισιν,
Ἀντιπάλων ἐπέων θυμὸν ἀποσκεδάσει.
Τίς δὲ βελῶν καιροῖσιν ἀκαμπέα πίστιν ἐρύξει
Ἄτροπος, ἐν τροπίοις κάρτεσιν ἱστάμενος.
Μὴ δ' ὡς εὐρίποιο πολυπλάγκτοιο ῥέεθρον
Τῇδε μετακλίνοι ἔνθα καὶ ἔνθα ῥέων.
Τίς δὲ μόθον κρυόεντα τ' ὀβριμοθυμῶν ἱερήων
Στήσει, τοὺς φιλίης εἰς ἓν ἄγων προμάχους.
Τοῦ μὲν ἐμοὶ πόθος ἦεν, ἐπεὶ θεὸς ὧδε κελεύει,
Χριστὸς ἄναξ μερόπων, οἷσι νόμοις παθέων,
Οἷς σταυρῷ συνέδησεν ὁμῶς ἀγαθούς τε, κακούς τε.
Ὅστις ἀνακτορίης τῇ λάθεν, ὅς τε πύλας.
Τοὔνεκα καὶ λίθος ἐστὶν ἐπ' ἀμφοτέροις ἀκρόγωνος,
Λαοὺς εἰς ἓν ἄγων, ἁρμονίῃ φιλίης.
Ἦν πόθος. οἱ δ' ἐμὲ πρόσθεν ἀπεχθήραντο ἀλιτροί,
Οὔ τιν' ἐμῆς αἰδῶ θέντο προφασίης.
Αἴθε δέ μοι τριὰς ἦεν ἀδήριτος, ἣν βελέεσσι
Βάλλουσιν πυκινοῖς. ὦ τριὰς ἴσχεο μόθον.
Μηδέ γ' ἀθρήσειε κακὸς μόθος, ἀλλὰ μόγοισι
Δὸς τέλος ἡμετέροις ἐσθλὸν ἀεξομένη.
Κλεινὸν Ἀναστασίης χώροις ἕδος, ἣ ῥα θανοῦσαν
Πίστιν ἔθηκας αὖ αὖθις ἐμοῖσι λόγοις.
Σεῖο μὲν οὐ δὲ θανὼν ἐπιλήσομαι, ἀλλ' ἅμ' ἀρίστοις
Στήσομ', ὑπὲρ τεκέων λισσόμενος τριάδα.

ΕΙΣ ΕΑΥΤΟΝ.

Τὴν ἀρετὴν ποθέω μὲν, ἀτὰρ τὸ δέ μ' οὐκ ἐδίδαξεν,
Ἢ ῥα δὴ τελέθει, καὶ ὁππόθεν ἵξετ' ἐμοί γε,
Καὶ μάλα περ ποθέοντι. πόθος δ' ἀτέλεστος, ἀνίη.
Εἰ μὲν δὴ καθαρὸς τελέθει ῥόος, οὐκ ἐπίμικτος
Ὕδασι χειμερίοισι, χαρὰ δ' ἀραιοῖσί τ' ἀνύγροις,
Δίζημ' ὅς μιν ἔτετμεν ἐπὶ χθονός. οὐ γὰρ ἀνίσχει
Βόρβορον ἐκ κραδίης, οὐ δ' ἔξατο σάρκα βαρεῖαν
Ἕλκων, καὶ ζοφόεντι θολούμενος ἐκ τόθεν ἐχθρῷ
Ζωῆς ἡμετέρης, καὶ ἰλυόεντι βερέθρῳ.
Οὐ δὲ γὰρ ἦεν ἐοικὸς, ἐπεὶ ῥύσις εἰμὶ παγεῖσα,
Καὶ ῥευστοῦ βιότοιο δικρείῳ ἔμμεν' ἄρευστον.
Εἰ δ' οὐκ ἀργύρεος παντὸς ῥόος, ἀλλ' ἐπίμικτος,
Ἔστι χερειοτέροις ἀρετὴ, καὶ μῖξις ἄκοσμος.
Πῶς ἀρετὴ τελέθει, τάδε φράζεο. καὶ γὰρ ἐγώ γε
Τῇ καὶ τῇ νόον ὠκὺν ἀεὶ στρέφουσιν ἑλίσσω.
Ψυχρὴ μὲν χιόνος φύσις ἔπλετο, ἀργυρίεντε.
Ξανθὴ δ' αὖ θερμή τε πυρὸς φύσις. οὐ δ' ἐπίμικτα
Ταῦτα πέλει, ἐλύθη δὲ βίῃ πάρος, ἢ αἰνομάχθη.
Τῇ δ' ἀρετῇ πῶς αἶσχος ἐπήλυθεν εἰκὸν' ἀτίζων,
Εἰκόνα τὴν μεγάλοιο θεοῦ κακόχαρτος ἁμαρτάς.
Εἰ ἐτεὸν θεὸς εἰμὶ, λάχος δὲ σὸν εὔχομαι εἶναι.
Πυνθάνομ' Ἀλφειοῖο καλὸν ῥόον, ὡς διὰ πηγῆς
Ἔρχεθ' ἁλὸς, μέγα θαῦμα, γλυκὺς ῥόος, οὐδ' ἐπίμικτος
Ἡ λάβρῳ τελέθει. λάβρη δέ τε ἠέρος ἀχλύς,
Καὶ νοῦσος μελέων. ἀρετὴ δέ τε, ἡμετέρη νύξ.
Πολλάκι περ σὺν ἄειρα πρὸς αἰθέρα, καί με βαρεῖα
Τηκεδανή τε μέριμνα χαμαὶ βάλε. πολλάκι δ' αὖθις
Αὐγαζομένῃ θεότητος ἁγνὸν φάος, ἀλλὰ μέσον τι
Ἦλθε νέφος. κρύφθη δὲ σέλας μέγα, καί μ' ἐδάιξεν,
Ὡς φύγεν ἐγγὺς ἐόντα. τίς ὁ φθόνος; ἢ ποθέεσθαι
Αἰὲν ἐμοὶ ποθέειν θνητοῦ νόμος, ἢ τό δ' ἄμεινον
Ἔστιν ἐμοὶ, μόχθῳ μὲν ἑλεῖν, μόχθῳ δὲ φυλάξαι.
Τοῦτο γὰρ ἔμπεδόν ἐστιν, ὃ νοῦς κάμε. πολλάκι δ' αὖτε
Ἐσθλοῦ τ' ἠδὲ κακοῖο διάκρισιν ἐχθρὸς ἄμερσεν,
Ὡς θὴρ κερδαλέος τις ἐπ' ἴχνεσιν ἴχνια βάλλων,
Ὡς κεν θηρευτῆρα καλοῦ πλάξειε δόλοισιν.
Ἄλλό τι σὰρξ μὲν ἄνωξεν ἐμοὶ φίλον, ἄλλο δ' ἐφετμή,
Ἄλλο θεὸς, φθόνος ἄλλο. χρόνος τὸ μὲν, ἄλλό τι δ' αἰών.
Ἔρδω δ', ὃ στυγέω, καὶ ἀμφιγέγηθα κακοῖσι.
Καὶ γελόω μόρον αἰνὸν ἐνὶ σπλάγχνοισιν ἐμοῖσι,
Σαρδόνιον, κακόχαρτον, ἐπεὶ τὸ τερπνὸς ὄλεθρος.
Νῦν χθαμαλὸς, νῦν αὖτε μετήορος ὕβριν ἀτίζων
Σήμερον, ὑβριστὴς δ' ἄρ' ἐν αὔριον. ἄλλος ἐν ἄλλοις
Καιροῖς, πουλυπόδης τις ἐειδόμενος χροῒ πέτραις,
Δάκρυα θερμὰ χέων. οὐ δ' οὐ συνέρδουσιν ἁμαρτάς.
Καὶ τὰ μὲν ἐξεκένωσα, τὰ δ' ἔνδοθεν αὖθις ἐγείρω
Ἄλλας ἀμπλακίῃσιν, ἄκος δέ τι φάρμακα ῥέζα.
Σαρκὶ δ' ὑπέρθυμός εἰμι, καὶ εἰ φρεσὶν, οὐ σάφα οἶδα.
Αἰδοῦς ὄμμ' ἐκάλυψε, νόος δ' αὐγὴν δύσεται αὐδῆς,
Ὀξυφανὴς ξείνοισι κακοῖς, ἰδίοις δέ τ' ἀφεγγής.
Οὐράνιος μύθοισιν, ἐπιχθόνιος πραπίδεσσιν
Εἰμὶ, γαληνιόων τε, καὶ εὔδιος. εἰ δ' ἄρ' ἀήτης
Καὶ τυτθὸς πνεύσειεν, ἀήσαμαι εἰν ἁλίοισι
Κύμασιν. οὐ δ' ἀπέρυξε βάθος πάρος, ἢ γενεῆθεν
Νηπιάχων. τῦφος δὲ πεσεῖν χόλον, οὐ μέγα θαῦμα.
Πολλάκι δ' εὐδρομέοντα σὺν ἐλπωρῇσιν ἀρίσταις,
Ἤδη καὶ μεσάτης ἀρετῆς ὑπερεκτείνοντα,
Ἐξαπίνης παλίνορσον ἀπὸ προπόδεσσιν ἔθηκεν,
Ὥστε περὶ ψαμάθοιο φέρων πόδα λοίγιος ἐχθρὸς,
Κλεπτομένους προπάροιθεν ὑπ' ἴχνεσιν ἀστατέοντας,
Αὖθις ἀνέρχομ' ἔγωγε, καὶ ἔμπαλιν ἔρχομ' ὀπίσσω,
Πλεῖον ἔτ' ἢ τὸ πάροιθε δυσάμμορος, αἰὲν ὀδεύων,
Αἰὲν ἔχων μέγα πένθος, ἔβην μόγις, ἂψ δ' ὄλισθον.
Μακρός μοι βίος ἐστὶ, καὶ οὐκ ἐθέλω βιότοιο
Λύσιν, ἄκος ποθέων. ἄκος δέ τε τῆλ' ἀπ' ἐμεῖο,
Ἤμασι πλειοτέροισι πλέον κακότητας ἀγείρων.
Τοὔνεκεν ἡμετέρῃ γενεῇ τόδε δῆγμα πέπηχθαι.
Πρώτη μὲν τριάδος καθαρὴ φύσις. αὐτὰρ ἔπειτα
Ἀγγελική. τριτάτη δ' ἄρ' ἐγὼ βροτὸς ἀμφιτάλαντος
Μεσσηγὺ ζωῆς τε καὶ ἀργαλέοιο θανάτοιο
Ἑστηὼς, ὀβρίμορον ἔχων τέλος, ἀλλ' ἐπίμοχθον,
Εἰ καὶ μικρὸν ἔαξα κακοῦ βιότοιο θύρετρα.
Οὐδὲ θεὸς γὰρ ἄνωξεν ἐμῆς φρενὸς ἔμμεν' ἄεθλον.

Κεῖνος

Κεῖνος δ' ἀνὴρ ἄριστος, ὃς ἐν πλεόνεσσι κακοῖσι
Βαιὰ φέρει, κακίης δέ τε νῶτα διώκων,
Ὥστε ῥόος ποταμοῖο βιώμενος ἄλλο ῥέεθρον,
Τρηχαλέον, θολερόν τε καὶ ἄγριον, εἰ δὲ μιγείη,
Κρύπτων πλειοτέρῳ καθαρῷ ῥόον ἰλυόεντα.
Ἡ δ' ἀρετὴ πλεκτοῖο, τὸ δὲ πλέον οὐρανιώνων.
Εἰ δέ τις ἐνθάδ' ἐὼν θεὸν ἔδρακεν, ἢ πρὸς ἄνακτα
Ἔδραμε σάρκα βαρεῖαν ὑπ' οὐρανὸν ἔνθεν ἀείρας,
Τοῦτο θεοῦ γέρας ἐστὶ, βροτοῖς δέ τε μέτρ' ἐπαικέσθαι.
Εἰ δ' ἄγε τοι καὶ τοῦτο μέγ' ἐγὼ λόγον ἐν φρεσὶ θήσω,
Πῶς κεν τῆς μεγάλης ἀρετῆς ἐπὶ τέλσον ἵκοιο,
Ἡ μόνη καθαρῷ καθαρὸν θύος. οὐ μὲν οἴω
Ἐνθάδε. πολὺς γὰρ ἐπ' ὄμμασιν ἐνθάδε καπνός.
Στοργῇ δ', ἔνθεν ἔπειτα λίπω κακὰ δακρυόεντα,
Οὐκ οἶον μεγάλοιο θεοῦ τότε δῶρον ἐτύχθη
Εἰκόνα περ τίοντος, ἐπεὶ καὶ σεῖο μενοινῆς,
Οὔτε σέο φρενὸς οἷον, ἐπεὶ καὶ κρείσσονος ἀλκῆς,
Ὡς οὐδ' ὄψις ἐμοί γε μόνη θηήσατο λευσσά,
Καὶ μάλα δερκομένῃ περ ἑκὰς μεγάλου φαέθοντος.
Αὐτὸς δ' ὄμματ' ἔλαμψε, καὶ ὄμμασιν αὐτὸς ἐφαάνθη.
Δοιαὶ μὲν μεγάλοιο θεοῦ πρὸς κρείσσονα μοῖραι,
Πρῶτα θ' ὑστατίη τε, ἰνδ' ἔτι καὶ παρ' ἐμεῖο.
Κεῖνος δ' ἐκτὸς ἔθηκε καλοῦ, καὶ κάρτος ὀπάζει.
Αὐτὸς δ' ἐν μονάταις σταδιοδρόμος, οὐ μάλ' ἐλαφρὸς
Ἔρχομαι, οὐκ ἀγέραστος ἐν ἅλμασι κῶλα τιταίνων,
Χειρὸν ἔχων πνοιὴν, χριστὸν ἄεθλον, ὄλβον ἀγητὸν,
Ὃς με καὶ ὠπίκοντα καὶ εὐδρομέοντα τίθησι.
Κεῖνα δ' ἐκτὸς, ἅπαντα ἐτώσια παίγνια θνητοῖς,
Καὶ νεκύων, ζώντων, ὀλωλότων ἀμπλακίησιν.
Οὐδὲ γὰρ ἰχθὺς ἐκτὸς ἰδὼν ποτώμενον ὄρνιν.
Οὐδὲ μὲν ὕδατος ἐκτὸς ἁλίδρομος ἔπλατο δελφίς.
Ὡς οὐδὲ χριστοῖο δίχα βροτὸς ἴχνος ἀείρει.
Τῷ μή μοι λίην μεγαλίζεο, μὴ δ' ἐπὶ σεῖο
Κάρβεϊ χαρ πραπίδεσσι, καὶ εἰ μάλα πάνσοφος εἴης.
Μὴ δέ τιν' εἰσορόων χθαμαλώτερον ὕψος ἀερθῇς,
Ὡς πάντων κρατέων, καὶ τέρματος ἄσσον ἐλαύνων.
Τέρματος ἐντὸς ἔμαρψεν, ὃς οὐκ οἶδε τέρμα πορείης.
Λίην μὲν τρομέειν, λίην δέ τε μὴ βλεμεαίνειν.
Εἰς γλῶν ὕψος ἔθηκεν, ὑπ' οὐρανὸν ὕψος ἀείρει.
Καί ῥ' ὑπεροπλίῃσι θεὸς κοτέει μεγάλῃσι.
Μάρπτει τὸ μὲν χάρεσσι, τόδ' ἔλπεο, τῷ δ' ὑπόεικε.
Καὶ τὸ σαοφροσύνης, μέτρ' ἴδμεναι ἧς βιότοιο.
Ἴσον τι κακὸν ἐστὶν ἀπ' ἐλπίδος ἐσθλὰ πίθεσθαι,
Καὶ μέγα θάρσος ἔχειν, ὡς ἐνπετὲς ἔμμεν' ἄριστον.
Ἀμφοτέρας κεν ὁδοῖο κακὴν στάσιν ἐν φρεσὶ θεῖος.
Αἰεί σε τὸ βέλτιμον ἐπίσκοπον ἐν χερὶ κεῖσθαι.
Μηδὲν ὑπερπέμπειν χριστοῦ μεγάλοιο ἐφετμῆς,
Μὴ δὲ μὲν ἐντὸς ἄγειν, ἐκ δ' ἑλκεῖς σκοπὸς ἀμφοτέρωθεν.
Πολλάκι καὶ τὸ προδιοστὸν ἀχρήϊον ὥστε νίσσο
Κύδεος ἱμείροντες, ὑπέρτερα τοξεύοιμεν.
Ἣν μεγαλοφροσύνης, μνήσω σ' ἔθεν ἂν βίον ἔλθῃ.
Τίς μὲν ἄνης ὑπέρθεν, τίς δ' ἐν σπλάγχνοισιν ἐκεῖνο
Τίς δ' ἄρ' ἔσται μετόπισθε, κόνις, καὶ σποδὸς ἠδ' αὐδή, (ἔτ,
Μάλιστ' ἀκινδυνοτάτοιο φέρων πλέον ἐν νεκύεσσιν.
Ἢν χθαμαλοφροσύνης, πλάσμα χριστοῖο τέτυξαι,
Καὶ πνοιὴ, μοῖρα τε σεβάσμιον ἔνθεν ἐπήχθης,
Οὐράνιος, χθόνιος, τυκτὸς θεὸς, ἔργον ἄληστον,
Τοῖς χριστοῦ παθέεσσιν ἐπ' ἄφθιτον εὖχος ὀδεύων.
Τοὔνεκα μὴ σπέρχεσθαι χαρίζεο, μὴ τὰ πεδίοσα
Τοῦδε βίου φιλέειν, ναὸν δέ τε λάονα τεύχειν.
Ναὸς γὰρ μεγάλοιο θεοῦ βροτὸς, ὅνπερ ἔτευξε
Κινύμενος γαίηθεν, ὑπ' οὐρανὸν αἰὲν ὁδεύειν.
Τόνπερ ἐγὼ κέλομαί σε θυώδεα πᾶσι φυλάσσειν,
Ἔργμασιν ἠδὲ λόγοισιν, ἀεὶ θεὸν ἐντὸς ἔχοντα,
Αἰὲν ἄριστον ἐόντα, ἐτήτυμον, οὐ δοκέοντα.
Μὴ ναῦν μιλτοπάρῃον, εὔχροον, ἢ πρυμνοῖσιν
Κάλλεσιν ἀστράπτουσαν ἄγειν ἐπὶ νῶτα θαλάσσης,
Ἀλλ' ἐσθλὴν γόμφοισιν, εὔπλοον, εὖ ἀραρυῖαν
Χάρμασι ναυπηγοῖο δι' οἴδματος ὦκα φέρουσαν.
Πᾶς μὲν ἴοι προπάροιθεν, θεοῦ δέ τε πάντων ἔχοιτε.
Ὃς σοφὸς, ὃς ἀφνειὸς, ὃς πλούσιος, ὅστ' ἐπὶ δίνης
Ἕρματος ἀψεύστοιο. πρυμνήσια κεῖθεν ἀνῆφθαι
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, ὃς ἕζομαι ὑψιθόωκος,
Λαὸν ἄγων θυέεσσι πρὸς οὐρανὸν, ὢ πόσον ἄχθος
Χειρὸν ἀτιμάζοντι μελαινομένας πραπίδεσσιν,
Ὃς στάσιον κλέος ἐσθλὸν, ἐπὴν θεότητι πελάζω.
Καὶ γὰρ δὴ μέτροισι θεοῦ, καὶ μέτρα βίοιο
Ἕσπεται, ὡς δὲ μέτροισι βίου, καὶ μέτρα θεοῖο.
Ὦ δ' αὖ μοι φρονέοις, βίον ἔμπεδον ἐνθάδ' ἐλαύνοις,
Ἐνθάδε καὶ μετέπειτα θεοῦ σὺν ἀρείονι πομπῇ,
Λυθέντος σκιόεντος ἐν ἤματι τοῦδε βίοιο.

ΕΙΣ ΕΠΙΠΛΑΣΤΩΣ ΜΟΝΑΖΟΝΤΑΣ.

Πόλλω τὶς με τρυφᾶν δικτεύεται τῶν κινούντων
Καὶ διαθρυπτομένων, πλούσιος, ὑψιστῶν.
Ἀλλά τε πολλὰ λέγων, καὶ πλατὺν κῆπον ἔχοντα,
Καὶ ἀπραγμοσύνην, καὶ μετρίαν λιβάδα.
Δάκρυα δ' οὐ σιγᾶς ἔτι που τάλαν, οὐδὲ χαλινὰ
Γαστρὸς, καὶ γονάτων τραύματα, κἀγρυπνίην.
Οἷς μοναχοὶ νεκροῦσι τὰ σώματα, οἵ γε ἀληθῶς.
Τοὺς γὰρ ἀπαιδεύτους ῥίψομεν ἐς κόρακας.
Πράγματα δ' οἶα δοκεῖς ψυχὴν πάσχειν πολεμοῦσαν
Σώματι, καὶ κόσμῳ αὐτὶ καθεζομένην.
Οἱ μοναχοὶ τί λέγουσιν, ἀκούσατε ὦ φιλόκοσμοι,
Οἱ τῆς πρὸς καιροῦ τῆς μεγάλης ὀφρύος,
Κέκτησθε, πλουτεῖτε. γάμος, τέκνα, πάντα τὰ τερπνὰ
Ὑμέτερ', εἴτε γῆ, εἴτε θάλασσα τρέφει.
Ἡμᾶς δ' αὖ πηγὴν ἢ κηπίον, ἢ μικρὰν αὔραν,
Ἢ σκιὰν ἐκ δένδρου, κτήματ' ἐλαφρότατα
Σχόμενοι. ἔπειτα τρυφὴν τόδε φάσκετε, ἢ καὶ ἀναπνεῖν
Οὐ δεῖ χριστιανὸς, τοῦτ' ἀδικεῖσθε μόνον.
Εἷς νόμος, εἷς δὲ θεὸς, κλῆσις μία. πάντας ὁμοίως
Σαθλῶσαι χριστὸς σάρκ' ἀπολυσαμένους
Βούλεται. ἀλλ' ἡμᾶς συνελαύνετε εἰς τὸ τέλειον,
Ὡς χριστὸς αὐθρώποις ὅλον ὑποσχομένους.
Εἰ δὲ θεῷ, τοῦτ' αὐτὸς ἐπίσταται, οὐχὶ σὺ κρίνειν
Ἄξιος, ὄντα λευκὸν, χείρονα τραύματ' ἔχων.
Ὡς στυγνὸς ὁ νεανίσκε, καὶ ὠχρὸς, κἀνυπόδητος.
Αὐχμηρός τε κόμην, φθεγγόμενός τε μόγις.
Καὶ ζώνης δ' ἀραιὰ τὸ χιτώνιον, ὥστε μέλαινα
Διπλοῖς ὑπεστάτοις ἕλκει τ' ἐπὶ ἀστραγάλους.

Ταῦτ' εἰ μὲν διὰ πίστιν, ὁ πᾶς βίος ἐστὶν ἔλεγχος,
Εἰ δὲ ζωγραφίαν, ἄλλος ἐπαινεσάτω.
Μηκέτι μήτ' ἀρότρου μελέτω τινὶ, μὴ δὲ δικέλλης,
Μὴ δὲ φόρους διδότω, μὴ γονέας τρεφέτω.
Ἔστω σοι πώγων τε βαθὺς, καὶ σάκκινον ἔσθος,
Καὐχοῦ ἐπ' ἀθρύπτῳ, δόγματα καινὰ τίθει.
Ἂν δὲ σολοικίζῃς, καὶ πάντας ὁμοῦ καταλύῃς,
Ἄγγελος, οὐδὲ τρίχος ἰσχὺν ἔχων ὀλίγην.
Εἴης νῦν ἀκάθαρτον ἔχων βίον, ἢ πλεονέκτην,
Ἢ χεῖρας φονίας, ἢ λαγόνα μέγαν,
Μὴ δὲ μελῶν τῆξαι, μὴ δὲ δάκρυσι, μή τι πόνοισιν
Αὐτὸν ἀκροσμάχοι· μῦθος ἅπαντα τάδε,
Ἀλλὰ βίος στρεφέτω, τὰ ῥήματα πάντ' ἀναλέξας,
Αἰρέσθω μαρχέτω. τοῦτο λύσις κακίης.
Κόπτειν σάρκα παχεῖαν, ἐν οἷς δύναται πᾶσιν ἄριστον,
Εὐχαῖς, νηστείαις, φροντίσιν, ἀγρυπνίαις.
Τὸν μὲν γὰρ καθαρὸν, καθαρώτερον εἰκὸς ὑπάρξαι.
Τὸν δὲ κακὸν, τῆξαι τῆς κακίης τι μέρος.
Εἰ δ' ἔτι τις ἔστ' ἐπίπλαστος, ἐμοὶ καὶ τοῦτον ἄριστον
Κόπτεσθ', ὥστε δίκας τῆς ἀπάτης διδόναι,
Τὰς παχείας σάρκας καὶ γαστέρα ὄγκον ἔχουσαν,
Ἣ λεπτὴ χωρεῖν εἴσοδος οὐ δύναται.

ΕΙΣ ΤΗΝ ΝΟΣΟΝ.

Ἤλυθεν αὖθις ἐμοί γε δολόπλοκε, ὡς ἐνέπουσι,
Βρυγμὸς ἐμῆς κραδίης ἔνδοθι βοσκόμενος.
Καὶ πολλοῖς, κρατεροῖς τε τινάγμασι τοῦδε βίοιο,
Εἰκόνα τὴν ἱερὴν γνὺξ βαλέειν ποθέων,
Σαρκὶν βριθομένοισιν ἐνήλατο, καί μ' ἐδάιξας
Εἰς πόδας ἐκ κεφαλῆς ῥεύματι δαυμὰ λύσας.
Τὴν ξυνὴν ἔδησε θεὸς φύσιν, ὡς ἐκέρασσε
Τῇ ψυχῇ λαχρὴν κοσμογόνῳ σοφίῃ,
Ὡς καὶ ἰσοστασίῃ δίμης ἄρτιον ἅμμα φυλάσσει,
Τὴν δὲ διχοστασίην καὶ βιότοιο φυγῇ.
Ἤλυθεν ἀνδροφόνοισι νοήμασιν, ὧν δ' ἐμὲ τλήμων
Σῆς δνοφερῆς κακίης ἰὸν ἔχουσα ὅλον.
Οὐχ ἅλις ἦεν ἐμοί γε βαρύστονα γήραος ἕλκειν
Ἄλγεα, καὶ σκοπέλων ἄχθεα τρινακίων,
Ἀλλά με καὶ συνεργὴ κατεδάσσατο δάπτεια νοῦσος,
Τηκεδανὴ μελέων, ὡς ἔτος ἐξ ἔτεος.
Τοῖσιν ἐπαιάζω, καὶ στένομαι, ὥς ὅτε τὶς λὶς
Ἄλκιμος ἐμπλεχθεὶς ἄρκυσι θηροφόνων.
Οὐ μύθων ποθέω σκιρτήματα, οὐκ ἐρατεινὴν
Γαστρὸς ὁμοῦ λιχνείην, οὔτε μὲν εὐθαλίην.
Οὐκ ἀγορὰς πολίων, οὐκ ἄλσεα, οὐδὲ λοετρὰ,
Οὐδ' ὅσα τοῦ δολεροῦ αὔθεα τοῦδε βίου.
Ταῦτα γὰρ οὐδὲ πάροιθεν ἐμοὶ φίλα, ἐξ ὅτε Χριστὸν
Ἄγκας ἔμαρψα, χθονίων τῆλ' ἀπανιστάμενος.
Αἰάζω δ' ὅτι με Χριστοῦ μεγάλοιο λέλοιπεν
Ὄμμα ζωοφόρον, ὦ μέλον ἄποτ' ἴδω,
Ὅς με καὶ ἐν σπλάγχνοισιν ἁγνῆς κύδηνε τεκούσης,
Καὶ πόντου κρυεροῦ ῥύσατο καὶ παθέων.
Αἰάζω λαοῖο θεόφρονος ἡνία ῥίψας,
Οὐ μὲν ἀπορρίψας, ὅτι δὲ χερσὶ φέρων,
Ὃς πρόσθεν μύθοισιν ἀγάλλετο ἡμετέροισιν,
Ἡνίκ' ἀπὸ γλώσσης τρισσὸν ἔλαμπε σέλας.
Νῦν γε μὲν ὡς λιπόμαστος ἐν ἀγκαλίδεσσι τεκούσης
Νηπίαχος θηλὴν ἐπιμάσσεται αὐαλέην
Χείλεσι διψαλέοισι, πόθον δ' ἐψεύσατο μήτηρ,
Ὡς ἄρ' ἐμῆς γλώσσης λαὸς ἀπηρέμαται,
Ἰχανόων πηγῆς πολλοῖς τὸ πάροιθε ῥυείσης
Ἣ νῦν οὐδ' ὀλίγην ἰκμάδα οὐκ ἔτ' ἔχει.
Ἄλλοι μὲν προχέουσι γλυκὺν ῥόον, οἱ δ' ἀΐοντες,
Ἄχνυντ'. οὐ γὰρ ἐοῦ πατρὸς ἔχουσι λόγον.
Ποῦ μοι παννυχίων μελέων στάσις, οἷς ὑπερείδων
Τοὺς πόδας βεβαιοὺς ἔμπνοος, ὥστε λίθος.
Ἢ μοῦνος Χριστῷ ξυνὸς μένος, ἢ σὺν ὁμίλῳ
Τέρψιν ἔχων ἱερῶν αὐτοθέτων μελέων.
Ποῦ καμπτῶν γονάτων γλυκερὸς πόνος, ὃν τὸ πάροιθε
Δάκρυα θερμὰ χέων, νοῦν σκοτόλην συνάγων.
Ποῦ δὲ πονητοκόμοι πέπλασμαι περὶ νοῦσον ἔπεσσαι.
Ποῦ τῆξις μελέων οἴχετ' ἀδηφαγίων.
Οὐκέτι μὲν θυέεσσιν ἁγνοῖς ὕπο χεῖρας ἀείρω,
Τοῖς μεγάλοις Χριστοῦ μιγνύμενος πάθεσιν.
Οὐκ ἔτι δ' ἀθλοφόροισι φίλην ἵστημι χορείην,
Εὐφήμοισι λόγοις τίμιον αἷμα σέβων.
Εὐρὼς δ' ἀμφὶ βίβλοισιν ἐμαῖς, μῦθοι δ' ἀτέλεστοι,
Οἷς τις ἀνὴρ δώσει τέρμα, φίλα φρονέων.
Πάντ' ἔθανε ζώοντι, βίος δέ μοι ἐστὶν ἀφαυρὸς,
Νηὸς ἀκιδνότερος, τὴν λίπον ἁρμονίαι.
Ἀλλ' ἔμπης, εἰ καί με βαρύστονε δαῖμον ἐλαύνεις,
Οὔποτέ σοι κάμψω γόνατ' ἐμῆς κραδίης,
Ἀλλ' ἄτρεπτος, ἄκαμπτος, ἐμὴν ἐς μητέρα γαῖαν
Δύσομ'. ἔχοι σκώληξ τὴν ὄφιος δαπάνην.
Τύπτε δέμας, ψυχὴ δ' ἄρ' αὐτάρκης. εἰκόνα θείην
Παρστήσω Χριστῷ, τὴν λάχον ἀνδροφόνε.
Καὶ γὰρ πρόσθε σεῖσας Ἰὼβ μέγαν, ἀλλ' ἐδαμάσθης.
Ὡς μὲν ἀεθλοθέτης ἐστεφάνωσε μέγας,
Καὶ θῆκεν περίβλεπτον ἐῷ κηρύγματι νίκην,
Πάντα δ' ἔλαβεν ἔχειν διπλᾶ, τά οἱ κέδασσας.
Τοῖος ἐνικήσας Χριστοῦ νόμος, ἀλλά μ' ἄναχθι
Ὀψέ περ ἀρτιμέλην, σὸς λόγος ἐστὶν ἄκος.
Λάζαρος ἐν νεκύεσσιν ἐγὼ νέος, ἀλλὰ βόησον,
Ἔγρεο, καὶ ζήτω σοῖσι λόγοισι νέκυς.
Λυσιμελὴς νέος εἰμὶ ὀλέθριος, ἀλλὰ βόησον,
Πήγνυσο, καὶ κλίνην βήσομαι ὕψι φέρων.
Σῶν κλέπτω θησαυρῶν παλάμαις ἄκος, ἀλλὰ ῥέεθρον
Αἵματος ἔσχε τάχος σαρξὶ μαραινομένης.
Σοὶ δ' ὑποκάμπτομ' ἔγω γε, τὸν λάχος, ὡς Χανα-
Γυρὸν ἔχουσα δέμας, ἀλλ' ἀνάειρέ μ' ἄναξ. (ναία
Πόντος ἄνω, σὺ δ' ὕπνος ἔπι γλυκύς. ἀλλὰ τάχιστα
Ἔγρεο, καὶ στήτω σοῖσι λόγοισι σάλος.
Ἔστι μὲν ἄλγος ἐμοί γε, καὶ ἄψεα νοῦσος ἔχουσα.
Οὐ γὰρ δὴ βροτέων πάμπαν ἀμοιρέομεν,
Οὔτ' ἐγὼ, οὔτε τις ἄλλος, ἐπεὶ θεὸς ὧδε κελεύει,
Μή τιν' ὑπέρβιε φέρειν ὀφρὺν ἐπουρανίην.
Πάντας δ' ἐν μεγάλοιο θεοῦ λεύσσοντες ἀρωγὴν,
Χρειοῖ κέντρον ἔχειν πλεῖον ἐπ' εὐσεβίῃ.
Ἀλλ' ἔμπης οὐ τόσσον ὀδύρομαι εἵνεκα νούσου.
Νοῦσος γὰρ νεαρῷ καί τινα ῥύψιν ἔχει.
Ἧς πάντων χατέουσι, καὶ ὃς μάλα καρτερός ἐστι.

Δεῦρ μὲν

Δός μ' ἔτ' ἐν θνητοῖς καί τι μέλειν φορέειν,
Ὅσσ' ἀπιὼν χθαμαλῶν πεδικινδύνων ἄλγεα πάσχων,
Μή τις ὀλισθήσῃ πήμασιν ἡμετέροις.
Παῦροι μὲν μερόπων κρατερόφρονες, οἵ ῥα θεοῖο
Δέχνυντ' ἀσπασίως πᾶσαν ὑποστασίην,
Τερπνόν τε, λυπρόν τε, λόγον δ' ἐπὶ πᾶσιν ἴσασιν,
Εἰ καὶ κρυπτὸν ἔῃς βένθος ἔχει σοφίης.
Πολλοὶ δ' εὐσεβέεσσιν ἐπιθρώσκουσιν ἀκιδνοῖς,
Ὡς θεολατρείης οὐδὲν ἔχουσι γέρας.
Ἢ καὶ πάμπαν ἄτιμον ἐν ἐσθλοῖσι νόημα
Ἴσαντ', αὐτομάτην πᾶν περὶ πῆξιν ἔχειν.
Οὐδὲ θεὸν μεδέοντα βρότεια πάντα κυβερνᾶν,
Οὐδὲ γὰρ ἂν τοίους οἴακας ἄμμι φέρειν.
Τῶν μνῆσαι, καὶ ἄλαλκε τεῷ θεράποντι μέγιστε,
Μὴ δ' ἐπὶ λωβητὸν τέρμα βάλῃς βιότου.
Σὸς λάτρις οὗτος ἔγωγε, τεοῖς δ' ἐπὶ χεῖρας ἰάλλω
Δώροις, καὶ κεφαλαῖς τῶν ὑποκλινομένων,
Καὶ νοῦσον κελέουσιν ἀρηγόνα. ἵλαθι Χριστέ.
Εἰ δ' ἔτ' ἀεὶ κρύπτεις, δὸς σθένος ἀθλοφόρον.
Μήτε με πάμπαν ἄλιμον ἔχοις λόγῳ, μήδ' ἐπίμοχθον,
Μήτ' ἀχάλινον ἄγοις, μή τε δυσπαθίῃ.
Κέντρῳ νύσσε μάκαρ, μὴ δούρατι, μήτε με κόψῃς,
Μὴ δ' ὑποβρυχθομένην νῆα θάλασσα φέροι.
Καὶ λεὼς ὕβριζε, τὰ ἄλγεα νυκτὶ καλύπτει.
Ἀντιταλαντεύοις τίσιν ἀπημοσύνῃ.
Ἔχθε' ἀγηνορέοντά μ', ὑπερμογέοντ' ἐλέαιρε,
Ὡς ἔστ' ὠκείης καιρὸς ἀριστόδικος.
Ἅζομ' ἐμὴν πολιήν τε, καὶ ἄψεα αὐτοδάικτα,
Καὶ θυσίας μεγάλων πήμασι, καὶ θεόθεν.
Ἀλλὰ τί μοι τὰ περισσὰ νόμους θεότητι τίθεσθαι.
Τῆμος Χριστὲ φέροις σὸν λάτριν, ὥς ἐθέλεις.

ΠΡΟΣ ΝΕΜΕΣΙΟΝ.

Ὄμμα δίκης μύθων τε, Νεμέσιε, ὃς τὸ πάροιθεν
Βήμασιν ἰθυδίκοισι φέρων κλέος ἐκ βασιλῆος
Πρώτοις αὐσονίοις τε νόμοις μέγα κάρτος ὀπάζων
Ἐξ ὀπὸς ἀντιπάλοιο, καὶ ἥσσονα μῦθον ἐλέγχων,
Ὕστατον αὐτίλλας θώκων ὑπὲρ ἠγαθέοισι
Καππαδόκοισι, θέμιστος ἀπάργματα σῆς ἀναφαίνων
Ἄλλοι μὲν μολπῇσιν, ἐριγδούποισί τ' ἀοιδαῖς,
Καὶ ῥήτρην πυρόεσσαν ἀεὶ στομάτων προχέοντες
Τὴν σὴν, ἣ ῥα σὺ πάντας ἀπόπροθι πολλὸν ἔθηκας,
Σὸν κλέος ὑμνείουσιν, ἐπεὶ πλεόνεσσι λόγοισιν
Ἄρκιος, ἣν ἐθέλωσι διακριδὸν ἐξαγορεύειν,
Ὥστε ῥόος μεγάλοιο μεριζόμενος ποταμοῖο.
Ἄλλοι δ' αὖ γραφίδεσσι μετήορον ὕψι φέροντες,
Ἢ χαλκῷ χοάνοις τε Νεμέσιον ἐν μεσάτῃσι
Στήσαντες πολίεσσιν ἀναυδέα, τὸν πολύμυθον,
Ἄστεα κυδαίνουσιν, ἐπεὶ κλέος ἄστεσιν ἐσθλῶν
Ἡγεμόνων, καὶ εἶδος ὁρώμενον ἐσσομένοισιν.
Αὐτὰρ ἐγὼ, δὴ γάρ με θεὸς μέγας ἴδριν ἔθηκεν
Οὐρανίων, χθονίων τε, νόος δ' ἐπὶ πάντα φορεῖται,
Βένθε' ἀνιχνεύων μεγάλου σὺν πνεύματος αἴγλῃ,
Φθέγξομαι, ἅσσ' ἐπέοικε θυηπόλον αὐδὴν ἀγορεύειν,
Ἄγγελον ἀτρεκίης δρυχία, τῶν δὲ μαθητὴν,
Οἳ κόσμον γλυκεροῖσι θεοῦ δήσαντο σαγήναις,
Οὔτε λόγοις κρατεροῖσι πεποιθότα, οὔτ' ἀφρόνοιο
Κάρτει φυσιόωντα, ἀγακλέα, ὥστε πάροιθεν,
Ὄφρα τις ὧδ' εἴπῃσι, θεοῦ κράτος ἐστὶ λόγοιο.
Ἀλλ' ἄγε τοῖς δ' ἐπίδησι δίδου φρενὶ, καὶ γλυκεροῖσι
Μαψιδίοις ἐπέεσσι τόσον χρόνον ὅσσ' ὑποσχὼν,
Ὧν χάρις ἐστ' ἐπίπλαστος, ὁμοῖος ἄνθεσι μάχλοις.
Βαιὸν ἐμοῖσι λόγοισιν ὑποκλίνειας ἀκουὴν,
Ὧν κάλλος νόος ἐστὶν, ἀνέκπλυτον, ἀσυφέλικτον,
Ὄμμασιν ἀγνοτέροισι διαυγέα φῶτ' ἀμαρύσσων.
Εἰ γὰρ ἐσέλθοι τὴν φρένα Χριστὸς ἄνωθεν,
Καὶ μεσάτην πρώσειεν ἀναψύχοντι βέλεμνον,
Ἀμφοτέρως κεν ὁρῶντες ἐποπτεύων ἑκάτερθεν,
Γνοίης κέντρον ἄνακτος, ὅσον γλυκερώτερόν ἐστι.
Ἤδη μοι πολιόντε κάρη καὶ ἄψεα ῥικνὰ
Ἔκλινθεν βιότοιο πρὸς ἕσπερον ἀλγινόεντος.
Πολλοῖς μὲν λυπροῖσιν ἐμὸν κέαρ ἀντιβόλησε,
Πολλοῖς δ' αὖ τερπνοῖσιν ἀμοιβαδὶς ὠκυμόροισιν.
Ἀλλ' οὔπω τοιόνδε, τοσόνδε τι κῦδος ὄπωπα,
Ὅσσον ἐπουρανίοιο θεοῦ θεότητι πελάσσαι.
Οἷον ἐμοὶ φίλον ἔσκε λόγων κλέος, ὅς συνάγειρεν
Ἀντολίη τε, δύσις τε, καὶ Ἑλλάδος εὖχος Ἀθῆναι.
Τοῖς ἔπι πολλ' ἐμόγησα πολὺν χρόνον. ἀλλὰ καὶ αὐτοὺς
Πρηνέας ἐν δαπέδῳ Χριστοῦ προπάροιθεν ἔθηκα,
Εἴξαντας μεγάλοιο θεοῦ λόγῳ, ὃς ῥα καλύπτει
Πάντα φρενὸς βροτέης τροπτὸν πολυειδέα μῦθον,
Τόσσον, ὅσον φαέθων ὑψίδρομος ἀστέρας ἄλλους.
Τοὔνεκ' ἐμῶν ἐπέων ἐμπάζεο. καὶ γὰρ ἄμεινον.
Οὐ θέμις, οὐδ' ἐπέοικε θεοῦ βροτὸν ἐγγεγαῶτα,
Οὐρανίοιο λόγοιο καλὴν καὶ ἄφθιτον εἰκὼ,
Τὴν νοερὴν, νοερόν τε δαίμονα, ὑψικέλευθον,
Εἰδώλοις κενεοῖσιν ὑποκλίνεσθαι ἀθέσμως,
Εἰναλίων, χθονίων τε, καὶ ἠερίων πετεηνῶν,
Ὕλης σκιδναμένης, ἰνδάλμασιν εἰδανοῖσι,
Παίγμασι σῆς παλάμης, ἐφ' ᾧ καὶ σύ τι καμάσσης.
Ὧν τὸ μὲν ἐστὶ σέβασμα, τὸ δ' ἥμισυ κεῖτ' ἀγέραστον.
Οὐδὲ μὲν οὐρανίοισι τὰ μὴ θεοὶ, ἐκ δὲ θεοῖο
Κτίστορος ἐξεγένοντο, καὶ εἰ μέγα κῦδος ἔχουσι,
Μήνη τ', ἠελίῳ τε καὶ ἄστρασιν, οἵ ῥα πόλοιο
Κόσμος. ὃ δ' οὐρανίοιο φερόμενον ἀστέρων εἶδος,
Κυκλάδον πολλοῖσι κινασμένος ἔνδοθι κόσμοις,
Κῆρυξ ἀγλαόφωνος ἀναυδέσι ῥήμασι τέχνης,
Ἣ τόδε πᾶν συνέπηξε, καὶ ἁρμονίῃ συνέδησεν,
Ὄφρα κε δερκομένοισιν ἀδερκέα φῶτα ἕλωσι,
Καὶ γάρ τις δόμον αἰπὺν ὁρῶν, δωμήτορα λεύσσει.
Καὶ ναῦς ναυπηγοῖο διάγγελος ἐλάλησε.
Τὴν δ' ὦ θεοποιὲ, νέον πάτερ οὐρανιώνων,
Ἤδη καὶ συγγενοῖσι σεβάσμασι γόνατ' ἔκαμψας,
Δαίμοσιν ἀψύχοισι, κακούς τ' ἀγαθούς τ' ἐκάλεσσας,
Οἳ πάντων τελέθουσι κακοὶ, καὶ πλάσματος ἐσθλοῦ,
Δυσμενέοντες, φθονεροὶ, φιλοδαίμονες, ἀγριόθυμοι,
Σαρκοχαρεῖς, κνίσσῃσι γεγηθότες, ἰλυόεντες,
Οὓς Χριστὸς μεγάλοιο θεοῦ λόγος, εὖτε φαάνθη
Ἀνδρομέοισι τύποισιν ἀδμὴς θεὸς, ὥσεν ὀπίσσω,
Δηρὸν δὴ κρατέοντας ἐπὶ χθόνα, αἵματι σεμνῷ,
Αἵματι λῦσεν ἀλιβὰ, νόον δ' αὐδάξε θυηλὴν,

Τὴν κρυπτὴν τὸ πάροιθε, φαεινομένην ὀλίγοισιν.
Οὐ μέγα, καὶ γὰρ ἐγὼ χριστοῦ λάχος, οὔνομα σεπτὸν
Πολλάκι μουσοεπὴς ἔσπον. ὁ δ' ὄχλος τυλόει δαίμων
Τρύζων, ἀχαλέων τε, βοῶν δ' ἀγρίος ὑψιμέδοντος,
Ἢ σταυροῦ μεγάλοιο χαράγματι, μὴ δὲ μολόντι
Ἠέρα μέσσον ἔγραψα, τύπος δ' ἔστησε τρόπαιον,
Ὡς τὸ πάρος Μωσῆος ἀγακλέος ἐν παλάμῃσιν.
Ἤθελον ἱμείρας σκοπιῆς καθύπερθεν ἀερθεὶς,
Βροντεῖον πάντεσσιν ἐπιχθονίοισιν ἀῦσαι
Ἄνθρωποι θνητοὶ, καὶ τέκτονες, οὐδὲν ἐόντων,
Μέχρι τίνος ψεύστῃσι καὶ ἠπατίοισιν ὀνείροις
Παιζόμενοι, παίζοντες, ἐπὶ χθονὶ μὰψ ἀλάλησθε,
Λάτριες εἰδώλων κενεόφρονες, οἳ παθέεσσιν
Ἄλκαρ ἑοῖς μάστεσθε, θεοὺς στήσασθ' ἀλεξάς,
Ὑβριστάς, ἀνδροφόνους, σκολιούς, ἐπίορκον ὀμοῦντας,
Ἅρπαγας, ἀνδρογύνους, μοιχούς, ἐπιβήτορας ἀνδρῶν.
Ἄθρει δὴ πρώτιστον ὅσ' ἔπλετο μαργοσύνησι,
Ταῦρος, κύκνος, χρυσός, ὄφις, πόσις, ἄρκτος, ἅπαντα
Ὅττι μιν ὠκὺς ἄνωγεν ἔρως, κοῦρός τ' ἀλαπαδνός,
Ὡς αὐτοί γ' ἐνέπουσι θεῶν πλαστῆρες ἀκιδνῶν.
Οὐκ οἶον, παθέων δὲ καὶ αὐτοῦ ἱερὰ σέβεσθε.
Ἄλλους δ' αὖτ' ἄλλοισι κακοῖς ἐπὶ κάρτος ἔχοντας,
Ὡς μὴ μοῦνον ἄπιστον ἅπαν κακόν, ἀλλὰ καὶ ἐσθλὸν
Ἔμμεναι, ὡς ῥα θεῷ κεχαρισμένον, ὅς τόδ' ἔπισι.
Σκέψαι μοι στρατὸν ἄλλον ἀγακλειτῶν ἐπικούρων,
Ἰθυφάλλους, κερόεντας, αἰπαύχενας, ἡμιδράκοντας,
Θῆρας, θηρομιγεῖς τε, γελοῖον εἶδος ἔχοντας.
Τοίους πάντας ἴδοιμι, ἐπεὶ καὶ τοῖα σέβουσι,
Τοῖοι καὶ τελέθοιεν ἀρηγόνες εἰσὶ φίλοισι,
Τοίων καὶ κάλλιστα χερῶν, ἐπὴν καὶ ἐς ἐχθρὸς ἵκηται,
Ὡς κεῖνοι σφετέροισιν ἀρηγόνες εἰσὶ κακοῖσιν.
Ἀλλὰ τί μοι τὰ ἕκαστα διακριδὸν ἐξαγορεύειν,
Γλώσσης ἐξ ἱερῆς ἀμαρύγματα τοῖα χέοντι.
Ἓν δ' ἐνὶ πᾶσι μέγιστον, ἀτὰρ λόγος ἄλλος ἔφραδε.
Ἡμεῖς μὲν μεγάλοισι βίβλοις, θείοις θ' ὑποφήταις,
Καὶ πνεύματος χριστοῖο διάκτορος ἠγαθέοισι
Πνεύματι αἰγλήεντι χαρασσομένοισι νόημα,
Καὶ κραδίας καθαρῇσι θεὸν μέγαν εἰσορόωσιν,
Ὦ μόνῳ θεότητος ἀαδέος δεῖ λαβέσθαι,
Ἰδρεῖεν οὐρανίων, θεολαμπέων, ὑψιθεόντων,
Ὅσσον ἐφημερίοισι θεοῦ βατὸν ἐνθάδ' ἐοῦσιν.
Οὐ γὰρ ῥηϊδίως νεφέλης διαδέρκεται ὄμμα
Καὶ λύχνου ἀγλαΐοιο, τὸ δὲ πλέον ὕστερον ἡμῖν.
Μισθὸς γάρ τε πόθοιο, πόθου τέλος αὐτοβολῆσαι.
Ὑμῖν δ' οἱ μὲν ἔασιν ἐπιχθόνιοι, ὅσσον ἔασι,
Μύθοις ὑμετέροισι, σεβάσμασί τ' οὐλομένοισι,
Τρισμάκαρες θνητοῖσι τρίβακες, οἵ ῥα κακοῖσιν,
Οὔτι γε σύμφρονές εἰσι, νόμον δ' ὑπὸ πίστιν ἔθηκαν.
Οἷς γὰρ βωμοῖσιν, εὐπλεκέεσσί τ' ἐν ὕμνοις
Τίετε πανδήμοισιν, ἀγακλειταῖς θ' ἑκατόμβαις,
Πολλάκι δεῖπνον ἔθηκαν ἀμβροσίοις κοράκεσσιν.
Εἰ δ' ὡς θεολόγοισιν ἐφάνδανεν ὑμετέροισιν,
Εἰσὶ γάρ, εἰσὶ καὶ ὑμῖν ὑποφραστῆρες ἀοιδῆς,
Ταῦτα μὲν οὐκ ἄεισμα κενόν, καὶ θυμὸς ἀοιδῆς
Τερπνῆς, μιγνυμένης μέτροις σὺν παίσομαι μύθῳ.

Αὐτοῖς δ' αὖ νέος οὐχ ὑφαινόμενος ἄδει μάχλῳ,
Σεμνότερος, πινυτοῖσιν ὁρώμενος, ἀμφιπρόσωπος,
Ἑρμῆς δίγλυφος, οἷα πρόσω τὸ μὲν, ἄλλο δ' ὄπισθεν.
Ἄθρει καὶ τόδε μοι λόγον ἄτροπον, ὥσπερ ὀΐω,
Ἔστι καὶ ἡμετέροισι διπλοῦς λόγος, ἐν δ' οὐ σεπτοῦ
Πνεύματος, ὅς δ' ἄρ' ὕπερθε χαράγματος ἠγαθέοιο,
Ἄμφω, ὁ μὲν παύροισιν, ὁ δὲ πλεόνεσσι θεητός.
Οἴομαι, ὅς καὶ ἔχουσι σοφοὶ πλέον, οἱ λαβόντες,
Μόχθῳ κατίσχουσι. τὸ δ' οὐ χερόν, ὅττι τάχιστον.
Ἀλλ' ἔμπης μύθοισιν ἐμοῖς, ὡς σῶμα φαεινὸν
Ψυχὴν ἀμφὶς ἔχον θεοειδέα διπλόον εἶμα,
Πορφύρεον μαλακοῖο διαφανὲς ἀργυφέοιο,
Αἶσχος δ' οὐδὲν ἔπεστιν, ὅ μοι θεὸν ἀμφικαλύπτῃ.
Αἰδέομαι, θεότητος ἔχων ἴκτορα μῦθον.
Τίς σκύλλης σκοπέλους σε διεκπλώοντα, κέλευσε
Σπεύδειν ἐς Ἰθάκην, μή πως πάρος ἐνθάδ' ὄληαι.
Τίς δ' ὀλοὴν σε χάρυβδιν ἀπώσατο, τίς δ' ἐπὶ πηγὴν
Τῆς καθαρῆς θεότητος, ἐν ἰλύϊ δινεύοντα.
Ἰλὺς πρόσθ' ἀπέλυσε, τὸ δ' ἐκφυγὲ ἀγλαὸν ὕδωρ;
Φράζεό μοι καὶ τοῦτον ἐπίφρονα μῦθον ἄριστον,
Οἳ πλεόνεσσι κακοὺς, καὶ ἡγητῆρος ἄνευθεν,
Πρόφρονες εἰς κακίην. τυτθὸν δ' ἐπὶ λῷον ὁδεύει.
Σχεῖν ῥόον, ἄβροτον ἐμοί γε. τὸ δ' οὐ πρηνὲς, ὡς μάλ' ἐλα-
Εἰ δὲ θεοὺς στήσαιας ἀτασθαλίης μεδέοντας, (φρὸν.
Ῥεῖα μύθῳ δνοφεροῖο λῦσαι ζόφον ἔμφρονι μύθῳ,
Μυθολεσχῶν δ' ὑπέρβας ἀπατήμερον φαίνουσιν.
Ἀλλὰ τί μοι πλεόνων, σὺ δέ μοι λόγον αὐτὸς ἄλυξον·
Ἀμφὶ δὲ τὸν πινυτὸς περ ἐών, καὶ ἄλλον ἐλέγχειν.
Εἰ μῦθοι τάδ' ἔασιν ἱδρύματα, ῥῖψον ἔραζε.
Τίς χρέος, αἶσχος ἄπιστον ἑοῖς κτεάτεσσι γεραίρειν,
Ὃν δὲ θεὸν γενετῆρα, βίῃ θ' ἡγήτορ' ἀτίζειν,
Εἰ μὴ μῦθος ἐφέλκεται οἷς φαίνουσι καλύπτειν,
Ἀζόμενος πολιῇσιν ὁμοῖα μυθολογεύειν,
Τερπομένας κύλιξι φίλαις, καὶ νυξὶν ἀΰπνοις.
Ταῦτα μὲν εἰς πόντοιο πέσοι βυθὸν, ὥσπερ ὄλωλε
Μοίρῃ πλειοτέρῃ, χριστὸς γὰρ ἅπαντα κατέσχεν
Ἐκ πρώτων, ἐπεὶ πείραθ' ἑαῖς παλάμῃσιν ἀγείρας,
Ἅς ποτ' ἐπὶ σταυροῖο μεγακλέος ἐξεπέτασσεν.
Εἰ δ' ὅτι καὶ διὰ μητρὸς ἐμοὶ θεὸς ἤλυθεν ἁγνῆς,
Παρθενικῆς ἀδέτοισι νόμοις καινοῖσι γενέθλης,
Καὶ θάνε, καὶ νεκύεσσι μίγη, καὶ ἀνέδραμεν αὖθις,
Ἢ ῥα φέρων παθέεσσιν ἐμοῖς, ὃν ῥῖψεν ἁμαρτάς,
Τοῦτό σοι οὐκ ἄκοσμον, ἐπεὶ καθαροῖσι θεοῖσιν
Ἐκ καθαρῶν γεγαῶσι, δίδως σέβας ὦ φιλόκοσμε
Σήμερον, ὅττι πάροιθεν ἐμῶν μύθων ἐπάκουσον,
Οὓς μοι χριστὸς ἔπνευσεν ἐμὸς θεὸς ἐμπεδόμυθος.
Ἔστι μὲν οὐκ ὀλίγοισι καὶ ὅς λόγος, ὡς ἀπὸ κόλπων
Παρθενικῶν βλάστησε θεοῦ βροτὸς, ὃν συνέπηξε
Πνεῦμα θεοῦ μεγάλοιο ναῷ, ναὸν ἁγνὸν ἀγείρων.
Μήτηρ γὰρ χριστοῖο ναοῦ, χριστὸς δὲ λόγοιο.
Ὡς γὰρ θέσμιον ἦεν, ἐπεὶ φύσιν ἑλόμενος θὴρ
Ἡμετέρην ἐφέπουσι παραιβασίης ὑπὸ πικρῆς
Θεοστέροιο βροτοῖο φυὴ κακίην ἀκέσασθαι,
Καὶ θῆσαι κράτος αἰνὸν ἀθεσμοτάτοιο δράκοντος,
Τόνικα γενεὴν ἀμείψῃ, τὸ δ' ἥμισυ τίσι γενέθλης

Ἡμετέροις, τόδ' ἔλειπεν, ὅμως τέκε παρθένος ἀδμής.
Αὐτὰρ ἐπεί μιν ἔτικτε, καὶ ἐν σπλάγχνοισι θέωσεν,
Ἐκ δ' ἄγαγε πρὸ φόωσδε τελειομένοιο χρόνοιο,
Τῆμος σάρκα παχεῖαν ἐφέσσατο, πλῆσε δὲ νόον
Ἐκ καθαρῆς θεότητος ἄναξ λόγος. ἀμφότερον δὲ,
Εἷς θεὸς ἦεν ἔμοι γε. τὸ γὰρ φθιτὸν οὐχ ὑπόειξεν
Ἀθανάτῳ πλάσαντι. θανεῖν δ' ἐθέλων ὀλίγον τι,
Τύμβον ὑπερθέμενος πληκτὸν δ' ἔμεν, ὥσκεν ἀναστὰς
Ἐκ νεκύων παλίνορσος, ἀναστήσειε θανόντας,
Ἕλκων οἷα μάγνησσα λίθος τενόοντα σίδηρον.
Πᾶσι γὰρ ἀνδρομέοισιν ὅλον μ' ἀνεδέξατο Χριστός,
Σάρκα λαβὼν, πόνον, ἄλγος, ὕβριν, τάφον, εὖχος, ἔγερσιν.
Τοὺς μὲν ῥ' ὑμετέροιο λόγου σχέθον ἄγριον ὁρμήν,
Οἳ τόσον αἶσχος ἔχοντες, ἐμοὶ μῶμον αἰνὸν ἔθεντο,
Βόρβορον οὐχ ὁρόωντες, ἐμῶν ῥανίδων ἀλέγοντες,
Εἰ δ' ἐθέλεις ἐτεὸν γνῶναι λόγον, οὖας ὑποσχὼν,
Οἶδα μὲν, ὡς πλεόνεσσιν ἀφανδέα τοῦτ' ἀγορεύσω.
Οὐ γὰρ ἐν πλεόνεσσιν ὅλος λόγος, οἱ κενεοῖσιν
Ἑσπόμενοι δόξῃσιν, ἐτητυμίης ἀλόγησαν.
Ἀλλ' ἔμπης ὀρέω λόγον ἔμπεδον, οὐδ' ἐπικεύσω,
Καὶ μάλα περ ποθέων βίον ἄργυρον. οὐδ' ἐν ἄκοσμον,
Πλὴν συγγενῆς κακίης. ἀρετὴ δέ τε μοῦνον ἄριστον.
Τἄλλα δ' ἄρ' ἐν μεσάτῳ τε κακῶν ἀγαθῶν τε τέτυκται,
Ἡμετέρης ἰότητος ἀπήορα, εὖ μὲν ἔχοντα
Τοῖς ἀγαθοῖς, τοῖς δ' αὖτε κακοῖς, καὶ λίαν ἄκοσμα.
Ὧν ἐν καὶ τόδ' ὄπωπα ἐμῆς μυστήριον ὕλης,
Εἴδεος ἀθανάτοιο συνερχομένης μελέεσσιν.
Οὐδὲ γὰρ ὡς συνιὼν τοὔξε βροτὸν, ἧς θεότητος
Μάρτυρα, καὶ μεδέοντα κάτω, καὶ εὖχος ἄνακτος,
Οὔτ' αὖ μιν φιλέων, συγγενέω πόρσωνε γροίβλω.
Ἢ λῆξον μύθοιο, θεοῦ δ' ἀπόπεμπε νόημα,
Εἴ τοι μὴ καθαρῆς διὰ νηδύος ὂν φάος ἦλθεν
Οὐ καθαρός. καθαρὸν γὰρ ἀλώσιμον οὔποτ' ἀνάγνῳ.
Εἰ δ' ἐθέλεις, καὶ ἄναγνος ἔοι τόκος. ἀλλὰ τόδ' ἔμπης,
Πᾶσιν εὖ φρονέουσιν ἀριφραδὲς, οἷς ἂν ἐπέλθῃ.
Ἀκτὶς ἠελίοιο φέρει φάος, οἷς ἂν μίχθῃ
Εὐόδμοιο μύροιο χάρις πνεύμασι τάχιστα,
Ἀλλ' οὐ δ' ἠελίοιο μολύσματα, οὐδὲ μύροιο
Ἅπτεται. ὥς ῥα θεὸς καθαρῆς διὰ μητρὸς ὁδεύσας,
Οὔτ' αὐτὸς σπλάγχνοισι φορύξατο, καὶ τὰ κάθηρεν.
Ὥς ῥα καὶ θανάτοιο θανὼν κράτος ἐξαλάπαξεν.
Οὔτ' αὐτὸς θανάτῳ τι παθὼν λόγε, καὶ τὸν ὀλέσσας.
Οὗτος ἐμὸς λόγος ἐστί. τεὴ δὲ γλῶσσ' ἀδάμαστος
Ἦν ὅτ' ἔην, νῦν αὖτε δαμάζεο. ὧδ' ἀγορεύει
Χριστὸς ἐμὸς. γλῶσσαν δὲ τεὴν εὔφημον ἐγείροις.
Εἶαρ ἔβη, τὸ δὲ χεῖμα παρέδραμε, λαμπρὰ δ' ἄρ' αἴθρη.
Δεῦρ' ἴτε, καί μοι φωτὸς ἀπειρεσίοιο κορέσσασθε.
Μέχρι τίνος σκοτίοισιν ἐνὶ κεύθμῶσι δέδεσθε.
Καιρὸς ὅδ', ὃν πάρος ὑμῖν ὑπέσχετο πνεῦμα φαεινόν.
Δεῦρ' ἴτε, καὶ ζώοιτε, νέον δ' ὑποδέχθε καθαρμόν.
Λήξατ' ἀοιδοπόλοι. ναὶ λήξατε μαινόμενοί τε
Δαίμονες ἐμπνείοντες ἀθέων ματάοισιν ἀοιδαῖς.
Ὀρφεὺς θῆρας ἄγοι, Πέρσῃ δ' Ἀσκραῖος ἀείδοι
Ἡσίοδος, τροίην δὲ καὶ ἄλγεα κλεινὸς Ὅμηρος.
Μουσαῖός τε Λῖνός τε θεῶν ἄπο μέτρα φέροιεν,
Οἵ ῥα παλαιοτάτην ἐπὶ κλέος εἶσιν ἀοιδαῖς.
Ἑρμῆς ὁ τρισμέγιστος ἐμοῖς ἐπέεσσιν ἀρήγοι,
Οὐδ' ἐθέλων, σταυρὸν δὲ σέβας μέτροισι Σίβυλλα.
Τῆς μεγάλης θεότητος, ἐλαυνόμενοι βελέεσσιν,
Οὐδ' ἐν ἀποστρέφομαι, καὶ εἴ τινος ἄσσον ἵκοιντο,
Οὐ θεόθεν. βίβλων δὲ παραβλέψαντες ἐμεῖο,
Οἱ μὲν γὰρ καὶ πάμπαν ἀλαμπέες, οἱ δ' ὀλίγον τι
Ἀστεροπὴν πάλλουσαν ἀνέδρακον, ὦκα δ' ἄμερθεν.
Τῶν κεν ἔξατ' ἔμοι γε, καὶ ὀψέ περ εὖ φρονέοντες.
Φοῖβος μαντεύοιτο θεῶν μόρον οὐκ ἔτ' ἐόντων.
Αὐτοπάτωρ, ἀλόχευτος, ἀμήτωρ οὐκ ἦν ἐκεῖνος,
Οἵ περ ἐμὸν δείπνον κακὸν μὲν, οὐκ ἔτ' ἀείδων
Κασταλίη τε, δάφνη τε, δρυὸς μαντεύματα κέονται,
Μηκέτ' ἀριστεύοντα μετ' ἀνθρώποισιν ἀφραδέεσσι.
Δαίμων τ' αἰγύπτοιο θεὸς κερατηγόρος Ἄμμων,
Βραγχίδαι δ' ἐπὶ τοῖσι, καὶ ὀφρυόεις Ἐπίδαυρος,
Καὶ τελεταὶ, κρυπταί τε, καὶ ὄμμασιν αὐτιόωσαι,
Κλεινῆς ἐν προτέροισιν ἐλευσῖνος ἄλγεα νυκτός,
Αὐλῶν τε φρυγίων μανιηπόκος, ἔκτομος ἠχὴ,
Δικταῖοι κορύβαντες, ἐνόπλια μαργαίνοντες,
Βάκχοι τ' ἀμφὶ γόνον σεμελήϊον, ἱεροὶ φοῖται,
Καὶ νυχίης Ἑκάτης κακὰ φάσματα, ὡς δὲ ναοῖο
Μιθραίου κακὰ ἔργα καὶ ὄργια οὐκ ἔτ' ἄπυστα,
Γαλλαῖος Κυβέλης ὀλολύγματα, ὅσσά τε νεῖλον
Καρποδότην τίουσιν ἐν ἄχεσιν ἀνδρογύνοισιν,
Ἴσιδος, ὀσίριδός τε μυκήματα δακρυόεντα,
Καὶ Σάραπις ξύλον αὖον ἔχων δηλήμονα μῦθον,
Καὶ μόσχος πολύσπερμος Ἆπις, καὶ Μέμφις ἄνοια,
Καὶ σὺ λάκαινα τάλαινα διασταδὸν ἔνθα καὶ ἔνθα
Τεμνομένων μάστιξι νέων ἐπιβώμιος ἀλκή,
Καὶ γετικὸς Ζάμολξις ὀϊστεύων δι' ὁμίλου,
Πάντα θεῶν, ταύρων τε κακὴ ξείνοισι θυηλή,
Καὶ προσύμνοιο καλοῖο θεὸς φαλὸν ἀμφαγαπάζων
Ἀδράστειον, μάχλη τε Κύπριν τίουσα ἑορτή,
Κερδαλέη, καὶ λίνδος ἐφυβρίζουσα ἱεροῖσι,
Πάντ' ἔθανε Χριστοῖο μεγακλέος αἵματι σεπτῷ,
Ἀρχεγόνου τε, νέου τε, τὸ δὴ καὶ θαῦμα μέγιστον.
Ἐμπεδόκλεες, σὲ μὲν αὐτίκ' ἐτήσια φυσιόωντα,
Καὶ βροτὸν αἰτναίοιο πυρὸς κρητῆρες ἔδειξαν,
Σάνδαλ' ἀναβράσσαντες ἐλαφρονόοιο θεοῖο,
Χάλκεα, καί σε βροτοῖσιν ἐπουχεῖα πᾶσιν ἔθηκαν,
Κύδεος ἱμείροντα διὰ ἅλματος αἰνομόροιο.
Ἡρακλῆς, Ἐμπεδότιμε, Τροφώνιε, λήξατε μύθων,
Καὶ σύ γ' Ἀρισταίου κενεαυχέος ὀφρὺς ἄπιστε.
Ὑμεῖς μὲν θνητοὶ, καὶ οὐ μάκαρες πάθεεσσι,
Βαιὸν ἀναπλάξαντες ἐπὶ χθονίοισι δόλοισι,
Μύθοις ἡμεδαποῖσι, νόθον κλέος ἁρπάξαντες.
Χριστὸς δ' οὐκ ὀλίγοισι περίγραφος ἔπλετο φωναῖς,
Οὔτέ μιν ἠμάλδυνε ῥέων χρόνος, οἷά τε καπνὸν
Ἠέρος ἐν λαγόνεσσιν ἀϊσθέντα τάχιστα.
Τοῖος γὰρ ψαφαροῖο κλέους νόμος αὐτίκα πίπτειν,
Ἀλλ' αἰεὶ πάντεσσιν ἀοίδιμος ἔστι μᾶλλον
Αἰὲν ἐπερχομένοισιν ἀεξόμενος λυκάβασι.
Πείθομαι, ὥς ποτε γαῖαν ὅλην δεσμοῖσι καθέξει,
Ὡς γε θέσφατόν ἐστι. λόγος δ' ἐπὶ ἔργον ὁδεύει.

Ἀλλὰ τὸ μὲν μεγάλοιο Θεοῦ ἐν γούνασι κείσθω.
Αὐτὰρ ἐγὼ, τά με Χριστὸς, ἐμὸν φάος, ἐξεδίδαξεν,
Ἐξερέω, μύθοιο θεμείλια πάντ' ἀναφαίνων
Ἡμετέρου, θεότητα, Θεοῦ κτίσιν, οἴακα πάντης.
Ὦ κόσμον μεγάλοιο Θεοῦ λόγος αἰὲν ἐλίσσει.
Καὶ τὰ μὲν ἐνδρομάδην ὀλιγόστιχον ὕφηνα μῦθον,
Ὡς νόμος ἐστὶν ἔμοι γε, τὰ δ' ἔκτοθι ῥῖψα γαδέρων.
Ἀλλὰ φίλων ὄχ' ἄριστε Νεμέσιε, τοῦτο δ' ἔδεξο
Δῶρον ἐμῆς φιλίης πάντων γλυκερώτερον ἄλλων,
Μῆνον ἀφ' ἡμετέρων κτεάνων, καὶ μοῦνον ἔμοι γε.
Οὐ κύκνου λιγυροῖο μέρος γοόωντος ἀοιδὴν,
Γηραλέαις πτερύγεσσιν ὅτ' ἐμπιπλῇσιν ἀήτης,
Οὐδ' ἄρ' ἀηδονίδος συνγὸν μέλος, ἡνίκα χεῖμα
Δύσμα φέρει πάντεσσι, καὶ ὀρνίθεσσιν ἀοιδαῖς,
Ἀλλὰ χριστοφόρων στομάτων θεοτευχέα μολπὴν,
Τῇ νῦν τοῦτο φέροις ἐμέθεν λάχος ἀντί νυ πάντων,
Οἷσιν ἐμὴν πολλήν τε φίλην, καὶ νεῦσον ἔπεισας,
Καὶ μῦθον πτερόεντα, τὸν κλέος. ἦ μέγα θαῦμα,
Καὶ πάντων καθύπερθε, πρὶν ὀφθαλμοῖσιν ἰδέσθαι.
Αἰδῶς γὰρ μερόπεσσιν ἐν ὄμμασιν. εἰ μὲν ἕποιο
Τοῖσδε λόγοις πτερόεσσι δεδεὶς πλόον ἡμετέροισι,
Τρισμάκαρ ἡγεσίης τε τέρματος. εἰ δ' ἀπειθήσειας,
Καί σε τόσον σφάλειεν ὁ Βάσκανος ὄμματι πικρῷ,
Οὐκ ἐθέλων πάντεσσιν ἕνα βροτὸν ὄλβιον εἶναι,
Γρηγορίῳ τόδε σοι μνημήϊον ἐσθλὸν ἕποιτο.
Ἦ τάχα κεν μετόπισθεν ἐμὸν λόγον αἰνήσειας,
Ἐξ ὀλίγου σπινθῆρος, ὃν ἤγειρα πυρσὸν ἀείρας,
Ὄφρα τις ὧδ' εἴπῃσι, Νεμέσιος ὀβριμόθυμος
Καππαδόκεσσι τάλαντα δίκης ἰθεῖα τανύσσας,
Οὐ χρυσὸν δ' ὀλόεντα καὶ ἄργυρον, οὐδὲ μὲν ἵππους
Εὐγενέτας πτερόεντας ἀοίδιμον εὖχος ἔχοντας.
Ὤχετ' ἄγων, πλούτῳ γὰρ ἀνούτατος, ἀντὶ δὲ πάντων,
Μάργαρον ἀγλάεντα μέγαν λῃΐσατο χριστὸν,
Ὦ πάντων κρατέεσσιν ἐμὸν γένος. εὔχομ' ἔγω γε
Καππαδόκαις. σὺ δ' ἔμοι γε καὶ οὐρανίαις σελίδεσσιν
Ὡς νῦν ἡμετέρῃσι, σὺν ἡμετέροισι γραφείης.

ΓΝΩΜΑΙ ΓΡΗΓΟΡΙΟΥ ΔΙΣΤΙΧΟΙ.

Γυμνὸς ὅλος βιότοιο τάμοις ἅλα, μὴ δὲ βαρεῖα
  Νηῦς ὧδε πόντον ἴοις, αὐτίκα δυσομένη.
Ὡς αἰεὶ κρυεροῖο παρεστεῶτος θανάτοιο
  Μνώεο, καὶ θανάτου ἥσσονος αὐλιάσεις.
Αἰεὶ νοῦν ἔγειρε Θεῷ νόον, ὥσκεν ἄνακτα,
  Ἵδρυμ' ἄυλον ἔχῃς ἔνδοθι σῆς κραδίης.
Γνῶθι σεαυτὸν ἄριστε, πόθεν καὶ ὅς τις ἐτύχθης,
  Ῥεῖα κεν ὧδε τύχῃς κάλλεος ἀρχετύπου.
Ἦμαρ ἐπ' ἦμαρ ἄγει σε, κυλίνδεται ὅς τις ἐλαφρός.
  Γνώμη δ' ἔμπαγιος ἦμαρ ἄλυπον ἔχει.
Ὅς τις ἀπερχομένοισι καὶ ἐρχομένοισι πέποιθε,
  Ῥεύματι πιστεύει, ὅπποτε ἱσταμένῳ.
Ἶσον ἐμοὶ κακόν ἐστι βίος καὶ μῦθος ἀλιτρός,
  Ὁππότερόν κεν ἔχοις, καὶ θατέροιο τύχοις.
Ὕβρεις ἄναγνον ἐόντα, παρεσταμέναι θυέεσσι,
  Δευότερον νεκύων λείψανα πάντα σέβειν.
Ἴσκεο μήποθ' ὁδοῖο καλῶν, κακὸν ἐς βυθὸν ἕρπειν.
  Σοὶ στένει, ὅς τις ἔβης ἔκτοθι τῆς κακίης.
Τυφλὸς ὁρῶν, ὃς ἔβης κακίης οὐκ ὄσσετ' ὄλεθρον,
  Ἴχνια μαστεύειν θηρὸς, ἄκρον φαέων.
Χρήζων δὲ παθέεσσιν ἄπιστος, ἣν κατὰ κόλπους,
  Οὔποτε σπεύδειν φεύξεαι ἀργαλέην.
Σὸς λόγος, ἔργον ἐμεῖο. ὃς οὐ καλὸν ἔργον ἔρεξεν,
  Εὐπείθην ἐχέτω σύμμαχον ἀμφίβιον.
Ὑβριστὴς κόρος ἐστίν. ἐγὼ δέ σε βούλομ' ἄριστε,
  Ἔργον ἔχειν, ψυχῆς πῆξιν ἀναστρεφίος,
Πλοῦτον δ' αὖ θεότητα μόνην, καὶ κόσμον ἅπαντα,
  Ἶσον ἀραχναίοις νήμασιν αἰὲν ἔχειν.
Πάντα μὲν ἀνθρώπων, ἀλλότρια τῷδε βίοιο.
  Ἡ δ' ἀρετὴ, βροτέη τοῦτο μόνον βιοτή.
Δεῦτε δὲ πᾶσι θεοῖο βοᾷ λόγος ἀφθιτόμητις,
  Σπεύσατ' ἐπὶ τριάδος γνῶσιν ἐπουρανίης.
Θεῖ' ἄδε νόον, βιότῳ μὲν ὅσοις γάμος ἁγνὸς ἔδωκε,
  Λωοῖς οὐρανίαις πλείονα καρπὸν ἄγειν.
Ὅσσαι δ' αὖ μεγάλοιο Θεοῦ λόγον ἀγκάζεσθε
  Νύμφαι, παρθενικαὶ, πάντα Θεῷ προσάγειν.
Αἴγλη παμφανόωσα, μονότροπος, ἀλλ' ἀεὶ κόσμον
  Θυμὸν ἔχειν, σαρκῶν τηλόθεν ἱσταμένας.
Ὕβρεις πίστιν ἔχειν ἐν χρώμασι, μὴ κραδίῃσι.
  Ῥεῖα κεν ἔκπλυτ' ἐοι, βένθος ἐμοί γε φίλον.
Μήτε δικαιοσύνην τὴν ἀκαμπέα, μήτε φρόνησιν
  Ἀγκυλόεσσαν ἔχειν, μέτρον ἄριστον ἅπαν.
Νώμα δὲ καὶ θάρσος, ἐπεὶ θράσος οὐ κράτος ἐστί.
  Ἔστι σαοφροσύνης καί τι γαληνὸν ἔχειν.
Οἴγειν ἐν λογίοισιν ἑὸν νόον αἰὲν, ἄριστον.
  Ἴδοις ἐπουρανίων ὧδ' ἂν ἐοῖς νομίμων.
Σπεῦδε μὲν εἶναι ἄριστος. ἀφαύδαιν, οἷσιν ἄρεσκε
  Καὶ κακίην τέρπειν, δυσκλεές ἐστι κλέος.
Αἰσχρὸν, ἄριστον ἐόντα, συνήγορον ἔμμεν' ἀλιτρῶν.
  Ἴσον, καὶ κακίης σὸν πόδα ἐντὸς ἔχειν.
Χρυσὸς μὲν χοάνοισι δαμάζεται, ἄλγεσι δ' ἐσθλός.
  Ἄλγος ἀπημοσύνης πολλάκι κουφότερον.
Ῥεῖα κεν ἀρνήσαιτο θεὸν μέγαν, ὃς γενετῆρα.
  Ἴσθι δὲ καὶ γενέτην πατέρα δυσσεβίης.
Σῶτερ ἔδωσιν ἅπαντα, λίπης τὰ σὰ μὴ δὲ πέφοισο.
  Ἐξοδίη τιμὴ, δεξιὸν οὔνομ' ἔχειν.
Ξείνων ἡμεδαπῶν πόλι φείδεο, ἔξοχα δ' αὐτὴ,
  Οἳ τέλε πάντα λίπον ἀδρανέων νεκύων.
Δεῦρ' ἄγε κόσμον ἅπαντα τὰ ἄχθεα τῶνδ' ἀπολείψας,
  Ἴσιον ἐς ζωὴν οὐρανίην πέταδον.
Πάντα μὲν αἰεὶ ἄριστα θεοπρεπὲς ἔργα τελέσθω,
  Ἡ δὲ τριὰς, πάντων ἔξοχα σοὶ μελέτω.
Νήπιος, ὅς τις ἄνακτα θεοῦ λόγον αἰὲν ἐόντα
  Οὐ σέβετ' ἰσόθεον πατρὸς ἐπουρανίου.
Νήπιος, ὅστις ἄνακτα λόγον, βροτὸν ἐνθάδε φανέντα,
  Οὐ σέβετ' ἰσόθεον οὐρανίοιο λόγου.
Τέμνει δ' ὁ μεγάλοιο πατρὸς λόγον, ὃς λόγοιο
  Μορφὴν ἀνδρομέην, καὶ πάχος ἡμέτερον.
Ἦν θεὸς, ἀλλ' ἐπάγη, πατρὸς λόγος, ἡμέτερος φὼς,
  Ὥστε θεὸν μίξει μικτὸς ἐὼν χθονίοις.
Εἷς θεὸς ἀμφοτέρωθεν, ὅσ' ἄμβροτος, ὅσσον ἔμ' ἔρδειν
  Ἀντὶ βροτοῖο θεόν. ἵλαθι πρῶτος ἄνω.
Τόσσον ἔχεις. τί δέ μοι γένος ἂν καὶ μίξιν ἄφραστον

Ἀμφὶ

Ἀμφὶ θεὸν θνητοῖς εἴργεται μέτρα λόγου.
Εἰ μὲν δὴ πεπίθοιμι, τὸ λώϊον. εἰ δὲ μελαίνης
Τὴν χάρτην πολλαῖς χιλιάσιν ἐπέων,
Δεῦρ' ἄγε πλαξὶ τεαῖς ὀλιγόστιχα ταῦτα χαράξω
Γράμματ' ἐμῇ γραφίδι, ἣ μέλαν οὐδὲν ἔχει.
Παρθενίη, παρθένος ἴσθι, καὶ ὄμμασι καὶ κρυφίοισι.
Μὴ δὲ συνεισάκτοις γάμοις ἄρσενα κυδιμένα.
Χριστὸν ἔχεις ἀγαπητὸν, ἀπόπτυσον ἀνέρας ἅπαντας.
Τί χρῄζεις θανάτου φάρμακον ἔνδον ἔχειν.
Ἤδη μοι πολιαί. δάπτω δέμας, ὄμμα δαμάζω.
Φροντίσιν ἠματίῃσι καὶ ἐννυχίῃσι τέτηκα
Ψυχὴν τὴν βιοτάλαιναν, ὅπως πυρὸς ἐξερύσαιμι.
Ἀλλ' ἔμπης καὶ κρεῖττον τοῦ σώματος οὐκ ἀμογητί.
Πῶς δὲ σὺ καὶ νεότητα φέρων, καὶ σάρκας ἐγείρων
Εὐρυτόρας ἐλέφαντος, ἔπειτα δέ μοι διαθρύπτῃ
Ὡς δή τις καθαρὸς, καὶ πνεύματι τῇ ἀγαπητῇ
Στέργων. ὦ φθονεροῦ ἀγάπης, ἣν Χριστὸς ἀτίζει.
Οἱ μοναχοί. μοναχὸν βίον ἕλκετε. εἰ δ' ἀγαπηταῖς
Συζῆτ', οὐ μοναχοί. ἡ δυὰς ἀλλοτρίη.
Ἀγγελικῆς δόξης εἰκὼν, μονάς. εἰ δ' ἀγαπηταῖς
Τέρπεσθε, θνητῆς ἐστε φίλοι δυάδος.
Παρθενίη, χριστὸν ἔχεις αἰεὶ ζώοντ' ἐπίκουρον,
Νυμφίον ἱμερόεντα, τίς ζηλήμονα μορφῆς,
Οὐρανίης. μὴ σάρκα πάλιν σαρκός τε τομῆσι
Δέξῃ, κηδεμόνα δ' ἀλίτρη κακίστων.
Μὴ χριστοῖο χιτῶνα τὸν ἄρραφον αἴσχεϊ μίξῃς,
Παῦσαι παρθενικοῖσιν ἐλέγχειν κατὰ χεῦας,
Ὡς χαλεπὸν σάρκεσσι φυτεῖν κλόνον ἐγγὺς ἐοῦσαις.
Τούνεκα θηλυτέρων μοναχοὶ ἄπο τηλόθεν ἐστέ.
Πολλὰ γάρ ἐστι γάμου μυστήρια, καὶ περὶ γάμοιο,
Οἷς μελεαίνει ψυχὴν, ὄψει ἀσύροντ' ἐληλυθμένη τίς.
Πῦρ ἐγγὺς καλάμης, οὐκ ἀσφαλές. οὐδὲ γυναῖκα
Παρθενίην ὦ μοναχοὶ κτᾶσθαι ὁμωρόφιον.
Ἄρσενα καὶ θήλειαν ἐχώρισεν ἐλπὶς ἀμείνων,
Ἡ δὲ φύσις κρυπτὴν τὴν νόσον ἔνδον ἔχει.
Ἣν ἀπέχῃς μακρὰν, ἀπενθὴς μένει. ἣν δ' ἀναμίσγῃ,
Ἅψας πυρκαϊὴν πνεύματος ἐξ ὀλίγου.
Λευκοῦ καὶ μέλανος μικτὴ φύσις ἐστὶ τὸ φαιὸν,
Ζωὴ καὶ θάνατος οὐδὲν ἔχουσι μέσον.
Τοὺς δὲ συνεισάκτους, ὡς δὴ φάσκουσιν ἅπαντες,
Οὐκ οἶδ' εἴτε γάμῳ δώσομεν, εἴτ' ἀγάμοις
Θήσομεν. εἴτε μέσον τί φυλάξομεν. οὐ γὰρ ἐγώ γε
Κἄν με λέγητε κακῶς, τὸ πρᾶγμ' ἐπαινέσομαι.
Ἄρσενα πάντ' ἀλέεινε, συνείσακτον δὲ μάλιστα
Μάρρας πικρὸν ὕδωρ. παρθενίη πείθεό μοι.
Ἄλλοι μὲν χρυσὸν, οἱ δ' ἄργυρον, οἱ δὲ τράπεζαν
Τιμῶσιν λιπαρὴν, παίγνια τοῦδε βίου.
Ἄλλοι δ' αὖ σηρῶν καλὰ νήματα, καὶ γέας ἄλλοι
Πυροφόρους, ἄλλοι τετραπόδων ἀγέλας.
Αὐτὰρ ἐμοὶ χριστὸς, πλοῦτος μέγας, ὅν ποτ' ἴδοιμι
Νῷ γυμνῷ καθαρῶς, τἆλλα δὲ κόσμος ἔχοι.

ΚΑΤΑ ΓΥΝΑΙΚΩΝ ΚΑΛ/λωπιζομένων.

Μὴ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι γυναῖ(κες,
Θρύπτεσθαι μαλακοὺς αὐχένας ἐκ σκοπέλων,
Μὴ δὲ θεοῦ μορφὰς ἐπαλείφετε χρώμασιν αἰσχροῖς,
Ὡς τε προσωπεῖα, κοὐχὶ πρόσωπα φέρειν.
Οὐδὲ γὰρ ἀσκεπέα κεφαλὴν θέμις ἀνδρὶ γυναῖκα
Φαίνειν, ἢ χρυσῷ σφιγγομένων πλοκάμων,
Ἠὲ κόμης ἀδέτοιο κατωμαδὸν ἔνθα καὶ ἔνθα,
Σκιρτώσης ἀπαλῶν μαινάδος ἐξ ἀνέμων,
Οὐδὲ λόφον καθύπερθε φέρειν κορύθεσσιν ὁμοῖον,
Τηλεφανῆ σκοπιὴν ἀνδράσι λαμπομένην,
Ἠὲ λίνου μαλακοῖο διαυγάζουσαν ἔθειραν
Κρυπτὴν, ἀμφαδίην τήνδε μετὰ σπιδίην,
Ξανθὸν ἀπαστράπτουσαν, ὅση κράδεμνον ἄλυξεν,
Ὡς δ' οἰκείων παλάμης ἔργα πονησαμένης.
Εὖτε τὸν οὐχ ὁρόωντα διδάσκαλον, ἄπνοον εἰκὼ
Μορφῆς στησαμένη κάλλος ἐκεῖθε γράφεις.
Κάλλος δ' εἰ μὲν ἔδωκε φύσις, μὴ κρύπτε ἀλοιφῇ,
Ἀλλ' οἴοις καθαρὸν ἀνδράσιν ὑμετέροις
Σώζετε, μὴ δ' ἀλλοτρίοις ὄμμασι λίχνα φέρουσαι.
Ὄμμασι γὰρ κραδίη ἕπεται οὐχ ὁσίως.
Εἰ δ' οὐ γεινομένῃσι συνήορον, δεύτερον αἶσχος
Φεύγετε, ἐκ χειρῶν κάλλος ἐφελκόμεναι.
Κάλλος, ὃ γαῖα φέρει, καὶ ὤνιόν ἐστι γυναιξὶ
Πανδήμοις, ὀβολῶν τέρνομένοις ὀλίγων,
Κάλλος, ὃ ῥυπτόμενον, χαμάδις ῥέει, οὐδὲ γέλωτι
Ἴσατ' ἐπὴν λύσῃ χάρμα παρειῶν ὅλον,
Καὶ δακρύων ὀχετοῖσιν ἐλέγχεται, ἰκμαλέῳ τε
Δάματι, καὶ ψεκάδος λύεται ἐξ ὀλίγης.
Ἡ δὲ παρὸς στίλβουσα, καὶ ἡ χαρίεσσα παρειὰ,
Χάρμα μέγ' ἐξαπίνης δείγματος ἐξεφάνη,
Περκνὴ, μαρμαίρουσα, μελάγχροι, μελιτοπάρῃς
Πῶς δύνασαι κατέχειν κάλλος ἐλεγχόμενον.
Ταῦτ' οὐ κινυμένοισιν ἀγάλμασι, οἱ δὲ φορητὴ
Μορφὴ, καὶ πολλοῖς λυομένη πάθεσι.
Τοῦτο θεοῦ δέμας ἐστὶ χερὸς τόδε, τοῦτο παλαιὸν,
Τοῦτο νέον, λιμὸν αὖθι διοσά φέρων,
Τερπνῶν τε, στυγερῶν τε ἀμοιβαδὶς, ἥ τις ἐσθὴς
Ἀμφίχρος ζώναις πλείοσιν ἑλκομένη.
Τούνεκεν ἢ φεύγειν γραπτὸν δέμας, ἢ φυλάσσειν
Μὴ δ' ὑπολαβεῖν τὸν εἶδος ἄλλο παρ' ἔχειν,
Ἰσὸν Πηνελόπης, ἣ νὺξ λύεν, ἦμαρ ὕφαινεν,
Ἔνδοθι τὴν ἐσθῆτα, ἔκτοθι τῇ ἐλπίδι.
Εἰ μὲν δὴ μηχὸς λαθεῖν πόσιν, οὐ μὲν ἀνεκτὸν,
Εἶδος ἀποκρύπτειν θειότερον βροτέῳ,
Μή σε θεὸς ποίοισιν ἀμείψηται χαλεπήνας,
Τίς, πόθεν ὁ πλάστης. ἔρρε μοι ἀλλοτρίη.
Οὔ σ' ἔγραψα κύων, ἀλλ' ἔπλασα εἰκόν' ἐμοῖο.
Πῶς εἴδωλον ἔχω εἴδεος ἀντὶ φίλου;
Ἀλλ' ἔμπης νόσῳ τί παρήσομεν, εἰ δ' ἀείδηλον
Ἐστὶ πίναξ γραφέων εἶδος ἐπ' εἶδος ἔχων.
Στήλην αἴσχεος ἴσθι βροτοῖς περιφαντὸν ἐγείρειν
Μορφὴν, ἣν σὺ γράφεις ἔμπνοον Ἀλκινόου.
Κῦπις Ἀδώνιδος, ἡ δὲ παρειὰ χάρις, ὁ λευκὸς ἰκαρπος.
Πολύποδος χροιὴ, γράμματ' ἐπὶ ψαμάθων.
Πῶς δὲ σύ γ' εἶδος ἔχουσα κολοιὸν, ἄγε κολοιὸν
Εὔπτερον ἀλλοτρίοις αὖθι μῦθος ἔχων,
Αὖθις γυμνὸν ἔθηκε γελοῖον. οὐκ ἀλεγίζεις

Αἴσχεος

Αἶσχος ὑστατίου, κάλλεος ὀλλυμένου.
Ἐλπὶ δ' ἀσυμφιλίκτου ἔχειν γαῦρος, ὃ μετὰ λαμπρὸν
Ὄψεαι ἀλλοτρίου κάλλεος ὅσσον ἄχος.
Πυνθάνομ' ὥς τι φέριστον ἔχει πλάσις, ἥν ποτε γῆρας
Ῥικνώσῃ μορφὴν, τὴν πάρος ἀνθοφόρον.
Τύμβος ὅτ' ἄγραφος ἐστὶ μελῶν πλάσις, ὡς πνείουσαν/
Λείπεται σαρκῶν λείψανον ἐκ κονίης. (στον
Ὄψει μετακλαίειν δὲ μελῶν δόλον, εὖτε πίθηκον
Ῥυτίσιν ἐν πυκιναῖς ὥστε τὸ λειπόμενον.
Τοῖν ψευδομένων μελέων χάρις, ἀλλὰ φερίστη,
Νῦν στῆσον μορφῆς ἔκτυπον, ὡς τὸ πάρος.
Ἀτρεκὲς οὐ μὲν ἔγωγε δίομαι, ἀλλὰ πολὺ πρὶν
Μηδοφύα μὴ δ' ἀνδρῶν δέξαι ὄμματ' ἔχειν,
Οἵ σε πάρος κλαίζον, ἐπ' ὄμματα δ' εἶχον ἑτοῖμα
Τῇ καὶ τῇ σοβαροῖς ἴθμασι κινυμένην.
Καὶ τὸ, γέλως, ἀνδρῶν λύθειν γένος ἰχανόωντα,
Μύστας σῆς μορφῆς ἄνδρας ἐπισπάσατο.
Ἀνδρῶν γὰρ τρίψαντο τὰ φάρμακα, οἷς σὺ γέγηθας,
Λισσαὶ μεγάρων, τέκτονες ἧς μανίης.
Ταῦτ' οὐ σωφροσύνης τὰ σοφίσματα, μαχλοσύνης δέ.
Πᾶν γὰρ ὃ τεχνάζει ἀφρόσι, μαχλοσύνη.
Φασὶ ταὼ μεγάλαυχον, ἐπὴν περίκυκλον ἐγείρῃ
Αὐχένα κυρτώσας χρύσεον ἀστερόεν,
Κλάζειν θηλυτέραις φιλοτήσιον. εἰ δὲ σὺ μορφὴν
Οὐ σφετεροῦσι γράφεις ὄμμασι, θαῦμά μ' ἔχει.
Εἰ μὲν γὰρ πόσιος σὺ ἔχεις πόθον, ὡς σὸν ἐκεῖνος,
Ἐξ ἔτι τοῦ, ὅτε σ' ἤγαγεν ἐν θαλάμοις
Κουριδίην θαλέθουσαν, ἔχεις χάριν. εἰ δὲ σύ γ' ἄλλων
Ὄμμασιν ἁνδάνεις, τῶν πόσις εὐγενέα.
Κεύθειν λώϊόν ἐστι βελῶν χάριν οἷσι δόμοισιν,
Ἢ ψευδομένην οὐχ ὁσίως προφέρειν.
Τῷ μὲν γὰρ πόσις ἐστὶν ἐπάρκιος, εἰ δ' ἔτι πολλοῖς
Ἵσταται, ὥστε λίνον ἐπιταμένην ἀγέλη.
Τέρπει τὸ πρῶτον μὲν ᾗ, καὶ ἀμείβεαι ὄψιν ὀπωπῇ,
Αὐτὰρ ἔπειτα γέλως, καὶ λόγος αὐτίκ' ἔρως,
Κλεπτόμενοι τὸ πρῶτον, ἔπειτα δὲ θάρσος ἔχοντες.
Μηκέτι μοι τὰ πρόσω φθέγγεο γλῶσσα λάλε,
Ἀλλὰ τὸ δ' ἀτρεκέως μυθήσομαι, ὅλον ἀκήρατον
Τῶν, ὅσα θηλυτέραις παίζεται ἀμφὶ νέοις.
Πάντα γὰρ ἀλλήλοισιν ἅμ' ἕσπεται, ὥστε σίδηρος,
Ὃν μάγνησσ' ἐρύει, ἄλλον ὑπ' ἄλλον ἄγος.
Ὡς ὄφελον ψιμύθοις καὶ φύκεσιν ἀντὶ γυναικῶν
Στίλβειν καὶ λεπτοῖς αὐχέσιν ἀφραδέων,
Οἳ τόσον αἶσχος ἔχοντες ἐν ὀφθαλμοῖσι σιωπῶσιν,
Τέρπονται κακίῃ ἀχλὺν ἐφιστάμενοι.
Ἄλλαις μὲν βάλλουσιν ἐπ' ὀβελίσκοισι φαεινάς,
Αὐτοὶ δ' ἐν σφετέροις αἴσχεσιν εἰσὶ σύες.
Ἦ τάχα καὶ συφεοῖσιν ἐνὶ σκοτίοισι πέσοιεν
Εἰρχθέντες Κίρκης χρίσμασι θηροτόκοις,
Οἳ μήτ' ἐχθαίρουσι, καὶ ὡς πνεῖ κάγκανον ὕλην
Βάλλουσ', ἣν ὀρύειν λώϊον ἢ φέρειν.
Ἄλλον γάρ τ' ἄλλος τις ἀνὴρ κόσμοισι γυναικῶν
Νικῶσ' ἀφραδίη πλεῖον ἔχειν ἐθέλων,
Πολλάκι καὶ κτεάνων ἐπιδευέες, ὥς κεν ἐγείρειν
Ὕβριν ἑῶν ἀλόχων, πλεῖον ἔχουσι πόνον.

Ἐχθρῶν δ' ὅπποτ' ὀρέξας ἑὸν ξίφος, οὐδὲ χαράσσει
Σοῖσιν ἐπ' ἀσπίχυσιν ἅπασας ἐυδίην.
Πανδώρην ἐν ἔπεσσι πυρὸς μαλεροῖο κλαπέντος,
Ποινὴν ἡμετέροις ἄντιτον ἐλθέμεναι,
Ἀντὶ πυρὸς πῦρ ἄλλο, καλὸν κακὸν, ὥς κε φλέγωσι,
Καὶ πλεῖον, ἀσκῆσαι κάλλεσι δαιδαλέοις,
Δαίμονας, ἄλλοτι δ' ἄλλον ἐπίκλοπον εἰς ἓν ἄγοντας,
Συμφερτὴν ἀπάτην ἀνδράσιν ἐμπελάσαι,
Δειπνολόχην, δολόεσσαν, ἀναιδέα, μειλιχόμυθον,
Τερπωλὴν ὀλοὴν, δαλὸν ἀειφλεγέα.
Οὐ μὲν δὴ μύθοις ἐπιπείθομαι· εἰ δὲ κελεύεις,
Μὴ σύ γε Πανδώρη γίνεο δαιδαλέη.
Πανδώρης γένος εἰσὶν ἀναιδέες, ἀλλὰ σὺ χριστοῦ
Εἰκὼν, σωφροσύνῃ λάμπεο καὶ πραπίσιν.
Ἄλλος δ' οὐκέτι μῦθος, ἐμῶν δ' ἐπέων ἐπάκουσον,
Οὓς σοι θεσπεσίων φθέγξομαι ἐκ λογίων.
Οὐκ ἀΐεις καὶ πρόσθε τεὸν πατέρ', ὡς ἀπάτησεν
Ἀνδροφόνοιο φυτοῦ εὔχροος ἀγλαΐη;
Ἤπαφεν, εὐθαλέος τε ἄφαρ βάλεν ἐκ παραδείσου,
Δυσμενέος τε δόλος, παρφασίη τ' ἀλόχου.
Οὗτός σοι νόμος ἐστὶ πατρώϊος ἐξέτι κείνου,
Μή ποτ' ἐπ' εὐχροίῃ θάρσος ἔχειν θύγατερ.
Πᾶν μὲν κάλλος ἐμοὶ, βαιὴ χάρις ἔαρ ἔοικε,
Καὶ χειμὼν κρυερὸς ὤλεσεν ἐξαπίνης.
Ἢ νοῦσός μιν ἔκαμψεν ἀώριον, ἢ χρόνος αἰνὸς
Ὤλεσε, τηκεδανῶν κύκλα φέρων ἐτέων.
Τοῦτο δὲ καὶ πλεῖον ἐστὶ γελοίϊον, οἷον ἄκοσμον
Εἶδος ἔχουσα γυνὴ, καὶ πατέρα Δανάην,
Αἴσχει κυδιόωσα. τὸ δ' αἴσχιον, ὡς ἐνὶ πᾶσιν
Ἴδριες, οὐ γὰρ ἐγώ γε σὲ κακορραφίης,
Ξυνὴν νοῦσον ἔχουσι, καὶ ἀλλήλας ἐθέλουσι
Κεύθειν. τί πέλει νόσου τῆσδε χερειότερον.
Τέκτων, τέκτονος ἔργον ἐπίσταται, ἴδρις ἀοιδὸς
Ἴδριν ἀοιδοσύνης, φῶρα δὲ φὼρ ἐδάη.
Ἀλλ' αἵ γ' οὐκ ἐθέλουσι τά περ νοέουσι, νοῆσαι.
Ἧρ' ἑκὸν κακίη ὄμματα πηρὰ φέρει.
Ὡς δ' ἄνδρες τισὶ τά περ γελόωσι πρόσωπα,
Τερπόμενοι χροιαῖς κινυμένων πινάκων.
Οὐδὲ τόσον πινάκεσσιν οἴομαι, ὅσσον ἐπ' ἀνδρῶν
Θυμῷ, τῷ πλήθει χρώματα μαρτυρέει.
Πυνθάνομ' ὡς λεχρὴν καὶ ἀειδέα ὑψερέφωτον
Ἠχώ τις ποθέων, πλάζεθ' ὑπὲρ σκοπέλων.
Καὶ μορφῆς τις ἑῆς ποτ' ἐράσσατο, καὶ περὶ πηγαῖς
Ἤλατ', ἐπ' εἰδώλῳ κάλλεος ὀλλυμένου.
Ἄλλη δ' αὖ ποταμοῖο καλοῖς ἐπεμήνατο ῥείθροις,
Μαίνετο, οὐδ' ὄχθας ἦγ' ἀπέλειπε φίλας.
Λάπτεν ὕδωρ. χείρεσσιν ἀφύσσετο, ἀφρὸν ἐμάρπτεν.
Ἀλλ' οὐδ' ὡς πυρόεις ὕδασι λῆγε πόθος.
Οὕτω τυφλὸν ἔρως καὶ ἀνάρσιον. οὐ μέγα θαῦμα,
Εἴ τινα καὶ σὺ νέων τῇδε νόσοιο βάλοις,
Εὔχροος, ἁβροχίτων, ῥοδοδάκτυλος, ὑψικάρηνος,
Οὐχ οἵα, ἀλλὰ τόσους, ὅσσα τοίοισι γράφει.
Πείθομαι, ὥς ποτε ταῦρον ἀνὴρ σοφὸς ἥπαφε τέχνῃ,
Χρώμασι μορφώσας δαιδαλέην δάμαλιν.
Ξανθὸς ἔρως, ἀπινύσσιν ἐπ' ὠδίνων ἔμπνοα βαῖνε,

Ὀππὸ

Ὁππότε καὶ σὺ νέοις μάστιο τοῖον ἄγος.
Ὀρφεὺς θῆρας ἔπειθε, σὺ δ' ἀνέρας, οἷσιν ὁμοῖος
Θήρεσιν ἐστὶ νόος, θηλυμανής τε βίος.
Εἴ τοι μὴ σάρκεσσι χαρίζεαι, αὐτὶ δὲ σαρκῶν
Ὄμμασι, καὶ τὸ νόσος μείων φιλότης.
Ἀλλ' ἄτρωτος ὅλη; ναὶ πείθομαι, οὐδὲ τόδ' ἐσθλόν
Ἐστὶν ἐμοὶ, λαγνῆς δόξαν ἔχειν κακίης.
Ὡς δ' ἂν καὶ πολλῇσι νόμον γράψειας ἄκοσμον
Καὶ πινυτῇσιν ἔσσ', ὠκύδρομον ἡ κακίη.
Ἄλλων μὲν ῥυπόωντα βίον τε χνάσμασι κλίβειν,
Σοὶ δὲ σαοφροσύνην καί τι μέλαν φορέειν.
Εἰ γὰρ σώφρονές εἰσιν ἐπανθέα, ὅποτ' ἂν ἄλλας
Πάσας θηλυτέρας σώφρονα θυμὸν ἔχειν.
Μῦθος δ' ἡμετέροιο νόμου, μὴ δ' ὄμματα βάλλειν
Εὖνιν ἐπ' ἀλλότριον, μοιχιδίοισι πόθοις.
Ἀρχὴ γὰρ φιλότητος ἀναιδέος ὄψις ἀναιδής,
Τὴν κεν ἀνὴρ φεύγων καὶ κακότητα φύγοι.
Πῶς δὲ σὺ τόσσον ἔρωτος ἐπ' ἀνδράσι κεσὸν ἄγουσα,
Λυσιγάμοιο γύναι τῆλε μένεις κακίης.
Εἰ δ' ἄγε σοὶ καὶ μῦθον ἐοικότα μυθολογήσω
Αἴσχιον ὑμετέροις. ἡ πολιὴ δὲ λάλον.
Ἄκριτον ἦν τὸ πάροιθε βροτῶν γένος, ὅστε φέριστος,
Ὅς τε χερειότερος, ὡς φάτις ὠγυγίη.
Πολλοὶ μὲν δοκέοντες ἀνάξιοι, ὄντες ἄριστοι,
Πολλοὶ δ' αὖτ' ἀγαθοὶ, ἔμπαλιν ἀφραδέες.
Κῦδος ἀλιτροτάτοισιν, ἀτιμίη δ' ἔτ' ἀρίστοις
Ἔσκεν, ὅτι δίκη τῶν δ' ἐπαμειβομένων.
Ἀλλ' οὐ λῆθεν ἄνακτα θεὸν κακίη μεδέκα,
Ὀψὲ δ' ἀλαστήσας τοῖον ἔειπεν ἔπος.
Οὐ θέμις ἔστ' ἀγαθοῖσιν ὁμὸν κλέος ἠδὲ κακοῖσιν
Ἔμμεναι, ὧδε δ' ἂν εἴη πλειοτέρη κακίη.
Τοὔνεκα τοῖσιν ἐγὼ σημήϊον ἐσθλὸν ὀπάσσω,
Ὄφρ' εὖ γινώσκῃς, ὃς κακὸς, ὅστ' ἀγαθός.
Ὡς ἐπὼν φρύθλιν πρώϊα τοῖς ἀγαθοῖσιν,
Αἶμ' ὑπὸ δέρμα χέας, αἴσχεος ὀρνυμένου.
Θηλυτέραις δὲ μάλιστα, ἐπεὶ καὶ εἶδος ἀραιαί,
Καὶ κραδίην ἁπαλαὶ, πλεῖον ὑπεσκίδασεν.
Τοῖς δὲ κακοῖσιν ἔπηξε, καὶ ἄτροπον ἐνδὸν ἔθηκε,
Τοὔνεκεν οὐδ' ὀλίγον αἴσχεϊ συμφέρεται.
Τῶν σύ μοι εἰ ἐθέλεις πολύχροε, οὐ γὰρ ἔρευθος
Αἰδέομ', εἰ καί μοι τόσσον ὕπερθε φέρεις.
Τοῦτο γὰρ ἐστὶν ἔρευθος, ἀναιδέος αὖ ἔρευθος
Ἔκγονον, ὃ κλύζει ὄμβρος ὁ πρὶν σεσιδήμων.
Μὴ γράψῃς τὸ πρόσωπον ἀπαίδαλε, μὴ ἐλάσῃς
Σὴν χρόα, κάλλος ἐμοὶ μοῦνον, ὃ δῶκε φύσις.
Καὶ γὰρ πλοῦτος ἐμοὶ πατρῷος, ἔστιν ἀρείων
Τοῦ δ', ὃν ἐμὴ παλάμη οὐχ ὁσίως συνάγει,
Καὶ τυτθὸς περ ἐὼν, πολὺ πλείονος. ὣς δὲ γυναῖκα
Στέργω κουριδίην, οὐχὶ δὲ μοιχιδίην.
Καὶ γραπτῶν παίδων πολὺ φέρτεροι, οὓς ἐφύτευσα,
Καίπερ ἀρειοτέρων, οἵ γε χερειότεροι.
Τῶν σὺ μνωομένη τήρει δέμας, οἷον ἐτύχθη,
Μηδ' ἐθέλειν δοκέειν αὖθ' ἑτέρης ἑτέρη.
Κελτοὶ μὲν κρίνουσι γόνον ῥήνοιο ῥεέθροις,
Καὶ χρυσοῦ καθαροῦ ἄνθρακές εἰσι κρίσεις.

Σὴν δὲ σαόφρονα θυμὸν ἀκαλλέϊ κάλλεϊ μορφῆς
Σταθμῶμ' ἀσβολόεις μή σε γράφοι βελίας.
Ἡ γὰρ τέφρην ἔθηκεν ὅλην, ἢ καπνὸν ἔχευε,
Τόσσον ἀεικίσσας τέρψιος ἀντὶ τόσης.
Οὐ χρυσὸς λιθάκεσσι διάπλοκος ὄμματα βάλλων
Αὐγαῖς μείζους, τίμιος ἐγημίταις,
Δειροπέδη ἐνθεσσι περίτροχος, ὥς ἀτίζω
Ἀχθεῖ μαργαρίτας ἀμφιπερικραδάων,
Οὐδ' ὅσος ἀμφὶ κάρηνον ὑπέρτατος, ἢ πολύχρυσος
Ἐσθής, λεπταλέων δαίδαλα ἔργα μίτων,
Πορφύρεα, χρύσεα, διαλαμπέα, σιγαλόεντα,
Οὐδὲ παρειάων φάρμακα λευγαλέα,
Κόσμος θηλυτέραις, οὐ χείλεα πορφυρόεντα,
Οὐ γραπτῶν βλεφάρων ὀφρύων ὑπένερθε φέρειν,
Κυανέην, δειρὰς τε κόρας ἀν ὑπόθεν ἑλίσσειν,
Οὐκ ὀπὶ θρυπτομένην, ῥυμβόνες ὥς ἄγειν,
Οὐδὲ χέρας τε πόδας τε, φίλῳ καὶ ἡδέϊ δ' ἀνμῷ
Χρυσῷ σφιγγομένην, δύλιον εὖχος ἔχειν,
Οὐδὲ μύροις μαλακοῖσι τὸν δέμας, ἢ κάρηνον
Χείεσθαι, νεκροῖς ἀμφιέπουσι γύπον.
Μηδὲ μὲν ἐν στομάτεσσι τεοῖς ἄθροον ἐδωδὴν
Μαλθάσσειν, δονέοντ' ἔνθα καὶ ἔνθα γένυν,
Οἷα πολυφρονέουσα σαόφρονας, ἐκ δ' ἄρ ὀδόντων
Πέμπειν, καὶ δειρὸν ἀφρὸν ἀπὸ στομάτων.
Μηδὲ δίφρων ἐπέπτησιν ἀγάλλεο, μὴ παραφαίνειν
Εἶδος ἀπὸ χρυσῶν δαιδαλέων διθύρων,
Δερκομένη λεύσσοντας. ἀπείρω μὴ θεραπόντων
Πληθύϊ, μηδ' ὁμαδοῖς ἀκόσι σῆς κραδίης.
Εἴαρος ἄγγελοί εἰσι χελιδόνες, ἀνθὸς ὀπώρης.
Δεσποίνης δ' ἡ μακή, ὧ τόδε φράζεό μοι.
Τῶνδε γὰρ εἰ ἕκαστον ἀκοσμίη τις ἐλαφρή,
Πάντα γ' ἅμ' ἀλλήλοις ἐμπεδές ἐστι μέρος.
Ἄνθος ἓν ἐστὶ γυναιξὶν ἐράσμιον, ἐσθλὸν ἔρευθος,
Αἰδώς. τοῦτο γράφει ζωγράφος ἡμέτερος.
Δώσομεν, εἰ ποθέεις, καὶ δεύτερον, ἄγχουρον ἐφέλκοις
Κάλλεϊ σῷ, χρηστοῦ τικτομένη καμάτοις,
Εὐχαῖς τε στοναχαῖς τε, καὶ ἤμασι, νυξίν τ' ἀΰπνοις.
Ταῦτα καὶ ἀζυγέων φάρμακα, καὶ ζυγίων.
Χρώματα μὲν τοίχοισι περάσομεν, ἀδὲ γυναιξὶ
Ταῖς, ὁπόσαις λύσσῃ βέρβορός ἐστι νέων.
Κεῖναι καὶ σκιρτῶσιν ἀναιδέα, καὶ γελόωσιν,
Ἡμῖν δ' οὐδ' ὁράαν μαχλάδας ἐστὶ θέμις.
Ὁ τρόπος ἐστὶ γυναιξὶ τὸ τίμιον, οἴκαδε μίμνειν
Πλείονα, καὶ θείοις προσλαλέειν λογίοις,
Ἱστῷ τ' ἠλακάτῃ τε. τὸ γὰρ γέρας ἐστὶ γυναικῶν
Δμωαῖς ἔργα νέμειν, δμωὰς ἀλδυνέμεναι,
Χείλεσι δεῖ μὴ φέρειν, καὶ ὄμμασιν ἠδὲ παρειαῖς,
Μηδὲ πόδα προθύρων πολλάκις ἐκτὸς ἔχειν.
Χαίρειν θηλυτέρῃσι σαόφροσιν, ἀνδρὶ δὲ μούνῳ,
Τῷ μίτρην θεόθεν λύσατο παρθενίην,
Καὶ τῷ μέτρα φέρειν σύ γε θάρσει, ὥς κεν ὀπάζοις
Πίστιν, ὅτι ξείνων τῆλε μένεις φαέων.
Τίς πρῶτος χροίησε θεοῦ πλάσιν, ὡς ἀπόλοιτο
Πρῶτος ἀναιδείην χρώμασιν ἐγκεράσας.
Ὡς δ' ὁπότ' ἀρνύτεροι ἀναιδέες, ἄνδρες ἄνανδροι

Εἴδωλον μορφῆς ἐνδόθι κευθομένης.
Ἔκτοθεν ἑστήκατε, τὰ δ' ἔσωθεν, ὅσσ' ἐπέοικεν
Ἄλματα, καὶ λιγυρῶν αἰσχρὰ λύσεις μελέων,
Ἀνδράσιν ἀφραδέεσσιν ἑαδότα, ὡς ἄξια ταῖς γε,
Ἑστάμεναι μορφὴν ἔκτοθεν ἀλλοτρίην,
Καμμύουσ' οὐχ ἱερὸν αἰδοῦς σκέπας, ἔνθεν ἔπειτα,
Κίνυνται μορφῆς ἄξια δαιδαλέης,
Τῇ περιμοχθίζουσι θύραι, κληῖδες, ἴυγγες,
Φάρμακα, φαρμακίδες, ἄτροπον οὐδὲ τέλος.
Αὐτ' ἀνδρογραφίης γίνεται χέος, ἀκομίης δέ,
Οὐδὲν ἀμοχθότερον σώφρονος ἀγλαΐης.
Εἰ δὲ σὺ κάλλει τόσον ἐπιπλάστῳ βλεμεαίνεις,
Οὔποτ' ἂν ἀπλάστῳ σώφρονα θυμὸν ἔχοις.
Ἐσθὴρ ἡ δ' ἄλλως ἔτευξεν δράσιμον, ἀλλά τι κοινῆς
Ἔργον ἀριπρεπέος, ἔθνος ἔμεινεν ὅλον.
Γραψέ ποτ' ὄμματα πόρνης Ἰεζάβελ ἀγριόθυμος,
Λῦσε γενὴν πόρνας αἵματι πορνιδίῳ.
Σοὶ δ' οὔτ' ὄργον ἄνακτος ἐλεῖν χόλον, οὔτ' ἐνὶ πόρναις
Μοῖραν ἔχεις, τόδε μοι φάζεο σωφροσύνης.
Οὐ τρομέεις ἱερῆας ὑποκλίνουσα κάρηνον,
Σκηνὴν ἀμφιθέτοις εἴδεσι λαμπομένην;
Οὐδὲ χέρεσσι φρίσσουσιν, ἐπὴν δὲ μύστιν ἐδωδὴν
Τείνεις, αἷς σὺ γράφεις ἐπίθεμον ἀγλαΐην;
Πῶς δὲ σύγ' ἀθλοφόροισιν, ὅσοις ἔτησι χορείην
Λαὸς πασσυδίῃ τίμιον αἷμα σέβων,
Ὑλ@ ἄγεις πολλῶν θελκτήριον, ὡς ἀγορή τις
Πλεθὺν ἐφελκομένη ἐν μεγάτῳ πτολίων,
Ἢ θηρῶν δ' ἀκτῆσιν ὁμοίια, τοί περιφέρουσιν
Ἑρπυστὰς σκοτίων δαιμαλέοι λαγόνων.
Ἀλλὰ γυναῖ μύθοις ἐπιπείθεο ἀμετέροισι,
Μή σε νόθος πρώσῃ χεῖρας ἐπ' ἄθεον ἄγον.
Μή σύγε μὴ κάνῃσιν ὁμόπλοος ἀτίμοις εἴης,
Μὴ σύγε συμφράδμων, μηδὲ συνωροφίη.
Ἄλλοισιν τὰ περισσά, σὺ δ' ἄζεο χάλδειν αὐδρῶν,
Καὶ κληϊζομένη, τῶν γυναικῶν κλέος.
Εἰ μὲν σοί γε βίος πανελεύθερος ἔπλετο δεσμῶν,
Χριστῷ ζῆν μόνῳ, πάντ' ἀπεσεισαμένη,
Παρθένος αἰγλήεσσα, περίφρων ἀγλαόμητις,
Νυμφίον ὡς κραδίης ἁγνὸν ἔχουσα λόγον.
Εἰ δὲ σέ γε πλευρῆς ἕλεν πόθος, ἧς ἐκεάσθης,
Μούνην γε πλευρὴν ἀμφιέπειν φιλίην,
Ἐσθλὸν φίλτρον ἔχουσα, ἐλεύθερον αὐτίκα κείνοιο,
Τοῖς δ' ἄλλοις πέλεσιν μὴ δ' ὄναρ αὐγάσαι.
Καὶ σὺ θεοῦ μεγάλοιο πλάσμα τι, οὐδὲ σὺ λήθεις,
Ἥν ποτε τῷ χθαμαλῷ θῆλυ τι συγκεράσῃς.
Ἔστι καὶ ἐν ξυνόωσί ποθ' εἵμασι θρύψις ἄσημος,
Καὶ σεμνότης μαλακοῖς, ἴσον ἐν οὐκ ὀλίγοις.
Ῥυτίς σοι πλέον ἐστὶν, ἐπίστασο, ἢ τὰ μέγιστα
Τραύματα κοσμοβίων. ἄζεο μαρτυρίην.
Οὐδὲ γὰρ ἐν ξυνόωσι ξανὶς τόσον, ὅσσ' ἀπιόν περ
Φαίνεται ἐν καθαροῖς εἵμασιν ἰοχρόεις.
Ταῦτ' εἰ μὲν πείθοιμεν, ὀνήσομεν, εἰ δὲ πρόσωπον
Στήσειας, λάμποις δ' εἰς τόσον, εἰ ποθέεις,
Χρυσῷ τ' ἠλέκτρῳ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι.
Τοῖα χαρίζομ' ἐγὼ ταῖς νεοκαλλιγράφοις.

Ἡ στήλη μὲν ἕτοιμος, ἐγὼ δ' ἐπίγραμμα χαράξω,
Δεῦρ' ἴθ' ὅσοισι φίλον, κάλλει τερπόμενοι.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ
ἐπικήδεια, ἔτι ἐπιτάφια.

Σῶμα δίχα ψυχῆς ζώειν πάρος ἢ ἐμὲ σεῖο,
Βασίλιε Χριστοῦ λάτρι φίλ' οἰόμενον.
Ἀλλ' ἔτλην, καὶ ἔμεινα· τί μέλλομεν; οὔ μ' ἀναείρας
Θήσεις ἐν μακάρεσσιν σῇ τε χοροστασίῃ;
Μή με λίπῃς μή, τύμβον ἐπόμνυμι, οὔποτε σεῖο
Λήσομαι, οὐδ' ἐθέλων. Γρηγορίοιο λόγος.
Ἡνίκα Βασιλίοιο θεόφρονος ἥρπασε πνεῦμα
Ἡ τριὰς, ἀσπασίως ἔνθεν ἐπειγομένου,
Πᾶσα μὲν οὐρανίη στρατιὴ γήθησεν ἰόντι,
Πᾶσα δὲ Καππαδοκῶν ἐστονάχησε πόλις,
Οὐκ οἶον, κόσμος δὲ μέγ' ἴαχεν, ὤλετο κῆρυξ,
Ὤλετο ἀρμονίης δεσμὸς ἀριπρεπέος.
Κόσμος ὅλος μύθοισιν ὑπ' ἀντιπάλοισιν ἀεικῶς
Σείεται, ὁ τριάδος κλῆρος ὁμοσθενέος.
Αἶ αἶ Βασιλέου δὲ μεμυκότα χείλεα σιγῇ
Ἔγρεο, καὶ στῆσον σοῖσι λόγοισι σάλος,
Σαῖς τε θυηπολίησι. σὺ γὰρ μόνος ἶσον ἔφηνας,
Καὶ βίοτον μύθῳ, καὶ βιότητι λόγον.
Ε θεὸς ὑψιμέδων, φῶτα δ' ἄξιον ἀρχιερῆα
Ἡμετέρην γενεὴν εἶδέ σε, Βασίλιε,
Ἄγγελον ἀτρεκίης βριχέα, ὄμμα φαεινὸν
Χριστιανοῖς, ψυχῆς κάλλεϊ λαμπόμενον,
Πόντου Καππαδοκῶν τε μέγα κλέος· ἀστὲ καὶ νῦν
Λίσσομ' ὑπὲρ κόσμου ἵστασο δῶρ' ἀνάγων.
Ἐνθάδε Βασιλέοιο Βασίλειον ἀρχιερῆα
Θέντο με Καισαρέες Γρηγορίοιο φίλον,
Ὃν περὶ κῆρι φίλησα, θεὸς δέ οἱ ὄλβια δοίη,
Ἄλλα τε, καὶ ζωῆς ὡς τάχος ἀντιάσαι
Ἡμετέρης. τί δ' ὄνειαρ ἐπὶ χθονὶ δηθύνοντα
Τήκεσθ', οὐρανίης μνωόμενον φιλίης.
Τυτθὸν ἔτι πνείοντα ἐπὶ χθονὶ πάντα δὲ Χριστῷ
Δῶκας ἄγων, ψυχὴν, σῶμα, λόγον, παλάμας,
Βασίλιε Χριστοῖο μέγα κλέος, ἕρμ' ἱερήων,
Ἕρμα πολυσχίστου νῦν πλέον ἀτρεκίης.
Ὦ λόγοι, ὦ ξυνῆς φιλίης δόμος, ὦ φίλ' ἄεθλα,
Ὦ θεία βιότου πλόου συνθεσίαι,
Ἔστε τόδ', ὡς Βασίλειος ἐν οὐρανῷ, ὡς ποθέεσκε,
Γρηγόριος δ' ἐπὶ γῆς χείλεσι δεσμὰ φέρων.
Καισαρέων μέγ' ἄεισμα φαάντατε ὦ Βασίλειε,
Βροντὴ σεῖο λόγος, ἀστεροπὴ δὲ βίος.
Ἀλλὰ καὶ ὣς ἕδρην ἱερὴν λίπες, ἤθελε γὰρ οὕτω
Χριστὸς, ὅπως μίξῃ σ' ὡς τάχος οὐρανίοις.
Βένθεα πάντ' ἐδάης τὰ πνεύματος, ὅσσα τ' ἔασι
Τῆς χθονίης σοφίης, ἔμπνοον ἱερὸν ἔης,
Ὀκτάετες λαοῖο θεόφρονος ἡνία τείνας.
Τοῦτο μόνον τῶν σῶν ὦ Βασίλει' ὀλίγον.
Χαίροις ὦ Βασίλειε, καὶ εἰ λίπες ἡμέας ἔμπης.
Γρηγορίου τόδε σοι γράμμ' ἐπιτυμβίδιον,
Μῦθος ὃν δ' ἠμφιλέεσκες, ἔχεις γέρας ὦ Βασίλειε
Τῆς φιλίης, καί σοι δῶρον ἀπευκτότατον.
Γρηγόριος Βασίλειε τεῇ κονίῃ ἀνέθηκα

Τῶν ὑπὲρ γραμματικῶν τινῶν δυσδιηκάδα.

ΤΟΥ ΑΥΤΟΥ ΓΝΩΜΙΚΑ δίστιχα.

Ἀρχῆς καλῆς κάλλιστον εἶν' καὶ τέλος,
Ὀρθῶς δοκοῦσιν οἱ ὅροι τῶν πραγμάτων.
Ἀρχὴ καλὸν τίκτουσα τοῖς βροτοῖς πέρας,
Βίου καθαροῖς ἐν ἤθεσιν ἀσκουμένη.
Λόγοις πτερωθεὶς, μὴ πτερῶν ἔξω πέτα.
Πτερὸν γὰρ οὐδὲ πτηνὸν ἵπτασθαι δίχα.
Γνῶσις βροτῶν μέγιστον ἐν βίῳ κλέος,
Κακὸν δὲ αὕτη τοῖς κακῶς κεχρημένοις.
Κενή σε δόξα μηδόλως συναρπάσῃ,
Καὶ γὰρ πανοῦργον ἐστι τοῖς ἁπλουστέροις.
Εὖ δρῶν φυλάττου σαυτὸν ἐν τούτῳ μένειν.
Ταχὺς γὰρ οὗτος πρὸς τὸ χεῖρον ὁ δρόμος.
Γέλως κρατείσθω, καὶ θυμὸς λάβοι πέρας,
Ἀργὸς δὲ παντάπασιν εἰργέσθω λόγος.
Θεὸν φοβοῦ πρώτιστα, καὶ γονεῖς τίμα,
Ἱερεῖς ἐπαίνει, πρεσβύτας σεπτῶς ἔχε.
Υἱὸν δίκαια πατρὶ μηδόλως λέγειν,
Θυμὸς δ' ὀρίζει, καὶ πρὸ θυμοῦ ἡ φύσις.
Οἷα πρὸς ἄλλων μὴ παθεῖν ὅλως θέλεις,
Τοιαῦτα καὶ σὺ μὴ δὲ δρᾶν ἄλλον θέλε.
Οὐ δεινὸν, ὀργὴ δεινὰ τοῖς εἰργασμένοις,
Καὶ γὰρ δικάζει τοῖς ὁμοίοις ἡ δίκη.
Χείλη σοφὰ στάζουσιν ἡδίστους λόγους,
Φάρυγξ δὲ πικρὰς ἐξερεύγεται μάχας.
Ῥεῖθρα γλυκασμοῦ γλῶσσα βλύζει στωμύλη,
Ῥήσεις δὲ φαύλας ἄκρατον γεννᾷ στόμα.
Φίλοι φιλοῦσι καὶ τὰ τοῖς φίλοις φίλα,
Ἐχθροὶ δὲ φαυλίζουσιν αἰσχρῶς τοὺς φίλους.
Πτωχοὺς φίλους λάθωσι πλουσίων θύραι,
Λαμπραὶ δὲ αὐλαὶ, πλουσίοις ἀεὶ φίλαι.
Ὕδωρ, ποτὸν φέριστον, εὔκρατοι φρένες.
Θολοὶ δὲ τὸν νοῦν συλλαβοῦσα κραιπάλη.
Οὐκ οἶδ' ἐν οἴνῳ σωφρονίζειν τὴν φύσιν,
Κινεῖ δὲ μᾶλλον ἡδονὰς προξενῶν.
Νοῦς λεπτὸς ὄγκον ἐκδιώκει γαστέρος.
Τἀναντία γὰρ τοῖς ἐναντίοις μάχη.
Κρείσσων τροφὴ σύμμετρος εὐπορουμένη,
Ἢ δεῖπνος ἀθρόος ἐμπλασθείς τις τόνος.
Πλουτοῦσι μωροὶ τοῖς ὀνείρασι πλέον,
Ἢ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.
Κρεῖσσον ἄπαις, ἢ μωρὰ κύειν ἔκγονα,
Ὁ μὲν γὰρ ἄπαις, οἱ δὲ πολλοὶ καὶ κακοί.
Παντὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.
Πᾶν γὰρ τὸ ἐκ γῆς, γῆ τε καὶ εἰς γῆν πέλει.
Ποιμὴν ἀμέλγει, εἰ θέλει, καὶ τοὺς τράγους,
Ἀλλ' ἀντὶ γάλακτος, αἱμάτων πηγὰς ὕσει.
Ἡ σὺς ἐποπτεύουσα δ' ἀπονοητείαν,
Οἶδε προσπαίζειν τοὺς ὅρους μὴ συγχέειν.
Βίαζε καὶ σὺ τοὺς ἀτάκτους μὴ λύειν,
Τάξιν πρεπώδη καὶ νόμοις ἡρμοσμένην.
Νόμον φυλάττων, τοὺς φόβους ἔξω βάλλεις.
Φόβων γὰρ ἔξω πᾶς ὁ τῶν νόμων φύλαξ.

Κύβερνος ἴδμων φθέγξεται τρικυμίας,
Καὶ δεινὰ πάντα νοῦς σοφὰς φέρειν φρένας.
Ζωῆς ἄριστος μὴ φρονεῖ τἀναντία.
Καὶ γὰρ πρόδηλος ἐστι κακίας ἡ πλάνη.
Μέγιστος ἄκμων οὐ πτοεῖται τοὺς ψόφους,
Καὶ νοῦς ἐχέφρων πᾶσαν ἐκκρούει βλάβην.
Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι,
Ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.
Μισῶ πένητα πλουσίῳ δ' ἐρώμενον,
Ὡς τοῦτο λέγοντι τὸ τρέφειν λελησμένον.
Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται,
Ἁγνὸς δὲ ῥήτωρ, εὔκρατος ἁρμονία.
Γελῶσιν οἱ πλουτοῦντες ὀρφανῶν ψόγους,
Αὐτοῦ γελῶσι τὴν θεοῦ τιμωρίαν.
Νόμοις προσδραμοῦνται πρὸς ἀλήθειαν.
Ὁ μὴ νόμῳ φυλάξειν ἐννόμως φέρων.
Πέφυκε τοῖς πένησι μὴ φρονεῖν μέγα.
Τοῖς πλουσίοις γὰρ οὐδὲ φροντὶς τοῦ βίου.
Παῖδ' εὖ μωρὸς, ὡς ἐμφυτὸν τῇ φύσει,
Ἕξουσι γάρ που καὶ φρονίας παρ' ἐλπίδα.
Πλάττων σίδηρος ἔκπυρος καὶ τοὺς λίθους.
Σκληρὰ δὲ μάστιξ παιδαγωγεῖ καρδίαν.
Ὅρκους κάκιστον διδόναι καὶ λαμβάνειν,
Ἴσως γὰρ ἄμφω προσκέκρουκας τῇ δίκῃ.
Εἰς αἰῶνα θησαύριζε τὸν ἔξω τέλους,
Οὗτος γὰρ ἐκλέλοιπε καὶ πρὸ τοῦ τέλους.
Μὴ δὲ φίλει τὸν ὄλβον, ὃν λύει χρόνος.
Ἃ γὰρ χρόνος δίδωσι, καὶ λύσει χρόνος.
Αἰσχρὸν γυναιξὶν ἄρσεν ἦθος ἐκφέρειν.
Ταῖς κοσμίαις γὰρ τάξις, ἡ αἰδὼς ξένη.
Κάτοπτές ἐστιν ἀσθενὴ τοῖς χρωμένοις,
Καὶ ὡς πρόσεισιν, οἴχεται λίθου δίκην.
Οὐδεὶς ὑγείας πλοῦτος ἀλγοῦσι πλέον,
Σοφῶς καὶ ταύτην ἡ φύσις ἀεὶ θέλει.
Ἦχοι θαλάσσης, ἀνδρὸς ἄφρονος λόγοι.
Βρέμοντες ἀκτὰς, οὐ παίουσι χρόας.
Πάθουσι δ' ὕβρει καὶ σοφοὺς παραβλέπειν.
Βροτοῖς δὲ θήρα χρυσὸς, ὡς πτηνοῖς πάγη.
Γῆρας λύπαι τίκτουσι καὶ πρὸ τῶν χρόνων.
Ἃ γὰρ τρόπος καθεῖλεν, οὐ σώσει χρόνος.
Πλοῦτος τάχιστος, τῶν κακῶν ὑπηρέτης.
Καὶ γὰρ πρόχειρον εἰς κακουργίαν κράτος.
Οὐκ ἔστιν οὐδὲν βέλτιον κτῆμα φίλου.
Πονηρὸν ἄνδρα μηδέ ποτε κτήσῃ φίλον.
Τάξις τιμάσθω, καὶ προηγείσθω κράτους.
Κράτος γὰρ αὕτη, καὶ κράτους ἀεὶ φύλαξ.
Νοῦς ἐμμέριμνος, σὰς βιβρώσκων ὀστέα.
Θάλλει δὲ σῶμα, φροντίδας ὑπερτρέχον.
Οὐδεὶς κόρος πέφυκε σωφρόνως ἔχειν,
Καὶ γὰρ τὸ πῦρ εἴωθε ταῖς ὕλαις θέειν.
Οἶνος, πάθους ἔγερσις ἐκλελοιπότος.
Ὕλη γὰρ εἰσελθοῦσα ῥώννυσι φλόγα.
Φεύγουσιν ὀργὰς οἱ δίκας δεδοικότες.
Θυμὸν γὰρ ἐξάπτουσι πολλάκις δίκαι.
Δεινὸν, πόνοις κάμνοντι προσθεῖναι πόνους.

Ἀλλ' οὖν πόνους ἔπαυσε πολλάκις πόνος.
Ἄλλοι μὲν ἄλλων σὺν πόνοις δεδωκότων,
Ἄλλοις ὁρῶνται κινδυνευόντων πόνοις.
Δόξης ἀεὶ φρόντιζε τῆς αἰωνίας,
Ἡ γὰρ πρὸς ὥραν ψεύδεται καθημέραν.
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Τὰ γὰρ μετ' ὀργῆς οὐδέπω βουλὴν ἔχει.
Δεινὸν δράκοντα, καὶ κακοῦργον ἀσπίδα,
Διπλῆ γυναικὸς δ' ἐνότης γὰρ θηρίοις.
Πάθουσι γυμνὰ σὺν ἐρῶντας ὄσια,
Ὡς οὐδὲ γὰρ ἡμῖν προσφυὲς τῶν φιλτάτων.
Εἰ λοξὰ βαίνουσι καρκίνων γόνοι,
Πεῖραν λάβωσι μητρικῶν βαδισμάτων.
Δώσεις παραλλήλως ἐκβιάζων τὴν φύσιν,
Καλοὺς μαθητὰς ἐκ κακῶν διδασκάλων.
Κόσμει σεαυτὸν τοῖς καλοῖς τεκμηρίοις,
Καὶ μὴ τεκόντος ὀρφανοῦ καταφρόνει.
Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος,
Καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει κόπος.
Τίκτουσ' ἔχιδνα, μὴ φοβοῦ τὰς ὠδῖνας,
Ἔχεις λαβοῦσα μητρικοῦ πεῖραν τόκου.
Οὐδεὶς ἀριστεὺς ἐκ παραλλήλου λαλιᾶς.
Νίκαι γὰρ ἀστράπτουσι τὰς εὐφημίας.
Ἀνὴρ ὑπνώδης, εὑρετὴς ὀνειράτων,
Μύστης γὰρ οὗτος φασμάτων, οὐ πραγμάτων.
Εἴωθε πείθειν μὴ θέλοντας ἡ βία,
Ἄγχει γὰρ αὕτη καὶ γίγαντας πολλάκις.
Δήμου σφαλέντος, πᾶς ἀγύρτης ἄρχεται.
Δῆμος δὲ παύει τῶν καλῶν ἀταξία.
Ἔργον πάρεργον οὐδαμῶς ἔργον λέγω.
Τῶν γὰρ παρέργων καὶ καταφρονητέον.
Ἡ πρὸς τὰ μικρὰ τῶν χαμαιριφῶν μέλει
Τάξις τιμᾶται, τῶν κοινῶν ἀθροισμένων.
Χρυσοῦ λαλοῦντος, ἅπας ἄπρακτος λόγος,
Πείθειν γὰρ οἶδε, κἂν μὴ πέφυκε λέγειν.
Ἐξοῦσι καὶ νῦν τὰ πρὸς ἀρετὴν φέρειν
Οἱ πρὸς τὰ ῥευστὰ τοῦ βίου μεμηνότες.
Τροχός ἐστιν ἀστάτως πεπηγμένος,
Ὁ μικρὸς οὗτος καὶ πολύτροπος βίος.
Ἄνω κινεῖται, καὶ περισπᾶται κάτω,
Οὐχ ἑστὼς γοῦν, κἂν δοκῇ πεπηγμένος,
Φεύγων κρατεῖται, καὶ μένων ἀποτρέχει,
Σκιρτᾷ δὲ πολλά, καὶ τὸ φεύγειν οὐκ ἔχει,
Ἕλκει, καθέλκει τῇ κινήσει τὴν στάσιν.
Ὡς οὐδὲ γὰρ τοῦτον τὸν βίον διαγράφων,
Ἢ καπνὸν ἢ ὄνειρον, ἢ ἄνθος χλόης.
Ἔφησε τίς που τῶν φιλοχρύσων τάδε,
Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.
Πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων,
Ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης.

ΤΕΛΟΣ.

ΤΟΥ ΑΥΤΟΥ ΤΕΤΡΑΣΤΙΧΑ.

Γρηγορίου πόνος εἰμί, τετραστίχῳ δὲ φυλάσσω
γνώμας πνευματικάς, μνημόσυνον σοφίης.

Πρᾶξιν προτιμήσειας, ἢ θεωρίαν;
ὅλης τελείων ἔργον, ἡ δὲ πλειόνων.
ἄμφω μέν εἰσι δεξιαὶ καὶ φίλαι,
σὺ δέ, πρὸς ἣν πέφυκας, ἐκτείνου πλέον.
Ἤρετό με τίς πρόβλημα τῶν ἐκ πνεύματος.
ἣν ἐκρυπτώθης, εἶπον. ἀλλὰ σωφρονῶ.
ἣν ἐκρυπτώθης, νῦν δὲ δεῖ καθαρσίων.
μύρον δοχεῖον σαπρὸν οὐ πιστεύεται.
Μήτ' ἀντίτεινε πᾶσι, μήθ' ἕπου λόγοις,
ἀλλ' οἷς ἔπεισι, καὶ ὅσον καὶ πηνίκα.
θεοῦ δὲ πλεῖον οὐδ' ἔχου, ἢ προσπέσει.
λόγῳ παλαίει πᾶς λόγος, βίῳ δὲ τίς;
Μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ·
μὴ τῇ μὲν ἕλκειν, τῇ δ' ἀπωθεῖσθαι χεροῖν.
ἄπτον δ' ἐνόσει τοῦ λέγειν, πράττειν ἃ δεῖ.
γραφεὺς διδάσκει τὸ πλέον τοῖς ἐκτύποις.
Ὑμῖν λέγω μάλιστα τοῖς τοῦ βήματος,
ὀφθαλμὸν εἶναι μὴ σκότους πεπλησμένον.
μὴ καὶ πρόεδροι τοῦ κακοῦ φαινώμεθα.
εἰ γὰρ τὸ φῶς τοιοῦτον, τὸ σκότος πόσον;
Ἄφωνον ἔργον, κρεῖσσον ἀπράκτου λόγου.
βίου μὲν οὐδεὶς πώποθ' ὑψώθη δίχα,
λόγου δὲ πολλοί, τοῦ καλῶς ψοφουμένου.
οὐ γὰρ λαλούντων, εὖ βαινόντων δ' ἡ χάρις.
Δῶρον θεῷ κάλλιστόν ἐστιν ὁ τρόπος.
κἂν πάντ' ἐνέγκῃς, οὐδὲν οἴσεις ἄξιον.
ὃ καὶ γονεῖς δίδωσι, τοῦτο πρόσφερε.
μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται.
Μηδέν ποτ' εὔξῃ μηδὲ τῶν μικρῶν θεῷ.
θεοῦ γάρ ἐστι πρὶν λαβεῖν. τί οὖν λέγω;
κλέψας τὰ σαυτοῦ μὴ δός; καινοῦ χρεὼς
Ἀνανίας σε παιδευέτω, Σάπφειρά τε.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
ἣν πραγματεύσῃ, κέρδος. ἀντάλλαγμα γὰρ
μικρῶν τὰ μείζω, καὶ ῥέοντ' ἀϊδίων.
ἣν δ' αὖ παρέλθῃ, καιρὸν ἄλλον οὐκ ἔχεις.
Πολὺς μὲν ἐστιν ὁ προκείμενος δρόμος,
πλείων δ' ὁ μισθός. μὴ βλέπων τὸ πᾶν ἅμα,
τοῦ παντὸς ἀρθῇς, καὶ πλέως οὐ πᾶν ἅμα.
καὶ τοῦτο πεῖρα πολλάκις τοῦ δυσμενοῦς.
Μὴ σφόδρα θαῤῥεῖν, μήδ' ἀπελπίζειν ἄγαν.
τὸ μὲν γὰρ ἐκλύει σε, τῷ δ' ἀνατρέπῃ.
τὸ μὲν κατορθοῦ, τοῦ δ' ἔχου, τὸ δ' οὐ φθόνος.
οὐχ ὡς ὅλου τὸ λοιπὸν ἀργοῦ πόνου.
Μὴ θερμὸν ἅπτειν, ἐμμένειν δ' οἷς ἂν κρίνῃς.
κρεῖσσον προκόπτειν, ἢ τι κόπτειν τοῦ καλοῦ.
καὶ γοῦν κακοὺς καλοῦμεν, οὐχὶ τοὺς κάτω,
τοὺς δ' ἀνίχ' ὑψοῦσι, πίπτοντας μέγα.
Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα,
καὶ σπέρμ' ἐχίδνης πολλάκις διώλεσε.
τοῦτ' οὖν ὁρῶν, ἔκκλινε καὶ μικρὸν βλάβος.

μικρὸν

μικρὸν μὲν ὅθεν, εἰς δὲ μεῖζον ἔρχεται.
Εὔθυνα σαυτὸν πλεῖον, ἢ τὰ τῶν φίλων.
τὸ μὲν γὰρ αὐτὸς κερδανεῖς, τὸ δ' οἱ φίλοι.
κρείσσων λογισμὸς πράξεων ἢ χρημάτων.
τὰ μὲν γὰρ ἐντὸς τῆς φθορᾶς, τὰ δ' ἵσταται.
Ὁ νοῦς ἀεί σοι κινείσθω τυπούμενος
θείοις νοήμασί τε καὶ θείοις λόγοις.
γλώσσης δὲ φείδου, καὶ γὰρ εὐκολωτέρα
βλάψαι, τὸ κέρδος δ' ἧσσον εὖ κινουμένης.
Ὄψεις συνήρπασέ με, πλὴν ἀλλ' ἐσχέθη.
εἴδωλον οὐκ ἔστησα τῆς ἁμαρτίας.
εἴδωλον ἐστὶ πεῖραν, πρᾶξιν ἐκπεφυγμένον.
βαθμοὶ τάδ' εἰσὶ τῆς πλάνης τῆς δυσμενοῦς.
Κρεῖττον τὰ ὦτα φράσσε πρὸς φαύλους λόγους,
ᾠδῶν τε τερπνῶν ἐκμελῶν λιγυσμάτων.
τοῖς δ' αὖ καλοῖς τε, κἀγαθοῖς ἀεὶ δίδου
εἰπεῖν, ἀκοῦσαι, καὶ δρᾶσαι μικρὸν μέσον.
Μὴ σφόδρα δ' ὀσμῶν ἐκλύου θηλύσμασιν,
ἁφῆς τε λειότησι, μηδὲ γεύσεσιν.
τί ἂν ποτ' ἀνδρίσαιο τῶνδ' ἡττώμενος;
χωρὶς γυναικῶν κἀρρένων ἡδύσματα.
Δός, εἶπε γαστήρ, ἣν λαβοῦσα σωφρονῶ,
δώσω προθύμως. ἣν δὲ τοῖς κάτω διδῷς,
κόπτειν λάβοις μὲν, ἀλλ' ὅμως μὴ πλουσίαν.
εἰ δ' οὖν κατάσχοις, δώσομεν καὶ πλουσίαν.
Γέλως γέλωτος εὖ φρονοῦσιν ἄξιος.
μάλιστα μὲν πᾶς, τὸ πλέον δ' ὁ πορνικός.
γέλως ἄτακτος ἐκφέρει καὶ δάκρυον.
κρεῖσσον κατηφὲς ἦθος, ἢ τεθρυμμένον.
Κάλλος νόμιζε τὴν φρενῶν εὐκοσμίαν,
οὐχ ἣν γράφουσι χεῖρες, ἢ λύει χρόνος.
ὄψει δ' ὅπερ νοῦ σώφρονος γνωρίζεται,
αἶσχος δ' ὁμοίως τῇ φρενῶν ἀκοσμίᾳ.
Λῦπαι παρῆλθον, ἡδοναί, θάρσος, φόβοι,
πλοῦτος, πενία, δόξα, δύσκλεια, θρόνοι,
ῥέτωσαν, ὡς θέλουσιν. οὐδ' ἐν ἅπτεται
τῶν οὐ μενόντων, ἀνδρὸς εὖ βεβηκότος.
Ὕψου βίῳ τὸ πλεῖον, ἢ φρονήματι.
ὃ μὲν θεοῖ σε, τοῦ δὲ καὶ πίπτεις μέγα.
τοὔξω δὲ τούτου, μὴ μικροῖς μετρούμενος,
κἂν πλεῖστον ἀρθῇς, κάτω τῆς στολῆς.
Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄγαν.
κρεῖσσον γὰρ εἶναι τοῦ δοκεῖν. εἰ δ' ἄμετρος ᾖ,
μὴ τὴν κενὴν θήρευε, μήτε τὴν νέαν.
τί γὰρ τεθνηκότι κέρδος, εἰ δοκεῖ λέων;
Αἴνει μὲν ἄλλον, μὴ φρόνει δ' αἰνούμενος.
καὶ γὰρ δέος σε τῶν ἐπαίνων ὑστερεῖν.
μηδ' ἄλλον εὐθύς, πρίν γε τῇ πείρᾳ μάθῃς,
μήπως κακοῦ φανέντος, αἰσχύνην ὄφλῃς.
Κακῶς ἀκούειν κρεῖσσον, ἢ λέγειν κακῶς.
ὅταν προθῇ τις ἄλλον ἐς κωμῳδίαν,
ὡς εὐφρανῶν σε, σαυτὸν ἐγκεῖσθαι δόκει.
ὃ δ' ἂν μάλιστα δυσχεράνοις τῷ λόγῳ.
Μηδὲ μέγ' εἴπῃς εὐπλοεῖν πρὸ πεισμάτων.
πολλοῖς πρὸς ὅρμον εὐπλοοῦν ἔδυ σκάφος.
πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμίας.
μηδ' ἀσφάλεια, μὴ ὀνειδίζειν τύχας.
Κρεῖσσον καλῶς βιοῦντα, καὶ πονούμενον
παρρησιάζεσθαί τι πρὸς τὸν δεσπότην,
ἢ μὴ καλοῖς θάλλοντ' ἀπαιτεῖσθαι δίκην,
εἰ καὶ τὰ πάντα σὺν λόγῳ πορεύεται.
Πρόου τὰ πάντα, καὶ θεὸν κτῆσαι μόνον.
οὐ γὰρ μετεῖχες χρημάτων ἀλλοτρίων.
εἰ δ' οὐ θέλεις τὰ πάντα, δὸς τὰ πλείονα,
εἰ δ' οὐδὲ τοῦτο, τοῖς περισσοῖς εὐσέβει.
Καλόν τι, σιγῶν ἐκπτᾶσαι καὶ τοῦ φθόνου.
χριστὸν χρῄζειν μᾶλλον, ἢ τὰ πάντ' ἔχειν.
ὃς καὶ βασιλείαν, κλάσματος χαρίζεται.
χριστὸν σκέπας, τρύφος τε, τὸν πτωχὸν τρέφων.
Πένης προσῆλθεν, εἶτ' ἀπῆλθε μὴ τυχών.
δέδοικα χριστέ, μὴ κἀγὼ τῆς σῆς χερὸς
χρῄζων, ἀπέλθοιμ' ἐνδεὴς ἐμοῖς νόμοις.
ὁ γὰρ κενὸς ἔδωκε, μηδ' ἐλπιζέτω.
Πένητος ἀνδρὸς οὐδὲν ἀσφαλέστερον.
πρὸς τὸν θεὸν πέφευγε, καὶ μόνον βλέπει,
σὺν δ' ἀγκαλίζει. αὐτὸς γὰρ ὡς λόγος
πολύς, καλιὰν λεπτὸν ὄρνιν ἀμφέπει.
Κρεῖσσον πενία μὴ δικαίας κτήσεως.
καὶ γὰρ νόσος γε τῆς κακῆς εὐεξίας.
λιμῷ μὲν οὐ κραιπάλης διαφθείρει.
τοῖς δ' αὖ κακίστοις πότμος ἡ μοχθηρία.
Τί δεσπότης ἢ δοῦλος, ἢ φαύλη τομή;
εἷς πᾶσι πλάστης, εἷς νόμος, κρίσις μία.
ὑπουργεῖν μὲν, ὡς δὲ σύνδουλον βλέπε.
ὅταν δὲ λυθῇς, τιμιώτερος φανεῖς.
Οἱ δ' οἰκέται τί καὶ μάλιστα οἱ θεοῦ;
μὴ φυγέτωσαν εὐνοεῖν τοῖς δεσπόταις.
ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει.
καὶ χρυσὸς ὤφθη δοῦλος, ἀλλ' ἐλεύθερος.
Κακῶς δ' ἀκούων αἰσχύνου, μὴ δυσχερής.
ψόγος γὰρ ἀσιν οἱ πάλαι σεσιγότες.
ψόγους προάρχειν κρεῖσσον, ἢ λύειν ψόγον.
ὡς καλὸν εἶναι, ἢ καλῶν πεφυκέναι.
Θεοῦ μόνου, θεῖον τι ἀπλήστως ἔχειν,
ὃς τοῖς λαβοῦσι καὶ πλέον χαρίζεται.
διψῶν, τὸ δ' ἐψᾶσθ' ἀφθόνως ἀεὶ ῥέον.
ἐν τοῖς δὲ λοιποῖς, καὶ φέρειν ἡττώμενος.
Μὴ πάντα νικᾶν, μηδ' ἀεὶ σπουδὴν ἔχε.
καλῶς κρατεῖσθαι κρεῖσσον, ἢ νικᾶν κακῶς.
καὶ γὰρ παλαιστὴς οὐχ ὁ κείμενος κάτω,
πάντως κρατεῖται, πολλάκις δ' ὑπέρτερος.
Καὶ ζημιοῦ τι. τοῦτο κέρδος πολλάκις,
ὥσπερ καθαίρειν φυτὸν εἰς εὐκαρπίαν.
εἰ δ' οὐ καλῶς τι προστεθεῖς, οἷς νῦν ἔχεις,
ὕλην φέρεις πυρί, ἢ νόσον τῷ σώματι.
Εἰ μηδ' ἐν ὀφλῇς τοῦ θεοῦ τιμωρίας,
μὴ δ' αὐτὸς ἴσθι τοῖς ὀφλοῦσι συμπαθής.
εἰ δ' οἶδας ὀφλῶν, καὶ προσῆκον τὸ πρᾶον.
οἴκτῳ γὰρ οἶκτος τοῦ θεοῦ σταθμίζεται.
Ὅταν ποθ' ὕβρις ἐκκάῃ τὴν σὴν φρένα,

μνήσθητι Χριστοῦ, τῶν ἐκείνου τραυμάτων,
πόσοι τε μικρὰ ταῦτα τῶν τοῦ δεσπότου.
ὡς δ' ἂν τὸ λυποῦν ὥσπερ ὕδατι σβέσαις.
Ἔρως, μέθη, ζῆλός τε, καὶ δαίμων, ἴσα.
οἷς ἂν παρέλθῃ τὸ φρονεῖν ἐπέκλυσε.
τῆξις, προσευχή, δάκρυον, τὰ φάρμακα.
ἀλλ' ἰατρεία τῶν ἐμῶν νοσημάτων.
Ὅρον δὲ φεῦγε πάντα. πῶς οὖν πείσομαι
λόγῳ τρόπῳ τε τὸν λόγον πιστούμενος;
ἄρνησίς ἐστι τοῦ θεοῦ, ψευδορκία.
τί δεῖ θεοῦ σοι; τὸν τρόπον μέσον τίθει.
Τί χρηστότητος δεῖγμα συντομώτερον;
τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας,
οἵους σεαυτῷ τούσδε τυγχάνειν θέλεις.
καὶ συντομώτερόν τι τῆς Χριστοῦ πάθους.
Πιστοῦ φίλου νόμιζε μηδὲν ἄξιον,
ὃν οὐ κρατὴρ ἔδειξε, καιροῦ δὲ ζάλη,
ὃς οὐ χαρίζετ', ἢ μόνον τὸ συμφέρον.
ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.
Τἄλλα βλέπων ὀφθαλμός, αὑτὸν οὐ βλέπει.
ἀλλ' οὐδὲ τἄλλα, ἢν ἔχων λημμῶν τύχῃ.
τούτου χάριν, σύμβολον εἰς ἅπαντ' ἔχειν.
καὶ γὰρ χερὸς χείρ, ὁ πολὺς τοῦ ἐνδεοῦς.
Εἰ τοῖς καλοῖς ἕποιο νουθετούμενος,
οὐκ ἐντραπήσῃ τοῖς κακοῖς γελώμενος.
ὅταν ποτ' αἰσχρὸν ἐννοῇς, νόμιζέ σοι
πολλοὺς παρεῖναι, καὶ σεαυτὸν ἐντρέπου.
Ἀεὶ προτίμα σοῦ καλοὺς τῶν μὴ καλῶν.
κακοῖς δ' ὁμιλῶν, καὶ κακὸς πάντως ἔσῃ.
κακοῦ παρ' ἀνδρὸς μήποτε χρηστὸν πάθῃς.
ζητεῖ γάρ, ὧν βιάσει συγγνώμην ἔχειν.
Ἐγώ τι κέρδος ἐκλέγω καὶ δυσμενοῦς.
τὰς γὰρ λαβὰς φεύγοντας, ἀσφαλεστέρους
εἶναι παραινῶ, καὶ τὸ πικρὸν φάρμακον.
ὅμως δέδοικα, καὶ τὸ ἡδὺ μέμφομαι.
Καλοὺς ἀμείβου, σοῦ κακοὺς περιφρόνει.
κἂν τοῖσδε κεῖσθαι τοῦ παθεῖν μισθόν, χάρις,
ὡς ἂν καλοὺς καὶ τούσδε ποιήσῃς χρόνῳ.

ὑπὲρ μακροθύμου χρηστότης, καλὰ δέ σοι.
Πᾶσι μὲν ἴσθι χρηστός, εἰ ὅσον δυνατόν,
πλέον δὲ τοῖς ἔγγιστα. τοῦ χάριν λέγεις;
τίς ἄν σε πιστεύσειε τοῖς ξένοις καλὸν
εἶναι, τὸν οὐ δίκαιον, οἷς ὀφείλεται;
Τί πάντα τὸν δύστηνον αἰεὶ μάθε
ἐχθρόν, διδόντα τὴν βίου ἐξουσίαν;
μέμφου σεαυτόν, ἢ τὸ πᾶν ἢ τὸ πλέον.
τὸ πῦρ ἡμῶν, ἡ δὲ φλὸξ τοῦ πνεύματος.
Μὴ σφόδρ' ἐπιδῇς παιγνίοις ἐνυπνίων.
μὴ δ' ἐκπλήττου, ὡς ἅπαντ' ἔχειν φρενί.
μὴ δὲ πτεροῦ μοι δεξιοῖς φαντάσμασι.
λόχος γάρ ἐστι πολλάκις τοῦ δυσμενοῦς.
Ἐλπὶς προκείσθω δεξιοῦ παντὸς τέλους.
εἰ γὰρ συνεργός ἐστι τὶς τοῦ χείρονος,
πῶς οὐ καλοῦ δίκαιον εἶναι καὶ πλέον;
οὐ γὰρ φέρωγε τοῦ κακοῦ νικώμενος.
Ἡγοῦ τύχης φρόνησιν ἀσφαλεστέραν.
ἡ μὲν γάρ ἐστι πραγμάτων κούφη φορά,
ἡ δ' οἰακισμός. μὴ δὲ ἐν παιδεύσεως
νόμιζε κρεῖσσον, ἢ μόνῃ κεκτημένον.
Τὸ δραστικὸν δείκνυε, μὴ τὸ δρᾶν κακῶς,
τὸ δ' εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός.
τὸ δ' ἐστὶν ἀνδρὸς ἐλθόντος τὸ συγγενές.
κτείνει δὲ ῥᾷστα καὶ τρυγὼν καὶ σκορπίος.
Αἰσχρὸν, νέον γέροντος ἀσθενέστερον
εἶναι, γέροντα δ' ἀφρονέστερον νέου.
ὅμως ὁ μέν, καθ' ὥραν ἔστω πάνσοφος.
τὸν δέ, κράτιστον, καὶ πρὸς ὥραν σωφρονεῖν.
Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν.
καιρὸς δὲ δεῖ μάλιστα, ἡ βίου λύσις.
τὸ γῆρας ἦλθεν, ἔξοδον κῆρυξ βοᾷ.
πᾶς ἐντρεπίζου, πλησίον γὰρ ἡ κρίσις.
Γέρας λόγου, δοτή τις ἄρνησις θεοῦ
ἔργῳ, λόγῳ τε. μὴ κλαπῇς, περισκόπει.
ἀεὶ διώκει λαθραίοις παλαίσμασι,
μή πως δυσθῇς ἐσχάτων καθαρσίων.

ΤΟΥ ΑΓΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΤΡΑΓΩΔΙΑ, ΧΡΙΣΤΟΣ ΠΑΣΧΩΝ.

Ὑπόθεσις.

Ἐπεὶ δ' ἀκούσας εὐσεβῶς ποιημάτων
Ποιητικῶς νῦν εὐσεβῆ κλύειν θέλεις,
Πρόφρων ἄκουε νῦν τε κατ' Εὐριπίδην
Τὸ κοσμοσωτήριον ἐξερῶ πάθος,
Ὅθεν μαθήσῃ πλεῖστα μυστικῶν λόγων,
Ὡς ἐκ στόματος μητροπαρθένου κόρης,
Μύστου τε φίλου μαθητοῦ τε παρὰ διδασκάλῳ.
Πρώτην γὰρ αὐτὴν νῦν παρεισάξει λόγος,
Μητροπρεπῶς θρηνοῦσαν ἐν καιρῷ πάθους,
Πότμου τε τὴν πρόφασιν, ἀρχῆς ἀπ' ἄκρης
Στένουσαν, ὡς φανεῖσαν ὄντως αἰτίαν,
Τοῦ μητέρ' αὐτὴν τοῦ λόγου χρηματίσαι,
Καὶ νῦν ἰδεῖν πάσχοντα τοῦτον ἀδίκως·
Εἰ μὴ γὰρ ἐσφάλημεν ἐπιβουλίᾳ,
Οὐκ ἂν κατεκρίθημεν ἀρχῆθεν μόρον.
Κἂν μὴ διεφθάρημεν ἐν πτώσει δόλῳ,
Μηδ' ἡ φθορά τ' ἐσῆλθε θηρὸς ἀπάτῃ.
Καὶ πότμον ὑπέστημεν ἐνδίκῳ κρίσει,
Ὡς μὴ τὸ κακὸν ἀδιάφθορον μένῃ.
Οὐκ ἦν βροτωθῆναί τε, καὶ τλῆναι μόρον,
Τὸν ζωοποιὸν δεσπότην θεὸν λόγον,
Ἀφθαρτίσοντα τὸ φθαρὲν φιλαγάθως,
Καὶ ζωοποιήσοντα τὸ βροτοῦ ἅπαν.
Μηνύοντος αὐτοῦ δ' ἀκηράτου τοῦ λόγου,
Ἦν δ' οὐκ ἂν ἐκπέφηνε μήτηρ δεσπότου.
Καὶ τόνδε νῦν ὁρῶσα πάσχοντ' ἀδίκως
Θρηνοῦσ' ἀνεκλάλαξε τετρυχωμένη.
Πρόσωπα γοῦν τοῦ δράματος ἐστί μοι τάδε,
Μήτηρ πάναγνος, παρθένος μύστης, κόραι
Αἱ συμπαροῦσαι μητρὶ τῇ δεσπότου.

Προλογίζει ἡ παρθένος.

ΘΕΟΤΟ.

Εἴθ' ὤφελ' ἐν λειμῶνι μήδ' ἕρπειν ὄφις,
Μηδ' ἐν νάπαισι τοῦδ' ὑφεδρεύειν δράκων
Ἀγκυλομήτης· οὐ γὰρ ἂν πλευρᾶς φῦμα,
Μήτηρ γένους δύστηνος ἀπατημένη,
Τόλμημα τολμᾶν παντότολμον ἔτλη,
Ἐρνὸς ἔρωτι θυμὸν ἐκπεπληγμένη,
Θεώσεως πεισθεῖσα τυχεῖν αὐτόθεν.
Οὐδ' ἂν φαγεῖν ἔπεισε καρποῦ τὸν πόσιν,
Τοῦ μηδὲ συμφέροντος αὐτίκα σφίσι,
Λειμῶνος ἐξῴκιστο τοῦ πανολβίου,
Λύμην κατακλεισθεῖσα, καὶ λυγρὸν μόρον,
Μήτηρ τέκνων τ' ἤκουσεν ἐκ δυσκοιτίας
Μονοτοκοῦσ', ὠδῖσι τ' ἐμπεσουμένη,
Ἱδρῶτ' ἂν ᾤκει τὴν δὲ γῆν ὀλεθρίαν,
Σὺν ἀνδρὶ καὶ τέκνοισιν ἀρᾶς ὑπέτης,
Ἀπὸ τεκεῖν ὥριστο λύπαις καὶ στόνοις,
Διαδοχάς τε παραπέμπειν ἐπὶ βίῳ,
Διαλλαγάς τ' ἐντεῦθεν εὑρεῖν ἐξόχως.
Οὐδ' ἂν γένος ὤλωλεν ἀνθρώπων ἅπαν,
Καὶ τὸν δυνατὸν ἐλθεῖν ἐπέσχε πως,
Ἀγαθότητι δεσπότου κατηφίας,
Καινῶς βροτωθῆναί τε καὶ τλῆναι πάθος.
Οὐδ' ἂν ἐγὼ πέφυκα μήτηρ παρθένος,
Καὶ νῦν ἔκλυον υἱὸν ἑλκυσθῆ κρίσει
Οὐράνιον, γήϊνον, ἀκραιφνῆ γοναῖς,
Ἰδεῖν τ' ἔφριξα τόνδε καθυβρισμένον,
Ἀφ' οὗ δ' ἁλῶν φέρουσα φεῦ δεινὴν φλόγα,
Ἣ σφόδρα μαιμάσσει με, καὶ στροβεῖ κέαρ,
Καὶ καρδίαν δίεισιν, ὡς ῥόπτρον μέγα.
Ὡς μυστικῶς ᾖσε Συμεὼν γέρων,
Τηλεσκόποις ὄμμασι πάντως προβλέπων·
Ἧπου μεγίστη γίνεται σωτηρία,
Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ,
Τὰ πάντα συμφέρουσα τῷ δ', ὥσπερ θέμις,
Μηδὲ πρὸς ἄλλα παρεκβάσιν ἵνα κλίνῃ,
Ἀλλ' ἐστὶ συμφρονοῦσα γνησίῳ πόσει.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ καίρια,
Αὐτὴ προδοῦσα ἄνδρα, καὶ κράτους κλέος,
Φιλεῖ γὰρ ὕβρις ἡ παλαιὰ τίκτειν νέαν.
Ἐκ δακρύων δάκρυα καταλείβεται,
Ὧν οὔτε μέτρον, οὔτ' ἀριθμὸς ἔστι τις.
Κακῷ γὰρ κακὸν εἰς ἅμιλλαν ἔρχεται.
Ὅθεν πότνια φύσις ἠλεημένη,
Στένει κλάουσα συμφορὰς πεφυρμένας,
Διαδοχάς τε τῶν ἀφορητάτων πόνων,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον.
Ἐπεὶ πρὸς ἐχθροὺς ἦλθεν ἠδικημένη,
Καὶ μητρὸς αὐτῇ προστεταμένη βλάβη,
Ὧν πάντοθεν μὲν οἱ ἐπὶ χθόν' ἔκγονοι.
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δεξιᾶς
Πίστιν μεγίστην, καὶ θεὸν μαρτύρεται,
Ἔγνω καὶ ἡ τάλαινα συμφορῶν ὕπο,
Οἷον πατρῴαν μὴ λιπεῖν ἐσθλὸν χθόνα.
Στυγεῖ δὲ κόσμον, οὐδ' ὁρῶσ' εὐφραίνεται,
Εἰς ᾅδην γὰρ νῦν ἐκβέβηκ' ἀλγεδόνος,
Ὥσθ' ἵμερός μ' ὑπῆλθε, γῇ τε καὶ πόλῳ
Λέξαι μολοῦσαν δεῦρο φύσεως βλάβας.
Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων,
Τίκτουσα, μὴ τίκτουσα, φεύγουσ' αὖ τόκους
Δύστην' ἐμαυτὴν γὰρ λέγω, λέγουσά σε,
Τίκτουσαν, οὐ τίκτουσαν, ὡς ὑπὲρ λόγον.
Τόκον γὰρ ἔγνων ἄπονον, τί γὰρ φράσω;
Πόνους φυγοῦσα, καὶ φθορὰν νῦν καὶ πάθη.
Οὐκ οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν
Τινὸς πρὸς ἀνδρὸς μᾶλλον, ἢ χαλκὸς βαφάς.
Οὐ γὰρ κορείας ἄμμα διέφθαρέ τις,
Καὶ παῖδα πῶς ἔτικτον; ὦ θάμβος μέγα.

ὑβρισμὸς

Ὑβρισμένον δὲ τὰ νῦν πῶς οἴσω βλέπειν,
Πόνους φυγοῦσα πῶς ὀδυνῶμαι λίαν;
Ἀντηλάλαξα πῶς πάλαι χαρᾶς ὕπο,
Ὅτ' ἦλθεν εὐάγγελος ἀγγέλλων τόκον,
Φράζων ἄλυξιν δυσμενῶν βροτῶν γένει,
Καὶ γηθόσυνον χάρμα μοι φέρων μέγα.
Λόγοις δὲ τοῖσδ' εὔπλαγκτος οὐκ ἐφαινόμην,
Πεισθεῖσα τὴν φέρουσαν θέσκελον φάτιν,
Οὐχὶ σφάγιον μηνύουσαν μ' ἐκτεκεῖν,
Ἀλλ' ὡς ἄνακτα γῆς τε καὶ παντὸς πόλου.
Ὅμως δ' ἔθυον καὶ γυναικείῳ νόμῳ,
Ψυχῆς τ' ἔπεμπον ἀλαλαγμὸν ἐκ μέσης.
Λάσκουσ', εὐφημοῦσα τὴν ἀγγελίαν,
Θυηφάγον φέρουσά τ' εὐώδη φλόγα,
Οἵαν θύειν φράζουσιν οἱ θεοπρόποι,
Ζῆλον ἔμπυρον, πνεῦμα συντεθειμένον,
Ἐρωτά τ' εὐκάθεκτον ἔνθερμον λίαν,
Ἀθυσίαν εἴδαμεν εὐφημουμένην.
Καί πως στροβεῖ μου σπλάγχνα νῦν δριμὺ βέλος.
Κἀγὼ πρόθυμος ἔννυχος δραμεῖν θέλω,
Ἰδεῖν τι παιδὸς ἢν κακοσυμβῇ πάθοι,
Αὗται δ' ἔπεισαν μ' ἡμέρας μίμνειν φάος.
Χορ. Δέσποινα νῦν πύκαζε σὸν δέμας τάχα.
Θεοτό. Ἀνδρῶν τρέχουσιν ἐμφανεῖς ἔξω πύλης.
Τί δ' ἐστί; μῶν γε δυσμενῶν ἀγγέλλεται
Λόχος κρυφαῖος ἱστάναι κατ' εὐφρόνην;
Χορ. Ἔννυχος ὄχλος ἐν θορύβῳ συρρέει,
Στρατὸν πόλιν τε πᾶσαν αὖ ὄρφναν βλέπω,
Λαμπτῆρας εἰσφέροντα καὶ πολλὰ ξίφη.
Θεοτό. Καὶ νῦν τί; ἡμᾶς νῦν τις ἐν σπουδῇ ποδὸς
Στείχει, νέον τι πρᾶγμ' ἔχων ἴσως φράσαι.
Ἰδού, τί λέξει. καὶ τίνα ἀγγελεῖ λόγον.
Πότνια πότνια σεμνοτάτη παρθένε.
Αἶ, αἶ, αἶ, αἶ.
Πολλὰ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος,
Ἁγνὴ κέκλησαι δ' ἐπὶ γῆς, ὅσοι πέδον
Ναίουσι, λαμπτὸν φῶς ὁρῶντες ἡλίου.
Τὰ νῦν δὲ τάλαιν' ἡ πάλαι μακαρία.
Θεοτό. Τί δ' ἐστίν; ἦπου τίς μ' ἀποκτεῖναι θέλει;
Χορ. Οὔκ, ἀλλὰ παῖς θνήσκει σὸς ὑπ' ἀλαστόρων.
Θεοτό. Οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας γύναι,
Χορ. Ὡς οὐκέτ' ὄντος υἱέος, φρόντιζε δή.
Θεοτό. Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλείσεις στόμα;
Καὶ πῶς μεθήσει; ἀπρεπὲς ῥῆμα φέρειν;
Τὸν ὄντ' ἀεὶ γὰρ μηκέτ' εἶναι πῶς λέγεις;
Εὔφημος ἴσθι, κἄν τις σοι χρεία λέγειν,
Λέγ', ὡς πέπονθε, μὴ δ' ἀτιμάσῃς θεόν.
Γονᾶς γὰρ ἐκ χρυσίας ἔβλαστέ μοι.
Καινὸν δὲ πιστεύειν αἷμ' ὑπ' αἰθέρων θεοῦ,
Θανεῖν τὸ ἀθάνατον, οὐκ ἔχει λόγον.
Ἔλεκτον αὐτόν, οἶδα δ' ὡς ἐγεινάμην.
Χορ. Ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Καὶ τοὺς δὲ κινεῖς κἀναμοχλεύεις λόγους.
Πῶς φανείσης υἱέος γ' ὄψει μόρον,
Ὡς παννύχοι κρίνουσιν οἱ μιαιφόνοι.

Καί τοι δέδορκ' ἐνθάδε τῶν παιδὸς τινὰ
Στείχοντ' ὀπαδῶν πνεῦμα τ' ἠρεθισμένον,
Σπουδῇ πρὸς ἡμᾶς τὸν δ' ἰθύνοντα δρόμον,
Δείκνυσι δ' ὥστε καινὸν ἀγγέλλει τρόπον.
Θεοτό. Τί δ' ἄπεστ' ἄρα σημαίνειν νέον θέλει;
Χορ. Ἰδού, τί λέξαι πευθυστῶν οὗτος θέλει.
Ἀγγ. Ὦ δέσποινα.
Καλλίστη πότνια σεμνοτάτη παρθένε
Αἶ, αἶ, αἶ, αἶ.
Ἀπωλόμεσθ' ὦ δυσμενῶν τάχ' ὑπό τε.
Θεοτό. Τίνα θροεῖς αὐδήν; τίνα βοᾷς λόγον;
Ἄγ' εἰπέ, τίς φοβεῖ σε φήμ' αὖθις νέα;
Χορ. Ἔκλυες, ὦ ἄϊες ὦ, ἤκουσας ὅς,
Ὃς παῖδα σὸν προὔδωκε τοῖς μιαιφόνοις;
Θ. Πρὸς τοῦτο δ' ἄλλο καινὸν ἀγγελεῖς κακόν;
Τίς ἐστι; μῶν τις τῶν φίλων ἠλπισμένων;
Χορ. Ἀργυροδέκτης, δύστροπος μύστης λέγει.
Ἀργυροφύλαξ, ἀργυρεξώνητος πλέον.
Θ. Οἴμοι. τὸ δ' οἷον ἄλλο πρὸς κακῷ κακόν.
Εἰ τοῖς φίλοις δοκοῦσι κατεργασόμεθα;
Ἦπου τετόλμηκ' ἔργον ἄτολμον τέλος.
Τί δ' ἐγκαλῶν προὔδωκε παντευεργέτην;
Ἢ τίς λαβὴ δράματος ἦν ὑπὲρ μανίαν;
Χορ. Ἄκουε τοῦδ' ὅς σοι τρανῶς πάντ' ἀγγελεῖ.
Ἀγγ. Ἄκουε τλῆμον ἡ τὸ πρὶν πανολβία,
Ἄκουε οὕς σοι δυστυχεῖς φέρω λόγους.
Αἶ αἶ οἰχόμεσθα, δῆλος εἶ λόγων,
Κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.
Ἀγγ. Κακῶν μέν, ἀληθῶν δ' ὅμως. τί γὰρ φράσω;
Ἐπεὶ τὸ πάσχα καινόν, ὡς ἔφη, φάγοι,
Μύσταις ἄριστον παραθείς, δεῖπνον μέγα.
Δείξας τ' ἐν αἰνίγμασι τὸν αὐτοῦ πρατῆρα.
Ἔπειτα νίψας τῶν μαθητῶν τοὺς πόδας,
Ἐξεισιν, ὡς εἴθιστο, ἐλαιῶν εἰς ὄρος,
Εἰπὼν τοῖς μύσταις πάνθ' ἃ νῦν πάθοι,
Καταρτίσας πάντας τε μυσταγωγίαις,
Πολλοῖς ξὺν ἄλλοις καὶ τάδ' εἶπε πρὸς θεόν.
Πάτερ μέγιστον νῦν παράσχε μοι κλέος.
Τὸ πρὶν σοι γὰρ μὴ λιπὼν ποτὲ κλέος,
Εἰς μεῖζον ἄξω, δυσμενῆ κτανὼν βροτῶν,
Ἔθνη τε δοίης πάντ' ἔχοντι πρὸς σέβειν.
Λαβὼν δὲ πάντας, χ' ὡς ἀρίστους σφίσιν
Ὑπερκρεμασθεὶς αὐγεσαῖν χεροῖν νέμω.
Κυδρούμενος δὲ τοῖς ἀριστεύμασί μου,
Κάλει φίλους εἰς δαῖτα, μακάριος ἔσῃ,
Μακάριος τοιάδε διειργασμένος.
Ὁ δ' αὖθις ἀφῆκεν ὡς βροντῶν ὄπα,
Δηλῶν κλεϊσμὸν αἰθεροτρόμῳ βοῇ.
Καὶ πρὶν κλεΐσας, νῦν κλεΐσω σε πλέον.
Ἐπεὶ δὲ μύσταις ταῦτ' ἐνηχήθη ξένως,
Ἥκει πρὸς αὐτοὺς ἐν τόπῳ τοῦ χειμάρου,
Πρὸς κῆπον, ἔχι πολλάκις συνῆγεν,
Ὅπου δ' ὁ πράτης ἐγνωκὼς νυκτῶν μέσον
Ἔφθασεν, ὄχλον τῶν μιαιφόνων ἄγων,
Ξιφηφοροῦντας καὶ φρονοῦντας ἐν θράσει.

Ὅς

ς καὶ προσιὼν, ὡς φίλος, διδάσκαλον
Λαβεῖ προσειπὼν χαῖρ', ἐφίλει δυστρόπως.
Θε. Φεῦ φεῦ. τί χεῖρον τοῦδε τολμήσειέ τις;
Τί γοῦν πρὸς αὐτὸν ἀντέφησε παῖς ἐμός;
Ἀγγ. Οὐκ εἶπεν οὐδὲν, πλὴν, ἑταῖρ' ἐφ' ᾧ πάρει;
Ἄφαρ δ' ἔβαλον χεῖρας οἱ μιαιφόνοι.
Ἄμμες δ' ἀφέντες ἄλλοι ἄλλῃ φεύγομεν.
Πέτρος δ' ὁ κλεινὸς καὶ λόγοις ἀπείχετο.
Μόνος δ' ὑπεσπάθιος εἵπετ' ἀτρέμας,
Ἔδοξε δ' αὐτὸς ὑπόπτου πεπυσθέναι,
Σιγῇ λέγοντος ὡς πρὸς αὐτὸν ἠρέμα,
Τὸν δύστροπον πράτην γε τοῦ διδασκάλου.
Τῆς ἀσεβείας. ὦ τάλ' οὐ φοβῇ θεόν;
Οὐ θεσμὸν αἰδῇ τῶν βροτῶν τε ὁσίας;
Ἀδάμ τε τὸν σπείραντα γηγενῆ στάχυν,
Καὶ πατριάρχας ἐκλελεγμένους γένους;
Μύστης φανεὶς σὺ συμμαθητὰς αἰσχύνεις,
Τὸν μυσταγωγὸν φεῦ προδοὺς ἀργυρίου,
Προὔδωκας αὐτὸν εἰς φόνον μιαιφόνοις.
Οὐκ εἶπεν; ὦ σῆς πονηρίας φρενός,
Σκοπεῖν ἐφ' οἷσι νῦν ἑκὼν ἀλγύνεται;
Σὺ δ' οὐκ ἀνέχου. τοιγαροῦν γνοίης τάχα.
Εὖ γ' ἴσθι, πατρὸς δυσσεβὴς θάλπει γόνος.
Εἰ μὴ γὰρ ὅρκοις Ἀβραὰμ ὑπέσχετο,
Οὐκ ἄν ποτ' ἔσχε μὴ τάδ' ὑπεξειργάσαι,
Κἀντεῦθεν ἡμῖν ἀποδοῦναι τὴν δίκην.
Δοκεῖς γὰρ αὐτὸν τάδ' ὑποστῆναι πάθη,
Εἰ μή τι κερδαίνοντα κἀντεῦθεν μέγα;
Νῦν δ' ἐκ χθονὸς μὲν οὐκ ἂν ἔρχεται πάλιν,
Καινῶς ἄνεισι, σίγα, δέξεται κρίσιν.
Ἀλγῶν, ἀθυμῶν πατρὶ σὴν ἁμαρτίαν,
Λαοῦ τε τοῦδε μαινόλου τολμηρίαν,
Ὡς καὶ προεῖπε Δαυίδου γλῶσσα πάλαι,
Οὐκ ἀγνοοῦντι καὶ πρὸ τῆς τολμηρίας,
Γλώσσῃ τε πᾶσαν γαῖαν ἐνδόξων λόγων,
Ἔργων τε κλεινῶν μυρίων θαυμασίων.
Ὄψεσθε δ' ἐν πατρὸς μολοῦντ' αὖθις κλέει,
Κρίσιν φέροντα ζῶσι καὶ τεθνηκόσιν,
Καὶ πᾶσι παρέχοντα τὸ κατ' ἀξίαν.
Πῶς γοῦν προσόψει σύ τε καὶ μιαιφόνοι;
Ἢ ποίαν οὐκ ἐκτίσετ' ἔνδικον τίσιν;
Πλὴν καὶ πρὸ τοῦδε τίσετ' ἔνδικον τίσιν,
Εἰ μὴ χέρας νίψεσθε τὰς μιαιφόνους.
Ἃς ἣν θέλητε κἀνταυθοῖ ξυνιέναι,
Αὐτὸς ῥυτοῖς νάμασι ἀπομόρξεται.
Ἢ σῆς γε τόλμης νῦν μάθος γεγευμένος,
Σὺν σοὶ δὲ καὶ πᾶς τῶν ἀλαστόρων ὄχλος.
Νῦν δ' εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν,
Ἣν μή τι πάθῃς, ὧν φόβος πολὺς κρατεῖ.
Κἀγὼ προφήτης τῶν λόγων γενήσομαι.
Ἀλλ' ἐκποδὼν ἄπιθι, καὶ σαυτοῦ πέρι
Φροντίζετ'; αὐτοῦ δ' αὐτὸς εὖ γε θήσεται.
Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Πρῶτος κρεμαστοῖς ἐν βρόχοις ἠρτημένος,
Πέδονδ' ἐς ᾅδην κραιπνὸν ὁρμήσας τάχα,
Λύπῃ παχυνθεὶς, ὡς προδοὺς ἀργυρίου.
Καὶ νᾶμα πυρὸς παμφάγου σε δέξεται.
Οὐ γὰρ θέλεις νῦν ἐκφυγεῖν τιμωρίας.
Καὶ τῶνδε τεύξῃ; προὐννέπω δέ σοι τάδε,
Οὐ σ' ἢ ποθοῦσα λαμπὰς δέξεται θεοῦ,
Οὐ νεκρεγέρτου νεκρέγερσιν κατίδοις.
Ἐς γὰρ τοσοῦτον μωρίας ἀφικάνεις,
Ὥστ' ἐξὸν αὖθις δεῖν' ἑλεῖν βουλεύματα,
Καὶ πάντ' ἀφέντα προσπεσεῖν διδασκάλῳ,
Καὶ τῶν βλεφάρων θερμὰ χεῦσαι δάκρυα,
Βρόχον κρεμαστὸν ἐξανάψεις ἀγχόνης,
Ψυχὴν ἀφεῖναι τοῖς βροχώμασι τρέχων.
Ὅμως δὲ πάντως δ' οὐκ ἀπειρηκώς σέ πως
Σώσει, τὸ σόν γε προσκοπούμενος κέαρ.
Οὐ γὰρ δύναιτ' ἂν ἀγαθός που μὴ μένειν.
Ἀλλ' οὔ σε μὴ θέλοντα κερδᾶναι θέλει,
Οὐ γὰρ νόμον τίθησιν ἐν βροτοῖς βίαν,
Ἥκιστα τοῦδ' ἔφυ λῆμα τυραννικόν,
Ῥαγεὶς γὰρ αἰσχρῶς πάγκακον ῥήξεις κέαρ.
Ἀλλ' οὔτι ταύτῃ ταῦτα μή σοί που δόκει,
Ἔτ' εἰς ἀγῶνας σύ τε καὶ μιαιφόνοι,
Καὶ πᾶσι συνδράσασιν οὐ σμικροὶ πόνοι.
Αἴσθοιτο δ' αὐτῶν δῆμος ὑβριστὴς ἅπας,
Ἤτοι θανόντων, ἢ φάος δεδορκότων,
Οὓς νᾶμα πυρὸς αὖθις ὑποδέξεται.
Ὀρθῶς λέλεκται μῦθος ἀψευδὴς ὅδε,
Ἄκου' Ἰούδα σῶν κακῶν κατάστασιν,
Καί τοι προσόψῃ γ' οὐδὲν, ἢ σκῆψιν μόνην.
Οὐ γὰρ θεός σε σωφρονεῖν ἀναγκάσει,
Ἐν τῇ προαιρέσει δὲ, καὶ γνώμῃ βροτῶν
Τὸ σωφρονεῖν ἔνεστιν, εἰς τὰ πάντ' ἀεί.
Ταῦτ' εἶπεν, οὐκ οἶδ' ἄγγελός τις ἢ βροτὸς
Πρὸς αὐτὸν, ὡς εἴρηκα, τὸν λογοπράτην.
Θεοτό. Ὦ γαῖα μῆτερ, ἡλίου τ' ἀναπτυχαί,
Οἷον λόγων ἄρρητον εἰσήκουσ' ὄπα.
Τάχ' ἐξ ὀπαδοῦ δρᾶμα πᾶν κατηρτίσθη,
Ὃν πολλάκις ἔδειξας αἰνιγμοῖς φίλοις.
Οὐ γάρ σ' ἔλαθε τῶνδ' ὃς αἴτιος κακῶν.
Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω,
Σὺ ταῦτ' ἔδρασας, σὸν προδοὺς εὐεργέτην;
Σὰ ταῦτα δαῖμον. τίς γὰρ ἂν ἄλλος ποτὲ
Ἔδρασεν, ἢ βουλεύσε δυσμενὴς ἀνήρ.
Ὄλοιτ' ὁ δράσας, ἡ δίκη δ' ἐφίσταται,
Αἰσχρός τε μύστης ἀξίαν τίσει δίκην.
Ἀργυραμοιβὲ, που συνείδη τῶν λόγων;
Ἄρ' εἰσέτι ζῇς, δεινὰ ταῦτ' εἰργασμένος;
Οὐδ' ὑπὸ γῆς τάρταρα σὸν κρύψας δέμας;
Δεῖ γὰρ τὰ νῦν ἢ γῆς σε κρυβῆναι κάτω,
Ἢ πυρὸς ἐν ῥιπαῖσιν αἰθέρος θανεῖν.
Ὦ μῦσος, ὦ μέγιστον, ἔχθιστον κακὸν,
Τὸν δεσπότην προδοῦσαν ἐξαυδῶ κάραν.
Ἔτλης προσελθεῖν, ὡς φίλος, διδασκάλῳ;
Ἦλθον πρὸς αὐτὸν, ἦλθεν ἔχθιστος γεγώς,
Καὶ πατρί, καὶ θεῷ, παντί τ' ἀνθρώπων γένει;
Πῶς πῶς προσεῖπας; πῶς κατησπάσω προδοὺς,

Γλώσσῃ προσπτύδας, καρδίᾳ μίασμ' ἔχων;
Καὶ ταῦτα δράσας, ἡλίου τι προσβλέπειν,
Καὶ γαῖαν ὦ κάκιστε τολμᾷς εἰσέτι;
Ταῦτ' οὔτι θάρσους δεῖν, οὔτ' εὐτολμίας,
Εὐεργέτην προδόντα, τολμᾶν προσβλέπειν,
Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
Πασῶν ἀναίδει'. οὐδ' ἐπεμνήσθην σέθεν,
Καί τοι πρὸς οὐδὲν κέρδος. αἰσχύνην δέ σου
Καὶ μὴ λέγοντος, κἂν θάνῃς, κἂν φῶς βλέπῃς.
Ἐγώ γε γὰρ λέξασα κουφισθήσομαι
Ψυχὴν τἀληθῆ, σὺ δὲ καὶ κλαίων μάθοις.
Μάθοις γάρ, εὑρὼν τὴν κατ' ἀξίαν τίσιν.
Ἐκ τῶν δὲ πρώτων, πρῶτον ἄρξομαι λέγειν.
Ἄκου' ἰούδα τὰ πρὸς αὐτοῦ καλά σοι.
Εἵλκυσεν ἐκ σκότους σε τῆς ἀγνωσίας,
Ἔσωσέ τ', ὑπέδειξε φῶς σωτηρίας.
Δέδωκέ σοι χάρισμα πολλῶν θαυμάτων.
Μύστης ἔφησε καὶ σὲ συνεδριάσαι,
Κρῖναι τε φυλὰς ἰσραὴλ παντὸς γένους.
Ἔθηκεν ἀργύρεια πάντα χερσί σου,
Ἔκοψέ σου πρόφασιν ἀναργυρίας.
Ἔκλεπτες ἀεί, μὴ δόκει λεληθέναι.
Ὅδ', ὥστε πανάγαθος, οὐκ ἤλεγχέ σε
Λόγοισιν. οὐδὲ πρὸς σέθεν κακούμενος,
Εἰδώς σε σαφῶς καὶ πρὸ τῆς τολμηρίας,
Ἔνιψε καὶ σοὺς δυσμενεστάτους πόδας,
Ἄρτου τρυφός τ' ἔδωκε δυσμενεστάτῳ.
Καὶ ταῦθ' ὑπ' αὐτοῦ παγκάκιστ' ἀνδρῶν παθών,
Προὔδωκας αὐτόν, δῶρα δ' ἐκτήσω φόνου,
Πολλῶν προσόντων. εἰ γὰρ ἦσθ' ἀνάργυρος,
Λαβὼν γ' ἂν ἔσχες τῶνδ' δραθῆναι τάχα,
Νῦν δ' οὐκ ἔχεις πρόφασιν, οὐκ ἔχεις λόγον,
Χεῖλη διᾶραι, καὶ κατειπεῖν αἰτίαν.
Οὐ γὰρ τοσοῦτο σὺ δυνήσῃ πώποτε,
Οὐδ' εἰ γένος πᾶν δαιμόνων σοι συνδράμῃ,
Καὶ γῆν ἅπασαν ῥημάτων πλήσῃ κακῶν.
Ἐπεὶ μὲν ἐσθλὸν ὄντ' ἐπίσταται κτίσις,
Καὶ πάντες ἐγνώρισαν ἐκ τῶν πραγμάτων.
Ἀλλ' ἦγξεν ἀγχόνη σε φιλαργυρίας,
Ἡ ῥίζα πάντων τῶν κακῶν πέφυκέ πως.
Φρούδη δὲ πίστις ἡ πρὶν ἀπόλωλέ σοι.
Τοιόσδε φανεὶς φῶς ὁρᾶν τολμᾷς τάλας;
Ἢ τὸν πρὶν οὐκ ἄρχειν θεὸν δοκεῖς ἔτι.
Ἢ ζυγὰ δίκης ἐν κρυφοῖς κεῖσθαι τὰ νῦν;
Ὦ κακὸν ἔρνος, οὔ ποτ' ἐκ ῥίζης βροτῶν,
Πικρῶν δὲ ῥιζῶν φημί σ' ἐκπεφυκέναι.
Ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ φθόνου,
Φόνου, πότμου θ', ὅσα τε γῆ τρέφει κακά.
Οὐ γὰρ ὁρῶ ποτ' ἐκ θεοῦ φῦναι σ' ἐγώ,
Εἴδῃ καίπερ, ὡς τὸ πᾶν προαιρέσεις.
Θεὸς γὰρ οὐκ ἄκοντα σῴζει βίᾳ.
Ὦ δύστροπ', ὦ κάκιστε, καὶ μιαιφόνε,
Οἷον πέπραχας, πεπρακὼς εὐεργέτην;
Αὐτός σ', ὅν ἐλπὶς παιδὸς εἶναι πατέρα,
Πρόρριζον ἐκτρίψειεν οὐτεύσας πυρί.
Ἔρρ' αἰσχροποιέ, φιλίας διαφθορεῦ.
Ἀπέπτυσ', οὐδ' ἀπόντι σοι δεῖ συλλαλεῖν.
Τὸν γὰρ δόλιον καὶ θεὸς βδελύσσεται.
Ὦ παῖ τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ᾖ,
Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματος,
Ἀλλ' αὐτὸς οἶδας, ἀγνοεῖν πάντας θέλεις.
Ὄλοιτ' ὄλοιτο πανδίκως κακοεργάτης.
Ἔρρ', ἔρρε, παγκάκιστε καὶ μιαιφόνε,
Ὄλοι· ἐγὼ δὲ ζῶντα, παῖδ' ἐπόψομαι,
Κἂν νῦν στένουσα πολλά, καὶ πεπληγμένη
Κρότοις ἀνίας, ἡ παντλήμων δακρύω.
Γυνὴ γὰρ εἰμὶ κἀπὶ δακρύοις ἔφυν.
Χορ. Αἶ, αἶ, αἶ, αἶ.
Σίγα, σίγα, παῖδ' οὐκέτ' ὄψει ζῶντα σόν.
Θεοτό. Οἴμοι τί θρηνεῖς; τίς δὲ δράματος λαβή;
Χορ. Οὐκ οἶδ', ἔοικε δ' ἐκ μακρᾶς ὅδ' ἄγγελος
Λέξειν τὰ καινὰ τοῦ φίλου παιδὸς πέρι.
Ἀγγ. Ἔδοξε θανεῖν παῖδα σὸν τῇδ' ἡμέρᾳ,
Γραμματέων ψῆφόν τε καὶ πρεσβυτέρων.
Θεοτό. Οἴμοι προσῆλθεν ἐλπίς, ἣν φοβουμένη
Πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
Χορ. Ἀτὰρ τίς ἀγών; τίνες ἑβραίων λόγοι
Καθεῖλον αὐτόν, κἀπεκύρωσαν θανεῖν;
Θεοτό. Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἐστὲ ξυμφορᾶς,
Γυναῖκες οὐκ ἀνέξετ' οὐκ ἀνέξομαι,
Ῥίψω, μεθήσω σῶμ' ἀπαλλαγήσομαι
Βίου θανοῦσα, χαίρετ', οὐκέτ' εἰμ' ἐγώ.
Σὺ δ' εἰπὲ τίνι κέκριται τρόπῳ θανεῖν
Παῖδ', ἆρα λευσίμῳ χερὶ ψῆφος θανεῖν
Ἢ σιδαρέῳ πνεῦμ' ἀπορρῆξαι κρίσις;
Ἀγγ. Ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
Βαίνων, πυθέσθαι δ' ἤθελον τοῦ δὴ πέρι.
Σοὶ γὰρ ἀεί ποτ' εἶχον εὔνοιαν τέκνῳ,
Βλέπων νιν οἷ' ἔδρεξε θαύματ' ἐν βροτοῖς,
Κἀμοῦ δὲ διώιξεν ὀμμάτων κόρας.
Ὁρῶ δ' ὄχλον δραμόντα, καὶ φθάσαντ' ἄκραν,
Ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδών,
Τί καινὸν ἄσεμνον τι δυσμενῶν πάρα
Ἀγγέλμ' ἀνεπτέρωκεν ἑβραίων πόλιν;
Ὁ δ' εἶπ', ἰησοῦν κεῖνον οὐχ ὁρᾷς πέλας,
Ἑστῶτ' ἀγῶνα θανάτου δραμούμενον;
Ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μή ποτ' ὤφελον,
Τὸν μὲν κατηφῆ, καὶ σιγῶντ' ἑστηκότα,
Τοὺς δ' ὥστε κύνας αἵματος διψαλέους,
Κύκλῳ περιτρέχοντας ἐγκεχηνότας.
Ἐπεὶ δὲ πλήρης ἦν τ' ἰουδαίων ὄχλος,
Δάλαιος ἀγὸς δεχόμενος ἐφθέγγετο,
Λόγους ἑλίσσων ἀλλοτρίους ἀφρόνως.
Τέλος δ' ἔφη σὸν υἱὸν ἐκπληρούμενος,
Ὡς ἀκρίταιον ἀνεπίπληκτον βλέπων,
Καὶ ξυνετῶς χωροῦντα πρὸς πάντα λόγον,
Τοὺς δ' οὐκ ἐπαινῶν ὡς φονῶντας ἀνόμως
Καθ' οὗπερ οὐχ εὕρισκον αἰτίαν φόνου.

Ἔλεξε γοῦν, ἔλεξε, τίς χρὴ ζῶν λέγειν,
Ὡς ἄξι' Ἰησοῦν κατθανεῖν, ἢ μὴ χρεών;
Καὶ τὸν δ' ἀφεῖναι μᾶλλον, ἢ μιαιφόνον,
Ὃν εἶχον ἐν δεσμοῖσι λῃστήρων ἕνα.
Ἐπερρόθησαν, ὡς θανεῖν σταυρῷ δέον,
Λῃστὴν δ' ἀφεῖναί τε τὸν κακοεργάτην.
Ὁ δ' ἡγεμὼν ἔφησε τοῖς δ' ἐναντία,
Ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, οὐδὲν εὖ λέγων.
Ἄλλος γὰρ αὖθις εἶπε τῷδ' ἐναντία,
Κραυγῇ πίσυνος, κἀμαθεῖ τολμηρίᾳ,
Ὁ δ' οὐκ ἐπῄνει. κἀπὶ τῷδ' ἀνίσταται
Ὄχλου θόρυβος ἐθυρογλώσσου μέγας,
Ὃς δὴ κέκραγε, παῖδα σὸν θανεῖν θέμις.
Κἀντεῦθεν νικᾷ κακὸς ἐν πλήθει λέγων,
Ὃς εἶπε δεῖ σὸν παῖδα κατθανεῖν ξύλῳ.
Ἤδη δ' ἕως πέφηνεν, ἱερεῖς Καϊάφας,
Καὶ δεινὸν ἑλκύσουσιν ἔξω τῆς πύλης,
Ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
Δραμούμενον, καθ' ὃν θανεῖν δεῖ κρίσις.
Ἐν ἡμέρᾳ γὰρ τῇδε λείψει τὸν βίον.
Θεοτό. Αἲ αἲ κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.
Ναὶ ναὶ κακῶν πέλαγος ἡ τάλαιν' ὁρῶ
Τοσοῦτον, ὅσον μήποτ' ἐκνεῦσαι πάλιν,
Μηδὲ περάσαι κῦμα τῆς δὲ τῆς συμφορᾶς.
Φεῦ τῶν Ἑβραίων, τί προβήσεται, φρενός;
Τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
Εἰ καὶ θεοῦ τολμῶσι τεκταίνειν φόνον;
Καὶ τοῦ μὲν οὔ μοι φροντίς· οὐ γάρ πω μόρος
Κατακρατήσει θανατοῦντος τὸν μόρον.
Ἔτικτον αὐτόν, οἶδα δ' ὡς ἐγεινάμην,
Στερρὰς φυγοῦσα τῶν τόκων ἀλγηδόνας,
Αὐτὸς δὲ πενθῶ συμφορᾷ κεχρημένους.
Ἔσται γάρ, ἔσται πανύστατος δίκη φόνου,
Ὃν δυσσεβεῖς τολμῶσιν ἀνόμως φθόνῳ.
Αἲ, αἲ, αἴ.
Οὐ νῦν τὸ πρῶτον, ἀλλὰ πολλάκις φθόνος
Ἔβλαψε πολλούς. οὐ τοσὸν δ' ὅσον φίλους
Αὐτοῦ τὰ νῦν βλάψειεν Ἑβραίων ὄχλον.
Χορ. Τί τόσδε κινεῖς, κἀνακοχλεύεις λόγους;
Ὄλωλέ σοι παῖς, καὶ κινεῖς πολλοὺς λόγους.
Θεοτό. Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλείσεις στόμα;
Σωτῆρα κόσμου σὺ δοκεῖς ὀλωλέναι;
Χορ. Βραχὺ προβᾶσα παιδὸς ὄψει σοῦ πάθη,
Ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
Τρέχοντος, ὃν ζῶντ' ἢ θανόντα νῦν ἴδοις.
Θεοτό. Οἴμοι, τί λεύσσω; χερσὶ τῶν ἀλαστόρων
Θεηγορὲς μοι τέκνον ἕλκει, καὶ φέρει.
Εἰς δεσμά τ' ἦλθεν, καὶ θέλων ἄγει σφίσιν,
Ὁ δεσμολύτης τοῦ γένους τῶν δεσμίων.
Αἲ, αἲ, αἲ, αἴ.
Ταῦτ' οὐ ξυνῳδὰ τοῖς πρὶν ἀγγέλου λόγοις,
Οὐδ' ἐλπίσι σύμφωνα ταῖς ἐμαῖς τέκνον.
Χορ. Ἀλλὰ ξυνῳδὰ τοῖς προηγορευμένοις,
Οἷς εἶπε παθεῖν χερσὶ τῶν ἀλαστόρων.
Θεοτό. Αἲ αἲ, τί δράσω; καρδία γὰρ οἴχεται.
Ποῦ ποῦ πορεύῃ τέκνον; ὡς ἀφαλλόμην.
Ἐκ τοῦ νῦν τὸν ταχὺν τελεῖς δρόμον;
Μὴ γάμος αὖθις ἐν Κανᾷ, κἀκεῖ προτρέχεις,
Ἵν' ἐξ ὕδατος οἰνοποιήσεις ξένως;
Ἐφέψομαί σοι τέκνον, ἢ μενῶ σ' ἔτι;
Δός, δὸς λόγον μοι τοῦ θεοῦ πατρὸς λόγε,
Μὴ δὴ παρέλθῃς σῖγα δούλην μητέρα.
Νῦν γὰρ στόματος φιλίου χρῄζω σέθεν
Φωνῆς ἀκοῦσαι, καὶ προσειπεῖν ὦ τέκνον.
Δός μοι πρὸς αὐτοῦ πατρὸς ὦ τέκνον σέθεν,
Σοῦ θεσπεσίου χρωτὸς ἅψασθαι χεροῖν.
Ψαῦσαι ποδῶν τι, καὶ περιπτύξασθαί σε.
Φεῦ φεῦ, τί δράσω; καρδία μου τήκεται.
Ὦ δεῦτε φίλαι, δεῦτε, λίπωμεν φόβον.
Προσέλθετ', ἀσπάσασθε, καὶ προσείπατε.
Λάζεσθε χειρὸς δεξιᾶς. ὦ τάλαιν' ἐγώ.
Ὡς ἄρτι δακρύσαιμι καὶ φόβον πλέα.
Αἰαῖ, πανώλης ἡ τάλαιν' ἀπόλλυμαι,
Γυναῖκες, ὄψιν συγγνοὺ ὡς εἶδον τέκνου,
Ποθῶ τεθνάναι, ζῶ δ' ἔτ' οὐδαμῶς φέρω.
Οἴμοι, τί δράσω; πῶς λάθω λαῶν χέρας;
Ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων.
Κοὐκ ἔστιν ἄτης εὐπρόσιτος ἔκβασις.
Τί γοῦν δράσω; πῶς φύγω τόσους βρόχους;
Χορ. Οὐκ οἶδ' ἀδελφὴ φιλτάτη, δέδοικα γάρ,
Κἀμοὶ κατ' ὄσσων θερμὸν ὡρμάθη δάκρυ.
Ὀπισθόπους δ' ἔξιθι, καὶ σιγῇ βᾶθι.
Ἕρπ' εἰς τὰ δεινά, νῦν ἀγὼν εὐψυχίας.
Ἡμᾶς τ' ἐφεψόμεσθα δειλαίᾳ βάσει.
Ὄχλος γὰρ αὐτὸν μαινόλης περιτρέχει.
Κοὐ δεῖ πελάζειν ἐγγὺς ἐνθυμουμένοις.
Βαρεῖα γὰρ φρὴν οὐδ' ἀνέξεται βλέπειν.
Ὅμιλος ἐχθρός, δυσμενής, μιαιφόνος,
Ὁρμῶντε δεινὸς συγγενᾶς γνώμης ῥοπῇ,
Ἄγριον ἦθος βαρβάρου φύσις φρενός.
Δέδοικα δ' αὐτόν, μή τι βουλεύσῃς νέον,
Δεινοτέραν σοι συμφορὰν συσκευάσῃ.
Καὶ κάρτα τόνδ' ὁρῶσα δειμαίνω πλέον,
Μὴ θηκτὸν ὥσπερ φάσγανον δι' ἥπατος,
Κἄπειτα μείζω συμφορὰν δέξῃ νέαν,
Ἐγκατὰ παιδὸς ἢ λεωφόρος λάβῃ.
Ἀλλ' ἐκκλίνασαι βραχὺ τῶν ἀλαστόρων,
Ἐπισκοπῶμεν δρᾶμα τῶν μιαιφόνων.
Ἴωμεν οὖν, ἴωμεν, οὐχί πω νάπος.
Θεοτό. Νικᾶτ', ἐπειδὴ ταῦτα πάσαις ἀνδάνει,
Καὶ λοιπὸν ἀπίωμεν, ἐνθ' ὑμῖν δοκεῖ.
Χορ. Ἐντεῦθεν ἀθρεῖν ὡς ἐξ ἀπόπτου δέον.
Θεοτό. Δειλαία ἐγὼ δύστηνος, ὦ παῖ δ' οὐχ ὁρῶ
Πάσχοντα δεινά, μέχρι καὶ τύμβος λάβῃ.
Ὄχλους δ' ἔφυγον, ἵνα μὴ καὶ πάθω.
Τί μοι δ' ἔτι ζῆν κέρδος ἐστὶν ἐν βίῳ;
Αἴθ' αἶθε, πότμον καταλύσαιμ' ἐν τάχει,
Εἰ μὴ μεγάλως καταγηράσκειν ἔχω.
Ὡς ἐλπὶς ἐστί, παιδὸς ἀνισταμένου,
Ἔθνη τε συνάγοντος ἐν δίκῃ κρίσει,

Ὃν συγγενεῖς κτάνωσιν Ἑβραῖοι φθόνῳ,
Ναὶ συγγενεῖς μου τλήμονος μητρὸς λέγω,
Οὐ πατρὸς αὐτοῦ τοῦ βροτωθέντος λόγου,
Ὃν ἀσπόρως ἔτικτον, οἶδ' ὑπὲρ λόγον,
Στερρᾶς τ' ἔφυγον ἐν τόκοις ἀλγηδόνας.
Πέποιθα γάρ, πέποιθα, κἂν πολλὰ στένω,
Πάσχοντα μὴ φέρουσα τοῦτον νῦν βλέπειν,
Ἔτικτον αὐτὸν, οἶδα δ' ὡς ἐγεινάμην.
Ἀλλ' ἐμ' ἄκομψος ἐκφέρειν μυστήρια,
Ὅμως δ' ἀνάγκη συμφορᾶς ἀπειργμένης
Γλῶσσαν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν.
Ὅθεν μ' ὑπῆλθε πρῶτον ἐν μητρία
Φέρουσαν ἁγνὸν ἐς τόδ' ἡμέρας δέμας.
Οὐκ οἶδα τὸ ψεῦδος, ἢ λόγῳ κλύειν φέρω,
Γραφῇ τ' ἰδοῦσα. οὐδὲ γὰρ ταῦτα σκοπεῖν
Ἐγὼ πρόθυμος, παρθένον ψυχὴν δ' ἔχω.
Ὄμνυμι τὸν σύμπαντα σαφῶς εἰδότα,
Μὴ δ' ἂν θελῆσαι, μὴ δ' ἐν ὕπνοισιν λαβεῖν.
Ἢ κατολοίμην ἀκλεὴς, ἀνώνυμος,
Καὶ μήτε πόντος, μήτε γῆ, μήτ' αὖ πόλος
Τὸ σῶμα μου δέξαιτο, καὶ ψυχὴν χέρσος
Πάσχοντος υἱοῦ, ὡς κατ' εὐχὴν δεῖ μοι,
Ἐλπὶς τρέφει τι, κοὐκ καταισχύνει δέ με.
Ταῦτ' οἶδα, νῦν γὰρ οὐ πέρα θέμις λέγειν
Θρηνοῦσαν, ὡς δεῖ. δακρύειν γὰρ ἄξια
Πέπονθα πολλ'. οὐκ οἶδα δ' εἴ τι πρὸς πάθω;
Πρῶτον δ' ὅμως μοι τἀγαθ' ἐκστάσαι δέον.
Τοῖς γὰρ κακοῖσι πλεῖον οἶκτον ἐμβαλῶ.
Ἣν μὲν ἄνανδρος καὶ μένουσα παρθένος.
Ἃ γὰρ γυναικὶ σώφρον' ἔσθ' εὑρημένα,
Ταῦτ' ἐξεμόχθουν, τοῦ θεοῦ πολλὴν χάριν
Μετροῦντος ἀεὶ, καὶ νέμοντος ἀφθόνως.
Πρῶτον μὲν οὖν γε κἂν προσῇ, κἂν μὴ προσῇ,
Ψόγος γυναιξὶν αὖ τι τοῦτ' ἐφέλκεται,
Κακῶς ἀκούει, ἥτις οὐκ ἔνδον μένει.
Τούτου πόθον παρεῖσ' ἔμιμνον ἐν δόμοις
Εἴσω μελάθρων, κομψὰ θηλειῶν δ' ἔπη
Οὐκ εἰσεφρούμην. τὸν δὲ νοῦν διδάσκαλον
Αὐτὴ ἔχουσα χρηστὸν, ἐξήρκουν ἐμοί.
Τὸ σωφρονεῖν ἐν πᾶσιν εἰδυῖ' ὡς καλὸν,
Καὶ δόξαν ἐσθλὴν πανταχοῦ κομίζεται.
Γλώσσης τε σιγὴν πᾶσιν, ὄμμα θ' ἥσυχον
Παρεῖχον, ᾔδειν δ' οἷς μ' ἐχρῆν νικᾶν κόρας.
Καὶ τίσι νίκην ὧν τ' ἐχρῆν παριέναι.
Ἀκήρατον δέ μ' ἐκ θεοῦ λαβὼν ἀνὴρ,
Αὖθις τὸ παρθένειον ἅμμ' ἀκήρατον
Τηροῦσαν ἀπέδωκεν. οὐδ' ἔστι λόγος,
Τὰ πράγματ' αὐτὰ καὶ γὰρ ἀπήλεγξέ με.
Οὕτω δ' ἔχουσα περὶ θεὸν μνηστεύομαι,
Κἀντεῦθεν υἱὸν, πῶς ὁρᾷς; ἐγεινάμην,
Ὅπως γυνή τις οὐ κομπάσει τεκεῖν ποτέ.
Χορ. Κάλλιστε πότνια, σεμνοτάτη παρθένε,
Ἄνανδρον ἦν δ' ἄνυμφον ἴσμεν μητέρα
Μόνην σε πασῶν τῶν περὶ γῆν μητέρων.
Μαιευσαμένους χεὶρ κλῆρον οὐ διειλεγμένης

Κατηγόρησε, πιστὰ σοῦ θεῖος τόκος,
Θεόν τε, φὴς, ἔκλυσεν ἀγγέλου τεκεῖν.
Ἔργα δ' ἀπὸ δέδειχεν οὐ θνητοῦ γένους.
Καὶ θάμβος ἐστὶν, εἰ πάθη θνητῶν πάθοι.
Θεοτό. Θαυμαστὸν εἶπας, εἰ τόδ' ἐξαρκεῖ πατὴρ,
Ὡς δεῖ σε τοῦτον βροτοῖς ἀγαθ' ἔχειν.
Οὐκ ἄλλο γὰρ φάρμακον ἐν θνητοῖς μέρει,
Φθορᾶς ὃ παύσει τοῦ παλαιπόρου κακῶν.
Κἀγὼ διδάξω, ὡς καλῶς ἔχει τόδε.
Ὁ γὰρ διδάσκων γνῶσιν ἄνθρωπον λόγος,
Ἐμοὶ κατεμήνυσε, καὶ χάριν νέμει.
Ἐπεὶ βροτὸν πέπλακεν ἐκ γῆς ἔπλασε,
Λειμῶνί τ' ἐντέθεικεν φυτῶν ἐργάτην,
Ἐντεῦθεν εἰς ὄλυμπον ἀνάγειν θέλων.
Δράκων δὲ νῦν ἔπεισε γυναικὸς πλάνῃ
Λειμῶνος ἐκβαλεῖν τε, καὶ ῥῖψαι πολύ.
Ὁ δ' αὖ τεμηχανήσαθ' οἷα δὴ θεός,
Γυναικὸς ἐκφῦναί τε, καὶ θεὸς μένων,
Βροτὸς γενέσθαι, καὶ βροτῶν ἀναιρέτην
Σφαγεῖς κατασφάξαι τε καὶ ῥῖψαι πεσεῖν.
Οὕτω σὺ πάθε, καὶ θεὸν πρὸς γῆν δέχου
Ἐλθόντ' ἀναγαγεῖν πρὸς πόλον βροτῶν γένος.
Καὶ σπεῦδε, καὶ κλεῖζε, καὶ τόνδ' εὐλόγει.
Αὖ γὰρ νῦν ὄψει πρὸς χθόν', ὡς ἐκ παστάδος.
Θρώσκοντα τύμβου, καί γ' ἀνιόντ' εἰς πόλον,
Ὡς αὐτὸς εἶπε, πρὸς τὸν θεὸν, οἴκοι.
Ἐλπὶς δέ μοι σωτήριος ἀσφαλεστάτη.
Ἐμοὶ γὰρ ὑπὲρ πάντας, εἰ σοὶ λέγεται,
Ξυνίστην ἐλπίς, οὐδὲ κλέπτομαι φρένας,
Ἔξειν τι κεδνὸν, ἡδὺ δ' ἐστὶ καὶ δοκεῖν.
Ὅταν δὲ μᾶλλον ἐλπὶς ἀσφαλὴς μένῃ,
Τὸ χάρμα ποιεῖν; ἀλλὰ νικῶμαι πόνοις.
Καὶ προβλέπω μὲν ταῦθ', ὅπως ἔσται τάχα.
Λύπη δὲ κρείσσων τῶν ἐμῶν ἐλπισμάτων.
Χορ. Πάγκλυτε, παγκαλλίστα κόρη, παρθένε,
Ἔμβρυον, ὡς φὴς, τὸν θεὸν πλουτήσασα.
Σὺ ταῦτ' ἐπέγνως, καὶ τὰ λοιπὰ νῦν σκόπει.
Σοφωτέραν γὰρ ἴσμεν οὖσαν σε βροτῶν,
Καὶ ταῦθ' ὁρῶσαν συνιέναι καὶ τέλος.
Ὡς φρικτὰ ταῦτα καὶ βροτησίῳ γένει,
Πλὴν τῇ τεκούσῃ δυσμαθῆ ξυνιέναι.
Θεοτό. Ὡς δυστάλαινα τῶν ἐμῶν ἀλγημάτων,
Ὡς οἶδα μὲν πολλ', οἶδ' οὐχ ὅπως φράσω.
Ὡς θάμβος ἐστὶ, τοῦτον ἠρημένον
Ἰδεῖν με, καὶ θανόντα κἂν ἑκουσίως.
Ἰώ μοι, ἰώ. αἶ, αἶ.
Ημι. Τί γοῦν τί δράσεις ὦ παθοῦσ' ἀμήχανα;
Θεοτό. Οὐκ οἶδα πλὴν τοῦ κατθανεῖν, εἰ μὴ τάχα
Τῶν νῦν παρόντων πημάτων ἄκος λάβω.
Ὡς οὐδ' ἐμὴν ἐλπὶς λίαν ἀσφαλεστάτη,
Μίαν μόνην μένειν με δεῖ τὴν αὔριον,
Ὡς ξυμπερανθῇ φροντὶς, ἥ με νῦν τρύχει.
Ἀλλ' ὦ φίλ' ἦ μή μ' ἔρημον σὺ λίπῃς.
Ημι. Αἲ αἶ θρηνοῦσα πολλὰ, τρανὸν οὐδὲν δακρύεις.
Πῦ γάρ μ' ἀπαγγέλλεις ἀκούειν δώματα,

Πάθος

Πείθεις τε πολλὰ, δ' ἁμαρτάνεις τοῖς λόγοις;
Πῆ δὲ θρασύνεις, κοὐδὲν ἄρα καθαρῶς.
Θεοτό. Οὐ μακρὰν ἔστι πημάτων ἠλπισμένων.
Ημι. Αὐτὴ μὲν ὥσπερ ναὸς ἐν σάλῳ σκάφος,
Γραφῇ δ' ἰδοῦσα καὶ κλύουσ' ἐπίσταμαι.
Ναύταις γὰρ ἢν μέτριος ᾖ χειμὼν φέρειν,
Προθυμίαν ἔχουσι σωθῆναι πόνων.
Ο μὲν γὰρ παρ' οἴακ', ὁ δ' ἐπὶ λαίφεσι βεβώς,
Ο δ' ἄντλον εἴργων ναός· ἢν δ' ὑπερβάλῃ
Πολὺς ταραχθεὶς πόντος, ἐνδόντες φορᾷ,
Παρῆκαν αὑτοὺς κυμάτων δρομήμασιν.
Οὕτως δὲ κἀγὼ δ' ὢν ὁρῶσα πήματα,
Αφθογγος εἰμὶ, καὶ παρεῖσ' ἐῶ στόμα.
Νικᾷ γὰρ, ὡς οὐκ ἐκ θεοῦ, δεινὸς κλύδων.
Σὺ δ' ἐλπὶς ἀσφαλὴς ἴσθι τρόφος
Δέσποινα παγκοίρανε, μῆτερ κοιράνου.
Αλλ' ἐκ λόγου γὰρ ἄλλος ἐκβαίνει λόγος.
Τίν' ὧδε δ' αὖ δέδορκ' ἰθύνοντα δρόμον;
Α ἆ, τίνα στείχοντ' ἀθρῶ νῦν ἐνθάδε
Στυγνοπρόσωπον, δακρύων πεπλησμένον;
Αγγ. Δέσποινα κούρη, δεσπότου μῆτερ λόγου,
Μή τε συγγνώσῃς. οὐχ ἑκὼν, ἑκὼν δ' ὅμως
Λυπρ' ἀγγελῶ σοι πρὸς παλαιοῖς καὶ νέα.
Θ. Τί δ' ἐστίν; ὡς μοι φροιμίων ἀρχὴ κακῶν.
Αγγ. Δέσποινα κούρη, πῶς ἐρῶ; πῶς σοι φράσω;
Σοὶ γὰρ μερίμνης ἄξιον φέρω λόγον,
Σφοδρᾶς τ' ἀνίας καὶ πικρῶν ἀλγηδόνων.
Ω πότνια κούρη, σεμνοτάτα παρθένε,
Ως σε στυγάζω λυπρὸς ὤν, μύστης δ' ὅμως
Τοῦ μυσταγωγοῦ πιστὸς, κἂν πάσχονθ' ὁρῶ.
Θεοτό. Τί δ' ἐστίν; Ἑβραίων τι μηνύεις νέον;
Αγγ. Παῖς νῦν σὸς οὐκ ἔτ' ἐστὶν, ὡς εἰπεῖν ἔπος.
Δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.
Θ. Πῶς φής; τί τοῦτ' ἔλεξας; οἶδας δ' αὐτόθεν;
Αγ. Εἰπέ μοι, φράσον, τίνι θνήσκει μόρῳ;
Χριστὸν τὰ νῦν φὴς παῖδ' ἀθανάτου πατρός,
Ον ἐλπὶς ἦν καὶ τόνδ' ἀθάνατον μένειν,
Ρύστην τ' ἔσεσθαι παντὸς Ἰσραὴλ γένους;
Αγγ. Ἐπεὶ πόλιν γε τὴν Ἱεροσολυμῶν χθονὸς
Λιπόντες, ἀφίκανον τὸν σταυροῦ λίθους,
Ανακτ' ἐμὸν σύροντες ἀλάστωρ ὄχλος,
Αὐτίχ' ὅμιλος οὐρανοδρόμον ξύλον
Ανῆγον, ἦγον, ἦγον εἰς ἄκρον τέλος.
Ορθὸς δ' ἐπ' ὀρθὸν αἰθέρ' ἐστηρίζετο.
Ες κλῶνα δ' ἐγκάρσιον ἄλλον εὐθέως
Ἔτεινον, ἐξέτεινον, ἥλωσαν χέρας,
Πόδας δὲ καθήλωσαν ἐν πηκτῷ ξύλῳ.
Ως δ' εἶχον οὕτω δεσπότην ἠρτημένον,
Ἄλλοι μὲν αὐτὸν καλάμῳ κρατοβόλῳ
Ἔβαλλον, ἀντίπυργον ὡς βαιὸν πέτραν,
Ἄλλοι δ' ὑσσώπῳ σπόγγον, ὄξους ἔμπλεων
Χολῇ κεκραμένου δ' ἀνῆγον εἰς στόμα.
Οἱ δ' ὠσὶν ἠχὼ ὡς σαφῶς δεδεγμένοι,
Οὔτ' εἶδον οἷ' ἔρξε θαύματ' ἐν βροτοῖς,
Ἄλλως δ' ἦγον, καὶ διῶγκαν κάρας.
Καὶ σῖγ' ἔτυπτον ἀμαθῶς ἀγνωσίᾳ.
Ἐγὼ δὲ πόρρω (δεσπότῃ γὰρ εἰπόμην)
Πρῶτον μὲν εἰς χλωρὸν ἷζον τι νάπος,
Τά τ' ἐκ ποδῶν σιγηλὰ καὶ γλώσσης ἄπο
Ἐσώζομεν, ὡς ὁρῶμεν, οὐχ ὁρώμενοι·
Ὄχλῳ πανουργάτῃ τε καὶ μιαιφόνῳ.
Σέ τ' αὖ δακρυχέουσαν ἑστῶσαν ἰδών,
Ἤλυθον ἀπὼν σοὶ κελαδῶν τὰ πεπραγμένα.
Θεοτό. Ἰώ μοι, ἰώ.
Αἲ αἴ, τί δράσω; καρδία γὰρ οἴχεται.
Πῶς ὧδε δ' ἔτι ζῶ, καὶ φέρω ταῦτα κλύειν;
Ἰδεῖν δὲ ταῦτα πῶς ποτ' οἴσω παντλήμων;
Ἴτ' ὦ γυναῖκες, τῆς Γαλιλαίας τέκνα
Προσέσπατ' αὐτὸν, καὶ προπέμψατε χθονός.
Ω δεῦτε φίλαι, δεῦτε, λίπα μὲν δέος.
Χορ. Σὺ γὰρ φύγοις τὸν δῆμον, ὥς τι μὴ πάθῃς.
Θ. Κἀγὼ τόνδε λιποῦσα εἰς τί καὶ τρίσω;
Ἴωμεν οὖν, ἴωμεν, ἀπέστω φόβος.
Τί γὰρ ἔτι ζῆν κέρδος ἡμῖν ἐνθάδε;
Ἀλλ' ἀπίωμεν, ὡς ἴδω παιδὸς πάθη.
Ἰώ μοι, ἰώ.
Γυναῖκες ὄψιν φαιδρὰν οὐχ ὁρῶ τέκνου,
Χροιὰν γὰρ ἠλλάξατο καὶ κάλλος ξένον.
Γυναῖκες, ὄμμα συγνὸν ὡς ἄδην τέκνου,
Ποθῶ τεθνάναι, ζῆν δ' ἔτ' οὐδαμῶς θέλω.
Χαίρετε, χαίρετ', οὐκέτι τὸ ζῆν φέρω.
Ω κοινὸν ὦ φίλε, μαθηταῖσι φανείς,
Τέκνον ποθεινὸν, τοῦ δίκης πάσχεις τάδε;
Ποινὰς δὲ ποίων ἐμπλακημάτων τίνεις;
Αγνὰς γὰρ ἁγνὰς χεῖρας αἱμάτων φέρεις,
Ἁγνά τε χείλη, καὶ μέλος πᾶν, καὶ στόμα,
Ψυχήν τε πάναγνον, ἄδολόν τε καρδίαν.
Καὶ πῶς ὁρῶ λῃσταῖς σε συνηρτημένον,
Οὐδ' ἐξ ἑκάστου τινὸς ἐχθρὸν πημονῆς;
Φίλος δ' ἀπόλλυσ' οὐκ ἄκοντ' ἑκουσίως
Μύστης, ὃν ἐπαίδευσας ἄρτι σοῖς φίλοις,
Φαιδρούμενος τάλανος, ὃς φύγῃ κακόν.
Κἂν οὐ συνῆκε, κάμπτων ἐν βροχώμασι.
Τίνος δ' ἕκατι σέ γ' ἀπέστελλε πατήρ;
Τίς σ' ὧδ' ἀτίμως ἠθέλησε τεθνάναι
Δύστηνος; οἷον οἷον ἔργον νῦν βλέπω·
Οὐ τλητὸν, οὐδὲ λεκτόν; ἀλλ' ἀπόλλυμαι.
Αἲ αἴ, τέκνον σῶν παντοδίκων σφαγμάτων.
Αἲ αἴ μάλ' αὖθις. ὡς κακῶς διόλλυσαι.
Οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίας
Πρώτης γυναικὸς ἐξιώμενος βλάβην.
Οἶδ', οἶδα μὲν τάδ', οἶδα οὐχ ὅπως φράσω,
Καὶ σιωπῶ μὲν, οἷα ταῦτ' ἔσται τάχα.
Ἀλγῶ δ' ὑπερθεν τῶν ἐμῶν ἐλπισμάτων,
Στένω τε πικρᾷ συμφορᾷ νικωμένη,
Δάκρυσι τὲ βλέφαρα θερμοῖς τέγγεται.
Ἀεὶ γὰρ ἐστὶ τὸ γυναικεῖον φῦλον
Πολύστονόν τε καὶ πολύδακρυ πλέον.
Χορ. Ἰδ' ὦ γυναικῶν ἐξ ἁπασῶν βελτίων,
Ο παρθένος πάρεστιν, ὅς σὸς φίλος.

Ἰδοὺ δὲ καὶ σοὶ μῦσε μητὴρ φθογγῶν.
Τί γοῶ, τί γυῖα δακρύοις τέγγεις κόρας;
Τί δ' αὖ καλύψασ' ὄμμα, καὶ δακρυρροεῖς;
Καὶ συγχυθεῖσ' ἕστηκας, ἡνίκ' εὐτυχεῖς;
Κἀκ δυσμενῶν τόνδ' ἐξ ἐμοῦ δέχου τρόπον;
Ταῦτα ξυνῳδὰ τοῖς προηγορευμένοις,
Οἷς αὐτός τ' εἶπον, καὶ θεοπρεπὲς στόμα.
Νῦν καιρὸς ἐχθρῶν γιγνῶν τίσαι δίκην.
Τί δ' ἄττα λοιπὸν ὡς ἀπιστίας τέκνον;
Θεοτό. Οὐδὲν λαθεῖν σε δ' ὠνησμένη πέρι.
Ἔγωγ' ἐμαυτὴν πρὸς λόγους ἀφικόμην,
Καὶ τοὺς δὲ θρήνους συμφορᾷ νικωμένη.
Ὤμωξά θ', οἷον ὄργον ἐς ἀργαῖον.
Τὸν τοῦδ' ἰδοῦσ' αὐτοῖς, οἷσ' ἀνήρτησαν τέκνον.
Κραδαίνουσά τε παῖδ', ὅπη προβήσεται.
Λύπη δὲ κρείσσων καὶ βεβαίας ἐλπίδος.
Τὸν μὲν γὰρ ὑμῶν δυσμενῆ βροτοκτόνον
Ῥᾷον κατεργάσῃ σὺ, καὶ καταβαλεῖς μόρον.
Θᾶττον δ' αἰώνων ἀλάστορας τίσεις.
Γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.
Ὅθεν κἀγὼ στένουσα καὶ πεπληγμένη
Κέντροις ἀνίας ἡ τλάμων ὀδύρομαι.
Εἴμ' εὐκλεὴς μὲν, ἀλλ' ὅμως ἀπόλλυμαι.
Στερουμένη σοῦ θεσπεσίου μοι θέας.
Ὡς γὰρ ἄελπτον δρᾶμα προσπεσὸν τόδε
Ψυχὴν διέφθαρκεν, οἴχομαι ζόου βίου
Χαίρειν μεθεῖσα, κατθανεῖν χρῄζω τέκνον.
Καὶ γὰρ ἔρημος ἄπολις τ' οὖσα τρύχομαι,
Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ
Μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Κἂν μὴ τάχιστ' ἴδω σε, πῶς οἴσω, τέκνον.
Ἀλλ' ὦ φίλ' υἱὲ μή μ' ἔρημον σὺ λίπῃς.
Χρι. Θάρσησον. οὐ γὰρ τῆσδ' ἐγὼ θήσω πέρι.
Τὸν σὸν δ' ἀρχὴ μᾶλλον ἐξηγοῦ θεόν.
Εὕρημα δ' οὐκ οἶσθ', οἷον εὕρηκας τόδε.
Θήσω γὰρ καὶ σοι δόξ', ἃ καλλιστεύεται
Ἐν οὐρανῷ γαίῃ τε καὶ πάσῃ κτίσει.
Πολλῶν δ' ἕκατι τήνδε σοι δώσω δόσιν.
Θεοτό. Πέποιθα, κεἰ σοῖς ἀπιστῶ τοῖς λόγοις,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γινώσκω καλῶς.
Ἐγώ σ' ἔτικτον, οἶδα δ' ὥς σ' ἐγεννάμην,
Ὑπὲρ τοῦ δ' ἄλγημα τῶν ἐγνωσμένων.
Ἀλλ' αἰτοῦμαί σε τῆσδε πρὸς συντυχίας
Πάθος φέροντος ἀπάθειαν ὑπὲρ γένει,
Μητροπρεπῶς δὲ σῶν ποδῶν ἐφάπτομαι,
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ' ἔρημον ἐκπροδοῦσαν σὺ λίπῃς,
Δέξαι δὲ χώρας καὶ δόμοις ἐφέστιον,
Ἣν θᾶσσον οὐ βούλοιο σὴν δίκην κρίναι,
Οὕτως ἔργως σοι πρὸς πατρὸς τελεσφόρος
Σκοπὸς γένοιτο, καὶ θανόνθ' ἑκουσίως
Ἴδοιμι νεκρεγέρτην ἤματι τρίτῳ,
Ὡς αὐτὸς εἶπας; πολλάκις πρὸς σοὺς φίλους.
Τὸ πᾶν γὰρ οὕτως ἀσφαλέστερόν τ' ἐμοί,
Σύ τ' αὐτὸς ὢν ὄλβιος ὀλβίου πατρός.

Γνωσθεὶς, ἀνυμνηθῇς γε πάσῃ τῇ κτίσει.
Μὴ γοῦν δόξω λυπρὸν εἰς μακρὸν βίον,
Ὄχλος δ' ἀλαστόρων γε τίσει τὴν δίκην,
Τὸν δεσπότην κτείνας γε γῆς τε καὶ πόλου.
Οὗτοι γὰρ ὡς ἔδρασαν, εὕρωσι κακά,
Ἃ τοῖσι δυσσεβοῦσι γίνεται βροτοῖς.
Ἀλλ' οὖν γὰρ αὐτῶν φροντίδ' ὡς τέκνων ἔχω,
Μή πως πάθωσιν οἱ προσήκοντες σοφίσιν,
Πατρῷον ἐκφράσοντες ἀσεβῆ φόνον.
Ἀλλ' αὐτὸς ὦ σπλάγχνον φίλον, γλυκὺ φάος,
Κάτειργε, κατάπαυσον, ἔξειργε φόνου
Ἐγκατάλειμμα σπέρματος τοῦ φιλουμένου.
Χρι. Αἰνῶ γυναῖκα τάδ', οὐκ ἐκεῖνα μέμφομαι.
Πολλῶν δ' ἕκατι τήνδε σοι δοῦναι χάριν
Ἐγὼ πρόθυμός εἰμι, κοὐκ ἂν ἐκπέσοις.
Συλλήψομαι γὰρ τῷδέ σοι πάμπαν σιωπῇ,
Αὐτόν τε γνοίης ζημίας ἀντιστροφὴν,
Ἀπαλλαγεῖσα τῆσδε τῆς ἀθυμίας.
Θεοτό. Ὤμοι φρενὸς σῆς εὐγενοῦς τε κἀγαθῆς.
Ὦ τέκνον, οἵᾳ συμφορᾷ συνεζύγης.
Τὸ δ' εὐγενές σου τῶν φρενῶν σῶον μένει.
Ὅσην ἐᾷ μοι τὴν προμάθειαν φέρεις.
Ταῦτ' ἐννοηθεῖσ' ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην λυπουμένη
Μάτην θ' ἑαυτῇ πρὸς λόγους ἀφικόμην.
Ημι. Ἆ ἆ πολυστόνων ἄιον ἰαχὰν γόων,
Φωνὴν ἔκλυον, ἔκλυον βοὰς στόνων.
Θεοκλυτεῖ τις δ' ὡς κακὸν ῥέξας μέγα,
Θεοκλυτεῖ δ' ὡς ἄρα δεινά τις παθών.
Καὶ μὴν ὁ κλεινὸς ἀπὸ δὴ στείχει Πέτρος
Σκυθρωπὸς, οἰκτρὸς, καὶ κατηφιωμένος.
Τί Πέτρε θρηνεῖς; δεινὸν ἔπραξας, ἀλλ' ὅμως
Ἔτ' ἔστι καὶ σοὶ τῆσδε συγγνώμης τυχεῖν.
Θεοτό. Ὦ τέκνον, ὦ φίλτατον, ὦ θεοῦ λόγε,
Σύγγνωθ', ἁμαρτεῖν δ' εἰκὸς ἄνθρωπον τέκνον,
Κεἰ Πέτρος ἐξήμαρτε τοὺς ὄχλους τρέσας.
Χρι. Στέγουσα νῦν ἄπιθι μῆτερ φθογγῶν,
Λύω δὲ Πέτρου σφάλμα χρῄζοντος σέθεν.
Καὶ γὰρ πάροιθεν σοῖς ἐπειθόμην λόγοις,
Σῆς εὐσεβείας κἀγαθῆς φρενὸς χάριν.
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγον.
Ἕλκει δὲ καὶ δάκρυα πολλήν μου χάριν,
Καὶ ταῦτα λύει δ' αὖ μὲν ἀμπλακημάτων.
Σοί τ' αὖ παραινῶ μηδέν' ὡς βροτῶν στυγεῖν,
Μηδ' οἵ μ' ἀπηώρησαν ἀνόμως ξύλῳ.
Θεοτό. Ὦ μοι φρενὸς σῆς εὐγενεστάτης ἐᾶν,
Ὡς οὐδὲ πάσχων δυσμενεῖς ὑπὲρ γένει,
Οὐδὲ προσηλώσασιν ὀργίζῃ ξύλῳ.
Τίς γὰρ ἂν ἔτλη θυμὸν ὀργῆς σου τέκνον;
Ἢ τίς ἀγανάκτησιν ὑπείκει σέθεν;
Χρι. Ἄπιθι δυσμενῶν νῦν ἐκ μέσου.
Ὧνπερ γὰρ εἵνεκ' εἰς ἐμοὺς ἥκεις λόγους.
Τὰ μὲν πέπρακται, τῶν δ' ἐγὼ μνησθήσομαι.
Ἐνταῦθα μένε σὺ τῶνδ' ἀπαλλάσσου λόγων.
Θεοτό. Ἄραρεν, ὡς ἔοικεν, ὦ τάλαιν' ἐγώ.

Αἶ αἶ, τίν' ἐκφωνεῖ φρικώδη τήνδ' ὄπα
Γλυκασμός ὤν, ὅλος δὲ καὶ θυμηδία;
Τίνος γε δίψαν ἀπογεύσω πικρίας,
Αὖθίς τε δίψαν κάρτα κέκραγας.
Χορ. Κραυγῆς ἀκούσασ' ἐκπέπληγμαι παντλάμων
Ἐγώ, τὸ μὲν τι πρᾶγμ' ἐφ' ᾧ τὰ νῦν στένεις
Οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
Φθέγξαι τι δεῦρ' ἄθρησον, ὤμοι κακῶν
Τί τὸ σὸν ὄμμα, χρώς τε συντέτηκε νῦν.
Θεοτό. Σιγήσατ' ὦ γυναῖκες ἐξειργάσμεθα,
Ἐπίσχετ' αὐδήν, πᾶ δὲ δρωτῆσαι θέλω.
Ὁρῶ γὰρ ἤδη τόνδε πλησίον μόρου,
Ναὶ ναὶ βλέπω κλίναντα πάντιμον κάρα,
Μακρὰν λιπόντα ῥᾳδίως ὁμιλίαν,
Ἔα τί λεύσσω; σὸν δέμας νεκρὸν τέκνον,
Ἀθρῶ, μεγίστου θαύματος τόδ' ἄξιον.
Ὃς ἀρτίως κέκραγε πρὸς τὸν πατέρα.
Φωνῇ κρατεῖ δὲ γαῖα γῆς σπαραξάσης.
Οὐ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη
Φρικῶδες ἀντεφθέγξατ'. εἰσορῶσι δὲ
Θέαμα κρεῖσσον ὀμμάτων ἐφαίνετο.
Ὃν ἀρτίως ἔδρακον ὡς φάος τόδε,
Οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
Τί χρῆμα πάσχεις; τῷ τρόπῳ διώλυσαι
Τέκνον; πυθέσθαι βούλομαι σέθεν πάρα.
Ἡ γὰρ ποθοῦσα καρδία πάντ' ἀλγύνει,
Κἂν τοῖς κακοῖσι λίχνος γ' οὖσ' ἁλίσκεται.
Ἒ, ἒ, ἒ, ἒ, ἒ, ἒ.
Τάδε ξυνῳδὰ τοῖς προηγορευμένοις.
Αἲ αἲ τί δράσω; καρδία καὶ οἴχεται.
Γυναῖκες ὄψιν οὐχ ὁρῶ φαιδρὰν τέκνου.
Χροιὰν γὰρ ἠλλάξατο, καὶ κάλλος ξένον.
Δεινὸν θέαμα, καὶ φόβος, νεκροῦ θιγεῖν.
Διδάσκαλον φρίσσω γὰρ ἀστέρων πάθος,
Γῆς γαῖα σαλευθέντα, ῥαγείσας πέτρας.
Χωρεῖτε, χωρεῖτ', οὐκ ἔτ' εἰμὶ προσβλέπειν
Οἵα πρὸς αὐτόν, ἀλλὰ νικῶμαι πόνοις.
Καὶ ξυνιδεῖν μὲν οἷα τοῦτ' ἔσται τάχα,
Λύπη δὲ κρείσσων καὶ βεβαίας ἐλπίδος.
Παῖ παντάνακτος πῶς ἐς ᾅδου νῦν δόμους
Οἴχῃ, μερόπων ἕκατι τῶν πρωτοσπόρων,
Αἴφνης δ' ἀπέπτης, ὡς μαθεὶς ἑκουσίως
Ἤκουσ', ἔκλυον σὴν ὄπα πρὸς πατέρα.
Τίνος δὲ ἕκατι γῆς σ' ἀπέστειλε πατήρ;
Τί σ' ὧδ' ἀτίμως ἤθελησε τεθνάναι;
Τί τὴν τεκοῦσαν μητέρ' ὀρφανὴν σέθεν
Τέθνηκας; οἴμοι συνθανοῦμαί σοι τέκνον.
Ἰδοὺ τέθνηκας; τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον, καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν ῥύσεται δέμας τόδε;
Οὐκ ἔστι. μένω σ' οὖν ἔτι σμικρὸν χρόνον,
Ἣν τερπνὸν ἦμαρ λαμπροπρεπὲς ἐσίδω·
Ὡς αὐτὸς εἶπας νεκρέγερσιν μηνύων,
Κἀγὼ πέποιθα, καὶ στέγω ταῖς ἐλπίσι.
Κἂν νῦν ἔχω βλέπουσ' ἀπηγορευμένον.

Στένω με μᾶλλον ἢ σὲ τῆς ἀκρισίας.
Ἀπώλεσας γὰρ μᾶλλον, ἢ κατέφθισο.
Εἰ γὰρ γενοίμην τέκνον ἀντὶ σοῦ νεκρός,
Ὄλωλα τέκνον. οὐδέ μοι χάρις βίου.
Αἲ αἲ κατ' ὄσσων κιχάνει μ' ἤδη σκότος.
Ὄλωλα, καὶ νῦν νέρτερον ποθῶ δόμους.
Τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας
Τὰ νῦν μετοικεῖν, σῆς θέας στερουμένη.
Δύστηνος οἷον ἔχον ἄρτ' ἄλγημ' ἐγώ,
Οὐ τλητόν, οὐδὲ ῥητόν, ἀλλ' ἀπωλόμην.
Πῶς δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος,
Ἔξω παρηγόρημα μήτηρ παντλάμων
Ἄλλως σ' ἄρ' αὐτὰ τέκνον ἐξεθρεψάμην,
Ὃς τὴν τροφὴν ἅπασι δαψιλῶς νέμεις.
Μάτην τ' ἐμόχθουν, καὶ κατεξάνθην πόνοις,
Θλίβουσα χεῖρας τῶν φονώντων σοῦ τέκνον,
Ἀρχὰς ἀπ' ἄκρης σῶν ξένων γενεθλίων.
Ἀλλ' οὐκ ἐῶμαι, κἂν στένω, κἂν δακρύω.
Ἐγώ σ' ἔτικτον, οἶδα δ' ὡς ἐγεινάμην,
Ὅθεν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
Ἐν σοὶ μεγίστας, γηροβοσκήσειν τ' ἐμέ,
Κ' αὖ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισιν. ἡ δ' ὄλωλέ μοι
Ἐλπὶς γλυκεῖα, σοῦ τέκνον τεθνηκότος.
Ὦ φθέγμα γλυκύ, γλυκὺ χάρμα μοι φρενῶν.
Ὦ φιλτάτη πρόσοψις, ὦ ποθουμένη
Ὡραιότης ἄρρητος ὑπὲρ πᾶν γένος,
Εἰκὼν ἄγραφος ἀγράφου μορφώματος,
Πῶς νῦν σιγάζεις; οὐ φρενὶ βλέπουσά σε.
Πῶς πῶς σιγᾷς νῦν; οὐδ' ἀπανοίγεις στόμα,
Δὸς φθέγμα μοι, δός, δὸς παρηγόρημά μοι.
Φθέγξαι τι μικρὸν μητρὶ δυστήνῳ τέκνον.
Ναὶ τέκνον οἶδα τὸν θεόν μου, κἂν φθίνῃς
Θάνατον οἰκτρόν, ἀθανατίζοντά με.
Θάνατον, ἀθάνατον ἄγοντα κλέος,
Καὶ χάρμα παντὶ τῶν βροτῶν γένει μέγα.
Θεολ. Τέτλαθι παγκοίρανε μαιμῶσα κλάειν,
Ἑκὼν γὰρ ἔτλη πότμον, οὐκ ἐὼν ἄεκον.
Ὡς παμφάγον νῦν καββαλὼν αἶσαν γένει,
Ἔκδηκος ἦλθεν δεσπότης παντεργάτης.
Λέβητι χρυσέῳ δὲ πέμψον μοι δέμας,
Σοφῇ προμηθείᾳ με ξενίσω ξένως.
Λυγρὸν γὰρ ἐκ γῆρας δύσφυες ξέσας
Ἀνθρωπολοιγοῦ παμπαλαιᾶς μοι λύπης,
Κοῦρον φίλον θήσειν ἡβῶντά με,
Ὡς νῦν κάκιστον γῆρας ἅπαντας τρύχει.
Ναὶ ναί, τρύχει γῆράς με πημάτων βαρὺ
Λάβρος παλαιᾶς μητρὸς ἠπατημένης.
Ἀλλ' αὐτὸς ἀλύξαι με πημάτων ἔφη,
Αὖ τις τὴν πρὸς αὐτὴν μητέρα στρέψαιτ' ἐμήν,
Καὶ γαῖαν, οἶκον ὃν προδοὺς ἀφίκετο
(Βουλαῖς ἀνάγνοις θηρὸς ἡγεμωμένη)
Ἐς τήνδε γαῖαν μητέρα στεναγμάτων
Μετ' ἀνδρός, ὃν πρὶν ἥδ' ἀτιμάσασ' ἔγνω,
Ἔγνω γὰρ ἡ τάλαινα συμφορῶν ὕπο,

Οἷον τὸ λιπεῖν οὖθαρ ἄρσενος πάθος.
Καὶ τοῦδ' ἕκητι πάνθ' ὑποστῆναι θέλων
Αὐτὸς προεῖπε, καὶ θέλων ἔτλη μόρον,
Ἤματι τριτάτῳ δ' αὖ ἐγερθείη τάφου,
Μύσταις φίλοις φέροντα χάρμα καὶ μέγα.
Εἰδώς τε ταῦτα πάντα πρὶν σαφῶς ἔφη.
Ἤδη δ' ἔχει σύμπαντα ταῦτα νῦν τέλος.
Λείπει δὲ γηθόσυνον ἦμαρ καὶ μόνον.
Καὶ τοῦτο νῦν μένουμεν, ἔσται δ' ὡς ἔφη.
Ὁ γὰρ τὰ λυπρὰ νητρεκῆ νῦν γνωρίσας,
Καὶ χάρμα δείξει λαμπρὸν ἤματι τρίτῳ.
Οἶδας τε σὺ μάλιστα τέρμα δρωμένων.
Θήσει δὲ λύπης ἀντὶ τῆσδε καὶ γόων,
Τιμὰς μεγίστας ἀνὰ γῆν σοι καὶ πόλον.
Πλήσει τε πᾶσαν γαῖαν ἐνδόξων λόγων,
Ναούς τε σοὶ τεύξουσι τὸ βροτῶν φῦλον.
Θεῖον γὰρ αὐτὴ τῆσδε δυσσεβοῦς φόνου
Σεμνὴν ἑορτὴν τῇδε γῇ προσάψεται,
Καὶ γῆν Ὀλύμπου ἱερὸν τεύξει πέδον,
Ὧν οὕνεκα χρὴ μὴ μέτρου θρηνεῖν πέρα.
Μὴ δῆτα γοῶν δέσποιν' ἀφόρητα στένε,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάξουσα γῆς
Πρόσωπον, οὐ βλέφαρα δακρύων ῥοῆς.
Ἕως πότε στρέψεις δὲ κάτω τὴν δέρην,
Ῥοαῖς καταρδεύουσα τὴν γῆν δακρύων;
Ἔκδηλον ὄμμα παντεπόπτου δεσπότου
Εἰδυῖα θεῖον χάρμα σοι φέρειν μέγα,
Πρὸς ὃν σε τείνειν ὄμμα καὶ μόνον, δέον.
Οἶδας γὰρ οἶδας ἕψεται τοῖς φρασμίοις
Καὶ τέρμα φαιδρὸν γηθόσυνος ἡμέρα.
Μίαν μόνην μεῖναί σε δεῖ τὴν αὔριον.
Ὡς συμπερανθῇ φροντὶς, ἣ κἀμὲ τρύχει.
Θεοτό. Υἱὸς σύ μοι πέφηνας ἄλλος πρὸς θεοῦ.
Αὐτὸς γὰρ εἶπεν υἱὸς, ὅς μοι καὶ μόνος.
Οἶδάς τε ταῦτα πάντα, τί χρεὼ λέγειν;
Ὡς ἀσπόρως ἔτικτον ὠδίνων ἄτερ,
Στέρρας τ' ἔφυγον ἐν τόκοις ἀλγηδόνας,
Θεοῦ τε παῖδα τοῦτον ἀγγέλας ἔφη,
Καὶ πόλλ' ἔδρασεν, οἷα καὶ μόνου θεοῦ.
Καὶ πῶς τὰ νῦν εἴσαιμι γυμνὸν καὶ νέκυν,
Ἐν ἰκρίῳ βλέπουσ' ἀπῃωρημένον;
Ὃς γαῖαν ἠώρησεν ὑδάτων ὕπερ,
Δι' ὃν τὸ φάος ἡλίου συνεστάλη,
Αὐτῇ σελήνης τ' ἐσκοτίσθη πᾶν σέλας.
Καὶ ῥῆξιν ἀντέτλησαν αἱ πέτραι φόβῳ,
Μνημεῖα τ' ἠνοίγησαν εἰς δεῖγμα κράτους,
Αὐτοῦ παθόντος ὑπερτάτου αἰτίου.
Θεόλ. Δέσποινα παγκοίρανε μῆτερ τοῦ λόγου,
Αὐτὸς κἀγὼ τέθηπα μὴ φέρων βλέπειν,
Φρικτὸν θέαμα, δεσπότην τεθνηκότα,
Ἄπνουν τὸν ἐμπνέοντα τοῖς ζῶσι πνοήν.
Στένω τε πυκνὰ, καὶ χέω πικρὸν δάκρυ,
Ἐλπὶς δ' ὅμως τρέφει με, καὶ θρηνεῖν φέρω.
Οὐ γὰρ ἀπιστῶ τοῖς λόγοις τοῦ δεσπότου,
Ἡ καλλιφεγγὴς ἡμέρα δὲ τριτάτη
Τὸ τέρμα δείξει τῆς τρεφούσης ἐλπίδος.
Ἢ μὴ παρέλθοι, καὶ θανεῖν μοι συμφέρει.
Θεοτό. Τριτάταν ἁμέραν μὲν εἰδυῖα κλύω,
Αὖθις φθορᾶς πάναγνον ἀνίσχειν δέμας.
Νῦν δ' ἐχθρὸν ἦμαρ, ἐχθρὸν ἀστράπτει φάος,
Ὡς δυστάλαιναν, τὴν πάλαι μακαρίαν.
Ὅθεν τὰ θνητῶν μᾶλλον ἡγοῦμαι σκιάν,
Κοὐ δή ἂν τρέσασ', εἴποιμι τοὺς σοφοὺς βροτῶν
Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων,
Τούτους μεγίστην ζημίαν ὀφλισκάνειν.
Θνητῶν γὰρ οὐδείς ἐστιν ὄλβιος φύσει,
Ὄλβου δ' ἐπιρρυέντος, εὐκλεέστερος
Ἄλλου γένοιτ' ἂν ἄλλος, ὄλβιος δ' ἂν οὔ.
Ἡμι. Παίδων ὅσ' ἐστ' ἔμψυχα, καὶ γνώμην ἔχει,
Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν,
Ὅσαι τεκοῦσαι, καὶ θανόντ' εἶδον τέκνα.
Ὡς τρὶς θανεῖν θέλοιμ' ἂν, εἴ τι καὶ ἅπαξ,
Καὶ πότμον ἰδεῖν ἐντραφέντος μοι τέκνου.
Ἀλλ' οὐ γὰρ αὐτὸς πρός σε κἀμ' ἥκει λόγος,
Ὦ παγκοίρανε πότνια παρθέν' ὀλβία;
Ἢ πολλὰ παντὸς εἶ διάφορος γένους.
Ἐγὼ γὰρ ἀνδρὸς τέρψιν εἰσδεξαμένη,
Ἀνθ' ἡδονῆς ὀδύνας ἐν λύπαις τρέφω,
Καὶ θνητὸν ὡς ἔτικτον εἰδυῖα στέγω.
Κούφως φέρειν γὰρ συμφορὰς θνητοὺς δέον.
Σὺ δ' ἀνδρὸς οὐκ ἔγνωκας εὐνὴν παρθένε,
Θεόν τεκεῖν τ' ἔκλυες ἀγγέλου λόγοις,
Καὶ νεκρὸν αὐτὸν νῦν ὁρῶσα, πῶς φέρεις;
Θεοτό. Ἔα τί μ', οὔτι φίλα μοι τὰ μὴ φίλα.
Ἤγγειλεν οἷ' ἤγγειλεν, οὐ μομφὴν ἔχει,
Εὐάγγελος δόξης τε τῆς εὐαγγέλου.
Ἦν ἐσφάλην ἐγὼ δὲ τῆς ἀγγελίας,
Οὐκ οἶδ', ἐχυρὰς ἔμφερον γὰρ ἐγγύας.
Θρηνεῖν δὲ δεῖ με, δακρύων γὰρ ἄξια,
Πέπονθα πολλὰ καὶ στένω καὶ δακρύω
Ἕως ἴδοιμι ζῶντα τὸν τανῦν νέκυν.
Ἡμι. Δέσποινα κούρη δεῖ σε συγγνώμην ἔχειν,
Εἴ τις ὑφ' ὕβρις σπλάγχνον εὐτόνως φέρειν,
Μάταια βάζει μὴ δόκει τούτων κλύειν.
Σοφωτέραν γὰρ ἴσμεν οὖσάν σε βροτῶν.
Θεοτό. Αἶ, αἶ.
Ἔτλην μεγάλων ἄξια θρήνων ἐγώ.
Ὦ πάθος οὐ μετρητὸν, οὐδ' οἷόν τ' ἰδεῖν,
Φόνον ταλαίναις χερσὶν ἐξειργασμένοι
Τὸν καλλίνικον, κλεινὸν ἐξεπράξατε,
Εἰς θρῆνον, ἐς δάκρυα, παγκαλὴς ἀγὼν
Ἐν αἵμασι στάζουσαν ἐσφέρειν χέρα.
Φεῦ φεῦ φρονήσαντες μὲν οἷ' ἐδράσατε,
Ἀλγήσετ' ἄλγος δεινόν. εἰ δ' ἕως τέλους
Ἐν τῷδε δ' ἀεὶ μενεῖτ', ἐν ᾧ καθέστατε,
Οὐκ εὐτυχοῦντες δόξετ' οὐχὶ δυστυχεῖν.
Ἀλλ' οὐκ ἔγ' ᾤμαι ταῦτ' ἀνατὶ παρρησίαν.
Τί γὰρ καλόν, τί δ' ἀσεβῶς τῶνδ' οὐκ ἔχει;
Ὄλοισθ' ὄλοισθε στυγεροὶ μιαιφόνοι,
Οἳ δεσπότην κτανόντες οὐ φροντίζετε,

Πᾶσαν τρέμουσαν ἀσπαίροντος τὴν κτίσιν.
Ἀλλ' ἐστὶ θήρας τοῦ φόνου γαυρούμενοι.
Χορ. Κακῶς πέπρακται πανταχοῦ, τίς ἀντερεῖ;
Ἅπας δ' ἀληθῶς ὁ βροτῶν λυπρὸς βίος.
Στύγουσι δ' αὐτὸν συμφοραῖς νικώμενοι.
Σοὶ δ' οὐχ ὅμοιον ἄλγος ἀνθρώποις κυρεῖ,
Κἂν εἰ μόνη σύ, σοῦ δ' ἀπεζύγη τέκνου.
Οὐ γὰρ ὅμοιος σὸς τόκος, καὶ τοῦ γένους.
Ὅμως δὲ πάντα τλησικαρδίως φέρειν
Τὰ νῦν προσήκει, κάρτα τ' αὖ πεποιθέναι.
Αἶ, αἶ, αἶ.
Θεοτό. Δέδορκά τινα τῶν ἀλαστόρων κόρας,
Οἳ συνέτρεψαν τῶν μιαιφόνων σκέλη,
Κατευθύνοντα παιδὸς εἰς αὐτοῦ δόρυ.
Δέδοικά τ' αὐτόν, μή τι βουλεύων νέον,
Καὶ δευτέραν μοι συμφορὰν δράσῃ πάλιν,
Παῖδ' ὃν ἔδειμα καὶ νέκυν ὑβρισμένον.
Ἰώ μοι μοι.
Θέαμα δεινὸν ὄμμασι βλέπω νέον.
Κατίδετ' ἴδεθ' αἷμα νυγέντος νεκροῦ.
Ὁρᾶθ' ὁρᾶτε πῶς διπλοῦς κρουνὸς ῥέει,
Πλευρᾶς αἷμά τε καὶ πεφυρμένον ποτόν.
Ἔβλυσεν εὐθύς, ὡς ἐνύγη πρὸς ξίφει
Ἡβῶντος ἀνδρὸς δυσμενῶν ἐξ Αὐσόνων.
Διπλοῦς ἔτι βλύζει τε κρουνὸς αὐτόθεν.
Αὐτὸς θ' ὁ νύξας ἐκπλαγείς, κέκραγέ πως,
Ὡς ἐστὶν ὄντως παῖς θεοῦ νέκυς ὅδε.
Τρίχα δ', ὁρᾶτε, καίγε προσπαγεὶς ξύλῳ,
Πίπτει τ' ἐπ' οὔδας τῇ θέᾳ νικώμενος,
Στῆθός τε παίει, καὶ προσπτύσσει πέδον,
Ἐνθ' ἱκέσιον πέπηγεν, ἐμπεφυρμένον
Ῥεέθρῳ καταρρέοντι τῆς πλευρᾶς ἔτι.
Ἀρύεταί τε χερσὶ κρουνοῦ, καὶ κόρας
Ἔχρισεν, ὡς ἔοικεν, ὡς ἁγνισμ' ἔχει.
Χορ. Ἔοικεν ἄναξ πολλὰ τῇ δ' ἐν ἡμέρᾳ
Κακὰ συνάπτειν ἐνδίκως μιαιφόνοις.
Αὐτός τε μέν τοι μὴ φίλους δράσει τάδε
Ἔκδικον ὄμμα δ' ἐστὶ τοῦ παντεργάτου.
Ἴτω δίκη ἴτω φανερῶς ξιφηφόρος,
Καὶ πυρφόρος, τάχιστα τοῖς μιαιφόνοις.
Ἔστι γὰρ ὄντως θαῦμα φρικτὸν εἰσορᾶν.
Ὁ μὲν γὰρ ὦσεν τῆς πλευρᾶς τὸ δόρυ,
Πλευρᾶς νυγείσης δὲ θαυμαστὸν νᾶμα
Ἐπέξεν εὐθύς, αἵματι πεφυρμένον.
Φρικτὸν θέαμα, καὶ τρόμος μ' ὁρᾶν ἔχει
Διδάσκαλον. φέρω γὰρ αὐτὴν τὴν κτίσιν,
Γῆς γαῖαν σαλευθεῖσαν, ῥαγείσας πέτρας,
Τάφους τε νεκρῶν ἄφαρ ἠνεῳγμένους.
Αὐτὸς δ' ὁ νύξας ἔντρομος προσὼν θίγει.
Θεοτό. Ὦ τέκνον, ὦ φίλτατον, ὦ θεῖον κάρα,
Οὕτως ἐφάνης πᾶσι, καὶ τοῖς μὴ φίλοις.
Σφόδρα ποθεινὴ δακρύουσι συμφορά,
Κρουνῶν τὸ καθάρσιον αἷμα τοῦ γένους.
Καὶ δυσμενεῖς φρίττουσιν, ἀθροοῦντος ξένα,
Θεοῦ τε κεκράγασι τρανῶς σ' ἰᾶ.

Πάντα τρέμουσιν, ἅτε μὴ γνῶσιν ἔχει.
Οἱ δ' ἐγγενεῖς ἔκτειναν ἀλόγῳ φόνῳ,
Ἐξ ὧν γ' ἐχρῆν στέφανον εἰς κάραν λαβεῖν,
Οὐχ οἷον ἐμπαίζοντες ἔστεφον σέ πως.
Οἱ δ' οὐδὲ φροντίζουσί σ' ἐνθεῖναι τάφῳ.
Πῶς οὖν ἐγώ σε τοῦ ξύλου καταγάγω;
Ποίῳ δὲ τύμβῳ καταθοίμην σου δέμας;
Ποίοις τε πέπλοις κατακαλύψω νέκυν;
Πῶς καὶ τ' ἀπηχώεια μέλψω σοι μέλη;
Τίνος σε κηδεύσουσιν ὦ τέκνον χέρες;
Οἴ μοι, τί δράσω; τίς γένωμαι παντλάμων;
Τί ταῦτ' ἀλύω; πειστέον τοῖς σοῖς λόγοις,
Ἔργοις θ' οἷς ὑπέδειξας, εἰς μαρτυρίαν,
Ὡς δ' ἐστὶν ἅπαν σοι θελητόν, δυνατόν.
Πολλῶν ταμεῖον ὢν ἀέλπτων θεός,
Πολλά τ' ἀέλπτων πολλάκις κραίνει θεός,
Τὰ δ' αὖ δοκηθέντ' οὐκ ἐφεῦρε καὶ τέλος.
Σὺ δ' ἀδοκήτων αὐτὸς εὕροις μοι πόρον.
Θεόλ. Καὶ μὴν ὅδ' Ἰώσηπος ἐν σπουδῇ ποδός,
Στείχει, νέον τι πρᾶγμ' ἔχων ἴσως φράσαι.
Αὖ δ' ἄλλο θαῦμα καὶ παρ' ἐλπίδα βλέπω,
Μύστην νύχιον τῷδε συντρέχοντά πως
Σκεύη φέροντα πρόσφορα τῇ καθόδῳ.
Ὦ μάκαρ, ὃς τὰ τοῦ θεοῦ μυστήρια
Εὖ ἁγιστεύει θιάσων αὐτοῦ βιοτάν.
Καὶ θιασεύεται καθαρμοῖσι ψυχάν,
Δῶμάς τε παντὸς ἀναπτύσσων ῥύπου,
Κύκλῳ τε πασῶν ἀρετῶν στέφων κάραν,
Ἀεὶ θεραπεύων θεάζει τὸν θεόν.
Τὸ σωφρονεῖν γάρ, καὶ σέβειν τὰ τοῦ θεοῦ,
Κάλλιστον οἶμαι δ' αὐτὸ καὶ σοφώτατον,
Θνητοῖσιν εἶναι χρῆμα τοῖσι χρωμένοις.
Ἰω. Ὦ φίλταθ' ὡς σὴν γῆρυν ᾐσθόμην κλύων
Σοφήν, σοφοῦ παρ' ἀνδρός, ἐκ μακρᾶς ὁδοῦ
Ἥκω δ' ἕτοιμος, τὴν δ' ἔχων σκευήν, τάχει
Ὅπως νέκυν θάψαιμι τὸν πεφιλημένον.
Δεῖ γὰρ νιν ὄντα καὶ πατρὸς σεπτόν, φίλοι,
Ὅσον καθ' ἡμᾶς, καὶ νέκυν τοῦτον σέβειν.
Πῶς δεῖ κατάγειν, πῶς δὲ πρὸς τύμβον φέρειν,
Πέπλοις ἐνειλίξαι τε; νῦν ἡγοῦ μοι σὺ
Νέος γέροντι πρόθυμος, σὺ γὰρ σοφός.
Ὡς οὐ κάμοιμ' ἂν οὔθ' ἕως, οὔθ' ἑσπέρας
Ἕως νέκυν θάψαιμι κοινῷ μου τάφῳ.
Ὅσον δίκαιον γάρ, μὴ γένους κοινωνίαν
Ἔχοντα μύστην, τοῦτον οἰκτείρω κἀγώ.
Θεολ. Ὁ αὐτὸς δ' ἀπόνως θ' ὑμῶν ἡγήσομαι.
Καὶ πᾶσαν συμμάξασαν ἐν χεροῖν δίδοι.
Ἰω. Ὦ χρῆμα παγκάλιστον δέσποιν' ἐμή.
Τί παῖδα πρὸς σὸν τόνδ' ἄγουσ' ὀβρίμαν,
Ἕστηκας, θαμβουμένη τὰ σὺν τῇ λυγρᾷ;
Καί σοι μόνος πάρεστι μύστης πρόθυμος,
Λιπὼν ἀδελφὸν ἐν χορῷ μυστηπόλον.
Ἄλλοι δ' ἀπέδρασαν τὸν γόον πεπλησμένοι
Φεύγουσι, πολλῷ πρὸς φόβῳ πεφρικότες,
Οὐδ' ὅλον οὐδὲν τῶν νεωτέρων κακῶν.

Σὺ δ᾽ οὐ πέφευγας δυσμενῶν ἀβουλίαν.
Ἐγὼ δέδοικα, μή τι βουλεύσῃ νέον
Ὅμιλος ἐχθρός, δυσμενής, μιαιφόνος.
Βαρεῖα γὰρ φρὴν οὐδ᾽ ἀνέξεται κλύειν,
Κἂν νεκρὸν ἢν δείνημεν ἐντίμῳ τάφῳ.
Θεολ. Οὔπω γὰρ οὐκ ἔληξαν, οὐδ᾽ ἔχουν κόρον
Μιαιφονίας καὶ κακῆς ἀβουλίας.
Ιω. Ζηλῶ σ᾽· ἐν ἀρχῇ πῆμα κοὐδέπω μέσον.
Θεολ. Τί δ᾽ ἐστιν, ὦ γεραιέ; μὴ σίγα, φράσον.
Ιω. Ἤκουσα τοῦ λέγοντος, οὐ δοκῶν κλύειν,
Θώκους προσελθών, ἔνθα δὴ παλαίτεροι
Θάσσουσι, σεμναὶ ἀμφὶ σηκὸν μῶν ἑδοῦ.
Ὡς τόνδε νεκρὸν οὐκ ἐᾷ πρεσβευτέρων
Ὄχλος, προσελθὼν τῷ δὲ κοιράνῳ χθονός,
Θάπτειν. ὁ μέν τοι μῦθος εἰ σαφὴς ὅδε
Οὐκ οἶδα, βουλοίμην δ᾽ ἂν οὐκ εἶναι τόδε.
Ἐμοὶ γὰρ αὐτὸν ἐξέδωκεν ὡς φίλῳ,
Αὐτὸν δυσωπήσαντι λαβεῖν τὸν νέκυν.
Θεολ. Τὸ πᾶν ὄλωλεν, εἰ κακὸν προσοίσομεν
Νέον παλαιῷ, πρὶν τόδ᾽ ἐξηντληκέναι,
Ὡς αὐτὸς εἶπεν, ἤματι τρίτῳ πέρας
Τὰ λυπρὰ λαβεῖν, γηθοσύνῃ καρδίας.
Ιω. Οὐ τοῦθ᾽ ὁ πατὴρ παῖδ᾽ ἀνέξεται παθεῖν.
Παλαιὰ καινῶν λείπεται βουλευμάτων,
Κοὐκέτ᾽ ἐκεῖνος τοῖσδε φίλος δόγμασιν.
Αὐτός γε μὴν δράσειεν, οὐ γὰρ παύσεται
Χόλου, σάφ᾽ εἴτε καὶ κατεμπρῆσαι πόλιν.
Ἐχθρούς γε μέντοι, μὴ φίλους δράσειέ τι.
Ἔκδικον ὄμμα πατρὸς ἐμμαστήριον.
Θεολ. Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἀεὶ σέβω,
Ἐξ ἧς νῦν εἱλόμην ὡς μητέρα,
Χαίρων τις αὐτῶν τοῦδε δέξεται φόνον.
Θεὸς γὰρ, ὡς ἔγνωμεν ἐκ τῶν τεράτων,
Ὧν καὐτὸς οἶδας πολλὰ, καὶ τὰ νῦν βλέπεις.
Οὐδ᾽ ἠγνόησας ἡλίου πόσον σκότος,
Ἐπεὶ δ᾽ ἔκλινε καὶ μεθῆχ᾽ ἑκουσίως
Ψυχήν. μόρος γὰρ οὔποτ᾽ οὐδ᾽ ὑπέρτερος,
Εἰ μὴ κελευσθεὶς ἧκε τῇ πρὸς κλήσει.
Τοὐνθένδε μᾶλλον φρικτὸν ἦν θέαμ᾽ ὁρᾶν.
Γῆς γεῖσα σαλευθέντα, ῥαγείσας πέτρας,
Τάφους τε νεκρῶν εἶδον ἠνεωγμένους.
Ὡς δ᾽ αὖθις ἧκεν ἀναλώσων δόρυ,
Νύσσει προσεστὼς νειάτην πλευρὰν ξίφει,
Ἀκμαῖος αἰχμῆς. τῆς τομῆς γὰρ ᾐσθόμην
Πληγὴν βαρεῖαν, ὁλκὰ τραύματος βλέπεις.
Οὗτος μὲν ὧδε περὶ πλευρᾶς τὸ δόρυ,
Πλευρᾶς νυγμένης δὲ θαυμαστῶς ὕδωρ
Ἔσταξεν εὐθὺς, αἷμά τ᾽ οὐ πεφυρμένον.
Διπλοῦς γὰρ ἐξέλαξε κρουνὸς αὐτόθι,
Φρικτὸν θέαμα, πᾶσι δ᾽ ἦν φόβος θίγειν.
Αὐτὸς δ᾽ ὁ νύξας ἐκπλαγεὶς κέκραγ᾽ ἔπος,
Οὗτος ὁ πρὶν ὢν νεκρὸς ὄντως παῖς Θεοῦ.
Τλήμων τε μήτηρ ἐμπεσοῦσ᾽ ἱκρίῳ,
Πίπτει στένουσα, καί γε προσπιτνεῖ ξύλῳ,
Ὤμωξε δ᾽ εὐθύς, καὶ προσπτύσσει πόδας,
Καὶ χερσὶν ἠρύσατο αἱματηροῦ ῥοῦς.
Κυνοῦσά τ᾽ αὐδᾷ τοιάδ᾽, ὦ θεῖον κάρα,
Βροτῶν μὲν αὐτὸς κατθανὼν κήδει σαφῶς,
Καινοῖς τε καθάρσιον ἀνθρώπων γένους.
Σὺ δ᾽ οὐδὲ φροντίζει τις ἐνθεῖναι τάφῳ.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρήζουσ᾽ ἄχραντον ἐξαναστῆσαι δέμας,
Προσεῖχεθ᾽, ὥστε κισσὸς ἔρνεσι δάφνης.
Χρόνῳ δ᾽ ἀπαλλαγεῖσα τῶν γόων ἔφη.
Τί ταῦτ᾽ ἀλύω; πιστὸν παιδὸς λόγοις,
Ἔργοις θ᾽ ὅσ᾽ ὑπέδειξεν εἰς μαρτυρίαν,
Ὡς ἐστὶν αὐτῷ πᾶν θελητὸν, δυνατόν.
Καὶ τῶν ἀέλπτων τὸν πόρον αὐτὸς διδοῖ.
Ταῦτ᾽ εἶπε, καὶ παρ᾽ αὐτίχ᾽ ὡράθης σύ μοι.
Ιω. Θαυμαστ᾽ ἔφησας, καὶ τὸ πρᾶγμα δεικνύει,
Ἀτὰρ σύ τ᾽, οὐ γὰρ καιρὸς εὐλογίαι τάδε,
Δέσποινα ἡσύχαζε, καὶ σίγα λόγον.
Καὶ θᾶττον ὡς μάλιστα τῶνδ᾽ ὁρμᾶ γε,
Καὶ μὴ πελάζετ᾽ ἐγγὺς ἐνθυμουμένοις,
Μὴ δὴ προσέλθητ᾽, ἀλλὰ φυλάσσεσθέ πω
Ἄγριον ἦθος, συγγενὰς φύσιν φρενός.
Θεοτό. Ὦ καλλίνικοι χαίρετ᾽. ὦ φίλοι δύο,
Ὁ Νικόδημος σὺν Ἰωσήπῳ δίχα.
Εἰς καιρὸν ἥκετ᾽, εὖ γε δ᾽ εὖ πεπράχατε,
Πιστοῖς φίλοις γὰρ συμφοραὶ τὰ τῶν φίλων
Πίπτοντα κακῶς, καὶ φρενῶν ἀνθάπτεται.
Σπεύσατε, νῦν σπεύσατε, καταγάγετε,
Πρὸς τοῦτο γὰρ ἥκοντας ἄμφω νῦν βλέπω.
Ἄγετ᾽, αὖ τε θᾶσσον, ὡς ἄν μοι νέκυν
Καταγάγητε, δεσποτείας ἀλγεινῆς
Ὅπως κατασπάσαιμι, καὶ σύμπαν μέλος,
Κυνοῦσα σάρκας, ἅσπερ ἐξεθρεψάμην.
Ιω. Ἔξιθ᾽, ἄπιθι, μή σε τις μιαιφόνων
Κακῶς δράσειεν, οὐδ᾽ ὁρᾶν ἀνέξεται.
Ἡμεῖς δ᾽ ἀνίμεν, ὡς ὁρᾷς, ἐπὶ τὸν νέκυν
Καταγάγωμεν χερσὶν ἰδίαις τάχει.
Καὶ φίλε Νικόδημε, σὺ πρῶτος τάχει
Ἔμβαινε, πηκτῆς κλίμακος πρὸς ἀμβάσεις.
Ἐκπασσαλεύσων ἀγλύφου δοκοῦ δέμας
Λέοντος, ὃν γέγηθε θηράσας λεώς.
Σὺ δ᾽ ἔξιθ᾽ ὡς τάχιστα, ὦ θρηνοῦσά τι,
Ὡς ταῦτ᾽ ἀραρεν, κοὐκ ἔχεις ἰσχὺν, ὅπως
Ταῦτ᾽ ἀνατρέψῃς, κἂν στένῃς, κἂν δακρύῃς.
Θεοτό. Δειλαία ἐγὼ, δύστηνος, εἰ παῖδ᾽ οὐχ ὁρῶ,
Κἂν τεθνεῶτα, μέχρι γὰρ τύμβος λάβῃ.
Φύγω δὲ δῆμον, ἵνα μή τι καὶ πάθω.
Παιδὸς γὰρ αὖθις τίς ἔρως μοι τοῦ βίου,
Κλαῦσαι νεκρόν μοι παῖδα καὶ θάψαι πάρος,
Ψαῦσαι ποδῶν τε, καὶ κατασπάσαι μέλη.
Ἄγ᾽ ὦ τάλαινα χεὶρ ἐμὴ νεκροῦ λαβοῦ.
Ιω. Μὴ μὴ προσοίσῃς χεῖρα, μὴ δ᾽ ἅψῃ νεκροῦ,
Μὴ δῆτ᾽, ἐπεί μιν νῦν ἐγὼ θάψω χεροῖν,
Τὸν Νικόδημον εἰσφέρειν συνεργάτην,
Μύρων χύσιν φέροντα δαψιλεστάτην.
Ὡς μή τις αὐτὸν δυσμενῶν καθυβρίσῃ,

Πέπλοις τ' ἀναπτύξω, σῶμά τ' ἐκφέρω τάφῳ.
Ὡς γὰρ προσῆκε μοι γένους κοινωνίαν
Ἔχοντι. κἀγὼ τὸν νέκυν τιμῶ φίλον.
Πῶς δ' οὖν κομίζειν, ἢ τί μὴ δεδρακότας
Τὸν νεκρὸν ἡμᾶς τοῦ χαρίζεσθαι φρενί,
Φρόντιζ'. ἐμοῖς δὲ χρώμενος βουλεύμασι
Σιγὴ φίλη. ἔσται γὰρ τὸ σύμπαν εὐπρεπές.
Οὐδ' ἂν μὲν εἰς σὲ πάντα τεθνηκότ' ἴδῃς.
Εἵνεκα γὰρ τοῦδ' αὖθις οὐκ ἀναίνομαι,
Ἀτὰρ τοσοῦτον οὐ δυνήσομαί ποτε
Τὸν σὸν πεπεῖσθαι παῖδ', ὅπως οὐκ ἐσθλὸς ἦν,
Οὐδ' εἰ τὸ σύμπαν τὸ βροτῶν λέγει γένος,
Καὶ τὴν ὁ πεύκην γραμμάτων πλήσειεν ἴδης
Ὕλην, ἐπεί μιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.
Ἔκτειν' ὅμως ἄνασσα χεῖρας σὰς κόρας,
Δέξαι τε νεκρὸν παῖδα σὸν πεφιλημένον.
Καὶ κλαῦσον, ὡς βούλοιο, καὶ ψαῦσαι μελῶν.
Θεοτό. Κάλλιστον ἅπας μῦθον, ἐν δ' εὐεργέταις
Τὸ λοιπὸν ἤδη, καὶ φίλοις ἔσῃ πλέον.
Ὡς καλλίνικος εἰς κλέος ἥκεις μέγα.
Οὐκοῦν γεραιὲ φίλτατ' Ἰωσὴφ λαβεῖν,
Ἐναγκαλίσαι παῖδα, καὶ προσελκύσαι.
Λαβοῦ, λαβοῦ νῦν, καὶ κατόρθωσον δέμας.
Ὀρθοῦ κεφαλήν, πῆχυν φλέβας αὐχένος
Ἐν δεξιᾷ, πλευρὰν δὲ τοῦδ' ἀκέραστε.
Θεολ. Ἔκτειν' ἄνασσα χεῖρας, αἵτ' ἄλλαι κόραι,
Δέξασθε νεκρὸν, ὃς νεκροῖς ζωὴν δίδει,
Κἀγὼ δ', ὅσῃ δύναμις, ὑποδέξομαι.
Θεοτό. Ἄγ' ὦ τάλαινα χεὶρ ἐμή, νεκρὸν λαβέ.
Φεῦ φεῦ, τί λεύσσω; τὸν χεροῖν τί νῦν φέρω;
Τίς οὗτος, ὃν νέκυν χεροῖν ἔχω;
Πῶς καί νιν ἡ δύστηνος εὐλαβουμένη
Πρὸς στέρνα θῶμαι; τίνα θρηνήσω τρόπον;
Αὐτὸς δὲ δεῖος καὶ προσειπεῖν σ' ὡς νέκυν,
Κἂν πᾶν κατασπάσαιμι σὸν μέλος, τέκνον.
Χαῖρ' ὑστάτην σ' ὁρῶσα νῦν προσφθέγγομαι,
Ὃν μήτ' αὐτὴ φύσαι σ' ὤφελον νέκυν
Τὰ νῦν ἰδέσθαι φθίμενον σ' ὑπ' ἀνόμων.
Δὸς ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χείρ, ἣν ἐγὼ πολλ' εἰχόμην,
Προσειχόμην δ', ὡς κισσὸς ὄρπηκι δρυός.
Ὦ φίλον ὄμμα, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνου.
Ὦ γλυκυτάτη προσβολὴ τῶν χειλέων.
Ὦ θέσκελος χρώς, πνεῦμα δ' ἥδιστον τέκνου,
Ὦ θεῖον ὀδμῆς ἄσθμα. καὶ γὰρ ἐν κακοῖς
Οὖσ' ᾐσθόμην σου, κἀπεκουφίσθην κέαρ.
Τί δ' ὧδ' ἀτίμως ἠθέλησας τεθνάναι;
Τί τὴν τεκοῦσαν μητέρ' ὀρφανὴν σέθεν
Τέθνηκας; οἴμοι συνθανοῖμί σοι, τέκνον.
Θανεῖν μοι κρεῖττον, ἢ θανόντα σε βλέπειν.
Πῶς γὰρ ἀναύδη, καὶ μύσαντος ὄμματα
Ἕξω προσηγόρημα; πῶς δ' οἴσω μόνη;
Ὦ χρωτὸς ἡδὺ πνεῦμα. μάτην ἄρα σε
Ἔθρεψα, τέκνον, μαζὸς οὑμός; σπαργάνοις
Μάτην δ' ἐπόνουν καὶ κατεξάνθην πόνοις,
Ἀρχῆς ἀπ' ἄκρας σῶν ξένων γενεθλίων.
Ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς ᾅδην μολὼν
Παγκράτορος παῖ, τῆς ἐμῆς ἔπλου φρενός.
Ἐκ τῶν δὲ πρώτων, πρῶτον ἄρξομαι λέγειν.
Ὕβρεις μὲν οὖν ἔσφηλε πάντων μητέρα,
Καὶ πατέρα πρώτιστον, ὃς βροτῶν γένος
Βασίλευε, κἀξήμησε κάλλιστον θέρος.
Τεκεῖν μ' ἔθηκε παραδόξως σ' ὦ τέκνον
Εὔδοξον, ὡς ἔδοξε σῷ γεννήτορι
Γεὶν ἢ γενέσθαι κἀμέ, καὶ πᾶσαν κτίσιν.
Κἀπεὶ δ' ἐτέχθην πατρός, οἶμαι, σῇ κρίσει,
Τρέφει με πατὴρ οὐ βροτῶν ἐσχάραν,
Μήτηρ τ' ἔδωκεν ἱερὸς ἀμφὶ δόμους.
Ἔνθ' ἐκτραφεῖσαν χερσὶν ἀγγέλου ξένως.
Εἰς καιρὸν ἀνδρὶ σώφρον' ἐξέδωκέ με
Γερουσία σύμπασα, τηρεῖν ἐννόμως,
Οὐκ ἀθεεὶ καὶ τοῦτο, θείᾳ δὲ κρίσει,
Ὡς ἀλόγως ἔλεγχον ἐς καιρὸν φέρῃ,
Καὶ παιδαγωγὸν παιδὸς, οὐ γονῇ ξένος.
Μόνου γὰρ αὖθις ἀπάτορος τεκοῦσά σε.
Αὐτὴ δ' ἔχω τὴν οὐδ', ὅπως ἁγνὴ μένω.
Σύ τ' αὐτὸς οἶδας, ὡς τὰ πάντ' ἀδελῶς σαφῶς.
Σοῦ δ' οὖν ἐμοῦ τεχθέντος, ἐκ πατρὸς θεοῦ,
Οὐκ εὐπρεπεῖς ἔθεντο πολλοί μοι λόγους
Ψευδεῖς, τεκεῖν βάζοντες ἔκ τινος βροτῶν γε
Κοὐκ ἤρκεσέν μοι τοῦθ' ὑβρισθῆναι μόνον,
Ἀλλ' ἔδραμον φεύγουσα κἀς τὴν Αἴγυπτον.
Ἔτλην τε πολλά, καὶ κατεξάνθην πόνοις.
Ἀλλ' οὐδὲν ἐξαίσια σοι πεπραγμένα,
Καὶ πάντα συμβάλλουσα, ἦν θαμβουμένη
Οὐ θνητὸν ᾤμην σ', οὐδ' ἐδάμαινον θανεῖν.
Ἀλλά σε παιδὸς ἀβραὰμ συνθημά τι,
Πρέσβευμά θ', αἵ τε μυρίαι γερουσίαι,
Ὅρκος θ' ὃν πρὶν ὤμοσας, εἰς σωτηρίαν
Θανεῖν ἔπεισαν, κἀπικουρῆσαι γένει.
Ἐντεῦθεν ἔτλης καὶ πόνον τε καὶ πότμον.
Κἀγὼ δὲ μισθὸν τῶν ἀφερτάτων πόνων
Ἐν ἀγκάλαις κρατῶ σε νεκρόν σ', ὦ τέκνον;
Θρηνῶ σε πικρῶς, καὶ στένω, καὶ δακρύω.
Θρηνῶ, σοφιστὴν δ' ἄλλον οὐκ ἐπάξομαι.
Πέπλοις δ' Ἰωσὴφ εὐπρεπῶς ἀμφιάσαι
Ἕτοιμός ἐστι. πρὸς δὲ καὶ τεῦξαι τάφον,
Καὶ ξυγκομίσαι μυρίων χλιδὴν μύρων,
Ἣν Νικόδημος ἦλθεν εὐτυχῶς φέρων,
Βαιὸν φιλοφρόνημα νεκροῖσι φίλοις.
Τί γὰρ τὸ κέρδος ἐκ μύρων τεθνηκόσιν;
Τὰ δ' ἐν νεκροῖσι, φροντιεῖ πατὴρ σέθεν,
Οὓς πάντας αὐτὸς, ὡς σκυλεύματ' ἐξάγοι
Ἅιδης, ὃς καθεῖρξεν, ὃς συνήρπασε,
Κἂν δ' ἄλσος γ' ἐν δόμοισι πανζόφοις εἴργει.
Μυστήριον δὲ τῶν ἀρρήτων φανᾷ
Ἔδειξε πατήρ, παῖδ' ἐκσφάξας μόνον.
Ἔφησε μύστης αὐτανέψιος σέθεν,
Μείζων ἁπάντων, ὡς ἔφυς, θεηγόρων,

Ὃν δῆμος ἐκδίδωκεν Ἑβραίων σφαγῇ,
Σεμνὸν πολίτην, κἀπὶ πλείστων αὐτὸν ὄντα
Φυγόντα φοῖβον, γυμνὸν, ἄτιμον, μόνον.
Τροφῇ δ' ἐμμεμφῆ πᾶσιν ἦν κεχρημένος,
Ἐσθῆτα προσρόπαιον ἐγχλαινούμενος.
Μόνοις δ' ἐκπρέπεσκ' εἰς πέλας χλιδαῖ,
Αὐχμῶν, πινώδης, λυπρὸν ἐμπνέων βίον,
Ἠχῇ ξυνοικῶν δαψιλὴς βριμάς,
Ῥάθροισιν ὠκὺς ἐνθ' Ἰορδάνης ῥέει.
Ὡς δὴ ταφῆς ἔδειξε φανὰς αἰτίας,
Τεσσαρημερόδυτας ἐν βυθῷ θεοπρόπος.
Καὶ ταῦτα μανθάνουσα, τέρψιν ἐμφέρω
Καρδίᾳ σκοποῦσα καὶ ταφῆς ἰδεῖν τέλος.
Οὕτως ἄρ' ἔτλης τέκνον ἤδη τὸν μόρον,
Κἀκεῖνα τῶν νῦν δραμάτων αἴτια σοι,
Σπουδάζοντι θανεῖν, κἀπικουρῆσαι βροτοῖς.
Ἀλλ' οὐκ ἐάσας, ἀλλ' ὁ τάλας πολίτης
Αἰτηλὼ δίκην φύγωσιν, ἀλλὰ σφᾶς τίσει
Ἔκδικον ὄμμα πατρὸς ἀμειστάειον,
Πόλιν τε πέρσει, καὶ στρατὸν μιαιφόνον.
Ἔδρασ', ἔδρασε; μὰ δίκην λεληθυῖαν
Πόνῳ δίκης ὄμμα πανδερκέστατον,
Κἂν χεῖρας ἀπονίψας ὡς ἔξω φόνου,
Οὐχ ὁ προδοὺς ἔρριψε μισθὸν τοῦ φόνου;
Ὦ τὸν δόλον μὲν ἐν δέρῃ θεῖναι ξίφος,
Δίον δὲ λυγρὸν αὐχένι ἐνθεῖναι βρόχον,
Ἢ κύμασι γλαυκοῖς ἀφανίσαι δέμας,
Ῥίψαντα πρὸς θάλασσαν ἰχθύσι βοράν.
Εἰ μὲν δ' ἁπλοῦς αὐτὸν ἀπώλεσας τάλα,
Στρέφει γὰρ ἐς σὲ τὸ πρόσωπον τοῦ λόγου,
Εἰ μέν τιν' ἐξέλυσας ἄλλον ἐς φόνον,
Νόμοι πολιτῶν συμφορὰν ὑπέσχον ἄν.
Νῦν δ' ὅς σε πολλῶν ἄξιος χαρίτων,
Ῥύστης τε παντὸς ἦν πατρῴου γένους,
Πέπρακας, ἐξέδωκας ἐς φόνον, φθόνῳ,
Καὶ τί ποτ' οἷαν σ' οὐχ ὑποσῶσαι θέμις;
Ἰω. Ἤδη λέκειται πανταδίκως ἐνδίκως,
Μύστης ὁ παγκάκιστος ἐκδοὺς δεσπότην,
Ὤφθη κρεμαστοῖς ἐν βρόχοις ἠρτημένος.
Βρόχου δὲ θᾶσσον ὑφέλκων χαμαὶ ῥιφεὶς
Πέπτωκε πρηνὴς ὅλος, μυελοῖς οἰμώγμασι.
Κακοῦ γὰρ ἐγγὺς ὢν ὁ τάλας οὐκ ἔγνω.
Ἐν γῇ δὲ κεῖται, καὶ κατώρθωται δίκη.
Θεοτό. Ὦ τέκνον, ὡς ἄρ' ἐστὶ σοὶ πατὴρ μέγας,
Ὀρθῶς ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
Ἐπαγαγὼν αὐτὸν ῥέπτζον ὡς προδόντα σε.
Ἄπιστον, ἄθεον, ἄκοσμον, ἄδικον.
Κλέπτην γὰρ ὄντα καὶ θεοῦ ῥάπτην φόνου,
Καὶ μὴ θέλοντ' ἀποστρέφειν πονηρίας,
Οὕτως ἔδει νιν τῶν δὲ κατθανεῖν μόρῳ.
Ὄλοιτ', ὄλοιτο πανδίκως κακεργάτης,
Κέρδος μέγιστον δὴ ἀποστροφῆς φυγών.
Ἔστι θεός τις· ἐστὶν ἄλκιμος, μέγας.
Ἔστι δὲ καὶ πρόνοια καὶ κρίσις θεοῦ.
Ἀπέπλευσ' ἐς ᾅδας ἀσεβὴς θεῷ φίλος.

Λάζεσθ', ἄγοντες ὡς κενὸν λοιπὸν τάφον,
Χαρέντε, θάπτετ' ὀλβίᾳ τύμβῳ νεκρόν.
Ἔχει γάρ, οἶμαι, δεῖ, γε τέρψιν πέπλα,
Βαιὸν τόδε γέρασμα τοῖς τεθνηκόσι.
Δοκῶ διαφέρειν τοῖς θανοῦσι βραχύ,
Ἐκτοσίως τίς τεύξεται κτερισμάτων;
Κενὸς δὲ κόμπος ἐστὶ τῶν ζώντων τόδε.
Κρύψατε γοῦν πρόσωπον ὡς τάχος πέπλοις,
Ψαύσατε χερσί, θάψατ' ἐνταῦθα νέκυν,
Τὸν κατθανόντ' ἄνακτ' ἐκδίκων ὕπο.
Αἴρειν φοράδην τὴν νεόδμητον χρόαν.
Ὦ παῖ, παναιτίου θεοῦ παντοφεγγάτε,
Τί γὰρ τελεῖται τοῖς βροτοῖς ἄνευ σέθεν;
Τί δ' οὐ θεόκρατόν γε τῶν δ' ἐστίν;
Ἰώ, ἰώ, ἰώ.
Ὦ βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
Ὦ θεέ μου, θεέ μου, πῶς σε καλέσω;
Φρενὸς ἐκ φιλίας τί σοι ποτ' ἂρ ἄσω;
Κεῖσαι γὰρ ὑφάσμασι τοῖσδ' εἰλιγμένος.
Ἐν σπαργανίοις πρὶν ἐνεσπαργανωμένος.
Νικο. Φέρ' ὦ γεραιέ, κεράσαντο τρισολβίου
Ὀρθῶς προσκεμμόσωμεν, δύστηνον δὲ πᾶν
Σῶμ' ἐξακριβώσωμεν ὡς σοφὸν πάρα.
Ἰω. Ὦ φίλτατον πρόσωπον, ὦ νέα γένυς.
Ἰδοὺ καλύπτρα τήνδε σὴν κρύπτω κάραν.
Τάδ' αἱμόφυρτα καὶ κατηυλακισμένα
Μέρη σὰ καὶ μέλη πέπλοις καινοῖς σκέπω,
Καὶ πλευρὰν νυγεῖσαν πᾶσαν ὁμοῦ τὰ μέλη.
Θεοτό. Ναὶ πρὸς θεοῦ συνέρξατ', ἐνδέοντι γάρ,
Ὡς ἐγγὺς ἐστὶ νυκτὸς ἤδη καὶ κνέφας.
Ὀρθῶσατ' ἐκτάναντες ὀλβίαν δέρην.
Μικρὸν τόδ' εἰφούρημα φίλῳ δεσπότῃ.
Κομίζετ' αὐτόν, ὡς ἴδωσ' ἐν ὄμμασιν
Γοῦν ἑκάστου παῖς, κᾶσι θρηνοῦσα μενῶ,
Ἕως τρίτον λάμψειεν ἦμαρ γλυκύ μοι.
Ὦ πένθος, οἷον, οἷον ἐκράνθη τέκνον.
Κοινὸν τόδ' ἄχος πᾶσιν ἄγχημα βροτοῖς.
Κοινὸν τόδ' ἄχος πάντας ἀέλπτως φθαίνει
Φθάσει δὲ καὶ πάγκοινον, αἶ, χάρμα μοι.
Ἰω. Ἐπειδὴ μοι, φέρωμεν ὄλβιον βάρος,
Ὦ πολλ' ἀνατλὰς μυρίοις αἰκίσμασιν,
Ἔχων τόδ' εὐρὼν κοιραίνει δεύρημασι,
Γυμνὸν τρισάλῳ κείμενον ξύλῳ λαβών.
Φεῦ φεῦ, πρὸς αὐτοῦ τοῦδε φωτὸς ἀτρέμας
Χραινέτως χερσίν ἅπτεσθαι τοῦ θεοβρότου.
Καὶ πρόσφορ' ἆρ' ἐθ' ἕλκετ' εὖ γε ξυνώσιν.
Ἰδοὺ γάρ, ὡς ἔοικεν, ἐγγὺς καὶ τάφος.
Ὤμοι γυναῖκες, γῆς γαλιλαίας τέκνα,
Ἤδη τέθειται, καὶ καλύπτεται λίθῳ.
Δεῦτ', ἴτε κλαῦσαι, καὶ καταλοῦσαι νέκυν,
Προσείπατ' αὐτόν, καὶ προπέμψατε χθονός,
Ὡς οὔποτ' ἄλλον τοῦ γένους ῥύστην. ἰὼ
Ὄψεσθε κείμενον, τοῦτ' Ἰουδαίοις δοκεῖ.
Χαρεῖτε, χαρεῖτ', οὐκέτι βλέπειν φέρω
Τάφῳ τεθέντα, καὶ καλυφθέντ' ἐν πέτρᾳ,

Οἷς ἐκ πέτρας ἔβλυσας ὕδωρ πατράσι,
Καὶ νῦν πέτρας ἔῤῥηξαν ἠσχημένος,
Νεκρῶν τε τάφους ἀνέῳξε δαίμοσι.
Θεοτό. Σπῶμεν δὲ μικρόν, ὡς προσέστω τὸν νέκυν.
Οὐχ ἢ προθανὸν τέκνον εἰς ἅδου δόμους,
Κρύπτει δὲ κρύψειν, ὃν σὺ κρυβῆναι θέλεις,
Ἥκων ἐν ἀΐδαο πανζόφου στέγην.
Ἅδῃ δὲ πικρότατον κέντρον ἐμβάλῃς,
Οὐχὶ νεκρῶν κευθμῶνα καὶ σκότου πύλας,
Θέλων φαᾶναι καὶ καταυγάσαι γένος,
Ἀδὰμ ἀναστῆσαί τε πατέρα βροτῶν.
Ὧν οὕνεκ' ἄλλος προσλαβὼν θνητὸν φέρεις.
Ἥκεις τ' ἐν ἅδου τὸν βαθύγνοφον σκότον,
Θανὼν πρὸς ἐχθρῶν, μητέρ' ἀθλίαν λιπών.
Ἡ δ' ἐνμένουσα τοῦ πατρός σ' ἐκκτείνει,
Ἡ τίς ἂν ἄλλοις γίνεται σωτηρία;
Τότ' ἐθελόν, ὡς εἰς πότμον ἦλθε σοι πατρός.
Ὦ λύγρημα πικρόν, γῆ σε τέκνον λαμβάνει,
Ἥκοντ' ἐν ἀΐδαο πανζόφου πύλας.
Ἅδῃ τὸ δριμύτατον ἐμβαλεῖς βέλος,
Καὶ γὰρ ἐπ' αὐτῷ τῷδε κατῆρχε μόνος.
Λήψει δὲ νεκρούς, οὓς συλληφθήσῃ νεκροῖς,
Ῥύσῃ τε παντάγρων ἐλεύθερος μόνος.
Μόνος γὰρ ἀνὴρ ταῦτα θάῤῥων ἱκανῶς
Ἔχον δ' ἀγῶνας, οἷ' ἐμμενόν σε τέλος,
Νίκην τε λοιπὸν κατ' ἐναντίων ἔχεις,
Ἅδην, ὄφιν, θάνατον ἰσχυρῶς πατῶν.
Σοφός, σοφὸς σύ, καὶ σοφῶς ἔτλης πότμον.
Ὡς κοινὸν αἴτιον σῷ καταβαλεῖς μόρῳ.
Κἂν τῇ χθονὶ στηρίζων ἐνδύσεις κλέος,
Γῆς ἐξανέσχαν καὶ φέρων σωτηρίαν,
Εἰς συγγενεῖαν πατρὸς ἀμείψας δόμους.
Αὖθις γὰρ ἦλθες, κλεινὸς ἁρπάσας γένος,
Ὦ νεκρέ, ἄναξ ἄφθιτε, σὺ θεὸς μόνον,
Μορφῇ τε σῇ συνάψας ἀνέρος φύσιν.
Καὶ νῦν ἐν ἀΐδαο κατῆρχε δόμους,
Σπεύδων φαᾶναι καὶ καταυγάσαι ζόφον.
Εὖ δ', εὖτε λίποις τήνδε δυσμενῶν χθόνα,
Εἰς ἣν γε πρῶτον ἦλθεν, ἰσραὴλ δόμους,
Ὀλωλότα πρόβατα ποιμαίνειν θέλων,
Καὶ συνθεσίας ἐκτηρεῖναι πατράσι,
Μορφῇ συνάψας τοῦ θεοῦ βροτῶν φύσιν.
Σὲ γὰρ πατὴρ γεννᾷ μὲν ἀῤῥεύστως ἀεί,
Ἐγὼ δ' ἔτικτον σ' αὖθις ἀγονεύσασ' ἀεί,
Μορφὴν λαβόντα πρὸς θεοῦ βροτησίαν.
Ἀλλ' ἐγγενὲς σῆς μητρός, ὡς ἄνις ἐγγενῶν
Θαυμαστὰ πολλὰ σφίσιν ἐξειργασμένον
Ἄῤῥητ' ἀμυήτοισιν ἐνδεῖξαι βροτοῖς,
Σωτῆρα σ' ἐκ ἔφασκον ἐκφῦναι θεοῦ,
Ἀλλά με νυμφευθεῖσαν ἐκ θνητοῦ τινος
Τεκεῖν σ' ἐλήρουν, καὶ γάμους ψευδομένην
Λέχους ἁμαρτίαν ἐς θεὸν καταφέρειν.
Οἱ δὲ κτανεῖν σ' ἔσπευσαν ἀνόμως φθόνῳ
Ἐχθροῦ σοφίσμαθ', ὧν νῦν οὕνεκα κτανών,
Ἄλλων τε πάντων παγκάκων σοφισμάτων,
Γαίας στροβοῦντα κόσμον ἐν σοφίσμασι.
Καί μιν σιδηραῖς ἁρμόζας ἐν ἅρκυσι
Στήσεις κακοῦργον τῆς κακουργίας τέκνον.
Σφᾶς δ' αὖθις αὐτοὺς ἐκ χθονὸς τῆσδ' ἐκβαλεῖς;
Ἄλλοις δὲ δώσεις καὶ πόλιν τε καὶ κράτος,
Ὡς συμβόλοις ἤρηκας ἤδη τοῖς φίλοις.
Ἐν οἷς χορεύσεις, καὶ κατασκήσεις τὰ σὰ
Μυστήρι', ἵν' ᾖς ἐμφανὴς θεὸς βροτοῖς,
Ὡς ἐν πόλει ξύμπασιν. ἐν δ' ἄλλην χθόνα,
Εὐ δαθεὶς, ταῦθ' ἐνδ' ἀναστήσεις κράτος.
Δεῖ γὰρ πόλιν τήνδ' ἐκμαθεῖν, κἂν μὴ θέλῃ,
Νῦν δ' ἔσσαν ἀμαθῆ τῶν γε σῶν μυστηρίων,
Ἄλλην τε πᾶσαν γηγενῶν προθυμίαν,
Ἡ θεομαχεῖ τὰ περὶ σέ, ἀσυνδέων τ' ἄπο
Ἀφεῖσ', ἐν εὐχαῖς δ' ὁ λαμὸς μετεῖν ἔχει;
Οὔπω γὰρ οἱ τάλανες ἔγνωσαν γόνον
Ἥκοντα πατρὸς ἐκ πόλου πρὸς γῆν κάτω...
Ὧν οὕνεκ' αὐτοῖς δεῖξον ὡς εἶ σὺ θεός.
Δείξας δὲ πάντας, ὧν δ' ἰουδαίων γένος
Ὀργῇ σὺν ὅπλοις ἐξάγειν χθονὸς θέλεις
Ἄρδην, ἐλάσεις αὐτόνομον στρατηλάτας,
Οὓς σφῶν ἀνέκαθεν ἠρέθισαν τ' ἀφρόνως,
Σὴν διαποτεῖν ὡς ἀπηγορευκότες.
Ποινὴν γὰρ ἀθρῶ σὺν πότμῳ ζωηφόρῳ,
Πῦρ ἐγγὺς οἴκων, καὶ δόμων βρέτη
Τεφρούμεν' ἤδη, πυρὸς ἄσβεστον φλόγα,
Ἀθάνατον θεοῦ πόλιν πρὸς τὴν δ' ὕβριν.
Αἰνῶ δὲ κρίσιν ἄβατον, ἣ πέδον τόδε
Τίθησι πᾶσι τοῖς φονεῦσί σου, τέκνον.
Ὅς τὰς λυδῶν πανδυκλεεῖς λιπὼν πόλεις,
Φρυγῶν τε, περσῶν ἡλιοβλήτους πλάκας,
Βάρβαρα τάχη, τήνδε δύσχειμον χθόνα
Μήδων περιελθὼν ἀῤῥάβων τ' εὐδαίμονα,
Ἔθνη τε μακρὰν καὶ σκότῳ βεβυσμένα,
Πᾶσάν τ' ἀσίαν, ἣν παρ' ἁλμυρὰν θ' ἅλα
Ἕλλησι κεῖσθαί φασι, βαρβάροις θ' ὁμοῦ,
Πλήρεις ἔχουσαν καλλιπυργώτους πόλεις,
Ἐς τήνδε πρῶτος ἦλθεν ἑβραίων χθόνα,
Ἣ σ' ἐν τάφῳ τίθησιν ἐκ σφαγῆς νέκυν.
Ἰώ, θεοῦ μέλαθρα, καὶ πόλις φίλη.
Ὦ καλλίπυργον ἄστυ δαυὶδ χθονός,
Ὦ θελέμευμα τὸ πάλαι θεοπρόπον,
Θεοκτόνον σπήλαιον ὡς νῦν ἀνέφυς.
Πῶς σε στενάξω; πῶς σε θρηνήσω φόνοις;
Ἀλλ' ὦ λιποῦσαι γαλιλαίας χωρίον,
Ἐμὸς θίασος, αἳ συνεμπόρους ἐμοί
Ἐκεῖθεν ἦλθε, μυστίδας μυστηρίων
Ὁ νῦν νέκυς, φεῦ τῷδε λάκκῳ τεθαμμένος,
Ἐᾶτε τὰ πηχθέντ' ἐν νεκροῖς μέλη,
Λεπτοῖς δὲ θρήνοις νῦν μιν ἀνυμνήσατε,
Ἔπειτ' ἄνακτα ζῶντ' ἀνευφημήσατε,
Ὡς ἐστιν ἐλπὶς ἀσφαλεστάτη γ' ἐμοί.
Χωρεῖτε, χωρεῖτ', οὐκέτ' εἰμὶ προσβλέπειν
Οἷα πρὸς αὐτοῦ καὶ τάφον καὶ τὸν λίθον.
Εἴκωμεν οὖν ἄπαιμεν ὦ φίλαι κόραι.

Ἴτ' ἴτε, κἀπίωμεν ἥσυχῳ βάσει
Εἰς δῶμ', ἐν ᾧ θηλυγενὴς μένει γένος,
Μήτηρ ὅπη μάλιστα μάρτυς μνεία,
Μύστην ὅπου θίασον οἶμαι συντρέχειν.
Κἀκεῖ μένοντες γλυκεροῦ φάους δρόμον.
Ἢ μᾶλλον ἀπίωμεν οὗ παιδὸς νέου,
Ὅ μοι τέθνηκεν υἱὸς υἱὸς μου μόνος.
Χορ. Ναὶ καὶ δίκαιον τοῦτο, κοὐκ ἄλλως λέγω.
Ἐκεῖσε δεῖ δέσποινα νῦν ἀπιέναι,
Ὥστ' ἄσσον ἐλθεῖν τοῦ τάφου πάντα σκοπεῖν,
Πᾶσαν δὲ τὴν αὔριον ἥσυχως ἔχειν
Τῆς ἐν πόλει ἑκτῆς. καὶ μένειν κνέφας,
Κνέφας φανὸν τῆς τριτάτης ἡμέρας,
Ὡς ἂν ἴδοισαι λάθρα πληρῶσιν τ' ἔθος.
Ἴωμεν οὖν, ἴωμεν, εἴκωμεν τάφου,
Πρὶν δυσμενῶν τις ἡμῶν καταλάβῃ.
Δάξωμεν χῶρον, ἔνθα νυχθῦσαι δέον.
Θεοτό. Ἰδού, σε τέκνον καταλείπουσαι μόνον
Ἄπιμεν, ἦχι σταθμὰ θηλειῶν γένους,
Πρὸς οἶκον υἱοῦ, τοῦ με πρὶν θέντος τέκνον.
Δέον μένειν πρὸς νάπος ἐγγὺς τοῦ τάφου.
Ἰω. Ὦ φίλτατ' ἀνδρῶν καὶ θανών, ἐμοὶ δ' ὅμως
Τῶν φιλτάτων ἀεί γ' ἀριθμήσει πολύ,
Χαῖρ', ὕστατόν σε νῦν ἐγὼ προσφθέγγομαι.
Θεολ. Γενέθλιον ἐσθλὸν οὐκ ἐν αἰνιγμοῖς φράσω,
Ἀνὴρ ὁ δ' ὅδε καὶ θεὸς θεοῦ γένος.
Σαφῶς γὰρ αὐτὸν τοῖσιν ἐξειργασμένοις
Θεὸν νομίζω, τοῦδε θανάτου πέρι
Σοφὴν πρόνοιαν αἰτιῶμαι, καὶ κρείσσω,
Δι' ἧς ὁ πότμος τοῦ γένους λυθήσεται.
Αὐτὸς δ' ὁ χαμαίσυρτος ἐχθρὸς τοῦ γένους
Συντρίβεται νῦν, θανατοῦται, κτείνεται.
Κτανεῖ γὰρ αὐτόν, κἂν ὑπερθνήσκει γένος,
Ὁ τῶν πόλων πάγκλυτος Ἰησοῦς ἄναξ.
Ποινάς τ' ἀδελφῶν καὶ πατρὸς πρώτου λάβῃ,
Παλαιφάτου γέροντος, ὃς βροτῶν γένος
Ἔσπειρεν ἐν γῇ, κλίμακος ῥιφεὶς ἄπο
Ἐξ ἀπάτης δράκοντος αἰολοσκόπου,
Πόλει δὲ θήσει τῇ μακαριωτάτῃ.
Καὶ ταῦθ' ὁ τοῦδε πότμος ἐξεργάζεται.
Καὶ τοῦ δ' ἕκητι καὶ βροτὸς πέφυκέ πως.
Φρικτῶν δ' ὅδ' ἀνὴρ θαυμάτων ὕπο πλέως
Ἐς τόνδε κόσμον, ὧν σὺ πόλλ' οὐκ ἀγνοεῖς.
Φανεὶς δ' ἀνὴρ ἄριστος οἴχεται θανών,
Αὖθις δ' ἀναστὰς καὶ θεὸς φανήσεται.
Εἰ δ' ἐν πόλοις ἦν, ἐσθλὸς ὢν ἐλάνθανε,
Ταῖς στρατιαῖς ὑμνούμενος μόναις ἄνω,
Σιγῇ, θρόον τε κῦδος εἶχεν ἐν πόλῳ.
Αἴτια ταῦτα τοῦ τόκου καὶ τοῦ πότμου.
Τὸ πᾶν δ' ὁρῶ σοι τῶν βροτῶν σωτηρίαν.
Τοὶ γὰρ τέθνηκεν, ὧν ἐχθρῶν χειρῶν ὕπο,
Εἰς δῶμά τ' ἦλθε καὶ λόγους ἐμπαιγμάτων.
Τοιαῦτα λαὸς ὁ πρὶν ἠγαπημένος,
Εὐεργέτην ἔδρασε πικρανθεὶς φθόνῳ.
Καὶ ταῦτα μὲν πέπονθεν οὗτος οὐκ ἄκων.

Ἃ δ' αὖ παθεῖν δεῖ λαόν, οὐ κρύψω κακά.
Λίποι πόλισμα βαρβάροις εἴκων ἄκων,
Δοῦλος, μέτοικος. ἔστι γὰρ τὸ θέσφατον,
Εἰς πᾶσαν αἶαν βαρβάρων ἐκτρέχειν,
Αἰχμαῖς ἁλόντας, πόλλ' ἀνατλάντας κακά.
Ἀνακρίτους γὰρ πᾶσιν αὐτὰ παγγενεῖ
Λιπεῖν πόλιν τὴν δ' ἀνοσίου μιάσματος
Δίκας τίνοντας τοῦδ', ὃν ἔκτειναν φθόνῳ,
Καὶ μηκέτ' ἰδεῖν πατρίδ'. οὐ γὰρ εὐσεβές,
Μένειν φονευτὰς ἐν τάφοις νεκρουμένου.
Πόλεις δὲ πολλὰς ἀποικοῦνται ζυγὸν
Δούλειον ἀντλοῦντες οἱ δυσδαίμονες,
Αἰχμαῖς ἁλωτοί, χρησμὸς ὡς λέγει θεοῦ,
Πάντοθεν διασπαρέντες. οὐ νόσον δ' ἔτι
Οἱ τάλανες φεύξουσιν, οὐδ' ἐπικόσδον,
Ἀφ' οὗ τάδ' ἐκπέρσει γ' Αὐσονίων στρατοῦ,
Ἡγέμενος λόγχαισιν Αὐσόνων δραμών.
Ταῦτ' οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς ἔφυ
Εἰπών τις, ἐκ θεοῦ δέ, καθὼς ἔξοιδε,
Ὁ νῦν νέκυς ἄρηκε πάντ' ἐν δυνάμει,
Οὐδ' ἐν λε μαθὼν τῶν θεοπρόπων ἄπο.
Αὐτὸς δὲ μᾶλλον πάντα διδάξας πάρος.
Οὗτος δ' ἃ μέλλει πήματ' ἐκπλήσειν, φράσω,
Ἀπεμπολητὴς αἰσχρὸς ἐξ ὀπαόνων,
Αὐτὸς μὲν ἔστι, ὡς μανεὶς ἄλγους ὕπο
Βρόχοις κρεμαστοῖς ὑπερβαλεῖ τὴν δέρην·
Πεσὼν δ' ἔπειτα δίχα λακήσει τάλας,
Ἴδοιτε δεινὸν ἦμαρ, οὐδὲ παύσεται.
Λακὼν ὁ τλήμων. οὐδὲ τὸν καταβάτην
Ἅδην διαβάς, ἥσυχος γενήσεται,
Στένων ἄληκτα, καὶ βοῶν σφοδροῖς πόνοις,
Καὶ νᾶμα πυρὸς τόνδε ὑποδέξεται.
Ἰω. Ὦ φίλος, ὡς εἰς δεινὰ φὰς ἦλθεν κακά,
Πάντας, κἀμ' αὐτόν, συγγόνους τ' ἀφεὶς ἐμούς;
Κἀγὼ δ' ὁ τλήμων βαρβάρους ἀφίξομαι;
Ἢ ποῖ τράπωμαι, πατρίδος πορθουμένης;
Ὦ πάμμεγ' ἐμπνέουσα βαρβάροις ποτὲ
Πόλις, τὸ κλεινὸν ὄνομ' ἀφαιρῇ τάχα.
Χαῖρ' ὦ μέλαθρον, χαῖρ' ὦ πατρῴα πόλις,
Λίπω, λίπω σε, δυστυχῶς δοῦλος γεγώς,
Αἰχμαῖς ἁλωτός, βαρβάρων δ' ἰδὼν πέδον,
Εἰ μὴ γέροντ' ὄντα με προφθήσει πότμος.
Ὃν αὖθ' ἴδοιμι πατρίδος μένων πέδῳ.
Συνῆκα γάρ, θέσφατον ὡς οὕτως ἔχει.
Θεολ. Τὸ μὲν σὸν εὔδικον εὐσεβὲς γέρον,
Ὁ δ' ἐγγενὴς σοι λαὸς ἐκτίσει δίκην,
Ὡς ἀξίαν μὲν λίαν, ἀλγεινὴν δ' ὅμως.
Αὐτὸς δ' ἑαυτὸν αἰτιάσθω τῆς δίκης.
Οὐ γὰρ ἂν λέξει πρὸς πρόφασιν, ὡς τάχα
Οὐκ ἦλθον, οὐκ ἤμυνον, ἀλλ' ἐπιστρέφω
Εὐεργετῶν πάλαι τε, καὶ νῦν εὐτρόπως.
Τίνας γὰρ οὐκ ἔστειλε κήρυκας πάλαι;
Οἵων δὲ δώρων οὐκ ἔπλησέ νιν ξένων,
Ὃν ἐξαγαγὼν τῆς πικρᾶς τυραννίδος,
Ἐθνῶν ἄνακτ' ἔθηκε πανδήμως μέγαν,

Ὃν

Ὅτ' ἀμφὶ Βασσάν, τήν τ' ἀμορραίων χθόνα.
Ἐθνῶν ἀρίστους ἐμπεσὼν ἔθλι στόμα,
Ἐξέκτεινε πολλήν, τῶν δ' ἀνάλωσας στρατόν,
Παρέσχεν, ὥσπερ λακτίσας πολλὴν χάριν,
Προὔδωκεν αὐτὸν εἰς φόνον μιαιφόνοις.
Ὃς ὕστερον μὲν ἦλθεν εἰς καιρὸν δ' ὅμως.
Θεοπρόπαι γάρ, καὶ νόμος πολλοῖς χρόνοις
Ἱδρουμένων, αἰχμάζοντες οὐχ εὗρον πέρας.
Χριστοῦ δὲ φῶς ἐν ἡλίου καταρκέσει
Ἄλις δύμης πέρσαντι, θ' ἡμέρα πάλιν
Πρὸς γαῖαν ἐλθεῖν, σωστικόν τ' ἄλγην βροτῶν.
Τῶν γὰρ ἐκ τῆς πτωχικὴν λαβὼν στολὴν
Εἴσεισιν ἄθλων, πολλὰ δ' ἐκεῖθεν σκύλα
Ἄρας, φανεῖται νερτέρων ἐπίσκοπος.
Κτανών τε φρουρὰς καὶ προαστείας πυλῶν
Ἐπειδὰν ἔλθοι, πᾶσί τε γνωσθήσεται
Ἀρωγός, αὐτὸς ῥίζος ὢν εὐεργέτης.
Ὃν ἐγγενὴς ἔκτεινε λαὸς ἐκ φθόνου,
Οἱ δ' αὖθ' ἐν αὐτῷ συγγενεῖς πεφυκότες,
Κατθανόντων αὐτῶν, τοὶ μὲν ἐν χωστοῖς τάφοις
Οἱ δ' ἐν τ' ὄρεσι, οἱ ἄντρα καὶ γῆς βάθη
Ψυχρὸν ἄκμα, δίψιόν τε πῦρ θεοῦ
Μηνῦσι, καρτεροῦντες οὐκ ἐν δεμνίοις,
Οὐδ' ἐν χιτῶσι τρυφεροῖς ἐγκείμενοι,
Οὐδ' ἐν ζαχρύσοις δώμασι κοιμώμενοι.
Τοὶ δ' ἐν μαχαίραις, σπάθῃ τε καὶ ξίφει
Πίπτοντες ἐμφανοῦσι πίστιν ἀσφαλῆ,
Οὐχ ἧν ὁ πρέσβυς, καὶ σφαγεὺς εὐεργέτου,
Οὓς ἐκτίσαι δίκαιον ἦν τὴν δίκην.
Σὲ δ' ἐξαιρεσεὶς εὐχερῶς ἐκρύσεται,
Ὃν εὐπρεπῶς τέθεικας ἐν καινῷ τάφῳ,
Καὶ μακάρων εἰς αἶαν ἐγκαθιδρύσει,
Σάλπιγγος ἠχῇ νεκρεγέρτορ δακρύων.
Δεῖ γάρ σε τὴν φονῶσαν ἐκλιπεῖν πόλιν,
Καὶ πρεχίων οἰκεῖν σε δάπεδον μάκαρ,
Θεὸν φανέντα, θνητὸν ἀμείψαντά σε
Πάχος, βροτεῖόν τ' ἐκβαλόντα φθορᾶς.
Ἣν δ' ἐξαπέστης ἔχθος, ὡς θνητὸς γεγώς.
Τῶν δ' οὐδὲν οὐδ' ἐκ λόγων θεοπρόπων
Διδάσκαλος, δ' ἔγνων αὐτοῖς στέρνοις κλιθείς,
Οὕτως ἔσεσθαι σὺν θεῷ φιλουμένος,
Ἐγὼ συνῆκα δεσπότου στέρνοις πεσών,
Ὥστ' ἐξ ἀβύσσου πόλλ' ἀπαντλήσας σοφά.
Ιω. Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Πέποιθας; αὐτὸν δ' αὖθις ἰδεῖν ἐν χθονί;
Θεολ. Πέποιθα, δεῖξαι τὸ πρὶν σέλας θεοῦ,
Μίαν μόνην μεῖναί με δεῖ τὴν αὔριον.
Ιω. Ἡμῖν μὲν ὡς μέγας τις ἥκων ἐκ θεοῦ,
Ἁπλῶς τε θανών, ὡς βροτοῖς τυμβεύεται,
Ἐν σινδόνι, μύροις τε, μητρὸς ἐκ θνητῆς
Φανείς, τὸν ἐκ κείνης γὰρ ἦν θανεῖν χρέως.
Ὁ δ' ὡς θεὸς νῦν κυριεύσει καὶ μέγα,
Ἔσται τὸ λοιπόν, ὡς θεοῦ παῖς καὶ μόνος,
Ἅπασι σαφὴς πίστιν αὐδῶσι θεός.
Γνωσθὸς δὲ βαιὸν ὄντα μητρὸς ἐκ θνητῆς
Κεῖσθαι, τὸν ἐκ κείνης γὰρ ἦν θανεῖν χρέος.
Ἡμῖν μὲν οὕτω νῦν τετίμηται φίλος.
Ὃς δ' εἴ τι πράσσειν, ὡς θεός, θέλων θέλει,
Καιρὸς πάρεστι. φῶς γὰρ ἡμέρας τρίτης
Οὐ μακρὰν ἤδη, καὶ τὸ πᾶν φανήσεται.
Θεολ. Πέποιθα, πᾶσαν ἡμέραν ἐλευθέραν
Ἀκτῖνα τὴν τριταίαν ἡλίου φέρειν.
Ιω. Ἴδοιμ', ἴδοιμι γλυκερὸν ἦμαρ τόδε.
Εἶθ' ἦλθε, φίλος θαῦμα τοῦτ' ἴδοιμ' ἐγώ.
Νῦν δ' ἀπίωμεν νικόδημ' ἐργάτα,
Στείχωμεν ἡμεῖς, φίλα τ' ἐξαιτώμεθα,
Ὑπέρ τε λαοῦ, καίπερ ὄντος ἀγρίου,
Ὑπέρ τε πατρός, τὸν θεὸν μηδὲν νέον
Δρᾶν, κἂν ἕως πάρεσμεν ἄμφω τὸν βίον.
Καὶ σὺ δὲ φίλη παρθένε ξυνὴ παρθένῳ
Πρὸς ταῦτα ξυνάρηξον ἡμῖν τοῖς φίλοις.
Ναὶ καὶ σὺ συνάρηγε καὶ θελουσά περ,
Δέσποινα μᾶτερ τοῦ διφυοῦς, ὡς λόγος
Τὸ παρθένον πάθαι με μύστα σοῦ τέκνου.
Θεοτό. Ἄπιθι, καὶ δύναμιν ἄγγελλε βροτοῖς,
Σὺν νικοδήμῳ νυκτέρῳ μύστῃ πάρος,
Τὰ νῦν δὲ σὺν σοὶ παμφανεστάτῳ φίλῳ.
Θεολ. Καρτεροῦντες ἔστε, μή τι που πτοούμενοι.
Ὁ βιοτὸς γάρ ἐστι καλῆς ἡσυχίας,
Καὶ τοῖς ἀκραιφνοῦς ἀγάπης καὶ φιλίας,
Τό τε φρονεῖν εὖ, σωφρονεῖν τ' ἐν τῷ βίῳ,
Τηρεῖ τὰ πάνθ' ὡς ἀσάλευτα μένειν.
Θεὸς γὰρ οἶδε πάντα, καὶ σοφῶς κρίνει.
Ιω. Σύ τοί με πείθεις, σοῖς τε πιστεύω λόγοις,
Τάξιν τε τηρήσαιμ' ἐλεύθερος φόβου.
Θεολ. Χωρεῖτε, μέλλειν πάντα εἰ δοκεῖ φίλον.]
Αὐτοί τ' αὖ γνώσεσθε σὺν ἐμοὺς λόγους.
Ὑμεῖς δ' ἐπεὶ δὲ νῦν κόραι σὺν μητρί μου,
Ἐπειδὴ χριστοῦ καρδίας ὡπλισμέναι.
Προὔμεναι τι μηδέν, ἀλλ' ἔπεσθέ μοι.
Δέξω γὰρ οἶκον ἔνθα νυκτεῦσαι δέον.
Οὐκοῦν ὅσοι ἐν δεξιῷ οἶκος ἐνθάδε.
Τὰ νῦν καταλείψατε, καὶ γὰρ εὔφρονες
Οὐ βραχὺ προὐχώρησαν, ὡς ἔξω, μέρος,
Ἤδη δ' ἕως πάρεστιν, ἐκρέει κνέφας.
Θεοτ. Ἰώ μοι, ἰώ.
Ψυχῆς μελίστης, καρδίας πάχνη μένεις,
Ὕπνος βλεφάροις τοῖς ἐμοῖς πῶς ἐμπέσοι;
Οἴμοι τέκνον μου, σῆς σφαγῆς παντολίκα.
Ὤμοι ταλαίνῃ δραμάτων αὐτοστρόφων.
Οὐ γὰρ συνῳδὰ ταῦτα τοῖς ἠλπισμένοις,
Κἂν συνᾴδουσι τοῖς προηγορευμένοις.
Ἔτλην μεγίστας συμφορὰς καὶ πρὶν τέκνον,
Ἀρχῆς ἀπ' ἄκρης σῶν ξενῶν γενεθλίων.
Ἀλλ' εἶπεν εὐθὺς συμφορᾶς θυμηδία,
Σοῦ συμπαρόντος, καὶ λύοντος αἰτίας.
Νῦν δ' ἐφέστατον ἄλγος, οἴμοι πῶς φέρω;
Τί γοῦν, τί δράσω, φεῦ, παθοῦσ' ἀμήχανα.
Θέλξει δ' ἕδραν ὄμματος ὕπνος πῶς ἄγρας;
Ημι. Ἄμμες μὲν ὦ δέσποινα χαμαιστρωτίαι

Ἀνακλ-

Ανεκλίθημεν σώμασι παρειμέναι,
Νέαι, παλαιαί, παρθένοι τ' ἔτ' ἄζυγες,
Αλλαι πρὸς ἄλλων νῶτ' ἐρείσασαι κάρας,
Αἱ δ' ἐν παρειαῖς ὑποβαλοῦσαι χέρας,
Καὶ βαιὸν ἡρπάσαμεν ὕπνου βραχύ τι.
Σὺ δ' οὐχ ὕπνωσας, οὐδ' ἀνέπαυσας δέμας,
Παννύχιον στένουσα κ' ὠδίνουσα μόνη.
Πάσῃ γὰρ ὄμμ' ἄγρυπνον εὐφρόνῃ στρέφεις.
Εως τίνος μένεις δὲ προσκαθημένη
Αὔπνος, ὄμμα μηδ' ὅλως μύουσά σου;
Ηὼς ἰδοὺ, πέφηνε, καὶ λευκοφόρον
Περιτρέχουσι δῆμος ἄνω καὶ κάτω.
Γῆς τ' ἀνέδραμεν ἥλιος φαεσφόρος,
Ακτῖνας ὀξείαισι θερμαίνων χθόνα.
Θεοτό. Υἱὸν τεθνέντα νεκρὸν ἰδοῦσ' ἐν τάφῳ,
Οὐ δεῖ με θρηνεῖν καὶ στένειν καὶ δακρύειν,
Εως ἴδοιμι ζῶντα πάλιν ἐκ τάφου;
Υπνος δ' ἄρα μου πῶς βλεφάροις ἐμπέσοι;
Ημι. Κἀγὼ μελοῦσα καρδίᾳ λήγουσ' ὕπνου
Κεῖμαι, παλοσθενής γε χαμαιστρωσία,
Κοὔτ' ἔβριζ', οὔτ' ἐκοίμησα, σφοδρῶν γόων
Σῶν παρθένων κλύουσα καὶ στεναγμάτων.
Θεοτό. Εγρεσθ', ἔγρεσθε. τί γυναικῶν μέλλετε;
Εξιτ' ἄπιτε βαιὸν ὡς πρὸς τὴν πόλιν,
Οσον προβαίνειν ἐντολὴ δίδωσί πω.
Ισως τι μάθοιτε καὶ νεώτερον.
Πολλοὶ γὰρ ὑμᾶς ἀγνοοῦσι, κοὐ δέος.
Χορ. Καὶ μὴν ὁπαδῶν τιν' εἰσορᾶν δοκῶ,
Σπουδῇ σκυθρωπὸν ἐνθάδ' ἐφορμώμενον,
Δοκεῖ δὲ καινῶν ἄγγελος μηνυμάτων.
Αγγ. Πῆ νῦν μολὼν εὕροιμ' Ἰησοῦ μητέρα;
Εἴπατέ μοι γυναῖκες, εἴπερ ἴστε μοι,
Σημήνατ' ἄρα, τῶνδε δωμάτων ἔσω;
Ημι. Ἡ δ' αὐτὸς ἀθρεῖς, δωμάτων ἐντὸς μένει.
Αγγ. Δέσποινα μῆτερ μυσταγωγοῦ μοι φίλου,
Καὶ νῦν μεμνημένης ἄξιον φέρω λόγον
Σοὶ καὶ μαθηταῖς, καὶ γυναιξὶ σαῖς φίλαις.
Θεοτό. Εἰς καιρὸν ἥκεις, καίπερ ἀγγέλλων φόβον.
Τί δ' ἐστί; μῶν τις συμφορὰ νεωτέρα;
Αγγ. Πολλὴ φάλαγξ ἔνοπλος εἰς τάφον μολεῖν,
Τίνος δ' ἕκατι, συμβαλεῖν σαφ' οὐκ ἔχω.
Ηκω δ' ἀκούσας οὐ τορῶς, φήμη δέ τις
Λαοῖσιν ἐμπέπτωκεν, ὡς κατάσκοποι
Ηκουσι τάφου. χ' ὁ μὲν οὐκ ἰδὼν λέγει,
Ο δ' εἰσιδὼν μολοῦντας οὐκ ἔχει λέγειν.
Ο δ' εἰδέναι λέγων τι, φράζειν οὐ θέλει.
Πλὴν ὡς ἔοικε γραμματεῖς προσιέναι,
Καὶ τοῦ τε πάσης κοίρανον τῆσδε χθονὸς,
Πέμψαι φύλακας, καὶ σφραγίσαι τὸν τάφον,
Ως μὴ τάχα κλέψωσι μύσται τὸν νέκυν.
Ων οὕνεκ' ἦλθον πρός σε ταῦτ' ἀπαγγελῶν.
Θεοτό. Ω ῥάπτα κακῶν τῶν ἀφερτάτων ἐμοί.
Γραμματέων ὅμιλε καὶ πρεσβυτέρων.
Ω τῆς φονώσης ἐργάτα τολμηρίας.
Ω δραματουργὲ τοῦ φόνου τοῦ Δεσπότου.
Ως συνετὸς μὲν οἷα τολμηρὰς ἄφρονας,
Δέξῃ βέλος δριμύ τε τὴν καρδίαν,
Πάνδεινον ἀλγέων ἄλγος. ἦν δ' ἄρ' εἰς τέλος
Εν τοῖσδε μείνῃς, εἰς τὰ νῦν κακῶς μένεις,
Οὐκ εὐπραγεῖς δ' ἔξεις γε μὴ κακῶς ἔχειν,
Εξ ἀφροσύνης καὶ κακῆς ἀβουλίας,
Γνοίης δ' ὅμως ἔπαθ', ὅτ' οὐ κέρδος τίσει.
Πῶς γὰρ ἔσονται νεκροφωρῶν οἱ μόγις
Μιαιφόνους σφῶν χεῖρας ἐκπεφευγότες,
Προσεγγίσαι; πέσοι δέ τις σφᾶς τῷ τάφῳ.
Οὕτω τρέσαντες καὶ λίαν πεφρικότας;
Ἄπιθ' ἄπιθι, καὶ φύλασσε τὸν τάφον.
Ναὶ ναὶ φάλαγξ ἄπιθι, κἀσφαλῶς βλέπε.
Μάρτυς γὰρ ἴσως τῆς ἐγέρσεως ἔσῃ.
Ημι. Αμμες δὲ φίλαι τῇδε μίμνωμεν πάλαι.
Ναὶ ναὶ μένωμεν ἥσυχως ἐν οἰκίᾳ,
Μὴ δ' ἀπίωμεν εἰς τάφον τοῦ Δεσπότου,
Αλλ' ἰοῦσαι μένωμεν εὐφρόνης κνέφας.
Θεοτ. Καὶ μὴν ἰδοὺ, πρόσεισιν αἴφνης τὸ κνέφας.
Λοιπὸν μάθωμεν ἥσυχως ἐκ φυλάκων.
Πῶς γάρ τις ὄρφνῃ δυσμενῶν ἀνὰ στρατὸν
Ελθὼν, μυρίσαι τόνδ' ἀκινδύνως μολών;
Κατὰ σκοπὸν δὲ πρὸς τάφον μολεῖν ἔδει,
Τὸν ὀξὺ ὁπαδὸν ἄγρυπνον διδάσκαλον,
Ναὶ ναὶ προσήκει τόνδ' ἀπογνῶναι τάχα.
Κἂν μὲν τινα κρυφαῖον οὐ γνοίη δόλον,
Βῶμεν πρὸς ὄρθρον τύμβον εἰς ζωηφόρον,
Δέμας νέκυος τοῦ μυρίσαι κατ' ἔθος.
Ελευσόμεσθα, τὴν δ' ἔχω γνώμην ἐγώ.
Ην δ' αὖ τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,
Τῆς καλλιφεγγοῦς ἡμέρας τὴν ἀκτῖνα
Σιγῇ μένουμεν, οὐδὲ χρεία μυρίσαι
Τὸν κάμμορον νῦν. οὐ γὰρ ὑπὸ γῆς ζόφον
Φθορὰ κατακνίψει τις ὡς δέμας λόγου.
Οὔτ' οὖν καθέξει ψυχὴν ᾅδης παμφάγος.
Εκὼν γὰρ ἔτλη πότμον, οὐκ ὄφλημ' ἔχων.
Ινα καθαιρεθῇ κατ' ὀφελὼν ἐς ζόφον.
Εξ ἀφθίτου γὰρ ἄφθιτον πεφυκότα,
Πῶς νῦν φθερεῖ ταμίας ᾅδης νερτέρων;
Ον καὶ λάφυξ ἐκεῖθεν ἑλκύσαι δοκῶ,
Οσους βροτῶν κατεῖρξεν, οὓς ξυνήρπασεν,
Κἀδέδησεν ἐν δόμοισι πανζόφου στέγης.
Ημι. Ορθῶς μολεῖν χρὴ πρῶτον ὡς κατασκοπεῖν.
Πέμψ' ὡς τάχιστα νῦν, ἀσφαλῶς γὰρ λέγεις,
Σὺν σοὶ δέ μ' ὄψει καρτεροῦσαν, ὡς θέλεις.
Θεοτό. Τίς δ' ἦν τε φίλων, εἰ θαρσεῖν ἐνθάδε,
Θέλει κατόπτης ἐντυχὼν τύμβῳ μολεῖν;
Τίς ἂν γένοιτο νῦν ἐμὸς δ' εὐεργέτης;
Μύσται γὰρ οὐ πάρεισι τοῦ διδασκάλου,
Φθέγγονται ὁρμὴν ἄλογον μιαιφόνων.
Οὐ γὰρ ἴσως πνέουσι θυμοῦ καθ' ὅλων,
Περιφρονοῦσι γὰρ ἡμῶν τὸ γένος,
Μύστας δὲ διώκουσιν ἀλόγῳ θράσει.
Μαγ. Εγὼ πρὸς ὑμῶν τόνδε κίνδυνον θέλω
Ρίψασα, κατόπτης σοῦ θεᾶς μολεῖν.

Ἅπαντ᾽ ἐκεῖθεν ἐκμαθοῦσα δ᾽ ὡς ἔχει,
Ἥξω πρὸς ὑμᾶς πρὶν φάος μολεῖν χθόνα,
Ἥξω δὲ θᾶττον. τὸν δ᾽ ὑφίσταμαι πόνον
Ἑκοῦσα πολλῶν, ὧν ἀπαλλάγην, κακῶν.
Κἀντεῦθεν ἴσως δυσκλεέστερον δόμα
Αὐτὸς προέχει ὁ νεκρός, ὁ νεκρὸς δ᾽ ἐμοί,
Εὕδειν δοκῶ δέ, καὶ μένειν μ᾽ ἔτι κνέφας.
Εὕδωμεν οὖν, εὕδωμεν, ὁ μακρὰν ἕως,
Ἣν ἂν θ᾽ ἴδοιμι τάχιόν γε παντάναξ.
Ἄτερ πρὸς ὄρθρον ἄπειμι ταχυδρόμος,
Ἴσως καὶ ἀδελφαῖς συντυχοῦσα ἐντύχω,
Αἳ προσμένειν εἴλοντο, καὶ βλέπειν τάφον.
Πᾶσαι γὰρ ἀπάγοντι συμφώνως ἐμοί,
Ἐννυχίσαι νῦν πρὸς τὸ μυρίσαι νέκυν.
Ἡμιχοι. Ἄπιθ᾽ ἄπιθι νῦν δραμοῦσα, ὡς τί μάθῃς,
Ἀνδρῶν ἀσφέρουσι τὴν τολμηρίαν.
Ἄμμες δ᾽ ἐφεψόμεσθα σὺν αὐταῖς κόραις,
Ἄλλαι τε πολλαὶ γαλιλαίας θρεμμάτων.
Πάσαις γὰρ οἶμαι συνδραμεῖν σοὶ πρὸς τάφον,
Ἰδεῖν ποθούσαις τὸ δέμας τῶν ἠλπισμένων.
Μικρὸν δ᾽ ἀφυπνώσωμεν, ὡς οὐκ ἄπο.
Μαγ. Σφοδρῶς πενεῖν με χρή. πονοῦσαν δ᾽ ἄξιον
Μισθὸν προσδεχεῖν. παντὶ γὰρ πονουμένου
Ἆθλον πρὸς ἔργον τὴν χάριν τίκτει δίκην,
Ἣν πολλὰ πρὶν εἴληφα, καὶ πάλιν λάβω.
Θεοτό. Ναὶ καὶ δίκαιον ἐστί, κοὐκ ἄλλως σκοπῶ.
Σύ τ᾽ εὖ προσφωνεῖς, καὶ σὺ καιρίως λέγεις.
Λέγεις δὲ μισθὸν καὶ χάριν, ὅσην ἔχεις,
Πρὸ τοῦ πόνου λαβοῦσα, καὶ πάλιν λάβοις.
Πλὴν οὖν τί μεῖζον τῶν δ᾽ ἀπαιτήσεις γέρας;
Δώσει δ᾽ ὅμως σοι δῶρ᾽, ἃ καλλιστεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ᾽ ἐγὼ πολύ,
Μακαρία τ᾽ ἔπειτα κυρήσασ᾽ ἔσῃ.
Μαγ. Ἰδού, τὸ σόν γε προσκοπουμένη δράμω,
Πρώτη δ᾽ ἴδοιμι τὴν ἀνάστασιν κόρη.
Μισθὸν γὰρ αἰτῶ τοῦ πόνου λαβεῖν τόδε.
Ἀθρεῖς γάρ, ἀθρεῖς τὴν ἐμὴν προθυμίαν.
Θεοτό. Ὅρα κατ᾽ ὄρφνην, μὴ φύλαξιν ἐντύχῃς.
Μαγ. Φυλάξομαί τι, καὶ πόδ᾽ ἡσύχως βαλῶ.
Ἀλλ᾽ ἐντυχεῖν, καὶ τύχοιμι δ᾽ ὧν ἐρῶ.
Ἐρᾷς δὲ πάντως ὄψιν ἰδέσθαι τάχα,
Ὅπερ ποθοῦσα ῥιψοκινδύνως τρέχω.
Θεοτό. Βάθ᾽ ὡς τάχιστ᾽, ἐμοὶ δὲ θᾶττον ὧν ὁρῶ,
Εὐάγγελος γένοιο, τυχεῖν ὡς ἔχω.
Μαγ. Εἴκω κελευσθεῖσ᾽, ὥσπερ γάρ μοι πρέπει.
Οὐκ εὖ ἁμάρτοις τοῦδε γ᾽, ἀλλὰ πείθομαι.
Θεοτό. Ἐφέψομαι δὲ κἀγὼ σὺν σοὶ μικρία.
Ἀλγῶ γάρ, ἀλγῶ, καὶ μένειν σου κατόπιν
Οὕτω μέλλω. πῶς ποτ᾽ οἴσω νῦν τλήμων;
Μαγ. Καὶ λοιπὸν ἀπίωμεν, ὦ φίλαι κόραι.
Σὲ γὰρ ἔχουσαι συνοδὸν χαίρω μέγα.
Αἱ δ᾽ ὕπνον ἐκβάλλουσιν ὀμμάτων ἄπο.
Ἐγείρεσθ᾽, ἐγείρεσθε γυναῖκες, μέλει τι.
Γοργωπὸν ἕδραν τῶν βλεφάρων λύσατε.
Οὐ λεύσσετ᾽ ἐν μύχοισιν αἴγλαν παμφαῆ.

Ἀὼς πέλας, ἀὼς ὅδ᾽ ἀστὴρ ἔγγιος,
Θέλγει δ᾽ ἕδραν ὄμματος ἄδιστος γ᾽ ὕπνος.
Ἄδιστος ἄδιστος γὰρ ἐν τοῖς βλεφάροις
Ἡδὺς ἔβα πεχυμμένας καρδίας.
Χο. Ἐγὼ μέλαινα καρδίᾳ πεχυμμένην,
Ἄγρυπνον ὄμμα πᾶσαν αὖ ὄρφναν στρέφω.
Ἄμμες τάχα στείχωμεν, ὦ φίλαι κόραι.
Μαγ. Σφοδρᾶ μελάσει καρδίας δεδηγμένης,
Στείχωμεν οὖν τάχιστα τοῦ τύμβου πέλας.
Αἱ δ᾽ ἀποβαλοῦσαι τὸν ὕπνον ὀμμάτων,
Ἥξουσιν ὡς τάχιον ἡσύχῳ βάσει.
Θεοτ. Ναὶ ναὶ τάχα στείχωμεν, εὖ δ᾽ ἂν τυχεῖν.
Πέποιθα πᾶσιν ἡμέραν συνελθέραν
Ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.
Ἀπίωμεν οὖν, ἄπιμεν. αἱ δὲ κατόπιν
Νῦν ὡσὶν ἀχλὺν ἠρέμα διειλεγμένας,
Οἶμαι πελάσας ὠκύτητ᾽ οὐχ ἥσσονα.
Ποδῶν δραμοῦσι συντόνοις δρομήμασιν.
Αὖθις γὰρ ἀφίημι ῥαδινὴν ὄπα,
Σαφῆ κέλευσμον, συντρέχειν πρὸς τὸν τάφον,
Ὀρθαὶ δ᾽ ἴδε γε, θαῦμ᾽ ἰδεῖν εὐκοσμίας.
Αἰ, αἶ.
Τέκνον, προθνῄσκον ἦμαρ ἰδοὺ τὸ τρίτον,
Τριταῖον ἤδη φέγγος, ἐλπὶς σοῖς φίλοις.
Μὴ δὲ προσελθεῖν, καὶ θανεῖν με ξυμφέρει.
Ὦ τέκνον ὦ φίλτατον, ὦ θεῖον κάρα,
Πότ᾽ ἄρ᾽ ἐγὼ σ᾽ ἢ ποῦ σ᾽ ἡ παντλήμων ἴδω.
Ὦ τέκνον, εἴθε τάχος ἔλθοις μοι φάος,
Ἐλθὼν νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπών, ἵν᾽ ᾅδης χωρὶς ᾤκισται φάους,
Νῦν δ᾽ ὧδε φῶς μέγιστον ἐν σοὶ καθέδρῳ.
Ἐλθ᾽ ἐλθέ, φαίνου, προλαβὼν τὸ ἀστροσέλας.
Θεὸν θεόν σ᾽ ὀλύμπιον τὰ πάντ᾽ ἔχει.
Μαγ. Ἆ ἆ.
Εὐνὰς ὁρῶμαι τάς γε φυλάκων ὁρῶ.
Θεοτ. Τί δῆτ᾽ αὖ ὤν; μῶν λόχος βέβηκέ ποι,
Ἴσως ἐφ᾽ ἡμῖν μηχανὴν στέχων τινά;
Θρασὺς γὰρ ὄχλος, νῦν δ᾽ ἐπεὶ κρατεῖ θρασύς.
Μαγ. Τί δῆτ᾽ ἀδελφαὶ δρῶμεν; οὐ γὰρ εὕρομεν,
Ὡς ἠλπίζομεν, ἐλπίδων δ᾽ ἡμάρτομεν.
Θεοτ. Πάλιν, πάλιν στείχωμεν. εὖ δ᾽ ἂν τυχεῖν,
Τὸν νεκρὸν αὐτὸν καρδίαις ὡπλισμέναις.
Σώζει γὰρ αὐτόν, ὅς τις εὐφρόνως θεῷ
Ἀνατίθησι. καί γε νῦν βαδιστέον.
Ἄμμιν δὲ λίθον τίς ἄρ᾽ ἀποκυλίσει;
Μαγ. Ὀττοτοῖ.
Ἄναξ ἄφθιτε, τίς δ᾽ οὗτιν ὅδ᾽ ὁ κλεινός;
Πῶς δ᾽ ἐκκυλισθεὶς ἀθρόον γ᾽ ὤφθαι λίθος;
Κενὸς δ᾽ ὁρᾶται καὶ τάφος τοῦ δεσπότου;
Οὐκοῦν ἔπειμι, καὶ φίλοις μύσταις φράσω
Ἄρσην νέκυς, αὖ δ᾽ ἀποστρέψω τάχα,
Εὕροιμι δ᾽ ὧδε σὺν γυναιξί σ᾽ αὖ, κόρη.
Θεοτ. Εὖ γ᾽ εὖ γ᾽ ἐπανήκετε τάχιστα νῦν φίλαι,
Ἐγὼ δὲ λίθον ἠρμένον βλέπουσ᾽ ἔτι
Θαμβουμένη πέφευγα. πῶς δ᾽ ἀθρόον

Ὤρθον κυλισθεὶς ἐπὶ θύρας πρὶν τοῦ τάφου;
Ἆ, ἆ, σίγα, σίγα.
Ὁ λαμπροπυρσόμορφος οὗτος τίς δ' ἄρα,
Ὃς καθύπερθεν ἵζεται νῦν τοῦ λίθου,
Πανδυπρεπὴς, ἐσθῆτι λευκῇ χρείας;
Στίλβει γὰρ ὥσπερ ἀστραπὴ χιὼν νέα.
Ἰδοὺ δὲ, καὶ φύλακες ὡς νεκροὶ κάτω.
Ἀγγ. Ὑμεῖς δὲ μὴ θροεῖσθε, μηδ' ἔστω φόβος,
Ζητούμενος γὰρ οὐκέτ' ἔστιν ἐν τάφῳ,
Ἄναξ Ἰησοῦς οὗτος ὁ ἐσταυρωμένος.
Ὁ δ' οὐκέτ' ἔστιν ἐν τάφῳ νεκρὸς μένων,
Ἀλλ' ἐξεγερθεὶς εἰς Γαλιλαίαν τρέχει,
Ὡς εἶπε, μύσταις ἐμφανισθῆναί πως θέλων.
Κενὸν δ' ἴδεσθαι τὸν τόπον κατίδετε.
Ἄπιτε νῦν, ἄπιτε, καὶ ταῦτα σοφοῖσιν
Εἴπατε τρανῶς, πάντα γὰρ ἔγωγ' ἔφην,
Καὶ παντάπασιν εἴπατε ξὺν τῷ Πέτρῳ.
Ὡς φροῦδος ἄλλος, Χριστὸς αὐτοῦ τάφου,
ἀφοῦ δὲ λίθος εὐθέως ἀπελάθη.
Φρουροί τ' ἀίδου θύρετρ' αὐγάσαι φόβῳ
Λελυμένοι, νεκροὶ δὲ πρὸς φάος χθονὸς
Σκιρτῶσι, σωτῆρ' ἐκκαλούμενοι θεὸν,
Τῷ δ' αὐτόματα δεσμὰ πάντ' ἀπερράγη.
Θεοτό. Ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε,
Πέφηνας, ὡς ἤλπιζον, τέρμα φροντίδων.
Πέπτωκεν ἐχθρὸς, Χριστὸς αὖθις ἐκ τάφου.
Πῶς πρόσοψις τίς ποτ' ἄρ' ἀελπτάτας;
Τί δ' ἂν ἐμοὶ γένοιτο χαριέστερον;
Πῶς γοῦν τὸν ἄδου καββαλὼν βαίνεις τέκνον;
Πῶς πῇ δ' ἐγώ σε καὶ πότ' αὖ ἴδω τέκνον;
Ἔλθ' ἐλθὲ, καὶ φάνηθι σῇ μητρὶ τάχα.
Μαγ. Ὄψει γε θᾶττον, ὡς ἔγ' ᾦμαι, πλειόνων.
Ἀλλ' ἀπίωμεν, ὡς ὁ λευχείμων ἔφη,
Μύσταις φίλοις ἅπασι χάρμα μηνῦσαι.
Πρῶτον δ' ἄπειμι πρὸς Πέτρον τὸν πρόθρονον.
Εὐάγγελον φέρουσα βάξιν τοῖς φίλοις.
Ὁ γὰρ φανεὶς εἴρηκεν εἰπεῖν καὶ Πέτρῳ.
Ἄπειμι γοῦν κήρυσιν εἰπεῖν τοῦ τάφου,
Καὶ τὴν ὅρασιν τοῦ φανέντος καὶ λόγους.
Οὔτοι δ' ὅμως ἐδόκιμον ἰδεῖν τὸν τάφον,
Οἶμαι δὲ πάντα σφᾶς θεωρῆσαι καλῶς.
Ἀλλ' ὦ, τίν' ἀθρῶ, θεσπεσίαν καινῆς θέας;
Θεοτό. Οὐκ οἶδ' ἀκριβῶς, εἰκάσαι γε μὴν πάρα,
Μορφῇ γὰρ οὐ φαῦλον ἐσβαλεῖν τινα.
Χρι. Χαίρετε.
Θεοτό. Χαῖρ' ἐσθλὸς ἐσθλοῦ παῖ, βασιλεῦ παντάναξ,
Ἔσχατον ἐχθρὸν συγκατασκάψας πότμον.
Ἄναξ, ἄναξ ἄφθιτε, σὺ θεὸς μέγας.
Ποδῶν δὲ σῶν ἄμμιν δὸς ἅψασθαι φόβῳ.
Τοὺς γὰρ ἐπ' οὖδας νῦν κυνοῦσαι πίτνομεν,
Καταπλαγεῖσαι τῇ χαρᾷ καὶ τῷ φόβῳ.
Χρι. Μὴ δὲ φοβεῖσθε, μηδ' ὑμῖν ἔστω φόβος.
Ἄπιτε δ', ἀγγείλατ' ἀδελφοῖς μου τάχα
Ἐς Γαλιλαίαν ἀφικέσθαι, κἀκεῖ με πως
Ἐκεῖσε κατίδωσιν, ὡς ἔφην σοφοῖσιν.

Θεοτό. Ὦ φαιδρότης ἄρρητος ἡλίου βολῆς,
Ὡς ἀνέτειλε χαρίεσσα νῦν ἕως.
Ὦ λαμπρότης ἄφραστος αὐγῆς ἀκτίνων,
Ὦ χάρμα παγκόσμιον, ὦ θυμηδία,
Ὦ τέρψις εὐφροσύνης, ὦ γῆθος μέγα.
Πῶς ἂν τις εἴπῃ, πῶς ἀπαγγέλῃ λόγῳ
Ἐμῆς ἀγαλλιάματα νῦν καρδίας;
Ἀλλ' ἀπίωμεν, ὡς ὁ δεσπότης ἔφη.
Μαγ. Ἐγγὺς ἰδοὺ δέσποινα, φίλαι σοι κόραι,
Ἄλλαι τε πᾶσαι Γαλιλαίας θρεμμάτων.
Πρὸς τὸν τάφον τρέχουσι μυρίσαι νέκυν,
Τὴν ἐξέγερσιν ἀγνοοῦσαι τοῦ δ' ἔτι.
Οὐκοῦν σὺν αὐταῖς βῶμεν αὖθις εἰς τάφον;
Οὐ γὰρ κόρος τίς ἐστι θαυμαστὰ βλέπειν.
Ἡ γὰρ ποθοῦσα καρδία πάντ' ἐλπίσαι,
Ἐν τοῖς ἀγητοῖς λίχνος γ' οὖσ' ἁλίσκεται,
Ἀθρεῖν τε ταῦτα συχνάκις λιχνεύεται.
Ἀλλ' ὦ τίς οὗτος εὐπρεπὴς νεανίας,
Ὃς λευκοχίτων δεξιοῖς ἵζει τάφου.
Θάμβος μ' ἔχει βλέπουσαν ἀστραπὴν θέας.
Νεαν. Μὴ δαὶ θροεῖσθε, μηδ' ὑμῖν ἔστω φόβος,
Τὸν Ναζαρηνὸν, οἶδ', Ἰησοῦν ὦ κόραι,
Ζητεῖθ', ὃς οὐκέτ' ἔστιν ἐν τάφῳ μένων,
Ἀλλ' ἐξανέστη, καὶ κενὸς τόπος μένει.
Ἄπιτε νῦν, ἄπιτε μύσταις καὶ Πέτρῳ,
Ἐς Γαλιλαίαν σφίσιν ὀφθῆναι τάχα.
Μαγ. Ἐγὼ τρέμουσα, καὶ φόβῳ κρατουμένη
Πρὸς τὸν Πέτρον νῦν εἶμι καὶ λοιποὺς φίλους,
Εὐάγγελον φέρουσα βάξιν καὶ πάλιν.
Ὁ γὰρ φανεὶς εἴρηκεν εἰπεῖν καὶ Πέτρῳ.
Ἡμι. Ἄμμιν δὲ θάμβει καταπλαγεῖσαι φίλαι
Ἔκστασιν ἐκστᾶσαί τε τῇ καινῇ θέᾳ,
Φεύγωμεν ὡς τάχιστα μνημείου δρόμῳ.
Σιγῇ φέρουσαι πᾶν ὅραμ' ἄκουσμά τε,
Καὶ μηδὲν ἐκφέρωμεν ὡς πρὸς μηδένα,
Μνείαν ἔχουσαι τῶν λογοπράτου δόλων,
Φοβούμεναί τε τὸν βρόχον τὴν ἀγχόνην,
Νεκροπρεπὴς ὡς μνῆμα τὸν αὐτοῦ τρόπον
Τὸ μυστικὸν παίξαντος ἐχθρῶν εἰς μέσον.
Φύγωμεν, ἐξέλθωμεν φόνιον κάτω,
Καὶ δυσμενέσι μηδενὶ ἐξειποῦσαι μένων
Εἴποιμεν ἄμμιν, πλὴν φίλοις μύσταις μόνον.
Κακὸν γὰρ οὐδὲν οὐδενὶ, ξυνὸν δέ τι
Πρὸς πανάληθες ἀγαθῶν ἀγγελμάτων,
Καὶ ψεῦδος οὐδὲν, ψεῦδος δ' ἄμμιν οὐ φίλον,
Νεκροφρόνων φρόνημα φυγούσαις καλῶς,
Καὶ παγκάλην ἔκστασιν ἐκστάσαις φόβῳ.
Ὦ πᾶς κακίας ἐκκλίνει θεοφρόνως,
Τοῦτον οὐδὲν οὐδενί φράζειν θέμις
Ταῖς ἐξιούσαις, ὡς ἔφην, τῶν μνημάτων,
Μὴ δ' ἐμφρουρούσαις μνημόσυνον εἰσέτι
Νεκροπρεποῦς τρόπου γε τοῦ ζῶντος πέρι,
Ἐχημένας φόβῳ τε καὶ πολλῷ τρόμῳ
Ἐπιβλέποντας προσρέμοντ' αὐτοῦ λόγους.
Οὕτως φύγοιμεν ἐκ μνημείου κόραι,

Ὡς μυστικὸν εἰπεῖν μυστικοῖς ξυνωστρόπως.
Κακοῦ γὰρ ὑπόστασις οὐκ ἐν φύσει πως,
Οὕτω τὸ κακὸν οὐδ' ἓν ἐστὶ μανθάνω,
Καὶ τοῦδε μυστικὸν μυστικὸν θέμις λέγειν.
Πρὸς δυσμαθῆ γὰρ μυστικόν τις ἐκφέρει;
Δοκεῖ δὲ καλῶν δυσμαθὴς τοὐναντίον,
Ὡς ἡμέρα νὺξ, καὶ σκότος πάλιν φάει.
Ἀντίκειται καὶ ψεύδεσι τ' ἀληθεῖ λόγῳ.
Ἀλλ' ἀπίωμεν θᾶττον εἰς μυστηπόλους,
Εὐαγγέλιον χάρμα δηλῶσαι φίλοις.
Ἀλλ' ὦ, τίν' ἀθρῶ νυκτὸς ἥκοντ' ἐνθάδε;
Ἀγγ. Δέσποινα, μῆτερ παιδὸς, οἷον οὐδέ πω
Ἄλλη γυναικῶν ἔκλυον ἐκτεκεῖν ποτε.
Θεοτό. Τὸν συμφρόνων τίς αὐτὸς εἶ, κατ' εὐφρόνην;
Αὐλῶπιν αὐγαῖς, κοὔπω γινώσκω τορῶς.
Ἀγγ. Εὔνους ἀεί σοι καὶ σφαγέντι σοι τέκνῳ,
Τῶν θαυμασίων κἀγαθῶν φρενὸς χάριν.
Θεοτ. Νέον τί δ' ἀγγέλλεις; τί; τάχιστα φράσον.
Ἀγγ. Δέσποινα χαῖρε, τοῦτό σοι πρῶτον λέγω.
Πάγχαρτε χαῖρε, τοῦτο γὰρ προοίμιον,
Κ' ἄλλον οὐδεὶς οἶδε προσφωνεῖν σε βροτῶν,
Ἀλλ' οὐδὲν ἧσσον σοι φέρω καινοὺς λόγους.
Οἵαν γὰρ ἀγγελίαν ἥκω σοι φέρων.
Θεοτ. Υἱὸν φανέντ' ἀΐδου ἀγγελεῖς νέον;
Ἀγγ. Ἔγνως, λόγῳ με δὶς τόσον μ' ἐκούφισας.
Ἤλυθε, καὶ πάρεστιν, ὡς αἱρεῖ φάτις,
Κἀν γῇ τὸν ᾅδην ἐκφυγὼν πορεύεται.
Τοιαῦτ' ἐγὼ γὰρ ἀγγελῶν ἐλήλυθα.
Θεο. Ἀμφὶ μὲν ἴσμεν ταῦτα, σὺ δ' οἶδας πόθεν;
Ἀγ' ἔστε, πῶς φῄς; πῶς λέγεις; οἶδας δὲ πῶς;
Τί τ' ἄρ ἐναργὲς τοῦδ' ὁρᾷς τεκμήριον;
Ἀγγ. Στρατὸς φυλάκων πᾶσαν αὖ ὄρφναν μένων,
Καὶ τάφον ἀθρῶν ἀσφαλεῖ προμηθείᾳ,
Νῦν ἐννύχιος ἐν θορύβῳ συῤῥέων,
Πρὸς ἱερεῖς ἔδραμεν ἐν πολλῷ τρόμῳ,
Νίκην δ' ἔδοξε βάξιν ἐμφαίνειν φίλοις,
Νυκτηγοροῦντες τ' ἦσαν ὡς πεφρικότες.
Οὐκ εἰς ἑκόντα δ' ἄρ' ἡ φάλαγξ ὑπέστρεψε,
Τρόμου δ' ἔμαθον αἰτίαν παρ' ἐλπίδα,
Νύκτωρ κατ' ἄστυ τειχέων εἴσω μολών.
Καὶ τοῦδε μαθὼν, ἧκον ἡσύχῳ βάσει,
Στρατοῦ κατόπιν ἀκροώμενος λόγων.
Οἱ δ' εἶπον οὕτως ἐμφόβῳ τολμηρίᾳ
Μακρηγορῶν ἅπαντα, θάμβους πλέοι.
Εἴρηκεν οὖν, εἴρηκε πρὸς πρεσβυτέρους
Ἀρχιερεῖς τε, δραματουργοὺς τοῦ φόνου
Συνηγμένους τε καὶ σκοποῦντας τοῦ πέρι.
Ὦ τὸν φρικώδη πότμον ἐξειργασμένοι,
Γραμματέων ὅμιλε καὶ πρεσβυτέρων,
Ἥκω φράσαι σοὶ, καὶ πόλει πολλὰ ξένα,
Ὡς καινὰ πάντα θαυμάτων τ' ἐπάξια,
Ἅπερ νέκυς δέδειχεν. ὁ νύκτωρ φύλαξ
Ἐγὼ τέταγμαι, καὶ νῦν εἰσέτι τρέμω.
Ὥστ' εἰ προῆσθε, τοῦτον ὡς τάχ' ὡς νέκυν
Ἡμᾶς φυλάττειν ἐξέπεμψας περὶ τάφῳ.

Εὐχαῖσιν αὖ μετελθεῖν ἀστρῴων ἔργα.
Θέλω δ' ἀκοῦσαι, πρῶτόν σοι παῤῥησίᾳ
Φράσω τ' ἀκουσθὲν, ἢ λέγειν στελλώμεθα.
Ταρβῶ γὰρ εἰπεῖν σοὺς λόγους ἐναντίον
Πρὸς τὸν τύραννον, τὸ φρενῶν πήκοσων πάχες,
Τό τ' ὀξύθυμον, καὶ τὸ λίαν ἠρμένον.
Ταῦθ' ἡ φάλαγξ ἔφησε πρὸς πρεσβυτέρους.
Οἱ δὲ στραφέντες καθ' ἑαυτοὺς, τοιάδε
Ἔλεξαν ἄμφω, καὶ προσεῖπον ἀθλίως.
Ἡδίκητο δ' ἐγγὺς ὥσπερ πῦρ ἐφάπτεται,
Ὕβρισμ' Ἰησοῦ, νῦν φόβος θ' ἡμῖν μέγας.
Ἀλλ' οὐ μέλλειν δεῖ, δεξιοῦσθαι δὲ στρατόν.
Αὖ δὲ στραφέντες, πρὸς φάλαγγ' εἶπον τάδε.
Ἄκουε φάλαγξ, ὡς ἔχω γνώμης ἐγώ.
Εἰ τὰ πρὸς γνώμην σφεῖν ἡμᾶς ἔχει,
Κρύφθ' ὡς ἄδηλος δ' ἐμοῦ πάντων ἔσω,
Ἐρεῖσθ' ὅτι μαθηταὶ τὸν νέκυν κλέψαι λάθρα.
Δώσω δέ σοι καὶ δῶρ', ἃ καλλιστεύεται.
Οὐ γὰρ χρεὼν ἄνακτι ταῦτά σε φράσαι,
Ἃ πρὸς κλέος ῥίπτουσι τοῦ τεθαμμένου,
Ἅμιν δὲ κατήφειαν εἰσφέρουσί τι,
Ὄχλου τε θυμὸν ἐπανάπτουσι σφόδρα,
Πάντων τ' ἀγανάκτησιν εἰς ἡμᾶς ἔχει.
Ἡ δ' αὐτίκα φησὶν ἡ φάλαγξ τῶν φυλάκων.
Ἐγὼ μὲν οὐκ ὁρῶ τι τῶν ἐγνωσμένων,
Ἐπεὶ δοκεῖ σοι, καί με ῥύεσθαι λέγεις
Πρὸς τὸν τύραννον, σοὶ δ' ὅμως ἀρέσεται.
Ταφεὶς οὐδ' ἧσσον οὐδ' ἐνὸς θεοῦ δοκεῖ,
Ἐξ ὧν τε πρὶν πέπραχε, καὶ νῦν θαυμάτων.
Ὃς ἐξαναστὰς κειμένου λίθου τάφῳ,
Καὶ τῶν σφραγίδων ἐμμενουσῶν ἀσινῆ,
Ἡμῶν τ' ἀΰπνων ἐγκαθημένων κύκλῳ,
Τὰ πάντα κατηύγασεν, ἡμᾶς δὲ τρόμῳ
Ὥστε νεκροὺς τέθεικεν ἐκπεπληγμένους.
Γῆς γαῖος ἐσαλεύθη γὰρ ἀρχέτῳ τρόμῳ,
Αἴφνης δ' ὁ λίθος ἐκκεκύλισται τάφου.
Καὶ τοῦτο δ', ὡς ἔοικεν, ὡς δ' ὁρᾶν ἔχω,
Συμφύαι τε πάνθ' ἑώρων τὸν τάφον.
Ἐκ δ' αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι
Θεὸς πατὴρ ἤχησεν ἐν φωνῇ ξένῃ.
Ταύτῃ θ' ἅμ' ἐβρόντησε καὶ πρὸς τὴν πόλιν,
Καὶ γαῖαν ἐπέδειξε φῶς σεμνοῦ πυρός.
Σίγησε δ' αἰθὴρ, σίγα δ' ὕλιμος νάπη
Φύλλ' εἶχε, καί πως τ' οὐκ ἂν ἤκουσας ψόφον.
Τὸν ἄνδρα γοῦν τόνδ', ὅς τίς ἐστιν, ὦ φίλοι
Δέχεσθε κἂν νῦν, πάντη γὰρ δοκεῖ μέγας,
Κἀκεῖνό φασιν, αὐτὸν, ὡς ἐγὼ κλύω,
Τὴν παυσίκακον δ' οὐσίαν δοῦναι βροτοῖς.
Καὶ τοῦ δ' αὖθεν μυστικὸν καλόν τ' ἐστὶ ποτὲ,
Μάτ' αὖ γλοιᾶσθαι. κἂν ἀληθεύῃ λόγος,
Θύοιμ' ἂν αὐτὸν μᾶλλον, ἢ θυμούμενος
Πρὸς κέντρα λακτίζοιμι, θνητὸς ὢν θεῷ.
Συ.ἀρ. Σὺ πολλ' ὕπνωσας, καὶ λαλεῖς ὀνείρατα.
Ἐκλέψαν, ὡς ὕπνωσας, μύσται τὸν νέκυν.
Καί τοῦτο πρὸς τύραννον εἰπὲ καὶ μόνον.

Ὁ δ᾽ οὐ κατεθύμιον ἡμῖν, σὺ σίγα.
Σιγῶν δὲ τοῦτο, δεξιώσεις σὺ λάβῃς.
Ἢ γοῦν ἑκόντος ἔπραξάς τι τὸν νέκυν,
Κἂν μὴ σιγήσῃς, τοῦτο τύραννος μάθῃ.
Κυσ. Πάθῃ μὲν οὐδὲν τῶν ἐμῶν κλύειν λόγων.
Ἐγὼ δὲ καίπερ πρὸς σέθεν κακῶς κλύων
Οὔ φημι χρῆναι καταπαίζεσθαί σ᾽ ἔτι,
Ἀλλ᾽ ἡσυχάζειν, οὐ γὰρ ἂν αὐξήσεται.
Ὡς δ᾽ οὐδὲν ἐπράξαμεν, ἡ σφραγὶς μόνη
Ἔδειξε σαφῶς, καὶ πρόφασιν οὐκ ἔχεις,
Τηρουμένης γὰρ, κειμένου τε τοῦ λίθου,
Ὢ θαῦμα καινὸν, ἐξανέστη τοῦ τάφου.
Συ. ἀρ. Ἔα τὰ πολλὰ, καὶ λέγε τὰς δὲ τίνας.
Κυσ. Ἐπείπερ οὐ πείθῃ σὺ τοῖς ἐμοῖς λόγοις,
Ἔγωγε τοῖς σοῖς, ὡς λέγεις, πεισθήσομαι.
Σὺ δὲ σκόπει τὸ, πῶς με τυραννῶν ῥύσῃ.
Συ. ἀρ. Μή σοι μελήσῃς τοῦδε, ζῆς ἔσω πείρας
Πείσω γὰρ αὐτὸν νῦν φρονεῖν ἀδελφά σοι,
Ὡς ἐγγυῶ σοι, καὶ χθονὸς τῆς Αὐσόνων.
Ἀλλ᾽ ἀπίωμεν τάχιον, μή σοι δέος.
Ἐρεῖς δὲ, μύσται τῷδε νυκτέρῳ ποδὶ
Λαβόντας ὄμμα τοὐμὸν ἦραν τὸν νέκυν.
Κυσ. Ἰώ μοι, ἰώ. αἶ, αἶ.
Πιλά. Τίς οὗτιν, ὃς θρηνῶν, γοῶντ᾽ ἔξω στένει;
Σω. Φάλαγξ φυλάκων τοῦ κατακρίτου νεκροῦ,
Ἄναξ, πάρεστι, καὶ φόβῳ πολλῷ στένει.
Πιλά. Εἰς καιρὸν ἥκεις, καί περ ἐμφαίνουσί τι,
Τί γὰρ τὸ θρηνοῦσ᾽ ἀλαλάζει, καὶ στένει;
Τίνος θ᾽ ἕκατι τὸν φόβον φέρει; λέγε.
Σω. Αὐτοὶ παρόντες σοὺς λόγους ποιησάτων.
Κυ. Μύσται γὰρ, ἄναξ, τῷδε νυκτέρῳ ποδὶ,
Λαβόντες ὄμμα τοὐμὸν, ἦραν τὸν νέκυν.
Πιλά. Πῶς ὦ μέγιστα πήματ᾽ ἐξειργασμένοι,
Μύσται μολοῦντες εἰς τάφον εἰσίδειν,
Ὑμᾶς λαθόντες, καὶ νέκυν ἀφήρπασαν;
Κοὔτ᾽ εἰσιόντας πρὸς τάφον συνήκατε,
Οὔτ᾽ ἐξιόντας. τῶν δὲ τίς τίσει δίκην,
Πλὴν σοῦ; σὲ γὰρ φύλακά φημ᾽ εἶναι τάφου,
Ὄφλειν τέθεικας τοῖς βροτοῖς γέλωτά με.
Πρὸς αἰσχύνῃ δὲ καὶ δίκην τίσω φόνου.
Κλέψαι σ᾽ ἔλαθον, ἐγγελῶντες πολλά μοι;
Τίς γὰρ πρόφασις τοῦ νεκρὸν κλέψαι δέμας;
Πῶς δ᾽ ἂν ἐτόλμων φυλάκων μέσον τόσων,
Οὓς φασι καὶ φῶς λαμπάδων πυρὸς φέρειν,
Καὶ τῇδ᾽ αὖ δὲ πανσέληνος νὺξ τρέχει,
Ἐλθεῖν τρέμοντας καὶ κυλῖσαι τὸν λίθον;
Ὃν ἀκρυντὶ στρατὸς οὐκ ἔθηχ᾽ ὅσος,
Τέθεικέ τε σφραγῖδας ἐκτὸς τοῦ λίθου,
Ἰδὸν ὑμῖν καὶ χορὸς πρεσβυτέρων.
Οὐκ οἶδα μύστας, οὓς νέκυν κλέψαι λέγεις.
Σὺ τοῦτ᾽ ἔδρασας, οὐδὲν ἂν δεξαίμεθα,
Γνώμην δ᾽ ἀφαιρῶ τὴν ἐμὴν, πλάττων λόγους.
Ἀλλ᾽ οὖν μακροῦ σοι καὶ σφοδροῦ δεῖ λόγου,
Ὅτῳ με πείσεις μὴ λέγειν ψευδηγόρως.
Οὐ γὰρ μηνύουσι τῆς ἀληθείας λόγοι.

Ἀλλὰ τρέπουσι τοὺς λόγους βουλεύμασι,
Οὐδ᾽ ἐμμενοῦσιν οἱ λόγοι βουλεύμασιν.
Κυσ. Ὀρθῶς ἄναξ εἴρηκας, ὡς τὸ δρᾶμ᾽ ἔχει.
Ἐγὼ γὰρ ὄμμ᾽ ἄγρυπνον εἶχον εὐφρόνῃ,
Κοὔτ᾽ ἔβρισ᾽, οὔτ᾽ ἐκοίμησ᾽, οὐ νήσουν κάρα.
Εἶδόν τι πάντα, καὶ δραμὼν ἦλθον λέγειν,
Κἀγὼ μὲν ἦν πρόθυμος ἔννυχος δραμεῖν,
Καί σοι τὸ πᾶν εἰπεῖν τι, καὶ φυγεῖν δίκην
Ἀλλ᾽ οἱ σοφοί γε, καὶ τὸ θεῖον εἰδότες,
Μεῖναι μ᾽ ἔπεισαν ἡμέρας λαμπρὸν φάος.
Οὐ γὰρ φαεινοί μοι συνεῖχον ἡλίω
Λαμπτῆρες, ἀλλ᾽ ἔδραμον οὗτοι σφᾶς αὐτίκα
Καὶ στρατιὰν εἶπον πᾶν ὅραμ᾽ ἄκουσμά τε,
Οἱ δ᾽ οὐ μηνύουσι τοῖς ἐμοῖς ὀρθοῖς λόγοις.
Πιλά. Δέδοικα, φάλαγξ, μὴ μάτην ψευδηγορῇς.
Μύσται γὰρ ἦν ἔκλεψαν, οὐκ ἴσμεν τορῶς.
Καὶ γὰρ ὕποπτόν ἐστι κάρτ᾽ ἐμῇ φρενί.
Τί γὰρ σφραγὶς τοῦδ᾽ ὁρᾷς τεκμήριον;
Κυ. Ἄναξ ταχύνεις, πρὶν μαθεῖν τὸ δρώμενον.
Ὁ κλὼψ ἐν ὄρφνῃ πάντα πάμμεγα σθένει.
Ἀλλ᾽ ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ,
Ὡς αὔτως αὐτοῦ καὶ ταχύπους τυγχάνει,
Φάλαγγ᾽ ὑπερβὰς νυκτὸς ἐν καταστάσει,
Ὡς ἐν βρόχοισι δέσμιος λελημμένος,
Πληγαῖς χαραχθεὶς, ἐκμάθῃ τὸ πρακτέον.
Αἰσχρὸν γὰρ ἡμῖν καὶ πρὸς αἰσχύνῃ κακὸν,
Θεοῦ διδόντες, αὐτῶν τις ἀπόνως
Λαβεῖν ἐᾶσαι δρᾶμα δράσαντας τόσον.
Πιλά. Οὐκ οἶδα τοὺς σοὺς, οὓς νεκροῦ φώρας λέγεις.
Οὐκ οἶδ᾽, ὕποπτόν ἐστιν, ὕποπτον δ᾽ ἐμοί.
Πῶς γὰρ ἂν οἱ φεύγοντες ἔκλεψαν νέκυν,
Ὃν ζῶντα κατέλιπον ἐν πολλῷ φόβῳ;
Οὐδ᾽ ἦν τοσοῦτον ἀφύπνωσεν ἡ φάλαγξ.
Καὶ τῆς φυλακῆς τοῦ τάφου κατεφρόνει,
Οὐδ᾽ οἵδε γ᾽ ἐξήμαρτον ἀτόλμῳ θράσει,
Οὓς κατασεῖσαι καὶ θεραπαίνης ὄπα
Ἔκλυον, ὥς μιν ἀπαυλίσασθαι φόβῳ.
Συ. ἀρ. Ὁ πάνθ᾽ ἑδραῖος, νῦν κλονεῖ τῇ καρδίᾳ,
Καὶ ταῦτα κλύων, πάνθ᾽ ὑποπτεύεις μάτην.
Εἴθ᾽ ἧκ᾽ ἀνὴρ πρόβολος, ὡς δράσαι χερί.
Ἀλλ᾽ οὐ γὰρ αὐτὸς πάντα δύνασθαι βροτῶν
Πέφυκεν. ἄλλῳ δ᾽ ἄλλο δίδοται γέρας,
Σοὶ μὲν μάχεσθαι, τοῖσδε δ᾽ αὖ κρύπτ᾽ εἰδέναι.
Ὃς νῦν πυρὸς λαμπτῆρας ἐξήρθης κλύων,
Κλέψαι τ᾽ ἀπιστεῖς τοὺς ὀπαδοὺς τὸν πλάνον.
Ἁπλῶς ἐπ᾽ ἐχθροῖς μῦθος ὁπλίζειν χέρας.
Πιλά. Στρατὸν σὺ κλέψας, κἀμὲ πειρᾷ συστρέφειν,
Σὺ πάντ᾽ ἔδρασας, καὶ τὰ λοιπὰ σὺ σκόπει.
Συ. ἀρ. Σὺ γοῦν νόμιζε ταῦτ᾽, ἐπείπερ σοι δοκεῖ,
Πράττειν ἔχοντι καὶ λέγειν μέγα σθένος.
Ἀγ. Τοιαῦτα μαθὼν ἀνόμων τολμήματα,
Τὴν νεκρὸν ἔγερσιν κατορυσσόντων δόλῳ,
Ἔδραμον, ὦ δέσποινα, νῦν σοι μηνῦσαι.
Μὴ γοῦν ἀπίστει, πάντ᾽ ἀληθῶς γὰρ κλύεις.
Καὶ πᾶσαν οἶμαι τὴν πόλιν φήμαν φέρειν.

Κυσ.

Κουστωδίας γὰρ τινὲς ἐκφέρουσί πω.
Καὶ θαῦμα κηρύσσουσιν ἐν μυστηρίοις.
Ἥξουσί σοι πολῖται, καὶ τὸ πᾶν μάθοις.
Θᾶττον γὰρ αὐτὸς ἄγγελος μηνυμάτων
Ἔδραμον, ἐλθεῖν γνοὺς σῶν καρδίας,
Καί σοι κομίσαι χάρμα καὶ θυμηδίαν.
Θεοτ. Εἰς καιρὸν ἥκεις, καὶ χαρεῖς σοι κάρτα τοι.
Εἰς καιρὸν ἥκεις, καίπερ ἀγγέλλων ἄτην,
Αὐτῆς γε μᾶλλον αὖ ὅμως πρεσβευτέρων
Ψευδῆ τε, καὶ μάταια πολλ’ ἀργασμένων.
Πῶς γὰρ ἂν ἄρξαι τάφος, ἢ σφραγὶς λίθου,
Ἢ φυλάκων φάλαγξ τις ἀλήπτου λόγου,
Εἰς συγγένειαν πατρὸς ἀλαφθὲν δέμας;
Ὃ καὶ πρὶν ὑπερβαίνων ὑγρὰν ὡς πέδον,
Τὸν αὐτόρριζον αὐτοπλάστην δεσπότην,
Φέροντα τὸν φέροντα πᾶν κράτει.
Ὃς κλεῖθρα παρθενεία μηδαμῶς λύσας,
Ἐξῆλθεν, αὖτ’ εἰσῆλθεν ἐνθέῳ θύρᾳ,
Οὐ γὰρ κορείας ἅμμα διέλυσέ πως.
Ἔτικτον αὐτὸν, οἶδα δ’, ὡς ἐγεινάμην.
Ἢ φυλάκων φάλαγξ δὲ πῶς ἂν ἤθελε
Τὴν ἐξέγερσιν τοῦ λαβόντος ἀγγέλλειν;
Πῶς ἐκ βροτείων αἱμάτων πλάσθη δέμας;
Πῶς σὰρξ πέφηνεν ὢν ἄσαρκος, πρὶν λόγος;
Πῶς καὶ μένων δὲ σὺν πατρὶ πρὸς τὸν πόλον,
Ὅλος τε παντί, πρὸς τ’ ἐμὴν ἦν γαστέρα.
Ταῦτ’ ἐφρύαξαν ἱερεῖς μάτην φθόνῳ.
Ἡμεῖς δὲ φίλαι νῦν δράμωμεν πρὸς τάφον,
Στείχωμεν ὡς τάχιστα τοῦ τύμβου πέλας,
Πάντ’ ἐξακριβώσωμεν ἀσφαλῶς ἔτι,
Καὶ πάντα δηλώσωμεν, ὡς ἔχει, φίλοις,
Αὐταί τε συνδραμοῦνται, εὔχονται πλέον.
Χορ. Καὶ μὴν ὁ Πέτρος σὺν Ἰωάννῃ φίλῳ,
Θᾶττον δραμόντες πρὸς τάφον ζωηφόρον,
Καὶ πάντ’ ἀκριβώσαντες εἶπον τοῖς φίλοις,
Ὡς Μαγδαλ’ εἶπε Μαρία πεσουμένη.
Πρώτη δραμοῦσα, πάντ’ ἀκριβωσαμένη,
Καὶ τὴν κένωσιν μηνύσασα τοῦ τάφου.
Θεοτό. Ναὶ ναὶ πρὸ πάντων ἤδη ἐδράμομεν εἰς τάφον,
Ἐγώ τε ταύτῃ ξυνέδραμον αὐτίκα,
Καὶ τὴν κένωσιν εἴδομεν πρὶν τοῦ τάφου,
Ἄρσιν τ’ ἔδαξε τήνδε νεκροῦ φιλτάτου,
Καὶ πρὸς τόπον σώματος ἄλλον που θέσιν.
Ἀλλ’ εὐθέως ἔγνωμεν, ὡς τὸ πρᾶγμ’ ἔχει,
Καὶ τοῦτο μύσταις Μαρία δραμοῦσ’ ἔφη.
Πέτρος δ’ ἀναστὰς, ἔδραμε πρὸς τὸν τάφον,
Ξυνέδραμ’ αὐτίκα τε μύστης παρθένος,
Εἶδον δ’, ἅπερ ἄρρηκε Μαρία σφίσιν.
Αὖ δ’ ἄμμες ἐλθεῖν κατόπιν γ’ ἐδράμομεν.
Ἐγγὺς δ’ ὅμως πάρεστιν ἤδ’ ἡ Μαγδαλά,
Φράσει τ’ αὐτὴ πᾶν ὅραμα, δρᾶμά τε.
Μαγ. Τί φὴς κόρη δέσποινα, χάρμα τοῦ γένους.
Θεοτό. Ἅπαντα δ’ εἶν, καὶ προσπᾶν τοῖς φίλοις
Εἴρηκας αὐτὴ, ταῦτ’ ἀπαγγέλλας κόραις.
Μαγ. Οὕτως ἔχει, δέσποινα, καθάπερ λέγεις.
Οἶδας γὰρ, οἶδας ὡς τάφον με προΐσαν,
Ὅσα τ’ ἔφην, ἔκλυες. οὐ χρὴ μ’ αὖ λέγειν,
Ἅπερ δραμοῦσα πρὸς πανόλβιον τάφον
Μόνη τὸ πρῶτον, εἶτα σὺν μύσταις δυοῖν,
Κἀκεῖ δακρυχέουσα, παρισταμένη
Ἀνιστόρησα, κἀκριβωσάμην σαφῶς,
Λευχειμονοῦντας τ’ εἶδον ἀγγέλους δύο,
Ἄνω κάτω τε τοῦ τάφου καθημένους,
Τὸν μὲν κεφαλῇ, τὸν δὲ δ’ αὖ πρὸς τοὺς πόδας.
Καὶ τοὺς δ’ ἀπαστράπτοντας ἰδοῦσ’ ἐνθέως,
Ἔστην καταπλαγεῖσα χαρᾷ καὶ φόβῳ.
Εἶτ’ αὖ δι’ ἄτων γῆρυν οὐχ ἦν ἐνάσαι,
Ἐδεξάμην γε, καὶ μετεστράφην δρόμῳ,
Αὐτίκα δ’ ἀθρῶ Χριστὸν ἐν καινῇ θέᾳ.
Μορφῇ γὰρ οὐ φαῦλόν τιν’ εἰσβαλεῖν ἔφην.
Πίτνω τε πρὸς γῆν, καὶ ποδῶν ἐφαπτόμην.
Ὁ δ’ ἀπέπεμπε, καὶ φίλοις ἔπεμπέ με.
Καὶ τοῦ δ’ ἀκούσασ’, ὧν ἐμαιόμην μαθεῖν,
Ὡς πρὸς πόλον γ’ ἄνεισι καὶ τὸν πατέρα.
Οὔπω δ’ ἀναβέβηκεν, ὡς ἔφη, τέως.
Ἐν γῇ μένων δὲ πρὸς Γαλιλαίαν φίλους
Ὡς συνθέμενος εἶπε, προφθαίνει καὶ προσμένει.
Μύσταις ἅπαντα ταῦτα τοῖς φίλοις ἔφην,
Οἱ δ’ οὐδὲν ἠγάσαντο τοὺς ἐμοὺς λόγους,
Ἀλλ’ ἦλθον αὐτοὶ πρὸς τάφον ταχυδρόμοι,
Εἶδον θ’, ἅπερ ἔκλυον. οὐ χρὴ τ’ αὖ λέγειν,
Ἅτε ξυνούσης καὶ σέθεν πρὸ βραχέος.
Ἔκλυον, ἱστόρησας, οἶδας πάγκαλως.
Τὰ πρὶν γὰρ ἀκούσασα σὺν φίλαις κόραις,
Θάμβει καταπλαγεῖσ’ ἐμοὶ ξυνωρίας
Σὺν δυσὶν ἄλλαις Μαρίαις φίλου μενούσαις,
Ἐδράμετ’ ἰδεῖν, ἅπερ ἔκλυες πάρος.
Εἴδετε τὰ πάντα, καὶ σὸν υἱὸν, ὡς ἴδε,
Ἐγὼ δὲ κλύω καὶ φίλων ἄλλους δύο
Νῦν ἀπιόντας ὡς πρὸς ἀγρὸν τὸν δ’ ἰδεῖν,
Καὶ ταῦτα μαθεῖν, ὧν μαθεῖν εἶχον πόθον.
Οἳ καὶ τρέχουσι τοῖς φίλοις ἀρηκέναι,
Κἀκεῖ συνελθεῖν θᾶττον ἡμᾶς νῦν δέον.
Ἴσως ἴδοιμεν αὐτὸν καὶ τὸν δεσπότην.
Ἰδοὺ γὰρ, ἤδη τὸ κνέφας ἐφ’ ἑσπέρας.
Δράμωμεν οὖν, δράμωμεν ἄχρι τοὺς φίλους
Τὸ νυκτερινὸν συνάγειν οἶμαι κνέφας.
Ἰδοὺ, κατειλήφαμεν οἶκον Μαρίας,
Ὅπου μένειν καὶ φίλους μύστας κλύω,
Ἔνδον πυλῶν μένοντας ἐγκεκλεισμένους,
Πάντως τρέμοντας τοὺς μιαιφόνους ἔτι.
Καὶ κλεῖθρα πυλῶν ἠσφαλισμένα μένει.
Πῶς δ’ εἰσίωμεν τῶν θυρῶν κεκλεισμένων;
Ἤδη δ’ ἔκλινεν, ὑπανοίγνυτ’ ἠρέμα.
Μαρία φίλη, συγκαλεῖτ’ ἐσιγήσαι.
Ἀλλ’ εἰσίωμεν ἡσύχῳ ποδὸς βάσει,
Ὡς μὴ θορυβήσωμεν ἐμφόβους φίλους.
Ἰδοὺ, συνηθροίσθημεν ἕνδεκα φίλοις,
Ἄλλοις τε πᾶσι τοῖς συνοῦσι φίλοις,
Αὖθις δὲ πύλας ἠσφάλιζε Μαρία.

Οὐκοῦν σίγα κλύωμεν αὐτοῦ κλύοντα,
Πάρεστι καὶ γὰρ, ὡς ὁρῶ, καὶ πολλ' ἔδει,
Τὸν δ' ἀπαντῆσαι φιλῆσαί τε καὶ δρᾶσαι σεβίζειν,
Ὅπως τι μὴν συνῆκεν αὐτοῦ τῇ κλάσει.
Ἆ, ἆ, σίγα, σίγα.
Ἕστηκεν ἰδοὺ δεσπότης θυρῶν ἔσω,
Ὄντως μεγίστου θαύματος τόδ' ἄξιον.
Πῶς πῶς πάρεστι τῶν θυρῶν κεκλεισμένων;
Τάχ' ὡς ἀνέστη καὶ τάφου κεκλεισμένου,
Καὶ πρὶν προῆλθεν ἐκ πυλῶν τῆς παρθένου,
Ἄλυτα τηρῶν κλεῖθρα μητρὸς παναγνοῦ.
Χρι. Εἰρήνη ὑμῖν.
Τί δὴ θροεῖσθε; χεῖρας ἴδε καὶ πόδας,
Αὐτήν τε πλευρὰν τὴν ἐμὴν νυγεῖσαν μάλα
Τρανῶς ἰδόντες, γνῶτε μ' ὡς ἐγὼ πέλω
Εἰμ' αὐτός. οὐ γὰρ πνεῦμα σάρκας που ἔχει,
Οὐδ' ὀστέα ξυνῆσι τῷ πνεύματί που.
Καθάπερ αὐτὸν νῦν ὁρᾶτ' ἔχοντά με,
Καὶ ψηλαφήσαντες μ' ἴδεσθ', ὡς πάντ' ἔχω.
Καθὼς δ' ὁ πατὴρ ἐνθάδ' ἀπέστειλέ με,
Οὕτως ὑμᾶς πρὸς κόσμον ἐκπέμπω κἀγώ,
Καὶ πνεῦμ' ἅγιον ἐμπνέω φίλοις ὑμῖν.
Ὅπερ λαβόντες παντὶ κηρύξατέ μου
Σὺν πατρὶ καὶ πνεύματι τῷ παναγίῳ.
Ἄπιτε νῦν, ἄπιτε κήρυκες φίλοι,
Ἀστ' ἐθνικοῖς ἀνὰ πᾶσαν χθόνα.
Καὶ βασιλέας ἀμφιβρεμόντων δήμους
Κρᾶτε Δαυίδου πόλιν, πᾶσ' ὡς ἴδῃ,
Σωτήριον τάχιστ' ἀνιόντ' ἐκ τάφου.
Ἔσεσθέ μοι μάρτυρες ἐν πάσῃ χθονί.
Σώσει δ' ἑαυτὸν, ὃς λόγον δεδεγμένος
Λαβόντα βάπτισμα ῥύσιον λύθρου.
Ὃς δ' ἂν διαβάξει τοὺς ὑμῶν λόγους,
Ὁ δ' ὡς ἄπιστος ἐμπίσει κατακρίσει.
Ἐφ' ᾧ δίδωμι πνεύματος θείου χάριν.
Οὓς δ' ἂν λύσητε δεσμὸν ἀμπλακημάτων,
Καὶ δεσμολύτου εὑρεθήσονται τότε.
Οὓς δ' ἂν κρατῆτε δεσμὸν ἀμπλακημάτων,
Δεσμοῖς ἀλύτοις κεκρατημένος μενεῖ.
Τοιῶνδε δεσμῶν ἀλύτων με παντάναξ
Ὁ δεσμολύτης αὐτὸς ἂν σῶτερ λύσον,
Οἷς, φεῦ, με κατέδησεν ἀπροσεξία,
Ἐχθρὸς δ' ὁ πλάνος κατεβάρυνε φθόνῳ,
Ὁρῶν με τῶν πρὶν ἀλύτων λελυμένον,
Τῆς πρός σε πίστεως, δωρεᾷ φιλαγάθου.
Χαῖρ' ἐσθλὸς ἐσθλοῦ παῖ, βασιλεῦ παντάναξ,
Τὸν ἀρχέκακον καταπατήσας ὄφιν,
Ἔσχατον ἐχθρῶν καββαλών τε τὸν πότμον.
Οἷς μή μ' ἐάσῃς ἐνεοδεθῆναι πάλιν,
Ἄναξ, ἄναξ ἄφθιτε, σὺ θεὸς μόνος,
Κριτής τε παγγενέθλιος ἔρχῃ με κρίνων.
Πῶς γοῦν ἐγώ σε τῷ τότ' ἀθρήσω λόγῳ;
Ὄμμασί θ' οἵοις ἀτενίσω σὸν θρόνον;
Ἐμαυτὸν ἀνάξιον ἐνδείξας τάλας,
Πόλου τε καὶ γῆς, σῆς τε δημιουργίας;

Ὁ δυσμενὴς ἥρπασε, κατήγαγέ με
Εἰς βάθρον, εἰς τάρταρον, εἰς χάος μέγα.
Σφοδρῶς δ' ἀίξας κατέλαβέ μ' ὁ πλάνος,
Ὅλον με κατέπνιξεν εἰς ᾅδου ζόφον.
Ἐλεῦ θεὲ, νῦν μοι χέρα, φέρε με.
Καὶ μή μ' ἐάσῃς χάρμα τῷ βροτοκτόνῳ.
Σὸν εἰμὶ πλάσμα, σύ με παίδευσον μόνος,
Καὶ πλάσον αὐτὸς φιλαγάθως ἐνθάδε,
Καὶ μὴ γεέννῃ παραπεμφθῆναι λίπῃς.
Ῥῦσαι, λιτοῦμαί σ', ἀδικήσαντά με
Καὶ σῶμα καὶ ψυχήν τε, καὶ νοῦς ἀθλίως.
Ἡμάρτομεν σοι, πολλά τ' ἠνομήσαμεν.
Οὐκ ἐμάθομεν, οὔτ' ἔγνω, οὐκ ᾔδοντες,
Κοὐδ' ἐκ ποτ' ἐφράσαμεν, ἅπερ σοι φίλα.
Γινώσκομεν σφάλματα, σὺ δ' ἀγορά.
Ἴσμεν δέ σ' ὀργαὶ οὐχ ὁμοιοῦσθαι βροτοῖς.
Οἴκτειρον οὖν σῶτερ με, μὴ δὲ ταῖς ἐμαῖς
Ἀμπλακίαισιν ὀργισθεὶς καταλίπῃς.
Παῖς γάρ ἐγὼ σὸς, παῖς τε παιδίσκης σέθεν.
Ἐμοῦ δ' ἑκατὶ πότμον ὑπέστης λόγε,
Καὶ δυσμενεῖ με χάρμα μὴ καταλίπῃς.
Ῥάβδῳ δὲ σῇ παίδευε, πλὴν φιλαγάθως,
Πρέσβειν δ' ἔδειξο μητέρα σὴν ὦ λόγε,
Σφᾶς θ' οἷς ἔδωκας δεσμολύτην σὴν χάριν.
Πότνια πότνια, παμμάκαιρα παρθένε,
Σὺ μὲν μακάρων δάπεδον ναίεις πόλου,
Ἅπαν πάχος βρότειον ἀλλαξαμένη,
Ἀφθαρσίας τ' ἄμφιον ἐστολισμένη,
Ἀεί τ' ἀγήρως ὡς θεὸς δ' ἐγνωσμένη.
Λόγοις δ' ἐμοῖς ἄνωθεν εὐμενὴς ἴσθι.
Ναὶ ναὶ κόρη πάγκλυτε τοὺς λόγους δέχου.
Μόνον γὰρ ἐστι τοῦτό σοι βροτῶν γέρας,
Ὡς τοῦ λόγου σοι μητρὶ κἂν ὑπὲρ λόγον.
Ὅθεν πεποιθώς σ' ἐν λόγοις ἀμείβομαι,
Καὶ σοι στέφανον πλεκτὸν ἐξ ἀκηράτου
Λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
Ἀνθ' ὧν με πολλῶν ἠξίωσας χαρίτων,
Λύτει ξὺν συμφορῶν πολυτρόπων,
Ἐχθρῶν δρατῶν, ἀοράτων τε πλέον.
Τέλος δὲ κάμψαιμ', ὥσπερ ηὐξάμην, βίον,
Πλουτῶν ἀεί σε προστάτιν παντὸς βίου,
Καὶ πρέσβιν εὐπρόσδεκτον εἰς σὸν υἱέα.
Σὺν δ' ἀρεσκόντων αὐτῷ φιλάγνοις.
Μὴ γοῦν ἐάσῃς ἐκδοθῆναι βασάνοις,
Καὶ χάρμ' ἔσεσθαι δυσμενεῖ βροτοφθόρῳ.
Πρόστηθι, καὶ ῥῦσαι δὲ πυρὸς καὶ σκότου,
Πίστει δικαιώσῃ με, καὶ χάριτι σου.
Ἐν σοὶ γὰρ ὤφθαι χάρις ἡμῖν ἐκ θεοῦ,
Καὶ σοι χαριστήριον ὕμνον νῦν πλέκω.
Χαῖρ' ὦ κόρη πάγχαρτε, μῆτερ παρθένε,
Κάλλιστε πασῶν παρθένων ὑπερτέρα,
Οὐρανιώνων ταγμάτων ὑπερτέρα.
Δέσποινα, παντάνασσα, χάρμα τοῦ γένους,
Ἀεί ποτ' εὖ φρονοῦσι τυγχάνοις γένει,
Κἀμοὶ μεγίστη παντὸς οὖσα σωτηρία.

ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΚΑΡΤΕΡΟΜΑΧΟΥ.

Γρηγόριος μέγας πολλῷ πλέον ἤπερ Ὅμηρος,
Θειοτάτων ἐπέων δεῖξεν ὑπερτεύας.

Ἢ μᾶλλον τό γε πᾶν μεσσῶν ὑπολέξεν Ὅμηρος,
Γρηγορίῳ δ' ἔπνευ πνεῦμ' ἄρα θειότερον.

ΤΕΛΟΣ.

ΕΤΥΠΩΘΗ [illegible] ΑΝΑΛΩ-
μασιν Ἰωάννου [illegible] ἔτει θεογονίας χιλιοστῷ
πεντακοσιοστῷ πεντηκοστῷ, μηνὶ
βοηδρομιῶνι.